ἀποδίδωϲιν οὐδὲ αὕτη; Cυμβαίνει οὖν ἐπὶ τῆϲ πείραϲ ἐπὶ τῆϲ καθ' ἓν ἢ δεύτερον γνώϲεωϲ καὶ λόγον τινὰ παρέπεϲθαι, τὴν μέντοι ἐμπειρίαν παντελῶϲ εἶναι ἄλογον. Ἴδωμεν οὖν, τίνι ϲυνάψωμεν τὴν γραμματικήν. Καὶ ὅτι μὲν ἐπιϲτήμη οὐκ ἔϲτι, δῆλον, ἐξ ὧν ϲημειοῦταί τινα καὶ ἀλόγωϲ ἀφορίζει· πάλιν οὔτε πεῖρα· εἰ γὰρ πεῖραν ἔφαμεν τὴν ἑνὸϲ ἢ δευτέρου γνῶϲιν, πῶϲ οὖν τὴν γραμματικὴν πεῖραν εἴπωμεν τὴν πάϲηϲ λέξεωϲ ἐργάτιν; εἰ δὲ οὐ πεῖραν, πολλῷ μᾶλλον οὐδὲ ἐμπειρίαν. Τί οὖν ἐϲτι; Τέχνη· ϲυνέϲτηκε γὰρ ἐκ μερῶν τεϲϲάρων, διορθωτικοῦ, ἀναγνωϲτικοῦ, ἐξηγητικοῦ καὶ κριτικοῦ, καὶ ἐξ ὀργάνων τεϲϲάρων, γλωϲϲηματικοῦ, ἱϲτορικοῦ, μετρικοῦ καὶ τεχνικοῦ. Καὶ μέροϲ μὲν ὃ ἀπό τινοϲ ἀπέϲπαϲται καὶ αὐτῷ μόνῳ κοινωνεῖ ἀφ' οὗ ἀπέϲπαϲται, ὡϲ ἂν εἴπωμεν πρώραν μόνηϲ νεὼϲ εἶναι ἢ κλάδον μόνου φυτοῦ. Μόριον δέ ἐϲτι τὸ μέρουϲ μέροϲ· μέροϲ μὲν γὰρ ἡ κεφαλή, μόριον δὲ τὸ χεῖλοϲ ἢ ἡ ῥὶϲ ἢ τὸ οὖϲ. Ὄργανον δέ ἐϲτι τὸ καὶ ἑτέροιϲ κοινωνοῦν καὶ ἁρμόζον ἀντιπεπονθότωϲ τῷ μέρει· τὸ γὰρ μέροϲ αὐτῷ μόνῳ οὗ ἐϲτι μέροϲ πεποίηται, τὸ δὲ ὄργανον, ὡϲ εἴπομεν, καὶ ἑτέροιϲ· οἷον τὸ ϲμιλίον οὐκ ἐπὶ ἑνὶ ἔργῳ ἐϲτὶ χρήϲιμον, ἀλλ' ἐν πολλοῖϲ. Οὕτωϲ οὖν τέχνη ἡ γραμματική, τὸ δὲ τέλοϲ χρειῶδεϲ ἔχει τῷ βίῳ· λόγου γάρ ἐϲτιν εὑρέτιϲ, δι' οὗ πᾶϲ ὁ βίοϲ καὶ τὰ δρώμενα τέλοϲ ἐδέξατο.

COMMENTARIUS MELAMPODIS SEU DIOMEDIS.

Μελάμποδοϲ γραμματικοῦ ἑρμηνεία τῆϲ τέχνηϲ Διονυϲίου τοῦ Θρᾳκόϲ.

§ 1.

Γραμματική ἐϲτιν ἐμπειρία.] Πρότερον δεῖ ἡμᾶϲ γνῶναι, τί 731, 26b
ἐϲτι πεῖρα, εἶθ' οὕτωϲ, τί ἐϲτιν ἐμπειρία. Πεῖρα τοίνυν ἐϲτὶ κυρίωϲ ἡ ἅπαξ τινὸϲ πράγματοϲ δοκιμαϲία ἄλογοϲ, ἐμπειρία δὲ ἡ πολλάκιϲ τοῦ αὐτοῦ πράγματοϲ δοκιμαϲία ἄλογοϲ· διὸ καὶ τοὺϲ ἰατροὺϲ τοὺϲ εἰδόταϲ μὲν ἐκ τῆϲ ϲυνεχοῦϲ τριβῆϲ περιοδεύειν καὶ τὰϲ θεραπείαϲ τοῖϲ πάϲχουϲι

[Discr. scr. in LNO] **3** ἴδωμεν N, ἴδομεν L, εἴδομεν O | ϲυνάψωμεν N, ϲυρράψωμεν LO ‖ **5** δευτέρου O, δεύτερον L, δύο N ‖ **6** οὖν V, ἂν LNO | εἴπωμεν NO, εἴπομεν L ‖ **7** ἐργάτιν N, ἐργάτην LO ‖ **8** διορθ. — κριτ. (9) N, ἀναγν. καὶ ἐξηγητ. L, ἀναγν. ἐξηγ. διορθ. καὶ κριτ. O ‖ **9** γλωϲϲημαντικοῦ NO ‖ **10** καὶ (*ante* τ.) *om* LN ‖ **11** ἀφ' οὗ ἀπ. *add* N ‖ **12** μόνηϲ N, μόνην LO ‖ **13** Ὄργανον — πολλοῖϲ (17) *add* N ‖ **18** λόγου LO, λόγων N | ἐϲτιν NO, *om* L | εὑρέτιϲ N, εὑρετῆϲ LO | οὗ LO, ὧν N

24—11, 2 hab. et. Σ^m

21 Μελ. — Θρᾳκόϲ (**22**) F, *om* C ‖ **24** εἰϲ τὸ αὐτὸ καὶ ἄλλωϲ. περὶ γραμματικῆϲ. Μελάμποδοϲ C, Διομήδουϲ ϲχολαϲτικοῦ *in marg.* N, *om* V ‖ **27** *post* ἄλογοϲ *add* καὶ τριβή V ‖ **28** τριβῆϲ CV, διατριβῆϲ F | καὶ — προϲάγειν (11, 1) *add* V

προcάγειν, μὴ δυναμένουc δὲ λόγον ἀποδοῦναι τῆc περιοδείαc, ἐμπειρι-
732b κούc φαμεν. Τί οὖν; ἡ γραμματικὴ ἄλογόc ἐcτιν ἢ οὔ; Οὔ, ἀλλ' ἐνταῦθα καταχρηcτικῶc εἶπεν ἀντὶ τοῦ γνῶcιc.

733,24b 172v Τῶν παρὰ ποιηταῖc τε καὶ cυγγραφεῦcιν.] Ποιηταὶ μὲν λέγονται οἱ τὰ ἔμμετρα γράψαντεc, cυγγραφεῖc δὲ κυρίωc μὲν οἱ τὰ ἐφ' ἑαυτῶν γενόμενα cυγγραψάμενοι, τουτέcτι τὰ ἐπὶ τῶν αὐτῶν χρόνων, καταχρηcτικῶc δὲ καὶ πάντεc οἱ πεζῇ φράcει κεχρημένοι, τουτέcτιν οἱ τὰ ἄμετρα γράψαντεc.

734,18b Ὡc ἐπὶ τὸ πολὺ λεγομένων·] τουτέcτιν ὡc ἐπὶ τὸ πλεῖcτον εὑριcκομένων. Ἕωc ἐνταῦθά ἐcτιν ὁ ὅροc τῆc γραμματικῆc. Εἴπωμεν
20 οὖν αὐτόν· «γνῶcιc τῶν παρὰ ⟨τοῖc⟩ τὰ ἔμμετρα καὶ ἄμετρα γράψαcιν ὡc ἐπὶ τὸ πλεῖcτον εὑριcκομένων». Διὰ τί δὲ εἶπεν «ὡc ἐπὶ τὸ πλεῖcτον»; Ἐπειδή τινεc λέξειc ἅπαξ που ἢ δὶc εἰρημέναι εἰcίν, ἃc οὐ πᾶcα ἀνάγκη εἰδέναι τὸν γραμματικόν, οἷον οἱ γρῖφοι. Τί δέ εἰcιν οἱ γρῖφοι; Τὰ ζητήματα τὰ δεινά· ἢ ὡc ἔν τιcιν εὑρίcκομεν τὸ δέρμα τοῦ ἀρνὸc κληθὲν cκέπαρνον ⟨Artemid. 4, 24⟩, ὃ ἐκ πρώτηc ἀκοῆc νομίcει⟨εν⟩ ἄν τιc εἰρηκέναι τὸ τεκτονικὸν ἐργαλεῖον· πάλιν ἔν τιcι γρίφοιc τὸ δόρυ εὑρίcκομεν λεχθὲν βαλάντιον ⟨Dionys. tyr. fr. 12 N^2 p. 796⟩, τῆc cυν-
30 ηθείαc ἡμᾶc εἰc ἄλλο φερούcηc· ὁ δὲ διὰ τὸ βαλεῖν ἀντίον οὕτωc αὐτὸ ἐκάλεcε· καὶ τὸν Τηλέμαχον Μακροπτόλεμον ἐν τοῖc cτίχοιc τούτοιc ⟨Theocr. Syr: Anthol. XV 21, 1 sq.⟩

Οὔτινοc εὐνάτειρα Μακροπτολέμοιό τε μάτηρ
μαίαc ἀντιπέτροιο θοὸν τέκεν ἰθυντῆρα,

735b καὶ τὰ ἑξῆc· ἢ ὡc ἐν τῷ βωμῷ τοῦ Δοcιάδου ⟨Anthol. XV 26, 1⟩ ἡ γυνὴ εἴρηται cτήτη, ἐπειδή τινεc τὸ παρ' Ὁμήρῳ ⟨Α 6⟩ διαcτήτην ἐρίcαντε οὕτωc ἐξηγήcαντο, διά τινα γυναῖκα. Cύριγξ δὲ καὶ βωμὸc ποιήματά τινά ἐcτιν ἐμμέτρῳ τῷ cχήματι καὶ τῇ διατυπώcει τὴν ἐπω-

---

4—13, 10 hab. et. O^d | 4—15, 25 hab. et. Σ^m (N *in marg.* Διομήδουc)

1 ἀποδοῦναι CFV, ἀποδιδόναι b ‖ 2 ἢ οὔ. οὔ F, *om* C ‖ 4 μὲν *add* V ‖ 5 κυρίωc μὲν CFO^dV, *om* b ‖ 6 τουτέcτι — χρόνων *add* V ‖ 7 τουτ. — γράψ. (8) *om* FO^db, τουτ. οἱ μὴ τὰ ἔμμετρα V, οἱ τὰ ἔμμετρα C ‖ 9 Διομήδουc *add* V | τὸ (*ante* πολὺ) FO^dV, *om* C | λεγομ. O^dV, *om* CF | τουτ. — εὑριcκ. (12) *om* O^d | τουτ. *om* C ‖ 10 εὑριcκ. *om* C | Ἕωc — εὑριcκ. (12) *om* V | ὁ Fb, *om* C | Εἴπωμεν — εὑριcκ. (12) *om* F ‖ 12 πλεῖcτον (*post.*) CO^d, πολὺ λεγομένων F, πολὺ τουτέcτιν ὡc ἐπὶ τὸ πλεῖcτον V ‖ 14 οἱ γρῖφοι (*bis*) CFO^d, τὰ γρῖφα (*bis*) V ‖ 15 Τὰ — πάλιν (17) *om* F | τὰ δεινὰ V, ἤτοι τὰ νοήματα Cb, *om* O^d | ἢ — ἐκάλεcε (20) *om* O^d | δέρμα — λεχθὲν (18)] δόρυ V ‖ 16 ὃ] ἡ Cb | νομίcειεν b ‖ 17 γρίφοιc F, ἱcτοριογράφοιc Cb ‖ 19 ἀντίον F, κατεναντίον Cb, κατέναντι V ‖ 20 καὶ — εἰ (12, 2)] καὶ τὰ τοιαῦτα, ἃ εἰ F | μακροπόλ. O^d; *item v. 22 om* τ ‖ 22 οὔτινοc O^d, οὗτινοc CV ‖ 23 μαίαc O^d, μέαc C, μέcαc V | ἀντιπέτροιο θοὸν V, ἀντὶ πέτρη ὁ θοὸν C, ἀντιπέτρη ὀθὼν O^d, ἀντιπάτροιο θοὸν b | τέκεν CO^dV, τέκεc b ‖ 24 δοcίαδοc C, δ' ὀcίριδοc V, δωcιάδου O^db ‖ 26 ἐρίcαντε V, ἐρίcαντεc CO^db | διὰ τὴν γυν. CO^db, *om* V | Cύριγξ b, cτὺξ CO^dV ‖ 27 ἐcτιν — ἔχοντα (12, 1) V, ἐλαμέτρων (ἐμμέτρων O^d, ἐcτι . . . μέτρων b) τὸ cχῆμα καὶ τὴν διατύπωcιν τῆc ἐπωνυμίαc ἔχοντα CO^db

νυμίαν ἔχοντα. Τὰ οὖν τοιαῦτα ζητήματα εἰ μὲν ἐπίσταται ὁ γραμματικός, ἐπαινετέος ἐστίν, εἰ δὲ μή γε, οὐκ ἔστι μέμψεως ἄξιος.

Μέρη δὲ αὐτῆς ἐστιν ἕξ.] Τὸ πάλαι μέρη τῆς γραμματικῆς ἦν 736,5 b τέσσαρα· καὶ εἰσὶ ταῦτα· διορθωτικόν, ἀναγνωστικόν, ἐξηγητικὸν καὶ κρι- 173 v τικόν. Καὶ τέσσαρες τὸ πάλαι παρεδίδοσαν τοῖς νέοις ἔχειν τὴν γραμματικήν· πρὸ μὲν γὰρ τοῦ ἄρξασθαι τὸν νέον ἀναγινώσκειν, ὁ διορθωτὴς λαμβάνων τὸ βιβλίον διωρθοῦτο αὐτό, ἵνα μὴ ἐπταισμένον αὐτὸ ἀναγνοὺς ὁ νέος εἰς κακὴν ἕξιν ἐμπέσῃ· μετὰ δὲ ταῦτα λαβὼν ὁ νέος τὸ βιβλίον διορθωθέν, ἀπῄει πρὸς τὸν ἀναγνωστικὸν τὸν ὀφείλοντα αὐτὸν διδάσκειν ἀναγινώσκειν κατὰ τὴν διόρθωσιν τοῦ διορθωτοῦ· τρίτον ἀπῄει πρὸς τὸν ἐξηγητικὸν τὸν ὀφείλοντα παραδιδόναι αὐτῷ τὴν ἐγκειμένην ἑρμηνείαν· τέταρτον ἀπῄει πρὸς τὸν κριτικόν, ὃς δοκεῖ μὲν μηδὲν συνεισάγειν τῷ νέῳ, τῶν προλαβόντων δ' ἦν ὑπέρτερος. Ἀνάγκην γὰρ εἶχεν ὁ κριτικὸς εἰδέναι τὰ τοῦ διορθωτικοῦ καὶ τοῦ ἀναγνωστικοῦ καὶ τοῦ ἐξηγητικοῦ, οὐκ ἐκεῖνοι δὲ τὰ τοῦ κριτικοῦ· ὥσπερ γὰρ ὁ πολιτικὸς κριτής, ὅ πέρ ἐστι δικαστής, οὐ γίνεται, εἰ μὴ πρῶτον ἀναγνῷ νόμους, ἔπειτα συνηγορήσῃ ἐπὶ πλείονα χρόνον, οὕτω καὶ ἐν τῇ γραμματικῇ ὁ κριτικός, εἰ μὴ τὰ τῶν προειρημένων ἀκριβῶς ἠπίστατο, οὐκ ἠδύνατο εἶναι κριτής. Οὗτος οὖν ὁ κριτικὸς τὴν τῶν ποιημάτων ⟨ἢ⟩ καλῶς ἢ φαύλως, ἢ ἐν δέοντι ἢ ἐν μὴ δέοντι, ἢ εὐκαίρως ἢ ἀκαίρως λεχθεῖσαν ἔννοιαν παρεδίδου τῷ νέῳ, καὶ τὴν τούτων αἰτίαν ἐδίδασκεν· ὥσπερ παρὰ τῷ ποιητῇ τὸν στίχον τοῦτον δεῖ ὀβελίζειν, τουτέστιν ἐκβάλλειν καὶ ἀποδοκιμάζειν, ὡς μὴ ὄντα ἄξιον τοῦ ποιητοῦ ⟨Α 139⟩ ἄξω ἑλών· ὁ δέ κεν κεχολώσεται ὅν κεν ἵκωμαι· πρόκειται γοῦν ⟨Α 137⟩ ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι· καὶ ὅτι εὔηθες τὸ προσκείμενον «ὁ δέ κεν κε- 737 b χολώσεται»· πῶς γὰρ οὐκ ἔμελλε χολοῦσθαι; Πάλιν ἀλλαχοῦ ⟨Α 474⟩ μέλποντες ἑκάεργον· δεῖ τὸν στίχον τοῦτον ὀβελίζειν· μένοντος γὰρ αὐτοῦ γίνεται ἄκυρος δισσολογία· προείρηται γὰρ ⟨Α 472⟩ οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο. Καὶ πολλαχοῦ δεῖ τοὺς στίχους ὀβελίζειν· ⟨Γ 424⟩ τῇ δ' ἄρα δίφρον ἑλοῦσα φιλομ⟨μ⟩ειδὴς Ἀφροδίτη καὶ τὰ ἑξῆς· οὐκ ἂν γὰρ ὁ ποιητὴς τὴν θεὸν εἰσήγαγεν ὑπηρετοῦσαν τῇ γυναικί, καὶ τοιαύτην εὐτελῆ ὑπηρεσίαν, εἰ μὴ ἄρα εἴποι τις, ὅτι τῇ μορφῇ τῆς γραὸς τὰ προσήκοντα ἐπετήδευε. Πάλιν ἀλλαχοῦ

---

3 ἐστιν F, εἰσιν O^d, *om* C ‖ **4** καὶ (*ante* κρ.) FV, *om* CO^d ‖ **5** τέσσαροι F, τέσσαρα CO^{d}V ‖ **6** τὸν νέον F, *om* CO^{d}V ‖ **7** διωρθοῦτο V, διορθοῦτο CF O^d, διορθοῦται b | αὐτὸ (*ante* ἀν.) F, *om* CO^{d}V ‖ **8** εἰς — νέος *om* C ‖ **10** *post* διδάσκειν *add* ὡς δεῖ O^{d}b ‖ **12** μὲν FO^{d}V, *om* C ‖ **13** γὰρ εἶχεν F O^{d}V, εἶναι C ‖ **14** τοῦ *ante* ἀν. *et* ἐξ. *add* F ‖ **15** οὐκ — μὴ (18)] εἰ μὴ γὰρ F | γὰρ O^{d}V, *om* C ‖ **17** οὕτω O^{d}V, *om* C ‖ **19** ποιημάτων FV, ποιητῶν CO^d ‖ **23** ὡς FV, *om* CO^d | ἄξω — νέῳ (13, 6) *om* F ‖ **24** ὃν — κεχολ. (25) *om* O^d | πρόκ. γοῦν *om* V ‖ **25** προσκείμ. C, προκείμ. V ‖ **26** χολοῦσθαι V, χολᾶσθαι CO^d ‖ **30** τῇ — ἀλλαχοῦ (33) *om* V ‖ **31** καὶ τὰ ἑξῆς O^d, *vac. spat. 9—10 litt.* C ‖ **32** γυναικὶ O^d, *vac. spat.* C

⟨A 176⟩ ἔχθιστος δέ μοί ἐςςι διοτρεφέων βαςιλήων· τὸν ἑξῆς δεῖ ἔξωθεν ἀςτερίςκῳ ςημειώςαςθαι, ὡς ἐνταῦθα μὲν οὐκ ὀρθῶς κειμένου τοῦ ςτίχου, ἀλλαχοῦ δὲ ἐπιτηδείως· οὐκ ἂν γὰρ ὁ Ἀγαμέμνων ςτρατηγὸν διὰ τοῦτο ἐβδελύττετο ὡς φιλοῦντα τοὺς πολέμους· τί γὰρ τούτου ἐπιτηδειότερον ἔργον τῷ ςτρατηγῷ ἢ πόλεμος; Τὰ γοῦν τοιαῦτα ὁ κριτικός, ὡς προείρηται, παρεδίδου τῷ νέῳ.

Εἰ οὖν τὸ πάλαι τέςςαρα μέρη ἦν τῆς γραμματικῆς, πῶς νῦν ἓξ αὐτά φηςιν ὁ Διονύςιος; Τὸ ἓν ἐξ αὐτῶν ἐτμήθη εἰς τρία, καὶ τὰ ἄλλα τρία γεγόναςιν ἕξ. Καὶ ποῖον ἐτμήθη; Τὸ διορθωτικόν. Εἰς ποῖα ἐτμήθη; Εἰς τὸ νῦν τρίτον, τέταρτον, πέμπτον.

Πρῶτον ἀνάγνωςις ἐντριβὴς κατὰ προςῳδίαν.] Ἀμελήςαντες τοῦ διορθοῦςθαι τὰ βιβλία ἐξ ἀρχῆς, ἐπὶ τὴν ἀνάγνωςιν τρέπονται· διό φηςι πρῶτον εἶναι μέρος τῆς γραμματικῆς τὴν ἀνάγνωςιν. «Ἐντριβής» ἤτοι ςυνήθης καὶ τετριμμένη, ὡς ἐπὶ ὁδοῦ δημοςίας, καὶ δεδοκιμαςμένη. «Κατὰ προςῳδίαν», κατὰ τέχνην, τουτέςτι κατὰ τόνους, κατὰ
738b χρόνους, κατὰ πνεύματα, κατὰ πάθη. Ἔςτιν οὖν ἀνάγνωςις ἡ ςυντετριμμένη καὶ ςυνήθης καὶ δεδοκιμαςμένη προφορὰ τῶν ἀναγινωςκομένων κατὰ τέχνην· ἡ γὰρ παρὰ τέχνην οὐκ ἀνάγνωςις, ἀλλ' ἀγνωςία.

Δεύτερον ἐξήγηςις κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους.] «Ἐνυπάρχοντας» τοὺς ὄντας καὶ ἐγκειμένους. «Ποιητικούς» τοὺς μάλιςτα ποιηταῖς ἁρμόζοντας. «Τρόπους» τοὺς τρέποντας ἡμᾶς ἀπὸ τοῦ προςδοκωμένου εἰς ἀπροςδόκητον. Οἷον τί; Ὡς τὸ ⟨ι 481⟩ κορυφὴ ὄρεος μεγάλοιο· ὁ γὰρ ἀκούςας τὸ κορυφή ὑπονοεῖ περί τινος ἐμψύχου εἰρῆςθαι· ὁ δὲ ἐπιφέρει ὄρεος καὶ ἔτρεψε τὸν ἀκούςαντα, ὡς προείρηται, ἀπὸ τοῦ προςδοκωμένου εἰς ἀπροςδόκητον, ἀπὸ ἐμψύχου εἰς ἄψυχον· ὁμοίως καὶ τὸ ⟨Υ 59⟩ πάντες δ' ἐςςείοντο πόδες πολυπίδακος Ἴδης· λεχθὲν γὰρ τὸ πόδες ἔννοιαν παρέςχε τῷ ἀκούςαντι ἐμψύχου ἐπιφορᾶς, ὁ δὲ τὴν Ἴδην τὸ ὄρος ἐπιφέρει. Καὶ καλεῖται οὗτος ὁ τρόπος μεταφορά· μεταφέρει γὰρ τὰ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα. Ἀνακεφαλαιωςώμεθα οὖν, τί ἐςτι τὸ δεύτερον μέρος τῆς γραμματικῆς· τὸ ἐξηγεῖςθαι κατὰ τοὺς ὄντας καὶ ἐγκειμένους τρόπους τοὺς

---

1 *post* δεῖ *add* ὀβελίςκῳ C, ὀβελίζειν O[d] ‖ 6 προείρηται O[d]V, εἴρηται C ‖ 7 Εἰ οὖν] ἐὰν οὖν Cb, ἐὰν FO[d], καὶ εἰ V ‖ 8 τὰ ἄλλα τρία *om* V | *post* τὰ *add* μὲν C ‖ 9 Καὶ F, τὸ CO[d]V | *post* ἐτμήθη *add* εἰς τρία C ‖ 10 V *add:* τουτέςτιν εἰς τὴν τῶν γλωςςῶν τε καὶ ἱςτοριῶν πρόχειρον ἀπόδοςιν, εἰς τὴν εὕρεςιν τῆς ἐτυμολογίας, καὶ εἰς τὸν τῆς ἀναλογίας ἐκλογιςμόν ‖ 11 *post* Πρῶτον *add* μὲν C | *in contextu add* Διομήδους V, *in marg.* N ‖ 13 πρῶτον FV, καὶ πρῶτον C | μέρος FV, *om* C ‖ 14 ἤτοι V, δέ ἐςτιν ἡ F, *om* C | καὶ δεδοκιμαςμένη V, καὶ δεδοκιμαςμένης C, *om* F ‖ 15 Κατὰ προς. FV, *om* C | τουτ. — κατὰ τέχνην (18) *om* V ‖ 17 καὶ ςυν. F, ἢ ςυν. C ‖ 18 γὰρ CFV, γοῦν b | ἀγνωςία CV, κατάγνωςις μᾶλλον F ‖ 23 ὑπονοεῖ FV, ὑπονοεῖται C ‖ 24 ὁ δὲ ἐπιφ. V, ὅτε δὲ ἐπιφ. F, ὁ δὲ ὑποφ. C ‖ 25 προείρ. CFV, εἴρηται b ‖ 26 δ' ἐςςείοντο] δ' ἐςίοντο F, ςείοντο CV ‖ 30 ἀνακεφαλαιωςώ(-ό- C)μεθα CFV, ἀνακεφαλαιώςωμεν b | δεύτερον FVb, *om* C ‖ 31 τοὺς (*poster.*) FV, καὶ Cb

μάλιστα ποιηταῖς ἁρμόζοντας. Διὰ τί δὲ εἴπομεν «μάλιστα»; Ἐπειδὴ ἐνί που ἢ δύο ἐξ αὐτῶν, φημὶ δὲ τῶν τρόπων, κέχρηνται οἱ ῥήτορες. Ποίῳ; Ὡς τῇ εἰρωνείᾳ. Τί δέ ἐστιν εἰρωνεία; Ὅταν ἐπιγελῶν τις ἀντὶ 739 b τοῦ δεῖξαι φανερῶς ὅτι ψέγει αὐτόν, δοκῇ τοῖς λόγοις ἐπαινεῖν, ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν πολλάκις πρὸς ἐχθρόν «καλὲ ἄνθρωπε, παῦσαι»· ὥσπερ καὶ ὁ ποιητὴς ⟨N 374 seqq.⟩ εἰσάγει τὸν Ὀθρυονέα μετὰ τὸ φονευθῆναι καταγελώμενον ὑπὸ τοῦ Ἰδομενέως. Ταύτῃ οὖν τῇ εἰρωνείᾳ κέχρηνται οἱ ῥήτορες· ἄλλοις δὲ τρόποις οὐκ ἐφικτὸν αὐτοῖς κεχρῆσθαι, εἰ μὴ ἄρα προστάξωσι «κατὰ τὴν ποίησιν, κάθ' Ὅμηρον». Εἰσὶ δὲ τρόποι πολλοί· καὶ οἱ μέν φασιν αὐτοὺς εἶναι ιη', οἱ δὲ κδ', οἱ δὲ κη', οἱ δὲ λβ'. Οἱ αὐτοὶ δέ εἰσιν· οἱ γὰρ δυσχερέστεροι αὐτῶν τέμνονται εἰς πλείονας, ὥσπερ τὸ διορθωτικὸν ἐτμήθη εἰς τρία.

Τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις.] «Γλωσσῶν» τῶν γλωσσηματικῶν λέξεων ἢ τῶν διαλέκτων. Διάλεκτοι δέ εἰσι πέντε, Ἀτθίς, Δωρίς, Αἰολίς, Ἰὰς καὶ κοινή· καὶ Ἀτθὶς ἡ τῶν Ἀθηναίων, Δωρὶς ἡ τῶν Δωριέων, Αἰολὶς ἡ τῶν Αἰολέων, Ἰὰς ἡ τῶν Ἰώνων, κοινὴ ᾗ πάντες χρῶνται. Γλωσσηματικαὶ δὲ λέξεις εἰσὶν αἱ ἐπιχωριάζουσαι, τουτέστιν αἱ καθ' ἑκάστην χώραν ἢ καὶ πόλιν ἴδιαί τινες λέξεις. «Ἱστοριῶν» δὲ τῶν διηγημάτων· «πρόχειρος» ἕτοιμος· «ἀπόδοσις» ἀπόκρισις. Τὸ τρίτον οὖν μέρος τῆς γραμματικῆς ἐστι τῶν γλωσσηματικῶν λέξεων καὶ τῶν διηγημάτων ἡ ἕτοιμος ἀπόκρισις. Ἰδοὺ τοῦτο τὸ ἓν μέρος ἐστὶ τοῦ διορθωτικοῦ.

Τέταρτον ἐτυμολογίας εὕρεσις.] Ἐτυμολογία ἐστὶν ἡ ἀνάπτυ- 740,7 b ξις τῶν λέξεων, δι' ἧς τὸ ἀληθὲς σαφηνίζεται· ἔτυμον γὰρ λέγεται τὸ ἀληθές, τῆς τυ̅ συλλαβῆς διὰ τοῦ υ̅ μόνου γραφομένης καὶ οὐ διὰ τῆς οι̅ διφθόγγου. Ἐτυμολογία οὖν, ὡς ἂν τις εἴποι ἀληθολογία· οὐ γὰρ ὡς ἔτυχεν ἐξ ἀρχῆς αἱ Ἑλληνικαὶ λέξεις ἐπετέθησαν ἑκάστῳ πράγματι, ἀλλὰ διὰ τὸ τὸν νοῦν ἀναπτύσσοντας ἐξευρίσκειν, χάριν τίνος τόδε τι τοιῶσδε λέγεται· ὡς εἴ τις ἔροιτό με, βλέφαρον διὰ τί εἴρηται, τρέψας τὸ φ̅ εἰς π̅ καὶ διαστείλας τὴν λέξιν εὗρον, ὅτι διὰ τοῦτο λέγεται βλέ-

---

2 δύο FV, δευτέρῳ C ‖ **4** δοκῇ b, δοκεῖ CFV ‖ **5** καὶ *add* V ‖ **7** οὖν FN, γοῦν V, *om* C ‖ **9** ἄρα CFV, *om* b | προστάξωσι C, προτάξωσι F, προτάξουσι V | τὴν C, *om* FV | *post* Ὅμηρον *add* V: οὐκ ἐξὸν δὲ ἄλλοις κεχρῆσθαι, ἐπειδὴ ἀρετὴ ῥητορικῆς ἡ σαφήνεια, οἱ δὲ τρόποι τὸ ἀσαφὲς παράγουσιν ‖ **11** δυσχερέστεροι FV, δυσχερέστατοι C ‖ **13** Διομήδους *add in contextu* V, *in marg.* N ‖ **14** γλωσσημαντικῶν CFV ‖ **15** Ἀτθίς — χρῶνται (17) *om* V | Ἰὰς *ante* Ἀτθίς *transp.* C | καὶ (*ante* κ.) *om* C | καὶ Ἀτθὶς — κοινὴ (17) *om* C ‖ **17** γλωσσημαντικαὶ CFV ‖ **18** καὶ *add* F ‖ **20** ἀπόκρισις F, κρίσις C, ἀπόκρισις καὶ ἀπολογία V | Τὸ — ἀπόκρ. (21) *om* V | Τὸ C, *om* F, τί b | γλωσσημαντικῶν CF ‖ **21** *post* λέξεων *add* καὶ διαλέκτων F | τὸ CV, *om* F ‖ **22** ἐστὶ C, *om* FV ‖ **26** οὖν *add* F | ἄν τις CFV, ἂν εἴ τις b | ἀληθολογία FV, ἀληθινολογία C ‖ **28** ἀναπτύσσοντας ἐξευρίσκειν C, ἀποπτύσσοντας εὑρίσκειν F, ἀναπτύσσοντας εὑρίσκειν V ‖ **29** τοιῶσδε FV, καὶ πῶς δὲ C | *post* λέγεται *add* τὸ (τὸ *om* C) τέταρτον οὖν μέρος τῆς γραμματικῆς ἐστιν CV ‖ **30** π̅ FV, τὸ π̅ C | εὗρον CF, εὕρω V; *item p. 15, 2*

φαρον, διότι αἰρομένου αὐτοῦ ἐπὶ τὰ ἄνω βλέπομεν, οἱονεὶ βλεπέαρον, ἆρον καὶ βλέπε· ἢ μηδὲ τρέψαϲ τι, διαϲτείλαϲ δὲ μόνον τὴν λέξιν, εὗρον ὅτι ὡϲανεὶ φᾶροϲ, ὅπερ περιβόλαιόν ἐϲτι, τοῦ βλέμματοϲ ἡμῶν. Πάλιν εἴ τιϲ ἔροιτό με, γλῶϲϲα διὰ τί λέγεται, τρέψαϲ τὸ λ̄ εἰϲ ν̄ καὶ τὸ δεύτερον ϲ̄ εἰϲ τ̄ φημὶ γνῶϲτα, ἡ γνωϲτὰ τὰ ἐν τῷ νῷ τοῖϲ ἀκούουϲι ποιοῦϲα· οὐ γὰρ δι' ἑτέρου μέρουϲ ϲωματικοῦ γινώϲκομεν τὴν ἑκάϲτου ἔννοιαν. Πάλιν εἴ τιϲ ἔροιτό με, ὀδόντεϲ διὰ τί λέγονται, τρέψαϲ τὸ ō εἰϲ ē εὗρον ὡϲανεὶ οἱ ἔδοντεϲ, τουτέϲτιν οἱ ἐϲθίοντεϲ· δι' αὐτῶν γὰρ ἐϲθίομεν. Καὶ τοῦτο δὲ τοίνυν τέταρτον μέροϲ τῆϲ γραμματικῆϲ, ἄλλο δ' ἓν μέροϲ ἐϲτὶ τοῦ διορθωτικοῦ.

741,6b Πέμπτον ἀναλογίαϲ ἐκλογιϲμόϲ.] Ἀναλογία λέγεται ἡ τῶν
175v ὁμοίων παράθεϲιϲ· «ἐκλογιϲμόϲ» ἡ ἀκρίβεια. Τὸ οὖν πέμπτον μέροϲ ἐϲτὶν ἡ ἀκριβὴϲ τῶν ὁμοίων παράθεϲιϲ, δι' ἧϲ ϲυνίϲτανται οἱ κανόνεϲ τῶν γραμματικῶν, ὥϲπερ ὅτε ζητοῦμεν, τίνοϲ ἕνεκεν ὁ Ὅμηροϲ τοῦ Ὁμήρου καὶ ὁ φίλοϲ τοῦ φίλου, τὸ βέλοϲ δὲ τοῦ βέλουϲ· ἀκριβῶϲ οὖν ζητήϲαϲ εὗρον εἶναι τὸν κανόνα τοιοῦτον, ὅτι πάντα τὰ εἰϲ ο̄ϲ̄ ἀρϲενικὰ καὶ θηλυκὰ εἰϲ ο̄ῡ ποιεῖ τὴν γενικήν, οἷον Ἀλέξανδροϲ Ἀλεξάνδρου, καλόϲ καλοῦ, παρθένοϲ παρθένου, ἄμπελοϲ ἀμπέλου, Ϲάμοϲ Ϲάμου, τὰ δὲ οὐδέτερα εἰϲ ο̄ϲ̄ λήγοντα εἰϲ ο̄ῡϲ̄ ποιεῖ τὴν γενικήν, οἷον μέροϲ μέρουϲ, ὄξοϲ ὄξουϲ, ὄροϲ ὄρουϲ· οὕτωϲ οὖν καὶ βέλοϲ βέλουϲ. Ἐπὶ πάντων οὖν τῶν ὀνομάτων καὶ τῶν ῥημάτων καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου ἀκριβῶϲ ζητοῦντεϲ καὶ τὰ ὅμοια τοῖϲ ὁμοίοιϲ παρατιθέμενοι τοὺϲ κανόναϲ ἀϲφαλῶϲ ἀποφαινόμεθα. Τοῦτό ἐϲτι τὸ πέμπτον μέροϲ τῆϲ γραμματικῆϲ. Ἰδοὺ ϲυμπεπλήρωται τὸ διορθωτικόν, ὡϲ προείρηται ἄνω τμηθὲν εἰϲ τρία, ἅ εἰϲι τὰ νῦν τρίτον, τέταρτον, πέμπτον.

741,33b Ἕκτον κρίϲιϲ ποιημάτων.] «Κρίϲιϲ ποιημάτων» τὸ κρίνειν τὰ
742b ἐμμέτρωϲ γεγραμμένα, τουτέϲτι τὰ ποιήματα, εἴτε δεόντωϲ εἴτε μὴ δεόντωϲ, εἴτε καλῶϲ εἴτε φαύλωϲ κεῖται ἐν τῷδε τῷ τόπῳ ἢ ἐν τῷδε, καὶ τὰϲ τούτων αἰτίαϲ εἰδέναι καὶ ἀποφαίνεϲθαι· ὃ δὴ κάλλιϲτόν ἐϲτι πάντων τῶν ἐν τῇ τέχνῃ· εἰ γὰρ μὴ προοῖδέ τιϲ τὰ προλεχθέντα μέρη τῆϲ γραμματικῆϲ, τὸ ἔργον τοῦ κριτικοῦ ποιεῖν οὐ δύναται. Διὸ καὶ ὁ Διονύϲιοϲ προετίμηϲε τοῦτο τὸ μέροϲ τῶν ἄλλων· τινὲϲ δέ φαϲιν,

---

1 οἱονεὶ FV, οἷον C ‖ 2 βλέπε FV, βλέπειϲ C ‖ 3 ἡμῶν FV, *om* C ‖ 4 ν̄ FV, τὸ ν̄ C ‖ 5 τ̄ FV, τὸ τ̄ C | γνῶϲτα F, οὕτωϲ CV | τὰ FV, *om* C ‖ 6 *post* ποιοῦϲα *add* τὰ λεγόμενα CV ‖ 7 Πάλιν — ἀκρίβ. (12) *om* V ‖ 8 ē F, τὸ ē C ‖ 9 τοίνυν F, νῦν C | τῆϲ — μέροϲ (10) *om* F ‖ 11 Πέμπτον — Ἀναλογία F, *om* C ‖ 12 ἐκλογ. — παράθεϲιϲ (13) *om* F ‖ 14 τῶν γραμμ. CFN, *om* V ‖ 15 οὖν F, δὲ C, δὴ V ‖ 16 ζητήϲαϲ εὗρον CF, ζητήϲαντεϲ εὕρομεν V ‖ 17 οἷον *add* F; *item v. 19* ‖ 19 εἰϲ ο̄ῡϲ̄ FV, μετὰ τοῦ ϲ̄ C ‖ 21 ἄλλων FV, *om* C ‖ 24 ἄνω F, γὰρ ἄνω C, *om* V; *cfr p. 13, 10* ‖ 25 ἅ εἰϲι τανῦν V, εἰϲὶ τὰ νῦν C, ἔϲτι δὲ F | V *add*: χρήϲιμοϲ δὲ ἡ ἀναλογία, ὅτι τὸ ἐκτετραμμένον εἰϲ τὸ εὖ ἔχειν ἀποκαθίϲτηϲιν ‖ 29 αἰτίαϲ F, ἰδέαϲ C | ὃ — τέχνῃ (30) F, *om* C ‖ 30 προοῖδε b, προεῖδε C, προείδοι F ‖ 31 Διὸ — εἶναι (16, 2) F, *om* C

ὅτι κριτὴς ὢν ὁ Διονύσιος τούτου ἕνεκεν τῶν ἄλλων μερῶν τοῦτό φησι κάλλιστον εἶναι.

§ 2.

Περὶ ἀναγνώσεως.

Ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος 743,22b
προφορά.] «Ποιημάτων» τῶν ἐμμέτρως γεγραμμένων· «συγγραμμάτων»
τῶν ἀμέτρως γεγραμμένων· «ἀδιάπτωτος» ἄπταιστος· «προφορά» προένεξις. Ὅρος τῆς ἀναγνώσεώς ἐστιν οὗτος· τῶν ἐμμέτρως καὶ ἀμέτρως γεγραμμένων ἡ ἄπταιστος προένεξις καλλίστη ἐστὶν ἀνάγνωσις. Μετὰ δὲ τὸν ὅρον τῆς ἀναγνώσεως λοιπὸν θέλει ἡμᾶς διδάξαι, τίνα παρα-
φυλαττόμενοι ἢ πόσα τὴν ἀρίστην ἀνάγνωσιν ποιησόμεθα. 30

«Ἀναγνωστέον» δὲ δεῖ ἀναγινώσκειν· «καθ᾽ ὑπόκρισιν» κατὰ μίμη-
σιν· «κατὰ προσῳδίαν» κατὰ τέχνην, τουτέστι κατὰ τόνους, χρόνους, 744,12b
πνεύματα, πάθη· «κατὰ διαστολήν» κατὰ στιγμήν. Ταῦτα τὰ τρία δεῖ 18 25
καλῶς παραφυλάττεσθαι τὸν ἁρμονίως ἀναγινώσκειν φιλοπονοῦντα, μίμησιν, τέχνην, στιγμήν. Τί δὲ ἐξ ἑκάστου τούτων ὠφελούμεθα; Αὐτὸς ἐπιφέρει.

Ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετήν.] Ἐν τοῖς μετὰ τοῦτο
ἐπιφέρει τὸ «ὁρῶμεν» τὸ ἐνταῦθα λεῖπον· κατὰ κοινοῦ γὰρ ἐπὶ τῶν 30
τριῶν τούτων τὸ «ὁρῶμεν» δεῖ δέξασθαι. Τίνος δὲ τὴν ἀρετὴν ὁρῶμεν; Τῶν ἀναγινωσκομένων· ἐκ τῆς μιμήσεως γὰρ ἐνάρετα γίνεται καὶ δείκνυται τὰ ἀναγινωσκόμενα. Δεῖ γὰρ τὰ μὲν ἡρωϊκὰ συντόνῳ τῇ φωνῇ
ἀναγινώσκειν καὶ μὴ ἐκλελυμένῃ, τὰ δὲ βιωτικά, τουτέστι τὰ κωμικά, ὡς 745b
ἐν τῷ βίῳ, τουτέστι μιμουμένους γυναῖκας νέας ἢ γραΐδας ἢ δεδοικότας ἢ ὀργιζομένους ἄνδρας, ἢ ὅσα πρέπει τοῖς εἰσαγομένοις προσώποις παρὰ Μενάνδρῳ ἢ Ἀριστοφάνει ἢ τοῖς ἄλλοις κωμικοῖς.

Ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην.] Καὶ ἐνταῦθα κατὰ κοινοῦ, ὡς προείρηται, τὸ «ὁρῶμεν» δεῖ ἐκδέξασθαι. Τίνος δὲ τὴν τέχνην ὁρῶμεν; Δῆλον ὅτι τοῦ ἀναγινώσκοντος· ἐκ γὰρ τοῦ παραφυλάττεσθαι τόνους, χρόνους, πνεύματα, πάθη ἐν τῷ ἀναγινώσκειν τὴν τέχνην ὁρῶμεν τοῦ ἀναγινώσκοντος.

Ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν.] Ἀποδέδωκεν ἐνταῦθα τὸ «ὁρῶμεν», ὅπερ προείπομεν ἐπὶ τῶν δύο λεί-

---

17—17, 8] excerpta ex his hab. et. Σ^m

5 *in marg.* Μελάμποδος C ‖ **6** ἄπταιστος F, ἀδιάπταιστος Vb, *om* C ‖ **7** Ὅρος — ποιησ. (10) *om* F ‖ **10** ποιησόμεθα Vb, ποιησώμεθα C ‖ **13** στιγμήν C, στιγμάς F ‖ **14** καλῶς — φιλοπον. F, παραφυλάττειν τὸν θέλοντα ἀναγινώσκειν καλῶς κατὰ C ‖ **15** ἑκάστου F, ἑκάστων C ‖ **17—20** (ἀναγινωσκ.) *om* F | τοῖς b, οἷς C ‖ **20** *ante* Τῶν *add* V: τοῦ ποιητοῦ δηλονότι καὶ | γίν. καὶ F, *om* C ‖ **22** τὰ δὲ κωμ. τουτ. τὰ βιωτ. V ‖ **23** ἢ δεδοικότας *et* **24** ἄνδρας F, *om* C ‖ **24** εἰσαγομένοις F, ἐναγομένοις C ‖ **27** τὸ F, *om* C | προείρηται] *vide v. 18* ‖ **28** Δῆλον ὅτι F, *om* C | γὰρ τοῦ F, τοῦ γὰρ C ‖ **32** Ἀποδ. — προκειμ. (17, 1) *om* F | προείπωμεν C, προειρήκαμεν b; *cfr v. 18 et 26*

πειν τῶν προκειμένων. Διαστολὴ δὲ λέγεται ἡ στιγμὴ ἡ διαστέλλουσα καὶ διαχωρίζουσα ἢ λέξεις ἀπὸ τῶν ἐπιφερομένων λέξεων ἢ στοιχεῖα ἀπὸ τῶν στοιχείων. «Τὸν περιεχόμενον νοῦν ὁρῶμεν», τὸν ὄντα καὶ ἐγκείμενον νοῦν ἐν τοῖς ἀναγινωσκομένοις, διὰ τῆς στιγμῆς, ὡς ἐπὶ παραδείγματος εἰπὼν τὸ ЄСТІΝΑΞΙΟС, ⟨ἐὰν⟩ μὴ τὸ Ν μεταξὺ τοῦ ЄСТІ-ΝΑΞΙΟС διαστείλας καὶ διαχωρίσας προσνείμῃ ἢ τῷ ЄСТІ ἢ τῷ ΑΞΙΟС, οὐ ποιεῖ τὸ λεγόμενον φανερὸν τοῖς ἀκούουσιν· δύο γάρ τινα νοεῖται, ἢ τὸ ἄξιός ἐστι τοῦ δεῖνος ὁ δεῖνα, ἢ ἀπὸ τῆς νήσου ἐστὶ τῆς Νάξου. Ὡς προείρηται οὖν, ἢ τὸ Ν προσνείμας τῇ δευτέρᾳ λέξει καὶ εἰς τὸ Ι τῆς προτέρας λέξεως ὑποστίξας τι διαστελεῖ, ἢ τὸ Ν προσνείμας τῇ προτέρᾳ λέξει καὶ εἰς αὐτὸ τὸ Ν ὑποστίξας τί ποτε διαστελεῖ, καὶ τὴν δευτέραν λέξιν ἀπὸ τοῦ Α προφερόμενος σαφὲς ποιήσει τὸ λεγόμενον. Ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ЄСТІΝΟΥС, ἢ ὅτι νοῦς ἐστιν, ἢ οὖς ἐστιν.

Εἰπὼν τὰ τρία τὰ διδάσκοντα ἡμᾶς καλῶς ἀναγινώσκειν, ὑπόκρισιν, τέχνην, στιγμήν, διαλαμβάνει πρῶτον περὶ τῆς διαφορᾶς τῆς ὑποκρίσεως·
746 b 178 v καί φησιν «ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν.» Τραγῳδία λέγεται τὰ τῶν τραγικῶν ποιήματα, ὡς τὰ τοῦ Εὐριπίδου καὶ Σοφοκλέους καὶ Αἰσχύλου καὶ τῶν τοιούτων· γεγόνασι δὲ οὗτοι ἐπὶ τῶν χρόνων τῶν Ἀθηναίων. Λογικοὶ δὲ ὄντες οὗτοι καὶ θέλοντες ὠφελεῖν κοινῇ τοὺς τῆς πόλεως, λαμβάνοντές τινας ἀρχαίας ἱστορίας τῶν ἡρώων ἐχούσας πάθη τινά, ἔσθ' ὅτε καὶ θανάτους καὶ θρήνους, ἐν θεάτρῳ ταῦτα ἐπεδείκνυντο τοῖς ὁρῶσι καὶ ἀκούουσιν, ἐνδεικνύμενοι παραφυλάττεσθαι τὸ μὴ ἁμαρτάνειν· εἰ γὰρ οἱ τηλικοῦτοι ἥρωες τοιαῦτα ἔπασχον, δηλονότι ἁμαρτημάτων αὐτοῖς προϋπηργμένων, πόσῳ μᾶλλον ἡμεῖς καὶ οἱ καθ' ἡμᾶς ἄνθρωποι ἁμαρτήσαντες πεισόμεθα; δεῖ οὖν, ὡς προείρηται, ὡς οἷόν τε βίον ἀναμάρτητον καὶ φιλοσοφώτατον μεταδιώκειν. Ἐπ' ὠφελείᾳ οὖν τῶν πολιτῶν ἡ τῶν τραγικῶν ποίησις ἐπὶ θεάτρου εἰσήγετο. Ἐπιδεικνύμενοι δὲ τῶν ἡρώων ὡσανεὶ τὰ αὐτῶν πρόσωπα πρῶτον μὲν ἐπελέγοντο ἄνδρας τοὺς μείζονα φωνὴν ἔχοντας καὶ τῷ ὄγκῳ τῆς φωνῆς μιμεῖσθαι δυναμένους τοὺς ἥρωας· δεύτερον δὲ βουλόμενοι καὶ τὰ σώματα δεικνύειν ἡρωϊκά, ἐμβάδας ἐφόρουν καὶ ἱμάτια ποδήρη. Ταύτην οὖν τὴν τραγῳδίαν φησὶν ὁ τεχνικὸς δεῖν ἡρωϊκῶς ἀναγινώσκειν, τουτέστι μεγάλῃ τῇ φωνῇ μετὰ πολλῆς σεμνότητος καὶ ὄγκου· δεῖ γὰρ

16—21, 29 hab. et. O^d | 16—20, 12 simillima hab. et. Σ^m Σ^1

3 τὸν ὄντα — φησιν (16) *om* F ‖ 5 ἐὰν *add* b ‖ 7 τὸ b, τὸν C | φανερὸν *add* V ‖ 9 δευτέρᾳ b, προτέρᾳ C ‖ 10 διαστελεῖ b, διαστείλῃ C ‖ 11 διαστίλει C ‖ 14 Εἰπὼν b, εἰπόντα C ‖ 16 *in marg. add* Διομήδους N ‖ 19 Λογ. — οὗτοι *om* VΣ^1 | Λογικοὶ F, τραγικοὶ CO^d | οὗτοι F, *om* CO^d ‖ 23 τὸ μὴ F, τοῦ CO^dΣ^1, τὸ Vb | τοιαῦτα CO^dVΣ^1, τοσαῦτα F ‖ 24 ἁμαρτ. — προϋπ. F, ἁμαρτήσαντες CO^dVΣ^1 | καὶ — μὲν (29) *om* Σ^1 ‖ 25 ἄνθρωποι FO^dV, *om* C ‖ 27 ἐπὶ θεάτρου *add* F ‖ 28 Ἐπιδεικ. — ποδήρη (31) *om* F ‖ 29 καὶ — ἥρωας (30) *add* Σ^1 ‖ 31 ἐμβάδας V, ἐμβάτας CO^dΣ^1 ‖ 32 φ. δεῖν ὁ τεχν. CO^dV, φ. δεῖν F, κελεύει Σ^1 ‖ 33 μετὰ — ὑπερβ. (18, 2) V, οὐχ ὅτι ἡρώων περιέχει πρόσωπα, ἐπεὶ καὶ ἐν κωμῳδίᾳ, ὡς οἱ Βάτραχοι Ἀριστοφάνους, ἀλλὰ γε-

ἡμᾶς τὰ τραγικὰ προφερομένους μιμεῖσθαι πάντα τρόπον τοὺς ἥρωας, καὶ μεγέθει σώματος καὶ λόγων ὑπερβολῇ.

Ἡ δὲ ἐτυμολογία τῆς τραγῳδίας ἐστὶν αὕτη· ἢ ὅτι τράγον ἐλάμβανον ἔπαθλον οἱ νικῶντες, οἱονεὶ ἡ ἐπὶ τράγῳ ᾠδή· ἢ ὅτι τοῦ ᾱ τρεπομένου εἰς ῡ νοεῖται τρυγῳδία, τὰς ὄψεις γὰρ περιχρίοντες τρυγίᾳ ᾖδον· ἢ ὅτι τοῦ γ̄ τρεπομένου εἰς χ̄ νοεῖται τραχῳδία, ἡ τραχεῖα ᾠδή· τραχύτερον γὰρ καὶ φευκταῖον καὶ δύσβατον τὸ τῶν θρήνων εἶδος τοῦ γελωτοποιεῖν· ἢ οἱονεὶ τετραγωνῳδία· οἱ γὰρ χορευταὶ αὐτῶν ἐν τετραγώνῳ σχήματι ἱστάμενοι τὰ τῶν τραγικῶν ἐπεδείκνυντο. Ἦσαν δὲ
τῶν μὲν τραγικῶν χορευταὶ ιδʹ, τῶν δὲ κωμικῶν κδʹ· ἕκαστος οὖν ποιη- 30
τὴς τραγικὸς καὶ κωμικὸς εἶχε τούτους προεκμανθάνοντας τὰ αὐτοῦ καὶ τρεφομένους ἀπὸ τοῦ δημοσίου.

Τὴν δὲ κωμῳδίαν βιωτικῶς.] Κωμῳδία λέγεται τὰ τῶν κωμι- 747,25
κῶν ποιήματα, ὡς τὰ τοῦ Μενάνδρου καὶ Ἀριστοφάνους καὶ Κρατίνου καὶ τῶν ὁμοίων. Ἐφευρέθη δὲ ἡ κωμῳδία, ὥς φασιν, ἔκ τινος τοιαύτης αἰτίας. Βλαπτόμενοί τινες γεωργοὶ παρὰ τῶν πολιτῶν τῶν ἐν
Ἀθήναις καὶ θέλοντες ἐλέγχειν αὐτούς, κατῄεσαν ἐν τῇ πόλει, καὶ περὶ 30
τὸν καιρὸν τοῦ καθεύδειν περιιόντες τὰς ἀγυιάς, ἔνθα ἔμενον οἱ βλάπτοντες αὐτούς, ἔλεγον ἀνωνύμως τὰς βλάβας, ἃς ἔπασχον ὑπ' αὐτῶν·
ἵνα δὲ σαφέστερον εἴπωμεν, τοιαῦτά τινα ἐβόων, «ἐνταῦθα μένει τις 748b
τάδε καὶ τάδε τισὶ ποιῶν τῶν γεωργῶν, καὶ οὐ μετρίας βλάβας ἐπιφέρων αὐτοῖς»· ὥστε τοὺς γειτνιῶντας ἀκούοντας ἡμέρας γινομένης πρὸς ἀλλήλους λέγειν ἅτινα νύκτωρ παρὰ τῶν γεωργῶν ἤκουσαν — ἐπονείδιστον δὲ ἦν τῷ ἀδικοῦντι — τὸν δὲ ἐμφανιζόμενον τοῖς τῆς πόλεως αἰδεῖσθαι καὶ παύεσθαι τῆς τοιαύτης ἀδικίας. Τούτοις πολλάκις παρακολουθήσαντες ἄλλοι πολλοὺς τῶν ἀδικούντων ἀνέστειλαν· ὅθεν
τοῖς τῆς πόλεως ἔδοξεν ἐπ' ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν κωμι- 10
κῶν, καὶ ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεάτρου τοῦτο ποιεῖν· οἱ δὲ αἰδούμενοι, μᾶλλον δὲ φοβούμενοι, τρυγίᾳ περιχρίοντες αὐτῶν τὰς

γωνότερον ἀναφθέγγεσθαι, ὑπερπλησσομένους τῶν ὑποκειμένων κακῶν τὴν ὑπερβολήν Σ^1, *om* C F O^d

4 ἢ ὅτι — ᾖδον (6) *add* V ‖ 6 γ̄ τρ. εἰς χ̄ C F O^d V, χ̄ τρ. εἰς γ̄ Σ^1 ‖ 7 καὶ φευκτ. *om* Σ^1 | φευκταῖον C, φευκτέον F O^d, φευκτίον V ‖ 8 τετραγωνῳδία C V, τετραγῳδία Σ^1, τραγῳδία F, τετραγωνώδης τις οὖσα O^d ‖ 10 οὖν ὁ ποι. C ‖ 11 αὐτοῦ F O^d V Σ^1, ἑαυτοῦ C ‖ 12 τρεφομένους C O^d V Σ^1, στεφάνους F | V *add:* τραγικοὶ δὲ εἴρηνται, ἐπειδὴ θύοντες τῷ Διονύσῳ τράγον ἐπάνω τράγου ἐσφαγμένον προσέφερον ‖ 13 Κωμῳδία — ὁμοίων (15)] Κωμῳδία ἐστὶ μίμησις πράξεως καθαρτικὴ παθημάτων τοῦ βίου, συστατικὴ διὰ γέλωτος καὶ ᾠδῆς Σ^1 ‖ 16 τῶν ἐν Ἀθ. *om* Σ^1 ‖ 17 Ἀθήναις F V, Ἀθήνησι C O^d | περὶ F O^d V Σ^1, παρὰ C ‖ 18 *ante* τὰς *add* περὶ C | ἔνθα — αὐτούς (19) F V, *om* C O^d Σ^1 ‖ 19 ἀνωνύμως F V, ἀνωνυμεὶ C, ἀνωνυμὶ O^d, ἀνων(-ον-E)ομάστως Σ^1 ‖ 22 ὥστε — ἐμφαν. (24)] ὡς τοὺς γειτνιῶντας ἐπονείδιστον ποιεῖν τὸν ἀδικοῦντα, τὸν δὲ ἐμφανῆ γενόμενον F ‖ 25 Τούτοις — ἀνδράσιν (19, 3) *om* F | *post* Τούτοις *add* πολλοὶ V ‖ 26 ἄλλοι πολλοὺς b, πολλοὶ C O^d Σ^1, πολλοὺς V ‖ 29 τρυγίᾳ C, τρυγὶ O^d V Σ^1

ὄψεις οὕτως εἰσῄεσαν. Καὶ ἔτι μᾶλλον κατηγορουμένων καὶ ἐλεγχομέ-
νων τῶν ἀδικούντων ἐπὶ θεάτρου, ἀνοχὴ τῶν ἀδικιῶν ἐγένετο, τῆς αἰ-
δοῦς ἔτι συνοικούσης τοῖς ἀνδράσιν· ἔδοξεν οὖν τοῖς τῆς πόλεως τὸ
315,29 c ἐγχείρημα καλὸν ὑπάρχειν, καὶ λογίους ἄνδρας αὐτὸ μετιέναι. Πρῶτος
οὖν Σουσαρίων τις τῆς ἐμμέτρου κωμῳδίας ἀρχηγὸς ἐγένετο, οὗ τὰ μὲν
20 δράματα λήθη κατέλαβε, δύο δὲ ἢ τρεῖς ἴαμβοι τοῦ πρώτου δράματος
αὐτοῦ ἐπὶ μνήμῃ φέρονται· εἰσὶ δὲ οὗτοι ⟨fragm. 1 K⟩

ἀκούετε, λεώς· Σουσαρίων λέγει τάδε,
316 c υἱὸς Φιλίνου, Μεγαρόθεν, Τριποδίσκιος·
κακὸν γυναῖκες· ἀλλ᾽ ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

Ἀρχὴν οὖν δεξαμένου τοῦ πράγματος πολλοὶ γεγόνασι κωμῳδοί, δια-
κωμῳδοῦντες καὶ ἐλέγχοντες τοὺς κακῶς βιοῦντας καὶ τοὺς ταῖς ἀδικίαις
χαίροντας, ἀναστέλλοντες τὰς ἀκαίρους καὶ ἀδίκους αὐτῶν πράξεις, καὶ
30 ὠφέλουν κοινῇ τὴν πολιτείαν τῶν Ἀθηναίων. Ἐπειδὴ δὲ τὸ μὲν πα-
ράνομον ἐπὶ τὰ χερείονα νικᾷ, τὸ δὲ καλὸν ταχέως ἀφίπταται τῆς τῶν
ἀνθρώπων πολιτείας, οὐ μετὰ πολὺν χρόνον οἱ ἄρχοντες Ἀθήνησιν
749 b ἤρξαντο κωλύειν τοὺς κωμικοὺς τοῦ φανερῶς οὕτω καὶ ὀνομαστὶ ἐλέγ-
χειν τοὺς ἀδικοῦντας· αὐτοὶ γὰρ θέλοντες ἀδικεῖν καὶ μὴ ἐλέγχεσθαι,
τούτου χάριν ἐπετίμων αὐτοῖς· ὅθεν ὥσπερ αἰνιγματωδῶς καὶ οὐ φανε-
ρῶς ἠλέγχοντο ὑπὸ τῶν κωμικῶν. Ἔτι δὲ ἐπὶ τὸ πλεῖον προϊούσης
καὶ ἐπικρατούσης τῆς κακίας, ἐκωλύθησαν καὶ τοῦ αἰνιγματωδῶς ἐλέγ-
χειν καὶ ὑβρίζειν τοὺς κρατοῦντας καὶ ἄρχοντας τῆς πόλεως. Διὸ καὶ
τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία· καὶ ἡ μὲν καλεῖται παλαιά, ἡ
10 ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα, ἡ δὲ μέση, ἡ αἰνιγματωδῶς, ἡ δὲ νέα, ἡ
μηδ᾽ ὅλως τοῦτο ποιοῦσα πλὴν ἐπὶ δούλων ἢ ξένων. Καὶ τῆς μὲν πα-

---

1 κατηρογ. καὶ *add* V ‖ 4 λογίους CO^dVΣ^1, λογικοὺς F | Πρῶτος FV Σ^1, πρῶτον CO^d ‖ 5 Σουσαρίων FO^dVΣ^1, σουδαρίων Cb; *item v. 8* | ἐμμέτρου CO^dVΣ^1, ἐμψύχου F ‖ 6 λήθη κατέλαβε F, λήθῃ κατενεμήθη CV, λήθῃ κατανεμήθησαν O^d, οὐ φέρεται Σ^1 | τοῦ — φέρονται (7) *om* Σ^1 | πρώτου C, *om* FO^dV ‖ 7 αὐτοῦ FV, *om* CO^d | μνήμῃ CO^d, μνήμης F, μνήμην V ‖ 8 λεώς Σ^1, λέως F, λέξεως O^dV, λέξεως λεώς C | λέγει τάδε b, τάδε λέγει CFO^dVΣ^1 ‖ 9 φιλίνου C$O^d$$\Sigma^1$, φιλοίνου V, φιλήνης F | γεγαρόθου O^d | τριποδίσκιος VΣ^1, τριποσδόσκιος C, τριποδίσκος O^d, τρίποδος κίων F ‖ 12 δεξαμένου τοῦ πράγ. CO^dVΣ^1, δεξάμενοι τοῦ δράματος F | κωμῳδοὶ CO^dVΣ^1, κωμικοὶ F | διακωμ. καὶ *add* V ‖ 14 ἀναστέλλ. — μεμαθ. (20, 6) *om* F ‖ 15 ὠφέλουν CO^dVΣ^1, ὠφελοῦντες b | Ἐπειδὴ — πολιτ. (17) *om* Σ^1 ‖ 16 ἐπὶ CO^d, ἐπίμονόν ἐστι καὶ διηνεκές, ὥς που φησὶ σοφός τις, ἀεὶ V | τῆς — πολιτ. (17) *om* V ‖ 18 τοῦ φαν. O^dVΣ^1, τοῦ μὴ φαν. C ‖ 20 ὅθεν — κωμικῶν (21)] αἰνιγματωδῶς κωμῳδεῖν ἐπιτρέποντες Σ^1 | ὅθεν CO^d, ἔκτοτε V ‖ 21 ἠλέγχοντο ὑπὸ O^dV, ἐλέγχονται ἀπὸ C | ἐπὶ — καὶ ἐπικρ. (22) *om* Σ^1 | τὸ πλεῖον προϊούσης O^d, τὸ πλεῖστον προσιούσης C, πλεῖστον προϊούσης V ‖ 22 καὶ (*ante* τοῦ) $O^d$$\Sigma^1$, *om* CV ‖ 25 ἡ αἰνιγματωδῶς A, ἡ δὲ αἰνιγματώδης E, καὶ αἰνιγματώδης CO^dV | ἡ (*post* νέα) VΣ^1, *om* CO^d

λαιᾶς πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ Κρατῖνος ὁ καὶ πραττόμενος, μετέσχον δέ τινος χρόνου τῆς παλαιᾶς κωμῳδίας Εὔπολίς τε καὶ Ἀριστοφάνης· τῆς δὲ μέσης καὶ αὐτῆς μὲν πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ Πλάτων, οὐχ ὁ φιλόσοφος, ἀλλ' ἕτερός τις· ὁμοίως δὲ κἀκείνου τὰ δράματα οὐ φαίνεται· τῆς δὲ νέας ὁμοίως πολλοὶ γεγόνασιν, ἐπίσημος δὲ ὁ Μένανδρος, ὃς ἄστρον ἐστὶ τῆς νέας κωμῳδίας, ὡς μεμαθήκαμεν.

Εἴρηται δὲ κωμῳδία οἱονεὶ ἡ ἐπὶ τῷ κώματι ᾠδή· καὶ γὰρ περὶ τὸν καιρὸν τοῦ ὕπνου ἐξ ἀρχῆς ἐφευρέθη· κῶμα γὰρ ὁ ὕπνος· ἢ ἡ τῶν κωμῶν ᾠδή· κῶμαι γὰρ λέγονται οἱ μείζονες ἀγροί.

Ταύτην οὖν τὴν κωμῳδίαν δεῖ βιωτικῶς ἀναγινώσκειν, τουτέστιν ὡς ἐν τῷ βίῳ, μιμουμένους τὸ παρεισαγόμενον πρόσωπον καὶ τὴν ἐκείνου σχέσιν ἀναματτομένους.

Τὰ δὲ ἐλεγεῖα λιγυρῶς.] Ἐλεγεῖον ἔμμετρός ἐστι στίχος, ἐλλείπων ἑνὶ ποδὶ τοῦ ἡρωϊκοῦ στίχου, εἰς δύο πενθημιμερῆ τεμνόμενος, οἷον ⟨Callim. fr. 488 Sch⟩ νήϊδες, οἳ Μούσης οὐκ ἐγένοντο φίλοι· οὗ τὸ μὲν πρῶτον τμῆμα ἀδιαφόρως καὶ σπονδεῖον καὶ δάκτυλον ἐπιδέχεται, τῆς [δὲ] μετὰ τοὺς δύο πόδας περιττευούσης συλλαβῆς καὶ τὴν πενθημιμερίδα τομὴν ἀποτερματιζούσης πάντως μακρᾶς οὔσης φύσει ἢ θέσει· 750b τὸ ⟨δὲ⟩ δεύτερον τμῆμα τοὺς μὲν δύο πόδας πάντως δακτύλους θέλει ἔχειν, τὴν δὲ τελευταίαν συλλαβὴν ἀδιάφορον τῷ λόγῳ τῶν μέτρων, ὡς μεμαθήκαμεν· παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή. Τούτῳ οὖν τῷ μέτρῳ πολλοὶ ποιηταί τινα γεγραφήκασιν, ἅτινα καλεῖται ἐπικήδεια· πρὸς γὰρ παραμυθίαν, τοῦ τετελευτηκότος τὰ καλὰ μνημονεύοντες, καὶ τῶν συγγενῶν αὐτοῦ καὶ φίλων τῇ παραινέσει τὴν λύπην ἀναστέλλοντες, τοῦτο τὸ μέτρον ἐπὶ τῆς κηδείας ἔλεγον· διὸ καὶ καλεῖται ἐλεγεῖα, οἱονεὶ ἐλεεῖα, τοῦ γ̅ ἐκθλιβομένου, παρὰ τὸ ἐλεεῖν τὸν τετελευτηκότα· ἢ ἐλεγεῖα οἱονεὶ εὐλεγεῖα, παρὰ τὸ εὖ λέγειν τὸν ἀπο-

---

13—22 hab. et. Σ^m (*in marg. add* Διομήδους καὶ Στεφάνου VN)

1 ὁ καὶ πρ. *om* Σ^1 | πραττόμενος CO^d, πλαττόμενος V | μετέσχον — κωμῳδ. (2) *om* V ‖ **3** καὶ αὐτῆς μὲν πολλοὶ b, καὶ αὐτοὶ μὲν πολλοὶ CO^{d}V, πολλοὶ μὲν καὶ αὐτοὶ Σ^1 ‖ **4** Πλάτων Σ^1, Πλάτων τις CV, τις Πλ. O^d | ἀλλ' ἕτ. — φαίν. (5) *om* Σ^1 | δὲ V, *om* CO^d ‖ **6** ὃς — ἀναματτ. (12) *om* V | ἐστὶ CO^d, κέκληται Σ^1 | ὡς μεμαθ. *om* Σ^1 ‖ **7** οἱονεὶ ἡ Σ^1, οἱονεὶ CO^d, ἢ F | περὶ CO^dΣ^1, παρὰ F ‖ **8** ἐξ ἀρχῆς F, *om* CO^dΣ^1 | κῶμα — ὕπνος CΣ^1, *om* FO^d ‖ **9** κωμῶν F, κωμητῶν CO^dΣ^1 ‖ **11** καὶ — ἀναματτ. (12)] ἢ ὑποβιβάσαντας ὡς ἐν τῷ βίῳ τὴν φωνήν, οἷον ⟨Arist. Ran. 1⟩ εἴπω τι τῶν εἰωθότων, ὦ δέσποτα Σ^1 ‖ **13** ἐλλείπων ἑνὶ ποδὶ CO^{d}V, λειπὼν δύο πόδας F ‖ **14** εἰς — συλλαβή (21) *om* F | πενθημιμερῆ V, πενθημιμερεῖς C, πενθημιμερῶς O^d ‖ **15** νηῖδε ἢ μ. C ‖ **16** ἀδιαφόρως V, διαφόρως CO^d ‖ **20** μέτρων ὡς O^{d}V, μετρικῶν C ‖ **22** μέτρῳ FO^d, τρόπῳ C ‖ **23** καλεῖται FO^d, ἐπικαλεῖται C | *ante* τοῦ *add* τῶν συγγενῶν C, *om* FO^d | τὰ καλὰ F, τῶν καλῶν O^d, τῶν καλῶν τούτου C ‖ **24** αὐτοῦ F, τούτου CO^d ‖ **25** ἀναστέλλοντες] ἀναστείλαντες F, ἀνέστελλον CO^d | τοῦτο — ἔλεγον F, *om* CO^d ‖ **26** οἱονεὶ — εὐλεγεῖα (27) *om* O^d ‖ **27** ἐλ. οἱ. F, *om* C | εὐλεγεῖα C, εὐλογεῖα F | παρὰ — μέτρον (21, 3) *om* F

βιώcαντα· ἢ παρὰ τὸ ἔλεγος, ὃ δηλοῖ τὸν θρῆνον· τοῦτο δὲ παρὰ τὸ ἒ λέγειν· ὥcπερ ἐλεοῦντες γὰρ τοὺς ἀποιχομένους τοῦτο ἐφεῦρον τὸ μέτρον. Ταῦτα οὖν τὰ ἐλεγεῖα πῶc δεῖ ἀναγινώcκειν; «Λιγυρῶc», τουτέcτιν ὀξυφώνως· ἡ γὰρ λύπη τῇ παρατροπῇ τῆc φωνῆc ἐκ τοῦ κλαυθμοῦ ὀξύτερά τινα παρειcάγει.

751b 179v Τὸ δὲ ἔπος εὐτόνως.] Ἔπος λέγεται πᾶc cτίχος ἰαμβικός τε καὶ τροχαϊκὸc καὶ ἀναπαιcτικὸc καὶ δακτυλικὸc καὶ οἱῳδήποτε ποδὶ μετρούμενος, κατ' ἐξοχὴν δέ, τουτέcτι κατὰ τιμὴν καὶ ὑπεροχήν, τὸ ἡρωϊκὸν μέτρον ἔπος ἐκάλεcαν. Ὅπερ διδάcκει ἡμᾶc «εὐτόνως» ἀναγινώcκειν, τουτέcτι cυντόνῳ τῇ φωνῇ καὶ μὴ ἐκλελυμένῃ, ὡc καὶ ἡρώων ἀνδρῶν περιέχον ἱcτορίαc.

19 Τὴν δὲ λυρικὴν ποίηcιν ἐμμελῶc.] Ἔcτι τινὰ ποιήματα, ἃ οὐ μόνον ἐμμέτρως γέγραπται, ἀλλὰ καὶ μετὰ μέλους ἔcκεπται, ἃ καὶ διπλαcίονα κάματον παρεῖχε τοῖc cκεπτομένοιc, τό τε μέτρον cπουδάζουcι διαcῴζειν καὶ τῶν μελῶν ἐπινοεῖν τὴν εὕρεcιν. Ταῦτα οὖν τὰ ποιήματα καλεῖται λυρικά, ὡc ὑπὸ λύραν ἐcκεμμένα καὶ μετὰ λύραc ἐπιδεικνύμενα. Γεγόναcι δὲ λυρικοὶ οἱ καὶ πραττόμενοι ἐννέα, ὧν τὰ ὀνόματά ἐcτι ταῦτα, Ἀνακρέων, Ἀλκμάν, Ἀλκαῖοc, Βακχυλίδηc, Ἴβυκοc, Πίνδαροc, Cτηcίχοροc, Cιμωνίδηc, Cαπφώ, καὶ δεκάτη Κόριννα. Ταύτην
752b οὖν τὴν λυρικὴν ποίηcιν δεῖ μετὰ μέλους ἀναγινώcκειν, εἰ καὶ μὴ παρελάβομεν μηδὲ ἀπομεμνήμεθα τὰ ἐκείνων μέλη.

17 Τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶc.] «Οἴκτους» θρήνους, «ὑφειμένως» κεχαλαcμένῃ τῇ φωνῇ, «γοερῶc» θρηνητικῶc. Πάλιν ἔcτι τινὰ ποιήματα, ἃ ἐπικειμένου τοῦ λειψάνου ἔλεγον θρηνοῦντες αὐτὸν
20 τὸν τεθνεῶτα. Διδάcκει δὲ ἡμᾶc καὶ Ὅμηρος τοῦτο, λέγων ἐπὶ τοῦ λειψάνου τοῦ Ἕκτοροc, ἔνθα φηcί ⟨Ω 720⟩ παρὰ δ' εἷcαν ἀοιδούc, Θρήνων ἐξάρχουc, οἵ τε cτονόεccαν ἀοιδὴν καὶ τὰ ἑξῆc. Ταῦτα οὖν τὰ ποιήματα οἶκτοι καλοῦνται καὶ θρῆνοι, καὶ δεῖ αὐτὰ κεχαλαcμένῃ τῇ φωνῇ καὶ θρηνώδει ἀναγινώcκειν.

753,22 Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρηcιν.] «Πα-

6—11 similia hab. et. Σ^m (Διομήδους *add* VN ‖ **12—16** (λυρικά) **hab. et.** Σ^1 ‖ **12—21 hab. et.** Σ^m (*in marg.* Διομήδους N) ‖ **23—27** (ἐξάρχ.) **hab. et.** Σ^1

1 ἢ παρὰ — μέτρον (**3**) O^d, *om* C ‖ **3** Ταῦτα — παρειc. (**5**) *om* O^d ‖ **5** ὀξύτερα τινὰ F, ὀξυτέρα C ‖ **6** λέγεται FO^d, τί λέγεται C ‖ **9** μέτρον ἔπος ἐκάλεcεν O^dV, μέτρον ἐκάλεcεν C, ἔπος ἐκάλεcαν F ‖ **11** ἱcτορίαc CFO^dV, ἱcτορίαν b ‖ **13** μέλ. ἔcκεπται F, μέλ. ἐcκέπτοντο C$O^d$$\Sigma^1$, cκέψεως μέλους V | ἃ — ἐπιδ. (**16**) *om* V | διπλαcίονα CO^d, διπλάcιον F, διπλοῦν Σ^1b ‖ **17** δὲ FO^dV, *om* C | οἱ καὶ πραττόμενοι O^d, καὶ οἱ πραττόμενοι C, οἳ καὶ πράττονται F, καὶ οἱ περιᾳδόμενοι V ‖ **18** Ἀλκαῖοc FO^dV, *om* C ‖ **21** τὰ ἐκ. μέλη CFO^d, τῶν ἐκ. μελῶν V ‖ **22** Οἴκτους — θρηνητ. (**23**) *om* b ‖ **24** ποιήματα C$O^d$$\Sigma^1$, πράγματα F | ἐπικειμένου F, ἐγκειμένου CO^d, ἔτι κειμένου Σ^1 | αὐτὸν τὸν τεθν. F, αὐτοὶ CΣ^1, ἐπ' αὐτοῖc O^d ‖ **25** δὲ F$O^d$$\Sigma^1$, *om* C | ἐπὶ — φηcί (**26**) *om* Σ^1 | τοῦ λειψ. F, τὸ λείψανον CO^d ‖ **27** κ. τ. ἑξ. F, *om* CO^d ‖ **30** μὴ τὴν τοιαύτην γ. C

ρατήρηςιν» παραφυλακήν. Εἰρηκὼς ὁ Διονύςιος ἑκάςτου τῶν ποιημάτων
τὴν διαφορὰν τῆς ὑποκρίςεως, ἐπιφέρει τοῦτο, ὅτι ἐὰν μὴ παραφυλάτ-
τωνται ταῦτα, ὡς προείρηται, «καὶ τὰς τῶν ποιημάτων ἀρετὰς
καταρρίπτει», τουτέςτιν ἐξευτελίζει, ἀφανίζει, εἰς ἔδαφος καταβάλλει
καὶ τὰ ἐνάρετα ποιήματα· ἢ οὕτως· καὶ τῶν cκεψαμένων ἀνδρῶν τὸν
ἐνάρετον κάματον καταβάλλει εἰς ἔδαφος. — Καὶ τὰς ἕξεις τῶν ἀνα-
γινωςκόντων.] «Ἕξεις» τὰς cχέςεις, τὰς μαθήςεις, τὰς διδαχάς, τουτέ- 30
ςτιν ὧν τινων μετέςχον καὶ ἀντελάβοντο τῇ μαθήςει· «καταγελάςτους»
ἀξίας καταγέλωτος, ἀποβλήτους, ἀδοκίμους· «παρίςτηςι» δείκνυςιν·
ἤτοι τὰς μαθήςεις καὶ διδαχὰς τῶν ἀναγινωςκόντων ἀξίας καταγέλωτος 754 b
δείκνυςιν. Ὅθεν δεῖ ἑκάςτου ποιήματος τὴν ὑπόκριςιν παραφυλάττειν,
ἵνα καὶ τῶν cκεψαμένων ἀνδρῶν ἡ ἀρετὴ διαφαίνηται καὶ ἡ τέχνη τοῦ
ἀναγινώςκοντος.

§ 3.

Περὶ τόνου. 755, 5 b

Τόνος ἐςτὶν ἀπήχηςις φωνῆς ἐναρμονίου.] Τὴν ὑπόκριςιν 180 v
ἡμῖν διαςαφήςας ὁ τεχνικὸς περὶ τόνου διαλαμβάνει, ὅς ἐςτιν ἀναγκαιό-
τατος τῶν προςῳδιῶν καὶ φανερὸς ἔλεγχος τῆς τοῦ ἀναγινώςκοντος
διδαχῆς. Τί οὖν ἐςτι τόνος; Φηςὶν ἀπήχηςις, τουτέςτιν ἦχος. Τίνος;
Φωνῆς. Οἱαςδήποτε φωνῆς; Οὔ. Ἀλλὰ ποίας; Τῆς ἐναρμονίου. Τί δέ 10
ἐςτιν ἐναρμόνιος φωνή; Ἡ ςυγκειμένη ἐξ ὀξείας καὶ βαρείας καὶ περι-
ςπωμένης, οἵα ἐςτὶν ἡ τοῦ ἀνθρώπου φωνὴ καὶ πᾶςα μιμουμένη τὴν
τοῦ ἀνθρώπου φωνήν, οἷον κιθάρα, ὄργανον, ςύριγξ καὶ ὅςα τοιαῦτα.

Ἦ κατὰ ἀνάταςιν ἐν τῇ ὀξείᾳ.] Ἀνάταςις φωνῆς ὁ ὀξὺς τόνος 29
ἐςτίν· ὅθεν καὶ τὸ ςημεῖον αὐτοῦ τὴν ἐπὶ τὰ ἄνω φορὰν ἔχει· καὶ γὰρ

1—13 hab. et. Σ^m ‖ 15—23, 18 hab. et. O^d ‖ 15—24, 7 similia hab. et. Σ^m

2 τοῦτο FV, ταῦτα C ‖ **3** καὶ — ἀρετὰς CV, πρόδηλον τὸ ἀκόλουθον F ‖ **4** καταρρίπτει F, καταρριπτεῖ V, ἀπορρίπτει C | ἐξευτελ. ἀφαν. F, εὐτελίζει ἐξαφανίζει C, ἐξευτ. ἐξουθενεῖ V ‖ **5** καὶ (*ante* τῶν) FV, *om* C ‖ **6** *post* ἔδαφος *add* V: «καὶ τὰς τῶν ποιητῶν ἀρετὰς καταρριπτεῖ»· περιςπωμένως τὸ ῥιπτεῖ, κατὰ τὴν τοῦ Ὁμήρου ςυνήθειαν ‖ **8** μετέςχον καὶ b, κατέςχον (τε *add* V) καὶ CV, *om* F | ἀντελ. τῇ μαθ. CF, κατελάβοντο τὰς μαθήςεις V ‖ **9** καταγέλ. FV, γέλωτος C ‖ **10** ἤτοι FV, *om* C ‖ **11** δείκνυςιν FV, *om* C | δεῖ FV, *om* C | ποιήματος CV, ποιητοῦ F | παραφυλάττει C ‖ **12** ἵνα — ἀναγιν. (**13**) *om* V | διαφαίνηται b, διαφάνηται C, διαφέρηται F ‖ **15** Μελάμποδος *add* C | ἐναρμ. — Τίνος; Φωνῆς (**19**) *om* F ‖ **16** ὁ τεχν. V, *om* CO^d | τόνου CV, τοῦ τόνου O^db ‖ **18** *post* διδαχῆς *add* V: φωνὰς ἐναρμονίους λέγουςι τὰς τῶν ἀνθρώπων τὰς ἐνάρθρους καὶ ἐγγραμμάτους· εἰςὶ γὰρ καὶ ἀγράμματοι, οἷον αἱ τῶν ὄρνεων ‖ **19** φωνῆς *et* ποίας F, *om* CO^d ‖ **21** πᾶςα F, πᾶςα ἡ CO^d | τὴν — φωνήν (**22**) F, αὐτὴν τὴν φ. τοῦ ἀνθρ. C, αὐτὴν O^db ‖ **22** *post* τοιαῦτα *add* CO^d: τοῦτο δὲ καὶ αὐτὸς ἐπιφέρει ‖ **23** *in marg. add* Διομήδους N | Ἦ] ἡ V | ὀξὺς τόνος CO^d, ὀξύτονος F, ὀρθὸς τόνος b ‖ **24** καὶ — νεύουςιν (**23, 3**)] ὥςπερ καὶ ἡ τοῦ ἀνθρώπου φωνή F

ἀποκάτω ἀρχόμενοι τὸ cχῆμα προφέρομεν τὴν χεῖρα ὀξυτέρωc ἐπὶ τὰ ἄνω μέρη. Ὀξεῖα δὲ εἴρηται ἀπὸ μεταφορᾶc τῶν δρομέων τῶν εὐκινήτων
756b καὶ ὀξέωc τρεχόντων· οὗτοι γὰρ καὶ ὀξεῖc εἰcι καὶ ἐπὶ τὰ ἄνω νεύουcιν.

Ἢ κατὰ ὁμαλιcμὸν ἐν τῇ βαρείᾳ.] Ὁμαλιcμὸc λέγεται ἡ κατένεξιc καὶ ὁ κοιμιcμόc· ὁ γὰρ βαρὺc τόνοc τὴν ἐναντίαν φορὰν ἔχει τοῦ προλεχθέντοc ὀξέοc τόνου· διὸ καὶ τὸ cημεῖον αὐτοῦ τὴν ἐπὶ τὰ κάτω φορὰν ἔχει· καὶ ἡ φωνὴ δὲ τοῦ ἀνθρώπου ἀπὸ ὀξείαc κοιμιζομένη, τουτέcτι καταφερομένη, εἰc βαρεῖαν καταντᾷ. — Καὶ ἄλλωc. Ὁμαλιcμὸc ἀντὶ τοῦ κατένεξιc καὶ κοίμιcιc, οἷα ἡ τῆc βαρείαc προένεξιc· αὕτη γὰρ μετὰ ὁμαλότητοc τίθεται, ἥτιc εἴρηται ἐκ μεταφορᾶc τῶν τὰ φορτία βαcταζόντων· ὥcπερ γὰρ οἱ βαcτάζοντεc ταῦτα τῷ βάρει cυνωθούμενοι
181v κάτω νεύουcι καὶ ὁμαλωτέραν, τουτέcτι χθαμαλωτέραν, τὴν βάδιcιν ἀναγκάζονται ποιεῖcθαι, τὸν αὐτὸν τρόπον καὶ ἡ βαρεῖα κάτω νεύει.

Ἢ κατὰ περίκλαcιν ἐν τῇ περιcπωμένῃ.] Περίκλαcιc φωνῆc λέγεται ἡ ἐν τῷ αὐτῷ ἀνένεξιc καὶ κατένεξιc, μὴ ἐπιμενούcηc τῆc φωνῆc ἐν τῇ ἀνατάcει, ἀλλὰ μετὰ τὸ ἀναταθῆναι καταφερομένηc· ὅθεν καὶ τὸ cημεῖον τοῦ τόνου τούτου ἅμα ἄνειcι καὶ κάτειcι· καὶ παρὰ μὲν τοῖc γραμματικοῖc καλεῖται περιcπωμένη, παρὰ δὲ τοῖc μουcικοῖc μέcη. Οὗτοc οὖν ὁ τόνοc δοκεῖ cύνθετοc εἶναι, ὥcπερ καὶ τὸ cημεῖον ἐλέγχει cυγκείμενον ἐξ ὀξείαc καὶ βαρείαc· διὸ καὶ ὡc ἐπὶ τὸ πλεῖcτον ἐπὶ τῶν cυλλαβῶν ἐκείνων τίθεται τῶν πρότερον διῃρημένων εἰc cυλλαβὰc δύο, καὶ τῆc μὲν προτέραc ἐχούcηc τὴν ὀξεῖαν, τῆc δὲ δευτέραc τὴν βαρεῖαν, ὕcτερον δὲ cυνελθουcῶν εἰc μίαν cυλλαβήν· καὶ τῇ cυνελεύcει τῶν cυλλαβῶν ἐξ ἀνάγκηc καὶ οἱ τόνοι cυνῆλθον οἱ ἐπικείμεναι αὐταῖc, φημὶ δὲ ὁ ὀξὺc καὶ ὁ βαρύc, καὶ ἀπετέλεcαν τὸν προκείμενον τόνον τὸν περιcπώμενον, ⟨ὄντα,⟩ ὡc προειρήκαμεν, cύνθετον· ὡc ἐπὶ παραδείγματοc — δεῖ γὰρ πιcτώcαcθαι τὸν λόγον τῇ τῶν ὁμοίων παραθέcει, ὡc ἔχει ἡ ἀναλογία — τοῦ Cοφοκλέηc ἡ κλε cυλλαβὴ ἔχει τὴν ὀξεῖαν καὶ ἡ ηc
757b τὴν βαρεῖαν· ἐμάθομεν γὰρ ἐν ταῖc προcῳδίαιc, ὅτι πᾶc τόποc τῆc βαρείαc ἐcτί, πλὴν ὅπου κεῖται ἡ ὀξεῖα ἢ ἡ περιcπωμένη· cυνελθουcῶν οὖν τῆc κλε καὶ τῆc ηc εἰc μίαν cυλλαβὴν τὴν κληc, cυνῆλθον ⟨καὶ⟩ οἱ

14—18 hab. et. Σ^1

1 τὸ τῆc ὀξείαc cχῆμα O^d | προcφέρομεν O^d, προφέρον C | ὀξυτέρωc O^d, ὀξυτόνωc C ‖ 2 Ὀξεῖα — νεύουcιν (3) *om* O^d ‖ 4 Ἢ] ἡ V ‖ 6 προλεχθέντοc FO^dV, λεχθέντοc C | ἐπὶ τὰ *om* C ‖ 8 τουτ. καταφ. *om* C | καταντᾷ CO^dV, κάτειcιν F | Καὶ — νεύει (13) *om* F | VN *add* Διομήδουc ‖ 10 *post* ὁμαλότ. *add* καὶ ἱλαρότητοc O^dV | εἴρηται O^dV, *om* C ‖ 12 τουτ. χθαμαλ. *add* O^d | βάδιcιν O^d, βάcιν C ‖ 14 *in marg. add* Διομήδουc N | Ἢ] ἡ VΣ^1 ‖ 16 ἀναταθῆναι FV, διαcτῆναι καὶ C, διαταθῆναι O^d, διατεθῆναι Σ^1 | καὶ *om* CO^d ‖ 20 πλεῖcτον FV, πλεῖον C ‖ 21 τῶν FV, *om* C | πρότερον διῃρημένων V, ποτὲ μὲν διαιρουμένων CF | *post* δύο *add* F: ποτὲ δὲ cυνερχομένων εἰc μίαν F ‖ 26 ὄντα *add* b | ὡc — cύνθετον *om* F | 28 τοῦ] οἷον F, ὁ b, *om* C | καὶ F, *om* C ‖ 29—24, 3 *om* V | ἐν ταῖc προc. F, *om* C | τόποc C, τόνοc F ‖ 30 ἐcτί F, *om* C ‖ 31 cυνῆλθον F, cυνειcῆλθον C | οἱ τόνοι *om* F

τόνοι, ὅ τε ὀξὺς καὶ ⟨ὁ⟩ βαρύς, καὶ ἀπετέλεσαν τὸν περισπώμενον, οἷον Ἡρακλέης Ἡρακλῆς, Ξενοφόων Ξενοφῶν, Δημοφόων Δημοφῶν, Ἑρμέας Ἑρμῆς καὶ ὅσα τοιαῦτα. — Ἡ περισπωμένη ταύτης ἔτυχε τῆς προσηγορίας· ἔοικε γὰρ τῷ σχήματι περικεκλασμένῃ ῥάβδῳ ἐχούσῃ τὰς δύο ἄκρας νευούσας εἰς ἀλλήλας. Εἴρηται δὲ οὕτως ἐκ μεταφορᾶς τῶν περικλωμένων ἐν τοῖς πράγμασι· καὶ γὰρ οὗτοι ὑπὸ τῆς ἀθυμίας δακνόμενοι δοκοῦσι περισπᾶσθαι.

§ 4 (4 et 5b).

Περὶ στιγμῆς.

Στιγμαί εἰσι τρεῖς, τελεία, μέση, ὑποστιγμή.] Περὶ τοῦ ἀναγ- 758, 5b 138v
καιοτάτου τῶν προσῳδιῶν, τουτέστι περὶ τόνου, διδάξας ἡμᾶς ὡς ἐν συντόμῳ περὶ τῶν στιγμῶν, τουτέστι περὶ τῆς διαστολῆς, διαλαμβάνει, καί φησι στιγμὰς εἶναι τρεῖς, τελείαν, μέσην, ὑποστιγμήν. Καὶ κατὰ μὲν τὸν Διονύσιον, ὡς ἐν τῷ φανερῷ, τρεῖς εἰσι στιγμαί — τοῦτο δέ φημι, ἐπειδὴ ὑποκατιὼν τὴν μίαν ἐξ αὐτῶν, τὴν μέσην, ἀπόβλητον δείκνυσι — κατὰ δέ τινα μεταγενέστερον τεχνικόν, φημὶ δὲ τὸν Νικάνορα, ὀκτώ εἰσι στιγμαί, ὧν τὰ ὀνόματα τέως μάθωμεν· τελεία, ὑποτελεία, πρώτη ἄνω, δευτέρα ἄνω, τρίτη ἄνω, ὑποστιγμὴ ἐνυπόκριτος, ὑποστιγμὴ ἀνυπόκριτος, ὑποδιαστολή.

Στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖον.] «Διανοίας» νοῦ, ἐννοίας· «ἀπηρτισμένης» πεπληρωμένης· «σημεῖον» σύμβολον· ὡς ἂν τις εἴποι «ἀπελθὼν πρὸς τὸν φίλον ἠρίστησα, ἀπελθὼν εἰς τὸ βαλανεῖον ἐλουσάμην, ἀριστήσας ἐκαθεύδησα»· καθ' ἕκαστον γὰρ τῶν τοιούτων λόγων ὅσας ὥρας θέλω σιωπῶ, καὶ οὐκ ἀναγκάζει με ὁ ἀκούων ἐπαγαγεῖν 139v
τινα ἕτερον λόγον· ἐν δὲ τῇ ἑτέρᾳ στιγμῇ, φημὶ δὲ τῇ ὑποστιγμῇ — οὕτω γὰρ αὐτὴν καλεῖ ὁ Διονύσιος — ἔχομεν μαθεῖν παρ' αὐτοῦ, ὅτι οὔτι ὅσον χρόνον θέλω σιωπῶ, ἀλλὰ καὶ ὁ ἀκούων ἀναγκάζει με ἐπαγαγεῖν τινα ἕτερον λόγον.

Μέση δὲ σημεῖον πνεύματος ἕνεκεν παραλαμβανόμενον.] Τὴν μέσην στιγμήν φησιν εἶναι σύμβολον τιθέμενον ἕνεκεν τοῦ ἀναπνεῦ-

---

8—28, 8 hab. et. O^d ‖ **8—25, 22 hab. et. Σ^m**

1 ὅ τε ὀ. F, ὀξύς τε C | τὸν περισπ. F, τὴν περισπωμένην C | οἷον F, *om* C ‖ **2** Ξ. Ξ. *om* F | ξενοφάων *et* δημοφάων C ‖ **3** Ἡ — περισπ. (7) *om* F, *hab.* O^d (*qui add* καὶ ἄλλως) ‖ **4** ἐχούσῃ τὰς O^{d}V, ἐχούσης C ‖ **5** ἄκρας V, ἀρχὰς CO^d | εἰς ἀλλ. V, ἀλλήλας C, ἀλλήλων O^d | περικλωμένων *RSchneider,* περισπωμένων CO^{d}V ‖ **6** τοῖς *add* O^d ‖ **7** περισπᾶσθαι *RSchneider,* περικλᾶσθαι CO^d, περικεκλᾶσθαι V ‖ **9** Μελάμποδος *add* C, Διομήδους V | Περὶ — ἐπειδὴ (14) *om* F ‖ **12** Καὶ O^{d}b, *om* CV ‖ **16** τέως μάθ. CO^{d}b, ταῦτα F, *om* V ‖ **19** Διομήδους *in marg. add* N | Στιγμή CO^{d}V, στιγμὴ δέ F, Ἡ μὲν τελεία στιγμή b ‖ **22** ἀριστ. ἐκαθ. Cb, *om* FO^{d}V ‖ **23** ἀκούων CFV, ἀκούσας O^{d}b | ἐπαγαγεῖν Cb, ἐπάγειν FO^{d}V ‖ **24** ἑτέρᾳ — ὅτι (26)] ὑποστιγμῇ F ‖ **25** οὕτω — Διον. *om* V | παρ' αὐτοῦ *om* V ‖ **26** οὔτι V, οὔτε CO^{d}b, οὐχ F | χρόνον FO^{d}V, *om* Cb ‖ **28** σημεῖον — τουτέστιν (25, 1) *om* F ‖ **29** Τὴν — τιθέμ. *om* C | μέσην Vb, μὲν O^d

cαι ἡμᾶc· τουτέcτιν ὅτε πολύλεξίc ἐcτιν ὁ λόγοc καὶ μὴ δυνάμεθα ἀπνευcτὶ αὐτὸν εἰπεῖν, ἔνθα ἀναγκάζει ἡμᾶc τὸ πνεῦμα, ἐκεῖ cιωπήcαν-
759b τεc ἐλάχιcτον διὰ τὸ ἀναλαβεῖν ἕτερον πνεῦμα τίθεμεν αὐτήν. Ἐκ τούτου δὲ ἐλέγχεται μὴ οὖcα ἀληθὴc cτιγμή· οὐ γὰρ πάντεc οἱ ἄνθρωποι ὁμοίωc ἐπαρκοῦμεν ἐν τῷ ἀναγινώcκειν διεξιόντεc τοὺc πολυλέξειc λόγουc, ἀλλ' ὁ μὲν ἔcθ' ὅτε ἐπαρκεῖ δεκαπέντε λέξειc ἀπνευcτὶ εἰπεῖν, ἕτεροc δὲ δυοκαίδεκα, ἄλλοc δὲ πλείοναc ἢ ἐλάττοναc· καὶ τοῦτο οὐκ ἔcτι cτιγμῆc, τὸ καθ' ἕνα ἄνθρωπον ἀμείβεcθαι τὸν τόπον, ἀλλὰ τὸ
140v ἔχειν τινὰ ὡριcμένην θέcιν. Οὐχ ὡc ἄπειροc δὲ ὑπάρχων ὁ Διονύcιοc
10 τούτων εἴρηκεν αὐτὴν cτιγμήν, ἀλλ' ὡc ἑτέρων τινῶν νομιζόντων αὐτὴν εἶναι cτιγμήν· ὅθεν τῆc μὲν προλεχθείcηc cτιγμῆc καὶ τῆc μελλούcηc ἐπιφέρεcθαι τὴν διαφορὰν εἶπε, ταύτηc δὲ οὐκ ἔτι ἐμνήcθη.

Ὑποcτιγμὴ δὲ διανοίαc μηδέπω ἀπηρτιcμένηc ἀλλ' ἔτι ἐνδεούcηc cημεῖον.] Ἣν ἐκάλεcεν ὑποτελείαν ὁ Νικάνωρ, ὡc προειρήκαμεν, ταύτην ὁ Διονύcιοc ὑποcτιγμὴν καλεῖ, μᾶλλον δὲ ἐκ τοῦ ἐναντίου τὴν ὑπὸ τοῦ Διονυcίου κληθεῖcαν ὑποcτιγμὴν ὁ Νικάνωρ ὑποτελείαν καλεῖ· μεταγενέcτεροc γὰρ Διονυcίου ὁ Νικάνωρ. Τί οὖν ἐcτιν ὑπο-
20 cτιγμὴ ἤτοι ὑποτελεία; Ἐννοίαc οὐδέπω ἀπηρτιcμένηc ἤγουν πεπληρωμένηc ἀλλ' ἔτι ἐλλειπούcηc cύμβολον· ὥcπερ ἐὰν εἴπω «ὅταν ἔλθω», τοῦτο μόνον εἰρηκὼc οὐ δύναμαι ὅcον χρόνον θέλω cιωπῆcαι, ἀλλ' ὁ ἀκούων ἀναγκάζει με ἐπαγαγεῖν τὸ λεῖπον· ἐνταῦθα οὖν πρὸ τῆc ἐπιφορᾶc τοῦ λείποντοc τίθεται ἡ ὑποcτιγμή.

762,4b Τίνι διαφέρει cτιγμὴ ὑποcτιγμῆc;] Ἰδοὺ τῶν δύο μέμνηται τῆc διαφορᾶc, τὴν μέcην παρωcάμενοc. Τίνι οὖν διαφέρει cτιγμὴ ὑποcτιγμῆc; Χρόνῳ. Τίνοc χρόνῳ; Τῆc cιωπῆc. Πῶc; Αὐτὸc ἐπιφέρει· «ἐν μὲν γὰρ τῇ cτιγμῇ πολὺ τὸ διάcτημα», τῆc cιωπῆc, ἐν τῇ τελείᾳ γὰρ cτιγμῇ ὅcον χρόνον θέλω cιωπῶ· «ἐν δὲ τῇ ὑποcτιγμῇ παντελῶc

---

23—24 hab. et. Σ^m (Διομήδουc καὶ Cτεφάνου *in contextu add* V, Διομήδουc ∴ Cτεφάνου *in marg.* N)

1 ὅτε] ὅταν CO[d]Vb, ὅτῳ F | ἐcτὶν ὁ λόγοc O[d]b, ἐcτὶ λόγοc CF, ὑπάρχῃ λόγοc τιc V | μὴ CO[d]Vb, οὐ F ‖ **2** ἀπνευcτὶ FVb, ἀναπνευcτὶ O[d], ἀναπνευcτεὶ C ‖ **5** διεξιόντεc F, *om* CO[d]Vb ‖ **6** ἀλλ' — ἐλάττ. (7) *om* F | ἀπνευcτὶ Vb, ἀναπνευcτεῖ C, ἀναπνευcτὶ O[d] | εἰπεῖν *om* C ‖ **7** πλείοναc cτίχουc ἢ ἐλάccοναc C, πλείουc ἢ ἐλάττουc V, πλείουc O[d] ‖ **9** δὲ O[d]Vb, *om* CF ‖ **11** ὅθεν — ἐμνήcθη (12) *om* O[d] ‖ **12** οὐκ ἔτι F, οὐδὲ Cb, οὐκ V ‖ **13** Ὑποcτ. — ἐὰν (19)] ἣν τοίνυν ὁ Διονύcιοc ὑποcτιγμὴν ἐκάλεcε, ταύτην ὁ Νικάνωρ Διονυcίου· ἐὰν οὖν F ‖ **14** Ἣν — Νικάνωρ (17)] ἡ ὑποcτιγμή, φηcί, cύμβολόν ἐcτι νοῦ μηδέπω πεπεραcμένου ἀλλ' ἔτι λείποντοc πρὸc τὸ τέλειον τῆc διανοίαc καὶ τοῦ νοῦ· ταύτην οὖν τὴν cτιγμὴν ὑποτελείαν ὁ Νικάνωρ ἐκάλεcε V | προειρ. O[d], εἰρήκαμεν Cb ‖ **15** ὁ (*ante* Δ.) O[d], *om* Cb ‖ **17** γὰρ Cb, ὢν O[d] ‖ **19** ὅταν ἔλθω F, ὃν θέλω Cb, ὃ θέλω O[d], ἐὰν ἔλθω V ‖ **20** ὅcον χρόνον θέλω F, ὅcον θέλω CVb, ὡc ἄνθρωποc O[d] ‖ **21** με FV, *om* CO[d]b ‖ **22** ὑποcτιγμή FO[d]Vb, ὑποδιαcτολή C ‖ **23** Τίνι FO[d]b, τί C ‖ **27** ὅcον χρόνον F, ὅταν CO[d], ὅcον b | παντελῶc FO[d], *om* Cb

τις, ὡς προείρηται, ἐν ταῖς ἀντεστραμμέναις περιόδοις, ὡς ἐπὶ τοῦ ⟨Α 255 sqq.⟩

ἦ κεν γηθήσαι Πρίαμος ⟨Πριάμοιό τε παῖδες⟩,
ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ,
εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιιν,

ἐν τῷ «θυμῷ» τίθεται ἡ ὑποδιαστολή· ἐπιφέρεται γὰρ τὸ «εἰ σφῶϊν» καὶ ποιεῖ ἀντεστραμμένην τὴν περίοδον· ἡ γὰρ ὀρθὴ περίοδος ἦν «εἰ 20 σφῶϊν τάδε πάντα πυθοίατο, ἦ κεν γηθήσαι Πρίαμος».

§ 5 (6b). 765,25b 118v

Περὶ ῥαψῳδίας.

Ῥαψῳδία ἐστὶ μέρος ποιήματος ἐμπεριειληφός τινα ὑπόθεσιν.] Ἐπειδὴ οἱ ἀρχόμενοι ἀναγινώσκειν παῖδες πρὸ πάντων τῶν βιβλίων ἅπτονται τῶν Ὁμηρικῶν, τὰ δὲ Ὁμηρικὰ ποιήματα τέμνεται εἰς 30 ῥαψῳδίας, βούλεται διδάξαι καὶ τοὺς παῖδας αὐτὸ τοῦτο, τί ἐστι ῥαψῳδία, καί φησι τὸν ὅρον τοῦτον. Ποίημα μὲν γάρ ἐστι τὸ ὅλον βιβλίον, ὡς ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, τὰ δὲ τμήματα αὐτῶν ῥαψῳδίαι καλοῦν- 182v 766b ται· καλῶς οὖν εἶπε μέρος εἶναι τοῦ ὅλου ποιήματος ἑκάστην ῥαψῳδίαν. Ἀλλὰ καὶ αὐτὸ τὸ μέρος περιέχει τινὰ ἰδικὴν ὑπόθεσιν μὴ ἐμφερομένην ἐν τοῖς ἄλλοις μέρεσιν, ὡς τὸ μὲν Α περιέχει τὴν μάχην τοῦ Ἀχιλλέως καὶ Ἀγαμέμνονος, τὸ δὲ Β τὸν ὄνειρον τὸν πεμφθέντα ὑπὸ τοῦ Διὸς πρὸς τὸν Ἀγαμέμνονα, τὸ δὲ Γ τὴν μονομαχίαν τοῦ Ἀλεξάνδρου καὶ Μενελάου, καὶ τὰ ἑξῆς· ἕκαστον οὖν τούτων ἐμπεριείληφε, τουτέστι περιέχει, ἰδικήν τινα ὑπόθεσιν, ὃ μέρος ἐστὶ τοῦ ὅλου ποιήματος.

Εἴρηται δὲ ῥαψῳδία.] Βούλεται λοιπὸν ἐτυμολογῆσαι, τίνος 10 ἕνεκεν εἴρηται ῥαψῳδία· καί φησιν «οἱονεὶ ῥαβδῳδία τις οὖσα», τουτέστιν ἡ ἐπὶ ῥάβδῳ ᾠδή· οἱ γὰρ μεθ' Ὅμηρον τὰ αὐτοῦ ποιήματα περιερχόμενοι ᾖδον, ῥάβδον δαφνίνην κατέχοντες, σύμβολον Ἀπολλωνιακόν. Ἢ οὖν ἀπὸ τῆς ῥάβδου καὶ τῆς ᾠδῆς ἐτυμολογεῖται ἡ ῥαψῳδία, ἢ ἀπὸ τοῦ ῥάπτειν, ὅπερ ἐστὶ τὰ διεστῶτα καὶ διακεχωρισμένα εἰς ἓν

10—30, 24 hab. et. O^{d} ‖ **11—18 hab. et.** Σ^{m} (*in marg. add* Διομήδους VN) ‖ **24—30, 22 hab. et.** Σ^{m} (*in marg. add* Διομήδους VN)

3 ἦ — Πρίαμος *add* V ‖ **5** εἰ — μαρναμ. *add* V | μαρναμένοισιν V ‖ **6** ἐν τῷ θ. V, ἐνταῦθα CFO^{d}b ‖ **12** ἅπτονται FV, ἄρχονται CO^{d} ‖ **13** *ante* διδ. *add* δὲ C | καὶ C, *om* FO^{d}V ‖ **14** μὲν O^{d}, *om* CFV | γάρ *om* FO^{d} | τὸ *om* CV ‖ **15** καὶ FO^{d}, ὡς CV ‖ **16** οὖν F, δὲ O^{d}V, *om* C ‖ **17** ἰδικὴν CFO^{d}V | ἐμφερομένην O^{d}V, ἐκφερομένην CN, ἐπιφερομένην F ‖ **19** τοῦ F, *om* CO^{d} | δὲ F, *om* CO^{d} ‖ **20** τὸν (*ante* Ἀγ.) O^{d}, *om* CF | δὲ F, *om* CO^{d} | τοῦ (*poster.*) O^{d}, *om* CF ‖ **21** οὖν F, *om* CO^{d} | τούτων *om* C ‖ **22** ἰδικὴν CF, δίκην O^{d} | ὃ CO^{d}, ὁμοίως δὲ F ‖ **25** *post* φησιν *add* ὅτι C, *om* FO^{d}V ‖ **26** οἱ — Ἀπολλ. (**27**) *om* V | περιερχ. *om* F ‖ **29** ἢ ἀπὸ τοῦ ῥ.] *Philochorus; cfr. Egenolff in Annal. Burs. 1886 I p. 118*

cυνάπτοντα ὑγιάζειν. Ἔcτι γάρ τι ῥῆμα ῥῶ, ὃ cημαίνει τὸ ὑγιάζω, ἔνθεν φαμὲν καὶ τὸ ἔρρωcο ἀντὶ τοῦ ὑγίαινε, καὶ ῥῶcιν τὴν ὑγίειαν· ἀπὸ τοῦ ῥῶ οὖν τούτου γίνεται παράγωγον ῥῆμα τὸ ῥάπτω, ὅθεν καὶ ἕως νῦν ῥάπτας φαμὲν τοὺς τὰ διεcτῶτα ἱμάτια εἰc ἓν cυνάγοντας καὶ ὑγιές τι ἓν ἀποτελοῦντας. Ἀπὸ τοῦ ῥάπτω οὖν τούτου ὁ μέλλων γίνεται ῥάψω, ἀφ᾿ οὗ παράγωγον ῥαψῳδία· οἱ γὰρ μεθ᾿ Ὅμηρον, ὡc προείρηται, περιερχόμενοι καὶ ᾄδοντες τὰ αὐτοῦ, οὐκ ἐφεξῆc, ὡc νῦν κεῖνται οἱ cτίχοι, οὕτως ἔλεγον ἀκολούθως ἐπιδεικνύμενοι αὐτούς, ἀλλ᾿ ἐντεῦθεν κἀκεῖθεν, λόγου χάριν ἀπὸ τοῦδε τοῦ cελιδίου ἕνα cτίχον καὶ ἀφ᾿ ἑτέρου cελιδίου ἕνα καὶ ἀπ᾿ ἄλλου ἕνα λαβόντες, καὶ οὕτω cυνάγοντες τοὺς διεcτῶτας cτίχους εἰc ἕν, τοὺς ἁρμόζοντας τῷ πράγματι, λόγου χάριν εἰc γάμους, εἰc ἄρχοντας, εἰc γενεθλίους ἢ ἄλλο τι προκείμενον, οὕτως ἐπεδείκνυντο. Διὰ τοῦτο οὖν καὶ αὐτὸc ὁ Διονύcιος εἶπε τὰς
767b δύο ἐτυμολογίας, ἢ ἀπὸ τοῦ ῥάπτειν, τουτέcτι τὰ διεcτῶτα cυνάγειν, ἢ ἀπὸ τοῦ ῥάβδον κρατοῦντας ἐπιδείκνυcθαι.

Ἀναγκαῖον δὲ μετὰ τὴν ἐτυμολογίαν τῆc ῥαψῳδίας μνηcθῆναι κἀκείνου, ὅτι ἔν τινι χρόνῳ τὰ Ὁμήρου ποιήματα παρεφθάρη ἢ ὑπὸ πυρὸc ἢ ὑπὸ ὑδάτων ἐπιφορᾶc ἢ ὑπὸ cειcμοῦ, καὶ ἄλλων ἄλλως τῶν βιβλίων διαcκεδαcθέντων καὶ φθαρέντων ὕcτερον εὑρέθη ὁ μὲν ἔχων τυχὸν ἑκατὸν cτίχους Ὁμηρικούς, ὁ δὲ χιλίους, ἄλλος διακοcίους, ἄλλος ὅcους ἂν ἔτυχε· καὶ ἤμελλε λήθῃ παραδίδοcθαι ἡ τοιαύτη ποίηcιc. Ἀλλὰ Πειcίcτρατόc τις Ἀθηναῖος cτρατηγός, θέλων καὶ ἑαυτῷ δόξαν περιποιήcαcθαι καὶ τὰ τοῦ Ὁμήρου ἀνανεῶcαι, τοιοῦτόν τι ἐβουλεύcατο· ἐκήρυξεν ἐν πάcῃ τῇ Ἑλλάδι τὸν ἔχοντα Ὁμηρικοὺc cτίχους ἀγαγεῖν πρὸc αὐτόν,
183v ἐπὶ μιcθῷ ὡριcμένῳ καθ᾿ ἕκαcτον cτίχον. Πάντες οὖν οἱ ἔχοντες ἐπέφερον καὶ ἐλάμβανον ἀδιαcτρόφως τὸν ὁριcθέντα μιcθόν· οὐκ ἀπεδίωκε δὲ οὐδὲ τὸν φέροντα οὓc ἤδη προειλήφει παρ᾿ ἑτέρου cτίχους, ἀλλὰ κἀκείνῳ τὸν αὐτὸν ἐπεδίδου μιcθόν· ἐνίοτε γὰρ ἐν αὐτοῖc ἕνα ἢ δύο cτίχους εὕριcκε περιττούς, ἐνίοτε δὲ καὶ πλείους· ὅθεν τις ἔcθ᾿ ὅτε καὶ ἰδίους παρειcέφερε, τοὺς νῦν ὀβελιζομένους. Καὶ μετὰ τὸ πάντας cυναγαγεῖν παρεκάλεcεν ἑβδομήκοντα δύο γραμματικούς, cυνθεῖναι τὰ τοῦ

23—30, 24 hab. et. Σ^1

1 cυνάπτοντα CO^dV, cυναγαγόντα F | ὃ F, καὶ CO^dV ‖ 2 καὶ ῥ. τὴν ὑγ. CV, *om* FO^d ‖ 4 *post* διεcτ. *add* καὶ διερρηγμένα O^db, *om* CFV ‖ 6 *post* ῥαψῳδ. *add* V: ἐπεὶ καὶ τὰ ἔπη cυρράπτεται ἐκ διαφόρων λέξεων καὶ νοημάτων καὶ οὕτω τὰ τῆc ὑποθέcεως ἐξυφαίνεται ‖ 8 αὐτούς *add* V ‖ 14 ἢ — ἐπιδείκ. (15) CV, *om* FO^d ‖ 15 ἐπιδείκν. C, δαφνίνην τοὺς ῥαβδῳδοὺc τὰ ἔπη, τουτέcτιν τὰ ποιήματα, ἐπιδείκνυcθαι, περιερχομένους τὰc πόλειc, ἐν αἷc ἀγῶνες ἦcαν· ἠγωνίζοντο γὰρ περὶ cτεφάνων· καὶ γὰρ καὶ μέλεcι καὶ ῥυθμοῖc ὑποβάλλεται τὰ ἔπη V ‖ 18 ἄλλων C, ἄλλην FO^dV ‖ 19 ὕcτερον *add* O^d, *om* CFV ‖ 22 Ἀθηναῖος CFV, Ἀθηναίων O^db ‖ 25 ἐπέφερον V, ἀπέφερον $CFO^d\Sigma^1$ ‖ 26 καὶ ἐλάμβ. *om* F ‖ 27 ἀλλὰ — μιcθόν (28) *om* $V\Sigma^1$ ‖ 28 ἐπεδίδου CO^d, ἐδίδου Fb ‖ 29 ἐν. δὲ καὶ πλ. *add* O^d ‖ 31 ἑβδομ. δύο γραμμ. FO^dE, ἑβδομήκοντα γραμμ. C, ὁ β΄ γραμματικὸc (*sic*) A, γραμματικοὺc ὁ βαcιλεύc V

Ὁμήρου ἕκαςτον κατ' ἰδίαν, ὅπως ἂν δόξῃ τῷ ςυνθέντι καλῶς ἔχειν, ἐπὶ μιςθῷ πρέποντι λογικοῖς ἀνδράςι καὶ κριταῖς ποιημάτων, ἑκάςτῳ δεδωκὼς κατ' ἰδίαν πάντας τοὺς ςτίχους ὅςους ἦν ςυναγαγών. Καὶ μετὰ τὸ ἕκαςτον ςυνθεῖναι κατὰ τὴν ἑαυτοῦ γνώμην, εἰς ἓν ςυνήγαγε πάντας τοὺς προλεχθέντας γραμματικούς, ὀφείλοντας ἐπιδεῖξαι αὐτῶν ἕκαςτον τὴν ἰδίαν ςύνθεςιν, παρόντων ὁμοῦ πάντων. Οὗτοι οὖν ἀκροαςάμενοι οὐ πρὸς ἔριν, ἀλλὰ πρὸς τὸ ἀληθὲς καὶ πᾶν τὸ τῇ τέχνῃ ἁρμόζον, ἔκριναν πάντες κοινῇ καὶ ὁμοφρόνως, ἐπικρατῆςαι τὴν ςύνθεςίν τε καὶ 768 b διόρθωςιν Ἀριςτάρχου καὶ Ζηνοδότου· καὶ πάλιν ἔκριναν τῶν δύο ςυνθέςεών τε καὶ διορθώςεων βελτίονα τὴν Ἀριςτάρχου. Ἐπειδὴ δέ τινες 184 v τῶν ςυναγαγόντων τοὺς Ὁμηρικοὺς ςτίχους πρὸς τὸν Πειςίςτρατον διὰ τὸ πλείονα μιςθὸν λαβεῖν καὶ ἰδίους ςτίχους, ὡς προείρηται, ςκεψάμενοι 185 v προςέθηκαν, καὶ ἤδη ἐν ςυνηθείᾳ ἐγένοντο τοῖς ἀναγινώςκουςιν, οὐκ ἔλαθε τοῦτο τοὺς κριτάς, ἀλλὰ διὰ μὲν τὴν ςυνήθειαν καὶ πρόληψιν ἀφῆκαν αὐτοὺς κεῖςθαι, ὀβελίςκους δὲ ἑκάςτῳ τῶν ἀδοκίμων καὶ ἀλλοτρίων καὶ ἀναξίων τοῦ ποιητοῦ ςτίχων παρατιθέμενοι τοῦτο αὐτὸ ἐνεδείξαντο, ὡς ἀνάξιοί εἰςι τοῦ Ὁμήρου. Φέρεται δὲ ἐπίγραμμα εἰς τὸν Πειςίςτρατον ὡς ςπουδάςαντα ςυναγαγεῖν τὰ τοῦ Ὁμήρου τοιοῦτον·

τρίς με τυραννήςαντα τοςαυτάκις ἐξεκύλιςςε
  δῆμος Ἀθηναίων, καὶ τρὶς ἐπηγάγετο,
τὸν μέγαν ἐν βουλῇ Πειςίςτρατον, ὃς τὸν Ὅμηρον
  ἤθροιςα, ςποράδην τὸ πρὶν ἀειδόμενον·
ἡμέτερος γὰρ κεῖνος ὁ χρύςεος ἦν πολιήτης,
  εἴπερ Ἀθηναῖοι Cμύρναν ἀπῳκίςαμεν.

§ 6 (7b).

Περὶ ςτοιχείου. 772,27 b

Γράμματά ἐςτιν κδ΄.] Ἀπορίαν τινὰ εὐθέως καὶ ζήτηςιν ἔχει ἡ ἐπιγραφή, τίνος ἕνεκεν ἐπιγράψας «περὶ ςτοιχείου» οὐκ ἐπήγαγε «ςτοιχεῖόν ἐςτιν», ὡς καὶ εἰπὼν ἀνωτέρω «περὶ γραμματικῆς» ἐπιφέρει «γραμματική ἐςτιν», καὶ «περὶ ἀναγνώςεως» «ἀνάγνωςίς ἐςτι», καὶ «περὶ τόνου» «τόνος ἐςτίν», καὶ ἐφεξῆς ὁμοίως, ἐνταῦθα δὲ ἐπιγράψας «περὶ ςτοι-

---

25—41, 17 hab. et. O^d

1 τῷ ςυνθέντι F, τῷ ςυντεθέντι $O^d\Sigma^1$, τῷ ςυντελεςθέντι C, ταῦτα ςυντεθέντα V, τῷ ςυντιθέντι b ‖ **4** ςυνθεῖναι — ἕκαςτον (5) *om* A ‖ **5** αὐτῶν V, αὐτῷ CFO^dEb ‖ **7** πᾶν *om* Σ^1 | τῇ *om* CV ‖ **8** καὶ ὁμοφρ. *om* Σ^1 | ὁμοφρόνως F, ὁμοφόνως C, ὁμοφώνως O^dVb | ἐπικρατῆςαι $CFO^dV\Sigma^1$, κρατῆςαι b ‖ **9** *in marg. add* O^d *manu altera:* οὐκ οἶδας τί λέγεις· πολλῷ γὰρ μεταγενέςτεροι Ἀρίςταρχος καὶ Ζηνόδοτος Πειςιςτράτου ‖ **16** ἐπεδείξαντο O^d ‖ **18** ὡς *add* F ‖ **19** ἐξεκύλιςςε F, ἐξεδίωξε CO^dV, ἐξεκίνηςε Σ^1 ‖ **21** βουλῇ $CFO^d\Sigma^1$, βουλαῖς V ‖ **23** *et* **24** *om* CV ‖ **25** ςτοιχείου FO^d, ςτοιχείων C ‖ **26** Μελάμποδος *add* C ‖ **28** ὡς καὶ F, *om* CO^d | περὶ γρ. — γρ. ἐςτιν *add* F ‖ **29** καὶ *ante* περὶ τόνου F, *om* CO^d

χείου» οὐκ ἐπήγαγε «στοιχεῖόν ἐστιν», ἀλλὰ «γράμματά ἐστιν». Ταύτην 773b οὖν τὴν ζήτησιν cὺν θεῷ εἰcόμεθα. Ἐπειδὴ δὲ τοῖc γραμματικοῖc ἀναγκαῖόν ἐcτι καὶ αὐτῶν τῶν γραμμάτων τὴν φύcιν καὶ τὴν εὕρεcιν ζητεῖν, τούτου χάριν θέλει ὡc εἰδὼc ἐπιcτῆcαι. Ἀναγκαῖον οὖν ἡμᾶc ἐcτι πρῶτον γνῶναι τὸν ὅρον τοῦ cτοιχείου, εἰ καὶ μὴ αὐτὸc ἐξέθετο. Τί οὖν ἐcτι cτοιχεῖον; Ἡ ἐκφώνηcιc· καὶ ἄλλωc· ἡ πρώτη καὶ ἀμερὴc τοῦ ἀνθρώπου φωνή· ἕκαcτον μὲν γὰρ τῶν cτοιχείων οὐ δύναται μεριcθῆναι, ἡ δὲ cυλλαβὴ μερίζεται εἰc δύο cτοιχεῖα ἢ τρία ἢ καὶ εἰc πλείονα· αὐτὸ δὲ τὸ cτοιχεῖον, ὡc προείρηται, ἀμερέc ἐcτι. Καὶ ἄλλωc· cτοιχεῖόν ἐcτιν ἐξ οὗ ἐλαχίcτου cυνίcταταί τι ἐν cυνθέcει καὶ εἰc ὃ ἐλάχιcτον ἀναλύεται· ἀπὸ γὰρ ἑκάcτου cτοιχείου, ὡc ἔφη ὁ ὅροc, ἐλαχίcτου cυνίcτανται αἱ cυλλαβαί, καὶ ἀπὸ τῶν cυλλαβῶν αἱ λέξειc, καὶ ἀπὸ τῶν λέξεων οἱ λόγοι, καὶ ἀπὸ τῶν λόγων τὰ ποιήματά τε καὶ τὰ cυγγράμματα· καὶ πάλιν τὰ ποιήματα καὶ τὰ cυγγράμματα ἀναλύονται εἰc λόγουc, καὶ οἱ λόγοι εἰc λέξειc, καὶ αἱ λέξειc εἰc cυλλαβάc, καὶ αἱ cυλλαβαὶ εἰc cτοιχεῖα, καὶ οὐκέτι περαιτέρω· οὐδὲ γὰρ δύναται τὸ cτοιχεῖον εἰc μικρότερόν τι ἑαυτοῦ ἀναλυθῆναι· τοῦτο οὖν ἐcτιν, ὃ ἔφη ὁ ὅροc, «καὶ εἰc ὃ ἐλάχιcτον ἀναλύεται».

186v Τούτῳ οὖν τῷ cτοιχείῳ, τουτέcτι τῇ ἐκφωνήcει, παρέπεται τέccαρα· χαρακτὴρ μέν, ὡc τρίγωνον cχῆμα ἢ ἡμικύκλιον ἢ cτρογγύλον καὶ τὰ ἑξῆc· ὄνομα δέ, ὡc τὸ ἄλφα ἢ βῆτα καὶ τὰ λοιπά· δύναμιc δέ, ὡc μακρόν, βραχύ, δαcύ, ψιλόν, φωνῆεν, cύμφωνον καὶ τὰ λοιπά· τάξιc δέ, ὡc τὰ μὲν προτακτικὰ τῶν φωνηέντων καὶ cυμφώνων, τὰ δὲ ὑποτακτικά. Καὶ τὴν μὲν οὖν ἐκφώνηcιν τῶν cτοιχείων ἡ φύcιc τοῖc ἀνθρώποιc ἐξ ἀρχῆc ἐδωρήcατο, ταῦτα δὲ τὰ τέccαρα, ἃ προειρήκαμεν παρεπόμενα τῷ cτοιχείῳ, ἀνθρώπων ἐcτὶν ἐφευρέcειc· διὸ καὶ παρ᾽ ἡμῖν μὲν οἱ χαρακτῆρεc τῶν cτοιχείων τοιοῖδέ τινέc εἰcιν, οὓc ἐδιδάχθημεν, παρὰ δὲ Πέρcαιc ἕτεροι, παρὰ Cύροιc δὲ ἄλλοι, καὶ παρ᾽ ἄλλοιc ἔθνεcιν ἄλλοι. Ἐφευρέθη οὖν ἑκάcτῃ ἐκφωνήcει τοιάδε τιc εἰκὼν ἤτοι χαρακτήρ· καὶ 774b μετὰ τοὺc χαρακτῆραc ἐφευρέθη καὶ ἐπετέθη αὐτοῖc τὰ ὀνόματα, ὥcτε τῶν cτοιχείων τοιόνδε χαρακτῆρα τὸν ἔχοντα τοιάνδε τὴν ἐκφώνηcιν τοιῷδε τῷ ὀνόματι καλεῖcθαι. Διὸ καὶ κατανοήcαντί μοι τάc τε ἐκφω-

4—32, 31 hab. et. Σ^m (V *add* Διομήδουc)

2 ζήτηcιν cὺν θεῷ CO[d], ἐξήγηcιν διαcαφήcαντεc μετ᾽ ὀλίγον F ‖ **4** ὡc εἰδὼc *om* F ‖ **6** Ἡ — ἄλλωc *om* F | καὶ ἄλλωc V, ἑτέρωc. (τί ἐcτι cτοιχεῖον *add* C) CO[d] ‖ **7** ἕκαcτον — ἐcτι (9) *om* V ‖ **9** τὸ ἓν cτοιχ. CO[d] | Καὶ — καλεῖcθαι (32) *om* F ‖ **11** ὡc — ὅροc CO[d], ὅπερ ἔφη μέροc V | ἐλαχίcτου b, ἐλάχιcτον CO[d]V ‖ **12** *poster.* καὶ *add* O[d]V; *item prius v. 13* ‖ **16** οὐδὲ O[d], οὐ CV ‖ **19** Διομήδουc *add* V | τέccαρα V, τρία CO[d]; *item v. 25* ‖ **21** δύναμιc — ὑποτακτικά (23) V, *om* CO[d] ‖ **25** ἐδωρήcατο CO[d], ἐχαρίcατο V ‖ **27** *post* ἐδιδάχθ. *add* Vb: ὡc προϊὼν ὁ λόγοc δηλώcει ‖ **28** Cύροιc — παρ᾽ CO[d], δὲ Cύροιc ἄλλοι, παρὰ δὲ Vb ‖ **29** εἰκὼν Vb, ἰδέα C, εἶ O[d] ‖ **30** *post* ὥcτε *add* ἔχειν Vb ‖ **31** τοιόνδε — καλεῖcθαι (32)] ἕκαcτον τοιόνδε τὸν χαρακτῆρα καὶ τὸ ὄνομα τῇ ἐκφωνήcει Vb | ἔχοντα O[d], τρέχοντα C ‖ **32** τοι. τῷ ὀνόμ.] τῷ δὲ τὰ ὀνόματα C, τῷ δὲ ὀνόματι O[d]

νήσεις αὐτῶν καὶ τὰ ὀνόματα παράδοξόν τι ἐφάνη παρηκολουθηκέναι δύο γράμμασιν ἐκ πάντων, φημὶ δὲ τῷ ῡ καὶ τῷ ω̅, ἥ τε τοῦ ὀνόματος αὐτῶν καὶ ἡ τῆς ἐκφωνήσεως συνέλευσις· τούτων γὰρ μόνων τὸ ὄνομα ὁμοφώνως τῇ ἐκφωνήσει καὶ τὴν ἐκφώνησιν ὁμοφώνως τῷ ὀνόματι φθεγγόμεθα· τὴν δὲ αἰτίαν τούτου φιλοσόφοις ἀνατίθεμαι. Μετὰ δὲ τὰ ὀνόματα ἐνομοθετήθη παρὰ τῶν ἀρχαίων τινὰ μὲν εἶναι μακρὰ τινὰ δὲ βραχέα, τινὰ δὲ φωνήεντα τινὰ δὲ σύμφωνα, καὶ τινὰ μὲν προτακτικὰ τινὰ δὲ ὑποτακτικά· καὶ οὐκ ἀλόγως οὐδὲ ὡς ἔτυχεν ἐνομοθετήθη, ἀλλ' ἕκαστον ἔχεταί τινος λόγου καὶ αἰτίας πρεπούσης. Τινὲς δέ φασι τοὺς χαρακτῆρας τῶν στοιχείων τοὺς παρ' ἡμῖν ὑπὸ Ἑρμοῦ ἐν φοίνικος φύλλῳ γεγραμμένους καταπεμφθῆναι τοῖς ἀνθρώποις, διὸ καὶ φοινίκεια λέγεται 187v
τὰ γράμματα· οἱ δέ, ὅτι Φοινίκων ἐστὶν εὕρεσις· οἱ δέ, ὅτι ὁ παιδαγωγὸς τοῦ Ἀχιλλέως ὁ Φοῖνιξ ἐφεῦρεν αὐτά.

Λοιπὸν δεῖ νῦν τὴν ζήτησιν τὴν προλεχθεῖσαν ἡμᾶς γνῶναι, φημὶ δὲ τὴν ἐξ ἀρχῆς, τίνος ἕνεκεν εἰπὼν «περὶ στοιχείου» οὐκ ἐπήγαγε «στοιχεῖόν ἐστιν», ἀλλὰ «γράμματά ἐστιν». Καὶ ἔστι μὲν εἰπεῖν, ὡς καὶ αὐτὸς μετ' ὀλίγον ἐρεῖ, ἐπειδὴ ταὐτόν ἐστι στοιχεῖον καὶ γράμμα· φησὶ γὰρ ὑποκατιὼν ὁ τεχνικός «τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται»· τὸ δὲ ἀληθές, ὅτι στοιχεῖον μέν ἐστιν ἡ ἐκφώνησις, γράμματα δὲ αἱ εἰκόνες καὶ οἱ 187v
χαρακτῆρες. Καὶ χαρακτῆρες μέν εἰσιν κδ', ἐκφωνήσεις δὲ πολλῷ πλείους· οἱ γὰρ παλαιοὶ ἄλλως ἐξεφώνουν τὸ ᾱ τὸ μακρὸν καὶ ἄλλως τὸ βραχύ, καὶ ἄλλως τὸ δασὺ καὶ ἄλλως τὸ ψιλόν, ἑνὶ δὲ χαρακτῆρι ἀπετυποῦντο. Ἵνα οὖν πλέον τι γνῶμεν, ἐκζητήσωμεν, πόσαι αἱ ἐκφωνήσεις αὐτῶν εἰσιν. Εὑρίσκομεν οὖν, ὅτι τὸ ᾱ ἔχει ἐκφωνήσεις δέκα. Πῶς;

ᾱ μακρὸν δασὺ ὀξυνόμενον,
ᾱ μακρὸν δασὺ βαρυνόμενον,
ᾱ μακρὸν δασὺ περισπώμενον·
ἰδοὺ τρεῖς διαφοραὶ ἐκφωνήσεων·
πάλιν ᾱ μακρὸν ψιλὸν ὀξυνόμενον,
ᾱ μακρὸν ψιλὸν βαρυνόμενον,
ᾱ μακρὸν ψιλὸν περισπώμενον·

ἰδοὺ ἄλλαι τρεῖς διαφοραί· 775b
⟨πάλιν⟩ ᾱ βραχὺ δασὺ ὀξυνόμενον,
ᾱ βραχὺ δασὺ βαρυνόμενον,
ᾱ βραχὺ ψιλὸν ὀξυνόμενον,
ᾱ βραχὺ ψιλὸν βαρυνόμενον·
ἰδοὺ ἄλλαι τέσσαρες διαφοραί.
Καὶ ἐπὶ τοῦ ῑ δὲ ὁμοίως·

20—34, 20 hab. et. Σ^1

1 *ante* παράδ. *add* ὡς C | δύο F, τοῖς CO^dV ‖ 2 δὲ CO^d, δὴ F, *om* V | ἥ τε F, ἥτε C, εἴτε O^d, τῇ τε Vb ‖ 3 καὶ ἡ F, καὶ Vb, *om* CO^d | συνέλ. — ὄν. ὁμοφ. (4) *om* C | συνελεύσει Vb | *post* μόνων *add* μᾶλλον Vb ‖ 5 τούτου CF, τούτων O^dV ‖ 7 τ. δ. φ. τ. δ. σ. V, τ. δ. σ. τ. δ. φ. CFO^d | καὶ τινὰ μὲν προτακτικὰ τινὰ δὲ ὑποτακτικά V, *om* CFO^d ‖ 8 οὐκ V, οὐδὲ CFO^d ‖ 9 *in marg.* Διομήδους V ‖ 11 φοινίκεια CO^d, φοινίκια FV, φοινικικὰ b ‖ 13 ἐφεῦρεν FO^dV, εὗρεν C ‖ 14 Λοιπὸν — ἀρχῆς (15) *om* V | ἡμᾶς CO^d, ἡμῖν F ‖ 15 δὲ C, δὴ O^d | *post* εἰπὼν *add* λοιπὸν C ‖ 16 ἐστιν *bis om* C ‖ 19 οἱ O^d, *om* CFV ‖ 22 ἑνὶ — εἰσιν (24) *om* V | ἀπετυποῦτο Σ^1 ‖ 23 *post* ἀπετυπ. *add* τὸ πνεῦμα CΣ^1, πνεῦμα O^d, *om* F | Ἵνα — εἰσιν (24) *om* Σ^1 | ἐκζητήσ. — οὖν (24) *om* C | ποῖαι αἱ F, πόσαι O^d

ῑ μακρὸν δασὺ ὀξυνόμενον,   ῑ μακρὸν ψιλὸν περισπώμενον,
ῑ μακρὸν δασὺ βαρυνόμενον,   ῐ βραχὺ δασὺ ὀξυνόμενον,
ῑ μακρὸν δασὺ περισπώμενον,   ῐ βραχὺ δασὺ βαρυνόμενον,
ῑ μακρὸν ψιλὸν ὀξυνόμενον,   ῐ βραχὺ ψιλὸν ὀξυνόμενον,
ῑ μακρὸν ψιλὸν βαρυνόμενον,   ῐ βραχὺ ψιλὸν βαρυνόμενον.

— Περισπωμένων δὲ μνήμην ἐπὶ τῶν βραχέων οὐ πεποιήμεθα· οὐ γὰρ οἱόν τε ἦν ᾰ βραχὺ ἢ ῐ βραχὺ ὂν περισπᾶσθαι· ἐπάνω γὰρ βραχείας περισπωμένη οὐ τίθεται, εἴ γε ἡ μὲν βραχεῖα μονόχρονός ἐστι [καὶ ἀρκεῖ εἰπεῖν βραχεῖα], ἡ δὲ περισπωμένη σύνθετός ἐστι τόνος ἐξ ὀξείας καὶ βαρείας, καὶ ἀεὶ ἐπάνω μακρᾶς τίθεται, καὶ οὐ μόνον ἐπάνω μακρᾶς, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἐπὶ συνθέτου συλλαβῆς. Τί δέ ἐστι σύνθετος συλλαβή; ἡ ποτὲ μὲν ἐν δύο συλλαβαῖς ἐκφωνουμένη, ποτὲ δὲ
776b ἐν μιᾷ, ὡς ἐπὶ τοῦ Ἡρακλέης Ἡρακλῆς καὶ τῶν ὁμοίων, ὡς προείρηται
325,19c ἡμῖν. — Ἰδοὺ καὶ ἐπὶ τοῦ ῑ δέκα διαφοραί. Οἱ οὖν παλαιοὶ οὐχ ὁμοίως τὰ μακρὰ καὶ τὰ βραχέα ἐξεφώνουν, ἀλλ' ἐπὶ μὲν τῶν μακρῶν διπλασίονα ὥραν, ὡς ἄν τις εἴποι, ἐν τῇ ἐκφωνήσει ἐπέμενον, ἐπὶ δὲ τῶν βραχέων ἐλάττονα ὥραν, τουτέστι τὸ ἥμισυ τῆς ἐπὶ τῇ μακρᾷ ἐκφωνήσει ὥρας, καὶ ὡσανεὶ παρατρέχοντες αὐτὰ ἐξεφώνουν, ὥστε ἀπὸ μικρᾶς ἡλικίας εἰδέναι ἑκάστης συλλαβῆς, μακρᾶς τε καὶ βραχείας, τὴν διαφοράν· καὶ ἄλλως δὲ τὰ δασέα ἐξεφώνουν καὶ ἄλλως τὰ ψιλά, πῇ μὲν μετὰ πολλοῦ πνεύματος, πῇ δὲ μετὰ ἐλαχίστου.

Ἐπὶ δὲ τοῦ ῡ εἰσὶν ἐκφωνήσεις πέντε·

ῡ μακρὸν δασὺ ὀξυνόμενον,   ἰδοὺ τρεῖς διαφοραί· καὶ πάλιν
ῡ μακρὸν δασὺ βαρυνόμενον,   ῠ βραχὺ δασὺ ὀξυνόμενον,
ῡ μακρὸν δασὺ περισπώμενον·   ῠ βραχὺ δασὺ βαρυνόμενον·

ἰδοὺ πέντε διαφοραί· τὸ γὰρ ῡ ⟨ἄρχον λέξεως⟩ οὐδέποτε ψιλοῦται. Πάλιν ἐπὶ τοῦ η̄ καὶ τοῦ ω̄ εὑρίσκομεν δώδεκα διαφοράς, ἓξ ἐπὶ τοῦ η̄ καὶ ἓξ ἐπὶ τοῦ ω̄. Πῶς;

η̄ δασὺ ὀξυνόμενον,   ω̄ δασὺ ὀξυνόμενον,
η̄ δασὺ βαρυνόμενον,   ω̄ δασὺ βαρυνόμενον,
η̄ δασὺ περισπώμενον,   ω̄ δασὺ περισπώμενον,
η̄ ψιλὸν ὀξυνόμενον,   ω̄ ψιλὸν ὀξυνόμενον,
η̄ ψιλὸν βαρυνόμενον,   ω̄ ψιλὸν βαρυνόμενον,
η̄ ψιλὸν περισπώμενον,   ω̄ ψιλὸν περισπώμενον.

15—20 (ψιλά) hab. et. Σ^m

6 Περισπωμένων C, περισπωμένης F$O^d\Sigma^1$ | πεποιήμεθα O^dE, πεποίημαι C, ἐποιησάμεθα F, ποιοῦμεν A ‖ 7 οἱόν τε ἦν FΣ^1, οἷον τὴν CO^d | ᾰ — ὂν] αὐτὰ Σ^1 | ἢ F, καὶ CO^d | ὂν] ὂν οὐ F, ἢ ἕτερον τοιοῦτον CO^d | ἐπάνω — ἡμῖν (14) *om* Σ^1 ‖ 8 καὶ — βραχεῖα (9) *hab.* CFO^d ‖ 11 σύνθετος συλλαβή. ἡ F, σύνθετος. ἡ O^d, συνθέτου. τῆς C ‖ 12 ἐν F, ἐκ O^d, *om* C | συλλαβῶν O^d | ἐκφωνουμένη F, ἐκφωνουμένης C, ἐκφερομένη O^d ‖ 13 προείρ.] *vide p. 23, 20 seqq* ‖ 19 μακρᾶς — βραχ. *om* Σ^1 | τε O^dV, *om* CF ‖ 20 δὲ *add* V ‖ 26 οὐδέποτε ψιλοῦται. FΣ^1, βραχὺ οὐδέποτε περισπᾶται CO^d

Ἐπὶ δὲ τοῦ ε̄ καὶ τοῦ ο̄ ὀκτὼ διαφορὰς εὑρίσκομεν·

ε̄ δασὺ ὀξυνόμενον, ο̄ δασὺ ὀξυνόμενον,
ε̄ δασὺ βαρυνόμενον, ο̄ δασὺ βαρυνόμενον,
ε̄ ψιλὸν ὀξυνόμενον, ο̄ ψιλὸν ὀξυνόμενον,
ε̄ ψιλὸν βαρυνόμενον, ο̄ ψιλὸν βαρυνόμενον.

Ἰδοὺ ἐπὶ τῶν φωνηέντων ἀνεφάνησαν με΄ διαφοραὶ ἐκφωνήσεων. 777 b

Ἐπὶ δὲ τῶν ιζ΄ συμφώνων κα΄ εὑρίσκομεν διαφοράς· τὰ ⟨γὰρ⟩ τέσσαρα ἀμετάβολα, φημὶ δὴ λ̄ μ̄ ν̄ ρ̄, ἔχει ὀκτὼ διαφοράς· ποτὲ μὲν γὰρ μηκύνει τὰ πρὸ ἑαυτῶν φωνήεντα, ὡς δύο συμφώνων δύναμιν ἔχοντα καὶ ὡσανεὶ ἰσοδυναμοῦντα τῷ ζ̄ ἢ τῷ ξ̄ ἢ τῷ ψ̄, ἀρχόμενα μέντοι λέξεως, ὡς μετ' ὀλίγον εἰσόμεθα· ποτὲ δὲ οὐ μηκύνει, ἀλλὰ τοῖς συμφώνοις τοῖς ἄλλοις τοῖς ἀπὸ ἡμιχρονίου δύναμιν ἔχουσιν ὅμοια καθέστηκεν· ἄλλως οὖν ἐξεφώνουν, ὡς εἴρηται, τὰ μηκύνοντα, καὶ ἄλλως τὰ μὴ μηκύνοντα. Τὰ δὲ ἐπίλοιπα ιγ΄ σύμφωνα πρὸς μίαν ἔχει ἐκφώνησιν. Ἰδοὺ κα΄ διαφοραὶ ἐπὶ τῶν συμφώνων ἐφάνησαν, ἐπὶ δὲ τῶν φωνηέντων με΄, ὡς πάσας ὁμοῦ γίνεσθαι ξς΄ διαφορὰς ἐκφωνήσεων. Τὸ γὰρ εὑρισκόμενον παρὰ τοῖς Αἰολεῦσι δίγαμμα οὐκ ἔστι γράμμα· ἔχει δὲ τύπον τοιόνδε F̄· ὃ προστιθέασιν οἱ Αἰολεῖς ἑκάστῃ λέξει παρ' ἡμῖν δασυνομένῃ, αὐτοὶ ψιλοῦντες πᾶσαν λέξιν· σύμβολον οὖν ἐστι παρ' αὐτοῖς, ἐκφωνήσεις ἔχον τῆς ο̄ῑ καὶ ο̄ῡ διφθόγγου. Ὅθεν δείκνυται μὴ ὂν γράμμα μηδὲ συγκαταριθμούμενον τοῖς γράμμασιν· οὐ γὰρ ἐν πάσαις ταῖς Ἑλληνικαῖς διαλέκτοις εὑρίσκεται, ὡς τὰ ἄλλα γράμματα, οὔτε ἀφ' ἑαυτοῦ ἄρχεται ἐν τῷ ἐκφωνεῖσθαι, ὡς τὰ ἄλλα.

Ἰδοὺ τοσαῦται διαφοραὶ ἐκφωνήσεων· ὥστε τοῦτο ἐπιστάμενος ὁ 778 b
Διονύσιος ἐπιγράψας «περὶ στοιχείου» οὐκ ἐπήγαγε «στοιχεῖόν ἐστιν», ἀλλὰ «γράμματά ἐστιν».

Δεῖ δὲ προειδέναι καὶ τοῦτο, ὅτι τὸ παλαιὸν οὐκ ἦν τὰ κδ΄ γράμ- 780,7 b 121 v
ματα, ἀλλὰ ις΄· οὐκ ἦν δὲ τὰ τρία τὰ λεγόμενα διπλᾶ ζ̄ ξ̄ ψ̄, τὰ τρία δασέα θ̄ φ̄ χ̄, τὰ δύο μακρὰ η̄ καὶ ω̄. Ὅταν οὖν ἤθελον γράψαι λέξιν ἔχουσαν ἐκφώνησιν τοῦ η̄, ἔγραφον τὸ ε̄ καὶ ἐπάνω τοῦ ε̄ τὸ σημεῖον τῆς μακρᾶς· ὅταν δὲ τὴν ἐκφώνησιν τοῦ ω̄, ἔγραφον τὸ ο̄ καὶ ἐπάνω τοῦ ο̄, ὡς προείρηται ἐπὶ τοῦ ε̄, τὸ σημεῖον τῆς μακρᾶς. Ὅταν δὲ ἤθελον γρά-

---

6—35, 21 hab. et. Σ^m

7 τὰ — διαφοράς (8) FV, *om* CO^d Σ^l ‖ 8 μὲν *om* C ‖ 13 ἐξεφώνουν FO^d VA, ἐξεφωνοῦντο CE | καὶ — ἐκφών. (14) *om* V ‖ 14 *ante* ιγ΄ *add* τῶν συμφώνων CO^d ‖ 15 διαφοραὶ Σ^l, διαφορὰ CFV, διαφορὰν O^d | ἐφάνησαν] ἐφάνη CFV, ἐδείξαμεν O^d, *om* Σ^l ‖ 16 ὁμοῦ O^dV, *om* CFΣ^l ‖ 17 ἔχει — F (18) *om* Σ^l | δὲ b, γὰρ O^dFV, *om* C ‖ 18 τοιόνδε F, τόνδε CO^dV | *post* λέξει *add* τῇ b ‖ 19 παρ' αὐτοῖς ἐστιν C ‖ 20 ἐκφωνήσεις (ἐκφώνησιν Σ^l) — διφθόγγου CO^dVΣ^l, ψιλὴν ἐκφώνησιν ἐχούσης οὐ διφθόγγου F ‖ 24 Ἰδοὺ — ἐκφων. *om* V | ἐκφωνήσεων C, ἐκφωνήσεως FO^d ‖ 25 ἐπήγαγεν ὅτι στοιχ. CO^d ‖ 26 ἐστιν *om* CFO^d, *add* V ‖ 27 τὸ παλαιὸν FV, πάλαι CO^d ‖ 29 λέξιν *post* η̄ (*v. 30*) *transp.* CO^dV ‖ 32 γράψαι FV, συγγράψαι CO^d

ψαι λέξιν ἔχουσαν τὴν ἐκφώνησιν τοῦ ζ, ἔγραφον c καὶ δ ἀντὶ τοῦ
ζ, ὥςπερ καὶ νῦν εὑρίςκομεν παρὰ τοῖς Δωριεῦσιν, ἀντὶ δὲ τοῦ ξ κ καὶ
c, ἀντὶ δὲ τοῦ ψ π καὶ c· πάλιν ἂν ἤθελον γράψαι λέξιν ἔχουσαν τὴν
122v 20 ἐκφώνησιν τοῦ θ, ἔγραφον ἀντὶ τοῦ θ τὸ τ καὶ πρὸς τοῦτο ἐτίθεσαν τὸ
παρ' αὐτοῖς τότε σημεῖον τῆς δασείας, ἐνδεικνύμενοι ὅτι τοῦτο τὸ τ οὐκ
ἔστι νῦν τ ἀλλὰ θ τῇ ἐκφωνήσει· ἐπὶ δὲ τῆς ἐκφωνήσεως τοῦ φ ἔγρα-
φον τὸ π προστιθέντες, ὡς προείρηται, τὸ παρ' αὐτοῖς σημεῖον τῆς δα-
σείας· ἐπὶ δὲ τῆς τοῦ χ ἐκφωνήσεως τὸ κ ἔγραφον τὸ σημεῖον τῆς δα-
σείας προστιθέντες. Ἦν δὲ τὸ παλαιὸν σύμβολον τῆς δασείας τὸ παρ'
ἡμῖν νῦν Η· διὸ ὅτε ἐφευρέθη τὰ ὀκτὼ γράμματα, ὧν τὸ ἕν ἐστι καὶ
τὸ Η, ἡ τότε δασεῖα ἐτμήθη εἰς δύο κατὰ κάθετον, καὶ τὸ μὲν πρῶτον
30 αὐτῆς μέρος τῆς δασείας ἐστὶ σημεῖον, τὸ δὲ δεύτερον τῆς ψιλῆς.
Ἐφεῦρε δὲ τὰ ὀκτὼ ταῦτα γράμματα εἷς τῶν λυρικῶν, Σιμωνίδης.
788,28b Τὴν δὲ ἐτυμολογίαν, τίνος χάριν εἴρηται γράμματα, αὐτὸς εἴρηκεν
30 ὁ Διονύσιος, ἐπειδὴ ἐντυπούμενα ξυσμόν τινα ἀποτελεῖ, καὶ μάλιστα ἐν
τοῖς πτυχίοις ὑποκειμένου κηροῦ· δῆλον γὰρ ὅτι ἐν αὐτῷ ἐπενοήθη τὰ
γράμματα ἐντυποῦσθαι, ἵνα, ὡς τὸ μέλι πρώτιστον βρῶμά ἐστι τοῖς βρέ-
789b φεσιν, οὕτω καὶ τὸ περιλειπόμενον ἐκ τοῦ μέλιτος τῆς λογικῆς ἐντεύ-
ξεώς τε καὶ μαθήσεως ὑποδεκτικὸν εἴη τοῖς παισίν· ἐπειδὴ οὖν ξυσμόν
τινα ἀποτελεῖ ἐντυπούμενα, τὸ δὲ ἐπιξύσαι γράψαι ἔλεγον, τούτου χάριν
γράμματα εἴρηται.
20 Τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται.] Ἰδοὺ νῦν ἐμφαίνει, τίνος
ἕνεκεν εἰπὼν «περὶ στοιχείου» ἐπήγαγε «γράμματά ἐστιν», ὡς τοῦ αὐ-
τοῦ ὄντος γράμματος καὶ στοιχείου. Καὶ ἐτυμολογεῖ αὐτὰ ἀπὸ τοῦ
στείχω, ὅ ἐστι μετὰ τάξεως πορεύομαι· οὐ γὰρ ἀτάκτως καὶ ὡς ἔτυχεν
ἐπιπλέκεται ἀλλήλοις τὰ στοιχεῖα. Τὰ γὰρ φθάσαντά τινων προταγῆναι
ἐν ἐπιπλοκῇ — ἐπιπλοκὴ δέ ἐστιν ἡ ἐν μιᾷ συλλαβῇ ἐκφώνησις — οὐ-
κέτι καὶ ὑποτάσσεται· ὡς ἐν τῷ κλέος τὸ κ τοῦ λ προετάγη ἐν μιᾷ συλ-
790b λαβῇ, καὶ οὐδέποτε εὑρήσεις τὸ λ τοῦ κ προτασσόμενον ἐν μιᾷ συλλαβῇ·
καὶ τὸ π τοῦ ρ, ὡς ἐν τῷ πρῶτος, τὸ δὲ ρ τοῦ π οὐδέποτε· τό τε c

24—36, 13 hab. et. Σ^m

1 τοῦ ζ ἐκφ. CO^dV | τὸ c καὶ τὸ δ C ‖ **4** πρὸς τοῦτο b, πρὸ τοῦ τ CFO^dV ‖ **5** τότε *add* F | τὸ τ *add* FV ‖ **6** νῦν *add* F | ἐπὶ F, ἀντὶ CO^dV; *item v. 8* ‖ **9** Ἦν — δασείας *om* V | Ἦν δὲ F, *om* CO^d ‖ **10** διὸ ὅτε FO^dV, διότι C, διότι ὅτε b ‖ **12** *ante* σημ. *add* τὸ CO^d, *om* FV ‖ **15** ὁ *add* F | ἀποτελεῖ καὶ γραμμήν V | καὶ *ante* μάλ. *add* F ‖ **16** ὅτι πρῶτον ἐν F | τὰ γράμματα F, τὸ γράμμα CO^dV ‖ **18** περιλειπόμενον CV, παραλειπόμενον Fb, λειπόμενον O^d ‖ **19** ἐπειδὴ — εἴρηται (**21**) *om* O^d ‖ **20** ἐντυπούμενα b, ἐντυπούμενον CFV | ἐπιξέσαι CF, ξέσαι V | ἔλεγον F, ἐλέγετο C, λέγεται V ‖ **21** εἴρηται F, ἐλέγετο C, λέγεται V ‖ **24** Καὶ — αὐτὰ C, καὶ ἐτυμολογεῖται αὐτὸ O^d, καὶ ἡ ἐτυμολογία αὐτοῦ F, ἐτυμολογεῖ δὲ τὸ στοιχεῖον ὁ τεχνικὸς V ‖ **26** ἐπιπλέκεται F, ἐπίπλεκται C, ἐπιπλέκονται O^dV, ἐπιπέπλεκται b ‖ **27** ἐν ἐπιπλ. *om* F | ἐπιπλοκὴ *om* CO^d | ἐπιπλ. δὲ — ἐκφών.] ὅ ἐστιν ἐν μιᾶς συλλαβῆς ἐκφωνήσει V | ἡ FO^d, *om* C ‖ **30** τε C, δὲ FO^d, *om* V

τοῦ θ̄, ὡς ἐν τῷ cθένος, τὸ δὲ θ̄ τοῦ c̈ οὐδέποτε, καὶ τὰ ὅμοια. Ἡμεῖc δὲ καὶ ἄλλην ἐτυμολογίαν προτίθεμεν· φαμὲν γὰρ αὐτὰ εἰρῆcθαι ἀπὸ τοῦ τεῖχος προcθέcει τοῦ c̄ καὶ τροπῇ τοῦ ε̄ εἰc ο̄ cτοῖχος, καὶ ἐν παραγωγῇ cτοιχεῖον. Καὶ εἴποι ἄν τις, ὅτι ποίαν ἔχει ὁμοιότητα ἢ μετουcίαν τὸ τεῖχος πρὸc τὸ cτοιχεῖον; Καί φαμεν ὅτι καὶ πάνυ· ὥcπερ γὰρ τὸ τεῖχος φυλακή ἐcτι καὶ ἀcφάλεια τῶν ἐν τῇ πόλει, οὕτω καὶ τὰ cτοι- 10 χεῖα φυλακή ἐcτι τῶν παλαιῶν πραγμάτων· δι᾿ αὐτῶν γὰρ ἡμῖν τοῖc μεταγενεcτέροιc ἐφυλάχθη καὶ ἐν γνώcει ἐγένετο. Εἴποι δ᾿ ἄν τις αὐτὰ cτοιχεῖα εἰρῆcθαι καὶ κατὰ μίμηcιν τῶν τεccάρων cτοιχείων, πυρόc, ὕδατοc, ἀέροc, γῆc· ὥcπερ γὰρ ἐκ τούτων τῶν τεccάρων cτοιχείων cύγκειται πάντα καὶ ἐν ὑποcτάcει ἐcτὶ τὰ ἐν τῷ κόcμῳ, οὕτω καὶ ἐκ τῶν κδ´ cτοιχείων cύγκειται καὶ ἐν ὑποcτάcει ἐcτὶ πᾶc λόγοc καὶ πᾶν cύγγραμμα καὶ πᾶν βιβλίον.

Τούτων φωνήεντα μέν ἐcτιν ἑπτά.] Τὰ κδ´ γράμματα διαι- 795,21 b ρεῖται εἰc δύο, εἰc φωνήεντα καὶ εἰc cύμφωνα· καὶ φωνήεντα μέν, ὥc φηcι καὶ αὐτόc, ἑπτά, ἃ καὶ εὐλόγωc λέγεται φωνήεντα, ὡc μὴ χρήζοντα cυνάρcεωc ἑτέρου τινὸc εἰc τὸ ἐκφωνηθῆναι, ἀλλὰ τελείαν φωνὴν ἀφ᾿ ἑαυτῶν ἀφιέντα· τὰ δὲ λοιπὰ ιc´ cύμφωνά ἐcτιν. Τίνοc δὲ ἕνεκεν εἴρηται cύμφωνα; Ἔcτι μὲν εὔδηλον πάντῃ, καὶ αὐτὸc δὲ ὁ τεχνικὸc μετ᾿ ὀλίγον ἐρεῖ.

Τῶν δὲ φωνηέντων.] Διελὼν τὰ κδ´ γράμματα εἰc φωνήεντα 796,26 b καὶ εἰc cύμφωνα ἑκάcτῃ διαιρέcει ὑποδιαιρέcειc ἐπιφέρει· καὶ πρώτην ὑποδιαίρεcιν ταύτην φηcὶ τὴν τῶν φωνηέντων, καὶ ὑποδιαιρεῖ αὐτὰ εἰc 30 μακρὰ καὶ εἰc βραχέα καὶ εἰc δίχρονα.

Μακρὰ μέν ἐcτι δύο, η̄ καὶ ω̄.] Μακρὰ δὲ λέγεται ταῦτα ὡc 797,15 b παρὰ τοῖc παλαιοῖc ἐν διπλαcίονι χρόνῳ τῶν βραχέων ἐκφωνούμενα· καὶ τὰ δύο μὲν παρὰ πᾶcιν ἐν ἰcότητι δοκεῖ εἶναι ἕνεκεν τῆc μακρᾶc. 24 Ζητηcάντων δέ τινων, ποῖόν ἐcτι τῶν δύο μακρότερον, εὑρέθη τὸ η̄ μακρότερον· ἐπὶ μὲν γὰρ τοῦ ω̄ προπαροξύνονται λέξειc τινέc, ὡc ἐπὶ τοῦ μάντεωc καὶ φύcεωc καὶ τῶν ὁμοίων, ἐπὶ δὲ τοῦ η̄ οὐδέποτε. Ἀλλ᾿ ἐρεῖ τιc, ὅτι οἱ Ἀττικοὶ τοῦτο ἐτόλμηcαν. Ἀλλὰ καὶ ἡμεῖc φαμεν πρὸc

---

25—38, 14 hab. et. Σ^m (V *add* Διομήδουc) ‖ **30—37, 7 hab. et.** Σ^1

3 τοῦ c̄ FV, *om* CO^d | εἰc ο̄ FV, εἰc τὸ ο̄ CO^d ‖ **4** ὅτι FV, *om* CO^d ‖ **5** τὸ (*ante* τ.) FV, *om* CO^d | καὶ (*ante* π.) FV, *om* CO^d ‖ **6** τὸ FO^dV, *om* C ‖ **7** πραγμάτων CO^dV, γραμμάτων F ‖ **8** *post* ἐγένετο *add* τὰ τῶν παλαιῶν πονήματα O^d | αὐτὰ O^dV, αὐτὰ καὶ F, ἂν τὰ C, αὖ τὰ b ‖ **9** καὶ CV, *om* FO^d ‖ **10** cύγκειται CO^dV, cυγκρα'.εῖται F; *item v. 12* ‖ **14** ἐcτιν F, εἰcιν C, *om* O^d ‖ **16** χρήζοντα cυνάρcεωc C, ἔχοντα χρεῖαν cυνάρcεωc F, δεόμενα cυναρμόcεωc O^d ‖ **18** ἀφιέντα F, ἀφίενται C, ἀφιέναι O^d | Τίνοc — ἐρεῖ (**20**) *add* F ‖ **22** εἰc (*ante* cύμφ.) FO^d, *om* C ‖ **23** τὴν O^d, *om* CF ‖ **24** καὶ εἰc δίχρ. FO^d, *om* C ‖ **25** ἐcτι F, εἰcι CO^d | **25—30** *cfr* Σ^1 ‖ **27** καὶ — μακρᾶc *om* V ‖ **29** μακρότερον (*post* η̄) F, *om* CO^dV ‖ **30** τοῦ (*prius*) FO^dV, *om* C | μάντεωc *et* φύcεωc FO^d, μάντεων *et* φύcεων CV

αὐτόν, ὅτι οἱ Ἀττικοὶ οἱ τολμήσαντες ἐπὶ τοῦ ω̅, εἰ εὗρον τὸ η̅ ἴσον τῷ ω̅ ἢ ἔλασσον, εἶχον ἂν καὶ ἐπ' αὐτοῦ τολμῆσαι προπαροξύνειν· μὴ τολμήσαντες δὲ ἀνεδείξαντο εὑρηκέναι τὸ η̅ τοῦ ω̅ μεῖζον. Δεῖ δὲ τὸ η̅ μὲν ἐκφωνοῦντας μηκύνειν τὸ στόμα ὡς ἐπὶ τὰ ὦτα ἑκατέρωθεν, τὸ δὲ ω̅ ἐκφωνοῦντας μηκύνειν τὰ χείλη ὡς ἐπὶ τὴν ῥῖνα καὶ τὸν πώγωνα· διὸ καὶ ἐνομοθετήθη μακρὰ εἶναι, ὡς μηκύνοντα τὴν ἐπιφάνειαν τῶν φωνητικῶν ὀργάνων ὑπὲρ τὰ ἄλλα φωνήεντα.

798, 13b Βραχέα δύο, ε̅ καὶ ο̅.] Δῆλον ὅτι οἱ παλαιοὶ ταῦτα παρατρέχοντες ἐφθέγγοντο, καὶ οὐ τοσαύτην ὥραν ὅσην ἐπὶ τοῦ η̅ καὶ τοῦ ω̅ ἐποίουν ἐν τῷ ἐκφωνεῖν, ἀλλὰ κατὰ τὸ ἥμισυ μέρος. Καὶ ἐπὶ τούτων δέ, τῶν βραχέων φημί, ὅ τε Ἡρωδιανὸς ὁ τεχνικὸς καὶ ὁ τούτου πατὴρ Ἀπολλώνιος ἐζήτησαν, τί τίνος ἐστὶ βραχύτερον. Καὶ ὁ μὲν Ἀπολλώνιός φησι τὸ ο̅ εἶναι βραχύτερον τοῦ ε̅, ἀποδείξει τοιαύτῃ χρώμενος· λέγει γὰρ ὅτι τὸ ι̅ ἑκατέρῳ αὐτῶν προσθεὶς ποιήσεις δηλονότι δύο διφθόγγους, καὶ ἡ μέν ἐστι μείζων ἡ τὸ ε̅ ἔχουσα, ἡ δὲ ἐλάσσων ἡ τὸ ο̅ ἔχουσα, ὡς εἶναι αὐτὴν βραχεῖαν καὶ ἐν τοῖς τόνοις, ὡς ἐν τῷ Ὅμηροι Πρίαμοι καὶ ἐν τοῖς ὁμοίοις. Ὁ δὲ Ἡρωδιανὸς τὸ ε̅ μᾶλλον λέγει εἶναι βραχύτερον, ἀποδεικνὺς οὕτως· φησὶ γὰρ πρὸς τὸν πατέρα, ὅτι οὐ δεῖ τῇ παραθέσει τοῦ ι̅ ἐξετάζειν ἐκείνων τὴν δύναμιν, ἀλλὰ κατ' ἰδίαν ἄνευ τινὸς παραθέσεως καὶ μάλιστα τῆς τοῦ ι̅· τοῦτο γὰρ συγγένειάν τινα ἔχει πρὸς τὸ ε̅· καὶ δείκνυσιν ἐκ τοῦ τὴν ἐκφώνησιν τοῦ ι̅ εἶναι ὄνομα τοῦ ε̅ γράμματος· τῷ συγγενεῖ οὖν προστεθὲν μεγάλην τινὰ καὶ δυναμικωτάτην δίφθογγον ἀπετέλεσεν· τῷ δὲ ο̅ προσελθόν, ᾧ οὐκ ἔχει
799b συγγένειαν, οὐκ ἐνεδείξατο ὅλην τὴν ἑαυτοῦ δύναμιν. Ὡς καὶ ἐπὶ παραδείγματος ἀνθρωπείου, ἵνα καὶ μᾶλλον σαφῶς αὐτὸ νοήσωμεν, εἴ τις ἀδελφὸν αὐτοῦ θεάσαιτο χρείαν ἔχοντα βοηθείας, ὅλῃ τῇ ψυχῇ ὑπερασπίζει αὐτὸν καὶ συμπράττει καὶ ὑπερμαχεῖ· ἀλλ' οὖν οὐχ ὅλῃ τῇ ψυχῇ ὑπὲρ ξένου τοῦτο ποιήσει, ἐξ οὗ καὶ ἀδρανεστέρα ἡ τῶν ἀμφοτέρων δύναμις πρὸς τοὺς ἐξ ἐναντίας ὤφθη· οὕτω καὶ ἐπὶ τοῦ ι̅ νόησον, ὅτι οὐχ ὁμοίως ἐπεδείξατο τὴν ἑαυτοῦ δύναμιν ἐπὶ τοῦ ο̅, ὡς ἐπὶ τοῦ ε̅ τοῦ συγγενοῦς. Διὰ τοιούτων λόγων ὁ Ἡρωδιανὸς ἀνατρέψας τὴν τοῦ

---

1 ἴσον — ἔλασσον (2)] ἧσσον τοῦ ω̅ Σ^1 ‖ 2 τῷ O^d, τοῦ CFV | ἂν *add* V | μὴ — μεῖζον (3) *om* Σ^1 ‖ 3 ἐνεδείξαντο V ‖ 4 ἐκφωνοῦντας FO^dVΣ^1, ἐκφωνοῦντα C; *item v. 5* ‖ 6 ἐπιφάνειαν CO^dVΣ^1, φυσικὴν ἐπιτηδειότητα F ‖ 8—38, 14 *cfr etiam* Σ^1 ‖ 8 δὲ δύο O^d, δὲ *om* CFV ‖ 10 ἀλλὰ — ἐζήτησαν (12)] καὶ ζητητέον V | κατὰ F, καὶ O^d, *om* C ‖ 11 ὁ τεχνικὸς F, *om* CO^d ‖ 16 βραχ. καὶ V, καὶ βραχεῖαν CO^d, κατὰ λόγον F | τοῖς τόνοις CFO^dV, τέλει λέξεων Σ^ϑ 33, 6 ‖ 17 ἐν τ. ὁμ. FV, τὰ ὅμοια CO^d ‖ 18 εἶναι F, *om* CO^dV ‖ 21 ἐκ τοῦ FV, ἐκ τούτου CO^d ‖ 23 τῷ δὲ ο̅ προσελθὼν ᾧ O^dV, τὸ δὲ ο̅ προσελθόντος τοῦ ᾧ C, τὸ δὲ ο̅ προσελθὸν εἰς ω̅ F ‖ 24 καὶ *add* V ‖ 25 καὶ μᾶλλον V, μᾶλλον καὶ CFO^d ‖ 26 θεάσαιτο VΣ^ϑ 33, 17, ἐθεάσατο CO^d, θεάσηται F | τῇ ψυχῇ C, ψυχῇ O^dVΣ^ϑ, δυνάμει F ‖ 27 αὐτὸν FO^d, αὐτοῦ CΣ^ϑ, *om* V | καὶ ὑπ. *om* F | ὑπερμαχεῖ b, ὑπερμαχεῖται CO^dV | τῇ FO^dV, *om* C ‖ 29 ὤφθη CV, ὤφθησαν O^d, ὀφθείη F ‖ 30 ἐπὶ τοῦ ο̅ FV, ἐν τῷ ο̅ O^d, *om* C ‖ 31 ἀνατρέψας F, ἀποστρέψας CO^dVΣ^ϑ

πατρὸς δόξαν ἐπιφέρει τοιαύτην δικαιολογίαν, δι' ἧς δείκνυσι τὸ ε̄ βραχύτερον τοῦ ο̄, ἐλεγχόμενον ὑπὸ τῆς κλίσεως τῶν ὀνομάτων. Φησὶ δὲ ἀληθέστατον κανόνα τοιοῦτον, ὅτι πᾶσα κλητικὴ τῆς ἰδίας εὐθείας ἢ ἴση ἐστὶν ἢ ἐλάσσων, μείζων δὲ οὐδέποτε· ἢ γὰρ φυλάσσει τὸ τῆς τελευταίας συλλαβῆς φωνῆεν, καὶ δῆλον ὅτι ἴση ἐστίν, ὡς ἐπὶ τοῦ ὁ Ξενοφῶν ὦ Ξενοφῶν, ἡ καλή ὦ καλή, τὸ παιδίον ὦ παιδίον, ἢ ἐὰν μὲν τρέπῃ, οὔτε εἰς ἴσον οὔτε εἰς μεῖζον τρέπει αὐτό, ἀλλὰ πάντως εἰς ἔλαττον, ὁ Ὀρέστης ὦ Ὀρέστα (τὸ ᾱ τοῦ η̄ βραχύτερον), ὁ Μέμνων ὦ Μέμνον (ἐπὶ μὲν τῆς εὐθείας τὸ ω̄, ἐπὶ δὲ τῆς κλητικῆς τὸ ο̄), ὁ Ἀπόλλων ὦ Ἄπολλον, ὁ Ἀριστοφάνης ὦ Ἀριστόφανες· ἐπὶ τοῦ Ὅμηρος οὖν καὶ ἐπὶ πάντων τῶν εἰς ο̄ς̄ ἢ ἐφυλάξατο τὸ ο̆ ἡ κλητική, ἢ ἐὰν τρέπῃ αὐτό, ὥσπερ οὖν καὶ τρέπει, πάντως εἴς τι βραχύτερον τοῦ ο̆ τρέπει αὐτό· ἐπειδὴ οὖν εἰς ε̄ τρέπει αὐτό, δῆλον ὅτι τὸ ε̄ βραχύτερόν ἐστι τοῦ ο̄, οἷον ὁ Ὅμηρος ὦ Ὅμηρε.

Δίχρονα τρία, ᾰ ῑ ῡ.] Ταῦτά τινες καὶ ἄλλοις ὀνόμασιν ἐκάλεσαν, 801b οἱ μὲν ἀμφίβολα, ὡς ἀμφιβαλλόμενα πότε μὲν μακρά ἐστι πότε δὲ βραχέα, οἱ δὲ ὑγρά, ὡς εὐόλισθα ἐπί τε τὸν τῆς μακρᾶς χρόνον ἐπί τε τὸν τῆς βραχείας· ἄλλοι δὲ δίσημα, ὡς ἐπιδεχόμενα δύο σημεῖα, ποτὲ μὲν τῆς μακρᾶς, ποτὲ δὲ τῆς βραχείας· τινὲς δὲ τρίχρονα, ὡς ποτὲ μὲν ἔχοντα δύο χρόνους, ὅτε μακρά ἐστι, ποτὲ δὲ ἕνα, ὅτε βραχέα ἐστίν· ἀλλ' οὐ καλῶς οὗτοι ὠνόμασαν αὐτὰ τρίχρονα· οὐ γὰρ δμοῦ ἐπιδέχεται τοὺς τρεῖς χρόνους, ἐπεὶ ἔμελλεν ὑπὲρ τὸ η̄ καὶ ω̄ μακρότερα εἶναι. Οἱ δὲ ὠνόμασαν αὐτὰ δίχρονα, ὅπερ καὶ ἐπεκράτησε· ποτὲ γὰρ τὸν χρόνον τῆς μακρᾶς, ποτὲ δὲ τῆς βραχείας ἐπιδέχεται· ὅπερ καὶ αὐτός φησι, διὰ τοῦτο εἰρῆσθαι αὐτὰ δίχρονα, ἐπεὶ ἐκτείνεται καὶ συστέλλεται.

Προτακτικὰ φωνήεντα πέντε.] Δευτέρα ὑποδιαίρεσις τῶν φωνηέντων ἐστὶν αὕτη, εἰς προτακτικὰ καὶ ὑποτακτικά· καὶ προτακτικὰ μέν ἐστι τῶν ἑπτὰ πέντε, ᾱ ε̄ η̄ ο̄ ω̄, ὑποτακτικὰ δὲ δύο, ῑ καὶ ῡ. Καὶ φανερόν ἐστι, τίνος ἕνεκεν λέγεται τὰ μὲν προτακτικά, τὰ δὲ ὑποτακτικά, ὡς αὐτός φησι· προτακτικὰ δὲ λέγεται καὶ τὰ ἑξῆς· τούτων γὰρ τῶν πέντε προτασσομένων, τῶν ⟨δὲ⟩ δύο ὑποτασσομένων, τοῦ ῑ καὶ τοῦ ῡ, αἱ δίφθογγοι ἀποτελοῦνται.

---

1 δι' ἧς δείκνυσι F, δεικνὺς CO^dVΣ^ϑ ‖ **2** τοῦ ο̆ F, *om* CO^dVΣ^ϑ | ὑπὸ CFV, ἀπὸ O^d ‖ **5** ἐπὶ FO^dV, ἀπὸ C | ὁ *add* Vb ‖ **11** *prius* ἢ *add* V | ἐφυλάξατο CFO^dV, φυλάττει b ‖ **12** οὖν *add* F | εἰς τι F, ἐστι CO^dV, εἰς Vb | τὸ ο̄ V ‖ **13** *prius* τρέπει αὐτό *add* F | *poster.* αὐτό *add* F | τὸ ε̄ *add* F ‖ **16** οἱ μὲν ἀμφ. ὡς FO^d, *om* C | ποτὲ μὲν — ποτὲ δὲ F, ποτὲ γὰρ — ποτὲ δὲ (δὲ *om* C) CO^d ‖ **17** οἱ F, τινὲς C, ἔνιοι O^d | ἐπί τε τὸν (*poster.*) F, καὶ CO^d ‖ **18** ἄλλοι — βραχ. (**19**) *om* F | ποτὲ μὲν — ποτὲ δὲ O^d, πότε — καὶ πότε C ‖ **19** ὡς — τρίχρονα (**21**) FO^d, *om* C ‖ **22** ὑπὲρ — ω̄ CO^d, ἀντὶ τοῦ η̄ καὶ ἀντὶ τοῦ ω̄ F ‖ **26** *post* συστέλλεται *add* καὶ κοινὰ C, *om* O^dF ‖ **27—33** *om* O^d ‖ **31** προτακτ. — ἑξῆς F, *om* C ‖ **32** δὲ *add* *Uhlig* | τοῦ F, *om* C; *item v. 33*

802b **Καὶ τὸ ῡ δὲ ἐνίοτε προτακτικόν καὶ τὰ ἑξῆς.]** Τὸ «ἐνίοτε» ἔφη, ὡς τινῶν δόξαν ἐχόντων μὴ εἶναι δίφθογγον τοῦ υἱός καὶ τοῦ μυῖα τὸ ῡ καὶ ῑ, ἀλλὰ διῃρημένως ἐκφωνεῖσθαι· ὅθεν τινὲς καὶ περιστίζουσιν αὐτοῦ τὸ ῑ, ὡς τῆς στιγμῆς χωρισμὸν ἐμφαινούσης. Καὶ αὐτὸς μὲν τὴν ἀπόδειξιν τὴν παριστῶσαν ἀκριβῶς εἶναι δίφθογγον τό τε υἱός καὶ τὸ μυῖα οὐ λέγει· ἡμᾶς δὲ δεῖ διασαφῆσαι καὶ παραστῆσαι αὐτήν· οὐ γὰρ ὡς ἀγνοῶν παρέλιπεν αὐτήν, ἀλλ᾽ ὡς ἐν ὑπομνήματι ἢ πρὸς εἰσαγομένους γράφων. Ἔστιν οὖν αὕτη· τῆς ὀξείας μεμαθήκαμεν τρεῖς εἶναι τόπους, τόν τε ἐπὶ τῆς τελευταίας συλλαβῆς καὶ τὸν παρατέλευτον καὶ τὸν πρὸ δύο συλλαβῶν τοῦ τέλους· καὶ περαιτέρω τούτων οὐ δέδωκεν ἡμῖν ἡ φύσις, οὐδὲ ἐὰν θελήσωμεν ἐπαρκεῖ τὸ πνεῦμα· ὥστε πρὸ τριῶν συλλαβῶν τουτέστι τετάρτην ἀπὸ τέλους ὀξεῖαν ἐπί τινων λέξεων ποιῆσαι ἡμᾶς ἀδύνατον· εἰ τοῦτο δὲ ἀληθές, ὥσπερ καὶ ἔστιν, ἐπὶ τοῦ ἅρπυια καὶ αἴθυια καὶ τῶν τοιούτων εἰ ἦν τὸ ῡ συλλαβὴ κατ᾽ ἰδίαν, καὶ τὸ ῑ κατ᾽ ἰδίαν συλλαβὴ τόνον ἔχον διῃρημένον καὶ κεχωρισμένον τοῦ ῡ καὶ τοῦ ᾱ, ὡς ἐν τῷ αἰτία καὶ ἐν ἄλλαις λέξεσίν ἐστι κατ᾽ ἰδίαν ἐν συλλαβῆς τόπῳ, πῶς ἐπὶ τῆς α̅ι̅ συλλαβῆς τὴν ὀξεῖαν βάλλομεν, τριῶν μετὰ τὴν α̅ι̅ συλλαβήν, ὥς φασιν ἐκεῖνοι, συλλαβῶν οὐσῶν, τῆς θ̅υ̅ καὶ τῆς ῑ καὶ τῆς ᾱ; ὁμοίως καὶ ἐπὶ τοῦ ἅρπυια πῶς ἐπὶ τῆς α̅ρ̅ συλλαβῆς βάλλομεν τὴν ὀξεῖαν, τριῶν, ὥς φασιν, ὑπολειπομένων συλλαβῶν, τῆς π̅υ̅ καὶ τῆς ῑ καὶ τῆς ᾱ; Ἐκ φυσικῆς οὖν ἀνάγκης, τῆς λεγούσης μηδέποτε πρὸ τριῶν συλλαβῶν κεῖσθαι ὀξεῖαν, τὸ ῡ καὶ τὸ ῑ εἶναι δίφθογγον τουτέστι μίαν συλλαβὴν δέδεικται.

803,5b **Δίφθογγοι δέ εἰσιν ἕξ.]** Λείπει τὸ «εὔφωνοι»· οὐ γὰρ μόναι εἰσὶν ἓξ δίφθογγοι. Δίφθογγοι δὲ λέγονται, ἐπειδὴ ἐκ δύο φθόγγων συνίστανται· φθόγγοι δὲ καλοῦνται κατὰ μουσικὸν λόγον τὰ γράμματα.

1—23 hab. et. Σ^m (V *in marg. add* Διομήδους) Σ^1 ‖ **24—40, 5 simillima hab. et.** $\Sigma^m \Sigma^1$

2 ἔφη F, εἶπον V, *om* C$O^d\Sigma^1$ | τοῦ υἱός καὶ τοῦ (τοῦ *om* E) μ. Eb, τὸ υἱός καὶ τὸ (τὸ *om* VA) μ. CVA, τὸ υ̅ι̅ καὶ τὸ μ. O^d, ὡς ἐν τῷ υἱός καὶ τῷ μ. F ‖ **3** τὸ ῡ καὶ ῑ *om* Σ^1 | μυῖα καὶ οὐχ ἡνωμένως τὸ ῡ καὶ ῑ ἀλλὰ διῃρ. ὀφειλόντων ἐκφ. V ‖ **4** αὐτοῦ τὸ ῑ b, αυτο ῡ καὶ τὸ ῑ C, αὐτὸ τῆς ῡ τὸ ῑ O^d, αὐτὸ τοῦ ῡ καὶ τοῦ ῑ F, ἀπὸ τοῦ υ̅ι̅ τὸ ῑ V, αὐτὸ Σ^1 ‖ **5** παριστῶσαν FVΣ^1, παριστᾶσαν CO^d ‖ **6** τὸ μυῖα FVΣ^1, τὰ ὅμοια CO^d | δὲ δεῖ FO^dVΣ^1, *om* C ‖ **7** οὐ — γράφων (8) *om* Σ^1 | οὐ — αὐτήν F, *om* CO^dV ‖ **8** γράφων F, γράφοντας CO^dV | μεμαθ.] *scil. in commentario* περὶ προσῳδιῶν; *cfr p. 23, 29* ‖ **10** τοῦ τέλους *add* F ‖ **14** ἐπὶ τοῦ FΣ^1, ὡς ἐπὶ τοῦ βαΐουλος (βάϊλος V) καὶ CO^dVb | εἰ — ἔχον (15) F, εἰ καὶ (ἦν *add* O^d) ἡ θ̅υ̅ συλλ. τύπον ἐπέχουσα CO^d, εἰ ἦν συλλ. ἡ υ̅ι̅ (ἡ θ̅υ̅ι̅ συλλ. Σ^1) τύπον ἔχουσα VΣ^1 ‖ **16** τοῦ ῡ — ᾱ F, τὸ ῡ καὶ τὸ ῑ C$O^d\Sigma^1$, τὸ ῡ V | ἐν τῷ αἰτία καὶ] τὸ αἴθυα C, ἐν τῷ αἰθυΐα $O^d\Sigma^1$, ἐν τῷ αἴθυα V, *om* F | ἐν ἄλλαις — πῶς (17) F, ὅσαι τε ἄλλαι λέξεις εἰσὶ κατ᾽ ἰδίαν ἐν δισυλλάβῳ τόπῳ (τύπῳ Vb) ὡς (πῶς b) CO^dVΣ^1b ‖ **19** τοῦ FO^dE, τῆς CVAb ‖ **22** λεγούσης CO^dVΣ^1, ἐλεγχούσης F ‖ **24** μόναι FVΣ^1, μόνοι CO^db ‖ **25** δίφθ. *add* O^d | Δίφθ. — δίφθ. (40, 1) *om* F | δὲ *om* C ‖ **26** φθόγγοι VEb, φθογγαὶ CO^dA

Καὶ οὐ μόνον εἰςὶν ἓξ δίφθογγοι, ἀλλὰ ιβʹ, ὧν αἱ μὲν ἓξ εἰςιν εὔφωνοι, ἃς καὶ αὐτός φηςιν, αἱ δὲ τρεῖς κακόφωνοι, ἡ ηυ, ὡς ἐν τῷ ηὗδα, ἡ 10 ωυ, ὡς ἐν τῷ ωὑτός, ἡ υι, ὡς ἐν τῷ υἱός· αἱ δὲ τρεῖς ἄφωνοι, ἡ ῳ, ὡς ἐν τῷ Ὁμήρῳ ᾠκοδόμουν ᾠνοχόει, ἡ ῃ, ὡς ἐν τῷ τῇ Ἑλένῃ ληςτὴς ἐπῄνουν, ἡ ᾳ, ὡς ἐν τῷ Αἰνείᾳ ᾄδω Θρᾷξ καὶ ὅςα τοιαῦτα.

Τὴν δὲ τρίτην ὑποδιαίρεςιν τῶν φωνηέντων παρεςιώπηςεν ὁ τεχνι- 29 κός· ἔςτι δὲ αὕτη, ἡ εἰς ἀμετάβολα καὶ μεταβολικά. Καὶ ἀμετάβολα μέν ἐςτι τέςςαρα, η ω ι υ, διότι ἐν ταῖς κλίςεςι τῶν ῥημάτων ἀμετάβολα μένει, οἷον ἡγεμονεύω ἡγεμόνευον, ὠθῶ ὤθουν, ἱππεύω ἵππευον, ὑμνῶ ὕμνουν· 804b μεταβολικὰ δὲ τρία, α ε ο, ⟨διότι μεταβάλλονται ἐν ταῖς κλίςεςι τῶν ῥημάτων⟩, οἷον ἄρχομαι ἠρχόμην, οἰκῶ ᾤκουν, ἐλέγχω ἤλεγχον. Ἰδοὺ τρεῖς ὑποδιαιρέςεις τῶν φωνηέντων ἐδείξαμεν· καὶ ἐν τοῖς ςυμφώνοις τοςαύτας δείξομεν, μᾶλλον δὲ καὶ μίαν περιττήν, ἣν ἐν τοῖς φωνήεςιν εὑρεῖν ἀδύνατον.

Πάλιν τῶν διφθόγγων αἱ μέν εἰςι κατ' ἐπικράτειαν, ὡς ἐπὶ τῆς ει διφθόγγου καὶ τῆς ῃ καὶ τῆς ῳ καὶ τῆς ᾳ τῆς ἐχούςης τὸ ι ἀνεκφώνητον· ἐπὶ τούτων γὰρ ὁ φθόγγος τοῦ ἑνὸς φωνήεντος ἐπικρατεῖ καὶ αὐ- 10 τὸς ⟨μόνος⟩ ἐξακούεται, οἷον Νεῖλος, τῇ Ἑλένῃ, τῷ καλῷ, τῇ Μηδείᾳ καὶ τὸ Θρᾷξ· αἱ δὲ κατὰ κρᾶςιν, ὡς ἐπὶ τῆς ου διφθόγγου καὶ τῆς αυ καὶ τῆς ευ· ἐπὶ τούτων γὰρ ςυναιροῦςιν ἑαυτὰ τὰ δύο φωνήεντα καὶ ἀποτελοῦςι μίαν φωνὴν ἁρμόζουςαν τοῖς δύο φωνήεςιν, οἷον οὗτος αὐτός εὔχου· αἱ δὲ κατὰ διέξοδον, ὡς ἐπὶ τῆς ηυ καὶ τῆς ωυ καὶ τῆς υι. ἐπὶ τούτων γὰρ χωρὶς ἀκούεται τοῦ ἑνὸς φωνήεντος ὁ φθόγγος, οἷον ηὔλουν ωὑτός (ἀντὶ τοῦ ὁ αὐτός) υἱός· ἐπειδὴ δὲ ἡ αι δίφθογγος ἡ ἐκφωνοῦςα τὸ ι καὶ ἡ οι δίφθογγος οὔτε κατ' ἐπικράτειάν εἰςιν οὔτε κατὰ κρᾶςιν οὔτε κατὰ διέξοδον, εἰκότως ὡς ςτερηθεῖςαι τοῦ ἰδιώματος τῶν διφθόγγων ἐςτερήθηςαν καὶ τοῦ χρόνου τοῦ παρεπομένου ταῖς δι-

---

6—41, 15 hab. et. Σ^m ‖ **15—41, 3 hab. et.** A (= *Choerob. I 366, 21—367, 5*)

1 ιβʹ A (E *om totum enuntiatum*), δυοκαίδεκα F, ἕνδεκα CO^dVb ‖ **2** ἃς FV, ὡς CO^db ‖ **3** ἡ ῳ] τὸ ω καὶ τὸ ι CO^d ‖ **4** ἡ ῃ] τὸ η καὶ τὸ ι CO^d ‖ **5** ἡ ᾳ FA, α μακρὸν καὶ ι CO^d, ἡ ᾳ μετὰ τοῦ μακροῦ α καὶ ἀνεκφωνήτου ι V | Αἰνείᾳ *add* F | ᾄδω CO^d, ᾄδης b, *om* FV ‖ **6** *ante* Τὴν *add* ςύμφωνα δὲ τὰ λοιπὰ ιζʹ CO^dF | ὁ τεχν. *add* F ‖ **7** ἡ FV, *om* CO^d ‖ **8** ἐςτι *add* F | η καὶ ω, ι καὶ υ CO^d | διότι O^d, ὅτι V, ὡς F, *om* C, ἃ b | μένοντα F ‖ **9** ὠθῶ ὤθουν F, ὠρονομῶ ὠρονόμουν CO^dV ‖ **11** ἔρχομαι ἠρχόμην, ὀτρύνω ὤτρυνα, ἄγω ἦγον F ‖ **13** δείξομεν] ἐδείξαμεν τρεῖς F, *om* CO^dV ‖ **14** *post* ἀδύν. *add* V: εἰς ἡμίφωνα καὶ ἄφωνα, τὰ ἡμίφωνα εἰς μεταβολικὰ καὶ εἰς διπλᾶ, τὰ ἄφωνα εἰς ψιλά, εἰς δαςέα καὶ εἰς μέςα· εἰς προτακτικὰ καὶ ὑποτακτικά· εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα, μακρὰ μὲν τὰ διπλᾶ, δίχρονα τὰ ἀμετάβολα, βραχέα τὰ λοιπά ‖ **15—41, 15** *om* F ‖ **17** γὰρ *add* A | ἐπικρατεῖ — αὐτὸς *om* A ‖ **18** οἷον — Θρᾷξ (**19**) *om* A ‖ **19** καὶ τὸ Θρ. *om* V | ὡς — κρᾶςιν (**26**) O^dVA, *om* Cb ‖ **20** ἐπὶ — εὔχου (**22**) VA, *om* O^d | ςυναιροῦςιν V, ςυγκιρνῶςιν A ‖ **22** εὔχου *om* A ‖ **23** οἷον — υἱός (**24**) *om* A

φθόγγοις, καὶ τούτου χάριν αὗται μόναι ἐκ τῶν διφθόγγων τῷ τονικῷ παραγγέλματι ἀντὶ κοινῆς παραλαμβάνονται καὶ πρὸς ἕνα ἥμισυ χρόνον ἔχουσιν.

Πάλιν αἱ δίφθογγοι αἱ μὲν τρεῖς μετατρέπουσιν εἰς τὸν παρατατι-
20 κόν, φημὶ δὲ ἡ ᾱῑ δίφθογγος, τρέπει γὰρ τὸ ᾱ εἰς η̄, οἷον αἰσχύνομαι ᾐσχυνόμην, αἰδοῦμαι ᾐδούμην, αἰτῷ ᾔτουν· καὶ ἡ ᾱῡ δίφθογγος τρέπει καὶ αὐτὴ τὸ ᾱ εἰς η̄, οἷον αὐλῶ ηὔλουν, αὐχῶ ηὔχουν· καὶ ἡ ο̄ῑ δίφθογγος τρέπει τὸ ο̄ εἰς τὸ ω̄, οἷον οἴχομαι ᾠχόμην, οἴγω ᾦγον, οἰκῶ ᾤκουν, οἰκοδομῶ ᾠκοδόμουν· αὕτη δὲ ἡ ο̄ῑ δίφθογγος διφορεῖται, καὶ ποτὲ μὲν ἑαυτὴν φυλάττει ἐν τῷ παρατατικῷ, ὡς ἐν τῷ οἰνοχοῶ οἰνοχόουν, οἰωνίζομαι οἰωνιζόμην, οἰκουρῶ οἰκούρουν, ποτὲ δὲ τρέπεται εἰς ῳ̄. Αἱ δὲ ἄλλαι ἄτρεπτοί εἰσιν, οἷον οὐρῶ οὔρουν, οὐριοδρομῶ οὐριο-
30 δρόμουν, εἴργω εἶργον, εἰκονίζω εἰκόνιζον, εἰκάζω εἴκαζον, οἱ δὲ Ἀττικοὶ διὰ τοῦ η̄ καὶ τοῦ ῑ, οἷον ᾔκαζον· καὶ τὸ εὐφραίνομαι εὐφραινόμην οἱ Ἀττικοὶ διὰ τοῦ η̄ φασὶν ηὐφραινόμην· καὶ αἱ ἑξῆς δίφθογγοι.

805,4 b Σύμφωνα δὲ τὰ λοιπὰ ιζ΄.] Τῶν ἑπτὰ γὰρ φωνηέντων ἀφαιρεθέντων ἐκ τῶν κδ΄ ⟨γραμμάτων⟩, δῆλον ὅτι ιζ΄ περιλείπεται. Τίνος δὲ ἕνεκεν εἴρηται σύμφωνα; Αὐτὸς ἐπιφέρει, ὅτι αὐτὰ μὲν καθ᾽ ἑαυτὰ φωνὴν οὐκ ἔχει. Λείπεται τὸ «τελείαν»· μικρὰν γὰρ ἔχει, ἐπεὶ εἰ μηδ᾽ ὅλως εἶχέ τινα φωνήν, οὐκ ἂν ἐναλλαγή τις ἐγένετο τῆς φωνῆς
10 ἐν τῷ ἐκφωνεῖσθαι καθ᾽ ἑαυτὰ τὰ φωνήεντα καὶ πάλιν μετὰ συμφώνων, ἀλλ᾽ οἵαν τὸ ᾱ ἐκφωνούμενον ἔχει φωνήν, τοιαύτην ἂν εἶχε καὶ μετὰ τοῦ β̄ ἢ γ̄ ἐκφωνούμενον· νῦν δὲ οὐκ ἔχει τὴν αὐτήν. Δῆλον οὖν ἐκ τούτου, ὡς τοῦ β̄ ἡ πρόσθεσις ἐναλλαγὴν ποιήσασα τῆς φωνῆς συνήγαγέ τινα μετρίαν φωνήν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων συμφώνων, ἵνα μὴ ἀκαίρως πολυλογῶμεν.

23 Τούτων ἡμίφωνα μέν ἐστιν ὀκτώ.] Ἤρξατο λέγειν τὰς ὑποδιαιρέσεις τῶν συμφώνων, καί φησι πρώτην ταύτην εἰς ἡμίφωνα καὶ ἄφωνα· ἐπειδὴ γὰρ ἐπάνω εἰρήκαμεν, ὅτι ὅσας ἔχει ὑποδιαιρέσεις τὰ

17—42, 16 hab. et. Σ^m ‖ 17—26 hab. et. Σ^1

1 μόναι O^dV, μόνον CAb ‖ 2 ἥμισυ CO^d, ἥμισυν b, καὶ ἥμισυν V | ἥμισυ χρόνον] ἡμίχρονον A ‖ 4 μὲν *add* V ‖ 5 *post* παρατ. *add* αἱ δὲ ἄλλαι ἄτρεπτοί εἰσι CO^d ‖ 9 αὕτη O^dV, ταύτη Cb ‖ 10 ἑαυτὴν *add* V | *post* παρατ. *add* καὶ ἐν τῷ ἐνεστῶτι CO^db | ὡς ἐν τῷ O^d, ὡς τὸ C, οἷον V ‖ 11 ποτὲ — οἷον (12) V, πάλιν τὸ CO^db ‖ 15 καὶ — δίφθ. O^d, καὶ ἑξῆς διφθόγγων C, *om* V ‖ 16 Σύμφ. — ιζ΄ F, *om* CO^d | γὰρ F, δὲ CO^d ‖ 17 περιλείπεται F, καταλιμπάνουσι C, περιλιμπάνουσιν O^d | Τίνος — ἑξῆς (43, 10) *om* O^d ‖ 19 Λείπ. — εἰ] εἰ δὲ F | μικρὰν γὰρ ἔχει V, ἐπεὶ μικρὰν ἔχει Σ^1, φωνὴν ἔχειν ἐπεὶ μικρὰν ἔχει C ‖ 20 τις CFVΣ^1, *om* b | τῆς FVΣ^1, *om* Cb ‖ 21 καθ᾽ ἑαυτὰ FV, καὶ αὐτὰ CΣ^1b ‖ 22 τοιαύτην CFVΣ^1, τὴν αὐτὴν b ‖ 23 τὴν αὐτήν CVΣ^1b, τοιαύτην F ‖ 25 ἐπὶ F, *om* CVΣ^1b ‖ 27 ἐστιν FV, *om* C | ὑποδιαιρέσεις Fb, ὑποθέσεις C, ἐπιδιαιρέσεις V ‖ 28 ταύτην εἰς F, ταύτην V, αὐτὴν τοῦ εἰς C, τὴν τοῦ εἶναι b ‖ 29 ἐπάνω] *vide p. 40, 13* | ὑποδιαιρ. CF, διαιρέσεις V

φωνήεντα, τοcαύταc ἔχει καὶ τὰ cύμφωνα — τρεῖc δὲ ἔχει ἐκεῖνα — τὰ δὲ cύμφωνα μετὰ τὸ ἔχειν τὰc τρεῖc ἐκείναc ὑποδιαιρέcειc τῶν φωνηέντων καὶ τετάρτην ὑποδιαίρεcιν ἔχειν, διαιρεῖ ταῦτα εἰc ἡμίφωνα καὶ ἄφωνα, καὶ οὐ τὰ φωνήεντα· οὐ γὰρ ἠδύναντο τὰ φωνήεντα οὕτω διαιρεῖcθαι εἰc ἡμίφωνα καὶ ἄφωνα, αὐτόθεν τελείαν φωνὴν ἔχοντα.

Ἡμίφωνα δὲ λέγεται, ὅτι παρ' ὅcον ἧττον τῶν φωνηέν- 806,14b
των εὔφωνα καθέcτηκεν.] Δῆλον ὅτι ἡμίφωνα ἐλέχθη ὡc ἥμιcυ φωνῆc ἔχοντα· ὅθεν ἐπιφέρει καὶ αὐτόc, ὅτι ὅcον ἐλάττονά ἐcτι τῶν φωνηέντων ἐν τῇ ἐκφωνήcει τῶν τελείαν φωνὴν ἐχόντων, τοcοῦτον εὐφωνότερά ἐcτι τῶν ἄλλων ἐννέα cτοιχείων τῶν καλουμένων ἀφώνων. — Ἔν τε τοῖc μυγμοῖc καὶ cιγμοῖc.] Ἐν τῷ θέλειν ἡμᾶc ἐκφωνεῖν ἄνευ τῶν φωνηέντων κατ' ἰδίαν ταῦτα τὰ προλεχθέντα ὀκτὼ ἡμίφωνα, τελείαν μὲν φωνὴν οὐ δυνάμεθα ἀφιέναι, μυγμὸν δέ τινα ἢ cυριγμόν, ὅπερ ἐcτὶν ἀρχὴ φωνῆc ἤτοι ἥμιcυ φωνῆc, ἐκβάλλομεν, τὸ ζ̄ ἢ τὸ c̄ ἢ τὸ μ̄ ἤ τι τούτων θέλοντεc ἐκφωνεῖν· ἐπὶ γὰρ τοῦ ρ̄ cχεδὸν καὶ τελείαν φωνὴν ἐκβάλλομεν, ὅθεν καὶ παρά τιcιν ἔδοξεν εἶναι φωνῆεν.

Ἄφωνα δέ ἐcτιν ἐννέα.] Τὸ ᾱ cημαίνει τέccαρα, cτέρηcιν, ἐπί- 808,9b
ταcιν, ὁμοῦ, κακόν· cτέρηcιν οὖν, ὡc ὅταν εἴπωμεν «ὁ λίθοc οὗτοc ἄψυχόc ἐcτι», δῆλον γὰρ ὅτι ἐcτέρηται τῆc ψυχῆc· ἐπίταcιν δέ, ὥcπερ παρὰ τῷ ποιητῇ ⟨Λ 155⟩ ὡc δ' ὅτε πῦρ ἀΐδηλον ἐν ἀξύλῳ ἐμπέcῃ ὕλῃ, ἐν ἀξύλῳ ἀντὶ τοῦ ἐν πολυξύλῳ· ὁμοῦ δέ, ὡc ἐν τῷ ἄλοχοc (ἡ ὁμόλεχοc) ἀκόλουθοc (ὁ ὁμοκέλευθοc)· κακὸν ⟨δέ⟩, ὡc ἐν τῷ «ὁ δεῖν' ἄμορφόc ἐcτιν», ἀντὶ τοῦ κακόμορφοc· οὐ γὰρ ἐcτέρηται τῆc οἱαcδήποτε μορφῆc ὁ δεῖνα· «ὁ τραγῳδὸc ἄφωνόc ἐcτι», τουτέcτι κακόφωνοc· οὐ γὰρ ἔcτι τραγῳδὸc φωνὴν μὴ ἔχων. Οὕτωc οὖν ἐνταῦθα ἄφωνα λέγεται ταῦτα τὰ ἐννέα γράμματα ὡc κακόφωνα, καὶ οὐχ ὡc τελείωc φωνῆc ἐcτερημένα· ὡc γὰρ προείρηται ἡμῖν, τὸ β̄ καὶ τὸ γ̄ καὶ τὰ ἑξῆc εἰ μηδ' ὅλωc τὴν τυχοῦcαν εἶχε φωνήν, μετὰ τοῦ ᾱ ἢ μετὰ τῶν ἄλλων φωνηέντων cυμπλεκόμενα οὐκ ἂν ἐνήλλαccε τὴν ἐκείνων ἐκφώνηcιν·

11—16 hab. et. Σ[1] ‖ 25—43, 2 similia hab. et. Σ[m]

1 ἔχει (*prius*) V, *om* CF ‖ **2** τὰ δὲ cύμφ. — ἔχειν (3) F, *om* CV ‖ **3** ἔχειν] ταύτην ἔχει F | διαιρεῖ ταῦτα] διαιρεῖ δὲ ταύτην Cb, διαιρεῖται δὲ τὰ cύμφωνα V, *om* F ‖ **4** καὶ οὐ — ἄφωνα (5) *om* F | καὶ οὐ τὰ φων. V, *om* Cb ‖ **5** καὶ ἄφωνα V, *om* C ‖ **6** ὅτι *om* V | ὅτι — καθέcτ. (7) *om* F ‖ **7** εὔφ. καθ. *om* V | εὔφωνα] ἐκ τούτου C | ἥμιcυ φωνῆc CV, ἡμιφωνείαν F ‖ **9** τοcοῦτον F, *om* CV, τοcούτῳ *Egenolff* | εὐφωνότερά *Egenolff*, εὔφωνα CFV ‖ **11** μυγμοῖc V, cτιγμοῖc C, νυγμοῖc F, cτιγμαῖc b | cιγμοῖc CVb, cυριγμοῖc F ‖ **12** τὰ — ἡμίφωνα *om* Σ[1] | τὰ FVb, *om* C ‖ **13** μυγμὸν CVΣ[1]b, νυγμὸν F ‖ **17** ἐcτιν *om* F ‖ **18** οὖν F, *om* Cb ‖ **19** ὥcπερ — ἀντὶ (21) F, ὡc ἐν ἀξύλῳ ὕλῃ ἀντὶ Cb ‖ **20** ἐμπέcεν F ‖ **21** δέ *add* F | ὁμόλεχοc F, ὁμόλοχοc Cb ‖ **22** ἐν τῷ *add* F | δεῖν' F, δεῖνα C ‖ **23** τῆc C, *om* F | οἱαcδήπ. CF, ὁποιαcδήπ. b ‖ **24** ἄφωνοc — τραγῳδὸc (25) F, *om* Cb ‖ **25** Οὕτωc οὖν F, καὶ C ‖ **26** ταῦτα — γράμματα F, *om* Cb | τελείωc FV, τελείαc C, τελέωc b ‖ **27** προείρ.] *vide p. 41, 19 seqq.* | ἡμῖν F, εἰ μὴ Cb ‖ **29** cυμπλεκόμενα CFV, τῶν cυμπλεκομένων b

809b ἐπειδὴ δὲ ἐναλλάσσει, δῆλον ὅτι καὶ αὐτὰ μετρίαν τινὰ συνεισήγαγε
φωνὴν ἐν τῷ συλλαμβάνεσθαι καὶ συμπλέκεσθαι αὐτοῖς.

14 Τούτων ψιλὰ μέν ἐστι τρία.] Τὰ ἄφωνα πάλιν ὑποδιαιρεῖ εἰς
ψιλὰ καὶ δασέα καὶ μέσα· καὶ ψιλὰ μέν ἐστι τρία, τὸ κ̄ καὶ π̄ καὶ τ̄.
Ψιλὰ δὲ λέγεται τὰ ὀλίγῳ πνεύματι ἐκφωνούμενα, δασέα δὲ τὰ πολλῷ,
μέσα δὲ τὰ μήτε πολλῷ μήτε ὀλίγῳ πνεύματι ἐκφωνούμενα, ἀλλὰ τῶν
μὲν ὀλίγον πνεῦμα ἐχόντων ὑπερβεβηκότα τῷ πνεύματι, τουτέστι πλείονι
20 πνεύματι ἐκφωνούμενα, τῶν δὲ πολὺ ὑποβεβηκότα τῷ πνεύματι, τουτέστιν ἔλαττον πνεῦμα ἔχοντα.

810,5b Καὶ ἔστι τὸ μὲν β̄ μέσον τοῦ π̄ καὶ φ̄ καὶ ἑξῆς.] Οὐχ ὡς
ἔτυχεν οἱονδήποτε τῶν μέσων ἐστὶν οἱουδήποτε δασέος ἢ ψιλοῦ μέσον,
ἀλλὰ διακεκριμένως τόδε τι τῶν μέσων τοῦδε καὶ τοῦδέ ἐστι μέσον καὶ
οὐχ ἑτέρων, διά τινα φυσικὴν καὶ ἀναγκαίαν αἰτίαν, ἣν εὔκαιρον νῦν
10 εἰπεῖν. Φωνητικὰ ὄργανα τρία ἐστίν, γλῶσσα, ὀδόντες καὶ χείλη. Τοῖς
μὲν οὖν ἄκροις χείλεσι πιλουμένοις ἐκφωνεῖται τὸ π̄, ὥστε σχεδὸν μηδ᾽
ὅλως πνεῦμά τι παρεκβαίνειν· ἀνοιγομένων δὲ τῶν χειλέων πάνυ καὶ
πνεύματος πολλοῦ ἐξιόντος ἐκφωνεῖται τὸ φ̄· τὸ δὲ β̄ ἐκφωνούμενον
ὁμοίως τοῖς ἄκροις τῶν χειλέων, τουτέστι περὶ τὸν αὐτὸν τόπον τοῖς
προλεχθεῖσι τῶν φωνητικῶν ὀργάνων, οὔτε πάνυ ἀνοίγει τὰ χείλη, ὡς
τὸ φ̄, οὔτε πάνυ πιλοῖ, ὡς τὸ π̄, ἀλλὰ μέσην τινὰ διέξοδον τῷ πνεύματι πεφεισμένως δίδωσιν· ἐξ ἀνάγκης οὖν τὸ β̄ μέσον ἐστὶ τοῦ π̄ καὶ
20 φ̄ καὶ οὐχ ἑτέρων, ὡς περὶ τὸν αὐτὸν ἐκείνοις, λέγω δὲ τῷ π̄ καὶ φ̄,
ἐκφωνούμενον τόπον. Ὁμοίως δὲ καὶ τὸ γ̄ μέσον ἐστὶ τοῦ κ̄ καὶ χ̄,
διότι καὶ αὐτὸ περὶ τὸν αὐτὸν τόπον ἐκείνοις, ὧν ἐστι μέσον, ἐκφωνεῖται· τὸ μὲν γὰρ κ̄, τῆς γλώσσης τῇ ἐκφωνήσει προσπιλουμένης τῷ
οὐρανίσκῳ καὶ κυρτουμένης καὶ μὴ συγχωρούσης σχεδὸν μηδ᾽ ὅλως τὸ
τυχὸν πνεῦμα ἐξελθεῖν, ἐκφωνεῖται· τὸ δὲ χ̄ τῇ αὐτῇ ἐκφωνήσει, τῆς
γλώττης μὴ προσπιλουμένης μηδ᾽ ὅλως προσαπτομένης τῷ οὐρανίσκῳ,

---

5—44, 14 hab. et. Σ^m ‖ 10—47, 15 hab. et. O^d ‖ 14—44, 12 hab. et. A

1 δῆλον — αὐτὰ F, καὶ αὐτὰ δῆλον ὅτι Cb | συνεισήγαγε F, συνήγαγον C Vb ‖ 3 ἐστι τρία C, *om* F ‖ 3 Τὰ ἄφ. — ἑξῆς (10)] Ἰστέον δὲ ὅτι O^d ‖ 4 καὶ (*ante* ψ.) *add* F | τρία *add* F ‖ 6 πν. ἐκφων. *add* F ‖ 7 ὑπερβεβηκότων C ‖ 8 πνεύματι (*ante* ἐκφ.) *add* F | ὑποβεβηκότων C ‖ 13 εὔκαιρον O^dVb, καιρὸς F, εὗρον C ‖ 14 γλ. ὀδ. καὶ χ. FO^dA, ἡ γλ. οἱ ὀδ. τὰ χ. CVb ‖ 15 τὸ π̄ FO^dVA, *om* C | ὥστε — φ̄ (17) *om* A | μηδ᾽ ὅλῳ πνεύματι F, μήτε (μηδὲ b) ὀλίγον τι πνεῦμα CO^dVb ‖ 16 παρεκβαίνειν Fb, παρεμμένειν CV, παραμένειν O^d ‖ 18 τόπον CO^dVb, τρόπον FA ‖ 19 τῶν — ὀργάνων] φωνητικοῖς ὀργάνοις A | ἀνοίγει CO^dVAb, ἀνοίγεται F ‖ 20 πιλοῖ CO^d, πιλεῖ Vb, ψιλοῖ A, πλεῖον F ‖ 21 πεφεισμ. *om* A | π̄ καὶ φ̄ FA, π̄ καὶ τοῦ φ̄ O^d, φ̄ καὶ π̄ CVb ‖ 22 καὶ οὐχ — τόπον (23) *om* A | ὡς — τόπον (23) *om* F | δὲ τῷ b, δὲ τὸ C, δὴ τοῦ O^d, δὴ V ‖ 24 τόπον O^dVA, τόνον F, *om* Cb ‖ 25 γὰρ *add* FA | *ante* τῇ *add* ἐν b, *om* CFO^dVA | ἐκφωνήσει CO^dVAb, ἐκφύσει F; *item v. 27* ‖ 27 τὸ δὲ — ἐκφωνεῖται (44, 1) *om* A ‖ 28 προσαπτομένης V, συναπτομένης C O^db, *om* F

ἀλλὰ συγχωρούσης πολὺ πνεῦμα ἐξελθεῖν, ἐκφωνεῖται· ὁμοίως τῇ αὐτῇ ἐκφωνήσει [τῆς γλώττης] τὸ γ̄ ἐκφωνεῖται, μήτε πάνυ προσπιλουμένης τῆς γλώττης τῷ οὐρανίσκῳ, ὡς ἐπὶ τοῦ κ̄, μήτε πάνυ ἀνοιγομένης, ὡς ἐπὶ τοῦ χ̄, ἀλλὰ μέσην τινὰ διέξοδον τῷ πνεύματι παρεχούσης. Ὁμοίως δὲ καὶ τὸ δ̄ μέσον ἐστὶ τοῦ θ̄ καὶ τ̄ καὶ οὐχ ἑτέρων, ὡς καὶ αὐτὸ περὶ 811b τὸν αὐτὸν τόπον, ὃν μέλλω σοι λέγειν, ἐκείνοις ἐκφωνούμενον· τὸ γὰρ τ̄, τῆς ἄκρας τῆς γλώττης προσπιλουμένης τοῖς ὀδοῦσι καὶ μὴ συγχωρούσης σχεδὸν μηδὲ τὸ τυχὸν πνεῦμα ἐξελθεῖν, ἐκφωνεῖται· τὸ δὲ θ̄, ἀποχωρούσης τῆς ἄκρας τῆς γλώσσης τῶν ὀδόντων καὶ παρεχούσης ἔξοδον τῷ πολλῷ πνεύματι, ἐκφωνεῖται· τὸ δὲ δ̄, μήτε πάνυ προσπιλουμένης τῆς ἄκρας τῆς γλώσσης τοῖς ὀδοῦσι μήτε πολὺ ἀποχωρούσης, ἀλλ' ὡς ἂν εἴποι τις καὶ ἐφαπτομένης καὶ μὴ ἐφαπτομένης, οὕτως ἐκφωνεῖται. Διὰ ταύτας οὖν τὰς φυσικὰς αἰτίας οὐ τὰ τυχόντα τῶν τυχόντων ψιλῶν καὶ δασέων μέσα ἐστίν, ἀλλὰ διακεκριμένως.

Ἔστι δὲ καὶ τεχνικὴ αἰτία, ἀποδεικνύουσα ὅτι συγγενῆ ἐστι τὰ μέσα τῶν δασέων καὶ τῶν ψιλῶν· πάντα γὰρ τὰ εἰς ψ̄ λήγοντα ⟨ὀνόματα⟩ διὰ τούτων ποιεῖ τὰς γενικάς, οἷον Πέλοψ Πέλοπος, λίψ λιβός, Κίνυψ Κίνυφος· ὁμοίως καὶ ἐπὶ τῶν εἰς ξ̄ ληγόντων, οἷον Φοῖνιξ Φοίνικος, τέττιξ τέττιγος, θρίξ τριχός· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων τριῶν, πάντα γὰρ τὰ εἰς ς̄ λήγοντα διὰ τούτων ποιεῖ τὰς γενικάς, ⟨οἷον⟩ χάρις χάριτος, Πάρις Πάριδος, ὄρνις ὄρνιθος.

Ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς,] τουτέστιν ἰσοστοιχεῖ· πολλάκις γὰρ εἰς τὸν τόπον τῶν ψιλῶν τὰ δασέα τίθεται, ἀλλ' οὐχ οἱαδήποτε οἱωνδήποτε, ἀλλὰ τὰ κατὰ τὸν αὐτὸν τόπον τῶν φωνητικῶν ὀργάνων ἐκφωνούμενα. Διὸ πολλάκις εἰς τὸν τόπον τοῦ π̄ τὸ φ̄ τίθεται, ὅταν ἐπιφερομένης λέξεως δασυνομένης μὴ τολμᾷ τὸ ψιλὸν ὑποστῆναι τὴν τοῦ δασέος ἐπιφοράν· κατ' οὐδὲν γὰρ διαφέρει τὸ π̄ τοῦ φ̄, εἰ μὴ ὅτι μετὰ πολλοῦ πνεύματος ἐκφωνεῖται τὸ φ̄· ἀλλ' ὡς ἔλασσον τῇ δυνάμει τοῦ πνεύματος τὴν τοῦ μείζονος πνεύματος ἐπιφορὰν ὑποστέλλεται, ὡς ἐπὶ ἀνθρώπου ὁ ἐλάσσων μετασχηματίζεται μείζονος ἐπερχομένου. Ὡσαύτως καὶ εἰς τὸν τόπον τοῦ κ̄ τὸ χ̄ τίθεται ἐπερχομένης δασείας, καὶ εἰς τὸν τόπον τοῦ τ̄ τὸ θ̄. Τὰ δὲ παραδείγματα 812b

---

23—25 hab. et. Σ^m ‖ **28—31 hab. et.** Σ^m

2 ἐκφωνήσει CO^{d}Vb, ἐκφύσει FA | τῆς γλώττης *hab.* CFO^{d}VAb ‖ **3** τῆς γλώττης O^d, *om* CFVAb | πάνυ FO^d, πολὺ CAb, *om* V ‖ **5** τ̄ FV, τοῦ τ̄ CO^{d}Ab ‖ **6** ὃν — λέγειν *om* VA ‖ **8** μηδὲ Ab, μήτε CFO^{d}V | τὸ δὲ — ἐκφων. (**10**) *om* F ‖ **9** τῆς ἄκρας CO^{d}VA, *om* b ‖ **12** ἂν *add* FA | καὶ ἀφαπτομ. C | καὶ μὴ ἐφαπτ. *add* FA ‖ **13** τυχόντων Fb, *om* CO^{d}V | ψιλῶν — ἐστίν (**14**)] μέσων C, μέσων εἰσὶ μέσα O^d, μέσων ἐστὶν V, ἅτινα ἐστὶν οἷον δήποτε ψιλῶν καὶ δασέων F ‖ **14** διακεκριμένα CO^{d}V, κεκριμμένως F ‖ **15—21** *om* F ‖ **16** ὀνόμ. *om* CO^{d}b ‖ **20** γὰρ O^d, *om* Cb ‖ **22** δὲ FO^d, *om* Cb ‖ **24** τόπον CO^{d}V, τρόπον F ‖ **27** π̄ τοῦ φ̄ CFb, φ̄ τοῦ π O^d ‖ **28** τὸ φ̄ F, *om* CO^{d}b ‖ **29** τὴν FVb, *om* CO^d ‖ **30** ὁ ἐλάσσων FV, ἐλάσσονος CO^{d}b

αὐτὸς παρατίθεται, ἐπὶ μὲν τοῦ π̄ παραθέμενος τὸν στίχον τοῦτον ⟨ι 279⟩ ἀλλά μοι εἴφ᾽ ὅπῃ ἔσχες ἰών· τὸ γὰρ ἐντελὲς ἦν «ἀλλά μοι εἰπὲ ὅπῃ ἔσχες ἰών», καὶ διὰ τὸ μέτρον τὸ ε̄ ἀπεστράφη τοῦ εἰπέ, καὶ εἰς τὸν τόπον τοῦ ε̄ τοῦ ἐκβληθέντος ἔδει τεθῆναι τὸ ο̄ τοῦ ὅπῃ, οὗ δασυνομένου οὐκ ἐτόλμησε τὸ π̄ ὑποστῆναι, ἀλλὰ τὸ ἰσόστοιχον αὐτοῦ τὸ φ̄ τὸν τόπον αὐτοῦ τοῦ π̄ ἀνεπλήρωσεν· ἐπὶ δὲ τοῦ κ̄ παρέθετο τὸν στίχον τοῦτον ⟨ε 229⟩ αὐτίχ᾽ ὁ μὲν χλαῖναν· ⟨τὸ γὰρ ἐντελὲς ἦν «αὐτίκα ὁ μὲν χλαῖναν»⟩, καὶ διὰ τὸ μέτρον ἀπεστράφη τὸ ᾱ τὸ τελευταῖον τοῦ αὐτίκα, εἰς δὲ τὸν τόπον τοῦ ᾱ ἔδει τεθῆναι τὸ ο̄, ὅπερ δασύνεται· τὸ οὖν κ̄ τῆς δασείας ἐπιφερομένης ὑπεστάλη, καὶ παρεισέδυ τὸ ἰσόστοιχον αὐτοῦ τὸ χ̄· ὁμοίως καὶ ἐπὶ τοῦ τ̄, ⟨Γ 95⟩ ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες· τὸ γὰρ ἐντελὲς ἦν «ὣς ἔφατο», καὶ ἀπεστράφη τὸ ο̄ διὰ τὸ μέτρον, καὶ τὸ τ̄ ἐτράπη εἰς θ̄ διὰ τὴν ἐπιφορὰν τοῦ οι̅ δασυνομένου.

813,19b Ἔτι δὲ τῶν συμφώνων διπλᾶ μέν ἐστι τρία.] Ἤρξατο τῆς δευτέρας ὑποδιαιρέσεως τῶν συμφώνων, τῆς οὔσης πρώτης ἐν τοῖς φωνήεσιν· ὥσπερ γὰρ τῶν φωνηέντων τὰ μέν ἐστι μακρά, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα, οὕτω καὶ τῶν συμφώνων τὰ μέν ἐστι μακρά, ἅπερ αὐτός φησι διπλᾶ, ζ̄ ξ̄ ψ̄, τὰ δὲ δίχρονα, λ̄ μ̄ ν̄ ρ̄, τὰ δὲ ἐπίλοιπα βραχέα· καὶ ὥσπερ ἐπὶ τῶν φωνηέντων τὸ η̄ ⟨καὶ τὸ ω̄⟩ δύναμιν ἔχει δύο βραχέων, τοῦ ε̄ καὶ ο̄, οὕτω καὶ τὸ ζ̄ ξ̄ ψ̄ δύναμιν ἔχει δύο συμφώνων βραχέων τῶν ἐχόντων ἀπὸ ἡμιχρονίου· ὅθεν καὶ ἐν τῷ μέτρῳ ἀντὶ ἐπιφορᾶς δύο συμφώνων παραλαμβάνεται ἕνα ἐχόντων χρόνον. Ἐντεῦθεν καὶ διπλᾶ αὐτά φησιν ὁ Διονύσιος, ὡς διπλασίονα δύναμιν ἔχοντα τῶν
30 ἄλλων συμφώνων· τῶν γὰρ ιζ′ συμφώνων τὰ μὲν δέκα ἀπὸ ἡμιχρονίου ἀεὶ ἔχει, τὰ δὲ τέσσαρα ἀμετάβολα ποτὲ μὲν ἀπὸ ἑνὸς χρόνου ἔχει, ποτὲ δὲ ἀπὸ ἡμιχρονίου, διὸ καὶ δίχρονα αὐτὰ ἔφαμεν, ποτὲ δὲ οὔτε ἀπὸ ἡμιχρονίου, ὡς σὺν θεῷ εἰσόμεθα ἐν τῷ περὶ κοινῆς συλλαβῆς, ταῦτα δὲ τὰ τρία, ζ̄ ξ̄ ψ̄, ἀεὶ ἀπὸ ἑνὸς χρόνου ἔχει. Οὐχ ὡς οὖν ἐκ δύο συμ-
814b φώνων συγκείμενα διπλᾶ εἴρηται, ἀλλ᾽ ὡς δύο συμφώνων δύναμιν ἔχοντα· εἰ γὰρ τοῦτο ἀληθὲς ὑπολαμβάνομεν, ὅτι ἕκαστον αὐτῶν ἐκ δύο συμφώνων σύγκειται, ἢ ὅτι εἰς δύο σύμφωνα δύναται διαιρεῖσθαι, ἀναιροῦμεν αὐτὰ τοῦ εἶναι στοιχεῖα, μαθόντες εἶναι στοιχεῖον τὴν πρώτην καὶ

29—46, 3 hab. et. Σ^m

1 αὐτὸς — δασυν. (**14**) F, αὐτῶν ὁ τεχνικὸς τίθησι καὶ ἐπὶ τοῦ π̄ καὶ ἐπὶ τοῦ κ̄ καὶ ἐπὶ τοῦ τ̄ $CO^d b$ | τὸ στοιχεῖον τοῦτο F ‖ **15** διπλᾶ — συμφώνων (**16**) F, διπλᾶ. δεῖγμα τοῦτο τῆς δευτέρας ὑποδιαιρέσεως ἐστι τῶν συμφώνων O^d, *om* C ‖ **16** τῆς οὔσης — συμφώνων (**18**) *om* O^d ‖ **18** ἅπερ αὐτός φησι F, ὥς φησιν αὐτὸς (τὰ δὲ *add* O^d) CO^d ‖ **20** τὸ η̄ καὶ τὸ ω̄] τὸ η̄ C, τὸ ῡ O^d, τῶν η̄ F | δύναμιν — ψ̄ (**21**) F, *om* CO^d ‖ **21** ἔχει FO^d, *om* Cb ‖ **24** φησιν ὁ Διον. F, φησιν Cb, φασιν O^d | διπλασίονα — ἄλλων συμφ. (**25**) F, διπλασίαν τῶν συμφώνων δύν. ἔχ. τ. ἄλλων CO^d ‖ **26** ἀεὶ F, *om* CO^d | τὰ δὲ — ἡμιχρον. (**27**) O^dF, *om* Cb ‖ **27** διὸ — ἡμιχρον. (**28**) *add* F ‖ **28** σὺν θεῷ *add* F ‖ **29** τὰ $FO^d b$, *om* C ‖ **31** ἐκ — ὅτι (**32**) FV, *om* $CO^d b$ ‖ **33** μαθόντες] *vide p. 31, 6*

ἀμερῆ τοῦ ἀνθρώπου φωνήν· πῶς οὖν δύναται καὶ ἀμερὲς εἶναι καὶ διαιρεῖcθαι; Μᾶλλον οὖν τοῦτο ἀληθές ἐcτιν, ὅτι διπλᾶ διὰ τοῦτο εἴρηται, διότι διπλαcίονα δύναμιν ἔχει· λεχθείη δὲ καὶ μακρὰ cύμφωνα. Εἰ δὲ cυνεμπίπτει τῇ τοῦ κ̄ καὶ c̄ φωνῇ ἡ τοῦ ξ̄ φωνή, καὶ τῇ τοῦ π̄ καὶ c̄ ἡ τοῦ ψ̄, καὶ τῇ τοῦ c̄ καὶ δ̄ ἡ τοῦ ζ̄, οὐ παρὰ τοῦτο λεκτέον αὐτὰ ἐξ ἐκείνων cυγκεῖcθαι, ἵνα μή, ὡς προείρηται, ὁ ὅρος τοῦ cτοιχείου εὑρεθῇ ψευδὴς ἐπὶ τούτων ὁ λέγων εἶναι ἀμερῆ πάντα τὰ cτοιχεῖα· καὶ ἐπὶ ἀνθρώπων γὰρ πολλάκις αἱ ἰδέαι cυνεμπίπτουcι τῇ ὁμοιότητι, ἀλλ' οὐκ ἐκεῖνοι οὗτοί εἰcιν οἷς ἐοίκαcιν.

Ἀμετάβολα τέccαρα.] Τῆς τρίτης ὑποδιαιρέcεως τῶν cυμφώνων μέμνηται τῆς καὶ ἐν τοῖς φωνήεcιν οὔcης· ὥcπερ γὰρ ἐπὶ τῶν φωνηέντων τὰ μέν ἐcτιν ἀμετάβολα, ὡς ἀπεδείξαμεν, τὰ δὲ μεταβολικά, οὕτω καὶ ἐπὶ τῶν cυμφώνων τὰ μὲν τέccαρα ταῦτά ἐcτιν ἀμετάβολα, τὰ δὲ ἄλλα μεταβολικά. Ἀμετάβολα δὲ εἴρηται, ὡς καὶ αὐτός φηcιν, ὅτι οὐ μεταβάλλει ἐν τοῖς μέλλουcι τῶν ῥημάτων οὐδὲ ἐν ταῖς κλίcεcι τῶν ὀνομάτων· καὶ γὰρ ἐν τοῖς ἐνεcτῶcι τῶν ῥημάτων ἐὰν εὑρεθῇ ἕν τι τούτων τῶν τεccάρων, εὑρίcκεται καὶ ἐν τοῖς μέλλουcιν, ὡς ἐπὶ τοῦ πάλλω παλῶ, νέμω νεμῶ, κρίνω κρινῶ, cπείρω cπερῶ· καὶ ἐν ταῖς εὐθείαις τῶν ὀνομάτων ἐάν τι τούτων εὑρεθῇ ληκτικόν, εὑρίcκεται καὶ ἐπὶ τῶν γενικῶν, ὡς ἐπὶ τοῦ Νέcτωρ Νέcτορος καὶ Μέμνων Μέμνονος· τὸ γὰρ λ καὶ τὸ μ̄ οὐχ εὑρίcκεται ληκτικὸν ὀνομάτων. 816,11 b

Τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖται.] Τοῦτο αἴνιγμά ἐcτι τῆς ὑποδιαιρέcεως ἧς εἴπομεν, εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα· ὥcπερ γὰρ ἐν τοῖς φωνήεcι τὰ δίχρονα ἕτεροι καὶ ὑγρὰ ἐκάλεcαν ὡς εὐόλιcθα ἐπί τε τὸν τῆς μακρᾶς χρόνον καὶ τῆς βραχείας, οὕτω καὶ ταῦτα ὑγρὰ καλεῖται, ὡς ποτὲ μὲν παρὰ τῷ ποιητῇ ἀντὶ δύο cυμφώνων κείμενα, ποτὲ δὲ ἀνθ' ἑνός. Εἴποι δ' ἄν τις καὶ δι' ἄλλην αἰτίαν ὑγρὰ αὐτὰ καλεῖcθαι, διὰ τὸ τὴν ἐκφώνηcιν αὐτῶν λείαν καὶ ὁμαλὴν εἶναι καὶ τῷ ὄντι εὐόλιcθον οὕτως, ὡς καὶ μετ' ἄλλου cυμφώνου προηγουμένου ἐν ἐπιπλοκῇ ὄντα μὴ πάντως τὴν προηγηcαμένην βραχεῖαν μακρὰν ποιεῖν, ὡς ἐπὶ τοῦ ⟨Τ 287⟩ Πάτροκλε καὶ τῶν ὁμοίων. 817,17 b 818 b

23—47, 11 hab. et. Σ^m (N *add* Διομήδους)

3 διότι — ἔχει FV, διὰ τὸ δ. δ. ἔχειν CO^db | καὶ *add* V ‖ **4** τῇ (*prius*) FO^d b, *om* C ‖ **5** c̄ καὶ δ̄ CFO^d | τοῦτο Fb, τὸ οὕτω C, τοῦτο οὕτω O^d ‖ **6** προείρ.] *vide p. 45, 33* ‖ **7** *post* τούτων *add* μόνων CO^db | πάντα FO^d, ταῦτα Cb ‖ **8** αἱ ἰδέαι *scripsi,* εἰδέναι F, αἱ μὲν CO^d, οἱ μὲν b | τῇ *om* F ‖ **9** ἐκεῖναι αὐταί εἰcιν οἷς C, ἐκεῖναι αὗται εἰcὶν αἷς FO^d, ἐκεῖνοι αὐτοί εἰcιν οἷς b | ἐοίκαcιν] πεφύκαcιν O^d ‖ **12** ἀπεδ.] *vide p. 40, 8* ‖ **14** Ἀμετάβ. — ὀνομ. (**21**) *om* O^d ‖ **16** ἐὰν — τι Fb, ὃ εὑρέθη ἐν τῇ C ‖ **17** εὑρίcκεται F, γινώcκεται Cb ‖ **18** νέμω — cπερῶ F, καὶ νέμω νεμῶ Cb ‖ **19** ἐάν τι F, ἐὰν ἐκ C, ἐὰν ἓν b ‖ **21** τὸ μ̄ F, μ̄ C ‖ **22** αἴνιγμά ἐcτι CFO^db, εἴκαcμά ἐcτι *RSchneider* ‖ **23** ἧς εἴπομεν CO^db, ὡς ἵν' εἴπωμεν F; *vide p. 45, 18* ‖ **25** τὸν FVb, *om* CO^d | καὶ ἐπὶ τὸν τῆς βρ. F ‖ **26** *post* καλεῖται *add* δίχρονά τε V ‖ **27** Εἴποι FO^dV, εἶπε Cb ‖ **28** λείαν FO^dVb, τελείαν C ‖ **30** ποιεῖν O^dV, ποιεῖ CFb

Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι τῆς τετάρτης ὑποδιαιρέσεως οὐκ ἐμνήσθη, ὡς δυσχεραστέρας οὔσης τῆς τετάρτης μὲν ἐν τοῖς συμφώνοις, τρίτης δὲ ἐν τοῖς φωνήεσι, τῆς διαιρούσης τὰ σύμφωνα εἰς προτακτικὰ καὶ ὑποτακτικά. Τινὰ γὰρ αὐτῶν καὶ προτακτικά ἐστι καὶ ὑποτακτικά, ἀλλ' οὐχὶ τῶν αὐτῶν, ἀλλὰ τινῶν μὲν προτακτικά ἐστι, τινῶν δὲ ὑποτακτικά· ὡς εὐθέως τοῦ μὲν ρ̄ τὸ β̄ ἐστὶ προτακτικόν, ὡς ἐν τῷ βρέφος, οὐδέποτε δὲ τὸ ρ̄ τοῦ β̄ εὑρίσκεται προτασσόμενον· ὡς ἔφαμεν γάρ, τὰ φθάσαντά τινων προταγῆναι οὐδέποτε καὶ ὑποτάσσεται ἐν ἐπιπλοκῇ. Οὕτως οὖν ἕκαστον τῶν συμφώνων ἐὰν πειραθῇ τις, εὑρίσκει ὅτι τινῶν μὲν προτακτικόν ἐστιν ἔσθ' ὅτε, ἄλλων δὲ ὑποτακτικόν· διὰ οὖν τὴν τοιαύτην δυσχέρειαν παρεσιώπησε ταύτην τὴν ὑποδιαίρεσιν.

Τελικὰ ἀρσενικῶν ὀνομάτων στοιχεῖα.] Χρεία δέ ἐστι προσθεῖναί τινα καὶ εἰπεῖν οὕτως· «τελικὰ ἀρσενικῶν ὀνομάτων ἀνεπεκτάτων κοινῶν κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν στοιχεῖά ἐστι πέντε». Πρόσκειται «ἀρσενικῶν» διὰ τὰ θηλυκὰ καὶ οὐδέτερα· «ὀνομάτων» δὲ διὰ τὰ ἄλλα μέρη τοῦ λόγου, οἷον διὰ τὰς μετοχὰς καὶ τὰς ἀντωνυμίας· «ἀνεπεκτάτων» δὲ διὰ τὸ τοιόσδε καὶ ⟨τοσόσδε⟩, τοιουτοσί καὶ τηλικουτοσί, ταῦτα γὰρ ἐπέκτασιν ἀνεδέξαντο διὰ τοῦ δε̄ καὶ τοῦ ῑ· «κοινῶν» δὲ πρόσκειται διὰ τὰ βάρβαρα, οἷον διὰ τὸ Ἀδάμ Ἰωσήφ Δανιήλ, ταῦτα γὰρ βάρβαρά ἐστιν· ἔτι «κοινῶν» πρόσκειται διὰ ⟨τὰ ποιητικά, οἷον διὰ⟩ τὸ ἱππότα ἀντὶ τοῦ ἱππότης καὶ μητίετα ἀντὶ τοῦ μητιέτης καὶ νεφεληγερέτα ἀντὶ τοῦ νεφεληγερέτης· ἔτι «κοινῶν» πρόσκειται διὰ τὰ κατὰ διάλεκτον· οἱ γὰρ Αἰολεῖς πολλάκις εἰς ᾱ ποιοῦσι τὰς εὐθείας, ὁ Ἀρχύτα γάρ φασιν ἀντὶ τοῦ Ἀρχύτας καὶ Ὑβραγόρα ἀντὶ ⟨τοῦ⟩ Ὑβραγόρας· «κατ' εὐθεῖαν» ⟨δὲ⟩ πρόσκειται διὰ τὰς ἄλλας πτώσεις· «ἑνικήν» ⟨δὲ⟩
819b πρόσκειται διὰ τὰ δυϊκὰ καὶ πληθυντικά. — Ὁμοίως δὲ καὶ ἐπὶ τῶν θηλυκῶν τελικά ἐστιν ὀκτώ, ᾱ η̄ ⟨ω̄⟩ ν̄ ξ̄ ρ̄ σ̄ ψ̄, οὐδετέρων δὲ ἕξ, ᾱ ῑ ν̄ ρ̄ σ̄ ῡ.

Τινὲς δὲ προστιθέασι καὶ τὸ ο̄, οἷον ἄλλο [ἐκεῖνο],] καί φασι τὸ ο̄ τελικὸν εἶναι οὐδετέρου ὀνόματος· οὐκ ἔστι ⟨δὲ⟩ τοῦτο ἀληθές, ἀλλ' ἀντωνυμία ἐστίν, ὥσπερ καὶ ⟨τὸ⟩ τοῦτο.

Δυϊκῶν δὲ τρία, ᾱ ε̄ ω̄· πληθυντικῶν δὲ τέσσαρα, ῑ σ̄ ᾱ η̄.

1—11 hab. et. A

2 μὲν FO^{d}VA, *om* Cb ‖ **3** προτ. καὶ ὑποτ. FO^{d}VA, ὑποτ. καὶ προτ. Cb ‖ **4** αὐτῶν — ἀλλὰ (5) F, τῶν συμφώνων CO^{d}VAb ‖ **5** ἐστι *om* F ‖ **7** *post* βρέφος *add* F: ὑποτακτικὸν δὲ τοῦ σ̄, ὡς ἐν τῷ σβέσω ‖ **8** φθάσαντα τινὰ τινῶν πρ. CFV, τινὰ *om* O^{d}Ab ‖ **9** πειραθῇ CO^{d}Vb, πειρασθῇ A, περιέλθῃ F | εὑρήσει V ‖ **11** ὑποδιαίρ. FO^{d}VA, διαίρεσιν Cb ‖ **12—31** *om* F | στοιχεῖα O^d, τῶν στοιχείων C, *om* b | Χρεία — πληθ. (**26**) = *Choerob. I 113, 5—19* ‖ **14** ἑνικὴν O^d, γενικὴν Cb ‖ **15** (διὰ) — **31** *om* O^d ‖ **17** τοσόσδε *add Choerob.* ‖ **20** τὰ ποιητ. οἷον *add Choerob.* ‖ **24** ἀρχύτης *et* ὑβραγόρης *nominativos praeb.* Cb | *poster.* τοῦ *add* b ‖ **25** ἑνικῶν Cb ‖ **27** ὀκτώ] η̄ C, ἑπτά b | οὐδετ. — ῡ C, *om* b ‖ **30** τὸ *add* b ‖ **31** Δυϊκ. — η̄ C, *om* b

§ 7 (8b).

Περὶ cυλλαβῆc.

Cυλλαβή ἐcτι.] Πρεπόντωc ἡμᾶc διδάξαc τὰ cτοιχεῖα βούλεται 819,14b
καὶ περὶ cυλλαβῆc διδάξαι τῆc ἐξ αὐτῶν τῶν cτοιχείων ὡc ἂν εἴποι τιc τικτομένηc ἤτοι ὑφιcταμένηc· καὶ λέγει τῆc cυλλαβῆc τὸν ὅρον τοῦτον, δηλοῦντα κυρίωc εἶναι cυλλαβὴν τὴν cυλλαμβάνουcαν cύμφωνα καὶ φωνήεντα. Καὶ δοκεῖ ὡc πρὸc εἰcαγομένουc ⟨ἢ⟩ ὡc ἐν ὑπομνήματι καλῶc εἰρηκέναι· εἰ δ' ἀκριβῶc τιc ἐπιcκέψαιτο τὸν ὅρον τοῦτον, πᾶc λόγοc καὶ πᾶν βιβλίον καὶ πᾶν ποίημα cυλλαβὴ εὑρίcκεται, cύλληψιc γάρ ἐcτι cυμφώνων καὶ φωνηέντων. Δεῖ οὖν τῷ ὅρῳ προcθεῖναι, ὃ αὐτὸc παρέλιπεν οὐχ ὡc ἀγνοῶν ἀλλ', ὡc προείρηκα, ὡc πρὸc εἰcαγομένουc ἢ ὡc ἐν ὑπομνήματι γράφων· ἔcτιν οὖν τὸ ἐλλεῖπον τοῦτο, «ὑφ' ἓν πνεῦμα καὶ ἕνα τόνον ἀδιαcτάτωc λεγομένη», ὥcτε τὸν ὅλον ὅρον τῆc cυλλαβῆc εἶναι τοιοῦτον· «cυλλαβή ἐcτι κυρίωc cύλληψιc cυμφώνων μετὰ φωνήεντοc ἢ φωνηέντων ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαcτάτωc λεγομένη». Τῆc προcθήκηc οὖν ταύτηc λεχθείcηc ἐξεφύγομεν τὸ πάντα λόγον καὶ πᾶν βιβλίον καὶ πᾶν ποίημα δοκεῖν εἶναι cυλλαβήν· οὐ γὰρ ὑφ' ἓν πνεῦμα καὶ ἕνα τόνον οὐδ' ἀδιαcτάτωc λέγεταί τι εἰ μὴ ἑκάcτη cυλλαβή· τὰc μὲν γὰρ λέξειc τὰc διcυλλάβουc καὶ τριcυλλάβουc ἢ καὶ 820b
περαιτέρω ἔcτι διελεῖν εἰc cυλλαβάc, ἑκάcτην δὲ cυλλαβὴν οὐκ ἔcτι διελεῖν εἰ μὴ εἰc cτοιχεῖα, ἅτινα οὐκ εἰcὶ cυλλαβαί. Ὡc προείρηται οὖν, τῆc προcθήκηc ταύτηc προcελθούcηc τέλειόc ἐcτιν ὁ ὅροc τῆc cυλλαβῆc.

Καὶ κινδυνεύουcιν αἱ μονογράμματοι cυλλαβαί, δηλονότι αἱ δι' ἑνὸc φωνήεντοc, καταχρηcτικῶc εἰρημέναι cυλλαβαί, μὴ εἶναι cυλλαβαί, ὡc αὐτόc φηcιν. Εἴποι δ' ἄν τιc ὑπὲρ αὐτῶν ἀπολογούμενοc τοιαύτην τινὰ πιθανολογίαν, ὅτι οὐ δίκαιόν ἐcτι τὰ φωνήεντα τὰ καὶ τοῖc cυμφώνοιc παρέχοντα τὸ ἐκφωνεῖcθαι τελείωc ἐξωθεῖcθαι τοῦ ὅρου τῆc cυλλαβῆc, ὥcπερ καὶ ἐπὶ τοῦ ὅρου τοῦ ἀριθμοῦ οὐκ ἐκβάλλομεν τὴν

7—49, 8 hab. et. Σ^m ‖ **22—49, 8 hab. et. Σ¹**

2—49, 8 *partim excerpta hab.* F ‖ **6** ἢ *om* C, *add* b ‖ **7** ἐπιcκέψαιτο V, ἐπιcκέψοιτο CFN | τοῦτον *om* C ‖ **8** *post* ποίημα *add* καὶ πᾶcα λέξιc V | cυλλαβὴ FV, cυλλαβῶν C, cυλλαβὴ ὂν b ‖ **9** φωνηέντων καὶ cυμφώνων C, cυμφώνων (*om* κ. φ.) F, cυμφώνου καὶ φωνήεντοc, οἷον «Ἀρίcταρχοc βιβλίον ἔγραψε»· cυμπλοκὰc ἔχουcιν αἱ τρεῖc αὗται λέξειc· ἀφελῶc τοίνυν ὡρίcατο τὴν cυλλαβήν V | ὃ καὶ αὐτὸc C ‖ **10** ὡc *ante* πρὸc *om* C ‖ **11** τὸ *om* C ‖ **12** λεγομένη FV, ἀγομένη C; *item v. 14* | ὅλον FC, τέλειον V ‖ **15** οὖν FV, ἰδοὺ C ‖ **16** πᾶν ποί. καὶ πᾶν βιβλ. C | *post* ποί. *add* καὶ πᾶcαν λέξιν V ‖ **17** οὐδ' F, *om* CV | τι F, *om* CV ‖ **18** γὰρ *add* V ‖ **20** ἅτινα FV, οἵτινεc C | Ὡc — cυλλ. (**21**) *om* FV ‖ **22** δι' ἑνὸc φων. CΣ¹, διὰ τῶν φωνηέντων FV ‖ **23** καταχρ. — φηcιν (**24**) *om* FΣ¹ ‖ **25** τινὰ *om* C | *poster.* τὰ *om* CV | καὶ *om* FV ‖ **26** τὸ *om* C | ἐξωθεῖcθαι FV, ἐξωθῆναι C, ἐξῶcαι Σ¹ | τῆc cυλλαβῆc F, τῶν cυλλαβῶν CVΣ¹ ‖ **27** καὶ FV, γὰρ CΣ¹ | τοῦ ὅρου *om* Σ¹ | τῶν ἀριθμῶν CFVΣ¹

μονάδα. Ἔϲτι γὰρ ὁ ὅροϲ τοῦ ἀριθμοῦ τοιοῦτοϲ, «ἀριθμόϲ ἐϲτι μονάδων ϲύνθεϲιϲ»· εἰ οὖν τοῦτο ἀληθέϲ, ὥϲπερ καὶ ἔϲτιν, ἡ μονὰϲ οὐχ εὑρίϲκεται οὖϲα ἀριθμόϲ, ὡϲ ἔτι ἀϲύνθετοϲ οὖϲα, τουτέϲτιν ὡϲ μὴ οὖϲα μονάδων ϲύνθεϲιϲ. Ἀλλ᾽ ἐρεῖ αὐτὴ ἡ μονάϲ· «εἰ ἐγὼ ἡ καὶ τοῖϲ ἄλλοιϲ ἀριθμοῖϲ τὸ εἶναι ἀριθμοὺϲ παρέχουϲα ἐκβληθῆναι ἔχω τοῦ καλεῖϲθαι ἀριθμόϲ, οὐ δυνατὸν ἐκείνουϲ ἀριθμοὺϲ εἶναι». Οὕτωϲ οὖν καὶ τὰϲ μονογραμμάτουϲ ϲυλλαβὰϲ οὐ δίκαιόν ἐϲτιν ἀπωθεῖϲθαι τῆϲ ϲυγγενείαϲ τῶν ϲυλλαβῶν, εἰ καὶ μὴ δοκοῦϲιν ἐμπεριέχεϲθαι τῷ ὅρῳ τῆϲ ϲυλλαβῆϲ.

§ 8 (9b).

Περὶ μακρᾶϲ ϲυλλαβῆϲ.

822,14b Πρῶτοϲ τρόποϲ τῶν θέϲει ⟨μακρῶν⟩ ἐϲτιν ὁ εἰϲ δύο ϲύμφωνα λήγων, τουτέϲτι παυόμενοϲ, ἵνα πρὸ τῶν δύο ϲυμφώνων ἔχει φωνῆεν βραχὺ τὸ ὀφεῖλον διὰ τῆϲ ϲυνθέϲεωϲ τῶν δύο ϲυμφώνων τῶν προϲφερόντων αὐτῷ ἀνὰ ἡμιχρόνιον θέϲει μακρὸν γενέϲθαι δύο τε χρόνουϲ ἀναδέξαϲθαι, αὐτοῦ ἤδη ἔχοντοϲ ἀφ᾽ ἑαυτοῦ τὸν ἕνα χρόνον· καὶ εἴποι ἄν τιϲ χαριέντωϲ κατανοήϲαϲ, ἐν μιᾷ ϲυλλαβῇ χάριν ἀντὶ χάριτοϲ τῷ φωνήεντι ὑπὸ τῶν ϲυμφώνων καὶ τοῖϲ ϲυμφώνοιϲ ὑπὸ τοῦ φωνήεντοϲ ἀντιδίδοϲθαι, τοῖϲ μὲν τὴν ἐκφώνηϲιν τὴν διὰ τοῦ φωνήεντοϲ, τῷ δὲ τὴν μήκυνϲιν τὴν διὰ τῶν ϲυμφώνων. Καὶ περὶ μὲν τοῦ εἰϲ δύο ϲύμφωνα λήγειν καὶ δι᾽ αὐτῶν μηκύνεϲθαι τὸ βραχὺ φωνῆεν ἀρκούντωϲ λέλεκται.

Ζητήϲειε δ᾽ ἄν τιϲ ἐπιμελὴϲ εἰϲ τὰ τοιαῦτα περιέργωϲ, τίνοϲ ἕνεκεν εἰϲ τρία ϲύμφωνα οὐδέποτε λήγει ϲυλλαβή, ἀλλὰ πρὸ μὲν ἑνὸϲ ἢ δύο φωνηέντων εὑρήϲειϲ τρία ϲύμφωνα ἐν μιᾷ ϲυλλαβῇ, πρὸ ἑνὸϲ μέν, ὡϲ ἐπὶ τοῦ ϲτραβόϲ, πρὸ δύο δέ, ὡϲ ἐπὶ τοῦ ϲτρουθόϲ, μετὰ δὲ φωνῆεν ἓν ἢ δύο ϲύμφωνα οὐχ εὑρίϲκεται, ὡϲ προείρηται, τρία λήγοντα ἐν μιᾷ
823b ϲυλλαβῇ. Τὴν αἰτίαν οὖν ἐμάθομεν εἶναι ταύτην, ὡϲ ἐμοὶ δοκεῖ φυϲικήν τε καὶ ἀναγκαίαν. Τὰ μὲν γὰρ φωνήεντα ἔοικεν ἐργάταιϲ, τὰ δὲ ϲύμ-

---

10—50, 10 hab. et. A ‖ **14 (καὶ) — 50, 10 hab. et.** Σ^m

1 μονάδων *om* C ‖ **2** εἰ — ϲυλλαβῆϲ (8) *om* E | καὶ *add* V ‖ **3** ἔτι *add* V | *poster.* ὡϲ *om* C ‖ **4** εἰ F, ὅτι CVA | ἡ καὶ F, καὶ VA, *om* C ‖ **5** ἀριθμοὺϲ FV, ἀριθμὸϲ C, *om* A ‖ **6** οὐ δυνατὸν CFA, ἀδύνατον V | ἐκ. ἀρ. εἶναι F, *om* CVA ‖ **7** ἐϲτιν F, *om* CVA ‖ **8** εἰ — ϲυλλ. *om* V | τῷ ὅρῳ FA, τὸν ὅρον C ‖ **10** *ante* Πρῶτοϲ *add* ὁ C | μακρῶν *om* CFA ‖ **11** ἔχει A, ἔχῃ CF ‖ **12** δύο F, *om* CA | προϲφερόντων CA, προφερόντων F ‖ **13** ἀνὰ ἡμιχρόνιον] ἀπὸ ἡμιχρονίου CFA | γενέϲθαι F, γίνεϲθαι CA ‖ **14** εἴποι FV, ὡϲ CA ‖ **15** μιᾷ FV, τῇ CA ‖ **17** ἀντιδίδοϲθαι F, δίδοϲθαι V, ἀντιδεδω(-δο A)κότων CA | τὴν *post* ἐκφ. *om* CA ‖ **18** τὴν *post* μήκ. *om* CA | τὴν δ. τ. ϲυμφ. *om* V | Καὶ — λέλεκται (20) *om* F | μὲν *om* C ‖ **19** *post* λήγειν *add* ὀφείλοντοϲ CA | αὐτῶν V, αὐτοῦ CA | ἐναρκούντωϲ C ‖ **21** ἐπιμελὴϲ — περιέργωϲ C, εἰϲ τὰϲ τοιαύταϲ περιεργείαϲ F, ἐπιμελῶϲ εἰ ταῦτα περιέργωϲ V, *om* A ‖ **25** ὡϲ προείρ. *om* C ‖ **27** μὲν γὰρ *add* V

φωνα φορτίοις, ὡς τὰ μὲν αὐτοκίνητα ὡς ἂν εἴποι τις καὶ αὐτόφωνα, τὰ δὲ ὡς ἑτεροκίνητα καὶ ϲὺν ἑτέροις ἐκφωνούμενα, αὐτὰ δὲ καθ' ἑαυτὰ τοῦ προφορικοῦ μὴ τυγχάνοντα· ὡς οὖν οἱ ἐργάται ἐπὶ μὲν τῶν ὤμων καὶ ἐπὶ τοῦ νώτου ὄπισθεν πλείω φόρτον δύνανται ἐπιφέρεσθαι ἤπερ ἔμπροσθεν ἐπὶ τῶν χειρῶν, οὕτω καὶ τὰ φωνήεντα ὄπισθεν μὲν τρία σύμφωνα φέρειν δύνανται, ἔμπροσθεν δὲ ὡς ἂν εἴποι τις διὰ τῶν χειρῶν τριῶν συμφώνων φόρτον καὶ βάρος οὐ δύνανται ἀνθέλκειν. Καὶ μὴ εἴποι τις τὸ στράγξ ὅτι τὸ $\bar{\xi}$ ἔχον τὸ διπλοῦν δοκεῖ μετὰ τοῦ ἑνὸς τρία ἔχειν σύμφωνα· ἀπεδείχθη γὰρ ταῦτα μὴ συγκεῖσθαι ἐκ δύο συμφώνων, ἀλλ' εἶναι μακρὰ σύμφωνα.

§ 9 (10b).

Περὶ βραχείας συλλαβῆς. 825,4 b

Βραχεῖα συλλαβὴ γίνεται κατὰ τρόπους δύο, ἤτοι ὅταν ἔχῃ ἕν τι τῶν φύσει βραχέων, οἷον βρέφος.] Τὸ γὰρ $\bar{\epsilon}$ καὶ $\bar{o}$ φύσει βραχέα εἰσί, καὶ σημαίνει ἓν ἕκαστον αὐτῶν ἀπὸ ἑνὸς χρόνου. — Ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ συστολὴν παραλαμβανόμενον, οἷον Ἄρης.] Τὸ γὰρ $\bar{\alpha}$ τοῦ Ἄρης συστέλλεται καὶ ἐκτείνεται παρὰ τῷ ποιητῇ, καὶ ποτὲ μὲν ἕνα χρόνον σημαίνει, ποτὲ ⟨δὲ⟩ δύο, ὡς τὸ ⟨Ε 31. 455⟩ Ἆρες, Ἄρες, βροτολοιγέ.

§ 10 (11b).

Περὶ κοινῆς συλλαβῆς.

Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖς.] Τρεῖς αὐτός 828,23 b φησι τρόπους εἶναι τῆς κοινῆς συλλαβῆς, ὡς πρὸς εἰσαγομένους ἢ ὡς ἐν ὑπομνήματι γράφων· εἰσὶ δὲ πλείους, οὓς δεῖ ἡμᾶς διεξελθεῖν. Εἰσὶ τοίνυν δυοκαίδεκα τρόποι, δύο μὲν οἱ τὴν μακρὰν εἰς βραχεῖαν καταφέροντες, δέκα δὲ οἱ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφέροντες· ὧν, φημὶ τῶν δέκα, αὐτὸς τὸν ἕνα μόνον παρέθετο ἐν τῷ τέλει τῆς κοινῆς συλλαβῆς.

Ἔστι τοίνυν τῶν δύο τρόπων τῶν τὴν μακρὰν εἰς βραχεῖαν καταφερόντων πρῶτος ὁ διὰ τῶν φωνηέντων, ὃν καὶ αὐτός φησιν. — Ἤτοι ὅταν εἰς φωνῆεν μακρὸν λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φω-

20—56, 14 hab. et. Σ^{m} ‖ **20—51, 9** (καταφ.) **hab. et.** Σ^{1}

1 ἂν *om* C | καὶ *ante* ὡς ἂν *transp.* F, *om* CVA ‖ **2** ὡς *ante* ἑτ. *om* V | *poster.* δὲ *om* C ‖ **3** μὴ CFVA, οὐ b ‖ **4** *ante* ὄπ. *add* τοῦ CA ‖ **5** *post* χειρῶν *add* ἀλλ' ἐλάσσονα C ‖ **6** διὰ CFVA, ἐπὶ b ‖ **8** εἴποι CVA, προσενέγκει F, εἴπῃ b | ὅτι — σύμφ. (9)] ἔχον τὸ διπλοῦν F | ὅτι A, ὡς ὅτι C, ὥστε οὕτω V | μετὰ τοῦ ἑνὸς V, μετὰ ἑνὸς C, *om* A, μετὰ ἓν φωνῆεν b ‖ **11—56, 14** *om* F ‖ **12** ὅταν b, ὅτι C ‖ **15** ὅτε ἔχει Cb ‖ **17** δὲ *add* b ‖ **20—28** (φων.)] Τί ἐστι κοινὴ συλλαβή; ἡ δυναμένη μακρὰ εἶναι, ἡ αὐτὴ καὶ βραχεῖα E ‖ **24** δέκα δὲ A, οἱ δὲ δέκα CV | φ. τ. δέκα *om* A ‖ **25** τῶν *om* C | μόνον *add* V ‖ **28** ὃν — ἀρχομ. (51, 1) *om* Σ^{1} ‖ **29** μακ. λ. V, καταλήγῃ μακρὸν C | καὶ — ἀρχομ. (51, 1) *add* V

829b νήεντος ἀρχομένην.] Τρεῖς θέλει παραφυλακὰς ἔχειν οὗτος ὁ πρῶτος τρόπος ὁ τὴν μακρὰν εἰς βραχεῖαν καταφέρων, τὸ εἰς μέρος λόγου καταλήγειν, ὅπερ παρέλιπεν ὁ τεχνικός, καὶ τὸ εἰς φωνῆεν ὁμοίως λήγειν, καὶ τὸ τὴν ἐπιφερομένην λέξιν ἀπὸ φωνήεντος ἄρχεσθαι, ὡς τὸ ⟨Γ 164⟩ οὔ τί μοι αἰτίη ἐσσί, ὅπερ αὐτὸς παρέθετο· ἔληξε γὰρ εἰς μέρος λόγου· ἡ γὰρ μοι συλλαβὴ τέλειον μέρος λόγου, ἀντωνυμία γάρ ἐστιν· ὁμοίως δὲ καὶ εἰς φωνῆεν λήγει τὸ ῑ, καὶ τὴν ἐπιφερομένην ἀπὸ φωνήεντος ἀρχομένην ἔχει τοῦ ᾱ. Ταῦτα οὖν τὰ τρία ἑκάστη μακρὰ ἔχουσα εἰς βραχεῖαν καταφέρεται, ὅταν χρείαν σχῇ ὁ σκεπτόμενος ἀντὶ βραχείας αὐτῇ χρήσασθαι· ὅθεν καὶ κοινὴ λέγεται, ὡς δυναμένη καὶ τὸν τῆς μακρᾶς καὶ τὸν τῆς βραχείας δέξασθαι χρόνον πρὸς τὴν χρείαν τοῦ σκεπτομένου, ὡς προείρηται. Τὸ δὲ φωνῆεν τὸ ἐπαγόμενον ἀδιάφορόν ἐστιν ἤτοι μακρὸν ἢ βραχύ.

Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, ὧν τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον ἓν τῶν ἀφώνων ἐστίν.] Δεύτερος τρόπος τοίνυν τῆς κοινῆς συλλαβῆς οὗτός ἐστιν ὁ τῶν συμφώνων, ὁ τὴν μακρὰν ⟨εἰς⟩ βραχεῖαν καταφέρων. Ὅταν οὖν ἑνὶ τῶν βραχέων ἢ ἑνὶ τῶν διχρόνων συστελλομένῳ, ὅπερ ἔφη «βραχυνομένῳ», ἐπιφέρηται δύο σύμφωνα ἐκ τῆς ἐπερχομένης συλλαβῆς [ἐν ἐπιπλοκῇ ὄντα], οὐχ οἱαδήποτε σύμφωνα, ἀλλ' ἵνα τὸ μὲν πρότερον αὐτῶν, ὅπερ ἔφη ὁ τεχνικὸς «ἡγούμενον», ἄφωνόν ἐστι, τὸ δὲ δεύτερον ἀμετάβολον ὑπάρχει, ἐν ἐπιπλοκῇ, ὅπερ ἔφη ὁ Διονύσιος «καθ' ἕν», τότε τὴν τοιαύτην συλλαβὴν ἔξεστι τῷ σκεπτομένῳ ἀντὶ βραχείας παραδέξασθαι. Διὸ καὶ κοινὴ λέγεται συλλαβή, χρόνον ἔχουσα καὶ μακρᾶς καὶ βραχείας πρὸς τὴν χρείαν τοῦ σκεπτομένου, ὡς τὸ ⟨Τ 287⟩ Πάτροκλε, ὃ παρέθετο αὐτός· ἡ γὰρ κλε συλλαβή, ἔχουσα προηγούμενον ἄφωνον καὶ δεύτερον ἀμετάβολον ἐν ἐπιπλοκῇ, δύναται τὸ πρὸ αὐτῆς ō τὸ τῆς τρο συλλαβῆς καὶ μακρὸν ποιεῖν καὶ οὐ ποιεῖν, ὡς βούλεται ὁ σκεπτόμενος· ὁμοίως δὲ καὶ ἡ τρο τὸ πρὸ αὐτῆς ᾱ καὶ μακρὸν ποιεῖ καὶ οὐ ποιεῖ, διὰ τὸ ἔχειν ἄφωνον καὶ ἀμετάβολον ἐν ἐπιπλοκῇ.

830b Ἰδοὺ οἱ δύο τρόποι ἐπληρώθησαν οἱ τὴν μακρὰν εἰς βραχεῖαν καταφέροντες.

---

1 οὗτος — καταφ. (2) *om* Σ[1] | οὗτος *om* C ‖ 4 ὡς — τοῦ ᾱ (8) *om* Σ[1] | *poster*. τὸ *add* V ‖ 6 γάρ *add* V ‖ 8 φων. ἀρχ. ἔχει *add* V ‖ 9 σχῇ C, ἔχῃ V ‖ 10 ὡς *add* V ‖ 11 τῆς μ. — χρόνον V, χρόνον τῆς μακρᾶς ὑποδέξασθαι C ‖ 12 *post* προείρ. *add* ἡμῖν b | Τὸ — βραχύ (13) *add* V ‖ 14 ἐπιφ. — ἐστίν (16) V, καὶ ἑξῆς. προείρηται ἡμῖν τί ἐστι βραχύ, καὶ τί ἐστι βραχυνόμενον C ‖ 16 Δεύτ. — οὖν (18)] ὅταν φησὶν V ‖ 17 εἰς *add* b ‖ 19 βραχυνόμενον V ‖ 20 ἐν. ἐπ. ὄντα CV, *om* b ‖ 21 ἄφωνόν ἐστι C, ᾖ ἄφωνον V ‖ 22 ὑπάρχει C, ᾖ V ‖ 23 καθ' ἕν C, καθ' ἑνός, ἤτοι καθ' ἕνωσιν, ἤτοι κατὰ σύλληψιν V ‖ 27 καὶ — ō τὸ (28) *om* V ‖ 28 αὐτῆς C, αὑτῆς b ‖ 29 δὲ CV, *om* b | αὐτῆς CV, αὑτῆς b

Τῶν δὲ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφερόντων δέκα τρόπων ὄντων παρὰ τῷ ποιητῇ ἕνα φηςὶν ὁ τεχνικός, καὶ αὐτὸν ὀλίγον τι ἐλλείποντα τοῦ τελείου.

Ἢ ὅταν βραχεῖα οὖςα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην.] Λείπει τὸ ποίου φωνήεντος· οὐ γὰρ οἱονδήποτε φωνῆεν ἐπιφερομένης ἀρχόμενον λέξεως τὴν πρὸ αὐτοῦ βραχεῖαν εἰς μέρος λόγου καταλήγουςαν μακρὰν ἀποτελεῖ. Ποῖον οὖν φωνῆεν τοῦτο ποιεῖ; Τὸ ῑ· ἰδοὺ γὰρ καὶ ⟨ὃ⟩ αὐτὸς παρέθετο παράδειγμα διὰ τῆς ἐπιφορᾶς τοῦ ῑ ἔδειξε τὴν βραχεῖαν μηκυνομένην· ἐπὶ γὰρ τοῦ ⟨Ξ 1⟩ Νέςτορα δ' οὐκ ἔλαθεν ἰαχή, τῆς θεν ςυλλαβῆς εἰς μέρος λόγου καταληγούςης καὶ βραχείας οὔςης, ἐπερχόμενον τὸ ῑ, καὶ οὐχ ἕτερον φωνῆεν, ἀρχόμενον λέξεως τῆς ἐπιφερομένης ἐμήκυνε τὴν πρὸ αὐτοῦ βραχεῖαν· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ⟨Ξ 421⟩ οἱ δὲ μέγα ἰάχοντες τὴν γᾰ ςυλλαβὴν βραχεῖαν οὖςαν ἡ ἐπιφορὰ τοῦ ῑ ἀρχομένου λέξεως ἐμήκυνε.

Δεύτερος τρόπος ὁ διὰ τῆς ὀξείας τὴν βραχεῖαν εἰς μακρὰν ἀναφέρων. Αὕτη οὖν ἡ ὀξεῖα ἐπικειμένη τινὶ τῶν βραχέων ἢ τινι διχρόνῳ ςυςτελλομένῳ μηκύνει αὐτήν, ὡς ἐπὶ τοῦ ⟨Μ 208⟩ Τρῶες δ' ἐρρίγηςαν, ὅπως ἴδον αἰόλον ὄφιν· ἰδοὺ ὁ τελευταῖος ποὺς πυρρίχιος μὲν ὑπάρχει, διὸ καὶ δοκεῖ προςάπτειν τῷ ςτίχῳ πάθος τὸ λεγόμενον μείουρον· ἐπειδὴ δὲ τὴν ὀξεῖαν ἔχει ἐπικειμένην ἐπὶ τοῦ ō, ἀντὶ τροχαίου παρείληπται, τῆς ὀξείας μηκυνούςης τὸ ο. Καὶ οὐκ ἀκαίρως· δοκεῖ γὰρ ἡ ὀξεῖα ἀνατεινομένη τῇ τε φωνῇ καὶ αὐτῇ τῇ θέςει καὶ διατυπώςει τοῦ χαρακτῆρος τοῦ ἑαυτῆς τὴν βραχεῖαν ἀνακαλεῖςθαι καὶ 831 b
ἀνάγειν εἰς ὑπερτέραν τάξιν· ὅθεν καὶ οἱ μουςικοὶ ἐπὶ τῶν ςυλλαβῶν τῶν ἐχουςῶν τὰς ὀξείας ὡς ἐπὶ τὸ πλεῖςτον ἐμβραδύνουςι τοῖς κρούμαςι· προείρηται δὲ ἡμῖν, ὡς οἱ παλαιοὶ τὴν μακρὰν ἐν διπλαςίονι χρόνῳ τῆς βραχείας ἐξεφώνουν. Ἡ ὀξεῖα οὖν τοιαύτην ἔχει φύςιν καὶ δύναμιν, ὡς μὴ μόνον ἐπικειμένη ἐπάνω βραχείας μηκύνειν αὐτήν, ἀλλὰ καὶ προκειμένη καὶ μετακειμένη δύναςθαι τῇ βραχείᾳ χρόνον χαρίζεςθαι, ὡς ἐπὶ τοῦ ⟨Δ 76⟩ ἢ ναύτῃςι τέρας ἠὲ ςτρατῷ εὐρέϊ λαῶν· τοῦ

4—55, 25 hab. et. A

1 ἀναφερόντων V, καταφερόντων C ‖ **2** τεχνικὸς V, ποιητὴς C ‖ **6** οἱονδ. φωνῆεν ἐπιφερόμενον V, οἱουδήποτε φωνήεντος ἐπιφερομένου (ἐπιφερομένης b) C A b | ἀρχόμενον] ἀρχομένης CVA, ἀρχομένου b ‖ **7** αὐτοῦ CVA, αὑτοῦ b ‖ **8** ποιεῖ V, ἀποτελεῖ CA | ἰδοὺ — **15**] ὡς ἐν τῶ οἱ δὲ μέγα ἴαχόν τ' ἐπέδραμον καὶ νέςτορα δ' οὐκ ἔλαθεν ἰαχή A | γὰρ *add* V | ὃ *om* CV, *add* b ‖ **9** *ante* ἔδ. *add* καὶ V ‖ **10** ἐπὶ γὰρ τοῦ] ὡς τὸ C, τοῦ γὰρ V ‖ **13** αὐτοῦ CV, αὑτοῦ b ‖ **14** *ad* μ. ἰάχ. *in marg. add* V[1]: εἶχε μέγαρα ἔχοντες | βρ. οὖςαν *add* V ‖ **15** ἀρχομένου] ἄρχουςα C, ἀρχομένης V ‖ **20** διὸ — μείουρον (**21**) *om* A | προςανάπτειν τῷ V, προςάπτειν τὸ C ‖ **21** *post* μεί. *add* V: μείουρος δὲ λέγεται ἐκ τοῦ μεῖον εἶναι τὸ οὐραῖον τοῦ ςτίχου, ὅ ἐςτι τὸ τέλος ‖ **24** *post* ἀνακαλ. *add* ἤτοι μετακαλεῖςθαι V ‖ **26** ὡς — πλεῖςτον CV, μᾶλλον A | κρούμαςι CVA, κρούςμαςι b ‖ **27** προείρ.] *vide p. 33, 15 et 36, 26* ‖ **30** χαρίζεςθαι *RSchneider*, χαριεῖςθαι CVA

γὰρ τέρας ἡ ρ̅α̅ς̅ συλλαβὴ βραχεῖα οὖσα διὰ τῆς προκειμένης ὀξείας ἐμηκύνθη τῆς ἐπικειμένης τῇ τ̅ε̅ συλλαβῇ· καὶ δοκεῖ ὁ στίχος πάθος ἔχειν τὸ λεγόμενον λαγαρόν, ἀλλ᾽ ἀπαθὴς ὡς οἷόν τε γέγονε διὰ τῆς προκειμένης ὀξείας. Μετακειμένη δέ, ὡς ἐπὶ τοῦ ⟨Z 62⟩ αἴσιμα παρειπών· ὁ δ᾽ ἀπὸ ἕθεν ὤσατο χειρί· τὴν π̅ο̅ γὰρ βραχεῖαν οὖσαν ἡ ὀξεῖα τοῦ ἕθεν ἐμήκυνεν, ὅθεν καὶ αὐτὸς ὁ στίχος, δοκῶν κατὰ τὸν πόδα τοῦτον πάθος ἔχειν τὸ λεγόμενον λαγαρόν, ἀπαθὴς ὡς οἷόν τε γέγονε διὰ τῆς ἐπιφορᾶς τῆς ὀξείας· ἐπὶ δὲ τοῦ δευτέρου ποδὸς μὴ ἐσχηκότος μηδεμίαν βοήθειαν ἔμεινε τὸ προλεχθὲν πάθος τὸ λαγαρόν· τοῦ γὰρ παρειπών τὸ ᾱ οὐδεμιᾶς ἐκ τῶν δέκα τρόπων ἔτυχε βοηθείας τῶν ἀναφερόντων τὴν βραχεῖαν εἰς μακράν, ὥσπερ ἐπὶ τοῦ ἕθεν ἐπιφερομένης ὀξείας ἐμηκύνθη τὸ π̅ο̅ μικρόν, δηλονότι παρὰ τῷ ποιητῇ, φημὶ δὲ τῷ Ὁμήρῳ, ⟨ᾧ⟩ καὶ ἔξεστι τούτοις τοῖς δέκα τρόποις κεχρῆσθαι τοῖς ἀναφέρουσι τὴν βραχεῖαν εἰς μακράν, ἡμῖν δὲ ἐκ τῶν δέκα τρόπων ἑνὶ μόνῳ ἔξεστι κεχρῆσθαι, ὃν μετ᾽ ὀλίγον ἐροῦμεν.

Τρίτος τρόπος ὁ διὰ τῆς περισπωμένης. Αὕτη τοίνυν ἡ περισπωμένη προκειμένη τῆς βραχείας καὶ μετακειμένη — οὐ γὰρ δυνάμεθα εἰπεῖν ἐπικειμένη τῇ βραχείᾳ· ἀδύνατον γὰρ ἐπάνω βραχείας εὑρεῖν πε-
332b ρισπωμένην, ὡς τῆς περισπωμένης ἐκ δύο τόνων συγκειμένης καὶ ἐπιζητούσης συλλαβὴν δύο χρόνους ἔχουσαν φύσει, οὐ θέσει· οἱ γὰρ τόνοι, ὡς φύσει ὄντες, καὶ τὰς φύσει μακρὰς μετίασι καὶ οὐχὶ τὰς διὰ συμφώνων θέσει μακρὰς γινομένας· τῆς δὲ βραχείας ἕνα χρόνον ἐχούσης καὶ μὴ δυναμένης ὑποδέξασθαι τῶν δύο χρόνων τὴν τονικὴν δύναμιν — αὕτη τοίνυν ἡ περισπωμένη τῇ πρὸ αὐτῆς βραχείᾳ ἢ τῇ μετ᾽ αὐτὴν δύναμιν χαρίζεταί τινα καὶ ἀπὸ βραχείας εἰς μακρὰν ἀναφέρει παρὰ τῷ ποιητῇ, ὡς προείρηται. Καὶ τῇ μὲν πρὸ αὐτῆς, ὡς ἐπὶ τοῦ ⟨Z 81⟩ πάντῃ ἐποιχόμενοι, πρὶν αὖτ᾽ ἐν χερσὶ γυναικῶν· τοῦ γὰρ πρίν τὸ ῑ συστελλόμενον καὶ μηδὲ τυχὸν συνάρσεως τῆς ἀπὸ δύο συμφώνων, ἀλλὰ καὶ δοκοῦν προσάπτειν τῷ στίχῳ πάθος τὸ λεγόμενον λαγαρόν, διὰ τῆς ἐπιφερομένης ὡς οἷόν τε ἐμηκύνθη περισπωμένης· τῇ δὲ μετ᾽ αὐτήν, ὡς ἐπὶ τοῦ ⟨Z 366⟩ οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον

---

2 τῆς ἐπικ. — ὀξείας (**4**) *om* A ‖ **3** *post* λαγ. *add* V: ὃ καὶ μεσόκλαστον καλεῖται | προκειμένης V, ἐπικειμένης C ‖ **4** ἐπὶ τοῦ VA, *om* C | αἴσιμα C VA, αἴσια b ‖ **5** τὴν ἀπὸ (γὰρ *add* V) βραχεῖαν οὖσαν VA, τῆς ἀπὸ βραχείας οὔσης C ‖ **6** τοῦ CVA, τῆς b ‖ **8** ἐσχηκότος V, ἐσχηκὼς CA ‖ **12** τὸ π̅ο̅ μικρόν *add* V | φημὶ δὲ τῷ Ὁμ. *om* VA ‖ **13** ᾧ *add* b | τούτοις CVA, *om* b ‖ **14** *post* μακράν *add* τοῖς ποιηταῖς V ‖ **15** ἐροῦμεν] *p. 55, 19* ‖ **19** ὡς τῆς περ. V, τῆς γὰρ περ. A, *om* C ‖ **20** συλλαβὴν VA, λαβεῖν C ‖ **21** φύσει (*prius*) CA, φυσικαὶ V | μακρ. μετ.] μετὰ ἴσασι C (μετίασι *in marg. coni.* h), μακρὰς ἴσασι VAb ‖ **22** θέσει CVA, θέσεως b ‖ **26** προείρ.] *vide v. 12* ‖ **27** ἐποιχόμενοι VA, ἐποιχομένη C | αὖτ᾽ VA, αὐτῆς C ‖ **28** τὸ ῑ συστελλόμενον CA, τοῦ ῑ συστελλομένου V | καὶ — λαγαρόν (**29**) *om* A | καὶ μὴ δὲ τυχόντος συνάρσεως V, ἐμηκύνθη διὰ τῆς συναιρέσεως C | συμφώνων V, φύσει χρόνων C ‖ **29** δοκοῦν C, δοκοῦντος V

υἱόν· πάλιν γὰρ ἐν τῷ οἰκῆας τὸ α̅c̅ cυcτελλόμενον διὰ τῆc προκειμένηc περιcπωμένηc μηκύνεται.

Τέταρτοc τρόποc ὁ διὰ τῆc δαcείαc. Αὕτη τοίνυν ἡ δαcεῖα ἐπικειμένη καὶ προκειμένη καὶ μετακειμένη τὴν βραχεῖαν εἰc μακρὰν ἀνάγει· ἐπικειμένη μέν, ὡc ἐπὶ τοῦ ⟨ex. gr. A 193⟩ ἕωc ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα· προκεφάλου γὰρ ὄντοc τοῦ cτίχου τούτου τὸ μὲν ε̅ τὸ ἐν ἀρχῇ οὐ μετρεῖται, τὸ δὲ ω̅c̅ ο̅ ἀντὶ cπονδείου παραλαμβάνεται, τῆc δευτέραc cυλλαβῆc τὸ ο̅ μόνον ἐχούcηc καὶ μὴ ἐπιφερομένων δύο cυμφώνων· ἀλλ' ἡ δαcεῖα ἐπικειμένη ἐμήκυνεν αὐτὸ τῷ πνεύματι τῷ πολλῷ καὶ τῇ διατάcει τῶν φωνητικῶν ὀργάνων τῶν μᾶλλον διατεινομένων ἐν τῇ προφορᾷ τοῦ πλείονοc πνεύματοc. Προκειμένη δέ, ὡc ἐπὶ τοῦ ⟨H 353⟩ ἔλπομαι ἐκτελέεcθαι, ἵνα μὴ ῥέξομεν ὧδε· τοῦ γὰρ ἵνα τὴν [833b] ν̅α̅ cυλλαβὴν βραχεῖαν οὖcαν ἡ δαcεῖα ἡ ἐπὶ τοῦ ι̅ τοῦ ἵνα, τῷ μὲν ι̅ ἐπικειμένη, τοῦ δὲ α̅ προκειμένη, ἐμήκυνεν. 'Αλλ' εἴποι τιc, ὅτι τὸ μ ἐπιφερόμενον ἐμήκυνε τὴν ν̅α̅ cυλλαβὴν βραχεῖαν οὖcαν· ἀλλ' ἐπὶ παcῶν τῶν βραχειῶν τῶν ἀναφερομένων εἰc μακρὰc διὰ τούτων τῶν βοηθημάτων τοῦτο δεῖ cκοπεῖν· ὅταν λέξιc τιc βραχεῖαν ἔχουcα cυλλαβήν, ἣν χρείαν ἔχει ὁ ποιητὴc εἰc μακρὰν ἀνάγειν διὰ τῆc δαcείαc ἢ τῆc ὀξείαc ἢ τῆc περιcπωμένηc, ἐν ἑαυτῇ ἔχῃ [ἡ λέξιc] τὸ ὀφεῖλον βοηθῆcαι τῇ βραχείᾳ, τῷ ἰδίῳ κέχρηται μᾶλλον βοηθήματι ἤπερ τῷ ξένῳ· εἰ μὴ εἴποι τιc ὅτι, ὥcπερ τὰ cύμφωνα τὰ ἐπιφερόμενα τῇ προκειμένῃ βραχείᾳ διὰ τῆc αὐτῶν ἐπιφορᾶc χρόνον χαρίζονται, οὕτω καὶ ἡ ἐπιφερομένη ἐπὶ τούτων βοήθεια μᾶλλόν ἐcτι δραcτικωτέρα. Μετακειμένη δὲ ἡ δαcεῖα μηκύνει τὴν πρὸ αὐτῆc βραχεῖαν, ὡc ἐπὶ τοῦ ⟨Z 443⟩ αἴ κε κακὸc ὣc νόcφιν ἀλυcκάζω πολέμοιο· τοῦ γὰρ κακόc τὴν κ̅ο̅c̅ cυλλαβὴν βραχεῖαν οὖcαν ἡ δαcεῖα ἐπιφερομένη τοῦ ὥc ἐμήκυνε.

Πέμπτοc τρόποc ὁ διὰ τῆc cτιγμῆc. Αὕτη τοίνυν ἡ cτιγμὴ ⟨τῇ πρὸ αὐτῆc βραχείᾳ δύναμιν χαρίζεται καὶ ἀπὸ βραχείαc εἰc μακρὰν αὐτὴν ἀναφέρει⟩· καὶ ἡ τυχοῦcα μέν, ὡc ἐπὶ τοῦ ⟨Z 265⟩ μή μ' ἀπογυιώcῃc μένεοc, ἀλκῆc τε λάθωμαι· ἐνταῦθα γὰρ τὸ ο̅c̅ ἐμήκυνεν ἡ παcῶν τῶν cτιγμῶν ἐλάττων, ἡ ὑποδιαcτολή· μάλιcτα δὲ ἡ τελεία καὶ ἡ ὑποτελεία τῇ πρὸ αὐτῆc βραχείᾳ δύναμιν χαρίζεται, καὶ ἀντὶ μακρᾶc αὐτὴν παραλαμβάνομεν παρὰ τῷ ποιητῇ. Καὶ οὐκ ἀκαίρωc· τῇ

---

1 α̅c̅ A, α̅ CV ‖ **4** προκ. κ. μετακ. V, μετακ. κ. προκ. CA ‖ **9** ἀλλ' ἡ VA, ἀλλὰ C | τῷ πολλῷ *add* V ‖ **10** διατάcει VA, διαcτάcει C ‖ **12** ῥέξωμεν CV ‖ **13** ἡ *ante* ἐπὶ *om* C | *post* ι̅ *add* τουτέcτι C ‖ **14** *post* ἐμήκ. *add* αὐτὴν A, αὐτὴν τὴν ν̅α̅ (τὴν μετὰ πρώτην C) cυλλαβὴν CV | 'Αλλ' — τιc *om* V ‖ **17** λέξιc V, λέγει C, λέγῃ A | ἔχουcα V, ἔχουcαν CA ‖ **19** ἔχῃ] ἔχει CVA | ἡ λέξιc *hab.* CVA ‖ **21** *prius* τὰ *om* C | προκειμένῃ VA, ἐπικειμένῃ C ‖ **22** αὐτῶν CVA, αὑτῶν b ‖ **23** τούτων C, τούτου VA ‖ **23** Μετακειμ. V, ἐπιφερομένη CA | δὲ *om* C ‖ **25** τοῦ — ἐμήκ. (**26**)] τὴν γὰρ κ̅ο̅c̅ cυλλ. ἡ ἐπιφ. δαc. ἐμήκ. A | τοῦ] τὸ CV | τὴν V, τὸ C ‖ **26** οὖcαν] ἔχον CV ‖ **27** τῇ — ἀναφ. (**29**)] *nulla lac. in* CVA, *lac. indicat* b, τὴν πρὸ αὐτῆc βραχεῖαν μηκύνει *Lehrs* ‖ **29** ἐπὶ VA, ἀπὸ C ‖ **32** καὶ ἡ ὑποτ. *om* C

γὰρ σιωπῇ τῆς στιγμῆς χρόνον ἡμῖν ἐνδιδούσης δοκεῖ μηκύνεσθαι ἡ βραχεῖα, ὡς ἐπὶ τοῦ ⟨Ζ 240⟩ καὶ πόσιας· ὁ δ᾽ ἔπειτα θεοῖς εὔχεσθαι ἀνώγει· τοῦ γὰρ πόσιας ἡ α̅ς̅ βραχεῖα οὖσα διὰ τῆς ὑποτελείας στιγμῆς μηκύνεται· ὡς ἐμάθομεν γὰρ ἐπὶ τῆς στιγμῆς, τοῦ δέ ἐπιφερομένου καὶ μὴ προκειμένου τοῦ μέν ἡ ὑποτελεία τίθεται.

834b Ἕκτος ⟨τρόπος⟩ ὁ διὰ τῶν ἀμεταβόλων. Ταῦτα τοίνυν τὰ ἀμετάβολα ἀρχόμενα λέξεως τὴν πρὸ αὐτῶν βραχεῖαν μακρὰν ποιεῖ, καὶ μάλιστα τὸ ρ̄, ὡς ἐπὶ τοῦ ⟨Χ 305⟩ ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι· τὸ γὰρ ρ̄ τοῦ ῥέξας τὴν πρὸ αὐτοῦ γ̅α̅ συλλαβὴν βραχεῖαν οὖσαν ἐμήκυνεν. Εἰ δέ τις εἴποι, μεμνημένος τοῦ προλεχθέντος ἡμῖν λόγου, ὅτι οὐχ ἡ ἐπιφορὰ τοῦ ρ̄ ἐμήκυνε τὸ ᾱ τοῦ μέγα, ἀλλ᾽ ἡ προκειμένη τοῦ γ̅α̅ ὀξεῖα, ἡ γὰρ λέξις ἔχουσα ἰδίαν ἐπικουρίαν ξένης οὐ δεῖται, ὡς προείρηται, οὐ καλῶς ἐρεῖ, διὸ ἐφ᾽ ἑτέρων στίχων ζητήσας τις εὕροι διὰ τῆς τοῦ ρ̄ καὶ μόνου βοηθείας μηκυνομένην τὴν προκειμένην βραχεῖαν, ὡς ἐπὶ τοῦ ⟨Η 474⟩ ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ᾽ αὐτοῖσι βόεσσιν· ἐνταῦθα γὰρ ἡ δέ διὰ τοῦ ρ̄ μηκύνεται μόνου. Διὰ τί δὲ ἔφην μάλιστα τὸ ρ̄ ἐκ τῶν τεσσάρων ἀμεταβόλων μηκύνειν τὴν πρὸ αὐτοῦ βραχεῖαν; Ἐπειδὴ οὐ μόνον τῷ ποιητῇ ἔξεστι τοῦτο ποιεῖν, ἀλλὰ καὶ ἡμῖν τοῖς μεταγενεστέροις, καὶ τούτῳ μόνῳ τῷ τρόπῳ ἐκ τῶν δέκα τρόπων ἔξεστι καὶ ἡμῖν κεχρῆσθαι, καὶ οὐχ ὅλων, ἀλλὰ τῇ τοῦ ρ̄ ἐπιφορᾷ καὶ μόνον μηκύνειν τὴν βραχεῖαν, τῷ δὲ ποιητῇ καὶ τῇ τῶν ἄλλων· τοῦ μὲν λ̄, ὡς ἐπὶ τοῦ ⟨ex. gr. Β 44⟩ ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα· τοῦ δὲ μ̄, ὡς ἐπὶ τοῦ ⟨Η 131⟩ θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄιδος εἴσω· τοῦ δὲ ν̄, ὡς ἐπὶ τοῦ ⟨Η 425⟩ ἀλλ᾽ ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα.

Οἱ ἄλλοι τέσσαρες τρόποι διὰ τοῦ δ̄ π̄ σ̄ τ̄ ἀποτελοῦνται· ἕκαστον γὰρ τούτων ἀρχόμενον λέξεως παρὰ τῷ ποιητῇ τὴν πρὸ αὐτοῦ βραχεῖαν μηκύνει, ὅταν χρεία γένηται. Καὶ οὐκ ἀκαίρως· ἐπειδὴ γὰρ ἔν τισι λέξεσιν ἐχούσαις ἕκαστον τούτων, φημὶ δὲ τὸ δ̄ π̄ σ̄ τ̄, ἔξεστι καὶ τῷ ποιητῇ καὶ ἡμῖν διὰ τὸ μέτρον διπλασιάζειν αὐτά, ὡς ἐπὶ τοῦ ἔδεισεν,
835b ⟨ex. gr. Α 33⟩ ἔδδεισε⟨ν⟩ δ᾽ ὁ γέρων, καὶ ἐπὶ τοῦ ὀπότε, ⟨ψ 274?⟩

1 ἐνδιδ. A, ἐκδιδ. CV ‖ 2 καὶ *om* CVA | ὁ δ᾽] σὺ δ᾽ CA, σὺ δὲ V ‖ 3 ἀνώγει CA, ἄνωγε V ‖ 4 ὡς — τίθεται (5) *om* A | ἐμάθομεν] *vide p. 26, 14* | γὰρ *om* C ‖ 5 μὴ *om* V ‖ 6 τρόπος *om* CVA ‖ 7 αὐτῶν CVA, αὐτῆς b ‖ 8 τι — πυθ. (9) *add* V ‖ 9 γ̅α̅ *om* V ‖ 10 προλ.] *vide p. 54, 17 seqq* ‖ 11 τὸ — μέγα *om* A | τοῦ μέγα *om* b ‖ 12 ἡ — προείρ. (13) *om* A | ἡ γὰρ CV, ἥ τε b ‖ 13 δέεται C | καλῶς b, κακῶς CVA | ἐπὶ ἑτέρων στίχων V, ἐφ᾽ (ἐφ᾽ *om* A) ἕτερον στίχον CA | ζητ. *om* A ‖ 14 τις *add* V | τὴν *om* C | προκ. *add* V ‖ 16 αὐτοῖσι CVA ‖ 18 αὐτοῦ CVA, αὑτοῦ b ‖ 21 *post* τῇ *add* διὰ CV, Δ΄ A | καὶ μόνον CA, μόνον b, *om* V ‖ 23 ἐδήσ. — πέδ. *add* V | ὡς ἐπὶ τοῦ *add* V ‖ 24 ἄιδος εἴσω *add* V | ὡς ἐπὶ τοῦ *om* A ‖ 26 τρόποι V, τύποι C ‖ 27 ἀρχόμενον V, ἄρχον C | αὐτοῦ CV, αὑτοῦ b ‖ 29 δὲ C, δὴ V | *post* τ̄ *add* ἀποτελοῦνται C | ἔξ. καὶ V, καὶ ἔξ. C ‖ 31 καὶ ὡς ἐπὶ C; *item p. 56, 1* | ὀπότε *add* V

ὁππότε δὴ καὶ ἐμοί, καὶ ἐπὶ τοῦ ποσί, ⟨ex. gr. Β 44⟩ ποςςὶ δ' ὑπὸ λιπαροῖςι, καὶ ἐπὶ τοῦ ὅτι, ⟨ex. gr. Β 361⟩ ὅττι κεν εἴπω, τούτου χάριν καὶ ἑνὸς ὑπάρχοντος αὐτῶν ἀρχομένου λέξεως, φύςιν καὶ ςυνήθειαν ἐχόντων αὐτῶν ἔν τιςι διπλαςιάζεςθαι, ὡς προείρηται, ἐκείνῳ τῷ διπλαςιαςμῷ νῦν κεχρήμεθα ὡς δυναμένῳ τὴν βραχεῖαν εἰς μακρὰν ἀνάγειν· καὶ ἐπὶ μὲν τοῦ δ̄, ὡς ἐπὶ τοῦ ⟨Θ 126⟩ κεῖςθ'· ὁ δ' ἡνίοχον μέθεπε· ἐπὶ τοῦ π̄ δέ, ὡς ἐπὶ τοῦ ⟨Δ 338⟩ ὦ υἱὲ Πετεῶο, διοτρεφέος βαςιλῆος· ἐπὶ δὲ τοῦ ς̄, ὡς ἐπὶ τοῦ ⟨Ζ 151⟩ Ἀρτέμιδί ςε ἔγωγε ἐΐςκω, καὶ ⟨Υ 434⟩ οἶδα ⟨δ'⟩ ὅτι ςὺ μὲν ἐςθλός, καὶ ⟨κ 238⟩ ῥάβδῳ πεπληγυῖα κατὰ ςυφεοῖςιν ἐέργνυ· ἐπὶ δὲ τοῦ τ̄, ὡς ἐπὶ τοῦ ⟨Ε 827⟩ μήτε ςύ γ' Ἄρηα τό γε δείδιθι μήτε τιν' ἄλλον, ⟨καὶ⟩ ⟨Θ 267⟩ ςτῆ δ' ἄρ' ὑπ' Αἴαντος ςάκεϊ Τελαμωνιάδαο.

Ἰδοὺ τοὺς δέκα τρόπους ἐπληρώςαμεν τοὺς τὴν βραχεῖαν εἰς μακρὰν ἀναφέροντας.

§ 11 (12. 13b).

Περὶ λέξεως.

Λέξις ἐςτὶ μέρος ἐλάχιςτον τοῦ κατὰ ςύνταξιν λόγου.] Τῷ 836,33b
ὅρῳ τούτῳ λείπει τι· εἰ γὰρ ὡς τέλειον αὐτὸν παραλάβοιμεν, εὑρίςκε- 837b
ται καὶ ἓν γράμμα καὶ μία ςυλλαβὴ λέξις οὖςα· μέρος γάρ ἐςτιν ἐλάχιςτον τοῦ λόγου καὶ ἑκάςτη ςυλλαβὴ καὶ ἕκαςτον γράμμα. Καὶ οὐκ ἔχομεν εἰπεῖν, ὅτι ἀγνοῶν ὁ τεχνικὸς ἐλλιπῶς ἔφη τὸν ὅρον, ἀλλ', ὡς πολλάκις εἴρηται, ὡς πρὸς εἰςαγομένους ἤτοι ἐν ὑπομνήματι γράφων τινὰ παρεςιώπηςε. Τί δὲ λείπει; Τὸ «νοητόν τι ςημαῖνον». Εἴπωμεν οὖν ἄνωθεν τὸν ὅρον μετὰ τῆς προςθήκης αὐτοῦ, καὶ εὑρίςκομεν αὐτὸν ἀνελλιπῆ καὶ τέλειον. Τί ἐςτι λέξις; Μέρος ἐλάχιςτον τοῦ κατὰ ςύνταξιν λόγου νοητόν τι ςημαῖνον· ἰδοὺ ἡ προςθήκη αὕτη οὐκέτι ἐνδίδωςιν οὐδὲ ςυγχωρεῖ ὑπονοεῖςθαι τὴν ςυλλαβὴν ἢ τὸ γράμμα ὡς λέξιν· οὐ γὰρ νοητόν τι ςημαίνουςιν, ὑπεξαιρουμένων τῶν μονογραμμάτων καὶ μονοςυλλάβων λέξεων· ἐκεῖναι δὲ οὐ διὰ τὸ μονογράμματοι εἶναι ἢ μονοςύλλαβοι νοητόν τι ςημαίνουςιν, ἀλλὰ διὰ τὸ ἐν ταῖς λέξεςι κατατετάχθαι τοῦ κατὰ ςύνταξιν ⟨ἤτοι⟩ τοῦ ἐν δεούςῃ καὶ πρεπούςῃ τάξει προφερομένου λόγου.

15—31 similia hab. et. Σ[m]

1 δὴ καὶ ἐμοὶ *om* V, κεν δή μοι ψ 274 | δ' ὑπὸ λιπ. *om* CV || 3 φύςιν καὶ V, φυςικῆς C, φυςικὴν b || 4 ἐχόντων αὐτῶν C, ἔχοντος αὐτοῦ V || 5 ἀνάγειν V, εἰςαγαγεῖν C, ἀναγαγεῖν b || 6 κεῖςθ' b, κεῖςθαι CV | δὲ ἡν. CV || 7 μέθεπεν V, μέθετε C || 16 τοῦ — λόγου *om* C || 17 παραλάβοιμεν V, παραλάβομεν F, λάβοιμεν C || 22 λείπει. τὸ F, ἐλλειπὲς. τοῦτο C | Εἴπωμεν — τέλειον (24) *om* FV || 26 ὑπονοεῖςθαι FV, ὑπονοεῖν C | ῾ ἢ — λέξιν FV, *om* C | 27 ςημαίνουςιν FV, ςημαίνει C | ὑπεξ. — ςημαίν. (29) *om* V (*habet* N) || 28 δὲ] γὰρ CFN || 30 τοῦ κατὰ — δεούςῃ FV, τοῦ ἐνδεοῦς κατὰ ςύνταξιν ἢ C, *quod aliter emendare studuit* b

839,28b Ἵνα δὲ μή τις ἐπιλάβηται τοῦ τεχνικοῦ, ὅτι μὴ προδιδάξας ἡμᾶς
τί ἐστι λόγος τὴν λέξιν μέρος τοῦ λόγου φησίν, ἔτι ἀγνοούντων ἡμῶν
30 τί ἐστι λόγος, ὥσπερ ἐὰν ἐρωτήσας τις «ποῦ μένει Πλάτων;» ἀκούῃ
«ὅπου μένει Σωκράτης», μὴ εἰδὼς μηδὲ τὴν τοῦ Σωκράτους οἰκίαν, διὰ
τοῦτο εὐθέως ἐπιφέρει τὸν ὅρον τοῦ λόγου.

840,5b **Λόγος δέ ἐστι πεζῆς λέξεως σύνθεσις διάνοιαν αὐτοτελῆ
δηλοῦσα.**] «Πεζῆς λέξεως» τῆς καταλογάδην, τουτέστι τῆς μὴ ὑπὸ
μέτρον· ἡ γὰρ ἔμμετρος σύνθεσις τῶν λέξεων τελείαν ἔννοιαν σημαί-
νουσα περίοδος καλεῖται· «αὐτοτελῆ» δὲ ἀντὶ τοῦ «τελείαν». Τί οὖν
ἐστι λόγος; Σύνθεσις λέξεως τῆς καταλογάδην τελείαν ἔννοιαν σημαί-
νουσα.

28 **Τοῦ δὲ λόγου μέρη ἐστὶν ὀκτώ.**] Ἔστι λόγος καὶ διὰ μιᾶς
λέξεως τελείαν ἔχων ἔννοιαν, ὡς τὸ εὔχομαι, ἠρίστησα· ἑκάστη γὰρ τού-
30 των τῶν λέξεων καὶ τῶν ὁμοίων ταύταις τελείαν ἔννοιαν ἔχει, εἰ καὶ
μὴ ἐμπεριέχεται τῷ ὅρῳ· οὐ γάρ ἐστι σύνθεσις λέξεως μία οὖσα λέξις.
Ἀλλ' ὃν τρόπον εἰρήκαμεν τὴν μονάδα μὴ ἐκβάλλεσθαι τοῦ εἶναι ἀριθ-
841b μόν, εἰ καὶ μὴ ἔστι μονάδων σύνθεσις, καὶ πάλιν τὴν μονογράμματον
συλλαβὴν μὴ ἀπωθεῖσθαι τοῦ εἶναι συλλαβήν, εἰ καὶ μὴ ἔστι σύλληψις
συμφώνων μετὰ φωνήεντος, οὕτω καὶ τὸν ἐκ μιᾶς λέξεως λόγον τὸν
διὰ ῥήματος καὶ μόνου συνιστάμενον, ὡς εἰσόμεθα σὺν θεῷ, τὸν καὶ τοῖς
ἑτέροις τὴν αὐτοτέλειαν παρέχοντα οὐ δίκαιον μὴ καλεῖσθαι λόγον.

Ἔστι λόγος καὶ διὰ δύο λέξεων, οἷον «Σωκράτης ἀναγινώσκει»· καὶ
τῶν δύο τούτων λέξεων ἑκατέρα διαλλαγὴν ἔχει, ἡ μὲν γάρ ἐστιν ὄνομα,
10 ἡ δὲ ῥῆμα· ὁ δὲ διὰ μιᾶς λέξεως αὐτοτελὴς λόγος δῆλον ὅτι μίαν ἔχει
διαφοράν, ὡς καὶ μονολεξία ὑπάρχων· αὕτη γὰρ ἡ μία λέξις ῥῆμά ἐστιν,
οὗτινος, φημὶ δὲ τοῦ ῥήματος, μὴ λεχθέντος λόγος οὐ πεπλήρωται.
Καὶ εἴποι ἄν τις, ὅτι καθότι οὐκ ἔστι σύνθεσις λέξεων, ἐκπέφευγε τὸν
ὅρον τοῦ λόγου καὶ οὐκ ἔστι λόγος. Πρὸς ὅν φαμεν, ὅτι τὸ ῥῆμα τὸ
καὶ τοῖς ἄλλοις λόγοις τὴν αὐτοτέλειαν παρέχον καὶ ποιοῦν αὐτοὺς
εἶναι λόγους οὐ δίκαιον ἐξωθεῖσθαι τοῦ εἶναι λόγον, εἰ καὶ μόνον λέ-
γοιτο· τὴν αὐτοτέλειαν γὰρ μάλιστα ἐπιζητοῦμεν τῷ περατοῦσθαι τοὺς
20 λόγους. Ὡς οὖν προείρηται καὶ ἐν τῷ περὶ συλλαβῆς, ὅτι καὶ τὰς μο-

1—5 hab. et. Σ^m ‖ **12—58, 19 hab. et. Σ^1** (*sed caremus collatione codicis* E)

2 τὴν — λόγος (**3**) FV, *om* C, *lac. ind.* b ‖ **3** ὥσπερ — εὐθέως (**5**) CV, *om* F | ἐρωτήσας b, ἐρωτήσῃ CV ‖ **6** σύνθ. — δηλ. (**7**) *om* C ‖ **12** καὶ F, *om* CA ‖ **13** ἠρίστησα FA, ἐκαθεύδοισα C ‖ **14** ταύταις F, αὐτῇ C, *om* A ‖ **15** λέξεως CA, λέξεων F ‖ **16** εἰρήκαμεν CA, εἴρηται F; *vide p. 48, 27 seqq.* **19** συμφώνων FA, συμφώνου C | *posterius* τὸν *om* C ‖ **20** καὶ μόνου CA, μόνου F | τὸν καὶ τοῖς A, τὸν τοῖς F, τοῦ καὶ ἐν τοῖς C ‖ **21** παρέχοντα FA, παρέχοντος C ‖ **22** ἔστι δὲ λόγος C | οἷον F, *om* CA ‖ **23** διαλλαγὴν *R Schneider*, ἐναλλαγὴν CFA | ἐστιν *om* C ‖ **24** λόγος *om* C ‖ **25** καὶ *om* C | μονολεξία F, μονόλεξις C, μονόλεξιν A ‖ **27** ὅτι καθότι F, καθὸ CA | σύνθ. λέξεων FA, λέξεως σύνθ. C ‖ **28** τοῦ λόγου F, *om* CA | *poster.* τὸ *om* C ‖ **31** τῷ C, τοῦ F, τὸ A ‖ **32** ἐν τῷ π. σ.] *vide p. 48, 24 seqq.*

νογραμμάτους cυλλαβὰς οὐ δεῖ ἐκβάλλειν τοῦ εἶναι cυλλαβάς, εἰ καὶ μὴ cυλλαμβάνουcι cύμφωνα καὶ φωνήεντα, ὁμοίως δὲ καὶ τὴν μονάδα οὐκ ἐκβάλλομεν τῶν ἀριθμῶν, εἰ καὶ μὴ ἔcτι μονάδων cύνθεcιc, οὕτω καὶ ἐνταῦθα τὴν μίαν λέξιν, φημὶ δὲ τὸ ῥῆμα, καθὸ αὐτοτελέc ἐcτι, λόγον δικαίωc καλέcομεν.

Ἔcτι λόγοc καὶ ἀπὸ τριῶν λέξεων, οἷον «Cωκράτηc ἀριcτήcαc καθεύδει»· καὶ ἔχει τρεῖc διαφοράc· τὸ μὲν γάρ ἐcτιν ὄνομα, τὸ δὲ μετοχή, τὸ δὲ ῥῆμα. Καὶ οὕτωc ἐφεξῆc ἐπεκτεινόμενοc ὁ λόγοc εὑρίcκεται ἔχων ὀκτὼ διαφοράc· περαιτέρω δὲ τῶν ὀκτὼ διαφορῶν οὐχ εὑρίcκεται, ἀλλ' εἰ καὶ πλείοναc cχοίη λέξειc τῶν ὀκτώ, cυνεμπίπτουcιν ἀλλήλαιc, λόγου χάριν ἢ δύο ὀνόματα ἢ δύο μετοχαὶ ἢ δύο ἐπιρρήματα ἢ δύο cύνδεcμοι ἤ τι τοιοῦτον, πλὴν τῶν ῥημάτων· δύο γὰρ ῥήματα αὐτοτελῆ ἐν ἑνὶ 842b
λόγῳ οὐχ εὑρίcκεται. Μεταξὺ δὲ λόγου ἐπῆλθέ μοι θαῦμα τοῦ κρατίcτου τῶν ποιητῶν, ὃc ἐν πᾶcιν ἀπαραλείπτωc θείᾳ τινὶ ἐπιπνοίᾳ ἐκεκόcμητο· καὶ γὰρ ἔcτιν Ὁμηρικὸc cτίχοc τὰ ὀκτὼ μέρη τοῦ λόγου ἔχων οὗτοc, ⟨Χ 59⟩ πρὸc δέ με τὸν δύcτηνον ἔτι φρονέοντ' ἐλέηcον· τὸ μὲν γὰρ πρόc ἐcτὶ πρόθεcιc, τὸ δέ cύνδεcμοc, τὸ μέ ἀντωνυμία, τὸ τόν ἄρθρον, τὸ δύcτηνον ὄνομα, τὸ ἔτι ἐπίρρημα, τὸ φρονέοντα μετοχή, τὸ ἐλέηcον ῥῆμα.

Ἡ γὰρ προcηγορία ὡc εἶδοc τῷ ὀνόματι ὑποβέβληται.] Τινὲc τὸ προcηγορικὸν ὄνομα ἠθέληcαν κατ' ἰδίαν τάξαι, ἵνα ᾖ ἔννατον μέροc λόγου· ἀλλ' οὐ καλῶc· οὐ γὰρ ἔξω τοῦ ὅρου ἐcτὶ τοῦ ὀνόματοc. Διὸ καὶ αὐτὸc ἐνταῦθά φηcιν, ὅτι ἡ προcηγορία, τουτέcτι τὸ προcηγορικὸν ὄνομα, ὑποβέβληται τῷ ὀνόματι, τουτέcτιν ὑπὸ τὸν ὅρον τοῦ ὀνόματοc, καὶ εἶδοc αὐτοῦ τοῦ ὀνόματοc ὑπάρχει, ὡc καὶ ἄλλα εἴδη πολλὰ ἔcτιν ὀνόματοc, ὡc εἰcόμεθα cὺν θεῷ.

§ 12—18 (14—23b).

Quae ad has artis Dionysianae paragraphos disputavit ***Melampus*** *(seu* ***Diomedes****) interciderunt in continuo commentario codicis* F, *neque insunt in Vaticana scholiorum collectione codicis* C.

20—26 hab. et. Σ^{m}

1 οὐ δεῖ FA, *om* C | εἰ — καλέc. (**5**) *om* A ‖ **2** cύμφωνα καὶ φωνήεντα F, cύμφωνον καὶ φωνῆεν C ‖ **6** ἀπὸ *et* οἷον F, *om* CA | καθεύδει FA, ἐκαθεύδηcε C ‖ **10** πλείοναc cχοίη FA, πλείουc cχῇ C | τῶν ὀκτώ F, αἱ πλείουc τῶν ὀκτὼ διαφορῶν CA ‖ **13** (Μετ.) — **26** *om* F | Μεταξὺ — ἔcτιν (**15**)] ἔcτι δὲ καὶ A ‖ **17—19** πρόθεcιc *etc. nominativos habet* A, προθέcεωc *etc. genetivos* C ‖ **21** τὸ προcηγορικὸν V, τὴν προcηγορίαν C | ἔννατον V, ἓν C ‖ **25** καὶ εἶδοc — ὀνόματοc V, *om* C | αὐτοῦ] αὐτὸ V | ὡc καὶ — θεῷ (**26**) *om* V ‖ **26** ὀνόματοc] ὀνομάτων C

§ 19 (24b).

Περὶ ἐπιρρήματοϲ.

935,10b Ἐπίρρημά ἐϲτι μέροϲ λόγου ἄκλιτον, κατὰ ῥήματοϲ λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι.] Εἰπὼν μέροϲ λόγου εἶναι τὸ ἐπίρρημα οὔπω τινὸϲ αὐτὸ ἀπεμέριϲεν· ἐπαγαγὼν δὲ τὸ «ἄκλιτον» ἀπεμέριϲεν αὐτὸ παρὰ δύο μέρη πάντων, παρὰ τὴν πρόθεϲιν καὶ τὸν ϲύνδεϲμον· καὶ ταῦτα γὰρ ἄκλιτά ἐϲτιν, οὔτε γὰρ εἰϲ πτώϲειϲ οὔτε εἰϲ πρόϲωπα οὔτε εἰϲ χρόνουϲ κλίνεται. Εἰπὼν δὲ τὸ «κατὰ ῥήματοϲ λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι» καὶ τούτων αὐτὸ ἀπεμέριϲεν· οὐδὲν γὰρ ἕτερον μέροϲ λόγου τῷ ῥήματι ἐπιφορὰν ἀναγκαϲτικῶϲ ποιεῖται, προταττόμενον αὐτοῦ τοῦ ῥήματοϲ ἢ ὑποταττόμενον, ὅθεν καὶ τὸ τοιοῦτον ὄνομα εἴληχε, «καλῶϲ ἦλθεν, ἦλθε καλῶϲ, ϲοφῶϲ ἔφη, ἔφη ϲοφῶϲ»· διὸ κἂν μεταξὺ αὐτῶν ἕτερα μέρη λόγου τεθῇ ἢ δι' εὐπρέπειαν ϲυνθέϲεωϲ ἐν τοῖϲ καταλογάδην προφορικοῖϲ λόγοιϲ ἢ ϲυγγράμμαϲιν, ἢ ἀνάγκῃ μέτρου ἐν τῇ ποιήϲει, πρὸϲ οὐδὲν ἕτερον μέροϲ λόγου ποιεῖται τὴν ἐπιφορὰν τὸ ἐπίρρημα, εἰ μὴ πρὸϲ τὸ ῥῆμα.

937,26b Τὰ δὲ χρόνου δηλωτικά, οἷον νῦν τότε αὖθιϲ· τούτοιϲ δὲ ὡϲ εἴδη ὑποτακτέον τὰ καιροῦ παραϲτατικά, οἷον ϲήμερον αὔριον τόφρα τέωϲ πηνίκα.] Διὰ τῶν τριῶν τούτων ἐπιρρημάτων οἱ τρεῖϲ χρόνοι δηλοῦνται, διὰ μὲν τοῦ νῦν ὁ ἐνεϲτώϲ, διὰ δὲ τοῦ τότε ὁ παρεληλυθώϲ, διὰ δὲ τοῦ αὖθιϲ ὁ μέλλων. Τούτοιϲ οὖν, φηϲί, τοῖϲ τριϲὶν ἐπιρρήμαϲι γενικωτέροιϲ οὖϲι δεῖ ὑποτάττειν ὡϲ εἴδη, τουτέϲτιν ὡϲ μέρη, τὰ καιροῦ ϲημαντικά· τοῦτο γὰρ δηλοῖ τὸ «παραϲτατικά», ἀντὶ τοῦ ϲημαντικά· ὡϲ γὰρ ὁ καιρὸϲ τοῦ χρόνου μερικώτερόϲ ἐϲτιν, οὕτω
938b καὶ τὸ ϲήμερον καὶ τὸ αὔριον καὶ τὰ ἑξῆϲ ἐπιρρήματα, ἃ ἐπιφέρει ὁ τεχνικόϲ, μερικώτερά ἐϲτι τῶν προλεχθέντων τριῶν ἐπιρρημάτων, λέγω δὴ τοῦ νῦν τότε αὖθιϲ.

Τὰ δὲ μεϲότητοϲ ἐπιρρήματα οὐκ ἀπὸ ἐννοίαϲ τινὸϲ ὠνόμαϲται· πλείϲταϲ γὰρ διαφορὰϲ ἔχει ἐννοιῶν· ἀλλ' ἐπειδὴ γίνεται ἀπὸ τῆϲ γενικῆϲ τῶν πληθυντικῶν τῆϲ μέϲηϲ οὔϲηϲ τῶν τριῶν γενῶν, τοῦ ν̄ μόνου εἰϲ ϲ̄ τρεπομένου, διὰ τοῦτο καλεῖται μεϲότητοϲ, οἷον τῶν καλῶν· αὕτη γενικὴ οὖϲα πληθυντικὴ μέϲη ἐϲτί, τουτέϲτι κοινή, ἀρϲενικοῦ καὶ θηλυκοῦ καὶ οὐδετέρου, οἱ καλοί τῶν καλῶν, αἱ καλαί τῶν καλῶν, τὰ καλά

2—8 hab. et. A || 18—20 hab. et. A || 23—25 (ἐπιρρ.) hab. et. A

2 *in marg. add* Διομήδουϲ C || **3** εἶναι F, *om* CA || **4** αὐτὸ] αὐτῶν F, *om* CA || **5** πάντων F, πάντωϲ CA || **8** τούτῳ A | αὐτὸ F, αὐτῶν C, *om* A | γὰρ F, *om* C || **9** τῷ ῥήματι ἐπιφ. *R Schneider*, ἐπὶ τῷ ῥήματι φορὰν CF || **10** αὐτοῦ F, *om* C || **14** ποιεῖται F, ποιεῖ C || **16** Τὰ — πηνίκα (18) C, τὰ δὲ παραδείγματα πρόδηλα, νῦν τότε αὖθιϲ F || **18** *in marg. add* Διομήδουϲ C | τῶν *add* A | τριῶν τούτων FA, τοιούτων C || **22** τὰ τοῦ κ. FC | τοῦτο — ϲημ. (**23**) C, ἤγουν τὰ παραϲτατικά F || **23** ἐϲτιν FA, *om* C || **24** καὶ τὸ *ante* αὔ. F, *om* CA || **25** μερικώτερα γάρ ἐϲτι CA || **27—60, 2** F, *om* C

τῶν καλῶν· τραπέντος οὖν τοῦ ν̄ εἰς c̄, ὡς ἔφαμεν, γίνεται τὸ ἐπίρρημα καλῶς· σοφῶν σοφῶς ὁμοίως.

Τὰ δὲ ποιότητος.] Τὰ δηλοῦντα τὸν τοῦ σχήματος τρόπον καὶ 941,13b τὴν ἔνδειξιν καλεῖται ποιότητος, οἷον «πῶς ἔτυψε; πύξ· πῶς ἤρχοντο; ἀγεληδόν· πῶς ἐκαθέζοντο; γνύξ».

Τὰ δὲ τοπικά.] Τοπικὰ τὰ τόπον σημαίνοντα, ὧν σχέσεις ἤγουν 943,4b μεθέξεις εἰσὶ τρεῖς· ἢ γὰρ ἐν τόπῳ τινὶ ἔστι τις, ἢ εἴς τινα τόπον πορεύεται, ἢ ἐκ τόπου τινὸς ἔρχεται. Καὶ τὸ μὲν οἴκοι καὶ τὰ ὅμοια αὐτῷ τὴν ⟨ἐν τόπῳ ὕπαρξιν δηλοῖ, τὸ δὲ οἴκαδε καὶ τὰ ὅμοια αὐτῷ τὴν⟩ εἰς τόπον ἄφιξιν, τὸ δὲ οἴκοθεν καὶ τὰ ὅμοια αὐτῷ τὴν ἐκ τόπου σχέσιν.

Ἄβαλε· τὸ ἆ κατ᾽ ἰδίαν ἐστὶν εὐκτικὸν ἐπίρρημα, ὡς τὸ αἴθε, καὶ 946,14b τὸ βάλε ὁμοίως κατ᾽ ἰδίαν ἐπίρρημα εὐκτικόν· βάλε μοι, βάλε τὸ τρίτον εἴη, Καλλίμαχος ⟨fr. 66ᵉ Sch⟩.

Τὰ δὲ σχετλιαστικά.] ⟨«Σχετλιαστικά»⟩ λυπηρά· σχέτλιος γάρ ἐστιν ὁ ἄθλιος· τὰ οὖν λυπηρὰ καὶ ἄθλια καὶ σχετλιασμοῦ ἄξια.

Βαβαί· οἱ ἰδιῶται τῆς β̄ᾱῑ διφθόγγου τὸ ῑ κατ᾽ ἰδικὴν συλλαβὴν προφερόμενοί φασι βαβαῖ· οὐ δεῖ δέ, ἀλλὰ δισυλλάβως βαβαί θαυμάζοντά τι ἢ ἐπαινοῦντα λέγειν.

Τὰ δὲ ἀρνήσεως ἢ ἀποφάσεως, οἷον οὔ οὐχί οὐδῆτα οὐ- 947,5b δαμῶς.] Ἡ ἀπόφασις τῆς ἀπαγορεύσεως διαλλάσσει· ἡ μὲν γὰρ ἀπόφασις ἄρνησιν δηλοῖ, τουτέστιν ἀνάνευσιν ἤτοι μὴ συγκατάθεσιν, ἡ δὲ ἀπαγόρευσις συμβουλίαν ἀποτροπῆς ἔχει· ὁ μὲν γὰρ λέγει «οὐκ ἐποίησα» ἢ «οὐκ ἐποίησας», ὁ δέ φησι «μὴ ποιήσῃς».

Ἰστέον δὲ ὅτι τὸ οὐχί ἐπέκτασις μέν ἐστι τῆς οὔ, ὡς καὶ τὰ ἄλλα ἐπιρρήματα τὰ ἀρνητικά, ὀξύνεται δέ, καὶ οὐδέποτε ἀποβολὴν τοῦ ῑ πάσχει, ὥς φησιν Ἡρωδιανός· διὸ τὸ «οὐχ ἡμῶν» καὶ τὰ ὅμοια οὔ φαμεν ἔχειν ἐν παραθέσει τὴν χ̄ῑ, οὐδὲ ὡς τοῦ ῑ ἀποβληθέντος ἀπόστροφον ἐπιδέχεται, ἀλλὰ πεπλεονακέναι τὸ χ̄ ἐν τῷ μέσῳ διὰ τὸ κεχηνέναι· καὶ ὅταν μὲν δασεῖα ἐπιφέρηται, τὸ χ̄ πλεονάζει, ὅταν δὲ ψιλή, τὸ κ̄, «οὐκ ἐμόν».

Ναίχι· τοῦτο οὐκ ὀξύνεται ὡς τὸ οὐχί, εἰ καὶ τὴν αὐτὴν ἔχει ἐπέκτασιν.

16—18 hab. et. A ‖ **24—28** (χ) **hab. et.** A

3 Τὰ δὲ π. F, Διομήδους C ‖ **4** οἷον F, *om* C | πύξ F, *om* C ‖ **6** Τὰ δὲ τοπ. F, Στεφάνου *in marg.* C | ἤγουν μεθέξεις C, ὧντινων μεθ᾽ ἑξῆς F ‖ **8** οἴκοι — σχέσιν (**10**)] οἴκαδε καὶ τὰ ὅμοια αὐτῷ τὴν ἐκ τόπου σχέσιν (*sic*), τὸ δὲ οἴκοι τὴν ἐν τόπῳ F ‖ **9** ἐν — τὴν *add* b ‖ **11** *in marg.* Διομήδους C | Ἄβαλε] τὸ ἆ βάλαι F, τινὲς δύο ὁμοιόσημα C | ἆ] ᾱ C, ᾱ καὶ ῑ F | αἴθε CF, ἆ δειλέ? ⟨*ex. gr.* Λ *441*⟩ *RSchneider* ‖ **12** τὸ βάλε C, ἀβάλαι F ‖ **14—18** F, *om* C ‖ **19** *in marg.* Διομήδους C ‖ **20** διαλλάσσει C, ἐναλλάσσει F ‖ **21** ἤ. μὴ συγκ. F, *om* C ‖ **27** ἀπόστροφον FA, ἐπιστροφὴν C ‖ **28** πλεονακέναι F, πεπλεόνακε A *et* C (*qui add* τοί) | τῷ F, *om* C ‖ **29** καὶ F, *om* C ‖ **31 seq.** F, *om* C | οὐκ] καὶ F

948,4b Τὰ δὲ παραβολῆς ἢ ὁμοιώσεως, οἷον ὥς ὥσπερ ἠΰτε καθὰ
καθάπερ.] Παραβολὴ λέγεται ἡ τὰ ἐοικότα τοῖς ἐοικόσι παραβάλλουσα,
τουτέστι παρατιθεμένη.

8 Τὰ δὲ εἰκασμοῦ, οἷον ἴσως τάχα τυχόν.] Τὸ μὴ εἰδέναι ἀκρι-
βῶς εἰκασμόν φαμεν.

951,9b Τὰ δὲ θειασμοῦ.] Τὸ ἐνθεοῦσθαι, τουτέστι τὸ ὑπὸ θεοῦ κινεῖ-
σθαι, θειασμόν φαμεν· τὸ οὖν εὐοῖ εὐάν ἐπιρρήματά ἐστι δηλωτικὰ πρά-
ξεων ἐνθουσιαστικῶν.

§ 20 (25b).

954,4b
Περὶ συνδέσμου.

Σύνδεσμός ἐστι λέξις συνδέουσα διάνοιαν.] Καὶ ἐνταῦθα εἰ-
πὼν τὸ «λέξις» οὔπω τινὸς αὐτὸν ἀπέστησεν· εἰπὼν δὲ «συνδέουσα διά-
νοιαν» ἕως τοῦ «δηλοῦσα» πάντων αὐτὸν τῶν ἄλλων διέκρινεν· οὐδὲν
γὰρ ἄλλο μέρος λόγου συνδεσμεῖ ἔννοιαν εὐτάκτως, οὐδὲ τοὺς διαλελυ-
μένους λόγους εἰς ἓν συνάγει· τοῦτο γάρ ἐστι «τὸ τῆς ἑρμηνείας κεχη-
10 νός», τοὺς μήπω ὑπὸ ζυγόν τινα ἤτοι σύνδεσμον καὶ τάξιν ὄντας λόγους
ὑπὸ ῥυθμὸν εὔτακτον ἄγουσα· τοῦτο γάρ ἐστι τὸ «δηλοῦσα».

Τῶν συνδέσμων ἑπτὰ διαφορὰς ἤτοι ὀκτώ φησιν εἶναι· τοῦτο δέ
φημι, ὡς τῶν παραπληρωματικῶν μηδὲ συνδέσμων σχεδὸν ὄντων· τῶν
συνδέσμων οὖν οἱ μὲν τῆς πρώτης διαφορᾶς καλοῦνται συμπλεκτικοί.
957,17b Τοῦτο δ' ἄν τις ὀρθῶς σκοπῶν ἢ ἀκριβῶς τὸ «συμπλεκτικοί» φαίη ἂν
ἐπὶ πάντων ἁρμόζειν τῶν συνδέσμων· καθὸ γὰρ σύνδεσμοι, συμπλεκτικοί
20 εἰσιν. Κατ' ἐξοχὴν οὖν ἐπὶ τῶν μάλιστα καὶ ἐπ' ἄπειρον τὴν ἔννοιαν
συνδεόντων τοῦτο τὸ ὄνομα τέτακται. Ποῖοι δέ εἰσιν οὗτοι; Αὐτὸς αὐ-
τοὺς παρατίθεται· ἑκάστου δὲ τόπον καὶ δύναμιν, ἔσθ' ὅτε δὲ καὶ ἰδικὴν
ὀνομασίαν, ἡμεῖς διασαφήσομεν.

Μέν.] Οὗτος τίθεται ἐν τῷ προτέρῳ λόγῳ, ἀλλ' οὐχὶ καὶ τῆς πρώτης λέξεως τοῦ προτέρου λόγου προτασσόμενος· ἀπαιτεῖ δὲ τὸν δέ ἐπενεχθῆναι ἐν τῷ δευτέρῳ λόγῳ ἢ τοὺς ἰσοδυναμοῦντας τῷ δέ, φημὶ δὲ τὸν ἀλλά, τὸν αὐτάρ, τὸν ἀτάρ, ἢ ἔσθ' ὅτε τὸν γάρ, οὗ ὁ Διονύσιος οὐκ ἐμνήσθη. Τόνον δὲ ἔχει τὸν πρέποντα λέξει μονοσυλλάβῳ βραχυκαταλήκτῳ, τουτέστι τὸν ὀξὺν μὲν καθ' ἑαυτόν, ἐν δὲ τῇ συνεπείᾳ βαρύνεται.

6—8 hab. et. A ‖ 20—63, 16 hab. et. A

1 ἢ — καθάπερ (2) C, *om* F | ἠΰτε] ἦν. ἤντε *et in marg.* m[2] ὡσεὶ C ‖ 6 *in marg. add* Διομήδους C ‖ 7 εὖ οἶ. εὖ ἄν C, εὔοι εὔαν F, εὐοῖ εὐάν A ‖ 10 C *add* Διομήδους | συνδέουσα — λέξις (11) F, *om* C ‖ 11 αὐτὸν b, αὐτῶν CF ‖ 13 διαλελυμένους C, διαλεγομένους F ‖ 14 τῆς ἑρμ. F, *om* C ‖ 15 μήπω C, μὴ F ‖ 16 τοῦτο — δηλοῦσα F, *om* C ‖ 17 Τῶν — συμπλεκτ. (19) F, *om* C | *post* εἶναι *add* τῶν συνδέσμων F ‖ 19 μὲν] μὴ F ‖ 20 C *add* Διομήδους | Τοῦτο — ἀκριβῶς F, ὀρθῶς (δέ *add* A) τις σκοπῶν CA ‖ 23 αὐτοὺς F, *om* CA ‖ 24 ἑκάστου FA, ἕκαστον C ‖ 29 δὲ FA, *om* C | ἢ — γάρ FA, *om* C ‖ 30 Τόνον — βαρύν. (32) FA, *om* C ‖ 31 τὸν A, *om* F

Δέ.] Οὗτος ἐν τῷ προτέρῳ ⟨λόγῳ⟩ οὐδέποτε εὑρίσκεται, ἀλλ᾽ ἢ 958,6b
τοῦ μὲν προκειμένου ἐν τῷ προτέρῳ λόγῳ οὗτος ἐν τῷ δευτέρῳ λόγῳ
τίθεται, ἀλλ᾽ οὐκ ἐν ἀρχῇ ἀλλὰ μετὰ τὴν πρώτην λέξιν τοῦ δευτέρου
λόγου, ἐπακολουθῶν τῷ μέν· διὸ καὶ μετὰ τὴν κοινὴν ὀνομασίαν τῶν 10
συνδέσμων, τὴν συμπλεκτικήν, καὶ ἰδικῆς ἔτυχεν ὀνομασίας, καλούμενος
ἐπακολουθητικός, ὡς ἐπακολουθῶν τῷ μέν· ἢ μηδενὸς τῶν συνδέσμων
προκειμένου ἐν τῷ προτέρῳ λόγῳ οὗτος ἐν τῷ δευτέρῳ λόγῳ τίθεται,
ὀφείλων συνδῆσαι ἀμφοτέρους τοὺς λόγους. Καλεῖται δὲ καὶ μεταβατι-
κός· ἀπὸ προσώπου γὰρ εἰς πρόσωπον ἢ ἀπὸ πράγματος εἰς πρᾶγμα
μεταβαίνοντες αὐτῷ κέχρηνται πάντες. Τόνον δὲ ἔχει τὸν ὅμοιον
τῷ μέν.

Τέ.] Οὗτος τίθεται μὲν καὶ ἐν τῷ πρώτῳ λόγῳ καὶ ἐν τῷ δευ- 27
τέρῳ καὶ ἐν τῷ τρίτῳ καὶ ἐφεξῆς ἐπ᾽ ἄπειρον, ἐφ᾽ ὅσον ἂν τις βουληθῇ·
ἀλλ᾽ οὐ προτασσόμενος τῶν πρώτων λέξεων τῶν λόγων, ἀλλὰ μετὰ τὴν 30
πρώτην λέξιν εὐθέως. Ἰσοδυναμεῖ δὲ κατὰ τὴν ἔννοιαν τῷ καί. Τόνον
δὲ ἔχει ὁμοίως τοῖς προειρημένοις συνδέσμοις, μικρὸν ὑπέλασσον· τέτα-
κται γὰρ ἐν τοῖς ἐγκλιτικοῖς μορίοις τοῖς ἀπολλύουσι τὸν τόνον προκει-
μένου ἑνὸς τῶν τεσσάρων παραφυλαγμάτων, ἢ ὀξυτόνου λέξεως ἢ περι-
σπωμένης ἢ προπαροξυνομένης ἢ τροχαϊκῆς.

Καί.] Οὗτος ἰσοδυναμῶν τῷ πρὸ αὐτοῦ, φημὶ δὲ τῷ τέ, κατὰ τὴν
ἔννοιαν καὶ ἐν τῷ πρώτῳ λόγῳ καὶ ἐν τῷ δευτέρῳ καὶ ἐν τῷ τρίτῳ 959b
καὶ ἐφεξῆς ὡς ὁ τέ τίθεται· ἀλλ᾽ οὗτος καὶ τῶν πρώτων λέξεων προ-
τάσσεται· τόνον δὲ ἔχει ὅμοιον τῷ μέν. Περὶ δὲ τόνου τί σοι καθ᾽ ἕνα
φημί; κοινῇ γάρ, πάντων συμπλεκτικῶν συνδέσμων ὀξυνομένων, σεση-
μειωμένου τοῦ ἤτοι.

Ἀλλά.] Οὗτος ἐν τῷ δευτέρῳ λόγῳ τίθεται, προτασσόμενος καὶ 5
τῆς πρώτης λέξεως τοῦ δευτέρου λόγου, προκειμένου τοῦ μέν ἐν τῷ
προτέρῳ λόγῳ ἢ μὴ προκειμένου· ἰσοδυναμεῖ δὲ τῷ δέ, ὡς προείπομεν·
ἔχει δὲ πνεῦμα ψιλόν.

Ἠμέν ἠδέ ἰδέ.] Οἱ τρεῖς οὗτοι σύνδεσμοι ἰσοδυναμοῦσι τῷ καί, 12
τίθενται δὲ καὶ ἐν τοῖς πρώτοις καὶ ἐν τοῖς ἐφεξῆς λόγοις, ὡς ὁ καί,
προτασσόμενοι καὶ τῶν πρώτων λέξεων· ψιλοῦνται δέ.

Αὐτάρ ἀτάρ.] Οὗτοι οἱ δύο σύνδεσμοι, ἰσοδυναμοῦντες τῷ δέ, ἐν 960,3b

---

2 προτέρῳ FA, δευτέρῳ C; *item v. 7* ‖ **3** ἀλλὰ μ. — λέξιν F, *om* CA ‖ **6** ἐπακολουθητικὸς F, ἀκολουθητικὸς CA ‖ **10** Τόνον — μέν (**11**) FA, *om* C | τὸν F, *om* A ‖ **12** πρώτῳ] προτέρῳ CFA; *item v. 21* ‖ **14** πρώτων CA, προτέρων F ‖ **15** Τόνον — τροχαϊκῆς (**19**) FA, *om* C ‖ **16** μικρὸν ὑπέλ. A, *om* F ‖ **18** τεσσάρων] τριῶν FA ‖ **19** ἢ προπαροξ. F, *om* A ‖ **20** αὐτοῦ CA, ἑαυτοῦ F | τῷ τέ FA, *om* C ‖ **22** προτάσσεται FA, προτίθεται C ‖ **23** τόνον — ἤτοι (**25**) *om* C | Περὶ — ἤτοι (**25**) F, *om* A ‖ **24** κοινὴ F ‖ **26** λόγῳ FA, *om* C ‖ **27** προκειμ. — προκειμ. (**28**) F, *om* CA ‖ **28** προείπομεν FA, προεῖπον C; *vide p. 61, 29* ‖ **29** ἔχει — ψιλόν F, τόνον δέ ἔχει ὀξύτονον A, *om* C ‖ **31** ὡς FA, *om* C ‖ **32** καὶ (*ante* τῶν) FA, *om* C | πρώτων A, τριῶν F, *om* C | ψιλ. δέ F, *om* CA; *item p. 63, 3*

τοῖς δευτέροις λόγοις τίθενται, ὡς ὁ δέ, ἢ προκειμένου τοῦ μέν ἢ μὴ προκειμένου· ἀλλ' οὗτοι καὶ αὐτῆς τῆς πρώτης λέξεως τῶν δευτέρων λόγων προτάττονται· ψιλοῦνται δέ.

10 Ἤτοι.] Οὗτος, ἰσοδυναμῶν τῷ μέν, ἐν τοῖς πρώτοις λόγοις τίθεται, καὶ αὐτῆς δὲ τῆς πρώτης λέξεως κατάρχεται· τόνον δὲ ἔχει ἐναντίον τοῖς συμπλεκτικοῖς συνδέσμοις· πάντων γὰρ ἐκείνων ὀξυνομένων οὗτος παροξύνεται, μὴ νομιζομένης τῆς οι διφθόγγου βραχείας εἶναι, ἀλλὰ τελείας μακρᾶς χρόνον ἐχούσης ἐν τοῖς ἀκλίτοις τῶν μερῶν τοῦ λόγου· ἔχει δὲ πνεῦμα ψιλόν.

23 Κέν ἄν.] Οὗτοι οἱ δύο σύνδεσμοι ἐν τοῖς προτέροις καὶ ἐν τοῖς δευτέροις λόγοις τίθενται, ἀλλ' οὐ καταρχόμενοι τῶν λέξεων· ὁ δὲ κέν ἐν τοῖς ἐγκλιτικοῖς μορίοις, ὁ δὲ δεύτερος αὐτῶν οὐκ ἐν τοῖς ἐγκλιτικοῖς μορίοις.

30 Γάρ.] Τὸν γάρ αὐτὸς οὐ παρέθετο· ἔστι δὲ κοινῇ μὲν διανοίᾳ καὶ οὗτος συμπλεκτικός, ἰδικῇ δὲ αἰτιολογικός· τόπον δὲ ἔχει καὶ τόνον ὅμοιον τῷ δέ.

961,21b Διαζευκτικοὶ δέ εἰσιν ὅσοι τὴν μὲν φράσιν ἐπισυνδέουσιν, ἀπὸ δὲ πράγματος εἰς πρᾶγμα διιστᾶσιν· εἰσὶ δὲ οἵδε, ἤ ἤτοι ἠέ.] Εἰ σύνδεσμοι, πῶς διαζευκτικοί; Ναί, οὐ τῆς φράσεώς εἰσι διαζευκτικοί, ἀλλὰ τῶν προσώπων ἢ τῶν πραγμάτων, ἐπειδὴ οὐκ ἔλαττον τῶν συμπλεκτικῶν συνδέουσι τὴν φράσιν, μᾶλλον δὲ ἐπισυνδέουσιν, ὡς καὶ ὁ
963,18b τεχνικός φησι, διὰ τῆς ἐπί προθέσεως τὸ ἐπιτεταμένον ἐμφαίνων. Καὶ τῇ ἀληθείᾳ εἷς μὲν ἔστι σύνδεσμος διαζευκτικός, ὁ ἤ, ἐπεκτεινόμενος δὲ
20 γίνεται ποτὲ μὲν ἤτοι, ποτὲ δὲ ἠέ· πνεῦμα δὲ ἔχει ψιλόν, καὶ μονοσύλλαβος ὢν καὶ δισύλλαβος· τόνον δὲ ὁ μὲν μονοσύλλαβος ὀξύν, ἐν δὲ τῇ συνεπείᾳ βαρύνεται· γινόμενος δὲ ἤτοι παροξύνεται, ἐπεκτεινόμενος δὲ διὰ τοῦ ε καὶ γινόμενος ἠέ πάλιν ὀξύνεται, καὶ ἐν τῇ συνεπείᾳ βαρύνεται. Τίθεται δὲ ἤτοι προτίθεται καὶ ἐν τῷ προτέρῳ καὶ ἐν τῷ δευτέρῳ λόγῳ, ἀρχόμενος καὶ τῶν πρώτων λέξεων.

965,8b Συναπτικοὶ δέ.] Οὗτοι τὰ μὲν λεγόμενα οὐ πάντως ἐν ὑπάρξει

19—64, 9 (ἐπεκτ.) **hab. et** A

4 πρώτοις A, προτέροις CF ‖ **6** τοῖς συμπλεκτικοῖς (*om* συνδ.) A, τῶν συμπλεκτικῶν συνδέσμων CF ‖ **7** βραχ. εἶναι F, ἀλόγου CA ‖ **8** τελείας CA, *om* F | μακρᾶς χρόνον] μακρᾶς λόγον C, μακρᾶς F, ἐπὶ τὰς *et compendium quod videtur* χρόνου A ‖ **9** *post* δὲ *add* καὶ C ‖ **11** λόγοις FA, *om* C | τῶν FA, *om* C | ὁ δὲ κέν — μορίοις (**12**) A, *om* CF ‖ **12** ὁ δὲ δεύτ. — μορίοις (**13**) F, *om* CA ‖ **14** ἔστι — διανοίᾳ CA, ἔστι μὲν κοινὴ διανοία F ‖ **15** οὗτος FA, αὐτὸς C | ἰδικὴ F | αἰτιολογικός *Uhlig*, ἐναντιω(-ο-CA)ματικὸς CFA | τόπον — δέ (**16**) FA, *om* C ‖ **19** Εἰ — Ναί *om* C | Εἰ A, *om* F ‖ **21** δὲ καὶ ἐπισ. C ‖ **22** ἐπὶ προθέσεως A, ἐπισυνδέσεως CFb | ἐπιτεταμένον CFA, ἐντεταμένον b, ἐπιτεταγμένον *RSchneider* | ἐμφαῖνον FA, φαῖνον C, φαίνων b ‖ **25** ὁ μὲν μονος. F, μονοσυλλ' μὲν A, μονοσύλλαβον C, μονοσύλλαβος ὢν b ‖ **26** βαρύνεται F, βαρὺν A, καὶ βαρὺν C ‖ **27** καὶ ἐν τῇ — λέξεων (**29**) FA, *om* C ‖ **30** C *add* Διομήδους | Συναπτ. δὲ F, συναπτικοὶ A, *om* C | τὰ μὲν λεγ. CA, *om* F

ὄντα cημαίνουcιν ἐν τῷ καιρῷ ἤτοι χρόνῳ ἐκείνῳ, καθ' ὃν λέγονται, ἐπιμελοῦνται δὲ τῆc ἀκολουθίαc· καὶ πάλιν ἐν τῷ προτέρῳ λόγῳ τίθενται καὶ ἐν τῷ δευτέρῳ, μὴ ἀπαιτοῦντέc τινα τῶν cυνδέcμων προεῖναι. Καὶ ἐνταῦθα δὲ τῇ ἀληθείᾳ εἷc ἔcτι cύνδεcμοc cυναπτικόc, ὁ εἴ· τοὺc γὰρ ἄλλουc ἐπεκτεινομένουc ὑφίcτηcιν αὐτόc· ὅτι γὰρ ἐπέκταcίc ἐcτιν ὁ εἴπερ τοῦ εἴ, καὶ ὁ τόνοc ἐλέγχει, ὀξὺc ὢν καὶ ἐν τῷ εἴπερ, ὡc καὶ ἐν τῷ εἴ· εἰ γὰρ μὴ ἦν ἐπέκταcιc, ἔδει τὸν εἴπερ προπεριcπᾶcθαι διὰ τὸ εἶναι μακρὰν πρὸ βραχείαc ἐν ἑνὶ μέρει λόγου. Ἀλλ' ὁ κανὼν οὗτοc ὁ τονικὸc παρεφυλάξατο τὰc ἐπεκτάcειc· ἔχει γὰρ οὕτωc· «πᾶcα μακρὰ πρὸ βραχείαc ἀνεπέκτατοc ἐν ἑνὶ μέρει λόγου περιcπᾶται». Ὁμοίωc δὲ καὶ ὁ εἰδήπερ εἰc τὴν δη ὀξὺν τόνον ἔχει, ὡc καὶ ὁ εἰδή, ἐπέκταcιc γάρ ἐcτιν αὐτοῦ τοῦ εἰδή. Ψιλοῦνται δὲ πάντεc.

Περὶ παραcυναπτικῶν. — Οὗτοι τὸ λεῖπον τοῖc cυναπτικοῖc cυναναπληροῦcι, καὶ ὕπαρξιν γὰρ καὶ ἀκολουθίαν δηλοῦcι· καὶ τόπον δὲ καὶ τόνον ⟨ἔχουcιν⟩ ἐοικότα τοῖc cυναπτικοῖc, ὁμοίωc δὲ καὶ πνεῦμα, ἵνα μὴ περαιτέρω τοῦ δέοντοc πολυλογῶμεν. [Ἐνθάδε τὸ λεῖπον περὶ τῆc αἰτίαc, καὶ ὑπολείψει τὸ πλήρωμα τῆc παραcυναπτικῆc.]

Αἰτιολογικοὶ δέ εἰcιν ὅcοι ἐπ' ἀποδόcει αἰτίαc ἕνεκεν παραλαμβάνονται· εἰcὶ δὲ οἵδε, ἵνα ὄφρα ὅπωc ἕνεκα οὕνεκα διό διότι καθό καθότι καθόcον.] 967,14b Καλῶc πάνυ οὗτοι ἐκλήθηcαν αἰτιολογικοί, τῆc αἰτίαc λόγον παρέχοντεc, ὡc καὶ αὐτόc φηcι παραλαμβάνεcθαι αὐτοὺc ἐπὶ τῇ ἀποδόcει τῆc αἰτίαc. Οὗτοι δὲ πάντεc ἐν τῷ προτέρῳ λόγῳ τίθενται, καὶ ποιοῦcιν ὀρθὰc τὰc περιόδουc καὶ τοὺc λόγουc, ὡc καὶ μεταξὺ τῶν δύο λόγων τὴν ἐνυπόκριτον cτιγμὴν τίθεcθαι, ὡc καὶ ἐν τῷ περὶ cτιγμῆc εἴρηται ἡμῖν· εἰ δὲ ἐν τῷ δευτέρῳ λόγῳ τεθῶcι, καὶ τὰc περιόδουc ἤτοι τοὺc λόγουc ἀντιcτρόφουc ἀποτελοῦcι, καὶ τὴν ἐνυπόκριτον cτιγμὴν εἰc ὑποδιαcτολὴν μεταβάλλουcιν. — Καὶ ὁ μὲν ἵνα δαcύνεται καὶ παροξύνεται· ὁ δὲ ὄφρα παροξύνεται μέν, ψιλοῦται δέ· ὁ δὲ ὅπωc καὶ ὁ ἕνεκα καὶ ὁ οὕνεκα δαcύνονται, καὶ ⟨ὁ μὲν ὅπωc παροξύνεται, οἱ δὲ δύο ἄλλοι⟩ προπαροξύνονται· ὁ χάριν παροξύνεται. Ἰcτέον δὲ ὅτι ὁ δι' ὅ δύο μερῶν λόγου παράθεcίc ἐcτι, προθέcεωc καὶ ἄρθρου ὑποτακτικοῦ· ὅθεν καὶ μετὰ τὸ ῑ ἀπόcτροφον ἐπιδέχεται καὶ

20—65, 12 hab. et. A

1 ὄντα CA, ὄντεc F ‖ **3** προεῖναι F, παρεῖναι CA ‖ **4** cύνδεcμοc FA, *om* C | τοὺc — αὐτόc (**5**) *om* C ‖ **5** αὐτὸc A, αὐτοὺc F | ἐcτιν F, *om* CA ‖ **10** περιcπᾶται F, προπεριcπᾶται C ‖ **11** εἰc — εἰδή (**12**) F, καὶ ὁ εἰδὴ ὀξύτονον ἔχει C | ὀξὺν τόνον b, ὀξύτονον F ‖ **13—17** F, *om* C ‖ **17** αἰτίαc K, αἰτι (*sic*) F | πλήρ. τῆc παραc. F, πληρῶcι τοῖc παραcυναπτικοῖc K ‖ **18** Αἰτιολ. — καθόcον (**20**) C, *om* F ‖ **20** C *add* Διομήδουc | πάνυ F, οὖν C, *om* A ‖ **21** τῆc αἰτίαc λόγον CA, τὰc αἰτίαc τῶν λόγων F ‖ **23** τὰc FA, *om* C ‖ **25** εἴρηται] *vide p. 27, 14 seqq.* | δευτέρῳ CFA, ἑτέρῳ b ‖ **27** Καὶ — χ. παροξύν. (**30**) F, *om* CA ‖ **29** ὁ εἵνεκα καὶ ὁ ἡνίκα δαc. FK ‖ **31** δύο F, *om* CA ‖ **32** ἀπόcτροφον FA, ἀποcτροφὴν C

δύο τόνους, τὸν τῆς διά τὸν ἐν συνεπείᾳ, τουτέστι τὸν βαρὺν ἐπὶ τῆς δι συλλαβῆς, καὶ πνεῦμα δασὺ ἐπὶ τοῦ ō καὶ τόνον ὀξὺν ἢ βαρὺν ἐν τῇ συνεπείᾳ. Τὸ δὲ δι' ὅτι ἢ ἐπεκτάσει τοῦ πρὸ αὐτοῦ γέγονε προσλαβὸν τὸ τ̅ι̅, καὶ ἔστι καὶ αὐτὸ ἐν παραθέσει δύο μερῶν λόγου, καθὸ καὶ ⟨τὸ⟩ δι' ὅ· ἢ τριῶν μερῶν λόγου παράθεσίς ἐστι, τῆς διά προθέ-
968b σεως καὶ τοῦ ὅ ἄρθρου ὑποτακτικοῦ καὶ τοῦ τί ὀνόματος ἀορίστου· τόνον δὲ καὶ πνεῦμα ἔχει ὅμοιον τῷ πρὸ αὐτοῦ, μόνον ὅτι ἐπὶ τοῦ ō ἀεὶ τὴν ὀξεῖαν ἔχει, ἐπειδὴ ἐγκλιτικὸν μόριον ὑπάρχον τὸ τί τὴν πρὸ αὐτοῦ βαρεῖαν ἐγείρει. Τὸ δὲ καθ' ὅ ἐν πᾶσιν ἔοικε τῷ δι' ὅ, καὶ τὸ καθ' ὅτι τῷ δι' ὅτι. Τὸ δὲ καθ' ὅσον δύο μερῶν λόγου παράθεσίς ἐστι, τῆς κατά προθέσεως καὶ τοῦ ὅσον ὀνόματος ἀναφορικοῦ· τόνον δὲ καὶ πνεῦμα ἔχει ὡς ὁ δι' ὅτι.

969,17b ⟨Περὶ ἀπορηματικῶν.⟩ — Ἀπορηματικοὶ λέγονται, διότι ἐν ἀπορίᾳ ὄντες τούτοις τοὺς λόγους συνδέομεν· τίθενται μὲν καὶ ἐν τοῖς πρώτοις καὶ ἐν τοῖς δευτέροις ⟨λόγοις⟩, προτασσόμενοι καὶ αὐτῶν τῶν πρώτων λέξεων. Χρώμεθα οὖν τούτοις περί τινος ἀμφισβητοῦντες καὶ μὴ ἀκριβῶς εἰδότες, πῶς ἕκαστον γέγονε τῶν ζητουμένων· ὥσπερ ὁ ποιητὴς εἰσήγαγε τὸν Ἀγαμέμνονα διαπορούμενον καὶ πρὸς τὸν Νέστορα ποιούμενον τὸν λόγον ⟨Ξ 49⟩ ἦρα καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοί· ἀγνοῶν γὰρ καὶ διαπορούμενος ἔφη τοῦτο. — Ἆρα προπερισπᾶται καὶ ψιλοῦται. — Κᾶτα προπερισπᾶται· δοκεῖ δὲ σύνθεσις εἶναι ἐκ τοῦ καί καὶ εἶτα, τοῦ ῑ τοῦ καί συνδέσμου, ὁμοίως δὲ καὶ τοῦ ἐν τῷ εἶτα ῑ ἐκβληθέντων ἀμφοτέρων, καὶ τοῦ ā καὶ τοῦ ε̄ κραθέντων εἰς ā μακρόν. — Μῶν περισπᾶται.

970b Συλλογιστικοὶ δέ εἰσιν ὅσοι πρὸς τὰς ἐπιφοράς τε καὶ συλλήψεις τῶν ἀποδείξεων εὖ διάκεινται· εἰσὶ δὲ οἵδε, ἄρα ἀλλά ἀλλαμήν τοίνυν τοιγάρτοι τοιγαροῦν.] Ἐπιφορικοὶ διὰ τοῦτο καλοῦνται, ὅτι μετὰ τὰς προλήψεις τῶν διαλέξεων ὡς συντελοῦντες εἰς προβλήματα ἐπιφέρονται, οἷον «εἰ περιπατεῖς, κινῇ· ἀλλὰ μὴν περιπατεῖς· κινῇ ἄρα, τοιγαροῦν κινῇ»· ὁ ἄρα καὶ ὁ τοιγαροῦν ἐπιφορικῶς ἐπήχθησαν, προληπτικῶς ληφθέντος τοῦ «περιπατεῖς». Συλλογιστικοὶ ⟨δέ⟩,

---

13—66, 16 hab. et. A ‖ 16—20 hab. et. Σ^m ‖ 27—31 hab. et. Σ^m

1 ἐπὶ — συλλαβῆς (2) F, *om* CA ‖ 3 ἢ ἐπεκτ.] ἢ ἐν ἐπεκτ. A, ἐν ἐπεκτ. C, ἐν ἐκτάσει F ‖ 4 καθὸ — δι' ὅ (5) *om* F ‖ 5 τὸ b, *om* CA ‖ 10 ἐστι FA, *om* C ‖ 11 προθ. τῆς κατά CA, τῆς κατά F ‖ 14 τίθενται — λέξεων (16) F, *om* CA ‖ 16 πρώτων] προτέρων FK | Χρώμεθα — τοῦτο (20) CA, *om* F ‖ 18 διαπορούμενον V, διαπονούμενον CA ‖ 19 ἦρα] ἦρα C, ἦ ῥὰ VA ‖ 20 διαπορούμενος V, διαπονούμενος CA | Ἆρα — περισπ. (24) F, *om* CA ‖ 21 δὲ] γὰρ FK ‖ 22 ῑ ἐκβλ.] ε̅ι̅ ἐκβλ. FK ‖ 25 Συλλογ. — τοιγαροῦν (27) C, συλλογιστικοί A, περὶ ἀπορρηματικῶν F, περὶ αἰτιολογικῶν K ‖ 27 Ἐπιφορικοὶ — δραχμάς (66, 2) CA, Καλῶς πάνυ ὁ τεχνικὸς τὴν διαφορὰν ἑκάστων τῶν συνδέσμων ὁρίζεται, οὐδὲν ἡμᾶς δοκεῖν θέλειν (*l.* θέλων) δι' ἑτέρων λέξεων τοῦ αὐτοῦ ⟨μέρους⟩ λόγου προφέρεσθαι F ‖ 28 προσλήψεις C ‖ 30 ὁ τοιγ. VA, τὸ τοιγ. Cb

ὅτι cυνάγουcι τοὺc λόγουc, ἢ ὅτι cυναθροίζουcιν ἀριθμητικῶc, οἷον «ἔχειc μου δραχμήν, ἐδέξω μου καὶ δύο, ἔχειc ἄρα τρεῖc μου δραχμάc». Τίθενται δὲ πάντεc ἐν τοῖc δευτέροιc λόγοιc. — Ἆρα· ψιλοῦται καὶ παροξύνεται, βραχὺ γάρ ἐcτι ⟨τὸ δίχρονον⟩. — Ἀλλά· ψιλοῦται καὶ ὀξύνεται. — Ἀλλαμήν· ὁ προκείμενοc ἀλλά προcέλαβε τὸν μήν τὸν παραπληρωματικόν, ὃν μετ' ὀλίγον cὺν θεῷ εἰcόμεθα· καὶ ἔcτι cύνθετοc, ὀξύνεται δὲ καὶ ψιλοῦται. — Τοίνυν· ἐκ δύο παραπληρωματικῶν cυλλογιcτικὸc γέγονεν ἐν παραθέcει cύνδεcμοc· διὸ καὶ παροξύνεται. — Τοιγάρτοι· καὶ οὗτοc ἐκ τοῦ τοί καὶ τοῦ γάρ καὶ ἔτι τοῦ τοί ἐν παραθέcει ὄντων γεγένηται εἷc cυλλογιcτικὸc cύνδεcμοc· ἀλλ' οὐχὶ τοῦ γάρ ἐνταῦθα ἔχοντοc τὴν ἰδίαν δύναμιν ἢ ἔννοιαν, ἀλλ' ὡc ἐν παρολκῇ κειμένου, μεcοcυλλαβηθεὶc δὲ ὑπὸ τοῦ αὐτοῦ ἑκατέρωθεν παραπληρωματικοῦ ⟨καὶ⟩ cτενωθεὶc ⟨παραπληρωματικὸc⟩ καὶ αὐτὸc γέγονε· παροξύνεται δέ. — Τοιγαροῦν· ὁμοίωc καὶ αὐτὸc τριῶν παραπληρωματικῶν cυνδέcμων παραθέcει γέγονε· μεcοcυλλαβούμενοc γάρ, ὡc προείρηται, ὁ γάρ ἐν παρολκῇ ἐcτιν. Περιcπᾶται δὲ διὰ τὸν κανόνα τὸν τονικὸν ἐκεῖνον τὸν λέγοντα, ὅτι πᾶcα δίφθογγοc ἡ διὰ τοῦ ῡ ⟨ἐν τέλει λέξεωc οὖcα καὶ⟩ ἐφ' ἑαυτῆc ἔχουcα τὸν τόνον περιcπᾶται, cεcημειωμένων τριῶν, ἰδού ἰού οὔ, καὶ τῶν αἰτιατικῶν, ὡc ἔχει τὸ τούc Ἀχαιούc καὶ τὰ ὅμοια· οὐδὲ γὰρ τὸ τούc οὐδὲ τὸ Ἀχαιούc περιcπᾶται, εἰ καὶ διὰ τοῦ ῡ δίφθογγον ἔχουcιν· ἀλλὰ καθ' ἑαυτὸ ἑκάτερον αὐτῶν ὀξύνεται, ἐν δὲ τῇ cυνεπείᾳ βαρύνονται, δι' ἕτερον λόγον τονικὸν ἀναγκαῖον τὸν λέγοντα, ὅτι πᾶcα αἰτιατικὴ ἀπαθὴc ἀπέcτραπται τὴν περιcπωμένην· τὸ δὲ «ἀπαθήc» πρόcκειται διὰ τὸ δῶ καὶ Ποcειδῶ καὶ τὰ ὅμοια, ἡ γὰρ ἀπαθὴc καὶ ἐντελὴc αἰτιατικὴ δῶμα καὶ Ποcειδῶνα.

Περὶ παραπληρωματικῶν. — Παραπληρωματικοί εἰcιν οἱ μέτρον ἀποπληροῦντεc ἢ κόcμον τινὰ παρέχοντεc τοῖc λόγοιc· διὸ καὶ οἱ πλείονεc αὐτῶν εἰc τὰ ἐγκλιτικὰ μόρια κατετάγηcαν· οὐκ ἔcτι δὲ ἐπ' αὐτῶν εἰπεῖν, ὅτι ἐν τοῖc προτέροιc ἢ ἐν τοῖc δευτέροιc ⟨λόγοιc⟩ τίθενται αὐτόθεν δίκην cτοιβῆc ἤτοι cφηναρίων παρειcδυόμενοι. — Δή 970,19b

27—67, 7 hab. et. A

2 Τίθενται — ὀξύνεται (4) FA, *om* C ‖ **4** βραχὺ A, δίχρονοc F ‖ **5** Ἀλλαμήν — Ποcειδῶνα (**25**) F, Ἰcτέον ὅτι ὁ ἀλλαμήν ἐκ τοῦ ἀλλά καὶ μήν παραπληρωματικοῦ γενόμενοc cύνθετόc ἐcτι· καὶ ὁ τοίνυν ἐκ δύο παραπληρωματικῶν cυλλογιcτικὸc ἐγένετο· ὁ δὲ τοιγάρτοι ἐκ τοῦ τοί καὶ τοῦ γάρ ἐν παραθέcει ὄντων γέγονεν εἰc cυλλογιcτικὸν cύνδεcμον· καὶ ὁ τοιγαροῦν, οὐκ ἔχοντοc ἐνταῦθα τοῦ γάρ τὴν ἰδίαν δύναμιν ἢ ἔννοιαν, ἀλλ' ὡc ἐν παρολκῇ κειμένου· μεcολαβηθεὶc γὰρ ὑπὸ τοῦ τοί καὶ τοῦ γάρ καὶ οὖν ἑκατέρωθεν παραπληρωματικὸc (*sic*) cτενωθεὶc καὶ αὐτὸc γέγονεν C ‖ **5** τὸν (*post* μήν) F, *om* A ‖ **6** ὃν — εἰcόμεθα F, *om* A ‖ **8** ἐν F, *om* A ‖ **15** παράθεcιc γέγονε F, παράθεcίc ἐcτι A ‖ **17** ἐν — καὶ] *cfr Choerob. I 387, 14 seqq* ‖ **26** Περὶ παραπλ. F, *om* C | C *add* Διομήδουc | Παραπλ. — λόγοιc (**27**) F, οἱ μέτρον ἀναπληροῦντεc ἢ κόcμον παρέχοντεc τοῖc λόγοιc οὗτοί εἰcι, δίκην cτοιβῆc ἢ caφηνηρίων (cφηναρίων *Geel*) παρειcδυόμενοι C ‖ **28** οὐκ — ψιλοῦται (**67, 7**) FA, *om* C ‖ **29** ἢ ἐν τ. δευτ. A, *om* F ‖ **30** αὐτόθεν FA, πάντοθεν *R Schneider* | παρειcδυομένων FA

ὀξύνεται· ῥά ὀξύνεται, ἔςτι δὲ καὶ ἐγκλιτικὸν μόριον· ὁμοίως δὲ καὶ ὁ νύ· ποῦ περιςπᾶται μὲν καθ' ἑαυτόν, ἔςτι δὲ καὶ αὐτὸς ἐγκλιτικὸν μόριον· θήν ὀξύνεται καὶ ἔςτι ἐγκλιτικὸν καὶ αὐτός· ἄρ ὀξύνεται καὶ ψιλοῦται· δῆτα προπεριςπᾶται· πέρ ὀξύνεται καὶ ἐγκλίνεται· πώ ὀξύνεται καὶ ἐγκλίνεται· μήν ὀξύνεται· ἄν ὀξύνεται καὶ ψιλοῦται· αὖ ψιλοῦται καὶ περιςπᾶται· ⟨νῦν⟩ περιςπᾶται καὶ ἐγκλίνεται· οὖν περιςπᾶται καὶ ψιλοῦται.

Περὶ ἐναντιωματικῶν. — Τινὲς δὲ προςτιθέαςι καὶ ἐναντιωματικούς.] Ὡς μὴ πάνυ ἀρεςκόμενος ὁ Διονύςιός φηςι τὸ «τινές»· πλὴν ἐπεκράτηςε νομίζεςθαι τούτους ἐναντιωματικοὺς ςυνδέςμους· φηςὶ δὲ τὸ ἔμπης ὅμως. Τίθενται οὗτοι ἐν τοῖς δευτέροις λόγοις, προτάςςονται δὲ τῆς πρώτης λέξεως τῶν δευτέρων λόγων· καὶ ὁ μὲν ἔμπης παροξύνεται καὶ ψιλοῦται, ὁ δὲ ὅμως δαςύνεται καὶ παροξύνεται.

COMMENTARIUS HELIODORI.

§ 12 (14b).

.... ⟦καὶ ὅτι ἐρωτηματικὰ μὲν ἔςτιν εὑρεῖν ἐν παντὶ μέρει λόγου, πευςτικὰ δὲ οὐκ ἔςτιν εὑρεῖν ἐν παντὶ μέρει, εἰ μὴ ἐν ὀνόμαςι καὶ ἐπιρρήμαςι μόνοις, ἐν μὲν ὀνόμαςι τίς ποῖος⟧ πόςος πηλίκος ⟦ποδαπός, ἐν δὲ⟧ ἐπιρρήμαςι ⟦πῶς πῆ ποῦ⟧ πόθεν πηνίκα. Καὶ χρὴ ⟦εἰδέναι, ὅτι τῷ μὲν τίς ἐπάγεται κύριον ὄνομα⟧, τῷ δὲ ποῖος πᾶν ἐπίθετον, πλὴν τῶν κατὰ τὰ ςωματικὰ μεγέθη κειμένων· ⟦καὶ τὸ πόςος ἐπὶ πλήθους, καὶ τὸ πηλίκος⟧ ἐπὶ μεγέθους, καὶ τὸ ποδαπός ἐπὶ ἔθνους. Καὶ τοῦτο πάλιν χρὴ εἰδέναι, ὅτι ⟦τὰ μὲν μονοςύλλαβα τῶν ἐρωτηματικῶν ἐγκλινόμενα⟧ ἀόριςτα γίνεται, ἦλθέ τις καὶ που ἔςτι καὶ πῃ ἀπῆλθε, τὰ δὲ διςύλλαβα κατα⟦βιβάζοντα τὸν τόνον, οἷον ποιός ἦχος⟧ καὶ ποςός τις· καὶ ὅτι τὰ διςύλλαβα καὶ τριςύλλαβα ἀποβάλλοντα τὸ κατ' ἀρχὴν ⟦ςύμφωνον ἀναφορικὰ γίνεται, οἷον ποῖος⟧ οἷος, πόςος ὅςος, πηλίκος ἡλίκος [τοῖος οἷος], τινὰ δὲ καὶ τὸ ō κατ' ἀρχὴν λαμβά⟦νοντα, ὁποῖος ὁπόςος ὁπηλίκος⟧· τὰ δὲ λαμβάνοντα κατ' ἀρχὴν τὸ τ̄ ἀνταποδοτικὰ γίνεται, ὅςος τόςος, οἷος τοῖος, ⟦ἡλίκος τηλίκος, ἅτινα καὶ παρ⟧άγεται διὰ τοῦ

9—13 hab. et. A ‖

1 δὲ (*prius*) A, *om* F ‖ **4** καὶ ἐγκλίνεται· πώ — μήν ὀξύν. (5) A, *om* F ‖ **8—13** F, *om* C ‖ **9** ἀρεςκόμενος A, εὑριςκόμενος F ‖ **12** καὶ ὁ — καὶ παροξ. (13) F, *om* A

15—68, 2 hab. et. Σ^{m}

15—70, 3 *quae in* O *evanuerunt suppleta sunt ex* V *aut* Σ^{1} *et his uncis* ⟦ ⟧ *circumclusa sunt* ‖ **21** καὶ τὸ ποδαπός V, τὸ ποδαπῶς τὰ O ‖ **23** ποῦ ἔςτι καὶ πῆ ἀπ. O ‖ **24** ποςός τις V, ποςότης O ‖ **27** τινὰ V, τινὲς O

ουτος, τοιοῦτος τοσοῦτος τηλικοῦτος, καὶ ἐπεκτείνεται διὰ τοῦ δε, τοιόςδε τοσόςδε τηλικόςδε.

⟦Ἀόριστον δέ ἐστι τὸ τῷ ἐρωτηματικῷ⟧ ἐναντίως λεγόμενον.] Τὸ ἀόριστον ἐναντίως ἔχειν τῷ ἐρωτηματικῷ φησι, καθὸ ὁ μὲν ἐρωτῶν ⟦ζητεῖ αὐτῷ ὁρισθῆναί τι, τὸ δὲ⟧ ἀόριστον ἀναιρεῖ τὸν θέλοντά τι αὐτῷ ὁρισθῆναι, ἢ καθὸ ὁ ἐρωτῶν γινώσκει ⟦τι, τὸ δὲ ἀόριστον ἄγνωστον. Καὶ⟧ τὸ μὲν ὅστις δύο μέρη λόγου ἔχει ἀόριστα, τὸ ὅς καὶ τὸ τίς· τὸ δὲ ὁποῖος καὶ ὁπόσος καὶ ⟦ὁπηλίκος κυρίως⟧ μὲν ἀναφορικά ἐστιν, ἔσθ' ὅτε δὲ καὶ ἀντὶ ἀορίστου αὐτὰ παραλαμβάνεται.

Ἀναφορικὸν ⟦δέ ἐστιν, ὃ καὶ ὁμοιω⟧ματικὸν καὶ δεικτικὸν
καὶ ἀνταποδοτικὸν καλεῖται, τὸ ὁμοίωσιν σημαῖνον.] Ἀναφορά 873,30b
ἐστιν ἐγνωσμένου πράγματος ἀναπόλησις, ὡς ὅταν εἴπω «οἷός ἐστιν ὁ δεῖνα, τοιοῦτος ἦν ὁ Ἀχιλλεύς»· καὶ λοιπὸν ἀναφέρεις σὺ τὸν νοῦν ἐπὶ τὸν Ἀχιλλέα ἐκεῖνον τὸν ἐξ Ὁμηρικῶν ἐπῶν ἢ ἀπὸ γραφῆς σοι ἐγνω-
σμένον. Τοῦτο δὲ τὸ ἀναφορικὸν καὶ ⟦ὁμοιωματικὸν καὶ ἀνταποδοτικὸν 874b
καὶ⟧ δεικτικὸν καλεῖται ἀπὸ τῆς αὐτῆς ἐννοίας.

Περιληπτικὸν δέ ἐστι τὸ τῷ ἑνικῷ ἀριθμῷ πλῆθος ⟦σημαῖ- 18
νον⟧. ⟨Ἀλλ'⟩ οὖν εἰ λέξει τις, ὅτε πληθυντικῶς αὐτὸ λέγομεν, οὐκέτι
περιληπτικόν ἐστιν; Ναί, λεκτέον, καὶ ὅτε πληθυντικῶς αὐτὸ λέγομεν, 20
⟦περιληπτι⟧κόν ἐστιν· ἀλλ' οὐκ ἔδει αὐτὸν εἰπεῖν «τὸ δι' ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαῖνον»· οὐδὲ γὰρ μόνῳ τῷ ἑνικῷ ἀριθμῷ πλῆθος περιλαμβάνομεν· ἰδοὺ γὰρ λέγοντες οἱ δῆμοι, συνεστήκασιν ἐξ ἑκάστης διαιρέσεως τῆς ἐν αὐτῇ ⟦πλῆθ⟧ος περιλαμβανούσης. Καὶ μή τις ὑπολάβῃ ξένον εἶναι τὸ λεγόμενον, ἐπειδὴ καὶ ἐν ⟨τοῖς⟩ ἐπιμεριζομένοις παρὰ βραχὺ ⟦ταὐτ⟧ὸν ὁρῶμεν· ὡς γὰρ ἐν τῷ ἕκαστος ἐκ τῆς καθ' ἕνα τομῆς ἐπὶ πάντας γίνεται ἡ ἀναφορά, καὶ ἐν τῷ ἕκαστοι ἐκ τῆς ⟦κατὰ πολλοὺς το⟧μῆς ἐπὶ πάντας κατὰ πολλοὺς τετμημένους λέγεται ἡ ἀναφορά,
οὕτω καὶ ἐν τῷ δῆμος ἑνικῷ τύπῳ πλῆθος ⟦περιλαμβά⟧νομεν, καὶ πάλιν 30
ἐν τῷ δῆμοι πολλοὺς δήμους δηλοῦμεν συνηγμένους ἐκ διαιρέσεως ἑκάστης πλῆθος ⟦περικλειούσης⟧.

Ἐπιμεριζόμενον δέ ἐστι τὸ ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν 875,22b
ἔχον τὴν ἀναφοράν.] Καὶ ὁ ὅρος τοῦ ⟦ἐπιμεριζο⟧μένου καὶ τὰ ἐπιφερόμενα παραδείγματα πάνυ ἐσφαλμένα ἐστίν· εἰ γὰρ τὰ ἐπιμεριζόμενα ἐκ ⟦δύο ἢ καὶ⟧ πλειόνων ἐπὶ ἓν ἕκαστον ἔχει τὴν ἀναφοράν, ἔδει εἰπεῖν ἢ ἕτερος ἢ ἄλλος, ἐπειδὴ ταῦτα ἐκ δύο ⟦καὶ⟧ πολλῶν ἕνα σημαίνει. Ἔστιν οὖν οὕτως ἄμεινον λέγειν· ἐπιμεριζόμενόν ἐστιν ὃ δηλοῖ

4—9 hab. et. $\Sigma^m \Sigma^l$ ‖ 11—16 simillima hab. et. Σ^m ‖ 18—23 similia hab. et. Σ^m ‖ 25—30 hab. et. A ‖ 32—69, 13 hab. et. Σ^m

1 τοιοῦτος τοσοῦτος *add* Σ^l ‖ 4 ἐρωματικῷ O ‖ 6 ὁ *add* V, *om* OΣ^l ‖ 9 καὶ *add* V | *post* ἀντὶ *add* τοῦ O | παραλαμβάνονται O ‖ 21 παραλαμβάνομεν O ‖ 23 αὐτῇ O | παραλαμβανούσης O ‖ 28 τύπῳ A, τόπῳ O ‖ 30 περικλ. A, σημαινούσης hb ‖ 35 ἢ (*ante* ἕτ.) *add* V | ταῦτα *add* V | ἐκ δύο ἢ πλειόνων ἢ καὶ πολλῶν *Egenolff* ‖ 36 Ἔστιν οὖν *Egenolff*, ἔστι γοῦν OV

ἕνα ἐκ δύο, ⟦ἢ δύο καθ'⟧ ἕνα, ἢ ἕνα ἐκ πολλῶν, ἢ πολλοὺς καθ' ἕνα· οἷον ἕνα μὲν ἐκ δύο, ὡς τὸ ἕτερος τῶν ὀφθαλμῶν, ⟦δύο δὲ καθ'⟧ ἕνα, ὡς τὸ ἑκάτερος τῶν ὀφθαλμῶν, ἕνα τε ἐκ πολλῶν, ὡς τὸ ἄλλος, πολλούς τε καθ' ἕνα, ὡς τὸ ἕκαστος. ⟦Εἰδέναι⟧ δὲ χρή, ὥς τινες ἐδόξασαν τὸ ἐπιμεριζόμενον τὴν αὐτὴν ἔννοιάν πως ἔχειν τῷ περιλη-
876b πτικῷ· ⟦εἰ γὰρ τὸ⟧ «ἕκαστος ἐλθέτω», φασίν, ἑνικῶς πολλοὺς περιλαμβάνει, δοκεῖ πως ταὐτὸν εἶναι τὸ ἐπιμεριζόμενον ⟦καὶ τὸ περιλ⟧ηπτικόν, εἴ γε ἕκαστον αὐτῶν ἐπὶ τὸ πολλοὺς δηλοῦν ἀναφέρεται. Πρὸς οὓς δεῖ ο⟦ὕτω⟧ λέγειν· ⟦ἀγνοεῖν μοι⟧ δοκεῖτε, ὡς πολλή ἐστιν ἡ διαφορὰ ἐπιμεριζομένου καὶ περιληπτικοῦ, οὐκ εἰδότες, ὅτι τὸ ἐπιμεριζόμενον μὲν ⟦ἐκ τοῦ καθ' ἕκα⟧στον ἐπιμερισμοῦ τὴν πρὸς πάντας ἔμφασιν ἔχει, τὸ δὲ περιληπτικὸν οὐκ ἐξ ἐπιμερισμοῦ ἀλλ' αὐτόθεν ⟦τὴν περίληψιν σημαίνει⟧.

27 ⟦Περιεκτικὸν δέ ἐστι τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τι περιεχόμενον, οἷον δαφνών⟧ παρθενών.] Περιεκτικὸν δέ ἐστι, φησίν, ὄνομα τόπου ἐν ἑαυτῷ ἔχοντός τινα περιεχόμενα, ὡς ἀμπελὼν τόπος ὁ ἔχων ἀμπέλους καὶ κοιτὼν τόπος ὁ ἔχων κοίτας καὶ δαφνὼν τόπος ὁ ἔχων δάφνας. Δοκεῖ δὲ τὸ περιεκτικὸν καὶ αὐτὸ ταὐτὸν εἶναι τῷ περιληπτικῷ· τὸ γὰρ περιέχον τι καὶ περιλαμβάνει, καὶ τὸ περιλαμβάνον ὁμοίως περιέχει, ὅπερ ἐμφαίνει ποιεῖν τό τε περιεκτικὸν καὶ τὸ περιληπτικόν.
877b Καὶ ἔστιν ἡ διαφορὰ αὕτη, ὅτι τὸ μὲν περιληπτικὸν οὐκ ἄλλο δηλοῖ τὸ περιλαμβάνον καὶ ἄλλο τὸ περιλαμβανόμενον, ἀλλὰ φωνὴ μόνον ἐστὶν ἐμφαντικὴ πλήθους, τὸ δὲ περιεκτικὸν καὶ ἄλλο σημαίνει τὸ περιέχον καὶ ἄλλο τὸ περιεχόμενον· ὁ γὰρ παρθενὼν τόπος ἐστὶ παρθένους περιέχων, ὁμοίως καὶ ὁ δαφνὼν τόπος ἐστὶ δαφνῶν περιεκτικός.

20 Πεποιημένον δέ ἐστι τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς εἰρημένον, οἷον φλοῖσβος ῥοῖζος ὀρυγμαδός.] Πεποιημένον ἐστὶ τὸ γεγενημένον παρὰ τὸν ἴδιον ἦχόν τινος· οἷον ἔστιν ἴδιος ποιός τις ἦχος ἵππων ἐν ὁμαλῷ τε ἅμα καὶ τραχεῖ τόπῳ βαδιζόντων, ὃς ⟦μιμητικῶς⟧ πεποιημένος λέγεται κάρκαιρος ἀπὸ τοῦ καρκαίρειν, ὡς καὶ ὁ ποιητὴς ἐξ αὐτοῦ φησι ⟨Υ 157⟩ κάρκαιρε δὲ γαῖα πόδεσσιν· ⟦ὁμοίως ἔστιν⟧ ἴδιος ποιός τις ἦχος θαλάσσης κινουμένης, ὃς μιμητικῶς πεποιημένος φλοῖσβος λέγεται, ὡς καὶ ὁ ποιητής φησι ⟨ex. gr. Α 34⟩ πολυφλοίσβοιο θαλάσσης· πάλιν ἔστιν ἴδιος ποιός τις ἦχος ἀνδρὸς σὺν θώρακι καὶ ἀ⟦σπίδι⟧ καὶ περικεφαλαίᾳ πίπτοντος, ὃς μιμητικῶς πεποιημένος λέγεται δοῦπος, ἐξ οὗ καὶ ὁ ποιητής φησι ⟨ex. gr. Ε 42⟩

15—25 hab. et. Σ^m ‖ 27—70, 3 hab. et. Σ^m

6 ἐννίκως O ‖ **10** ἐπιμεριζόμενον *add* V ‖ **12** περιληπτικὸν *add* V ‖ **16** ἀμπ. τόπος V, τὸ ἀμπ. O ‖ **17** τόπος (*post* κοιτὼν) *add* V | καὶ δαφνὼν — δάφνας (18) *add* V ‖ **21** περιληπτικὸν V, περιπτικὸν O ‖ **23** καὶ (*post* περιεκτ.) *add* V ‖ **25** ὁμοίως — περιεκτικός *add* V ‖ **27** ·βλοῖσβος O ‖ **28** ἴδιον *add* V ‖ **30** ἀπὸ τοῦ καρκ. *add* V ‖ **31** κέρκαιρε O ‖ **32** κινούμενος O ‖ **35** σὺν O, ἐν V ‖ **36** καὶ *add* V

δούπησεν δὲ πεσών· πολλὰ δὲ καὶ ἄλλα πεποιημένα ἔστιν εἰπεῖν, ἀλλ' 878b
ἀρκεῖ πρὸς τὴν παροῦσαν διδασκαλίαν τὰ προειρημένα ἡμῖν [[παραδείγ-
ματα]].

Γενικὸν δέ ἐστι τὸ δυνάμενον εἰς πολλὰ εἴδη διαιρεθῆναι· 14
εἰδικὸν δέ ἐστι τὸ ἐκ τοῦ γένους διαιρεθέν.] Γενικὸν δὲ καλοῦ-
σιν οἱ φιλόσοφοι ὃ δύναται διαίρεσιν ἀναδέξασθαι, εἰδικὸν δὲ αὐτὸ τὸ
διαιρεθέν, οἷον τὸ ζῷον γενικὸν ἂν εἴποιεν. Διὰ τί; Διότι διαιροῦσιν
αὐτὸ λέγοντες, τοῦ ζῴου τὸ μέν ἐστι θνητόν, τὸ δὲ ἀθάνατον· αὐτὸ δὲ
τὸ θνητὸν καὶ αὐτὸ τὸ ἀθάνατον εἰδικὸν ἂν εἴποιεν, ὅτι ἐκ τοῦ γένους
διῄρηται καὶ ἴδιόν τι ἀποδέδωκε· τὸ γὰρ θνητὸν ἴδιόν τί ἐστιν, ὁμοίως 20
καὶ τὸ ἀθάνατον. Ἐγὼ δὲ λέγω, γενικὸν μὲν εἶναι ἐκεῖνο τὸ γένος
ἐμφαῖνον διὰ τὸ ἀποτελεῖν τινα ἴδιόν τι ἔχοντα, εἰδικὸν ⟨δὲ⟩ ἐκεῖνο,
ὃ ἴδιόν τι ἐκ τοῦ γένους λαβὸν ἔχει. Χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι
κἀκεῖνα γενικά ἐστιν, ὅσα ἐκ τῶν γενῶν μὲν ἐτμήθησαν, ἑτέρων δὲ εἰ-
δῶν γίνονται γένη, ὡς τὸ θνητόν· τοῦτο γὰρ εἰδικὸν ⟨ὂν⟩ πάλιν διαι-
ρεῖται εἰς λογικὸν καὶ ἄλογον [εἰδικὸν ὂν πάλιν]· ὁμοίως καὶ τὸ ἄλο-
γον διαιρεῖται εἰς ἀέριον καὶ χερσαῖον καὶ ἔνυδρον· ἃ γένη γενῶν καὶ
εἴδη εἰδῶν παρὰ τοῖς φιλοσόφοις εὐλόγως προσαγορεύεται. 30

**Τακτικὸν δέ ἐστι τὸ τάξιν δηλοῦν, ὡς πρῶτος δεύτερος
τρίτος·]** τάξεως γὰρ ὀνόματα ταῦτα, οὐκ ἀριθμοῦ.

**Ἀπολελυμένον δέ ἐστιν ὃ καθ' ἑαυτὸ νοεῖται, οἷον θεός
λόγος.]** Ἐπειδὴ τὰ μὲν ἄλλα τῶν εἰδῶν ἢ σὺν ἑτέροις ἢ ἐξ ἑτέρων 879,23b
νοεῖται, τὸ δὲ θεός παίδευσις λόγος πεπρωμένη πρὸς ἕτερον λόγον ἢ
σχέσιν οὐκ ἔχει, τούτου χάριν ἀπόλυτα καλεῖται, ἅτε δὴ καθ' ἑαυτὰ νο-
ούμενα καὶ θεωρούμενα.

Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύο, ἐνέργεια καὶ πάθος.]
Διαθέσεις μᾶλλον τῷ ῥήματι ἕπονται, καὶ οὐ τῷ ὀνόματι· ἀλλ' ἐπειδὴ
ῥηματικὰ εἰσὶν ὀνόματα ἔχοντα καὶ τὰς ἀπὸ τῶν ῥημάτων διαθέσεις, 30
διότι ἐνεργείας ἢ πάθους εἰσὶ σημαντικά, τούτου χάριν τοῦ ὀνόματος
εἶπεν εἶναι τὰς διαθέσεις. Πλὴν μεμπτέος ἐστὶν οὕτως ἀποφηνάμενος,
ὀφείλων μᾶλλον οὕτως εἰπεῖν· «ἔστι δὲ ὅτε καὶ διαθέσεις ὁρῶνται ἐν 880b
ὀνόμασι ῥηματικοῖς οὖσιν, οἷον παρὰ τὸ κέκριται γίνεται ὄνομα κριτής
καὶ κριτός, ὧν τὸ μὲν εἰς ἐνέργειαν ἀναλύεται, τὸ δὲ εἰς πάθος»· κριτής
μὲν γάρ ἐστιν ὁ κρίνων, ὃ σημαίνει ἐνέργειαν, κριτός δὲ ὁ κρινόμενος,
ὅπερ πάθος δηλοῖ.

5—11 hab. et. Σ^m ‖ **22—25 hab. et.** Σ^m ‖ **27—35 hab. et.** Σ^m

1 πολλὰ — παραδείγματα (**3**)] λέγεται δὲ καὶ ὁ ἦχος τῶν ἁρμάτων ἄραβος, καὶ ὁ τοῦ χαλκοῦ κόναβος V ‖ **14** κἀκεῖνο γενικόν O ‖ **15** ἰδικὸν O | ὂν *add* b ‖ **23** παίδευσις — σχέσιν (**24**) O, λόγος παίδευσιν ἢ πεπρωμένην πρὸς ἕτερον σχέσιν V | πεπρωμένη *Uhlig,* πεπρωμένος O ‖ **27** Διαθέσεις μᾶλλον V, αἵτινες μᾶλλον O, αἱ διαθέσεις ἡλιοδώρου μᾶλλον (*sic*) N ‖ **29** εἰσὶ V, ἐστὶ O ‖ **33** κριτής — δηλοῖ (**35**) *add* V

§ 13 (15b).

Περὶ ῥήματος.

881b Ἀναγκαίως μετὰ τὸ ὄνομα τὸ ῥῆμα τέτακται. Εἰρήκαμεν γάρ, ὅτι τὰ κυριώτατα τῶν μερῶν τοῦ λόγου τό τε ὄνομα καὶ τὸ ῥῆμά ἐστιν, ἐπειδὴ ταῦτα ὥσπερ σῶμα καὶ ψυχὴ ὄντα ποιεῖ τὰ ἄλλα ἐξ αὐτῶν προϊέναι τε καὶ φαίνεσθαι. Καὶ τὸ μὲν ὄνομα πρεσβεύει, ὅτι κατὰ οὐσίας τίθεται, τὸ δὲ ῥῆμα δευτερεύει, ὅτι κατὰ πραγμάτων· ἀναγκαίως τοίνυν μετὰ τὸ ὄνομα τὸ ῥῆμα τέτακται, καθὸ πρεσβεύει τῶν ἄλλων μερῶν τοῦ λόγου.

882b Ὁ ὅρος αὐτοῦ παρὰ μὲν Διονυσίῳ ἔπταισται, παρὰ δὲ Ἀπολλωνίῳ εὖ ἔχει· καὶ ἵνα δῆλον γένηται τοῦτο, ἀμφοτέρων τοὺς ὅρους παραθήσομαι, καὶ πρῶτόν γε ⟨τὸν⟩ τοῦ Διονυσίου, περὶ οὗ καὶ νῦν ἡμῖν πρόκειται λέγειν. Ἔστι δὲ οὗτος· ῥῆμά ἐστι λέξις ἄπτωτος. Καλῶς εἶπε τὸ «ἄπτωτος», διαστέλλων αὐτὸ ἀπὸ ὀνόματος καὶ μετοχῆς καὶ ἀντωνυμίας καὶ ἄρθρου· ταῦτα γὰρ πτωτικά ἐστι. Καλῶς δὲ πάλιν καὶ ἀπὸ τῶν ἀπτώτων αὐτὸ διεχώρισε, συνδέσμου καὶ προθέσεως, εἰπὼν «ἐπιδεκτικὴ χρόνων»· καὶ ἀπὸ τοῦ ἐπιρρήματος πάλιν, προσθεὶς τὸ «προσώπων τε καὶ ἀριθμῶν», ἐπειδὴ χρόνων μόνον ἐστὶ δεκτικὸν τὸ ἐπίρρημα, οἷον χθὲς σήμερον αὔριον, προσώπων δὲ καὶ ἀριθμῶν οὐδαμῶς. Ἀλλ᾽ ἐν τῷ «ἐνέργειαν ἢ πάθος παριστῶσα» κατακλείσας τὸν ὅρον οὐ περιέλαβε τὰ ἀπαρέμφατα· κἀκεῖνα μὲν γὰρ χρόνους ἔχει καὶ ἐνέργειαν καὶ πάθος, ἀλλὰ προσώπων καὶ ἀριθμῶν οὐκ εἰσὶ δεκτικά. Καὶ ἐν τούτῳ ἔπταισται ὁ ὅρος, ἐν τῷ μὴ περιέχειν καὶ τὰ ἀπαρέμφατα.

Καὶ ἐπειδὴ τοῦτο μεμαθήκαμεν, παραλάβωμεν τὰ νῦν καὶ τὸν Ἀπολλωνίου ὅρον ἐντελῶς ἔχοντα. Λέγει γὰρ οὕτως· «ῥῆμά ἐστι μέρος λόγου ⟨ἄπτωτον⟩ ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρων χρόνων ἐπιδεκτικὸν μετ᾽ ἐνεργείας ἢ πάθους ⟨ἢ οὐδετέρου⟩, προσώπων τε καὶ ἀριθμῶν παραστατικόν, ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ». Ὑγιῶς ἔχει οὗτος ὁ ὅρος· κατ᾽ οὐδὲν γὰρ οὔτε περισσεύει οὔτε ἐνδεῖ. Φησὶ μὲν γὰρ ἐν ἰδίοις μετασχηματισμοῖς χρόνους διαφόρους τὸ ῥῆμα δηλοῦν διὰ τὰ χρονικὰ ἐπιρρήματα, ἐπειδὴ κἀκεῖνα χρόνους δηλοῖ, οἷον σήμερον

2—73, 6 hab. et. Σ^m

2 Εἰρήκαμεν] *vide* Σ^1 *initio paragraphi 12* ‖ **5** τε OV, *om* b ‖ **8** τοῦ λόγου OV, *om* b ‖ **9** Ὁ ὅρος — ἄπτωτος (**12**) O, καὶ εἴρηται μὲν ῥῆμα ἀπὸ τοῦ εἴρω, ὅ ἐστι τὸ λέγω· τούτου ὁ μέλλων ἐρῶ, ἀφ᾽ οὗ ῥηματικὸν ὄνομα ῥῆσις ἢ (*l.* καὶ) πάλιν παρακείμενος παθητικὸς εἴρημαι, ἀφ᾽ οὗ ῥῆμα, ὡς πεποίημαι ποίημα· πᾶσα γὰρ λέξις ῥῆμα καλεῖται. Ἔχει δὲ ὁ Διονυσίου ὅρος οὕτως· «ῥῆμά ἐστι λέξις ἄπτωτος, ἐπιδεκτικὴ χρόνων τε καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριστῶσα», ἐνέργεια⟨ν⟩ μέν, οἷον τύπτω, πάθος δέ, οἷον τύπτομαι V ‖ **16** τοῦ V, μὲν O ‖ **17** τε *om* V | μόνον V, μόνων O ‖ **25** ἄπτωτον *om* OV, *add Schoemann, Redeth. p. 43* ‖ **26** ἐπιδεκτικὸν OV, δεκτικὸν b | ἢ οὐδετέρου *om* OV, *add Egenolff Annall.* 1879, 696 ‖ **28** ὅρος OV, λόγος b

αὔριον χθές, ἀλλ᾽ οὐκ ἐν ἰδίοις μετασχηματισμοῖς, διότι ἕκαστον αὐτῶν ἐν διαφόροις φωναῖς τὸν διάφορον χρόνον ἐδήλωσε. Ποίαν γὰρ κοινωνίαν ἔχει κατά γε φωνὴν τὸ σήμερον πρὸς τὸ χθές καὶ τὸ αὔριον, ἵνα, καθὼς τὸ ῥῆμα εἰρήκαμεν, οὕτως εἴπωμεν καὶ τὸ ἐπίρρημα ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦν; Χρὴ γὰρ ἀκριβῶς σκοπεῖν, ὅτι ἐπὶ μὲν τοῦ ῥήματος μία καὶ ἡ αὐτή ἐστι φωνὴ ἐν μέρει κινουμένη καὶ μετασχηματιζομένη καὶ μεταμορφουμένη εἴς τε χρόνους καὶ πρόσωπα καὶ ὅσα τῷ ῥήματι παρέπεται, οἷον γράφω ἔγραφον γέγραφα· ἐπὶ δὲ τοῦ ἐπιρρήματος οὐχ οὕτως, ἀλλὰ διάφορος φωνὴ τὸν διάφορον χρόνον 883 b
ἐδήλωσε. Φησὶ δὲ πάλιν προσώπων τε καὶ ἀριθμῶν εἶναι αὐτὸ παραστατικόν, καὶ οὐκ ἀεί, ἀλλ᾽ ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ, ὅ ἐστι τὰς τῆς ψυχῆς βουλήσεις, ἵνα περιλάβῃ καὶ τὰ ἀπαρέμφατα· ταῦτα γὰρ ψυχικὴν βούλησιν μὴ ἐμφαίνοντα οὔτε προσώπων οὔτε ἀριθμῶν ἐστι παραστατικά. Καὶ μαρτυροῦσιν οἱ ὑπομνηματισταὶ τῷ λόγῳ, τοῦτό γε αὐτὸ λέγοντες, ὡς τούτου χάριν λέγει προσώπων τε καὶ ἀριθμῶν παραστατικὸν εἶναι τότε τὸ ῥῆμα, ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ, ἵνα καὶ ἡμεῖς ἀντεισοδιάσωμεν τὰ ἀπαρέμφατα, λέγοντες «ὅτε γὰρ τὰς τῆς ψυχῆς διαθέσεις οὐ δηλοῖ, οὔτε προσώπων ⟨οὔτε ἀριθμῶν⟩ ἐστι διασταλτικόν, ὡς ἐπὶ τῶν ἀπαρεμφάτων». Καὶ ταῦτα μὲν περὶ τοῦ ὅρου διειλήφαμεν.

Δεῖ δὲ εἰδέναι, ὅτι δισσή ἐστιν ἡ [ψυχικὴ] διάθεσις· νοεῖται γὰρ διάθεσις ἡ δρᾶσις καὶ ἡ πεῖσις, καὶ πάλιν ἡ λόγῳ ἠρθρωμένη βούλησις τῆς ψυχῆς, ἐν ᾧ ἢ ὁρίζει ὡς δρῶσά τι, ἢ προστάττει ὥστε γενέσθαι, ἢ προσεύχεται ἵνα ἐκ τοῦ κρείττονός τι αὐτῇ ἀνυσθῇ, ἢ διστάζει, ἢ οὐδὲν τούτων ἐμφαίνει, ἀλλὰ μόνον αὐτὸ τὸ πρᾶγμα ὀνομάζει, ὃ ἐδήλου ἐν τῷ ὁρίζειν ἢ προστάττειν ἢ εὔχεσθαι ⟨ἢ διστάζειν⟩· καὶ ⟨τοῦτο⟩ ποιεῖ τὸ ἀπαρέμφατον, διὰ γὰρ τὸ τούτων οὐδὲν σημαίνειν εἴρηται. Διὰ τί ⟨δὲ⟩ τὸ ἀπαρέμφατον οὐ δηλοῖ ψυχικὴν διάθεσιν, ὅ ἐστι ψυχῆς βούλησιν; Φαμέν, ἐπειδὴ [αὐτὸ] τὸ ἀπαρέμφατον ὄνομά ἐστι τοῦ πράγματος καὶ αὐτὸ σημαίνει τὸ πρᾶγμα τὸ μήπω ἐμπεσὸν εἰς ψυχήν· ὅθεν ἡνίκ᾽ ἂν βουληθῶμεν αὐτὸ τὸ πρᾶγμα ὀνομάσαι καὶ ⟨μὴ⟩ εἰς ψυχὴν αὐτὸ ἐνσπεῖραι, λέγομεν «τὸ γράφειν καλόν ἐστι, τὸ ἀναγινώσκειν ὠφέλιμον

---

1 διότι — δηλοῦν (**5**) *add* V, *om* O ‖ **3** χθές — αὔριον *cfr Choerob. II 3, 35,* πάλαι V ‖ **7** καὶ μεταμορφ. *add* V ‖ **11** ὅ ἐστι OV, τουτέστι b ‖ **12** βουλήσεις V, κινήσεις O ‖ **13** ψυχικὴν V, ψυχὴν καὶ O ‖ **16** διαθέσεις V, *om* O ‖ **17** ὅτε V, ὅτι O ‖ **18** οὔτε πρ. V, οὐδὲ πρ. O | οὔτε ἀρ. *om* OV ‖ **19** τοῦ V, *om* O ‖ **20** διειλ. *om* V ‖ **21** ψυχικὴ OV, ῥηματικὴ *Skrzeczka progr. 1858, p. 8, seclusit GHMueller Philol. 49 (1891), 613; cfr Schoemann Annall. 99, 23 et Steinth.*[2] *2, 296** | γὰρ V, γοῦν ἡ O ‖ **22** ἡ δρ. καὶ ἡ π. V, ἢ δρ. ἢ π. O | ἠρθρωμένη V, ἀρθρωμένη O, ἀρθρουμένη b ‖ **23** ὥστε O, εἰς τὸ V ‖ **26** ἢ διστ. *om* OV, *add KEA Schmidt Beitr. p. 396* | τοῦτο *om* OV ‖ **27** διὰ — εἴρ. *Skrzeczka progr. 1861, p. 8 adn.,* διὰ γάρ τοι τοῦτο εἰ (εἰ *om* V) τὶ σημαίνει εἴρηται OV ‖ **28** δὲ *om* OV ‖ **30** ἡνίκα δ᾽ ἂν O ‖ **31** μὴ *add Skrzeczka* ‖ **32** ἐνσπεῖραι OV, ἐνσπείρειν b

30 ὑπάρχει», μετὰ τοῦ ἄρθρου αὐτὸ προφέροντες ὡς ὄνομα τυγχάνον τοῦ πράγματος. Πᾶν δὲ πρᾶγμα μηδέπω ἐλθὸν εἰς ψυχὴν τὴν πράττουσαν αὐτό, ἅτε δὴ ἄψυχον ὄν, ψυχικὴν βούλησιν οὐκ ἐμφαίνει· διὰ τοῦτο
884b τοίνυν ψυχικὴν διάθεσιν οὐ δηλοῖ τὰ ἀπαρέμφατα. Ἀλλ' οὐδὲ ἀριθμοὺς ἔχει εὐλόγως, ἐπειδὴ αὐτοῦ τοῦ πράγματός ἐστι καὶ οὔπω εἰς πρόσωπον ἦλθε· προσώπου δὲ μὴ ὄντος οὐδὲ ἀριθμὸς παρέπεσθαι δύναται.

Παρέπεται δὲ τῷ ῥήματι ὀκτώ, ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί.] Ἐπεὶ πᾶν διδακτὸν ἐξ ὅρου καὶ παρεπομένων κατορθοῦται, πληρώσας ὁ τεχνικὸς τὴν ἐξήγησιν τοῦ ὅρου περὶ τῶν παρεπομένων ἄρχεται διαλαμβάνειν, ἅτινα ἐντελῶς ἐν τῷ περὶ ὀνόματος ἤδη εἰρήκαμεν.

886,31b Χρὴ δὲ εἰδέναι, ὅτι οὐ «ψευδῶς» εἴδη παρέπεται τοῖς ῥήμασι, καθώς τινες λέγειν ἐπειράθησαν, φάσκοντες ⟨ὅτι⟩ τοῖς μὲν ὀνόμασιν εὐλόγως
887b εἴδη παρέπεται ἅτε δὴ διάφορον σημασίαν ποιουμένοις ἔν τε πρωτοτύπῳ καὶ παραγώγῳ φωνῇ, ὡς ἐν τῷ λίθος καὶ λίθινος ὀνόματι, τοῖς δὲ ῥήμασιν οὐ προσηκόντως, εἴ γε ἐν αὐτοῖς κατ' οὐδὲν διαφέρει τὸ ἄρδω τοῦ ἀρδεύω. Οἷς οὐ χρὴ πείθεσθαι. Φαμὲν γὰρ αὐτὰ προσφόρως παρέπεσθαι, ἵνα δι' αὐτῶν τῆς τῶν ῥημάτων φωνῆς νοῶμεν τὸ διάφορον· εἰ γὰρ καὶ σημασίᾳ οὐδὲν ἀλλήλων διαφέρουσιν, ἀλλὰ συζυγίᾳ καὶ κλίσει πολὺ διεστήκασιν, ὡς καὶ τὰ σχήματα, ἐπεὶ οὔτε τὴν αὐτὴν
10 κλίσιν οὔτε τὴν αὐτὴν σημασίαν ἔχει [καὶ] τὰ ἁπλᾶ καὶ τὰ σύνθετα· τὸ μὲν γὰρ σέβω πρώτης συζυγίας τῶν βαρυτόνων λέγομεν εἶναι, τὸ δὲ εὐσεβῶ πρώτης τῶν περισπωμένων, καὶ πάλιν τὸ μὲν φρονῶ ἐν τῷ παρατατικῷ ἔξωθεν λαμβάνει τὸ ε̄, οἷον ἐφρόνουν, τὸ δὲ καταφρονῶ ἔσωθεν· οὐ γὰρ λέγομεν ἐκαταφρόνουν, ἀλλὰ κατεφρόνουν.

27 Πρόσωπα, χρόνοι καὶ συζυγίαι.] Ταῦτα ἐν τοῖς ἰδίοις τόποις διεροῦμεν.

§ 16 (20b).

Περὶ ἄρθρου.

898,22b Ἔφασάν τινες δεῖν τοῦ ἄρθρου προτετάχθαι τὴν ἀντωνυμίαν· οἷς οὐ χρὴ πείθεσθαι· ἡ μὲν γὰρ ἀντὶ ὀνόματος παραλαμβάνεται, τὸ δὲ σὺν ὀνόματι τάττεται· καὶ εὔλογον προκρίνεσθαι τὸ μετά τινος τῆς ἀντί τινος· προτακτέον τοίνυν τὸ συνὸν τοῖς ὀνόμασι τῆς ἀντὶ αὐτῶν παραλαμβανομένης. Καὶ λεκτέον ἄρθρον αὐτὸ λέγεσθαι ἤτοι ἐκ τοῦ συναρτᾶσθαι πτωτικοῖς καὶ μηδέποτε δίχα αὐτῶν εὑρίσκεσθαι· ἀμέλει ἡνίκα
30 ἀπόλλυσι τὴν πρὸς τὰ πτωτικὰ συνάρτησιν, ἀντωνυμία γίνεται, οἷον ⟨Α 12⟩ ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν, ⟨Ε 292⟩ τοῦ δ' ἀπὸ

17—25 simillima hab. et. A ‖ 28—74, 8 hab. et. Σ^m

2 Πᾶν — ἦλθε (**6**) ***alteri auctori tribuit Skrzeczka, cum nihil quod non iam dictum sit his verbis proferatur*** ‖ **3** οὐκ V, *om* O ‖ **7** Παρέπ. — εἰρήκ. (**11**) O, *om* b ‖ **20** τὰ σχήματα O, τῷ σχήματι A ‖ **24** λ. τὸ ε̄ b, λ. τὸ δὲ O, αὔξει A ‖ **27** διαιροῦμεν O ‖ **34** πτωτικοῖς V, πτωτικαῖς O ‖ **35** οἷον *add* V

μὲν γλῶϲϲαν, ⟨Ε 603⟩ τῷ δ' αἰεὶ πάρα εἷϲ γε· ἐν τούτοιϲ γὰρ μὴ εὑρὸν ποίῳ πτωτικῷ ϲυναρτηθῇ, ἀντὶ ἀντωνυμίαϲ παραλαμβάνεται· ἢ 899 b παρὰ τὸ ἀρθροῦν τὰ ⟨ὀνόματα⟩ κατ' ἀριθμὸν καὶ γένοϲ καὶ πτῶϲιν. Ἀλλὰ πῶϲ τὸ ἄρθρον ἀρθροῖ ταῦτα; Ἐὰν προταγῇ τὸ ὁ, εὑρεθήϲεται ἀρϲενικὸν ὄνομα ἀριθμοῦ ἑνικοῦ πτώϲεωϲ ὀρθῆϲ, ἐὰν δὲ τὸ τῶν ἄρθρον αὐτοῦ προταγῇ, εὑρεθήϲεται ⟨ἀρϲενικὸν ἢ⟩ θηλυκὸν ⟨ἢ οὐδέτερον⟩ ὄνομα ἀριθμοῦ πληθυντικοῦ πτώϲεωϲ γενικῆϲ· ἢ παρὰ τὸ ἀρθροῦν κατὰ ἀναφορὰν τὴν προϋποκειμένην ἐν ἡμῖν γνῶϲιν.

Ὁριϲτέον οὖν αὐτὸ οὕτωϲ· ἄρθρον ἐϲτὶ μέροϲ λόγου ϲυναρτώμενον πτωτικοῖϲ κατὰ παράθεϲιν προτακτικῶϲ ἢ ὑποτακτικῶϲ μετὰ τῶν ϲυμπαρεπομένων τῷ ὀνόματι εἰϲ γνῶϲιν προϋποκειμένην, ὅπερ καλεῖται ἀναφορά.

Ἄρθρον ⟨ἐϲτὶ⟩ μέροϲ λόγου πτωτικόν, ἀντὶ τοῦ πτώϲειϲ ἐν ἑαυτῷ ἔχον, προταϲϲόμενον [καὶ ὑποταϲϲόμενον] τῆϲ κλίϲεωϲ τῶν ὀνομάτων.] Προϲτιθέναι δεῖ «καὶ ὑποταϲϲόμενον», ἵν' ᾖ «προταϲϲόμενον καὶ ὑποταϲϲόμενον», τότε δηλονότι, ἡνίκα εἰϲ γνῶϲιν προϋποκειμένην παραλαμβάνεται, ἥτιϲ ἐϲτὶν ἀναφορά, ἐπεὶ οὐ πάντωϲ προτάϲϲεται τοῦ ὀνόματοϲ· καὶ ἔϲτι προτακτικὸν μὲν ὁ, ὑποτακτικὸν δὲ ὅϲ, οἷον «ἄνθρωποϲ ὃϲ ἦλθε».

Δέον δὲ εἰδέναι ὅτι τὰ μὲν προτακτικὰ καταλλήλωϲ προτίθεται τῶν 900, 19 b πτωτικῶν, τὰ δὲ ὑποτακτικὰ ἔϲθ' ὅτε καὶ ἐν διαφόρῳ πτώϲει· καὶ τοῦ μὲν προτέρου ⟨παράδειγμα «ὁ ἄνθρωποϲ περιπατεῖ», τοῦ δὲ ἑτέρου⟩ «ἐθεαϲάμην τὸν ἄνθρωπον ᾧ ὡμίληϲα». Καὶ διὰ τί; Λεχθήϲεται ἡ αἰτία ἐν τῷ περὶ ἀντωνυμιῶν.

Ἔϲτι δὲ ἡ κλίϲιϲ αὐτῶν κατὰ ἀκολουθίαν φωνῆϲ καὶ οὐ κατὰ ἀκολουθίαν τῆϲ ϲημαϲίαϲ. Εἶπον δὲ τοῦτο, ἐπειδὴ θεματικὰ πρὸϲ ἐνίων ὑπελήφθη, ὡϲ καὶ αἱ πρωτότυποι τῶν ἀντωνυμιῶν, λεγόντων κατὰ ποῖον δὴ λόγον εἴποι τιϲ τοῦ ὁ γενικὴν εἶναι τὸ τοῦ; ὅπου γε πάντα τὰ πτωτικὰ αὐτὸ μόνον κατὰ τὸ τέλοϲ θέλει διαλλάττειν καὶ οὐ κατὰ τὸ ἄρχον, καὶ τὰ παρεϲχηματιϲμένα τῶν οὐδετέρων ϲυνάρχεται ἐκείνοιϲ ἀφ' ὧν καὶ παρεϲχημάτιϲται· ἤρξατο δὲ τὸ οὐδέτερον ἀπὸ τοῦ τ̄, τοῦ ὁ ἀρϲενικοῦ καὶ τοῦ ἡ θηλυκοῦ μὴ ἐχόντων τὸ τ̄· ποίαϲ δὲ καὶ ἔχεται 901 b ἀκολουθίαϲ τὸ ὦ κλητικὸν πρὸϲ τὸ ὁ, ὅτε αἱ κλητικαὶ θέλουϲιν εἶναι ἢ ⟨αἱ⟩ αὐταὶ ταῖϲ εὐθείαιϲ ἢ ἐλάττονεϲ, τὸ δὲ ⟨ὦ⟩ ἐκ τῶν ἐναντίων καὶ

3—75, 29 (παρεπ.) **hab. et.** A ‖ **9—11 hab. et.** **Σ**m (*in marg.* Ἡλιοδώρου N)

2 ϲυναρτηθῇ O, ϲυναρτηθῆναι V ‖ **3** ὀνόμ. *om* OVA ‖ **4** πῶϲ *et* ταῦτα *add* V ‖ **5** τῶν OVA, ἡ b ‖ **6** αὐτοῦ προτ. A, προτ. αὐτοῦ O, αὐτῶν προτ. V | ἀρϲ. ἢ *et* ἢ οὐδ. *om* OVA ‖ **7** πληθ. πτ. γεν. OVA, ἑνικοῦ πτ. ὀρθῆϲ b **8** ἐν ἡμ. γν. VA, γνῶϲιν ἐν ἡμῖν O ‖ **11** προϋποκειμένων A ‖ **13—19** *om* A ‖ **20** δὲ *add* A ‖ **22** παράδ. — ἑτέρου *om* OA, *lac. ind.* b ‖ **24** ἀντωνυμιῶν] αὐτῶν OA ‖ **25** αὐτῶν O, αὐτῷ b, *om* A ‖ **26** πρὸϲ OA, ὑπ' b ‖ **27** καὶ *add* A ‖ **28** δὴ *add* A ‖ **29** αὐτὸ O, αὐτοῦ A ‖ **30** ϲυνάρχεϲθαι A, ϲυνέρχεται O ‖ **33** τὸ — τὸ (**34**) O, ἡ ἧττον. ἔϲτω (*sic*) A ‖ **34** αἱ *add* b | ὦ *om* OA

μεγεθύνεται πρὸς τῷ καὶ τὸ πνεῦμα μαχόμενον ἔχειν; Πρὸς οὓς δεῖ λέγειν, ὅτι καὶ κατὰ τόνον καὶ κατὰ πτῶσιν καὶ κατὰ γραφὴν ἀκόλουθά ἐστι τὰ ἄρθρα ὑπεξαιρουμένου τοῦ ὤ, περὶ οὗ λεχθήσεται ἰδίᾳ ὡς οὐκ ἔστιν ἄρθρον ἀλλ᾽ ἐπίρρημα· τὸ γὰρ ὁ μόνον τὴν ἀφαίρεσιν τοῦ τ̄ πέπονθε κατὰ τὴν εὐθεῖαν, καὶ τὸ θηλυκὸν αὖ τὸ ἡ· καὶ μαρτυροῦσι τούτων τὰ πληθυντικὰ ἐντελῶς λεγόμενα παρὰ Δωριεῦσι τοί καὶ ταί· διελέγχουσι δὲ τοῦτο καὶ αἱ λοιπαὶ πτώσεις ἀπὸ τοῦ τ̄ ἀρχόμεναι· ὥσπερ γὰρ τὸ καλός ἔχει [τὸ] δυϊκὸν τὸ καλώ καὶ τὸ καλή τὸ καλά, οὕτω καὶ τὸ τός καὶ τὸ τή ἔχει τὰ δυϊκὰ τώ καὶ τά· ὁμοίως καὶ τὸ πνεῦμα σαφὲς τοῦτο παρίστησιν, ἐπεὶ οὐ δασύνεται ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον, εἰ μὴ ἀποβολὴν τοῦ τ̄ ποιήσηται· οὐκοῦν ἐν οἷς δασύνεται τὸ ὁ καὶ τὸ ἡ καὶ τὰ τούτων πληθυντικά, ἐν τούτοις δείκνυσι τὴν ἀφαίρεσιν τοῦ τ̄. Πέπονθε δὲ τὸ ἀρσενικὸν καὶ ἀποκοπὴν τοῦ ς̄ κατὰ τὸ τέλος· καὶ ἔστιν ἐντεῦθεν γνῶναι· πᾶν γὰρ πτωτικὸν εἰς οι̅ λῆγον κατὰ τὸ πληθυντικὸν εἰς ος̅ λήγουσαν ἔχει τὴν ἑνικὴν εὐθεῖαν. Καὶ ἐξ ἄλλων δὲ πολλῶν κανόνων ἔστι μαθεῖν, ὅτι τός ἦν τὸ ἀρσενικὸν ἄρθρον κατὰ τὴν ἑνικὴν εὐθεῖαν καὶ τὸ θηλυκὸν τή καὶ τὸ οὐδέτερον τόν, ἐπειδή φαμεν ὅτι τὰ ἀπὸ τῶν εἰς ος̅ ληγόντων ἀρσενικῶν παρεσχηματισμένα οὐδέτερα τῇ αἰτιατικῇ αὐτῶν συνεμπίπτει, ὁ καλός τὸν καλόν τὸ καλόν, ὁ σοφός τὸν σοφόν τὸ σοφόν· εἰ τοίνυν ἡ εὐθεῖα τῶν ἀρσενικῶν τός ἦν καὶ ἡ αἰτιατικὴ τόν, δῆλον ὅτι καὶ τὸ οὐδέτερον τόν ἦν κατὰ τὴν ἑνικὴν εὐθεῖαν. Ἀλλ᾽ ἀναγκαίως ἐλλείπει τὸ ν̄· ἐπειδὴ γὰρ ἀντωνυμίαις 902b συνεμπίπτει ἡ φωνὴ τῶν ἄρθρων, ⟨Α 12⟩ ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας, ⟨ex. gr. Α 84⟩ τὸν δ᾽ ἀπαμειβόμενος, ⟨ν 88⟩ ὣς ἡ ῥίμφα θέουσα, ἀναγκαίως τὸ οὐδέτερον εἰς ο̅ ἔληξεν, ἵνα συνεμπέσῃ τῇ ἐκεῖνο καὶ τοῦτο καὶ αὐτό ἀντωνυμίᾳ.

Παρέπεται δὲ αὐτῷ γένη, ἀριθμοί, πτώσεις.] Καλῶς καὶ εὐλόγως γένη καὶ ἀριθμοὶ καὶ πτώσεις τῷ ἄρθρῳ παρέπονται· ἐπεὶ γὰρ τοῖς πτωτικοῖς συνήρτητο, καὶ τὰ τούτοις ἔσχε παρεπόμενα, ἵνα καθὼς τὸ ὄνομα γένος ἐπιδέχεται, ὁμοίως καὶ τὸ ἄρθρον ἐπιδέξηται, ἡνίκα πρὸς αὐτὸ ποιήσηται τὴν συνάρτησιν, καὶ ὡς ⟨τὸ ὄνομα⟩ ἀριθμὸν καὶ πτῶσιν ἐμφαίνει, ὁμοίως καὶ τὸ ἄρθρον ἐμφαίνῃ. Ὥσπερ τοίνυν τῶν ὀνομάτων γένη τρία λέγομεν εἶναι, οὕτω καὶ τῶν ἄρθρων τὰ ἰσάριθμα γένη καταλέγομεν, φάσκοντες ἀρσενικὸν μὲν γένος ὁ, θηλυκὸν δὲ ἡ, οὐδέτερον δὲ τό. Καὶ πάλιν ὥσπερ τῶν ὀνομάτων ἀριθμοὺς λέγομεν

1 τὸ *add* A ‖ 2 κατὰ (*ante* πτ.) *add* A ‖ 3 ὑπεξαιρουμένου A, ... μένου O | περὶ — ἐπίρρ. (4) *om* A ‖ 8 τὸ (*ante* δ.) *hab.* O A | τὸ καλώ] τὼ καλὼ A, τὰ καλὰ O | τὸ καλά] τὰ καλά O A ‖ 9 τος̅ καὶ τη̅ A, ὁ καὶ τὸ ἡ O ‖ 11 ποιήσηται O, ποιήσεται A ‖ 13 δὲ *add* A ‖ 16 τος̅ A, τὸ ς̄ O ‖ 17 *ante* τή *add* αὐτοῦ τὸ O ‖ 18 ὅτι *add* A ‖ 19 ὁ καλός — ἐλλείπει (22) O, ἀναγκαίως δὲ ἀποβάλλει A ‖ 23 ὁ γὰρ — θέουσα (24) *om* A ‖ 25 ο̅ A, ον O | ἵνα A, ἵνα μὴ O ‖ 27 Παρέπ. — γένη O, γένη δὲ A ‖ 29 συνήρτητο O, συνηρτᾶτο A | ἔσχε A, εἶχε O ‖ 31 ποιήσηται b, ποιήσεται O ‖ 32 ὁμοίως — ἐμφαίνῃ *om* b | ἐμφαίνῃ] ἐμφαίνει O

εἶναι τρεῖς, ἑνικός, δυϊκὸς καὶ πληθυντικός, οὕτω καὶ τῶν ἄρθρων τρεῖς φαμεν εἶναι· καὶ ἔστιν ἑνικὸς μὲν ἀρσενικὸς ὁ, δυϊκὸς δὲ τώ, πληθυντικὸς δὲ οἱ· καὶ ὡσαύτως ἑνικὸς μὲν θηλυκὸς ἡ, δυϊκὸς δὲ τά, πληθυντικὸς δὲ αἱ· καὶ τὸ τρίτον ἑνικὸς μὲν οὐδέτερος τό, δυϊκὸς δὲ τώ, πληθυντικὸς δὲ τά. Καὶ πάλιν ὥσπερ τῶν ὀνομάτων πτώσεις εἶναι λέγομεν πέντε, οὕτω καὶ τῶν ἄρθρων τὰς αὐτὰς εἶναί φαμεν· καὶ ἔστιν ὀρθῆς μὲν πτώσεως ἀρσενικὸν ἄρθρον καὶ ἀρσενικὸν ὄνομα ὁ καλός, ⟨γενικῆς δὲ πτώσεως ἀρσενικὸν ἄρθρον καὶ ἀρσενικὸν ὄνομα⟩ τοῦ καλοῦ, δοτικῆς δὲ πτώσεως ἀρσενικὸν ἄρθρον καὶ ἀρσενικὸν ὄνομα τῷ καλῷ, αἰτιατικῆς δὲ πτώσεως ἀρσενικὸν ἄρθρον καὶ ἀρσενικὸν ὄνομα τὸν καλόν· τὸ δὲ ὦ κοινόν ἐστι καὶ γενῶν καὶ ἀριθμῶν κλήσεως ἐπίρρημα. Χρὴ δὲ ὁμοίως εἰδέναι, ὅτι κατὰ γένος καὶ ἀριθμόν εἰσι πτώσεις, ἃς μετὰ βραχὺ κατὰ τὴν ἐξήγησιν ἐπιόντες δηλώσομεν.

Γένη μὲν οὖν εἰσι τρία, ὁ ποιητής, ἡ ποίησις καὶ τὸ ποίημα.] Ἐντέχνως διὰ ⟨τοῦ εἰπεῖν ὁ ποιητὴς ἐσήμηνεν⟩ ἡμῖν ἀρσενικὸν γένος κατά ⟨τε⟩ ἄρθρον καὶ ὄνομα, καὶ διὰ τοῦ εἰπεῖν ἡ ποίησις πάλιν ἐδήλωσεν ἡμῖν θηλυκὸν γένος κατά τε [τὸ] ἄρθρον καὶ ὄνομα, καὶ τὸ τρίτον διὰ τοῦ εἰπεῖν τὸ ποίημα πάλιν ἐσαφήνισεν ἡμῖν οὐδέτερον γένος κατά τε ἄρθρον καὶ ὄνομα, ἵνα δείξῃ, ὅτι τὸ ἄρθρον πτωτικοῖς συναρτᾶται.

Ἀριθμοὶ δὲ ⟨τρεῖς⟩, ἑνικὸς ὁ ἡ τό.] Ἀριθμὸς ἑνικὸς ἀρσενικοῦ ἄρθρου ὁ, καὶ ἀριθμὸς ἑνικὸς θηλυκοῦ ἄρθρου ἡ, καὶ ἀριθμὸς ἑνικὸς οὐδετέρου ἄρθρου τό· ἀριθμὸς δὲ δυϊκὸς ἀρσενικοῦ ἄρθρου τώ, ἀριθμὸς δὲ δυϊκὸς θηλυκοῦ ἄρθρου τά, καὶ ἀριθμὸς δυϊκὸς οὐδετέρου ἄρθρου τώ· ἀριθμὸς δὲ πληθυντικὸς ἀρσενικοῦ ἄρθρου οἱ, καὶ ἀριθμὸς πληθυντικὸς θηλυκοῦ ἄρθρου αἱ, καὶ ἀριθμὸς πληθυντικὸς οὐδετέρου ἄρθρου τά.

Πτώσεις δὲ πέντε, ὁ τοῦ τῷ τόν ὦ.] Αὗται αἱ πτώσεις γένους εἰσὶ μόνου ἀρσενικοῦ καὶ ἀριθμοῦ μόνου ἑνικοῦ.

§ 17 (21 et 22b).

Περὶ ἀντωνυμίας.

Εὐλόγως τέτακται μετὰ τὸ ἄρθρον ἡ ἀντωνυμία, εἴ γε ἐπεχείρησε 304, 10b
καὶ πρὸ τοῦ ἄρθρου ταγῆναι, καθὸ ἐκεῖνο μὲν ἀναφορὰν μόνον, ἡ δὲ ἀντωνυμία καὶ δεῖξιν καὶ ἀναφορὰν σημαίνει· ἀλλὰ τὴν δευτέραν εἴληχε τάξιν τοῦ ἄρθρου, ἐπεὶ προκρίνεσθαι ἔδει τὸ μετά τινος τοῦ ἀντί τινος. Ὁμοίως ζητοῦσί τινες περὶ τοῦ ὀνόματος, λέγοντες, εἰ ὄνομά ἐστι

30—78, 10 (παρεπ.) **hab. et.** Σ^m ‖ **30—77, 16 hab. et.** A ‖ **34—77, 3 hab. et.** C *in marg. fol. 100*ᵛ (Cᵐ)

9 ἀρσενικοῦ ἄρθρου καὶ ἀρσενικοῦ ὀνόματος O; *item v. 10* ‖ **10** τὸ δὲ] τὸ γὰρ O ‖ **11** κλίσεως O ‖ **15** τοῦ — ἐσήμ.] *lac. 20 fere litterarum* O, *quam sic expletam habet* h: τοῦ ὁ π. ἐσήμανεν ‖ **19** δείξῃ] δόξῃ O ‖ **21** τρεῖς ἑνικὸς] ἑνικοὶ O ‖ **31** *post* μόνον *add* ἐσήμανεν O, ἐσήμενεν A ‖ **32** σημαίνει V, *om* OA ‖ **34** Ὁμοίως — λέγ.] διὰ τί δὲ A | ὁμοίως V, ὅμως O, *om* Cᵐb

τὸ ἁπλοῦν, τί μὴ ἀντονομία τὸ παρασύνθετον λέγεται; Καί φαμεν ὅτι τὸ ὄνομα συντιθέμενον τρέπει τὸ μὲν πρῶτον ō εἰς ω̅, τὸ δὲ δεύτερον ō εἰς ῡ, οἷον διώνυμον ἀνώνυμον φερώνυμον.

Καλῶς δὲ ἡ φύσις ἐπενόησε τοῖς μὲν ῥήμασι τὴν μετοχήν, ἐπειδὴ πέφυκε τὰ ῥήματα συντάττεσθαι τοῖς ὀνόμασιν, οἷον «Πλάτων ἀναγινώσκει»· καὶ βουλομένων ἡμῶν κλῖναι τὰ ῥήματα μετὰ τῶν ὀνομάτων καὶ μὴ δυναμένων λέγειν «Θέωνος ἀναγινώσκει», εὐθέως ὑπεισέρχεται χαριζομένη τοῖς ῥήμασι πτώσεις ἡ μετοχή, καὶ ἔστι σὺν αὐτοῖς τοῖς ὀνόμασι φυσικῶς πραγματευομένη, οἷον «Θέωνος τύπτοντος», «Θέωνι ἀναγινώσκοντι», «Θέωνα ἐξηγούμενον»· τοῖς δὲ ὀνόμασι τὴν ἀντωνυμίαν, ἐπειδὴ τῶν ῥημάτων ἐχόντων πρῶτον καὶ δεύτερον πρόσωπον, καὶ τῶν ὀνο-
905b μάτων τρίτου ὄντων προσώπου καὶ οὐ συνταςσομένων τοῖς τοῦ πρώτου καὶ δευτέρου προσώπου ῥήμασιν, ἀνθυπεισῆλθεν ἡ ἀντωνυμία ἔχουσα πρόσωπα καὶ πρόσωπα ποιοῦσα τοῖς ὀνόμασιν· ἀντὶ γὰρ ἀδυνάτου τοῦ «Θέων ἐποίησα» λέγεται «ἐγὼ ἐποίησα», καὶ ἀντὶ ἀδυνάτου τοῦ «Πλάτων ἔγραψας» φαμὲν «σὺ ἔγραψας».

906,7 Ἔστι δὲ αὐτῆς ὁ ὅρος οὗτος· «ἀντωνυμία ἐστὶ λέξις ἀντὶ ὀνόματος παραλαμβανομένη, προσώπων ὡρισμένων παραστατικὴ μετὰ κλίσεως τῆς κατὰ πτῶσιν καὶ ἀριθμὸν θεματικῆς, ὁπότε μὴ διὰ τῆς φωνῆς τὸ γένος παριστάνει».

904,21 Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἀντωνυμία μέν ἐστιν αὐτὸ τὸ πρᾶγμα καὶ αὐτὴ ἡ σημασία, ἀντώνυμον δὲ αὐτὴ ἡ λέξις καὶ ἡ φωνή, ὡς προσηγορία μὲν τὸ πρᾶγμα, προσηγορικὸν δὲ ἡ λέξις.

906,30b Ἀντὶ ποίου ὀνόματος παραλαμβάνεται ἡ ἀντωνυμία; Τοῦτο οὐκ ἐδήλωσε· λέγομεν δὲ ἡμεῖς, ὅτι ἀντὶ κυρίου ὀνόματος μόνου, ἵν' ᾖ οὕτως ὁ λόγος· «ἀντωνυμία ἐστὶ λέξις ἀντὶ ὀνόματος κυρίου μόνου παρα-
907b λαμβανομένη προσώπων ὡρισμένων δηλωτική», ἤγουν ἐγνωσμένων καὶ

21—23 hab. et. A ‖ **27—78, 6 hab. et.** C *in marg. fol. 100*ᵛ (Cᵐ)

1 τί O V, *om* A, διὰ τί Cᵐ b | ἀντονομία b, ἀντονομασία O A, ἀντωνυμία Cᵐ V | παρασύνθ. Cᵐ b, σύνθετον O V A ‖ **2** μὲν πρ. Cᵐ V A, *om* O ‖ **3** οἷον — φερ. *om* A | ἀνώμ. *om* Cᵐ V | *ante* φερ. *add* ἐπώνυμον Cᵐ b ‖ **4** τοῖς — μετ. V A, τὴν μετ. τοῖς ῥήμ. O ‖ **5** τοῖς V A, *om* O ‖ **6** κλῖναι V, κλίναι A, κλίνειν O ‖ **7** *post* δυν. *add* ἡμῶν O | Θέωνος V A, Πλάτωνος O | εὐθέως V A, εὐθὺς O | ὑπεισέρ. O A, ἐπεισέρχεται V ‖ **8** πτώσεις — ὀνόμασι *om* b | καὶ — πραγμ. (**9**) *om* A | ἔστιν αὐτοῖς σὺν O, εἰσὶ σὺν αὐτοῖς V ‖ **9** καὶ θέωνι O | Θέωνι — ἐξ. (**10**) *om* A ‖ **10** Θέωνα ἐξ. *om* O ‖ **12** τρίτου — προσώπου A, τρίτων — προσώπων O V | οὐ V A, μὴ O ‖ **13** δευτ. προσ. O V A, τοῦ δευτέρου b ‖ **14** καὶ — ὀνόμ. *om* A | ἀδυν. V O, τοῦ ἀδυν. b, *om* A ‖ **15** καὶ — σὺ ἔγρ. (**16**) *om* A | ἀδυν. τοῦ V O, τοῦ ἀδ. τοῦ b ‖ **17** Ἔστι — οὗτος *om* V ‖ **18** παραστ. O, δηλωτικὴ V | τῆς *om* V ‖ **19** πτῶσιν O, τάξιν V | τὸ *add* V ‖ **20** παριστ. O, παρεμφαίνει V ‖ **21** *in marg.* Ἡλιοδώρου N | καὶ τ. O, *om* V A b ‖ **22** αὐτὴ *bis om* A | σημασία V A, ὀνομασία O | ἀντωνυμικὸν δὲ καὶ ἀντώνυμον V ‖ **27** δηλ. ἤγουν] παραστατική. ὡρισμένων Cᵐ V | ἤγουν O, ἢ ὡς b

δεδηλωμένων, ὅ ἐστι γνώσει παραλαμβανομένων. Παραλαμβάνεται δὲ τῇ γνώσει τὸ πρόσωπον ἐν ταῖς ἀντωνυμίαις, καθὸ ἢ δεῖξιν σημαίνουσιν ἢ ἀναφοράν· ⟨καὶ⟩ ἐν μὲν ⟨τῷ⟩ πρώτῳ καὶ δευτέρῳ προσώπῳ δεῖξιν μόνον σημαίνουσιν, ἐν δὲ τῷ τρίτῳ καὶ δεῖξιν καὶ ἀναφοράν, πλὴν τῆς αὐτός· αὕτη γὰρ ἀναφορὰν μόνην σημαίνει, οὐ παντελῶς τῆς δείξεως ἀμοιροῦσα, συντάσσεται γὰρ ταῖς δεικτικαῖς ἀντωνυμίαις.

Παρέπεται δὲ τῇ ἀντωνυμίᾳ ἕξ.] Καὶ ἐκ τῶν παρεπομένων τῇ ἀντωνυμίᾳ δῆλόν ἐστιν ὅτι ἀντ' ὀνόματος παραλαμβάνεται· ὅσα γὰρ τῷ ὀνόματι, καὶ αὐτῇ παρέπεται, πλεοναζόντων μόνων τῶν προσώπων ἐν τοῖς παρεπομένοις, διὰ τὸν προειρημένον λόγον τὸν λέγοντα, ὅτι διὰ τοῦτο παρελήφθη ἡ ἀντωνυμία, ἵνα ἀναπληρώσῃ ἀντὶ τοῦ ὀνόματος πρῶτον καὶ δεύτερον πρόσωπον, καθὸ οὐ δέδοται Θέωνι ἐκ τεχνικοῦ παραγγέλματος λέγειν «Θέων τύπτω», ἀλλ' «ἐγὼ τύπτω», οὐδὲ «Δίων τύπτεις», ἀλλὰ «σὺ τύπτεις», ἐπειδὴ τὰ ὀνόματα, καθὼς ἤδη εἰρήκαμεν, τρίτου εἰσὶ προσώπου.

Πρόσωπα πρωτοτύπων μὲν ἐγώ σύ ἵ.] Ὥσπερ δύο ἀδελφῶν 908,11 b
διαιρουμένων πάντα τὰ τῆς οὐσίας εἰς δύο διαιρεῖται, καὶ εἰ τύχοι χρυσὸς ὢν ἐν τῇ οὐσίᾳ, καὶ τούτῳ χρυσὸς ἀποδίδοται καὶ τούτῳ, οὕτως εἰς δύο διαιρουμένων τῶν ἀντωνυμιῶν, εἴς τε πρωτότυπον καὶ παράγωγον, πάντα τὰ παρεπόμενα εἰς δύο διαιρεῖται, εἴς τε τὴν πρωτότυπον ἀντωνυμίαν καὶ εἰς τὴν παράγωγον· καὶ ἐπειδὴ πρῶτον παρεπόμενόν ἐστι τὰ πρόσωπα, ἀποδοτέον καὶ τῇ πρωτοτύπῳ πρόσωπα καὶ τῇ παραγώγῳ. Ἔστι τοίνυν τὰ πρόσωπα τῶν μὲν πρωτοτύπων ἀντωνυμιῶν ἐγώ σύ ἵ. Καὶ μὴ ἀκούων, ὦ τᾶν, πρόσωπα καὶ πτώσεις ἐν ταῖς ἀντωνυμίαις ταραχθῇς, τοῦτο λογιζόμενος, πῶς καὶ πρόσωπα καὶ πτώσεις ὁρῶνται ἐν τῇ αὐτῇ ἀντωνυμίᾳ, τοῦ ὀνόματος μὴ ἔχοντος οὕτως· τοῦτο γὰρ αὐτὸ σαφές σοι γενήσεται. Προειρήκαμεν γὰρ ἤδη, ὅτι τὸ ὄνομα οὐκ ἠδύνατο οὔτε πρώτῳ προσώπῳ ῥήματος οὔτε δευτέρῳ συντάττεσθαι, ἀλλὰ μόνῳ τρίτῳ· καὶ διὰ τοῦτο προῆλθεν ἡ ἀντωνυμία, ἀντὶ ὀνόματος ἀναπληροῦσα τὴν σύνταξιν τὴν ὀφείλουσαν γίνεσθαι ἔν τε πρώτῳ καὶ δευτέρῳ προσώπῳ τοῦ ῥήματος· ὥστε εἴ γε ἠδυνήθη τὸ ὄνομα τοῦτο ποιῆσαι, ἐλέγετο ἂν τὸ ὄνομα πρόσωπα ἔχειν, καὶ τῆς ἀντωνυμίας οὐκ ἐγίνετο χρεία. Οἷον εἰ ἐφίετο Θουκυδίδην λέγειν «Θουκυδίδης συνέγραψα», ἐλέγετο ἂν τὸ Θουκυδίδης ὄνομα πρώτου προσώ-

7—15 hab. et. Σ^{v} ‖ 19—80, 25 (πτώσεις) hab. et. Σ^{m} ‖ 19—23 hab. et. A

1 ὅ ἐστι γν. παραλ. *om* V ‖ 3 ἢ ἀναφ. — σημ. (4) *om* C^m | ἐν — ἀναφοράν (4) *om* b ‖ 5 μόνην OC^m, μόνον V | οὐ OC^mV, *om* b ‖ 6 γὰρ V, δὲ OC^m | ἀντων. *add* C^m ‖ 10 τοῖς *add* V ‖ 12 δέδοται C, δίδοται O ‖ 14 *poster.* τύπτεις *om* O ‖ 17 καὶ O, ὥστε b ‖ 20 πάντα — παράγ. καὶ (21) *om* b | πάντα O, πάντως V, καὶ A ‖ 21 καὶ εἰς V, εἴ τε O, εἴς τε A ‖ 23 πρωτοτύπων b, παραγώγων OV ‖ 24 ἐγώ — ἵ] ἐμός ἐμή ἐμόν V ‖ 25 *post* ταραχ. *add* αὐτῇ O ‖ 27 *post* γενήσ. *add* οὕτως ἔχοντος O | γὰρ *add* V ‖ 32 ἂν V, δὴ O | τὸ — συνέγρ. (79, 7)] ὄνομα τὰ πρόσωπα καὶ οὐχὶ ἀντωνυμία V ‖ 33 ἐγίνετο O, ἐγένετο b

που εἶναι, ἐπειδὴ ῥήματι τῷ συνέγραψα συνετάττετο πρώτου προσώπου
909b ὄντι· καὶ πάλιν εἰ δυνατὸν ἦν λέγειν «Θουκυδίδης συνέγραψας», ἐλέγετο ἂν τὸ Θουκυδίδης ὄνομα δευτέρου προσώπου ⟨εἶναι⟩, ἐπειδὴ ῥήματι συνετάττετο δευτέρου προσώπου ὄντι· ἀλλ᾽ ἐπειδὴ τοῦτο ἀδύνατον, φαμὲν ἀντὶ τοῦ «Θουκυδίδης συνέγραψα» πρώτου προσώπου τὸ «ἐγὼ συνέγραψα», ⟨καὶ⟩ ἀντὶ τοῦ «Θουκυδίδης συνέγραψας» δευτέρου προσώπου τὸ «cὺ συνέγραψας». Ἔcτι τοίνυν ἡ ἐγώ ἀντωνυμία πρώτου προσώπου καὶ ἡ cύ δευτέρου εὐθείας πτώcεως· ἀντὶ γὰρ τοῦ Θουκυδίδης ὀνόματος ὀρθῆς ὄντος πτώcεως παρελήφθηcαν· καὶ γένους νῦν ἀρcενικοῦ, ἐπειδὴ ⟨ἀντὶ⟩ ἀρcενικοῦ ὀνόματος παρελάβομεν· εἰ δὲ εἴη γυνὴ ἡ λέγουcα «ἐγὼ ἔγραψα», ἢ πρὸς γυναῖκά φαμεν «cὺ ἔγραψας», γένους ἂν εἴη θηλυκοῦ ἐν τοῖς τριcὶ προσώποις καὶ πτώcεως ὀρθῆς ἡ ἐγώ cύ ἵ ἀντωνυμία ⟨καὶ ἀριθμοῦ ἑνικοῦ, περὶ γὰρ μιᾶς φαμεν, καὶ cχήματος ἁπλοῦ⟩· καὶ πάλιν εἰ παιδίον εἴη τὸ λέγον «ἐγὼ ἔγραψα», ἢ πρὸς παιδίον λέγομεν «cὺ ἔγραψας», γένους ἂν εἴη οὐδετέρου ἐν τοῖς τριcὶ προσώποις καὶ πτώcεως ὀρθῆς ἡ ἐγώ cύ ἵ ἀντωνυμία, καὶ ἀριθμοῦ ἑνικοῦ, περὶ γὰρ ἑνός φαμεν, καὶ cχήματος ἁπλοῦ, ἁπλῆ γὰρ ὁρᾶται καὶ μίαν ἔχουcα λέξιν κατὰ ⟨πᾶν⟩ πρόcωπον ἡ ἐγώ ⟨cύ ἵ⟩ ἀντωνυμία, καὶ εἴδους πρωτοτύπου, πρωτόθετος γάρ ἐcτι καὶ πρωτοφυής, μήπω παραγωγὴν ἐξ ἄλλου εἰς τὸ εἶναι δεξαμένη. Οὐ μὴν cιωπήcω καὶ τὰς πλαγίους αὐτῆς κατὰ πρόcωπον καὶ πτῶcιν καὶ ἀριθμόν· τὸ γὰρ γένος αὐτῆς οὐκ ἐκ τῆς φωνῆς, ἀλλ᾽ ἐκ τῆς δείξεως τοῦ λέγοντος διακρίνεται· καὶ τὸ cχῆμα ἴcμεν ὅτι ἁπλοῦν ἐcτι, καὶ τὸ εἶδος ὅτι πρωτότυπον· οὐκοῦν ἰτέον ἐπὶ τὴν κλίcιν, ἵνα τοῖς ⟨ἐν⟩τυγχάνουcι cαφὴς αὕτη γένηται.

Πρὸ δὲ τῆς κλίcεως εἰδέναι χρή, ὅτι τῶν μὲν ὀνομάτων καὶ τῶν ῥημάτων ἡ κλίcις κατ᾽ ἀκολουθίαν φωνῆς προέρχεται, καὶ ἡ ἑτέρα ὑπὸ
910b τῆς ἑτέρας κανονίζεται, αἱ δὲ πρωτότυποι ἀντωνυμίαι cημαcίᾳ μόνον ποιοῦνται τὴν κλίcιν, οὐ μέντοι φωνῆς ἀκολουθίᾳ· διὸ καὶ θεματικὰς αὐτὰς καλοῦμεν, ὅτι ἑκάcτη φωνὴ ἑαυτῇ ἐcτι θέμα, καὶ οὐ κανονίζεται ἡ ἑτέρα ὑπὸ τῆς ἑτέρας. Ἐπεὶ τοίνυν διὰ φωνῆς ἀκολούθου οὐκ ἔcτιν ἡμῖν δυνατὸν περιγενέcθαι τῆς κλίcεως αὐτῶν, ἀπὸ ὀνομάτων ἀντ᾽ αὐ-

---

7—80, 1 (πτώcεις) **hab. et. A** ‖ **25—80, 1 hab. et.** C *in marg. fol. 102*[v] (C[m])

3 ἂν O, *om* b | δευτ. προς. b, προς. δευτ. O | εἶναι *add* b ‖ **6** καὶ *add* b ‖ **7** Ἔcτι V, ἔcτω O A ‖ **8** ἀντὶ — παρελ. (**10**) *om* V ‖ **9** νῦν O, ἦν b, *om* A ‖ **10** ἐπειδὴ *om* A | ἀρcενικὸν ὄνομα O, *om* A ‖ **12** ἡ *add* A ‖ **13** καὶ — ἁπλοῦ (**14**) *om* O V A, *paulo aliter add* b ‖ **14** ἐγὼ V, *om* O A | ἔγρ. *om* A ‖ **15** cὺ ἔγρ. *om* A ‖ **16** ἡ O A, *om* V b | καὶ ἀρ. ἑν O V A, ἑνικοῦ ἀριθμοῦ b ‖ **17** περὶ — φαμεν *om* V | ἁπλῆ — ἀντων. (**18**) *om* V ‖ **18** πᾶν *add* b | ἡ — ἀντων. *om* A ‖ **19** πρωτόθ. — δεξαμ. (**20**) *om* A | μήπω O, μήπου V ‖ **20** Οὐ — γένηται (**24**) *om* V | πλαγίους O A, πλαγίας b ‖ **21** *post prius* αὐτῆς *add* O b: ἀντωνυμίας τῆς πρωτοτύπου | τὸ — γένηται (**24**) *om* A ‖ **24** ἐντυγχ. b, τυγχάνουcι O | γένηται b, γενήcεται O ‖ **26** *ante* κατ᾽ *add* καὶ b ‖ **29** ἑαυτῇ O, ἑαυτῆς C[m] V A ‖ **30** ἡ *add* V | *post* ἑτέρας *add* C[m]: ἔχουcι δὲ τέccαρας ἐγκλίcεις (*sic*), ἐν πτώcεcιν, ἐν ἀριθμοῖς, ἐν προcώποις, ἐν γένεcιν

τῶν παραλαμβανομένων ἐπιγνωσόμεθα αὐτῶν τὰς πτώσεις· ἀντωνυμία γὰρ καλεῖται, ὅτι ἀντὶ ὀνόματος παραλαμβάνεται. Εἰ τοίνυν ἀντὶ τοῦ «Πλάτων ἀναγινώσκω» εἴποι Πλάτων ὑπὲρ ἑαυτοῦ «ἐγὼ ἀναγινώσκω», ἐναργὲς ὡς ἡ ἐγώ ἀντωνυμία εὐθείας ἐστὶ πτώσεως πρώτου προσώπου 911b ἀριθμοῦ ἑνικοῦ, ἧς τὸ δεύτερον καὶ τρίτον πρόσωπον εἴποι ἂν Πλάτων πρός τινα καὶ περί τινος, τῆς αὐτῆς πτώσεως μενούσης καὶ τοῦ αὐτοῦ ἀριθμοῦ ὄντος ὁμοίως τῷ συντεταγμένῳ ὀνόματι, «σὺ Δίων περιπατεῖς», «αὐτὸς Σωκράτης πράττει»· ἡ γὰρ αὐτός ἀντὶ τῆς ἵ παραλαμβάνεται ἀλέκτου οὔσης. Καὶ εἰ ἀντὶ τοῦ «Πλάτωνος ⟨ἀναγινώσκοντος» εἴποι Πλάτων ὑπὲρ ἑαυτοῦ⟩ «ἐμοῦ ἀναγινώσκοντος», δῆλον ὡς γενικῆς πτώσεώς ἐστι καὶ πρώτου προσώπου ἡ ἐμοῦ ἀντωνυμία, ἧς τὸ δεύτερον καὶ τρίτον πρόσωπον ⟨εἴποι ἂν Πλάτων πρός τινα καὶ περί τινος «σοῦ Δίωνος περιπατοῦντος», «αὐτοῦ Σωκράτους πράττοντος»· καὶ εἰ ἀντὶ τοῦ «Πλάτωνι ἀναγινώσκοντι» δυνατὸν Πλάτωνα εἰπεῖν ὑπὲρ ἑαυτοῦ «ἐμοὶ ἀναγινώσκοντι», δῆλον ὡς ἡ ἐμοί ἀντωνυμία δοτικῆς πτώσεώς ἐστι καὶ πρώτου προσώπου, ἧς τὸ δεύτερον καὶ τρίτον πρόσωπον⟩ δέδοται Πλάτωνι λέγειν πρός τινα καὶ περί τινος «σοὶ Δίωνι περιπατοῦντι», «αὐτῷ Σωκράτει πράττοντι»· καὶ εἰ ἀντὶ τοῦ «Πλάτωνα ἀναγινώσκοντα» δυνατὸν Πλάτωνα εἰπεῖν ὑπὲρ ἑαυτοῦ «ἐμὲ ἀναγινώσκοντα», φανερὸν ⟨ὡς⟩ ἡ ἐμέ ἀντωνυμία αἰτιατικῆς ἐστι πτώσεως καὶ πρώτου προσώπου, ἧς τὸ δεύτερον καὶ τρίτον πρόσωπον δυνατόν ἐστιν εἰπεῖν Πλάτωνα πρός τινα καὶ περί τινος «σὲ Δίωνα περιπατοῦντα», «αὐτὸν Σωκράτην πράττοντα».

Ἐπεὶ τοίνυν μεμαθήκαμεν, ὅτι σημασίᾳ μόνον ποιοῦνται τὴν κλίσιν αἱ πρωτότυποι ἀντωνυμίαι, καὶ ὅτι ἀπὸ ὀνομάτων ἀντ᾽ αὐτῶν παραλαμβανομένων ἐπιγινώσκονται αὐτῶν αἱ πτώσεις, ἔλθωμεν ἐπὶ τὴν κλίσιν αὐτῶν, κλίνοντες αὐτὰς κατὰ πρόσωπον καὶ ἀριθμὸν καὶ πτῶσιν οὕτως· ἀντωνυμία πρωτότυπος πρώτου προσώπου ὀρθῆς πτώσεως ἑνικοῦ ἀριθμοῦ «ἐγὼ Πλάτων ἀναγινώσκω», β΄ πρ. ὀρ. πτ. ἑν. ἀρ. «σὺ Δίων περιπατεῖς», γ΄ πρ. ὀρ. πτ. ἑν. ἀρ. «ἳ Σωκράτης πράττει»· α΄ πρ. γεν. πτ. ἑν. ἀρ. «ἐμοῦ Πλάτωνος ἀναγινώσκοντος», β΄ πρ. γεν. πτ. ἑν. ἀρ. «σοῦ Δίωνος περιπατοῦντος», γ΄ πρ. γεν. πτ. ἑν. ἀρ. «οὗ Σωκράτους πράττοντος»· α΄ πρ. δοτ. πτ. ἑν. ἀρ. «ἐμοὶ Πλάτωνι ἀναγινώσκοντι, β΄ πρ. δοτ. πτ. ἑν. ἀρ. «σοὶ Δίωνι περιπατοῦντι», γ΄ πρ. δοτ. πτ. ἑν. ἀρ. «οἷ Σωκράτει πράττοντι»· α΄ πρ. αἰτ. πτ. ἑν. ἀρ. «ἐμὲ Πλάτωνα ⟨ἀναγινώ-

---

25—87, 13 hab. et. A

1 παραλαμβ. V, μεταλαμβ. O A, ἀντιλαμβ. Cm | αὐτῶν *ante* τὰς *add* V, *post* πτώσεις *add* Cm ‖ 3 εἴποι — ἐγὼ ἀναγιν. *om* V | *post* εἴποι *add* ἂν O | *post* ἐγὼ *add* Πλάτων O N ‖ 7 Δίων περιπ. *add* V ‖ 9 Καὶ — πράττοντα (22) *om* V ‖ 9 ἀναγιν. *add* b ‖ 19 *post* ἐμὲ *add* Πλάτωνα O | ὡς *add* b ‖ 23 Ἐπεὶ O, ὥστε V ‖ 24 παραλαμβ. V, μεταλαμβ. O ‖ 27 προσώπου — ἀναγιν. (28) *add* A ‖ 30 ἀναγινώσκ. *om, itemque in eis quae sequuntur exemplis usque ad p. 81, 32 omnes verborum formas om* A ‖ 31 οὗ *add* A ‖ 33 οἷ σωκράτει A, ἰσοκράτη O ‖ 34 Πλάτωνα — σὲ (81, 1) *add* A

σκοντα〉», β′ πρ. αἰτ. πτ. ἑν. ἀρ. «σὲ Δίωνα περιπατοῦντα», γ′ πρ. αἰτ. πτ. ἑν. ἀρ. «ἓ Σωκράτην πράττοντα»· β′ πρ. μόνου κλητικῆς πτώσεως ἑν. ἀρ. «σὺ Δίων περιπατεῖς»· οὔτε γὰρ κατὰ τὸ πρῶτον πρόσωπον οὔτε κατὰ τὸ τρίτον κλητικὴν ἔχουσι τὰ ἑνικά, ἐπεὶ οὐδεὶς ἑαυτὸν καλεῖ οὐδὲ τὸν ἀπόντα.

Περὶ δυϊκοῦ ἀριθμοῦ. — Ἀντωνυμία πρωτότυπος πρώτου προσώπου ὀρθῆς καὶ αἰτιατικῆς πτώσεως δυϊκοῦ ἀριθμοῦ «νῶϊ Πλάτωνε ἀναγινώσκοντε», β′ πρ. ὀρ. καὶ αἰτ. πτ. δυ. ἀρ. «σφῶϊ Δίωνε περιπατοῦντε», 915,29b γ′ πρ. μόνης αἰτ. πτ. δυ. ἀρ. «σφωὲ Σωκράτεε πράττοντε»· ἡ γὰρ ὀρθὴ τοῦ τρίτου προσώπου ἐσιγήθη διά τινα εὔλογον αἰτίαν· ἔστι δὲ αὕτη, ὅτι ἡ μὲν εὐθεῖα ὀρθοτονεῖται, τὸ δὲ τρίτον δυϊκὸν ἐγκλίνεται· πῶς οὖν ἠδύνατο εὐθεῖα κατὰ τὸ τρίτον δυϊκὸν πρόσωπον ἅμα ὀρθοτονεῖσθαι καὶ ἐγκλίνεσθαι; οὐκοῦν εὐλόγως σεσιώπηται. Καὶ ἐπεὶ τοῦτο μεμαθήκαμεν, ἔλθωμεν ἐπὶ τὴν ἑξῆς τῶν δυϊκῶν κλίσιν, κλίνοντες οὕτως· ἀντωνυμία πρωτότυπος α′ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. «νῶϊν Πλατώνοιν ἀναγινωσκόντοιν», β′ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. «σφῶϊν Διώνοιν 〈περιπατούντοιν〉», γ′ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. «σφωῖν Σωκρατοῖν πραττόντοιν»· β′ πρ. μόνου κλητ. πτ. δυ. ἀρ. «σφῶϊ Δίωνε περιπατοῦντε»· οὔτε γὰρ κατὰ τὸ πρῶτον πρόσωπον οὔτε κατὰ τὸ τρίτον κλητικὴν ἔχουσι τὰ δυϊκὰ διὰ τὴν προειρημένην αἰτίαν.

Περὶ πληθυντικοῦ ἀριθμοῦ. — Ἀντωνυμία πρωτότυπος α′ πρ. ὀρ. πτ. πληθ. ἀρ. «ἡμεῖς Πλάτωνες ἀναγινώσκοντες», β′ πρ. ὀρ. πτ. πληθ. ἀρ. «ὑμεῖς Δίωνες 〈περιπατοῦντες〉», γ′ πρ. ὀρ. πτ. πληθ. ἀρ. «σφεῖς Σωκράτεις πράττοντες»· α′ πρ. γεν. πτ. πληθ. ἀρ. «ἡμῶν Πλατώνων ἀναγινωσκόντων», β′ πρ. γεν. πτ. πληθ. ἀρ. «ὑμῶν Διώνων 〈περιπατούντων〉», γ′ πρ. γεν. πτ. πληθ. ἀρ. «σφῶν Σωκρατῶν πραττόντων»· α′ πρ. δοτ. πτ. πληθ. ἀρ. «ἡμῖν Πλάτωσιν ἀναγινώσκουσι», β′ πρ. δοτ. πτ. πληθ. ἀρ. «ὑμῖν Δίωσι περιπατοῦσι», γ′ πρ. δοτ. πτ. πληθ. ἀρ. «σφίσι Σωκράτεσι πράττουσι»· α′ πρ. αἰτ. πτ. πληθ. ἀρ. «ἡμᾶς Πλάτωνας ἀναγινώσκοντας», β′ πρ. αἰτ. πτ. πληθ. ἀρ. «ὑμᾶς Δίωνας περιπατοῦντας», γ′ πρ. αἰτ. πτ. πληθ. ἀρ. «σφάς Σωκράτεις 〈πράττοντας〉»· β′ πρ. μόνου κλητ. πτ. πληθ. ἀρ. «ὑμεῖς Δίωνες περιπατοῦντες»· πάλιν γὰρ οὔτε κατὰ τὸ πρῶτον πρόσωπον οὔτε κατὰ τὸ τρίτον κλητικὴν ἔχουσι τὰ πληθυντικὰ διὰ τὸν προειρημένον λόγον.

Χρὴ δὲ εἰδέναι, ὅτι ἡ κατὰ τὸ τρίτον πρόσωπον τῶν πρωτοτύπων ἀντωνυμία, ἥτις ἐστὶν ἵ, καὶ αἱ ἀπ' αὐτῆς κλίσεις ἀσυνήθεις ἦσαν· καὶ

9—13 hab. et. Σ^m ‖ 35—82, 5 hab. et. Σ^m

1 γ′] τρίτου A, δευτέρου O ‖ **2** ἓ σωκράτην A, σὲ σωκράτη O ‖ **9** σφῶε OV, σφὼ A ‖ **10** τοῦ *add* VA ‖ **12** ἅμα *add* VA ‖ **16** σφῶϊν — ἀρ. (**17**) *add* A ‖ **17** σφῶϊν σωκράτοιν OA ‖ **18** σφῶϊ A, σφῶϊν O ‖ **23** ὑμεῖς — πληθ. ἀρ. *add* A ‖ **25** ὑμῶν — πληθ. ἀρ. (**26**) *add* A ‖ **26** σωκρατῶν A, σωκράτων O ‖ **29** σφίσι] σφῶϊν O, σφῖν (*sic*) A ‖ **31** αἰτ. πτ. — μόνου (**32**) *add* A | σφὰς A ‖ **35** τῶν πρωτ. *add* V

ἐξεῦρεν ἡμῖν ἀντ' ἐκείνης ἄλλας ἡ τέχνη συνήθεις, αἳ καλοῦνται μονοπρόσωποι διὰ τὸ μὴ ἔχειν πρῶτον καὶ δεύτερον πρόσωπον, αἵτινες καὶ ἀναλόγως κλίνονται κατὰ φωνήν. Εἰσὶ δὲ αὗται· οὗτος αὐτός ἐκεῖνος ὅδε· ἔστι δὲ καὶ ⟨ἡ⟩ ὁ δεῖνα, ἥτις κέκλιται διχῶς, τοῦ δεῖνος καὶ τοῦ δείνατος. Περιττὸν δὲ ἡγοῦμαι τούτων τὴν κλίσιν ποιήσασθαι καὶ τὸν σχηματισμὸν καὶ τὴν ἐξ αὐτοῦ κλίσιν, τῆς φωνῆς καθὼς προεῖπον ἀναλογίαν ἐχούσης ὡς τὰ εἰς $\overline{\text{ος}}$ ἀρσενικὰ καὶ ἐπιθετικὰ ὀνόματα.

Παραγώγων δὲ ἐμός σός ὅς.] Ἀπὸ κοινοῦ «πρόσωπα» δεῖ προσθεῖναι, ἵν' ᾖ «παραγώγων δὲ πρόσωπα»· πρῶτον μὲν πρόσωπον ἐμός, δεύτερον δὲ πρόσωπον σός, καὶ τρίτον ὅς, πάλιν τῶν τριῶν προσώπων πτώσεως ὄντων ὀρθῆς, οἷον ὁ ἐμός ὀρθῆς, ὁ σός ὀρθῆς, ὁ ὅς ὀρθῆς, καὶ γένους ἀρσενικοῦ· ἔστι γὰρ τὸ θηλυκὸν ἡ ἐμή, καὶ τὸ οὐδέτερον τὸ ἐμόν· καὶ ἀριθμοῦ ἑνικοῦ· ἔστι γὰρ τὸ δυϊκὸν τὼ ἐμώ, καὶ τὸ πληθυντικὸν οἱ ἐμοί· καὶ σχήματος ἁπλοῦ· μία γὰρ ἁπλῆ σχέσις ἐστὶν ἑκάστη αὐτῶν· καὶ εἴδους παραγώγου, ἐπειδὴ πᾶσαι αἱ κτητικαὶ ἀντωνυμίαι 921,24b παράγωγοί εἰσι· καὶ παράγονται ἀπὸ τῶν γενικῶν τῶν πρωτοτύπων διὰ τὸ τὴν γενικὴν κτητικὴν εἶναι· καὶ δηλοῦσι πρόσωπα δύο, τό τε τοῦ κτήτορος καὶ τὸ τοῦ κτήματος· ἀλλ' ἐν μὲν τῷ ἔσω μέρει τῆς λέξεως τὸν κτήτορα παρεμφαίνουσιν, ἐν δὲ τῷ ἔξω τὸ κτῆμα. Συμβαίνει τοίνυν κλινομένων τῶν κτητικῶν ἀντωνυμιῶν καὶ τοῦ μὲν ἔσωθεν αὐτῶν 30 μέρους, ἐν ᾧ ἦν ὁ κτήτωρ, ἀκινήτου ὄντος, τοῦ δὲ ἔξωθεν, ἐν ᾧ ἦν τὸ κτῆμα, κινουμένου, τὸν μὲν κτήτορα ἐπὶ πάσης πτώσεως καὶ ἀριθμοῦ ἀμεταθέτως ἔχειν, τὸ δὲ κτῆμα ἐν μὲν τοῖς ἑνικοῖς ἓν εἶναι, ἐν δὲ τοῖς 922b δυϊκοῖς δύο, ἐν δὲ τοῖς πληθυντικοῖς πολλά. Καὶ ἡ μὲν ἐμοῦ σοῦ οὗ γενικὴ πρωτότυπος οὖσα ἑνικοῦ ἀριθμοῦ καὶ ἓν πρόσωπον κατὰ τὸ πρῶτον καὶ δεύτερον καὶ τρίτον πρόσωπον δηλοῦσα, ποιεῖ τὴν ἐμός σός ὅς κτητικὴν ἀντωνυμίαν ἐν τοῖς τρισὶ προσώποις ἕνα κτήτορα ἐπὶ ὅλης τῆς κλίσεως ἔχουσαν· εἴπομεν γὰρ ὅτι ἔσωθεν νοούμενος ὁ κτήτωρ ἀμεταθέτως ἔχει· τὸ μέντοι κτῆμα ἐν μὲν τοῖς ἑνικοῖς ἓν ἐμφαίνουσιν, ⟨ἐν δὲ τοῖς δυϊκοῖς δύο,⟩ ἐν δὲ τοῖς πληθυντικοῖς πολλά, ὡς ἔστιν ἐκ τῆς ὑποκειμένης κλίσεως μαθεῖν σαφῶς, ἥτις ἐστὶν αὕτη, ἀκολουθίαν φωνῆς φυλάττουσα καὶ κλινομένη ὡς τὰ εἰς $\overline{\text{ος}}$ ἀρσενικὰ καὶ ἐπιθετικὰ ὀνόματα.

Ἀντωνυμία παράγωγος πρώτου προσώπου ὀρθῆς πτώσεως ἑνικοῦ ἀριθμοῦ ὁ ἐμός, β' πρ. ὀρ. πτ. ἑν. ἀρ. ὁ σός, γ' πρ. ὀρ. πτ. ἑν. ἀρ. ὁ ὅς· α' πρ. γεν. πτ. ἑν. ἀρ. τοῦ ἐμοῦ, β' πρ. γεν. πτ. ἑν. ἀρ. τοῦ σοῦ, γ' πρ. γεν. πτ. ἑν. ἀρ. τοῦ οὗ· α' πρ. δοτ. πτ. ἑν. ἀρ. τῷ ἐμῷ, β' πρ. δοτ. πτ. ἑν. ἀρ. τῷ σῷ, γ' πρ. δοτ. πτ. ἑν. ἀρ. τῷ ᾧ· α' πρ. αἰτ. πτ.

8—10 hab. et. Σ^{v} ‖ 15—24 hab. et. Σ^{m}

3 οὗτος *add* VA ‖ **4** δὲ *add* VA | κέκλιται V, κέκληται A, καλεῖται O ‖ **5** Περιττὸν — ὀνόμ. (7) *om* A ‖ **8** προσώπου O ‖ **9** μὲν O, δὲ CA ‖ **16** γενικῶν τῶν V, κτητικῶν τῶν (τῶν *om* O) OA ‖ **18** τὸ *post* καὶ *add* VA ‖ **23** μὲν *add* VA ‖ **29** ἐν δὲ — δύο (30) *om* OA ‖ **31** κλίσεως O, ὕλης A

ἑν. ἀρ. τὸν ἐμόν, β´ πρ. αἰτ. πτ. ἑν. ἀρ. τὸν cόν, γ´ πρ. αἰτ. πτ. ἑν. ἀρ. τὸν ὅν· α´ πρ. κλητ. πτ. ἑν. ἀρ. ὦ ἐμόc· ἀττικῶc γὰρ κέκλιται, ἵνα μὴ 918,4b cυνεμπέcῃ τῇ αἰτιατικῇ τῶν πρωτοτύπων. Αἱ δὲ τοῦ δευτέρου προcώπου κτητικαὶ κλητικὰc οὐκ ἔχουcι· δευτέρου γὰρ ὢν προcώπου ὁ κτήτωρ πρὸc ἑαυτὸν ἀπαιτεῖ γενέcθαι τὴν προcφώνηcιν· δεύτερον γάρ ἐcτι πρόcωπον πρὸc ὃν ὁ λόγοc ὑπὲρ αὐτοῦ· ἀλλὰ καὶ τὸ κτῆμα κλητικῶc γινόμενον πρὸc ἑαυτὸ πάλιν ἀπαιτεῖ γενέcθαι τὴν προcφώνηcιν· κλητικὴ γάρ ἐcτι τοῦ πέλαc κλῆcιc· ἀδύνατον δὲ ἐν μιᾷ φωνῇ δύο προcφωνήcειc ἀνὰ μέροc γίνεcθαι. Τρίτου προcώπου κλητικῆc πτώcεωc ἑνικοῦ ἀριθμοῦ ὦ ὅc.

Περὶ δυϊκοῦ ἀριθμοῦ. — Ἀντωνυμία παράγωγοc α´ πρ. ὀρ. καὶ αἰτ. πτ. δυ. ἀρ. τὼ ἐμώ, β´ πρ. ὀρ. καὶ αἰτ. πτ. δυ. ἀρ. τὼ cώ, γ´ πρ. ὀρ. καὶ αἰτ. πτ. δυ. ἀρ. τὼ ὥ· α´ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. τοῖν ἐμοῖν, β´ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. τοῖν cοῖν, γ´ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. τοῖν οἷν· α´ πρ. κλητ. πτ. δυ. ἀρ. ὦ ἐμώ· εἰρήκαμεν δὲ ὡc οὐκ ἔχουcι κλητικὰc αἱ τοῦ δευτέρου προcώπου κτητικαὶ ἀντωνυμίαι· γ´ πρ. κλητ. πτ. δυ. ἀρ. ὦ ὥ.

Περὶ πληθυντικοῦ ἀριθμοῦ. — Ἀντωνυμία παράγωγοc α´ πρ. ὀρ. πτ. πληθ. ἀρ. οἱ ἐμοί, β´ πρ. ὀρ. πτ. πληθ. ἀρ. οἱ cοί, γ´ πρ. ὀρ. πτ. πληθ. ἀρ. οἱ οἵ· α´ πρ. γεν. πτ. πληθ. ἀρ. τῶν ἐμῶν, β´ πρ. γεν. πτ. πληθ. ἀρ. τῶν cῶν, γ´ πρ. γεν. πτ. πληθ. ἀρ. τῶν ὧν· α´ πρ. δοτ. πτ. πληθ. ἀρ. τοῖc ἐμοῖc, β´ πρ. δοτ. πτ. πληθ. ἀρ. τοῖc cοῖc, γ´ πρ. δοτ. πτ. πληθ. ἀρ. τοῖc οἷc· α´ πρ. αἰτ. πτ. πληθ. ἀρ. τοὺc ἐμούc, β´ πρ. αἰτ. πτ. πληθ. ἀρ. τοὺc cούc, γ´ πρ. αἰτ. πτ. πληθ. ἀρ. τοὺc οὕc· α´ πρ. κλητ. πτ. πληθ. ἀρ. ὦ ἐμοί· β´ πρ. οὐκ ἔcτι κλητικὴ διὰ τὸν προειρημένον λόγον· γ´ πρ. κλητ. πτ. πληθ. ἀρ. ὦ οἵ.

Ἡ δὲ νῶϊν γενικὴ πρωτότυποc οὖcα καὶ πρώτου προcώπου δυϊκοῦ τε ἀριθμοῦ καὶ δύο πρόcωπα δηλοῦcα ποιεῖ τὴν νωΐτεροc πρώτου προcώπου κτητικὴν ἀντωνυμίαν δύο κτήτοραc ἔχουcαν, ἥτιc κλινομένη ἐπὶ πάcηc πτώcεωc καὶ παντὸc ἀριθμοῦ δύο κτήτοραc δηλοῖ· εἴπομεν ⟨γὰρ⟩ ὅτι ἔcωθεν νοούμενοc ὁ κτήτωρ ἀμεταθέτωc ἔχει· τὸ μέντοι κτῆμα αὐτῆc ἐν μὲν ταῖc ἑνικαῖc πτώcεcιν ἕν ἐcτιν, ἐν δὲ ταῖc δυϊκαῖc δύο, ἐν δὲ ταῖc πληθυντικαῖc πολλά. Καὶ ἡ cφῶϊν ὁμοίωc πρωτότυποc οὖcα καὶ δευτέρου προcώπου καὶ δυϊκοῦ ἀριθμοῦ καὶ δύο πρόcωπα δηλοῦcα ποιεῖ τὴν cφωΐτεροc δευτέρου προcώπου κτητικὴν ἀντωνυμίαν ⟨δύο κτήτοραc ἔχουcαν⟩, ἥτιc καὶ αὐτὴ κλινομένη ἐπὶ πάcηc πτώcεωc καὶ ⟨παν-

---

2—10 hab. et. Σ[m]

5 δεύτερον — προcφών. (7) *om* A | δεύτερον — πρόcωπον (6) O V, δεύτεροc γάρ ἐcτι b ‖ 6 αὐτοῦ V, ἑαυτοῦ O b | κτῆμα V b, ῥῆμα O | κλητικῶc O, κλητικῆc πτώcεωc V ‖ 7 κλητικὴ V A b, κλητικὸν O ‖ 9 ἀναμέροc γίνεcθαι A, ἀνα *et 12 fere litter. lac.* O, ἀcυμφώνουc γίνεcθαι V | Τρίτου — ὦ ὅc (10) O V A, τοῦ προcώπου κλητικῆc πτώcεωc (*sic*) b ‖ 16 κλητικὰc A, κλητικὴν O ‖ 30 εἴπομεν — λόγον (84, 1)] καὶ ἡ cφῶϊν ὁμοίωc A ‖ 34 δυϊκοῦ] τοῦ αὐτοῦ O

τὸς⟩ ἀριθμοῦ δύο κτήτορας δηλοῖ διὰ τὸν προειρημένον λόγον· τὸ μέντοι κτῆμα αὐτῆς πάλιν ἐν μὲν ταῖς ἑνικαῖς πτώσεσιν ἕν ἐστιν, ἐν δὲ ταῖς δυϊκαῖς δύο, ἐν δὲ ταῖς πληθυντικαῖς πολλά. Ἡ δὲ σφωῖν τοῦ τρίτου προσώπου τῶν δυϊκῶν γενικὴ διὰ τὸ μόνως ἐγκλίνεσθαι παράγωγον ἀντωνυμίαν οὐκ ἐποίησεν· αἱ γὰρ παράγωγοι ἀπὸ ὀρθοτονουμένων εἰώθασι γίνεσθαι, καὶ οὐκ ἀπὸ ἐγκλιτικῶν, ὡς δῆλον ἐκ τῶν παραδειγμάτων, ἅτινά ἐστι ταῦτα·

Ἀντωνυμία παράγωγος α΄ πρ. ὀρ. πτ. ἑν. ἀρ. ὁ νωΐτερος, β΄ πρ. ὀρ. πτ. ἑν. ἀρ. ὁ σφωΐτερος, γ΄ πρ. οὐκ ἔστι διὰ τὸν προειρημένον λόγον· α΄ πρ. γεν. πτ. ἑν. ἀρ. τοῦ νωϊτέρου, β΄ πρ. γεν. πτ. ἑν. ἀρ. τοῦ σφωϊτέρου, γ΄ πρ. οὐκ ἔστι· α΄ πρ. δοτ. πτ. ἑν. ἀρ. τῷ νωϊτέρῳ, β΄ πρ. δοτ. πτ. ἑν. ἀρ. τῷ σφωϊτέρῳ, γ΄ πρ. οὐκ ἔστι· α΄ πρ. αἰτ. πτ. ἑν. ἀρ. τὸν νωΐτερον, β΄ πρ. αἰτ. πτ. ἑν. ἀρ. τὸν σφωΐτερον, γ΄ πρ. οὐκ ἔστι· α΄ πρ. κλητ. πτ. ἑν. ἀρ. ὦ νωΐτερε, β΄ πρ. κλητ. πτ. κατὰ τὸν προειρημένον λόγον οὐ συνίσταται, καὶ γ΄ πρ. οὐκ ἔστι.

Περὶ δυϊκοῦ ἀριθμοῦ. — Ἀντωνυμία παράγωγος α΄ πρ. ὀρ. καὶ αἰτ. πτ. δυ. ἀρ. τὼ νωϊτέρω, β΄ πρ. ὀρ. καὶ αἰτ. πτ. δυ. ἀρ. τὼ σφωϊτέρω, γ΄ πρ. οὐκ ἔστι· α΄ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. τοῖν νωϊτέροιν, β΄ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. τοῖν σφωϊτέροιν, γ΄ πρ. οὐκ ἔστι· α΄ πρ. κλητ. πτ. δυ. ἀρ. ὦ νωϊτέρω, β΄ καὶ γ΄ πρ. οὐκ ἔστι.

Περὶ πληθυντικοῦ ἀριθμοῦ. — Ἀντωνυμία παράγωγος α΄ πρ. ὀρ. πτ. πληθ. ἀρ. οἱ νωΐτεροι, β΄ πρ. ὀρ. πτ. πληθ. ἀρ. οἱ σφωΐτεροι, γ΄ πρ. οὐκ ἔστι· α΄ πρ. γεν. πτ. πληθ. ἀρ. τῶν νωϊτέρων, β΄ πρ. γεν. πτ. πληθ. ἀρ. τῶν σφωϊτέρων, γ΄ πρ. οὐκ ἔστι· α΄ πρ. δοτ. πτ. πληθ. ἀρ. τοῖς νωϊτέροις, β΄ πρ. δοτ. πτ. πληθ. ἀρ. τοῖς σφωϊτέροις, γ΄ πρ. οὐκ ἔστι· α΄ πρ. αἰτ. πτ. πληθ. ἀρ. τοὺς νωϊτέρους, β΄ πρ. αἰτ. πτ. πληθ. ἀρ. τοὺς σφωϊτέρους, γ΄ πρ. οὐκ ἔστι· α΄ πρ. κλητ. πτ. πληθ. ἀρ. ὦ νωΐτεροι, β΄ καὶ γ΄ πρ. οὐκ ἔστιν.

Ἡ δὲ ἡμῶν ὑμῶν σφῶν γενικὴ πρωτότυπος οὖσα καὶ πληθυντικοῦ ἀριθμοῦ καὶ πολλὰ πρόσωπα δηλοῦσα κατὰ τὸ πρῶτον καὶ δεύτερον καὶ τρίτον πρόσωπον ποιεῖ τὴν ἡμέτερος ὑμέτερος σφέτερος κτητικὴν ἀντωνυμίαν ἐν τοῖς τρισὶ προσώποις πολλοὺς κτήτορας ἐπὶ ὅλης τῆς κλίσεως ἔχουσαν, ἥτις κλινομένη ἐπὶ πάσης πτώσεως καὶ παντὸς ἀριθμοῦ πολλοὺς κτήτορας δηλοῖ· εἴπομεν γὰρ ὅτι ἔσωθεν νοούμενος ὁ κτήτωρ ἀμεταθέτως ἔχει· τὸ μέντοι κτῆμα αὐτῆς ἐν μὲν ταῖς ἑνικαῖς πτώσεσιν ἕν ἐστιν, ἐν δὲ ταῖς δυϊκαῖς δύο, ἐν δὲ ταῖς πληθυντικαῖς πολλά, ὡς δῆλον ἐκ τῶν παραδειγμάτων, ἅτινά ἐστι ταῦτα·

Ἀντωνυμία παράγωγος α΄ πρ. ὀρ. πτ. ἑν. ἀρ. ὁ ἡμέτερος, β΄ πρ.

3—6 (παραδ.) hab. et. Σ^m ‖ 14—15 hab. et. Σ^m

2 πάλιν *om* A ‖ 3 δὲ σφ.] γὰρ σφ. OA | σφῶϊν OVA | τοῦ *add* VA ‖ 4 τῶν — 85, 12 (ἡμετ.) A, *om* O *(in eius archetypo intercidisse videtur folium)* ‖ 5 ὀρθοτονουμένων *RSchneider*, ἐγκλινομένων VA ‖ 30 κατὰ τὸ] κατὸ A

ὀρ. πτ. ἑν. ἀρ. ὁ ὑμέτεροϲ, γʹ πρ. ὀρ. πτ. ἑν. ἀρ. ὁ ϲφέτεροϲ· αʹ πρ. γεν. πτ. ἑν. ἀρ. τοῦ ἡμετέρου, βʹ πρ. γεν. πτ. ἑν. ἀρ. τοῦ ὑμετέρου, γʹ πρ. γεν. πτ. ἑν. ἀρ. τοῦ ϲφετέρου· αʹ πρ. δοτ. πτ. ἑν. ἀρ. τῷ ἡμετέρῳ, βʹ πρ. δοτ. πτ. ἑν. ἀρ. τῷ ὑμετέρῳ, γʹ πρ. δοτ. πτ. ἑν. ἀρ. τῷ ϲφετέρῳ· αʹ πρ. αἰτ. πτ. ἑν. ἀρ. τὸν ἡμέτερον, βʹ πρ. αἰτ. πτ. ἑν. ἀρ. τὸν ὑμέτερον, γʹ πρ. αἰτ. πτ. ἑν. ἀρ. τὸν ϲφέτερον· αʹ πρ. κλητ. πτ. ἑν. ἀρ. ὦ ἡμέτερε, βʹ πρ. κλητικὴ οὐ ϲυνίϲταται, γʹ πρ. κλητ. πτ. ἑν. ἀρ. ὦ ϲφέτερε.

Περὶ δυϊκοῦ ἀριθμοῦ. — Ἀντωνυμία παράγωγοϲ αʹ πρ. ὀρ. καὶ αἰτ. πτ. δυ. ἀρ. τὼ ἡμετέρω, βʹ πρ. ὀρ. καὶ αἰτ. πτ. δυ. ἀρ. τὼ ὑμετέρω, γʹ πρ. ὀρ. καὶ αἰτ. πτ. δυ. ἀρ. τὼ ϲφετέρω· αʹ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. τοῖν ἡμετέροιν, βʹ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. τοῖν ὑμετέροιν, γʹ πρ. γεν. καὶ δοτ. πτ. δυ. ἀρ. τοῖν ϲφετέροιν· αʹ πρ. κλητ. πτ. δυ. ἀρ. ὦ ἡμετέρω, βʹ πρ. κατὰ τὸν προειρημένον λόγον κλητικὴ οὐ ϲυνίϲταται, γʹ πρ. κλητ. πτ. δυ. ἀρ. ὦ ϲφετέρω.

Περὶ πληθυντικοῦ ἀριθμοῦ. — Ἀντωνυμία παράγωγοϲ αʹ πρ. ὀρ. πτ. πληθ. ἀρ. οἱ ἡμέτεροι, βʹ πρ. ὀρ. πτ. πληθ. ἀρ. οἱ ὑμέτεροι, γʹ πρ. ὀρ. πτ. πληθ. ἀρ. οἱ ϲφέτεροι· αʹ πρ. γεν. πτ. πληθ. ἀρ. τῶν ἡμετέρων, βʹ πρ. γεν. πτ. πληθ. ἀρ. τῶν ὑμετέρων, γʹ πρ. γεν. πτ. πληθ. ἀρ. τῶν ϲφετέρων· αʹ πρ. δοτ. πτ. πληθ. ἀρ. τοῖϲ ἡμετέροιϲ, βʹ πρ. δοτ. πτ. πληθ. ἀρ. τοῖϲ ὑμετέροιϲ, γʹ πρ. δοτ. πτ. πληθ. ἀρ. τοῖϲ ϲφετέροιϲ· αʹ πρ. αἰτ. πτ. πληθ. ἀρ. τοὺϲ ἡμετέρουϲ, βʹ πρ. αἰτ. πτ. πληθ. ἀρ. τοὺϲ ὑμετέρουϲ, γʹ πρ. αἰτ. πτ. πληθ. ἀρ. τοὺϲ ϲφετέρουϲ· αʹ πρ. κλητ. πτ. πληθ. ἀρ. ὦ ἡμέτεροι, βʹ πρ. κατὰ τὸν προειρημένον λόγον κλητικὴ οὐ ϲυνίϲταται, γʹ πρ. κλητ. πτ. πληθ. ἀρ. ὦ ϲφέτεροι.

Καὶ τοϲαῦτα μὲν εἰρήκαμεν δεῖξαι βουλόμενοι τὰ παρεπόμενα πρόϲωπα ⟨καὶ πτώϲειϲ καὶ ἀριθμοὺϲ⟩ ταῖϲ πρωτοτύποιϲ καὶ παραγώγοιϲ ἀντωνυμίαιϲ.

Χρὴ δὲ εἰδέναι, ὅτι εἰϲὶν ἐπὶ παϲῶν τούτων τῶν κτητικῶν ἀντωνυμιῶν γένουϲ [καὶ προϲώπου καὶ ἀριθμοῦ] ἀκόλουθοι παραλλαγαί· τούτων γὰρ θηλυκὰ καὶ οὐδέτερα ὁμοίωϲ τοῖϲ τριγενέϲι παραϲχηματίζονται· ὡϲ γὰρ ἔρημοϲ ἐρήμη ἔρημον, οὕτωϲ ἐμόϲ ἐμή ἐμόν, καὶ ὡϲ μέθυϲοϲ μεθύϲη μέθυϲον, οὕτω ϲόϲ ϲή ϲόν καὶ ὅϲ ἥ ὅν, καὶ ὡϲ ϲοφώτεροϲ ϲοφωτέρα ϲοφώτερον, οὕτω νωΐτεροϲ νωϊτέρα νωΐτερον καὶ ϲφωΐτεροϲ ϲφωϊτέρα ϲφωΐτερον καὶ ἡμέτεροϲ ἡμετέρα ἡμέτερον καὶ ὑμέτεροϲ ὑμετέρα ὑμέτερον καὶ ϲφέτεροϲ ϲφετέρα ϲφέτερον· καὶ ὅτι πρόδηλοϲ ἡ τούτων κλίϲιϲ κλινομένων ὡϲ τὰ εἰϲ ο̅ϲ̅ ἀρϲενικά, καὶ ὡϲ τὰ εἰϲ η̅ ⟨ἢ εἰϲ α̅⟩ θηλυκά, καὶ ὡϲ τὰ εἰϲ ο̅ν̅ οὐδέτερα ὀνόματα.

---

12 ὑμετέροιν A, ἡμετέροιν O ‖ **16** πληθ. ἀρ. A, πληθυντικῶν O ‖ **26** τοϲαῦτα A, ταῦτα O ‖ **27** καὶ πτ. καὶ ἀρ. *om* O A | καὶ παραγ. *add* A ‖ **30** καὶ πρ. καὶ ἀρ. *hab.* O A | παραλλαγαὶ O, παραγωγαὶ A ‖ **31** τριγενέϲι A, τριϲὶ γένεϲι O ‖ **37** κλινομένων O, κλινομένη A | ἢ εἰϲ α̅ *om* O A

Γένη τῶν μὲν πρωτοτύπων διὰ μὲν τῆς φωνῆς οὐ διακρίνεται, διὰ δὲ τῆς ὑπ' αὐτῶν δείξεως.] Ἴσμεν ὅτι γένη εἰσὶ τρία, ἀρσενικόν, θηλυκόν, οὐδέτερον, ἅπερ αἱ πρωτότυποι ἀντωνυμίαι διὰ μὲν τῆς φωνῆς οὐ διαστέλλουσι, διὰ δὲ τῆς ὑπ' αὐτῶν δείξεως· ἡ γὰρ δεῖξις συνεξηγούμενον ἔχει καὶ τὸ γένος· ὅθεν καὶ μοναδικαὶ καλοῦνται, ἐπεὶ διὰ μιᾶς φωνῆς ἡ τριγένεια παρίσταται· ἡ γὰρ ἐγώ καὶ σύ ἐπὶ παντὸς γένους λέγεται. Ἰστέον δὲ ὡς πᾶσα ἀντωνυμία ἢ δεικτική ἐστιν ἢ ἀναφορική· καὶ δεικτικαὶ μέν εἰσι μόνον αἱ κατὰ τὸ πρῶτον καὶ δεύτερον πρόσωπον, ⟨αἱ δὲ κατὰ τὸ τρίτον πρόσωπον⟩, ὅσαι γένους εἰσὶ παραστατικαί, καὶ δεικτικαὶ καὶ ἀναφορικαί, ὡς ἡ ἐκεῖνος ὅδε οὗτος, ὑποστελλομένης τῆς αὐτός· μόνην γὰρ ἀναφορὰν δηλοῖ· ἥτις πάλιν δεικτικὴ γίνεται συντασσομένη ταῖς δεικτικαῖς ἀντωνυμίαις, οἷον ἐγὼ αὐτός, σὺ αὐτός, ἐκεῖνος αὐτός. Εἶπον δὲ «ὅσαι γένους εἰσὶ παραστατικαί», ἐπειδὴ 913b αἱ τοῦ τρίτου προσώπου, ὅτε γένους ἀπαρέμφατοί εἰσι, μόνον ἀναφορικαὶ τυγχάνουσιν, ἡ ἵ οὗ οἷ ἕ. Ἔστι δὲ καὶ ἐκ πολλῶν κανόνων μαθεῖν, ὡς οὐκ ἀκόλουθοί εἰσιν αἱ πρωτότυποι ἀντωνυμίαι οὔτε κατὰ πρόσωπον οὔτε κατὰ πτῶσιν οὔτε κατὰ ἀριθμόν, ἀλλ' ὅτι θέματα ἴδια καθεστήκασι κατὰ πρόσωπον ⟨καὶ κατὰ πτῶσιν⟩ καὶ κατὰ ἀριθμόν. 912,12b

Τῶν δὲ παραγώγων.] Ἀπὸ κοινοῦ τὸ «γένη διὰ τῆς φωνῆς διακρίνεται», ἵν' ᾖ «τῶν δὲ παραγώγων γένη διὰ τῆς φωνῆς διακρίνεται, οἷον ὁ ἐμός, ἡ ἐμή, τὸ ἐμόν». Ἐψεύσατο δὲ εἰπὼν τὰς παραγώγους σημαίνειν διὰ τῆς φωνῆς τὸ γένος· τῶν γὰρ πρωτοτύπων μὴ σημαινουσῶν, πῶς αἱ παράγωγοι σημαίνουσιν; Ἔστι τοίνυν τοῦ κτήματος τὸ ἄρθρον, καὶ οὐ τῆς ἀντωνυμίας. Καὶ εὑρήσεις τοῦτο ἀληθές, εἴ γε ἀναλύσειας αὐτὴν εἰς τὴν γενικήν, ἐξ ἧς καὶ ἐγένετο· εἰ γὰρ εἴποις «ὁ δοῦλός μου», δῆλον γενήσεται ὅτι τὸ ἄρθρον τοῦ κτήματός ἐστι, καὶ ὅτι δύναται ἀρσενικὸν καὶ θηλυκὸν καὶ οὐδέτερον γένος εἰπεῖν «ὁ δοῦλός μου»· καὶ πάλιν εἰ εἴποις κατὰ ἀνάλυσιν «ἡ δούλη μου», πάντως εὑρεθήσεται τὸ μὲν ἄρθρον τοῦ κτήματος ὄν, ἡ δὲ ἀντωνυμία γένους ἀδιάστολος, διότι μιμοῦνται πᾶσαι αἱ παραχθεῖσαι κατὰ τὸ ἐντὸς πρόσωπον τὰς πρωτοτύπους ἀντωνυμίας, καὶ οὔτε γένος διαστέλλουσι κατὰ τὸ ἐντὸς

1—87, 13 hab. et. Σ^m

1 διὰ — δείξεως (2) *om* A ‖ 5 συνεξηγούμενον OVA, συνηγούμενον b ‖ 7 πᾶσα — πάλιν (11)] ἡ αὐτός A; *cfr tamen v. 13* ‖ 8 μέν *add* V | καὶ δεύτ. *add* V ‖ 9 αἱ — πρός. *addidi R Schneiderum secutus* ‖ 10 ἡ V, ὁ O ‖ 13 *post* ἐκεῖνος αὐτός *add* A: χρὴ δὲ εἰδέναι, τὸ (*l.* ὅτι) αἱ κατὰ τὸ πρῶτον (*sic*) πρόσωπον ἀντωνυμίαι, ὅσαι γένους εἰσὶ παραστατικαί, δεικτικαί εἰσιν (*cfr v. 7—11*) ‖ 14 ἀπαρέμφατοί εἰσι VAb, ἀπαρεμφάτου εἰσὶν O ‖ 15 ἡ] ἥ τε OVAb ‖ 17 οὔτε κ. πτ. οὔτε κ. ἀριθ. OVA, καὶ b | ἀλλ' ὅτι — ἀριθμόν (18) OVA, *om* b ‖ 18 κατὰ *ante* ἀρ. *add* A | *post* ἀριθμόν *add* A: δι' ἣν δὲ αἰτίαν ἐν φωνῇ τὸ γένος οὐ σημαίνουσιν, εἴπομεν· δεῖξιν γὰρ ἔχουσιν, ἥτις ἑρμηνεύει τὸ γένος ‖ 19 τὸ] τὰ O VA ‖ 20 ἵν' ᾖ — διακρ. OA, *om* Vb ‖ 21 δὲ OVA, οὖν b ‖ 22 γὰρ VAb, δὲ O | μὴ V, *om* OA, οὐ b ‖ 25 τὴν VA, *om* Ob | εἴποις O, εἴπῃς VA; *item v. 28* ‖ 31 καὶ οὔτε — ᾠκείωται (87, 13) *om* b

πρόcωπον, οὔτε ἄρθρων εἰcὶ δεκτικαί, οὔτε ἀκόλουθοι τοῖc ἀριθμοῖc, καθὼc ἐκεῖναι· ποία γὰρ ἀκολουθία τῆc ἐμόc ἀντωνυμίαc κατὰ τὸ ἐντὸc πρόcωπον πρὸc τὴν νωΐτεροc καὶ ἡμέτεροc;

Ἰcτέον δὲ καὶ τοῦτο, ὅτι τὸ μὲν πρόcωπον ἐν τῷ ῥήματι τὸ τέλοc κινεῖ, ἐνταῦθα δὲ τὴν ἀρχήν, ἐπειδὴ ἡ ἀντωνυμία δύο κλίcειc ἀναδεξαμένη, τὴν μὲν κατὰ πτῶcιν, τὴν δὲ κατὰ πρόcωπον, τὸ μὲν πρόcωπον κινούμενον ἐν τῇ ἀρχῇ δείκνυcι, τὴν δὲ πτῶcιν ἐν τῷ τέλει, ἐπειδὴ τὸ γένοc καὶ ἡ πτῶcιc καὶ ὁ ἀριθμὸc τῷ τέλει μᾶλλον ᾠκείωνται· τὰ δύο γὰρ κατὰ ταὐτὸν οὐκ ἠδύνατο ἔχειν, τὸ πρόcωπόν τε καὶ τὴν πτῶcιν, ἵνα μὴ εἰc cύγχυcιν ἐμπέcῃ· ἀλλ' ὥcπερ τὸ ῥῆμα τὴν μὲν ἀρχὴν ἀπένειμε τοῖc χρόνοιc, τὸ δὲ τέλοc τοῖc προcώποιc, οὕτω καὶ αὕτη εἰc δύο ἐμπεcοῦcα τὴν ⟨μὲν⟩ ἀρχὴν ἀπένειμε τοῖc προcώποιc, τὸ δὲ τέλοc ταῖc πτώcεcιν, ἐπειδὴ καὶ ⟨ἐν⟩ τῷ ὀνόματι μᾶλλον τὸ τέλοc αὐταῖc ᾠκείωται.

915,4b Ἀριθμοὶ πρωτοτύπων μὲν ἑνικὸc ἐγώ cύ ἵ, δυϊκὸc νῶϊ cφῶϊ, πληθυντικὸc ἡμεῖc ὑμεῖc cφεῖc.] Βούλεται δεῖξαι, πῶc καὶ ὁ ἀριθμὸc παρέπεται τῇ πρωτοτύπῳ· πλὴν τὰ παραδείγματα οὐ καλῶc εἶπεν· ὤφειλε γὰρ εἰπεῖν «ἑνικὸc ἐγώ, δυϊκὸc νῶϊ, πληθυντικὸc ἡμεῖc», ἵνα ἑκάcτου ἀριθμοῦ μίαν φωνὴν λέγων ἀτάραχον cτήcῃ τὸν ἀκροατήν, καὶ μὴ διὰ τοῦ εἰπεῖν «ἑνικὸc ἐγώ cύ ἵ», καὶ πάλιν «δυϊκὸc νῶϊ cφῶϊ», εἶτα «πληθυντικὸc ἡμεῖc ὑμεῖc cφεῖc» μᾶλλον πρόcωπα καὶ οὐκ ἀριθμοὺc παραcτήcῃ, ὡc ἔcτιν ἐκ τῶν παραδειγμάτων μαθεῖν.

916b Παραγώγων δὲ ἑνικὸc ἐμόc cόc ὅc, δυϊκὸc ἐμώ cώ ὥ, πληθυντικὸc ἐμοί coί οἵ.] Ἀπὸ κοινοῦ μὲν τὸ «ἀριθμοί», ἵν' ᾖ «παραγώγων δὲ ἀριθμοί». Πάλιν δὲ καὶ ἐνταῦθα τῷ αὐτῷ πταίcματι περιέπεcεν· ἔδει γὰρ εἰπεῖν «ἑνικὸc ἐμόc, δυϊκὸc ἐμώ, πληθυντικὸc ἐμοί», καὶ μὴ πρόcωπα ἀντὶ ἀριθμῶν παραcτῆcαι.

Πτώcειc πρωτοτύπων μὲν ὀρθῆc ἐγώ cύ ἵ, γενικῆc ἐμοῦ coῦ οὗ, δοτικῆc ἐμοί coί οἷ, αἰτιατικῆc ἐμέ cέ ἕ, κλητικῆc cύ.] Πάλιν μέμψεωc ἄξιοc ὁ τεχνογράφοc, ὅτι βουλόμενοc πτώcειc πρωτοτύπων ἀντωνυμιῶν παραcτῆcαι, μετὰ τῶν πτώcεων καὶ τὰ πρόcωπα παρέλαβεν· ἔδει γὰρ οὕτωc εἰπεῖν, «ὀρθῆc ἐγώ, γενικῆc ἐμοῦ, δοτικῆc ἐμοί, αἰτιατικῆc ἐμέ, κλητικῆc cύ», ἵνα πάλιν ἑκάcτηc πτώcεωc μίαν φωνὴν λέγων μὴ ταράξῃ τὸν ἀκροατήν. Ἰcτέον δὲ ὅτι κλητικὴν οὐκ ἔχει ἡ πρωτότυποc ἀντωνυμία οὔτε ἐν πρώτῳ οὔτε ἐν τρίτῳ προcώπῳ, ἀλλ'

14—91, 11 hab. et. Σ^{m} (*partim excerpta*)

1 οὔτε ἀκ. τοῖc] *lac. 18 fere litter.* O | ἀκόλουθοι A, ἀκολούθωc V || **5** δὲ *add* VA || **10** εἰc cύγχυcιν] εἰc cυγγένειαν OV, ἡ cυγγεν A || **11** τοῖc προc. — τέλοc (**12**) *add* VA || **12** μὲν *om* VA || **13** ἐπειδὴ — ᾠκ. *om* A | ἐν *om* OV | αὐταῖc] αὐτῆc OV || **14** δὲ νῶϊ V || **15** cφῶϊ νῶϊ O | δὲ ἡμεῖc V || **19** ἑνικὸc *om* b || **22** δὲ ἐμώ O || **26** ἀριθμῶν V, ἀριθμοῦ O || **27** δὲ πρωτ. V | μὲν *add* V || **29** *in marg. add* Ἡλιοδώρου N || **31** παρέλαβεν O, παρειcάγει V || **32** ἵνα — ἀκροατήν (**33**) *om* V | ἑκάcτηc O, πάcηc b || **34** πρώτῳ — ἐν δευτ. (**88, 1**) V, τρίτῳ οὔτε ἐν τῷ πρώτῳ προc. ἀλλὰ δευτ. O

ἐν δευτέρῳ μόνῳ ἐπὶ παντὸς ἀριθμοῦ· οὐδεὶς γὰρ οὔτε ἑαυτὸν οὔτε τὸν ἀπόντα καλεῖ, ἀλλὰ μόνον τὸν πέλας· καὶ ὅτι κατεκερμάτισε πανταχοῦ ὁ τεχνικὸς τὴν ἀντωνυμίαν, μηδαμοῦ κλίσιν αὐτῆς τελείαν ποιησάμενος, μήτε ἐν πρωτοτύποις μήτε ἐν παραγώγοις. Καὶ διά τοι τοῦτο ἡμεῖς ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν τὴν κλίσιν τῆς τε πρωτοτύπου καὶ ⟨τῆς⟩ παραγώγου, ἐξ ἧς δυνάμεθα πάντα σαφῶς παραστῆσαι τὰ παρεπόμενα.

Παραγώγων δὲ ὀρθῆς ἐμός σός ὅς, γενικῆς ἐμοῦ σοῦ οὗ, δοτικῆς ἐμῷ σῷ ᾧ, αἰτιατικῆς ἐμόν σόν ὅν.] Ἀπὸ κοινοῦ τὸ «πτώσεις», ἵν' ᾖ «παραγώγων δὲ πτώσεις ὀρθῆς ἐμός σός ὅς, γενικῆς ἐμοῦ σοῦ οὗ, δοτικῆς ἐμῷ σῷ ᾧ, αἰτιατικῆς ἐμόν σόν ὅν, κλητικῆς ἐμός». Πάλιν καὶ ἐνταῦθα πτώσεις βουλόμενος εἰπεῖν, συμπεριέλαβεν ἑκάστης πτώσεως τὰ τρία πρόσωπα, ὅπερ οὐκ ἔδει διὰ τὸν προειρημένον λόγον· ἀλλ' οὕτω προενέγκασθαι, «ὀρθῆς ἐμός, γενικῆς ἐμοῦ, δοτικῆς ἐμῷ, αἰτιατικῆς ἐμόν, κλητικῆς ἐμός». Χρὴ δὲ εἰδέναι, ὅτι αὕτη ἀκόλουθός ἐστι κατὰ πτῶσιν καὶ ἀριθμόν, ἐπειδὴ διὰ τῆς φωνῆς ἔξωθεν τὸ γένος διαστέλλει· καὶ κλίνεται, καθὼς ἄνω εἰρήκαμεν, ὡς τὰ εἰς $\overline{\text{ος}}$ ἐπίθετα ὀνόματα· ἀττικῶς τε ἔχει τὴν κλητικὴν ὦ ἐμός, ἵνα μὴ συνεμπέσῃ τῇ αἰτιατικῇ τοῦ πρωτοτύπου.

Σχήματα δύο, ἁπλοῦν, σύνθετον· ἁπλοῦν μέν, οἷον ἐμοῦ 919,4b σοῦ οὗ, σύνθετον δέ, οἷον ἐμαυτοῦ σαυτοῦ ἑαυτοῦ.] Κατὰ τὸ ἀρχαῖον οὐκ ἦν σύνθετος ἀντωνυμία· καὶ μαρτυροῦσι τούτῳ τῷ λόγῳ τὰ Ὁμηρικά, ἅτε δὴ ἀρχαϊκώτερα ὄντα καὶ ἐν ἁπλαῖς ταῖς ἀντωνυμίαις πεφρασμένα· οὔποτε γὰρ σύνθετος ἀντωνυμία παρὰ τῷ ποιητῇ εὑρίσκεται· ἀλλ' ὕστερον ἐπενοήθη δι' εὔλογον αἰτίαν. Ποίαν δή; Τοιαύτην, ἵνα διὰ μὲν τῆς ἁπλῆς τὸ μεταβατικὸν πρόσωπον δηλῶται, διὰ δὲ τῆς 10 συνθέτου τὸ ἀμετάβατον, ἅ ἐστι τὸ ἀλλοπαθὲς καὶ αὐτοπαθές. Οἷον τί ἐστιν ὃ λέγω; Ἰδοὺ ἐν τῷ «ἐμοὶ αὐτῷ χαρίζομαι» καὶ «ἐμοὶ [αὐτῷ] χαρίζῃ», ἐπειδὴ ἡ αὐτὴ ἀντωνυμία ἁπλῆ οὖσα ἐλέγετο καὶ ἐν ἀμεταβάτῳ προσώπῳ καὶ ἐν μεταβατικῷ, ἐπενόησαν ὕστερον οἱ μεθ' Ὅμηρον ὥστε τὴν ἀμετάβατον κατὰ τὸ πρόσωπον ἀντωνυμίαν συνθέτως λέγεσθαι «ἐμαυτῷ χαρίζομαι», ἵνα δηλῶται δι' αὐτῆς ἡ αὐτοπάθεια, καὶ τὴν μεταβατικὴν ἁπλῇ φωνῇ λέγεσθαι, ἵνα σημαίνηται, δι' αὐτῆς ἡ ἀλλοπάθεια·

20—89, 22 hab. et. A

5 ἐν τοῖς προλ.] *p. 80, 27 seqq* | τε *add* V ‖ **8** ὀρθῆς — ὅν (**9**) *add* V ‖ **9** Ἀπὸ — ἐμός (**11**) *om* V ‖ **12** *in marg. add* Ἡλιοδώρου N ‖ **13** προειρ.] *p. 87, 17. 24. 29* ‖ **14** ἐμῷ V, ἐμοὶ O ‖ **15** *ante* αὕτη *add* καὶ O ‖ **17** ἄνω] *p. 82, 32* ‖ **20** δύο — ἑαυτοῦ (**21**) *add* V ‖ **21** *in marg.* Ἡλιοδώρου N ‖ **22** καὶ — εὑρίσκ. (**24**) *om* VA ‖ **25** ποίαν δὴ. τοιαύτην O, ποίαν δὲ ταύτην A, *om* V ‖ **27** ἅ ἐστι V, ὅ ἐστι O, ὅτι ἐστὶ A | ἀλλοπ. καὶ αὐτοπ.] ἀπαθὲς καὶ αὐτοπαθὲς OA, αὐτοπαθὲς καὶ ἀλλοπαθὲς Vb | Οἷον — τῷ (**28**) *om* V ‖ **28** χαρίζομαι καὶ ἐμοὶ αὐτῷ A, χαριζόμενος ἐμοὶ αὐτῷ VN, *lac. 17 fere litter.* O ‖ **29** ἐπειδὴ — τοιαῦτα (**89, 10**)] καὶ πάλιν ἐμαυτὸν ἐτίμησα καὶ ἐμαυτὸν (*sic*) ἐτίμησας V ‖ **31** τὸ O, *om* Ab ‖ **32** καὶ — ἀλλοπάθεια (**33**) *add* A

καὶ ἐν τῷ «cὲ αὐτὸν ἐτίμηcαc» ⟨καὶ «cὲ ἐτίμηcα»⟩ πρὸc ἀντιδιαcτολὴν τοῦ αὐτοπαθοῦc καὶ ἀλλοπαθοῦc, ἵνα ἡ cύνθετοc καὶ ἡ ἁπλῆ νοοῖτο, ἐπενόηcαν λέγειν «cαυτὸν ἐτίμηcαc», καὶ ἐν τῷ τρίτῳ «ἑαυτὸν ἐτίμηcεν». Ἀλλὰ φαcί τινεc, εἰ ἐκ τοῦ ῥήματοc τοῦ ἀμεταβάτου καὶ τοῦ ἐν μεταβάcει νοεῖται ἡ ἁπλῆ καὶ ἡ cύνθετοc, ἔαcον τῷ ῥήματι τὴν ἐξουcίαν εἰc τὸ διδόναι νοεῖν τήν τε ἁπλῆν καὶ τὴν cύνθετον ἀντωνυμίαν, τουτέcτι τὴν ἀλλοπαθῆ καὶ ⟨τὴν⟩ αὐτοπαθῆ. Πρὸc οὕc φαμεν ἡμεῖc, εἰ ἐνεχώρει τὸ τοιοῦτο γενέcθαι καὶ ἐπὶ τῶν τριῶν προcώπων τῶν ἀντωνυμιῶν, εὔλογον ἦν τὸ προβαλλόμενον· εἰ δὲ τούτοιc cυνταccόμενον τὸ ῥῆμα ἀμφιβολίαν ἔχει, πῶc οὐ διαcτολῆc τύχωcι τὰ τοιαῦτα; Ἰδοὺ γὰρ τὰ μὲν πρῶτα καὶ δεύτερα πρόcωπα τῶν πρωτοτύπων ἀντωνυμιῶν διὰ τοῦ ῥήματοc δηλοῦcι τὴν αὐτοπαθῆ τε καὶ τὴν ἀλλοπαθῆ· τὸ γὰρ «ἐμὲ ἔτυψεν» ἀλλοπαθήc, τὸ δὲ ⟨K 378⟩
920b ἐμὲ λύcομαι αὐτοπαθήc· τὸ δὲ τρίτον οὐδὲ ἐν τῷ ῥήματι, καθὼc εἰρήκαμεν, ἔχει τὴν διαcτολὴν πολλάκιc. Ἐξὸν δέ ἐcτιν ἡμῖν διὰ μιᾶc ἀντωνυμίαc καὶ ἑνὸc ῥήματοc τὰc δύο cυντάξειc νοεῖν· τὸ γὰρ «ἐχαρίcατό οἱ» καὶ «ἤκουcέν οὗ» πρὸc ἄμφω χωροῦν ἐργάζεται τὴν ἀμφιβολίαν· δυνατὸν γὰρ νοεῖν «ἐχαρίcατο αὐτῷ» ἀλλοπαθῶc καὶ «ἐχαρίcατο αὑτῷ» αὐτοπαθῶc, καὶ «ἤκουcεν αὐτοῦ» καὶ «ἤκουcεν ἑαυτοῦ»· ὥcτε κατὰ τοῦτο οὐκ ἀκαίρωc ἔτυχε διαcτολῆc τὸ τοιοῦτον, ἵνα πάντωc ἐν τῇ ἀντωνυμίᾳ, ἐὰν τὸ ῥῆμα τὴν ἀπὸ τῆc εὐθείαc δρᾶcιν ποιοῦν ἐπὶ τὰc πλαγίουc κατὰ τοῦ αὐτοῦ προcώπου τὴν διάβαcιν ποιῆται, cύνθετον καὶ αὐτοπαθῆ δεχώμεθα τὴν ἀντωνυμίαν.

Ἰcτέον δὲ ὅτι οὐκ ἀπὸ τῆc ἐμοῦ κτητικῆc ἀντωνυμίαc ἐγένετο ἡ ἐμαυτοῦ cύνθετοc ἀντωνυμία· διὰ τίνα τεχνικὴν αἰτίαν, μαθηcόμεθα προcέχοντεc ταῖc βιωφελέcι τέχναιc τῶν μεγάλων τεχνογράφων Ἡρωδιανοῦ καὶ Ἀπολλωνίου, καὶ τὸ τρίτον πρόcωπον τῆc κτητικῆc ἀντωνυμίαc πῶc πολλάκιc εἰc cύνθετον μεταλαμβάνεται. Νῦν δὲ ἀναγκαῖόν ἐcτιν ἐπὶ τὴν κλίcιν ἐλθεῖν τῆc cυνθέτου ἀντωνυμίαc, φάcκονταc εὐθεῖαν μὲν αὐτῆc μὴ cυνίcταcθαι τεχνικῷ τινι λόγῳ, τὴν δὲ γενικὴν ταύτην εἶναι ἐμαυτοῦ cεαυτοῦ ἑαυτοῦ, καὶ τὴν δοτικὴν ἐμαυτῷ cεαυτῷ ἑαυτῷ, καὶ τὴν αἰτιατικὴν ἐμαυτόν cεαυτόν ἑαυτόν, καὶ τὴν κλητικὴν

1 cὲ αὐτὸν] ἐμὲ αὐτὸν OA ‖ 2 καὶ ἀλλοπ. *om* A | ἡ *post* καὶ *add* A ‖ 3 cαυτὸν ἐτίμηcαc] ἐμαυτὸν ἐτίμηcα OA | ἑαυτὸν b, ἐμαυτὸν OA ‖ 6 αὐτοπ. καὶ ἀλλοπ. OA ‖ 7 ἡμεῖc *add* A | τὸ τοιοῦτο OA, τοῦτο b ‖ 8 τῶν *ante* ἀντ. *add* A ‖ 12 τὴν *ante* ἀλλ. *add* V | ἀλλοπαθήc *et* (13) αὐτοπαθήc O, *bis* -θῆc A, *bis* -θέc Vb ‖ 13 τὸ δὲ τρ. — ἀντων. (22) *om* V ‖ 14 δέ ἐcτιν] γάρ ἐcτιν OA, δὲ b ‖ 16 ἤκουcέν οὗ] ἤκουcεν οὐ O, ἤκουcαc οὐ A, ἤκουcεν αὐτοῦ οὐ b ‖ 17 νοεῖν] εἰπεῖν OAb ‖ 18 καὶ ἤκ. ἑαυτοῦ O, *om* A, *lac. indicat* b ‖ 20 ποιοῦν A, ἐποίουν O, ἐποίῃ (*sic*) b | *ante* κατὰ *add* καὶ b ‖ 23 οὐκ ἀπὸ O, ἐκ V | ἡ Vb, *om* O ‖ 24 ἀντωνυμία — cυνίcτ. (29)] ἰδοὺ γοῦν τῆc cυνθέτου ἀντωνυμίαc εὐθεῖα οὐ cυνίcταται V | τεχνικὴν O, γενικὴν b | μαθηcόμεθα *Uhlig*, ὀνηcόμεθα Ob ‖ 25 ταῖc — τέχναιc *Uhlig*, εἰ βιωφελεῖc τέχναc O, εἰ αἱ βιωφελεῖc τέχναι b ‖ 27 δὲ] γὰρ Ob ‖ 28 τῆc O, *om* b | φάcκονταc b, φάcκοντεc O ‖ 29 αὐτῆc τὴν μὴ O | ταύτην *om* b

πάλιν ἀςύςτατον εἶναι τεχνικῷ τινι λόγῳ· τὰ δὲ δυϊκὰ οὕτω προφέρεςθαι, ἑαυτώ τρίτου προςώπου αἰτιατικῆς μόνης, καὶ ἑαυτοῖν τρίτου προςώπου γενικῆς καὶ δοτικῆς, ἀςύςτατον πάλιν αὐτῶν λέγοντας εἶναι τὴν κλητικήν, καὶ τῶν πληθυντικῶν τὴν εὐθεῖαν, τό τε πρῶτον καὶ δεύτερον πρόςωπον τῶν πλαγίων αὐτῶν, καὶ τὴν κλητικήν· τὴν δὲ γενικὴν ταύτην εἶναι τρίτου προςώπου ἑαυτῶν, καὶ τὴν δοτικὴν ἑαυτοῖς, καὶ τὴν αἰτιατικὴν ἑαυτούς.

Εἴδη δέ, ὅτι αἱ μέν εἰςι πρωτότυποι, ὡς ἐγώ cύ ἵ, αἱ δὲ παράγωγοι, ὡς πᾶςαι αἱ κτητικαί, αἳ καὶ διπρόςωποι καλοῦνται.] Παρέπεται καὶ εἴδη ταῖς ἀντωνυμίαις, διότι αἱ μὲν αὐτῶν εἰςι πρωτόθετοι, ὡς ἐγώ cύ ἵ, αἱ δὲ παράγωγοι, ὅ ἐςτιν ἀπὸ τῶν πρωτοτύπων παρηγμέναι, ὡς ἀπὸ τῆς ἐμοῦ πρωτοτύπου ἡ ἐμός κτητικὴ ἀντωνυμία, ἣ καὶ διπρόςωπος καλεῖται, καθὸ κτητικὴ οὖςα ἐμφαίνει ἐν ἑαυτῇ τόν τε κτήτορα καὶ τὸ κτῆμα, καθὼς ἤδη περὶ αὐτῶν εἰρήκαμεν ἐν τοῖς προλαβοῦςιν.

Παράγονται δὲ ἀπὸ μὲν ἑνικῶν αἱ ἕνα κτήτορα δηλοῦςαι, ὡς ἀπὸ τοῦ ἐμοῦ ἐμός.] Καλῶς εἶπεν «αἱ ἕνα κτήτορα δηλοῦςαι»· ἐν ὅλῃ γὰρ τῇ κλίςει αὐτῶν εἷς ἐςτιν ὁ κτήτωρ· ἀλλ' ἐν μὲν τοῖς ἑνικοῖς ἓν τὸ κτῆμα, ἐν δὲ τοῖς δυϊκοῖς δύο τὰ κτήματα, ἐν δὲ τοῖς πληθυντικοῖς πολλὰ τὰ κτήματα· τὸ γὰρ κτῆμά ἐςτι τὸ ἐν τῷ τέλει κινούμενον, ὅπερ ἐπὶ τῶν ἀριθμῶν μεταβάλλεται εἰς δύο καὶ πολλὰ κτήματα.

Ἀπὸ δὲ δυϊκῶν αἱ δύο, ὡς ἀπὸ τοῦ νῶϊ νωΐτερος.] Ἀπὸ κοινοῦ τὸ «κτήτορας δηλοῦςαι», ἵν' ᾖ οὕτως τὸ λεγόμενον, «ἀπὸ δὲ δυϊκῶν αἱ δύο κτήτορας δηλοῦςαι». Ἀληθὲς δὲ τοῦτο· πάλιν γὰρ ἐνταῦθα ἐν ὅλῃ τῇ κλίςει δύο εἰςὶν οἱ κτήτορες· ἀλλ' ἐν μὲν τοῖς ἑνικοῖς ἓν τὸ κτῆμα, ἐν δὲ τοῖς δυϊκοῖς δύο, ἐν δὲ τοῖς πληθυντικοῖς πολλά, διὰ τὸν προειρημένον λόγον, ὅτι τὸ κτῆμά ἐςτι τὸ κινούμενον.

Ἀπὸ δὲ πληθυντικῶν αἱ πολλούς, ὡς ἀπὸ τοῦ ἡμεῖς ἡμέτερος.] Ὁμοίως ἀπὸ κοινοῦ τὸ «κτήτορας δηλοῦςαι», ἵν' ᾖ «ἀπὸ δὲ πληθυντικῶν αἱ πολλοὺς κτήτορας δηλοῦςαι». Καὶ τοῦτο δὲ ὀχυρόν· ὁμοίως γὰρ καὶ ἐνταῦθα ἐν ὅλῃ τῇ κλίςει οἱ κτήτορες ἀκίνητοι μένουςι, τὰ δὲ κτήματα πρὸς τοὺς ἀριθμοὺς μεταβάλλονται.

Τῶν δὲ ἀντωνυμιῶν αἱ μέν εἰςιν ἀςύναρθροι, αἱ δὲ ςύναρθροι· ἀςύναρθροι μὲν ἐγώ cύ ἵ, ςύναρθροι δὲ ἐμός cός ὅς.] Ἐψεύςατο τοῦτο εἰπών· οὐ δεῖ γὰρ ςυνάρθρους καὶ ἀςυνάρθρους καλεῖν 923b ἀντωνυμίας. Ἰδοὺ γὰρ αἱ μὲν καλούμεναι ςύναρθροι οὐκ εἰςὶν ἄρθρων

8—21 **hab. et.** Σ^v ‖ 35—91, 11 **hab. et.** C *in marg. fol. 103*[r] *et 103*[v] (C[m])

2 καὶ — ἑαυτῶν (**6**)] γενικῆς καὶ δοτικῆς οὐκ ἔςτιν V ‖ **3** λέγοντα O ‖ **8** *in marg.* Ἡλιοδώρου περὶ εἰδῶν αὐτῶν N ‖ **10** Παρέπ. — ὡς (**12**) *om* V ‖ **14** καθὼς — προλ. (**15**) *om* CV ‖ **15** ἐν τοῖς προλ.] *p. 82, 17 seqq* ‖ **17** ὡς — ἐμός *om* V ‖ **18** ἐν ὅλῃ — κτήτωρ *om* V | αὐτῶν C, αὐτῆς O | μὲν *add* CV ‖ **20** τὰ κτήματα *add* CV ‖ **22** νῶϊ V, νῶ O ‖ **30** Καὶ — μεταβ. (**32**) *om* V ‖ **32** τὰ δὲ κτήματα] καὶ κατὰ κτῆμα O ‖ **33** αἱ δὲ — ὅς (**34**) *om* V

δεκτικαὶ κατὰ τὰ δεύτερα πρόσωπα, καθὸ οὔ φαμεν «ὁ ἐμὸς ⟨εἶ⟩», αἱ δὲ καλούμεναι ἀσύναρθροι δεκτικαὶ πάλιν εἰσὶν ἄρθρων· Ἀττικοὶ γὰρ «τὸν ἐμέ» φασίν, ὡς καὶ Καλλίμαχος ⟨fr. 315[b] Sch⟩ ναὶ μὰ τὸν αὐτὸν ἐμέ, καὶ ⟨fr. 315[a] Sch⟩ τὸν σὲ Κροτωπιάδην, καὶ Μένανδρος ἐν Ὕμνιδι ⟨fr. 474 K⟩ τὸν ἐμὲ τουτονί· καὶ ὡς αὐτῶν ἐχουσῶν προτακτικὰ ἄρθρα, συντάσσεται αὐταῖς καὶ ὑποτακτικά, «ἐγὼ ὁ τιμήσας σε», «ἐμὲ ὃν ἐτίμησας». Καὶ ὅτι τοῦτο ἀληθές, δῆλον ἐκ τῶν δεικτικῶν ἀντωνυμιῶν, ὅτι τὸ ἄρθρον τοῦ κτήματός ἐστι καὶ οὐ τῆς ἀντωνυμίας· ἐν τῷ γὰρ «ὁ ἐμὸς δοῦλος» ἀναλύοντες τὴν σύνταξιν εἰς τὴν πρωτότυπον «ὁ δοῦλός μου» φαμέν, καὶ ἐν τῷ «ὁ ἐμὸς παῖς» ἀναλύοντες «ὁ παῖς μου» φαμέν.

§ 18 (23 b).

923,30b
Περὶ προθέσεως.

Καὶ ἐκ τῆς προθέσεως δείκνυται, ὅτι καλῶς προτέτακται τῶν μερῶν
924b τοῦ λόγου τό τε ὄνομα καὶ τὸ ῥῆμα· εἰ μὴ γὰρ προετάγη τὸ ὄνομα καὶ τὸ ῥῆμα, τίνος ἂν προετίθετο ἡ πρόθεσις; Προετάγη δὲ τοῦ ἐπιρρήματος, ὅτι ὀνόματι συντίθεται καὶ παρατίθεται, τὸ δὲ ἐπίρρημα πρὸς ῥῆμα φέρεται, δι' ὃ καὶ οὕτως ὠνομάσθη· καὶ γὰρ ὅσον τὸ ὄνομα προκρίνεται τοῦ ῥήματος, τοσοῦτον καὶ ἡ πρόθεσις τοῦ σὺν τῷ ῥήματι ἐπιρρήματος.

Ὁ δὲ ὅρος αὐτῆς οὗτος· «πρόθεσίς ἐστι μέρος λόγου καθ' ἕνα σχηματισμὸν λεγόμενον, προθετικὸν ⟨πάντων⟩ τῶν τοῦ λόγου μερῶν ἐν παραθέσει ἢ συνθέσει, ὅτε μὴ κατὰ ἀναστροφὴν ἐκφέρεται». Ὑγιῶς ἔχει οὗτος ὁ ὅρος ἄπταιστος ὤν· ὁ δὲ ὅρος Διονυσίου ἔπταισται, ὡς δῆλον ἐκ τῆς ἐξηγήσεως· ἔχει γὰρ οὕτως· «πρόθεσίς ἐστι λέξις»· λείπει τὸ «ἄκλιτος», ἵν' ᾖ «πρόθεσίς ἐστι λέξις ἄκλιτος» καὶ οἷον ἀκίνητος καὶ μονοσχημάτιστος, ὅπερ ὁ ἄνω ὅρος παρεφυλάξατο, εἰπών «πρόθεσίς ἐστι μέρος λόγου καθ' ἕνα σχηματισμόν», ὃ δηλοῖ κατὰ ἄκλιτον φωνήν· τοιαύτη γὰρ ὁρᾶται ἡ πρόθεσις καὶ ἐν πτώσεσι καὶ ἐν προσώποις. «Προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ἔν τε συνθέσει καὶ συντάξει»· προσθετέον

13—93, 9 hab. et. A ‖ 15—92, 11 hab. et. Σ[m]

1 κατὰ *R Schneider*, καὶ O C[m] | κατὰ — τῆς ἀντων. (8)] τουτέστιν οὐκ εἰσὶ μετὰ ἄρθρου. καὶ ὅτι τοῦτο τοῦ κτήματός ἐστιν V | εἶ *add R Schneider* ‖ 2 πάλιν *add* C[m] ‖ 5 Ὕμνιδι b, ὕδατι O C[m] | καὶ *om* b ‖ 6 ὁ τιμήσας σε C[m], ὃς ἐτίμησεν O, ὅς ἐτίμησα b ‖ 10 καὶ — φαμέν (11) *om* V | ὁ *post* τῷ *add* C[m] ‖ 15 προετίθετο A, ἔμελλεν εἶναι O | Προετ. — οὗτος (20) *om* A ‖ 20 *Apollonii videtur definitio; cfr Prisc. XIV 1 (24, 7. 13 H)* ‖ 22 Ὑγιῶς — οὕτως (24) *om* V ‖ 23 δὲ] γὰρ O A | ἔπταισται A, ἐπταισμένος ἐστὶν O ‖ 24 *in marg. add* Ἡλιοδώρου N ‖ 25 καὶ οἷον — προς. (28) *om* A ‖ 26 ὅπερ — προς. (28) *om* V ‖ 28 προτιθεμ. V A, τιθεμένη O ‖ 29 ἔν — συντάξει *add* V, *qui praeterea add:* τουτέστιν ἐν συνθέσει καὶ παραθέσει· καὶ κατὰ σύνθεσιν μέν, ὡς τὸ περιφέρω ἀναγινώσκω, κατὰ παράθεσιν δέ, «κατὰ φιλοσόφους» καὶ τὰ τοιαῦτα. κατὰ πάντα τὰ μέρη τοῦ λόγου συντίθεται. ἔν τε συνθέσει καὶ συντάξει, ἐν

«ὅτε μὴ κατὰ ἀναστροφὴν ἐκφέρεται»· τοῦτο γὰρ παρεφυλάξατο ὁ προλεχθεὶς ὅρος· ἵν' ᾖ «προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ἔν τε συνθέσει καὶ συντάξει, ὅτε μὴ κατὰ ἀναστροφὴν ἐκφέρεται». Καὶ εἴρηται «ὅτε μὴ ἐκφέρεται», ἐπειδὴ τὰ μὲν ἄλλα μοναδικὴν ἔχει σύνταξιν, οἷον τὰ ἄρθρα μόνοις ὀνόμασι συντάσσονται, καὶ τὰ ἐπιρρήματα μόνοις ῥήμασιν, ἡ δὲ πρόθεσις διαφόρως ὀνόματι συντασσομένη καὶ ῥήματι διὰ τοῦτο ἴδιον ἔσχε πρὸς διαφόρους συντάξεις τὸ διτονεῖν· ἡνίκα γὰρ μεσολαβηθῇ ὑπ' αὐτῶν, ἐπὶ ῥῆμα μὲν φερομένη ὀρθοτονηθήσεται, ἐπ' ὄνομα δὲ ἀναστραφήσεται, ⟨Τ 4⟩ εὗρε δὲ Πατρόκλῳ περὶ κείμενον, ⟨ex. gr. α 247⟩ Ἰθάκην κάτα κοιρανέουσιν, ἐπειδὴ πρὸς τὴν σύνταξιν ὁ τόνος τῶν προθέσεων.

Ὅτι δὲ προτίθεται πάντων τῶν τοῦ λόγου μερῶν ποτὲ μὲν ἐν συνθέσει ποτὲ δὲ ἐν παραθέσει, δῆλον ἐκ τῶν λεχθησομένων γενήσεται· 925b
ταῖς μὲν γὰρ εὐθείαις τῶν ὀνομάτων κατὰ σύνθεσιν ⟨σύν⟩εστι, ⟨ταῖς δὲ πλαγίοις καὶ κατὰ σύνθεσιν καὶ κατὰ παράθεσιν·⟩ καὶ ὅταν συντεθῇ ἡ εὐθεῖα, καὶ αἱ ἐξ αὐτῆς πλάγιοι σύνθετοί εἰσιν· ἐὰν δὲ ἐν πλαγίῳ εὑρεθῇ καὶ μὴ δυνηθῇ τὴν αὐτὴν σύνταξιν καὶ σημασίαν φυλάξαι ἐν τῇ εὐθείᾳ, τότε κατὰ παράθεσιν σύνεστι τῇ πλαγίῳ. Οἷον τί ἐστιν ὃ λέγω; τὸ περιφέρων ἐπειδὴ ἐν τῇ εὐθείᾳ συνετέθη, συντίθεται καὶ ἐν ὅλῃ τῇ κλίσει· τὸ δὲ παρὰ Τρύφωνος καὶ κατὰ Κτησιφῶντος καὶ περὶ Διονυσίῳ, ἐπειδὴ οὐ δυνάμεθα λέγειν παρατρύφων καὶ κατακτησιφῶν καὶ περιδιονύσιος, οὐκ ἔχει κατὰ σύνθεσιν τὴν πρόθεσιν, ἀλλὰ κατὰ παράθεσιν. Καὶ ⟨ἐν⟩ ῥήματι πάντοτε κατὰ σύνθεσίν ἐστιν, οἷον περιπατῶ περιφέρω· καὶ ἐν ἐπιρρήματι πάλιν κατὰ σύνθεσίν ἐστιν, οἷον ὑπέρευγε ὑπέρφευ. Καὶ ἐν μετοχαῖς κατὰ σύνθεσίν εἰσιν, ἐὰν καὶ ἐν τοῖς ῥήμασιν αὐτῶν κατὰ σύνθεσιν ὦσιν, οἷον ἡ περιπατῶν μετοχὴ κατὰ σύνθεσιν, ἐπειδὴ καὶ τὸ περιπατῶ, ὁμοίως καὶ τὸ περιφέρων, ἐπειδὴ καὶ τὸ περιφέρω· χωρὶς εἰ μὴ ἐν πλαγίοις πάλιν τῆς μετοχῆς παράθεσις γένηται, ὡς ἔχει τὸ «κατὰ ἀναγινώσκοντος, κατὰ φιλοσοφοῦντος, παρὰ [τῶν] ὑποκρινομένων»· ἐν ταύταις γὰρ ταῖς πλαγίοις παράθεσίς ἐστι καὶ οὐ σύνθεσις. Τοῖς δὲ ἄρθροις παρατίθενται, οἷον καθ' ὅ, δι' ὅ, ἐν ᾧ· καὶ ταῖς ἀντωνυμίαις ἀεὶ κατὰ παράθεσίν εἰσι κατὰ τὰς πλαγίους, κατὰ

31—93, 6 (τοῦ ῑ) hab. et. Σ^m

μὲν τῇ συνθέσει, οἷον ἀναφορά εἰσφορά, ἐν δὲ τῇ συντάξει, οἷον «ἐπὶ τῆς χώρας, κατὰ τῆς χώρας»

1 τοῦτο — ἐκφέρ. (3) *om* A | προλεχθεὶς V, προαχθεὶς O ‖ **2** ἔν — ἐκφέρ. (3) *add* V ‖ **5** *ante* ὀνόμ. *et ante* ῥήμασιν *add* γὰρ O | καὶ V, *om* OA ‖ **6** διαφόρως b, διαφόρῳ OVA | συντασσομ. VA, συντιθεμένη O | καὶ διὰ O ‖ **7** διατονεῖν O ‖ **9** περϊκείμενον V ‖ **10** κοιρανέοντες O, κοιρωνεόντες A, κοιρανέοντα V ‖ **13** παραθέσει A, *vocabulum evanuit in* O, συντάξει hb ‖ **14** σύνεστι] ἐστὶ OA ‖ **16** ἐξ b, ἐξῆς OA | δὲ] γὰρ OA | ἐν πλαγίῳ OA, ἐκ πλαγίων b ‖ **18** σύνεστι O, συνέστη Ab | Οἷον — παράθεσιν (23) *om* A ‖ **19** περιφέρω O | συντίθ. b, συντέθειται O ‖ **20** παρὰ b, περὶ O ‖ **21** περὶ b, παρὰ O ‖ **23** ἐν *om* OA | πάντοτε OA, πάντοθεν b ‖ **25** ὑπέρφευ O, *om* A, ὑπέρευ b | ἐὰν καὶ OA, ἐάν γε b ‖ **26** κατὰ σύνθ. ὦσιν — σύνθεσις (31) *om* A

γὰρ τὰς εὐθείας οὐδὲ ἐν συνθέσει, οἷον περὶ ἐμοῦ, περὶ σοῦ, παρ᾽ ἐμοί,
παρὰ σοί, δι᾽ ἐμέ, διὰ σέ. Καὶ ἑαυτῶν ἔσθ᾽ ὅτε προτίθενται κατὰ σύν-
θεσιν ἐμφάσεως ἕνεκεν πλείονος, οἷον παρακαταθήκη, ⟨Β 267⟩ ἐξυπα-
30 νέστη, ⟨Ν 50. 87⟩ ὑπερκατέβησαν. Ἐν συνδέσμῳ κατὰ σύνθεσίν ἐστιν
ἅπαξ, ὡς ἐν τῷ ἐπεί· ἡ γὰρ ἐπί πρόθεσις καὶ ὁ εἴ σύνδεσμος συντε-
θέντα ἐποίησαν τὸν ἐπεί σύνδεσμον κατὰ ἔκθλιψιν τοῦ ῑ· προηγεῖται καὶ
ἐν παραθέσει, ὡς ἐν τῷ καθ᾽ ὅτι. Ἔστι δὲ ὅτε καὶ ἀντὶ συνδέσμων παρα-
926b λαμβάνονται, ὥς φαμεν «ἐκ ῥαθυμίας πέπονθας» ἀντὶ τοῦ «ἕνεκεν ῥα-
θυμίας πέπονθας».

927,33b Εἰσὶ δὲ αἱ προθέσεις ἅπασαι ὀκτὼ καὶ δέκα.] Προστιθέναι
928b δεῖ καὶ ἐνταῦθα «κατὰ τὸ κοινὸν ἔθος», ἵν᾽ ᾖ οὕτως, ⟨«εἰσὶ δὲ αἱ προ-
θέσεις ἅπασαι κατὰ τὸ κοινὸν ἔθος ὀκτὼ καὶ δέκα»⟩· τοῦτο δὲ εἶπον,
ἐπεὶ παρὰ τῷ ποιητῇ εὑρίσκομεν τὴν παραί καταί ὑπείρ ἐνί· δεῖ οὖν
ἀναγκαίως προστιθέναι «κατὰ τὸ κοινὸν ἔθος». Χρὴ δὲ εἰδέναι, ὅτι τῇ
μὲν φωνῇ δεκαοκτώ εἰσι, τῇ δὲ δυνάμει δεκαεπτά· μία γάρ ἐστιν ἐν
αὐταῖς διφορουμένη κατὰ τὸ αὐτὸ σημαινόμενον· ἡ γὰρ περί τὴν αὐτὴν
ἔχει σημασίαν τῇ ἀμφί, καὶ ἀποτελεῖται ἐν δύο φωναῖς σημαινόμενον ἕν.

Ὧν μονοσύλλαβοι μὲν ἕξ, ἔν εἰς ἐξ σύν πρός πρό·] καὶ
τὰς μονοσυλλάβους φησὶ προτέρας ἀεὶ τίθεσθαι παντὸς μέρους λόγου,
28 ὑστέρας δὲ οὐδέποτε. Τοῦτο παρεπόμενόν ἐστι ταῖς προθέσεσι, τὸ ἀπὸ
μονοσυλλάβου σχήματος ἄχρι δισυλλάβου παραύξεσθαι καὶ τὴν δισυλλα-
30 βίαν μὴ ὑπερβαίνειν· καὶ δι᾽ αὐτὸ τοῦτο ὅτε πλεονάζει ἡ ὑπὲρ τὸ ῑ,
οὐκ ἔξωθεν πλεονάζει, ἵνα μὴ ἐμπέσῃ τῇ τρισυλλαβίᾳ, ἀλλ᾽ ἔσωθεν, ὡς
929b ἐν τῷ ⟨Ω 13⟩ ὑπεὶρ ἅλα τ᾽ ἠϊόνας τε. Καὶ τοῦτο πάλιν αὐταῖς πα-
ρέπεται, τὸ βραχυκαταληκτεῖν· ὅθεν φανερὸς ὁ πλεονασμὸς τῆς εἴς καὶ
τῆς παραί καὶ καταί καὶ ὑπείρ· ἡ γὰρ ἔξ ἀπὸ τῆς ἔκ γέγονεν, ὡς ἀπὸ
τοῦ φρίκη φρίξ καὶ ἀπὸ τοῦ ἀλκή ἄλξ, διὰ τὸ ἄφωνον εἶναι τὸ κ̄.
Ὁμοίως καὶ τὸ ψιλῷ πνεύματι κεχρῆσθαι, ὑποστελλομένης τῆς ὑπό ⟨καὶ
τῆς ὑπέρ⟩, διότι τὸ ῡ στοιχεῖον ἀρκτικὸν ὂν δασεῖ τῷ πνεύματι κέχρη-
ται. Καὶ τὸ ὀξυτονεῖσθαι αὐταῖς παρέπεται, εἰ μὴ ἀναστρέφοιντο· ἔνθεν
10 ἡ ὑπέρ, ὀφείλουσα βαρύνεσθαι διὰ τὸν χαρακτῆρα, ἀλόγως ὠξύνθη· τὰ
γὰρ εἰς ρ̄ βραχυκατάληκτα βαρύνονται, ἄνερ πάτερ· καὶ ἡ ἀπό καὶ ἡ

10—23 (ἔσωθεν) **hab. et.** **Σ**ᵐ (*in marg. add* Ἡλιοδώρου N) ‖ **30—94, 8** (ἀμ-πέχ.) **hab. et.** A ‖ **31** (ἡ ὑπέρ) — **95, 3 hab. et.** **Σ**ᵐ

1 παρ᾽ ἐμοί παρὰ σοί V, παρ᾽ ἐμοῦ OA ‖ **2** Καὶ — σύνθεσιν VA, ἔσθ᾽ ὅτε καὶ κατὰ σύνθεσιν παρατίθενται Ob ‖ **6** προηγ. — καθ᾽ ὅτι (7) *add* A ‖ **7** συνδέσμων Ab, συνδέσμου O ‖ **8** ἀντὶ τοῦ Ab, ἂν O ‖ **10** πᾶσαι V ‖ **11** ἵν᾽ ᾖ — εἶπον (12) *om* V | εἰσὶ — δέκα (12) *add Uhlig; lac. ind.* b ‖ **12** εἰπὼν O ‖ **13** τὴν V, ἐγὼ O, *quod post* εἶπον *ponendum censet Uhlig* | παραί — ὑπείρ *Uhlig*, παρὰ κατὰ ὑπὲρ OV ‖ **17** καὶ — ἕν] καὶ ἐν τῷ ἅμα ὀφείλουσι λέγεσθαι, οἷον ⟨Θ 348⟩ Ἕκτωρ δ᾽ ἀμφιπεριστρώφα καλλίτριχας ἵππους V, *quibus iterum add v. 14—17* | ἀποτελεῖ OV ‖ **18** ἐν — οὐδέποτε (20) *add* V ‖ **20** ἐστι *add* V ‖ **22** τὸ OV, τῷ b ‖ **25** φανερὸν Ob | ὁ O, ὅτι b ‖ **26** κατὰ O

ὑπό πάλιν παραλόγωc ὠξυτονήθηcαν· αἱ γὰρ εἰc ō λήγουcαι λέξειc βαρύνονται, ἐκεῖνο ἄλλο τοῦτο, χωρὶc τῆc αὐτό, ἥτιc οὕτωc ἐτονώθη· καὶ ὀξύνονται διὰ τοῦτο δηλονότι, ἵνα εὔθετοι ὦcι πρὸc τὴν ἀναcτροφήν· εἰ γὰρ ἐβαρύνοντο, πῶc ἔτι τὴν ἀναcτροφὴν ἐποιοῦντο; δι' ἣν καὶ οἱ Αἰολεῖc ὤξυνον αὐτάc, καὶ ταῦτα βαρυντικοὶ ὄντεc. Καὶ τὸ διὰ ψιλῶν cυμφώνων ἐκφέρεcθαι παρέπεται αὐταῖc, cεcημειωμένηc τῆc ἀμφί, ἥτιc καὶ δείκνυcιν ἐν ταῖc cυνθέcεcιν, ὅτι βαρέωc φέρει τὸ δαcὺ cύμφωνον, εἰc ψιλὸν μεταβάλλουcα τοῦτο, ὡc ἐν τῷ ἀμπέχεcθαι καὶ ἀμπεχόνη. Ταῦτα πάντα τὰ ἀcθενῆ παρέπεται ταῖc προθέcεcιν. Καὶ τάχα διὰ τοῦτο προτίθενται πάντων τῶν τοῦ λόγου μερῶν, ἵνα ὥcπερ ⟨οἱ ἄρρωcτοι οἱ μὴ δυνάμενοι περιπατῆcαι ὑπὸ ἄλλων βαcτάζονται, οὕτω καὶ αἱ προθέcειc⟩ ὑπὸ ἄλλων βαcτάζωνται λέξεων διὰ τὴν ἐνοῦcαν αὐταῖc ἀcθένειαν.

Αἵ τινεc οὐκ ἀναcτρέφονται.] Πῶc γὰρ προτιθέμεναι καὶ μο- 930,3b νοcύλλαβοι τυγχάνουcαι τοὺc τόνουc ὄπιcθεν φέρειν δύνανται; ἀναcτροφῆc γὰρ τοῦτο ἴδιον, τὸ τὸν οἰκεῖον ἀναπέμπειν τόνον. Καὶ cημειωτέον, ὅτι μόνη ἡ cύν ἀναcτροφὴν ἐν μονοcυλλάβοιc πέπονθεν, ὡc ἐν τῷ ⟨ο 410⟩ ἐλθὼν ἀργυρότοξοc Ἀπόλλων Ἀρτέμιδι ξύν· εἰδέναι δὲ χρὴ ὁμοίωc, ὅτι οὐ δεῖ τὸ cπανίωc εἰρημένον εἰc κοινότητα παραλαμβάνειν.

Διcύλλαβοι δὲ δύο καὶ δέκα.] Καθολικῶc χρὴ λέγειν, ὅτι αἱ τριχρονοῦcαι τῶν προθέcεων οὐκ ἀναcτρέφονται ἢ κατὰ θέcιν ἰδίαν ἢ κατὰ παρείcοδον πάθουc, κατὰ θέcιν μὲν ἰδίαν, ὡc ἡ ἀντί καὶ ἡ ἀμφί, κατὰ παρείcοδον δὲ πάθουc, ὡc ἡ ὑπείρ καὶ παραί καὶ καταί· αἱ δὲ διχρονοῦcαι ἀναcτροφὴν ὑπομένουcιν, εἰ μή πω cυνέμπτωcιc κωλύcῃ· οὐ γὰρ ἀναcτρέφεται ἡ διά, ἵνα μὴ cυνεμπέcῃ τῇ αἰτιατικῇ τοῦ δαίμονοc, ⟨ὡc ἐν τῷ⟩ ⟨Β 2⟩ Δία δ' οὐκ ἔχε νήδυμοc ὕπνοc, οὐδὲ ἡ ἀνά, 931 b ἵνα μὴ cημαίνῃ τὸν ἄνακτα, ὡc ἐν τῷ ⟨Π 233⟩ Ζεῦ ἄνα, Δωδωναῖε, Πελαcγικέ, ἢ τὸ ἀνάcτηθι ῥῆμα, ⟨ὡc ἐν τῷ⟩ ⟨Ι 247⟩ ἀλλ' ἄνα, εἰ μέμονάc γε.

Χρὴ δὲ εἰδέναι, ὅτι ἀντιπεπόνθαcιν ἀλλήλαιc αἱ μονοcύλλαβοι καὶ αἱ διcύλλαβοι προθέcειc· ἐπειδὴ γὰρ πᾶcαι αἱ μονοcύλλαβοι εἰc cύμφωνον κατέληξαν, μία δὲ αὐτῶν εἰc φωνῆεν, ἡ πρό, διὰ τοῦτο cχεδὸν

16—20 hab. et. A

1 ὠξυτονήθηcαν VA, ὠξυτονήθη O ‖ **3** ὀξύνονται A, ὀξύνεται OV ‖ **4** δι' ἣν — ὄντεc (**5**) *om* A ‖ **5** ὤξυνον V, ὤξυναν O ‖ **8** μεταβάλλουcα V, μεταβαλοῦcα O, τρέπεται A | ἐν τῷ OVA, τὸ b ‖ **9** Ταῦτα πάντα τὰ ἀcθενῆ — τοῦτο (**10**) O, διὰ τοῦτο δὲ V ‖ **10** πάντων — μερῶν *add* V ‖ **11** οἱ ἄρρ. — προθ. (**12**) *om* OV ‖ **12** ἄλλων V, *5 fere litter. lac.* O ‖ **14** *in marg. add* Ἡλιοδώρου N ‖ **18** ἐλθὼν O, ἦλθεν V, ἐλθεῖν A ‖ **21** *in marg. add* Ἡλιοδώρου N ‖ **26** ἡ διὰ — οὐδὲ (**27**) *om* V ‖ **27** ὡc ἐν τῷ] τοῦ Ob ‖ **28** *in marg. add* V²: καὶ ἄνα, Λητοῦc υἱέ ⟨*hymn. in Apoll. 545*⟩ ‖ **29** ἢ — γε (**30**) *om* V | ἀνάcτηθι] ἄνα Ob ‖ **31** ἀλλ. αἱ μον. V, αἱ μον. ἀλλ. O ‖ **32** αἱ *ante* διc. *add* V | εἰc cύμφ. — πᾶcαι (**95, 2**) *om* V

εἶπεν ⟨ἕν εἴς ἕξ σύν πρός πρό, τὴν πρό τελευταίαν τάσσων, ὕστερον δὲ τῇ ἐναντίᾳ τάξει χρῆται, ἐπεὶ⟩ αἱ δισύλλαβοι πᾶσαι εἰς φωνῆεν κατέληξαν, μία δὲ αὐτῶν εἰς σύμφωνον, ἡ ὑπέρ, ἐξ ἧς τὸ ὑπέρτερον παρήχθη.

§ 19 (24b).

931,26b

Περὶ ἐπιρρήματος.

Εἰρήκαμεν ὅτι τὸ ἐπίρρημα πρὸς ῥῆμα φέρεται, διὸ καὶ οὕτως ὠνομάσθη, ἡ δὲ πρόθεσις ὀνόματι συντίθεται καὶ παρατίθεται· δεύτερον δὲ τὸ ῥῆμα τοῦ ὀνόματος· δεύτερον ἄρα καὶ τὸ ἐπίρρημα τῆς προθέσεως τῆς κατὰ σύνθεσιν καὶ παράθεσιν προτιθεμένης τῶν ὀνομάτων.

Ὁριστέον δὲ οὕτως τὸ ἐπίρρημα· «ἐπίρρημά ἐστι λέξις ἄκλιτος 932b κατηγοροῦσα τῶν ἐν τοῖς ῥήμασιν ἐγκλίσεων καθόλου ἢ μερικῶς, ὧν ἄνευ οὐ κατακλείει διάνοιαν». Ἔχει δὲ ἡ ἔννοια τοῦ ὅρου οὕτως· «ἐπίρρημά ἐστι λέξις ἄκλιτος», ὅ ἐστιν ἀκίνητος· οὐδὲ γὰρ κλίσιν ἢ κίνησιν ἔχει τὰ ἐπιρρήματα, διότι ἕκαστον ἐπίρρημα μίαν φωνὴν ἔχει καὶ ἕνα σχηματισμόν. Καὶ τοσοῦτον ἄκλιτά ἐστι τὰ ἐπιρρήματα, ὅτι καὶ τὰ πτωτικὰ ὀνόματα, ἡνίκα σύνταξιν ἐπιρρηματικὴν ἀναδέξηται, ἄπτωτα μένει ὡς ἐπιρρήματα γενόμενα, οἷον ⟨Z 326⟩ οὐ μὲν καλὰ χόλον, ⟨υ 294. φ 312⟩ οὐ μὲν καλὸν ἀτέμβειν οὐδὲ δίκαιον, ⟨E 545⟩ ὅς τ' εὐρὺ ῥέει. «Κατηγοροῦσα τῶν ἐν τοῖς ῥήμασιν ἐγκλίσεων»· κατηγοροῦσα ἀντὶ τοῦ τιθεμένη, ἵν' ᾖ τὸ ἑξῆς οὕτως, «τιθεμένη κατὰ τῶν ἐν τοῖς ῥήμασιν ἐγκλίσεων», ἐπειδὴ καὶ τὸ ἐπίρρημα κατηγόρημά φασιν οἱ φιλόσοφοι. Καὶ ὅπερ ἐστὶ τὸ ἐπίθετον ὄνομα ἐν τοῖς ὀνόμασι — δίχα γὰρ ἄλλου ὀνόματος οὐ λέγεται, οἷον «καλὸς ἄνθρωπος» — τοῦτο καὶ τὸ ἐπίρρημα ἐν τοῖς ῥήμασιν· ἄνευ γὰρ ῥήματος οὐ συγκλείει διάνοιαν, οἷον «καλῶς ποιῶ». Καὶ ὅτι τοῦτο ἀληθές, δῆλον ἐντεῦθεν, ὅτι εἴ που μέν ἐστι 933b ῥῆμα, οὐ πάντως ἐπίρρημα, οἷον «Τρύφων περιπατεῖ», εἴ που δὲ ἐπίρρημα, πάντως ῥῆμα, οἷον «καλῶς Τρύφων γράφει». Διὸ ἐζήτησάν τινες, πῶς τὸ φεῦ καὶ τὸ οἴμοι οὐκ ἔχουσιν ἐπαγόμενον ῥῆμα. Καί φαμεν, ἐπειδὴ δυνάμει καὶ ταῦτα ἀπὸ διαθέσεως ῥηματικῆς ἀνάγονται· οἱ γὰρ θαυμάζοντες ἢ σχετλιάζοντες προπεπόνθασι δηλονότι· καὶ ὅτι εἰ μή τις εἴποι «ἔγραψας»; οὐκ ἂν εἴποιμι ναί ἢ οὔ· καὶ ὅτι τῷ γραμματικῷ ἐξηγησαμένῳ ἐπιφωνοῦμεν τὸ εὖ, ὃ δίχα ῥήματος οὐ λέγεται. Πάλιν δὲ ἐζήτησαν, εἰ πρὸ ῥήματος καὶ μετὰ ῥῆμα τάσσεται, οἷον «καλῶς γράφω, γράφω καλῶς», πῶς ἀπὸ θατέρας τῶν συντάξεων ἐπίρρημα μόνον κα-

9—96, 4 hab. et. A

1 ἕν — ἐπεὶ (**2**) *add Uhlig* ‖ **5** Εἰρήκαμεν] *p. 91, 15* ‖ **8** προτιθεμένης b, προτεθειμένης O ‖ **9** ἄκλιτος O, ἄπτωτος A; *cfr Apoll. de adv. 119, 5 Sch* ‖ **11** Ἔχει — ἐπιρρήματα (**13**) O, ἄκλιτος εἴρηται A ‖ **12** ἢ b, καὶ O ‖ **15** ἀναδέξεται O ‖ **17** καλὸν ἀτέμβειν A, καλῶς O | οὐδὲ — ἐγκλίσεων (**18**) *om* A ‖ **20** ἐπίρρημα O, ἐπίθετον A ‖ **28** ῥηματικῆς OA, ψυχικῆς *Matthias Ann. Phil. Suppl. 15, 621; cfr Apoll. de adv. 121, 25 Sch* ‖ **31** ὃ A, οὔτε O ‖ **32** ῥῆμα *RSchneider*, ῥήματος OA ‖ **33** συντάξεων OA, προτάσεων b

λεῖται, οὐκέτι δὲ καὶ ὑπόρρημα. Καὶ λέγομεν πρῶτον μέν, ὅτι καὶ ἡ
αὐτός ἀντωνυμία ἐπιταγματικὴ καλεῖται, καίτοι πολλάκις ὑποτασσομένη·
ἄλλως τε φύσει προηγεῖcθαι πέφυκε τῶν ῥημάτων τὰ ἐπιρρήματα, ὡς
καὶ τῶν ὀνομάτων τὰ ἐπίθετα. «Καθόλου ἢ μερικῶς»· καθόλου μέν, ὡς 934 b
τὸ καλῶς σοφῶς — πᾶσι γὰρ τοῖς χρόνοις καὶ ⟨πάσαις⟩ ταῖς ἐγκλίσεσι
συντάσσονται — μερικῶς δέ, ὡς τὰ χρονικά· τὸ γὰρ χθές οὔτε τοῖς
ἐνεστῶσιν οὔτε τοῖς μέλλουσι συντάσσεται, ἀλλ᾽ οὐδὲ τὸ μή τῇ ὁριστικῇ
ἐγκλίσει, οὐδὲ ἡ οὔ ἀπόφασις προστακτικοῖς. Ἔστι μὲν οὖν ἡ ἐξήγησις
τοῦ ὅρου αὕτη.

Μάθωμεν δὲ εἰ καὶ ὁ Διονύσιος ὑγιῶς ὡρίσατο. «Ἐπίρρημά ἐστι 935 b
μέρος λόγου ἄκλιτον»· τοῦτο καλῶς εἶπεν ὁ νῦν ἐξηγήσεως τυγχάνων
τεχνογράφος, καὶ οὐκ ἔχομεν εἰς τοῦτο αὐτοῦ λαβέσθαι· ἄκλιτον γὰρ
τὸ ἐπίρρημα, καθὼς ἤδη εἰρήκαμεν. «Κατὰ ῥήματος λεγόμενον ἢ ἐπι-
λεγόμενον ῥήματι»· ἐλλιπῶς ἐνταῦθα ἔχει, καὶ δεῖ προσθεῖναι «καθόλου
ἢ μερικῶς»· πῶς δὲ καθόλου ἢ μερικῶς, ἤδη εἰρήκαμεν.

Τῶν δὲ ἐπιρρημάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ σύνθετα.] 26
Διὰ τούτου αἰνιγματωδῶς δέδωκεν ἡμῖν νοεῖν ὅτι σχήματα παρέπεται
τοῖς ἐπιρρήμασιν· ἔστι γὰρ αὐτῶν τὰ μὲν ἁπλᾶ, τὰ δὲ σύνθετα, τὰ δὲ 936 b
παρασύνθετα· καὶ ἁπλᾶ μέν, ὡς τὸ πάλαι, σύνθετα δέ, ὡς τὸ πρόπαλαι,
παρασύνθετα δέ, ὡς τὸ παγκάλων παγκάλως· ἀπὸ γὰρ συνθέτου ὀνό-
ματος γενόμενον ἐγένετο παρασύνθετον.

Ἰστέον δὲ ὅτι καὶ εἴδη παρέπεται τοῖς ἐπιρρήμασιν· ἔστι γὰρ τὰ 9
μὲν αὐτῶν πρωτότυπα, τὰ δὲ παράγωγα· πρωτότυπα μέν, οἷον ναί οὔ
νή, ἐπεὶ οὐκ ἔχεται ἀφορμῆς ἑτέρας, ἀλλὰ πρωτόθετά ἐστι· παράγωγα
δέ, οἷον ἑλληνιστί δωριστί, ἐπεὶ ἀπὸ τοῦ ἑλληνίζω καὶ δωρίζω παρῆκται.
Ποιοῦνται δὲ παραγωγὴν ἐκ πάντων τῶν μερῶν τοῦ λόγου, ἐξ ὀνομά-
των, βότρυς βοτρυδόν· καὶ ἀπὸ ῥημάτων, κρύβω κρύβδην, κλέπτω κλέβ-
δην, αἰολίζω αἰολιστί, δωρίζω δωριστί, ἑλληνίζω ἑλληνιστί· καὶ ἀπὸ με-
τοχῶν, ἐπισταμένων ἐπισταμένως· καὶ ἀπὸ ἄρθρων, οἷον ὧν ὥς· καὶ ἀπὸ
ἀντωνυμιῶν, οἷον οὗτος οὕτως, ἐκεῖνος ἐκείνως· καὶ ἀπὸ προθέσεων,
πρός πρόσω, ἔς ἔσω, ἔξ ἔξω, ἀνά ἄνω, κατά κάτω· καὶ ἀπ᾽ αὐτῶν τῶν 20
ἐπιρρημάτων, ἐγγύς ἐγγυτέρω· καὶ ἀπὸ συνδέσμων, καθό καθώς.

Τὰ δὲ χρόνου δηλωτικά, οἷον νῦν τότε αὖθις.] Προστιθέναι
δεῖ τὸ «γενικοῦ», ἵν᾽ ᾖ ὁ λόγος οὕτως· «τὰ δὲ γενικοῦ χρόνου σημαν-
τικά, οἷον νῦν τότε αὖθις»· ταῦτα γὰρ γενικὴν παράτασιν χρόνου δη- 937 b

---

17—25 hab. et. A ‖ 22—32 hab. et. Σ^m ‖ 33—97, 17 hab. et. Σ^m ‖ 33—97, 30 hab. et. A

1 ὅτι *et* **2** ἀντωνυμία *add* A ‖ **3** τε A, τῇ O ‖ **17** δέδωκεν A, ἔδωκεν O ‖ **18** ἔστι — καὶ (19) *om* A ‖ **22** *post* ἐπιρρ. *add* τὰ κατὰ φωνὴν V ‖ **24** νή *add* V | ἐπεὶ — ἐστι *om* A ‖ **25** παρῆκται] ἀπὸ ῥήματος δὲ παρῆκται καὶ τὸ κλέβδην. κατὰ σημασίαν δέ, ὡς φαμὲν χρονικὰ ἢ τοπικὰ V ‖ **27** κρύβδω V ‖ **29** ἐπιστάμενος ἐπ., ἐρρωμένος ἐρρωμένως V | ὧν] ὅς V ‖ **30** ἐκ. ἐκ. *add* V ‖ **31** πρός — ἔξω *add* V | ἀπ᾽ αὐτῶν V, ἀπὸ O ‖ **35** *post* αὖθις *add* ἤδη πάλαι V | παράτασιν V, παράστασιν OA; *item p. 97, 2*

λοῦcι τὰ ἐπιρρήματα, οὐκ εἰδικήν τινα καὶ ὡριcμένην. Καὶ χρὴ εἰδέναι, ὅτι τὰ γενικὴν παράταcιν χρόνου δηλοῦντα ἐπιρρήματα cυμπαραλαμβάνεται κατὰ πάντα χρόνον, ὡc τὸ νῦν· λέγομεν γὰρ «νῦν φρονῶ, νῦν ἐφρόνηcα, νῦν φρονήcω»· καὶ μαρτυρεῖ ἡ χρῆcιc, τοῖc τριcὶ χρόνοιc αὐτὸ cυντάξαcα, ἐνεcτῶτι καὶ παρῳχημένῳ καὶ μέλλοντι, οἷον ⟨Hes. Opp. 176⟩ νῦν γὰρ δὴ γένοc ἐcτί, ⟨N 772⟩ νῦν ὤλετο πᾶcα κατ' ἄκρηc, ⟨Υ 307⟩ νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεccιν ἀνάξει. Καὶ τὸ ἤδη ὁμοίωc· φαμὲν γὰρ «ἤδη γράφω, ἤδη ἔγραψα, ἤδη γράψω»· καὶ μαρτυρεῖ ἡ χρῆcιc, τοῖc τριcὶ χρόνοιc αὐτὸ cυντάξαcα, οἷον μάττει γὰρ ἤδη καὶ τὸ πῦρ ἐκκάεται παρ' Εὐπόλιδι ⟨fr. 340 K⟩, ⟨ν 40⟩ ἤδη γὰρ τετέλεcται, ἅ μοι φίλοc ἤθελε θυμόc, ⟨unde?⟩ ἐπίcχεc, ἤδη γὰρ φράcω. Καὶ ἔcτι caφῶc εἰπεῖν, ὅτι τὰ χρονικὰ ἐπιρρήματα ἢ καθολικὸν χρόνον δηλοῖ ἢ μερικόν, καὶ ἢ ὡριcμένα ἐcτίν, ὡc χθέc cήμερον ⟨αὔριον⟩, ἢ ἀόριcτα, ὡc πάλαι ποτέ· καὶ τούτων τὸ μὲν αὔριον καταχρηcτικῶc τῷ ἐνεcτῶτι cυντάccεται, τὸ δὲ νῦν καὶ ἤδη τοῖc τριcὶ χρόνοιc, καθὼc ἤδη εἰρήκαμεν. Καὶ τὸ μὲν ἐχθέc ἀνάλογον, τὸ δὲ χθέc Ἀττικόν.

939,3b Τούτοιc δὲ ὡc εἴδη ὑποτακτέον καὶ τὰ καιροῦ παραcτατικά.] «Ὑποτακτέον» ἀντὶ τοῦ ἐν ὑποτομῇ θετέον· «τὰ καιροῦ παραcτατικά», τουτέcτι τὰ ὑποτομὴν χρόνου δηλοῦντα, ἵνα τὰ μὲν ἄνω ᾖ ⟨γενικῶc⟩ χρονικά, τὸ δὲ cήμερον καὶ χθέc καὶ αὔριον εἶδοc καὶ μέροc ἐκείνων, ἐπεὶ καὶ μερικῶc χρονικά ἐcτιν ἐπιρρήματα. Καὶ χρὴ αὐτὰ cυμφωνοῦcαν τοῖc τοῦ ῥήματοc χρόνοιc ποιεῖcθαι τὴν cύνταξιν, οἷον τὸ χθέc παρῳχημένῳ cυντάccειν, οἷον «⟨ἐ⟩χθὲc ἔγραφον, ἐχθὲc γέγραφα, ἐχθὲc ἐγεγράφειν, ἐχθὲc ἔγραψα»· τὸ αὔριον ἐπεὶ ἀντίκειται τῷ παρῳχημένῳ, τοῖc δὲ μέλλουcιν ᾠκείωται, μέλλοντι χρὴ αὐτὸ cυντάττειν, οἷον «αὔριον γράψω», καταχρηcτικῶc δὲ καὶ τοῖc ὁμολογοῦcι ⟨μὴ⟩ παρῳχῆcθαι, ὅ ἐcτι τοῖc ἐνεcτῶcιν, οἷον «αὔριον γράφω, αὔριον ἀναγινώcκω», ἐπεὶ ὁ ἐνεcτὼc ἔχει τὸν μέλλοντα ἐν ἑαυτῷ, καθὸ οὔπω πεπλήρωται ἀλλὰ μέλλει καὶ ἔτι δρᾶν.

Τὰ δὲ μεcότητοc, οἷον καλῶc cοφῶc.] Μεcότητοc ἐπιρρήματά ἐcτιν ὅcα ἀπὸ γενικῶν ὀνομάτων εἰc $\overline{\omega c}$ γεγόναcι· καὶ εἴρηνται μεcότητοc, παρόcον εἰcὶ μέcα ἀρcενικῶν καὶ θηλυκῶν ὀνομάτων, ὡc τὸ καλοί καλαί καλῶν καλῶc, ⟨φίλοι⟩ φίλαι φίλων φίλωc, cοφοί cοφαί cοφῶν

19—22 hab. et. Σ^m ‖ 33—98, 2 cfr Σ^m

1 τὰ — cυμπαρ. (**2**)] καὶ παραλαμβάνονται A | εἰδικήν V, ἰδικὴν O | ὡριcμ. OV, διωριcμ. b ‖ **2** cυμπαραλ. V, cυμπεριλ. O ‖ **5** οἷον — ἀνάξει (**7**) *om* A ‖ **6** ὤλετο O, ᾤχετο b ‖ **8** καὶ — φράcω (**12**) *om* A ‖ **11** ἐπίcχεc V, ἐπίcχ' O ‖ **15** τῷ *add* V | καὶ *add* VA ‖ **18** Τούτοιc — θετέον (**19**)] ὑποτακτέον δὲ τουτέcτιν ἐν ἐπιτομῇ θετέον A ‖ **19** ἐπιτομῇ V ‖ **20** ἐπιτομὴν V ‖ **23** οἷον — δρᾶν (**30**)] τὸ δὲ αὔριον μέλλοντι, τῷ (*leg.* τὸ) δὲ νῦν τῷ ἐνεcτῶτι A ‖ **26** μέλλοντι b, μέλλοντα O | αὐτὸ b, αὐτὸν O ‖ **27** μὴ *add* b ‖ **34** φίλοι *add* *Schoemann, Opp. acc. 4, 231 adn. 24*

σοφῶς. Καὶ ἀπὸ μὲν τῆς γενέσεως μεσότητος, ἀπὸ δὲ τῆς σημασίας ποιότητος ἐπιρρήματα καλοῦνται, οἷον ἐὰν εἴπω «καλῶς γράφω», τὴν ποιότητα τῆς καλῆς γραφῆς ἐδήλωσα, ἢ ⟨ἐὰν εἴπω⟩ «σοφῶς λέγω», τὴν ποιότητα τῆς σοφωτάτης λέξεως ἐδήλωσα· ὥστε τοίνυν εἴ τι μεσότητος, τοῦτο καὶ ποιότητος· οὐ τὸ ἀνάπαλιν.

Τὰ δὲ ποιότητος, οἷον πύξ λάξ βοτρυδόν ἀγεληδόν.] Ποιό- 941,4b
τητος ταῦτα λέγεται καὶ ἀπὸ τῆς σημασίας· ποιότης γάρ ἐστι φωνὴ δηλοῦσα τὴν ποιότητα ἢ τῆς φωνῆς ἢ τοῦ πράγματος· ἐὰν μὲν γὰρ εἴπω πύξ λάξ, τὴν ποιότητα τῆς φωνῆς ἐδήλωσα, ἐὰν δὲ βοτρυδόν ἀγεληδόν, τὴν ποιότητα τοῦ πράγματος. Καὶ σκοπεῖν χρή, ὅτι ταῦτα, ποιότητος ὄντα δηλωτικά, οὐκ ἂν λεχθείη καὶ μεσότητος· οὐ γὰρ ἀπὸ γενικῶν εἰσιν ὀνομάτων μεταξὺ κειμένων ἀρσενικῶν καὶ θηλυκῶν.

Τὰ δὲ ἀριθμοῦ δηλωτικά, οἷον δίς τρίς τετράκις.] Ψεύδε- 942,24b
ται ὁ τεχνικὸς λέγων ταῦτα εἶναι ἀριθμοῦ δηλωτικά, ἐπειδὴ οὐκ εἰσὶν ἀριθμοῦ δηλωτικά, ἀλλὰ ποσότητος ὡρισμένα· ἀγνοεῖ γάρ, ὡς ἔοικεν, ὅτι τὰ ἐπιρρήματα τῆς ποσότητος ἢ ὡρισμένα ἐστὶν ἢ ἀόριστα, ὡρισμένα μέν, ὡς δίς τρίς, ἀόριστα δέ, ὡς πολλάκις ὀλιγάκις.

Τὰ δὲ τοπικά, οἷον ἄνω κάτω· ὧν σχέσεις εἰσὶ τρεῖς, ἡ ἐν 944,5b
τόπῳ, ἡ εἰς τόπον, ἡ ἐκ τόπου.] Τὰ τοπικὰ κοινῶς τόπον σημαίνει· εἰσὶ δὲ αὐτῶν συντάξεις καὶ σημασίαι τρεῖς, ἢ γὰρ τὴν ἐν τόπῳ σύνταξιν καὶ σημασίαν ποιοῦνται, ἢ τὴν εἰς τόπον, ἢ τὴν ἐκ τόπου. Καὶ ᾠκείωται τῇ μὲν ἐν τόπῳ σημασίᾳ ἡ ἔν πρόθεσις, οἷον «ἐν ἀγρῷ ἐστιν» ἢ «ἐν οἴκῳ ὑπάρχει», οἷον οἴκοι, τῇ δὲ εἰς τόπον ἡ εἴς, οἷον «εἰς Ἀθήνας, εἰς Πελοπόννησον ἀπῆλθεν», ὡς Ἀθήναζε Θήβαζε οἴκαδε, τῇ δὲ ἐκ τόπου ἡ ἀπό, οἷον «ἀπ' οὐρανοῦ, ἀπὸ Λέσβου», οἷον Θήβηθεν ἀγρόθεν οἴκοθεν Ἀθήνηθεν· Ἀττικοὶ δὲ καταχρῶνται τῇ ἔν ἀντὶ τῆς εἴς, ὡς ὅταν λέγωσιν «ἐν διδασκάλου» καὶ «ἐν κιθαριστοῦ».

Ἤθελον δέ τινες πρώτην τάττειν τὴν εἰς τόπον σχέσιν, λέγοντες 943,30b
ὡς οὐκ ἄν τις εἴη ἐν τόπῳ μὴ πρῶτον εἰς αὐτὸν ἐλθών. Ἀλλά φαμεν, ὡς εἰ μή τις εἴη πρότερον ἐν τόπῳ, οὐκ ἂν τὴν εἰς τόπον ὁρμὴν ποιήσαιτο.

Τούτων τινὰ μέν ἐστιν, ὡς τὰ τριγενῆ τῶν ὀνομάτων, ἐν ἀκολουθίᾳ φωνῆς τὰς τρεῖς δηλοῦντα σχέσεις, ὡς τὸ οἴκοι οἴκαδε οἴκοθεν· ἃ

6—10 hab. et. Σ^m A ‖ **13—17 hab. et.** Σ^m A ‖ **18—100, 10 hab. et.** Σ^m A

1 μὲν *add* V | ἀπὸ δὲ — καλοῦνται (**2**) *add* V ‖ **8** *prius* ἢ *add* A | τοῦ πράγματος *Uhlig,* τῆς σημασίας OVA ‖ **14** ἐπεὶ O ‖ **15** ὡρισμένα O, ὡρισμένης VA ‖ **16** ἢ ὡρ.] καὶ ὡρ. A, ὡρ. (*om* καὶ) O, *om* V | ἢ ἀόρ. ὡρ. μέν *om* A | ἢ ἀόρ.] καὶ ἀόρ. OV ‖ **17** V *add*: ὅτι δὲ καὶ τὸ δίς καὶ τὸ τρίς συγκοπὴν πεπόνθασιν ἀπὸ τοῦ δυάκις καὶ τριάκις ‖ **19 seq** *cfr Matthias, Stud. Lips. VI 9 adn. 1* ‖ **20** τρεῖς *add* VA | γὰρ *add* V ‖ **21** σύντ. — ποι. *om* A ‖ **23** οἷον οἴκοι *add* V ‖ **24** ὡς — οἴκαδε *add* V ‖ **25** οἷον Θήβ. — Ἀθήνηθεν (**26**) *add* V ‖ **27** λέγωσιν VA, λέγουσιν O ‖ **28—31** *om* V ‖ **30** ποιήσαιτο A, ποιήσῃ O

δὲ ὥcπερ τὰ κοινά, ὡc τὸ ἔνθα· καὶ τὴν ἐν τόπῳ γὰρ cχέcιν δηλοῖ, ὡc τὸ ⟨*cfr* C 47⟩ ἔνθα μὲν ἦν, καὶ τὴν εἰc τόπον, ὡc τὸ ⟨ι 142⟩ ἔνθα κατεπλέομεν· ἃ δὲ ὡc τὰ μονογενῆ, καθὼc ἔχει τὸ ἵνα· τινὰ δὲ καὶ ἐν μιᾷ φωνῇ τὰc τρεῖc ἐδήλου cχέcειc, ὡc τὸ ἔμπροcθεν. Καὶ ὅcα μὲν παρὰ πρόθεcιν εἰc ω̅ λήγει, ταῦτα δύο cχέcειc δηλοῖ, τὴν ἐν τόπῳ καὶ τὴν εἰc τόπον, ἄνω κάτω πρόcω ἔξω· ὅθεν οὐκ ἀλόγωc τινὲc τὸ παρὰ τῷ ποιητῇ ⟨η 13⟩ καὶ εἴcω δόρπον ἐκόcμει τὴν ἐν τόπῳ δηλοῦν ⟨φαcι⟩ cχέcιν, εἰ μή τινεc ἀντιλέξωcι λέγοντεc, ὅτι ἔδει αὐτὸ τὴν εἰc τόπον μόνον δηλοῦν, ἐπεὶ τὸ ἔνδον τὴν ἐν τόπῳ δηλοῖ cχέcιν. Καὶ ὅcα εἰc ῃ̅, πάλιν τὰc δύο cχέcειc δηλοῖ, ἐν τόπῳ μὲν ⟨N 49⟩ ἄλλῃ μὲν γὰρ ἔγωγ' οὐ δείδια χεῖραc ἀάπτουc, εἰc τόπον δὲ ⟨A 120⟩ ὅ μοι γέραc ἔρχεται ἄλλῃ, ⟨γ 251 seq⟩ ἀλλά πῃ ἄλλῃ Πλάζετ' ἐπ' ἀνθρώπουc, ἐν τόπῳ, ⟨Z 377⟩ ⟨πῇ ἔβη⟩ Ἀνδρομάχη; εἰc τόπον· ὅcα δὲ εἰc ου̅, τὴν ἐν τόπῳ cχέcιν δηλοῖ, ⟨Eur. Bacch. 1111⟩ ὑψοῦ δὲ θάccων, ⟨Arat. 225⟩ αὐτοῦ καὶ κριοῖο θοώτεραί εἰcι κέλευθοι· μόνον τὸ ποῦ καὶ τὴν εἰc τόπον εὑρέθη δηλοῦν, ⟨N 219 seq⟩ ποῦ τοι ἀπειλαὶ Οἴχονται; Καὶ ὅcα δὲ εἰc δε̅, τὴν εἰc τόπον, οἴκαδε ἅλαδε οἰκόνδε· τὸ γὰρ ἐνθάδε οὐδὲν πλέον δηλοῖ τοῦ ἔνθα, ἐκ παρολκῆc ἔχον τὸ δε̅· ὁμοίωc καὶ τὰ εἰc ζε̅ τὴν εἰc τόπον δηλοῖ, Ἀθήναζε Θήβαζε· ὁμοίωc καὶ τὰ εἰc cε̅, πάντοcε ἄλλοcε πόcε· ὅcα δέ ἐcτιν εἰc θε̅, ⟨τὴν⟩ ἐκ τόπου· ⟨καὶ⟩ εἰ μὲν παραλήγοιτο τῷ ο̅, ποιεῖ εἰc θι̅ τὴν ἐν τόπῳ cχέcιν δηλοῦντα, οἷον οἴκοθεν οἴκοθι, πάντοθεν πάντοθι, οὐρανόθεν οὐρανόθι, Ἀβυδόθεν Ἀβυδόθι, ἐκείνοθεν ἐκείνοθι καὶ ἐν cυγκοπῇ ἐκεῖθεν ἐκεῖθι καὶ ⟨κεῖθεν⟩ κεῖθι, ⟨Apoll. Rh. 1, 955⟩ ⟨κεῖθι⟩ καὶ εὐναίηc ὀλίγον λίθον εἰρύcαντεc, πόθεν πόθι, ὅθεν ὅθι, ἀγχόθεν ἀγχόθι, αὐτόθεν αὐτόθι, καὶ ἐν cυγκοπῇ ἄγχι καὶ αὖθι· εἰ δὲ μὴ ἔχοι τὸ ο̅, διὰ τοῦ cι̅ ποιεῖ τὴν ἐν τόπῳ cχέcιν, Θήβηθεν Θήβηcιν, Ἀθήνηθεν Ἀθήνηcι, cεcημειωμένου τοῦ ἐγγύθεν· αὐτοῦ γὰρ μὴ ἔχοντοc τὸ ο̅ ἐγένετο ἐγγύθι· καὶ πάλιν ὅcα μὲν ἔχει τὸ ο̅, εἰc cε̅ ποιεῖ τὴν εἰc τόπον cχέcιν, πάντοcε ἄλλοcε, τὰ δὲ μὴ ἔχοντα τὸ ο̅ εἰc ζε̅ ποιεῖ τὴν εἰc τόπον cχέcιν, Ἀθήναζε Θήβαζε. Ἰcτέον δὲ ὅτι καὶ τὰ εἰc θεν̅ παρὰ πρόθεcιν τὰc τρεῖc cχέcειc δηλοῖ, οἷον πρόcθεν ὕπερθεν· φαμὲν γὰρ ἐκ τοῦ πρό-

---

2 ἔνθα μὲν ἦν A, ἔνθα μένειν O, ἔνθ' ἔβημεν V ‖ **3** κατεπλ. VA, καταπλ. O ‖ **4** ἐδήλου OVA ‖ **5** πρόθεcιν VA, προθέcεωc O | τὴν — δηλοῖ (19) *om* V ‖ **6** ἀλόγωc τινὲc A, ἄλογον ὡc τινὲc O ‖ **8** δηλοῦcι cχ. O, δηλοῦν cχ. A ‖ **9** ἐπεὶ — cχέcιν *post* cχέcιν (*v. 8*) *transp.* OA | cχέcιν *add* A ‖ **12** ἀλλήπη ἄλλη πλαζέτω ἐπ' ἀ. O ‖ **13** ἐν — τόπον *om* A ‖ **15** θᾶccον A | θοώτεραί OA, θοώταταί *edd. Arat.* ‖ **17** ἀπειλαὶ A, εὐχωλαὶ O | δὲ *om* A ‖ **18** ἅλ. οἴκ. *om* A | οἴκοι δὲ O ‖ **19** παρολκῆc *RSchneider,* παραγωγῆc OA ‖ **22** δηλοῦντα V, δηλοῦcα O, *om* A | π. π. *et* (23) Ἀβ. Ἀβ. *add* V ‖ **24** ἐκ. ἐκ. καὶ κ. κ.] ἐκεῖθεν καὶ ἐκεῖθι O, ἐκεῖθεν καὶ κεῖθι V, ἐκεῖθι καὶ κεῖθι A | κεῖθι καὶ — εἰρύc. (25) *om* V | κεῖθι καὶ — ὅθι (25) *om* A | κεῖcε καὶ εὐναίηc *edd. Apoll.,* καὶ εὐνομίηc O ‖ **25** εἰρύcαντεc O, ἐκλύcαντεc *edd. Apoll.* ‖ **27** τὴν — cχέcιν] τὸ τοπικὸν OVA ‖ **28** ἐγγύθεν — ἐγένετο *add* VA ‖ **29** καὶ — Θήβαζε (31) *om* V

cθεν, εἰc τὸ πρόcθεν, ἐν τῷ πρόcθεν, ἐκ τοῦ ὕπερθεν, εἰc τὸ ὕπερθεν, ἐν τῷ ὕπερθεν· ἐν οἷc τὸ ἔνθεν μόνην τὴν ἐκ τόπου δηλοῖ, ἐπειδὴ ἐποίει τὸ ἔνθα, ὅπερ τὰc δύο cχέcειc δηλοῖ, καθὼc ἤδη εἰρήκαμεν· καὶ ὅτι τὰ ἄλλα τὰ εἰc θεν τὴν ἐκ τόπου cχέcιν δηλοῖ, ὅθεν τὸ ⟨Γ 276⟩ Ἴδηθεν μεδέων καὶ τὰ ὅμοια ὀνόματά εἰcιν ἐν περιccῷ ἔχοντα τὴν θεν· καὶ ὅτι τὸ ἐγγύc τὴν ἐν τόπῳ cχέcιν δηλοῖ, ⟨Ξ 110⟩ ἐγγὺc ἀνήρ· καὶ ὅτι τὸ δεῦρο καὶ τὴν ἐν τόπῳ, ⟨δ 384⟩ πωλεῖταί τιc δεῦρο, καὶ τὴν εἰc τόπον, ⟨Eur. Alc. 779⟩ δεῦρ' ἔλθ' ὅπωc ἂν καὶ cοφώτεροc γένῃ. Τὸ δὲ ἄνευ ἄνευθεν καὶ ἄτερ ἄτερθεν νόcφι χωρίc χωριcμοῦ εἰcι, καὶ οὐ τοπικὰ ἐπιρρήματα.

Τὰ δὲ cχετλιαcτικά, οἷον παπαί φεῦ.] Cχετλιαcτικὰ λέγεται 946,26b
τὰ ἐξ αὐτοπαθείαc λεγόμενά τε καὶ ἀναπεμπόμενα ἐπιφθέγματα· ὅθεν καὶ πρώτου προcώπου εἰcίν, ἐπειδή, καθὼc ἔφην, ἐξ αὐτοπαθείαc ἀνάγονται· ὁ γὰρ λυπούμενοc ἢ δυcφορῶν λέγων ταῦτα τὴν περὶ αὐτὸν μόνον πεῖcιν ἀφηγεῖται.

Τὰ δὲ εὐχῆc cημαντικά·] δι' αὐτῶν γὰρ εὐκτικὰc cυντάξειc cημαίνομεν, ⟨ex. gr. Η 157⟩ εἴθ' ὣc ἡβώοιμι· τὸ γὰρ αἴθε εἴθε φηcὶν ὁ ποιητήc· καὶ Καλλίμαχοc ⟨fr. 455 Sch⟩ ἀβάλλε μηδ' ἀβόληcα.

Τὰ δὲ θαυμαcτικά·] ἡνίκα γὰρ θαυμάζομεν, τούτῳ κεχρήμεθα τῷ φθέγματι.

Τὰ δὲ ἀρνήcεωc ἢ ἀποφάcεωc, οἷον ⟨οὔ⟩ οὐχί οὐδῆτα οὐδαμῶc.] Ἀρνήcεωc ταῦτα λέγονται, οἷον ἐγκλήματοc ἐπιφερομένου δι' αὐτῶν τιc ἀρνεῖται, [οἷον οὐχί οὐδῆτα οὐδαμῶc,] οἷον «cὺ ἔτυψαc Ἀρίcταρχον, cὺ Δίωνα ὕβριcαc», «οὐδῆτα, οὐδαμῶc, οὐχί·» τὰ δὲ αὐτὰ καὶ ἀποφάcεωc, ὅτι δι' αὐτῶν τιc ἀποφαίνεται μὴ ποιεῖν, οἷον «οὐ γράφω, οὐχὶ γράψω, οὐδῆτα ποιήcω, οὐδαμῶc ἀρνήcομαι». Καὶ χρὴ εἰδέναι, ὅτι ταῦτα τὰ ἀρνήcεωc ἢ ἀποφάcεωc ἐπιρρήματα ὁριcτικοῖc cυντάccεται.

Τὰ δὲ cυγκαταθέcεωc, οἷον ναί ναίχι·] δι' αὐτῶν γὰρ cυγκατατιθέμεθα καὶ ἐπινεύομεν.

Τὰ δὲ ἀπαγορεύcεωc, οἷον μή μηδῆτα·] δι' αὐτῶν γὰρ ἀπαγορεύομεν τὸ μὴ τόδε ἢ τόδε ποιεῖν. Καὶ χρὴ εἰδέναι, ὅτι ταῦτα τὰ τῆc ἀπαγορεύcεωc ἐπιρρήματα προcτακτικοῖc cυντάccεται, καὶ ὅτι διαφέρει ἄρνηcιc ἀπαγορεύcεωc τῇδε, ὅτι ἡ μὲν ἄρνηcιc ἐγκλήματοc ἐπιφερομένου γίνεται, ἡ δὲ ἀπαγόρευcιc ἀποτροπή ἐcτι πράγματόc τινοc.

Τὰ δὲ παραβολῆc ἢ ὁμοιώcεωc·] δι' αὐτῶν γὰρ παραβάλλομεν τῷ ὁμοίῳ τὸ ὅμοιον, ⟨Β 455⟩ ἠΰτε πῦρ ἀΐδηλον, ⟨Β 87⟩ ἠΰτε ἔθνεα εἶcι. Χρὴ δὲ εἰδέναι, ὅτι ⟨τούτων⟩ τὰ μέν ἐcτι ποιητικά, τὰ δὲ τῆc κοινῆc διαλέκτου.

11—15 hab. et. A ‖ **31—38 hab. et.** Σ^m

2 ἐπειδὴ — εἰρήκ. (**3**) *om* V ‖ **3** ἐποίει τὸ ἔνθα A, τὸ ἔνθεν O | δηλοῖ A, ἐδήλου O ‖ **5** ὀνόματά VA, ἐν ὀνόμαcίν O ‖ **12** λεγ. τε καὶ *om* A ‖ **14** λέγων A, λέγει O ‖ **15** μόνον πεῖcιν A, μόνην ποίηcιν O ‖ **27** τὰ περὶ ἀρν. O ‖ **34** γίνεται *Stadtmüller,* λέγεται OV ‖ **37** ἔθνεα] θηρα (*sic*) O

948,11b Τὰ δὲ εἰκασμοῦ, οἷον ἴσως τάχα τυχόν.] Εἰκασμός ἐστιν ὁ μετὰ διςταγμοῦ εἰκάζων πρᾶγμα λόγος, ἐν ᾧ κεχρήμεθα ἢ τῷ ἴσως ἢ τῷ τάχα ἢ τῷ τυχόν· σημειωτέον δέ, ὅτι τὸ τάχα παρὰ μὲν Ἀττικοῖς ἐπὶ διςταγμοῦ λέγεται, παρὰ δὲ Ὁμήρῳ ἀντὶ τοῦ ταχέως.

Τὰ δὲ ἀθροίσεως, οἷον ἄρδην ἅμα ἤλιθα·] ἀθροίζοντες γὰρ καὶ συστρέφοντες ὄχλον τούτοις κεχρήμεθα τοῖς ἐπιρρήμασιν, οἷον «ἅμα περιπατήσατε, ἅμα συνέλθετε».

Τὰ δὲ παρακελεύσεως, οἷον εἶα ἄγε φέρε·] δι' αὐτῶν γὰρ παρακελευόμεθα, οἷον ⟨Arist. Nub. 775⟩ ἄγε δὴ ταχέως τουτὶ συνάρπασον, ⟨Η 459⟩ ἄγρει μάν, ὅτ' ἂν αὖτε κάρη κομόωντες Ἀχαιοί. Καὶ χρὴ γινώσκειν, ὡς εὕρηται τὰ τοιαῦτα ἐπιρρήματα εἰς πρόσωπα κινούμενα προστακτικά.

Τὰ δὲ συγκρίσεως, οἷον μᾶλλον ἧττον·] διὰ τούτων γὰρ τὰς συγκρίσεις ποιούμεθα, οἷον «οὗτος καὶ οὗτος ταχύς, ἀλλ' οὗτος μᾶλλον ταχύς, οὗτος δὲ ἧττον».

Τὰ δὲ ἐπιτάσεως, οἷον λίαν σφόδρα.] Ἐπίτασις καὶ παράτασις ταὐτόν ἐστι· καὶ εἴρηται ἐπιτάσεως ἢ παρατάσεως τὰ τοιαῦτα ἐπιρρήματα, ἐπειδὴ δι' αὐτῶν ἐπιτείνομεν καὶ αὐξάνομεν τὰ πράγματα, οἷον «λίαν τύπτει, σφόδρα παίσει».

950.4b Τὰ δὲ ἀπωμοτικά, οἷον μά.] Ἀπωμοτικόν ἐστι τὸ μεθ' ὅρκου ἀρνητικόν, οἷον «μὰ τὸν Ἀπόλλωνα»· πολλάκις δὲ ἀντὶ τοῦ κατωμοτικοῦ κέχρηνται αὐτῷ οἱ παλαιοί, ὡς καὶ ὁ ποιητὴς ⟨Α 234⟩ ναὶ μὰ τόδε σκῆπτρον· ἢ τάχα περιττεύει παρ' αὐτῷ τὸ μά, καὶ ἔστι «νὴ τοῦτο τὸ σκῆπτρον»· ἐν γὰρ τῷ ⟨υ 339⟩ οὐ μὰ Ζῆν, Ἀγέλαε, αἱ δύο ἀρνήσεις μίαν συγκατάθεσιν ποιοῦσιν, ἀντὶ τοῦ «νὴ τὸν Δία».

Τὰ δὲ κατωμοτικά, οἷον νή.] Κατωμοτικόν [ὅ] ἐστι τὸ μεθ' ὅρκου βεβαιωτικόν, οἷον ⟨*cfr* Α 234⟩ νὴ τοῦτο τὸ σκῆπτρον, ⟨Α 240⟩ ἦ τάχ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν.

Τὰ δὲ βεβαιώσεως, οἷον δηλαδή.] Βεβαιῶν γάρ τις πρᾶγμα τούτῳ κέχρηται τῷ ἐπιρρήματι, οἷον «ποῖ βαδίζεις; δηλαδὴ εἴσω», ἀντὶ τοῦ «φανερὸν καὶ βέβαιον καὶ πιστὸν ὅτι ἔσω».

950,18b Τὰ δὲ θετικά, οἷον πλευστέον.] Θετικά ἐστι τὰ θέσιν καὶ ποίησιν πράγματος ὁρίζοντα· ἐὰν γὰρ εἴπω γαμητέον, ὁρίζω ὅτι δεῖ γαμεῖν, καὶ ἐὰν εἴπω ὅτι πλευστέον, ὁρίζω ὅτι δεῖ πλεῖν. Γίνονται δὲ ταῦτα ἀπὸ τῶν εἰς τος ῥηματικῶν ὀνομάτων προσθέσει τοῦ ε̄, οἷον ποιητός ποιητέος, πλευστός πλευστέος, πρακτός πρακτέος, δοτός δοτέος.

1—4 hab. et. Σ^{m} A ‖ **8—12 hab. et.** Σ^{m} ‖ **13—15 hab. et.** Σ^{v} ‖ **20—25 hab. et.** Σ^{m} ‖ **29—31 hab. et.** Σ^{v} A ‖ **32—36 hab. et.** Σ^{m}

2 εἰκάζων *Stadtmüller,* εἰκονίζων OVA ‖ **9** οἷον *add* V ‖ **13** συγκριτικὰ O ‖ **17** ἐπίτασις ἢ παράτασις O ‖ **19** τύπτε O | πείσει O ‖ **20** μᾶ O ‖ **22** αὐτῷ V, *om* O | παλαιοὶ O, ποιηταί V ‖ **23** αὐτῷ b, αὐτοῦ O, αὐτῶν V ‖ **24** τῷ V, τὸ O | ἀγέλαον OV ‖ **33** γαμητέον — εἴπω (**34**) V, *om* O ‖ **35** *ante* οἷον *add* ποιητικῶς O ‖ **36** πρ. πρ. δ. δ. *add* V

Τὰ δὲ θειασμοῦ, οἷον εὐοῖ εὐάν.] Θειασμοῦ ἐπιρρήματά ἐστι 951,5b
τὰ θείας ἐμφορήσεως δηλωτικά· πληρούμενοι γὰρ καὶ ἐμφορούμενοι τοῦ
δαίμονος οἱ βακχεύοντες τὸ εὐοῖ καὶ εὐάν ἀνεφθέγγοντο.

§ 20 (25b).
Περὶ συνδέσμου.

Σοφῶς καὶ εὐτάκτως καὶ τεχνικῶς ὁ σύνδεσμος τελευταῖος τέτακται 951,26b
ἐν τοῖς μέρεσι τοῦ λόγου· ὥσπερ γὰρ ἐν πάσῃ τέχνῃ ὁ τεχνίτης πρό-
τερον περιγράφει καὶ κατασκευάζει ἐκεῖνα τὰ μορφοῦντα αὐτοῦ τὴν
τέχνην, ὕστερον δὲ ἐπινοεῖται καὶ ἐπιζητεῖ κἀκεῖνο τὸ μέρος τὸ δυνά- 30
μενον συνέχειν καὶ συνδεσμεῖν αὐτά, οὕτω καὶ ὁ τοῦ λόγου τεχνίτης
πρότερον δείξας τὰ μέρη τὰ δυνάμενα τὸν λόγον ἐκτελέσαι, ὕστερον 952b
καὶ τὸ μέρος τοῦ λόγου τὸ δυνάμενον συνδεῖν τὰ μέρη τοῦ λόγου δι-
δάξαι ἡμᾶς βούλεται, ἵνα μεμαθηκότες τὴν τῶν λέξεων δύναμιν μάθωμεν
καὶ συνδεῖν ταύτας καὶ ἀποτελεῖν διάνοιαν. Σύνδεσμος γὰρ διὰ τοῦτο
καλεῖται καὶ λέγεται, διὰ τὸ εἶναι αὐτὸν συνδετικὸν τῶν τοῦ λόγου με-
ρῶν, ὡς ἔστι τοῦτο καὶ ἐκ τοῦ ὅρου καταμαθεῖν· ἔχει γὰρ οὕτω· «σύν-
δεσμός ἐστι μέρος λόγου ἄκλιτον, συνδετικὸν τῶν τοῦ λόγου μερῶν, οἷς
καὶ συσσημαίνει, ἢ τάξιν ἢ δύναμιν ⟨ἢ καὶ τάξιν καὶ δύναμιν⟩ παρι-
στῶν». Οὕτως ὁ ὅρος παραδέδοται, ὁ δὲ τοῦ Διονυσίου ἐπταισμένος 10
ἐστίν, ὡς ἔστιν ἐκ τῆς ἐξηγήσεως καταμαθεῖν οὕτως· σύνδεσμός ἐστι
λέξις· προσθεῖναι δεῖ τὸ «ἄκλιτος» ἢ «ἀμετακίνητος»· συνδέουσα διά-
νοιαν· δεῖ προστιθέναι «καὶ συσσημαίνουσα τῇ διανοίᾳ»· μετὰ τάξεως·
προστιθέναι πάλιν δεῖ «ἢ δυνάμεως ⟨ἢ καὶ τάξεως καὶ δυνάμεως⟩»,
ἐπειδή τινες τῶν συνδέσμων ἐν τάξει μὲν παραλαμβάνονται, τὴν δὲ
δύναμιν τοῦ πράγματος οὐκ ἐπαγγέλλονται, τινὲς δὲ οὐκ ἐν τάξει,
ἀλλὰ τὴν δύναμιν ἐπαγγέλλονται, ἄλλοι δὲ καὶ ἐν τάξει παραλαμβάνον-
ται καὶ τὴν δύναμιν τοῦ πράγματος ἐπαγγέλλονται. Καὶ ἔστι τὰ παρα- 953b
δείγματα ταῦτα· οἷον ὁ εἴ σύνδεσμος τάξιν μὲν δηλοῖ, οἷον «εἰ περι-
πατήσω κινηθήσομαι» — ἀκολουθία γάρ τίς ἐστιν ἡγουμένου πρὸς ἑπό-
μενον, καὶ οὐκ ⟨ἂν⟩ ἀναστρέψας εἴποις «εἰ κινηθήσομαι περιπατήσω»·
ψεῦδος γάρ, ἐπεὶ εἴ τις περιπατήσει κινηθήσεται, ⟨οὐκέτι δὲ εἴ τις κινη-
θήσεται πάντως⟩ καὶ περιπατήσει — οὐκέτι δὲ καὶ δύναμιν ἐπαγγέλλε-
ται, ὅ ἐστιν ὕπαρξιν τοῦ πράγματος· διστάζει γὰρ ὁ λέγων, καὶ ὡς
μήπω τοῦ πράγματος γενομένου δῆλός ἐστι λέγων, ὅτι ἐὰν τοῦτο γένη-
ται, τοῦτο ἔσται· ἔχομεν οὖν ἐκ τούτου τοῦ συνδέσμου τὴν τάξιν, ἀλλ'

1—3 hab. et. Σ^m ‖ 5—103, 13 hab. et. A ‖ 5—13 hab. et. Σ^m

1 ε̅υ̅. ο̅ι̅. ε̅υ̅. α̅ν̅ O ‖ **3** εὐοῖ καὶ εὐαν O, εὐ. οἷ καὶ εὐᾶν V ‖ **5** καὶ τεχνικῶς OV, τῷ τεχνικῷ *ESterk, Symb. lit. Bat. 7, 35* ‖ **6** τέχνῃ NA, τῇ τέχνῃ OV ‖ **8** κἀκεῖνο VA, ἐκεῖνο O ‖ **11** τὸ δυνάμ. — λόγου *om* b ‖ **17** συσσημαίνει OA | Οὕτως O, οὗτος b ‖ **20** ἢ ἀμετακ. *om* A | ἢ] καὶ O ‖ **21** δεῖ προστ. A, *om* O ‖ **22** ἢ δ.] καὶ δ. OA ‖ **24** τινὲς — ἐπαγγέλλονται (**25**) A, *om* O ‖ **27** σύνδεσμος τάξιν A, σύνταξιν O ‖ **29** καὶ οὐκ ἂν b, καὶ οὐ οὐκ O, οὐ γὰρ A ‖ **33** γενῆται (*sic*) A, γενήσεται O

οὐ τὴν δύναμιν γενομένην τοῦ πράγματος. Ἐκ δὲ τοῦ ἐναντίου ὁ καί περὶ μὲν τὴν τάξιν οὐ καταγίνεται, τὴν δὲ δύναμιν ἐκφαίνει· ὅρα γάρ, εἰ διαφέρει τὸ «⟨εἰ⟩ περιπατῶ» τοῦ «καὶ περιπατῶ»· ὁ γὰρ λέγων «καὶ περιπατῶ» τίθηςι τὸ πρᾶγμα· ἀδιαφόρως δὲ περὶ τὴν τάξιν δύναμαι εἰπεῖν «καὶ περιπατῶ καὶ κινοῦμαι καὶ ἀναγινώςκω» καὶ εἴ τι βούλει ἕτερον. Τὸ δὲ εἰπεῖν «ἐπεὶ περιπατῶ κινοῦμαι» καὶ ὕπαρξιν τοῦ πράγματος δηλοῖ καὶ τάξιν· εἰ μὴ γὰρ περιπατῶ, οὐ δύναμαι εἰπεῖν «ἐπεὶ περιπατῶ»· ἀλλὰ μὴν καὶ τάξιν· οὐ γὰρ δύναμαι εἰπεῖν ἀντιςτρέψας «ἐπεὶ κινοῦμαι περιπατῶ», ψεῦδος γάρ. — Καὶ τὸ τῆς ἑρμηνείας κεχηνὸς δηλοῦςα. Τοῦτό φηςι διὰ τοὺς διαζευκτικοὺς ςυνδέςμους· ἐκεῖνοι γὰρ τὸ τῆς ἑρμηνείας, ὅ ἐςτι τὸ τῆς διανοίας, διεζευγμένον καὶ διεςτηκὸς δηλοῦςι· ςαφῆ δὲ τὸν λόγον παραςτήςομεν ἐν αὐτῷ τῷ τόπῳ γενόμενοι.

956,17b Συμπλεκτικοὶ μὲν οὖν εἰςιν, ὅςοι τὴν ἑρμηνείαν ἐπ' ἄπειρον ἐκφερομένην ςυνδέουςιν.] Οὗτοι, φηςίν, εἰςὶν οἱ ςυμπλεκτικοὶ ςύνδεςμοι, οἵτινες τὴν διάνοιαν ἐπὶ πολὺ ἐκφερομένην καὶ ἐπεκτεινομένην ςυμπλέκουςι καὶ ςυνδέουςιν, ὥςτε τὴν ἑτέραν τῇ ἑτέρᾳ ςυνδεδέςθαι καὶ ςυνηρτῆςθαι. Ταύτην δὲ ἔχουςι τὴν ἐπαγγελίαν, ὥςτε ςυνδεῖν τὰς διανοίας ἐπ' ἀλλήλας καὶ τὴν δύναμιν, ὅ ἐςτι τὴν ὕπαρξιν, τὴν ἐν αὐταῖς παριςτᾶν, ἐπιπλέκειν δὲ τοὺς λόγους οὐ κατὰ ἀκολουθίαν, ἀλλ' ἀδιάφορον ποιεῖςθαι τούτων τὴν μετάθεςιν, οἷον «καὶ ἀνέγνων καὶ περιεπάτηςα» ἢ «καὶ περιεπάτηςα καὶ ἀνέγνων», «καὶ ἐξέμαθον καὶ ἐνόηςα» ἢ «καὶ ἐνόηςα καὶ ἐξέμαθον». Οὐ δεῖ γε οὖν τοῦτο αὐτὸ εἰδότας καὶ τὰ Ὁμηρικὰ μέμφεςθαι ὡς ἀτάκτως κατειλεγμένα καὶ δεόμενα ἀναςτροφῆς ἐν τῷ ⟨μ 134⟩ τὰς μὲν ἄρα θρέψαςα τεκοῦςά τε, ⟨π 41⟩ αὐτὰρ ὅ ⟨γ'⟩ εἴςω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν· οὐδὲ γὰρ τάξιν
957,11b ἀπαιτεῖ, καθὰ εἰρήκαμεν, ὁ ςυμπλεκτικὸς ςύνδεςμος. Χρὴ δὲ εἰδέναι, ὅτι οὐ δεῖ ἐξ ἀντικειμένων καὶ μαχομένων ςυμπλέκειν διάνοιαν, οἷον «καὶ ἡμέρα ἐςτὶ καὶ νύξ ἐςτι», τοῦτο γὰρ ἀδύνατον· ἀλλ' οὕτως, «καὶ ἡμέρα ἐςτὶ καὶ ἄνθρωποι προῆλθον καὶ τὰ ςυνήθη διαπράττονται».

Εἰςὶ δὲ ⟨οἵδε⟩, μέν δέ τέ καί ἀλλά ἠμέν ἠδέ ἰδέ αὐτάρ ἀτάρ ἤτοι κέν ἄν.] Ὁ μὲν μέν ςυμπλεκτικὸς ςύνδεςμος ςυνήθης ἐςτὶ καὶ ποιηταῖς καὶ λογογράφοις, δύναμιν ἔχων τὴν αὐτὴν τῷ ἤτοι ςυμπλεκτικῷ ὄντι· μὴ ὄντι δὲ ςυμπλεκτικῷ, ἀλλὰ διαζευκτικῷ, οὐδ' ἔτι αὐ-
958b τῷ ἰςοδυναμεῖ. Διαφέρει δὲ κατὰ δύο τρόπους τοῦ ἤτοι ὁ μέν, ὅτι ὁ

15—22 (ἀνέγνων) **hab. et.** Σ^{m} ‖ **27—30 hab. et.** Σ^{m} **A** ‖ **35—104, 7 hab. et.** Σ^{m}

1 γενομένην O, γινομένην A ‖ 4 ἀδιαφόρως b, διαφόρως OA | τάξιν A, τάςιν O ‖ 5 καὶ εἴ — κινοῦμαι (6) O, *om* A ‖ 6 καὶ ὕπαρξιν — περιπατῶ (9) A, *om* O ‖ 7 γὰρ] καὶ A ‖ 8 *ante* ἀλλὰ *add* καὶ A ‖ 12 ςαφῆ — γενόμενοι (13) *om* A | αὐτῷ b, ἑαυτῷ O ‖ 17 ςυνδεδ. — ςυνηρτ. (18)] ςυνείρεςθαι καὶ ςυμπλέκεςθαι V | ςυνδεδέςθαι b, ςυνδέεςθαι O ‖ 19 ἐπ' ἀλλήλας V, ἐπ' ἀλλήλους O ‖ 20 δὲ V, τε O | ἀλλ' ἀδιάφορον b, ἀλλὰ διάφορον OV ‖ 21 μετάθεςιν O, διάθεςιν V ‖ 35 ὅτι ὁ μὲν μέν N, ὅτι ὁ μεν V, *om* O

μὲν μέν συνήθης, ὁ δὲ ἤτοι ποιητικός, καὶ ὅτι ὁ μὲν μέν μέσος παρα-
λαμβάνεται, ὁ δὲ ἤτοι κατ' ἀρχὴν τίθεται, οἷον ⟨B 494⟩ Βοιωτῶν μὲν
Πηνέλεως καὶ Λήϊτος ἦρχον, ⟨ex. gr. A 68⟩ ἤτοι ὅ γ' ὣς εἰπὼν
κατ' ἄρ' ἕζετο. — Καὶ ὁ δέ ὁμοίως καὶ παρὰ τοῖς ποιηταῖς ἐστι καὶ 19
ἐν τῷ ἔθει συνήθης, ἰσοδυναμῶν τῷ ἀτάρ καὶ αὐτάρ· ἀλλὰ πάλιν δια-
φέρει, ὅτι ὁ μὲν συνήθης καὶ ἐν μέσῃ φράσει τίθεται, ὁ δὲ καὶ ποιητι-
κὸς καὶ ἀρκτικός. Χρὴ δὲ εἰδέναι, ὅτι πάντως τῷ μέν ἐπιφέρεται ὁ
δέ, τοῦ λόγου μεταβαίνοντος ἢ εἰς ἕτερον πρόσωπον ἢ εἰς ἑτέραν θέσιν
καὶ ἔννοιαν πράγματος, εὑρισκομένου δὲ τοῦ δέ οὐ πάντως προῆν ὁ
μέν. — Ὁ τέ καὶ ὁ καί τὴν ἴσην δύναμιν ἔχουσιν. — Ὁ ἀλλά ἀντὶ 959,4b 9
τοῦ δέ παραλαμβάνεται, οἷον «ἄνθρωπος μέν εἰμι, ἀλλὰ κατὰ τὸ ὄνομα
οὐ πράττω», καὶ «ἡμέρα μέν ἐστιν, ἀλλὰ τὰ νέφη οὐχ ὁρῶ». — Ἠμέν 16
ἠδέ ἰδέ ὅμοιοι τῷ καί. — Ὁ ἀτάρ καὶ ὁ αὐτάρ ὡς ὁ δέ εἰσιν. — Ὁ 960,9b 22
ἤτοι ὅμοιος τῷ μέν. — Ὁ κέν καὶ ὁ ἄν, παραπληρωματικοὶ ὄντες, εἰς 27
τοὺς συμπλεκτικοὺς ἐτάγησαν· πῶς δὲ καὶ διὰ τί, ἐν τῷ περὶ συνδέ-
σμου λεκτέον.

Διαζευκτικοὶ δέ, ὅσοι τὴν μὲν φράσιν ἐπισυνδέουσιν, ἀπὸ
δὲ πράγματος εἰς πρᾶγμα διιστῶσιν· εἰσὶ δὲ οἵδε, ἤ ἤτοι ἠέ.]
Ἠπορήθη, πῶς σύνδεσμοι λέγονται οἱ προκείμενοι, μαχομένην ἔχοντες 962,27b
τὴν ἐξ αὐτῶν σημασίαν τῇ θέσει τοῦ ὀνόματος· μάχεται γὰρ τὸ συνδεῖν
τῷ διαζευγνύειν. Καὶ ἔχεται ἀπολογίας ἡ προκειμένη ἀπορία, ἐπεὶ καὶ 30
ἐπ' ἄλλων ἔστιν ἐπινοῆσαι ταὐτόν· ὀρθὴν μὲν γάρ φαμεν καὶ πτῶσιν,
καὶ τὸ μάχομαι φωνῇ παθητικόν, σημαινομένῳ δὲ ἐνεργητικόν, καὶ τὸ
Θῆβαι φωνῇ πληθυντικόν, σημαινομένῳ δὲ ἑνικόν, καὶ ἔτι πολλὰ ἔστιν 963b
ἄλλα μαχόμενα εὑρεῖν. Καὶ οἱ προκείμενοι οὖν σύνδεσμοι μὲν εἴρηνται
ἕνεκα τοῦ συνδεῖν τὰς λέξεις καὶ τὰς φράσεις, ἕνεκα δὲ τοῦ ἀπ' αὐτῶν
δηλουμένου σύνδεσμοι διαζευκτικοὶ ὠνομάσθησαν· ὅλης γὰρ τῆς φράσεως
ὄντες συνδετικοὶ τὰ ἐν αὐτῇ πράγματα διαζευγνύουσιν. Καὶ ἡ ἐπαγγε-
λία αὐτῶν ἑνὸς ὕπαρξιν ἐπαγγέλλεται, τοῦ δὲ ὑπολειπομένου ἢ καὶ
⟨τῶν⟩ ὑπολειπομένων ἀναίρεσιν, οἷον «ἡμέρα ἐστὶν ἢ νύξ», ⟨ex. gr.
β 132⟩ ζώει ὅ γ' ἢ τέθνηκεν, «ἢ Ἀπολλώνιος ἄρχεται ἢ οἱ τούτου 10
μαθηταί»· ἐν τούτοις γὰρ καὶ ἐν τοῖς τοιούτοις ἡ φράσις συμπλέκεται,
τὰ δὲ πράγματα μαχόμενά ἐστι καὶ μὴ δυνάμενα κατὰ ταὐτὸν παραλη-
φθῆναι. — Χρὴ δὲ εἰδέναι, ὅτι ὁ ἤ καὶ διαζευκτικός ἐστι σύνδεσμος καὶ 25
παραδιαζευκτικὸς καὶ διασαφητικὸς καὶ διαπορητικὸς καὶ βεβαιωτικός·
καὶ διαζευκτικὸς μέν, ὡς ἐν τοῖς ἄνω· παραδιαζευκτικὸς δέ, ὡς ἐν τῷ
⟨Ξ 108⟩ ἢ νέος ἠὲ παλαιός, ἀντὶ γὰρ τοῦ καί ἐστίν, οἷον «ὁ νέος 30
καὶ ὁ παλαιός»· καὶ διασαφητικός, ὡς ἐν τῷ ⟨A 117⟩ βούλομ' ἐγὼ

7—10 hab. et. A ‖ **10—16 hab. et.** Σ^m ‖ **19—105, 3 simillima hab. et.** Σ^m

5 καὶ V, ἢ O ‖ **9** προῆν O, προηγεῖται A ‖ **11** ἄνθρωπος — καὶ (**12**) *om* V | μέν εἰμι b, μὲν εἰμὴ O ‖ **14** ὅμοιος V, ὁμοίως O ‖ **15** πῶς — λεκτέον (**16**) *om* V ‖ **24** ἔτι] ὅτι Cb ‖ **29** τοῦ — παραληφθ. (**33**) *om* V ‖ **38** καὶ ὁ διασαφ. O

λαὸν cῶν ἔμμεναι ἢ ἀπολέcθαι· καὶ διαπορητικός, ὡς ἐν τῷ ⟨λ 172⟩
964b ἢ δολιχὴ νοῦcoc ἢ Ἄρτεμις ἰοχέαιρα· καὶ βεβαιωτικός, ὡς ἐν τῷ ⟨B 370⟩ ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.

Cυναπτικοὶ δέ ⟨εἰcιν⟩, ὅcοι ὕπαρξιν μὲν οὐ δηλοῦcι, cημαίνουcι δὲ ἀκολουθίαν.] Ὁ νοῦc οὕτως· cυναπτικοί εἰcιν, ὅcοι ὕπαρξιν μέν, τουτέcτι τὴν ἐν πράγματι δύναμιν, οὐ δηλοῦcι, cημαίνουcι δὲ ἀκολουθίαν, φράcεως δηλονότι. — Εἰcὶ δὲ οὗτοι, εἴ εἴπερ εἰδή εἰδήπερ.] Φαcὶ δέ τινες, ὅτι κοινῆc ἔχονται cημαcίαc οἱ cυναπτικοὶ καὶ οἱ cυμπλεκτικοί· τὸ γὰρ cυμπλέκειν καὶ τὸ cυνάπτειν ταὐτόν ἐcτιν. Καὶ ἔcτιν ἡ διαφορὰ τῶν cυμπλεκτικῶν καὶ τῶν cυναπτικῶν αὕτη, ὅτι οἱ μὲν cυμπλεκτικοὶ δύναμιν μὲν ἔχουcι τοῦ πράγματος, ἀταξίαν δὲ φράcεως, οἷον «καὶ περιπατῶ καὶ νοῶ» καὶ ἀνάπαλιν «καὶ νοῶ καὶ περιπατῶ»· οἱ δὲ cυναπτικοὶ τὸ ἐναντίον οὐ παριcτῶcι μὲν τὴν δύναμιν τοῦ πράγματος, ἀκολουθίαν δὲ φράcεως καὶ τάξιν φυλάττουcιν, οἷον «εἰ περιπατήcω κινηθήcομαι»· οὐ γὰρ δύναμαι εἰπεῖν «εἰ κινηθήcομαι περιπατήcω», ψευδὲc γάρ.

966b Παραcυναπτικοὶ δέ εἰcιν, ὅcοι μεθ' ὑπάρξεως καὶ τάξιν δηλοῦcιν· εἰcὶ δὲ οἵδε, ἐπεί ἐπείπερ ἐπειδή ἐπειδήπερ.] Διαφέρουcι τῶν cυναπτικῶν οἱ παραcυναπτικοὶ τῇδε, ὅτι οἱ παραcυναπτικοὶ δύναμιν τοῦ πράγματος παριcτῶcι καὶ ἀκολουθίαν πράγματος καὶ φράcεως ἔχουcιν· τοῦτο δὲ ὁ τεχνικός φηcιν, ὅτι παραcυναπτικοί εἰcιν, ὅcοι μεθ' ὑπάρξεως, τουτέcτι τὴν τοῦ πράγματος δύναμιν ἐμφαίνοντες, καὶ τάξιν, φράcεως δηλονότι, δηλοῦcιν, οἷον «ἐπεὶ ὁ ἥλιος ὑπὲρ γῆν ἐcτιν, ἡμέρα ἐcτίν».

969,26b Περὶ αἰτιολογικῶν καὶ ἀπορηματικῶν περιττόν ἐcτι λέγειν, δήληc οὔcηc τῆc φράcεως παρὰ τῷ τεχνικῷ. Λεκτέον οὖν περὶ cυλλογιcτικῶν. Cυλλογιcτικοί εἰcιν, ὅcοι πρὸc τὰc ἐπαγωγὰc καὶ cυναγωγὰc τῶν ἀποδείξεων εὖ διάκεινται, οἷόν φαμεν «ἔχειc μέντοι τριώβολον, ἐδέξω δεύτερον τριώβολον καὶ πάλιν τριώβολον, ἀλλαμὴν ὁμολογήcειc ἔχειν ἐννέα ὀβολούc· τοιγαροῦν ποίηcόν μοι γραμματεῖον».

971b Περὶ παραπληρωματικῶν. — Οἱ παραπληρωματικοὶ καὶ αὐτοὶ cημαίνουcί τι, καθάπερ καὶ οἱ ἄλλοι cύνδεcμοι· ἀλλ' ἐπεὶ ποικίλη αὐτῶν ἡ cημαcία, ἀπὸ τοῦ ἐπικοίνωc ἐπιcυμβαίνοντοc παραπληρωματικοὶ εἴρηνται. Ὁ μὲν γὰρ δή καὶ οἱ ἰcοδυναμοῦντεc αὐτῷ ἐν cυγκεφαλαιώ-

---

8—16 hab. et. Σ^m ‖ **10—16 hab. et. A** ‖ **27—106, 11 hab. et. Σ^m** ‖ **34—106, 5 (ὅμιλοc) hab. et. A**

1 cῶον O, cόον V ‖ **11** μὲν (*ante* ἔχουcι) V, *om* OA ‖ **15** γὰρ δύναμαι V, δύναμαι γὰρ A, δυνάμεθα O ‖ **16** A *add:* καὶ οἱ μὲν cυμπλεκτικοὶ ἄπειρα ἐπάγουcιν, οἱ δὲ cυναπτικοὶ μίαν (*sic*), καὶ πληροῦcι τὴν διάνοιαν ‖ **20** καὶ ἀκολ. — εἰcιν (**21**) O, *om* b ‖ **22** τὴν — ἐμφαίνοντες *cfr G F Schoemann, Redeth. p. 210 adn.*, μετὰ πράγματος δύναμιν ἐμφαίνοντος O ‖ **25** ἀπορρηματικῶν O ‖ **29** ἐδέξω — πάλιν τριώβολον V, *om* O ‖ **30** γραμματεῖον O, γραμμάτιον V ‖ **34** οἱ OA, ῥὰ V | cυγκεφαλαιώcει VA, cυγκεφαλαίῳ O

cει καὶ παραγραφῇ λόγου παραλαμβάνονται, ⟨ex. gr. B 1⟩ ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες, ⟨O 3⟩ οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο· ὁ δαί μετὰ τὰς πεύσεις παραλαμβάνεται, ⟨ω 299⟩ ποῦ δαὶ νηῦς ἕστηκεν, ⟨K 408⟩ πῶς δαὶ τῶν ἄλλων Τρώων, ⟨α 225⟩ τίς δαίς, τίς δαὶ ὅμιλος· καὶ ὁ γέ ἐκφαντικός ἐστιν ἐκπλήξεως ἢ σμικρότητος, ὡς ἐν τῷ ⟨fr. poet. lyr. 3, 737 B[4]⟩ τοῦτό γέ μοι χάρισαι· καὶ ὁ πέρ ἐναντιωματικός ἐστιν, ὡς ἐν τῷ ⟨A 131⟩ μὴ δ' οὕτως ἀγαθός περ ἐών. Καὶ ἄλλα δὲ πολλὰ σημαίνουσιν οἱ παραπληρωματικοὶ σύνδεσμοι· καὶ ἐπεὶ οὐκ ἠδύναντο ἀπὸ σημασίας ὀνομασθῆναι, ἐκ τοῦ πλεονάζοντος τὴν ὀνομασίαν ἔσχον· πολλοὶ γὰρ αὐτῶν κατὰ πλεονασμὸν παραπληροῦσι μόνον τὴν φράσιν.

Οἱ δὲ ἐναντιωματικοὶ δῆλοί εἰσιν ὡς τὸ ἐναντίον τῇ δυνάμει τοῦ πράγματος δηλοῦσιν· «ἀσθενὴς μὲν ἐγώ, σὺ δὲ ἰσχυρός, καὶ ὅμως ἀσθενὴς ὢν ἐνίκησά σε»· «μακρὰν ἱστάμην, ὅμως ἤκουσά σου λαλοῦντος».

SCHOLIA VATICANA.

Προλεγόμενα τῆς τέχνης Διονυσίου ἀπὸ τῶν διὰ πλάτους 647b
⟨ἐξηγήσεων⟩.

Οἱ περὶ τέχνης θέλοντες διαλαβεῖν τὸ χρήσιμον τοῦ σκοποῦ προδεικνύουσι· τέχνης γὰρ οὐδέν ἐστι χρησιμώτερον. Καὶ τοῦτό ἐστιν αὐτόθεν δῆλον· καὶ γὰρ πενίας ἡμᾶς ἀπαλλάττει καὶ τῶν ἐκ ταύτης γινομένων ἀποριῶν, καὶ διαφέροντα τὸν βίον τῶν ἀνθρώπων ἀπεργάζεται πρὸς τὴν τῶν ἀλόγων ζῴων ἀνεπιτήδευτον διαγωγήν, καὶ λεπτύνει τὸν νοῦν, καὶ τὰς περὶ βιοτῆς φροντίδας ῥυθμίζει. Τούτων μάρτυς τῶν λεχθέντων Ἵππαρχος ὁ κωμικός, διά τινος τῶν αὐτοῦ κωμῳδιῶν λέγων ⟨fr. 2 K⟩ πολλῷ γάρ ἐστι κτῆμα τιμιώτατον Ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη.

Ἐπεὶ οὖν ταῦτα εἰρήκαμεν περὶ τῆς τέχνης, ἀναγκαῖον εἰπεῖν τὸν ὅρον αὐτῆς, πρῶτον μαθόντας τί ἐστιν ὅρος, καὶ πόθεν λαμβάνεται ὅρος, καὶ τί ἴδιον ὅρου· εἴπωμεν δὲ τίς ἐστιν ὅρος ὅρου, καὶ τίς ὑγεία ὅρου, καὶ πόθεν ὀνομάζεται, καὶ πῶς σχηματίζεται.

---

1 παραγραφῇ A, περιγραφῇ OV ‖ **3** ὁ δαί V, οἱ δὲ O, οἱ δ' αἱ A | παραλαμβάνεται V, παραλαμβάνονται OA | ποῦ δαὶ V, ποῦ δ' αἱ A, ποῦ δὲ O ‖ **4** *post* ἕστηκεν *add* ἕκτορος O | πῶς δαὶ V, ποῦ δ' αἱ O, πῶς δὲ A ‖ **5** τίς δαὶ VA, τίς δὲ O | ἐκφαντ. O, ἐμφαντικός V | ἢ σμικρότητος V, σμικρότητα δὲ O | ἐκπλήξεως, ὡς ἐν τῷ «καλῶς γε», σμικρότητος δὲ *RSchneider, CGG I, 1, 250, ESterkium secutus* ‖ **11** μόνον b, μόνην OV

16 ἐξηγήσεων] *vocabulum quod legi nequit* C, *om* h ‖ **19** γινομένων *Stadtmüller,* γενομένων Cb ‖ **23** αὐτοῦ b, αὐτοῦ C ‖ **27** μαθόντας b, μαθόντες C ‖ **28** δὲ] καὶ C ‖ **29** σχηματίζεται] λέγεται C

Ἀριστοτέλης οὖν οὕτως ὁρίζεται τὸν ὅρον· «ὅρος ἐστὶν ὁ τὸ ὂν τί ⟨ἦν⟩ εἶναι δηλῶν». Καὶ διὰ μὲν τοῦ εἰπεῖν τὸ τί ἐδήλωσε τὴν οὐσίαν, τὸ γὰρ τί οὐσίας ἐστὶ δηλωτικόν· διὰ δὲ τοῦ εἰπεῖν «εἶναι» καὶ προ⟨σ⟩θέσθαι ῥήματι παρῳχημένου χρόνου ἐδήλωσεν ὅτι προϋπάρχει τὸ ὁριστὸν τοῦ ὅρου. Ὁ δὲ Χρύσιππος λέγει, ὅτι «ὅρος ἐστὶν ἰδίου ἀπόδοσις», τουτέστιν ὁ τὸ ἴδιον ἀποδιδούς. Ὁ δὲ Ἀντίπατρος ὁ Στωϊκὸς λέγει· «ὅρος ἐστὶ λόγος κατ᾽ ἀνάγκην ἐκφερόμενος», τουτέστι κατ᾽ ἀντιστροφήν· καὶ γὰρ ὁ ὅρος ἀντιστρέφειν θέλει. Ἄλλοι δὲ λέγουσιν, ὅτι «ὅρος ἐστὶ λόγος ἐκ τῶν καθόλου καὶ κοινῶν ⟨καὶ ἰδίου⟩ ἴδιόν τι ἀποτελῶν»· ὁριζόμενοι γὰρ τὸν ἄνθρωπον λέγομεν, ὅτι «ἄνθρωπός ἐστι ζῷον λογικὸν 648b θνητὸν νοῦ τε καὶ ἐπιστήμης δεκτικόν». Καὶ ἰδού, ἐκ τῶν καθόλου καὶ κοινῶν ⟨καὶ ἰδίου⟩ ἴδιόν τι ἀπετέλεσεν· καὶ γὰρ τὰ μὲν ἄλλα κοινά εἰσιν, ὡς τὸ ζῷον, τὸ λογικόν, τὸ θνητόν· καὶ γὰρ οὐ μόνος ὁ ἄνθρωπός ἐστι ζῷον, ἀλλὰ καὶ ⟨λέων καὶ ἰχθὺς καὶ πάντα ὅσα ζωῆς μετειλήφασιν· καὶ πάλιν οὐ μόνος ὁ ἄνθρωπός ἐστι λογικόν, ἀλλὰ καὶ⟩ οἱ ἄγγελοι καὶ οἱ δαίμονες· καὶ πάλιν οὐ μόνος ὁ ἄνθρωπός ἐστι θνητόν, ἀλλὰ καὶ οἱ δαίμονες καὶ τὰ ἄλλα ζῷα, θνηταὶ γὰρ αἱ μακρόβιοι νύμφαι· τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν μόνου τοῦ ἀνθρώπου ἐστίν, αἱ γὰρ μακρόβιοι νύμφαι οὐ διδάσκονται, ἀλλὰ φύσει ἔχουσι τὴν εἴδησιν. Ἄλλοι δέ φασιν, ὅτι «ὅρος ἐστὶ λόγος σύντομος, δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος»· [ὁ] «λόγος» δὲ πρόσκειται διὰ τὸ ἄνθρωπος· τοῦτο γὰρ δηλοῖ τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος, ἀλλ᾽ οὐκ ἔστι λόγος· ὁ δὲ ὅρος λόγος θέλει εἶναι, τουτέστιν ἐκ πλειόνων λέξεων θέλει συγκεῖσθαι· «σύντομος» δὲ πρόσκειται, ἐπειδὴ ἔστι λόγος ⟨τοῖς⟩ λαοῖς καὶ διηγηματικός· «δηλωτικὸς» δὲ «τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος» πρόσκειται διὰ τὰ ἀποφθέγματα, οἷον διὰ τὸ «μηδὲν ἄγαν» καὶ «γνῶθι σαυτόν»· ταῦτα γὰρ καὶ λόγοι εἰσὶ καὶ σύντομοι, καὶ ὅμως οὐ δηλοῦσι τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος, ὅθεν οὐδὲ ὅροι εἰσίν.

Μαθόντες οὖν τί ἐστιν ὅρος, εἴπωμεν τίς ὑγεία ὅρου καὶ τί τὸ πάθος. Ὑγεία οὖν ἐστιν ὅρου τὸ ἀντιστρέφειν τὸν ὅρον πρὸς τὸ κεφαλαιῶδες, ἤγουν πρὸς τὸ ὁριστόν· οἷον τί ἐστιν ἄνθρωπος; ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· ⟨τί ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν; ἄνθρωπος·⟩ ἰδού, τοῦτό ἐστι τὸ ἀντιστρέφειν. Κεφαλαιῶδες δὲ λέγεται τὸ ὁριστόν, ἐπειδὴ ὥσπερ τὸ κεφά-

---

1 *Aristot. Top. I 5, 101*[b] *39:* ἔστι δ᾽ ὅρος μὲν λόγος ὁ τὸ τί ἦν εἶναι σημαίνων. *cfr Top. VII 5, 150 (bis)* [a] *31* | ὄν τι (ὂν *paene evan.*) C, τί τί h (ὂν *om* b) ‖ 2 ἦν *add Steinth.*[2] *2, 165* | τὸ τί b, τοῦ τί C ‖ 4 ῥήματι (τ *non distincte*) C, ῥήμασι h, ῥῆμα *dubitanter Steinth.*[2], *fort.* προσθέσθαι ῥῆμά τι b ‖ 5 ἐστιν ⟨ἡ τοῦ⟩ ἰδ. b ‖ 7 ἀντιστροφήν b, ἀναστροφήν C ‖ 9 καὶ ἰδίου *add Steinth.*[2] *2, 166* | ἴδιόν τι C, ἰδίαν διάνοιαν b | ὁριζόμενοι b, ὁρίζει C ‖ 12 καὶ γὰρ b, διὰ (*ut videtur*) γὰρ C, τὰ γὰρ h ‖ 17 καὶ τὰ ἄλλα ζῷα] καὶ . . αλλ . . ζῶ . . C, καὶ οἱ λοιποὶ h b | θνητοὶ C ‖ 18 τὸ b, τοῦ C ‖ 19 φύσει *Steinth*[2] *2, 166*, φῶς C ‖ 22 φύσιν] οὐσίαν C ‖ 24 ἐπειδὴ ἐστι (*ut videtur*) λό . . . . λαοῖς C, λαοῖς (*ceteris omissis*) h ‖ 32 τί ἐστι — ἄνθρωπος (33) *add* b

λαιον τὸ διὰ πλειόνων λέξεων λεγόμενον ὡς ἐν συντόμῳ παραδίδωσιν, οὕτω καὶ ὅλος ὁ ὅρος, λέγω δὴ τὸ ζῷον λογικὸν καὶ ἑξῆς, διὰ μιᾶς λέξεως δηλοῦται, ὁ ἄνθρωπος. Πάλιν ὑγεία ὅρου ἐστὶ τὸ σύμμετρον, λέγω δὴ τὸ μήτε ἐλλείπειν μήτε πλεονάζειν· ἐὰν μὲν ⟨γὰρ⟩ ἐλλείπῃ ταῖς λέξεσιν, ⟨πλεονάζει τοῖς πράγμασιν, ἐὰν δὲ πλεονάζῃ ταῖς λέξεσιν⟩, ἐλλείπει τοῖς πράγμασιν· οἷον ἐὰν ⟨μὲν⟩ εἴπω «ζῷον λογικὸν θνητὸν 649b νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν», ἐπλεόνασα μὲν ταῖς λέξεσιν, ἐνέλειψα δὲ τοῖς πράγμασι, μόνον γὰρ τὸν γραμματικὸν ἐδήλωσα· ἐὰν δὲ εἴπω «ζῷον λογικόν», ἐνέλιπον μὲν ταῖς λέξεσιν, ἐπλεόνασα δὲ τοῖς πράγμασιν· οὐ μόνον ⟨γὰρ⟩ τὸν ἄνθρωπον εἰσήγαγον, ἀλλὰ καὶ ἄγγελον καὶ δαίμονα.

Ὠνόμασται δὲ ὅρος ἀπὸ μεταφορᾶς ⟨τοῦ⟩ ἐν ταῖς πόλεσιν ἐπὶ τῶν ὁροθεσίων· ὥσπερ ⟨γὰρ⟩ τὰ ὁροθέσια διαχωρίζουσι τὰ ἀλλότρια ἀπὸ τῶν ἰδίων καὶ ἑκάστῳ τὸ ἴδιον ἀποδιδόασι, τὸν αὐτὸν τρόπον καὶ ὁ ὅρος χωρίζει τὰ ἀλλότρια ἀπὸ τῶν ἰδίων καὶ τὰ ἁρμόζοντα τῷ ὁριστῷ παραδίδωσιν.

Σχηματίζεται δὲ ὅρος τοῦτον τὸν τρόπον· ὥσπερ ἀπὸ τοῦ σπείρω γέγονε σπόρος, οὕτω καὶ ἀπὸ τοῦ εἴρω (τὸ συμπλέκω καὶ συνάπτω) γίνεται ὅρος· καὶ γὰρ ὁ ὅρος συμπλέκει καὶ συνάπτει τῷ ὁριστῷ τὰ ἴδια αὐτοῦ· ἐκ τοῦ εἴρω δὲ καὶ ὅρμος, τὸ σημαῖνον τὸν περιτραχήλιον κόσμον, καὶ γὰρ ὁ περιτραχήλιος κόσμος συμπεριέχει κόσμιόν τι· καὶ ἐκ τούτου καὶ ὅρμος ὁ λιμήν, περιεκτικὸς γάρ ἐστιν ὁ λιμὴν πλήθους νεῶν. Ἡρωδιανὸς δὲ λέγει, ὅτι ἀπὸ τοῦ ὁρῶ (τὸ βλέπω) γέγονεν ὅρος· καὶ γὰρ ὁ ὅρος εὐόρατα καὶ εὔοπτα ποιεῖ ἡμῖν τὰ ὁριζόμενα. Εὐλόγως δὲ δασύνεται τὸ ὅρος· εἴτε γὰρ ἀπὸ τοῦ εἴρω γινόμενον (τὸ συμπλέκω) δασύνεται, ἐπειδὴ καὶ τὸ εἴρω δασύνεται, εἴτε ἀπὸ τοῦ ὁρῶ, ὡσαύτως.

Εἴπωμεν δὲ τὸν ὅρον τῆς τέχνης. Οἱ μὲν Ἐπικούρειοι οὕτως ὁρίζονται τὴν τέχνην· «τέχνη ἐστὶ μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον»· ἐνεργοῦσα δὲ οἱονεὶ ἐργαζομένη. Ὁ δὲ Ἀριστοτέλης οὕτως· «τέχνη ἐστὶν ἕξις ὁδοῦ τοῦ συμφέροντος ποιητική»· ἕξις δέ ἐστι πρᾶγμα μόνιμον καὶ δυσκατάληπτον. Οἱ δὲ Στωϊκοὶ λέγουσι· «τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐμπειρίᾳ ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ». «Σύστημα» δὲ οἱονεὶ συνάθροισμα· οὕτω γὰρ 650b εἰώθαμεν λέγειν σύστημα στρατιωτῶν, τουτέστι [τὸ] συνάθροισμα· οὐ γάρ ἐστι τέχνη μονοειδής, ἀλλ᾽ ἐκ διαφόρων πολλῶν συνίστανται αἱ τέχναι· οὐ γὰρ ὁ μόνον ξέσαι εἰδὼς οὗτος τέκτων, ἀλλ᾽ εἰ μὴ καὶ τρυπῆσαι καὶ κολλῆσαι καὶ ἁρμόσαι ⟨οἶδεν, οὐκ ἔστι τέκτων⟩. «Ἐκ καταλήψεων» δὲ οἱονεὶ ἐξ ἐφευρημάτων, ἐκ γνώσεων, ἐκ θεωρημάτων· [ἐκ γὰρ θεωρημάτων ἡ ἰατρική·] οὐ γὰρ ἀπ᾽ ἀρχῆς ὡς εἰσὶ γεγόνασιν αἱ τέχναι, ἀλλὰ ἐ⟨γ⟩κατελάβετο ὁ

10 γὰρ *in marg. add* h ‖ **15** ὁριστῷ b, ὁριστικῷ C ‖ **21** ἐπιτραχήλιος C ‖ **24** ὁριζόμεθα C ‖ **26** δασύνεται (*poster.*)] αὐτό hb, *evanuit in* C ‖ **29** οἱονεὶ] οἷον C | *Aristot. Eth. Nicom. VI 4, 1140*ᵃ*, 10. 20:* τέχνη ἕξις τις μετὰ λόγου ἀληθοῦς ποιητική ἐστιν ‖ **32** συγγεγυμν. C ‖ **36** εἰ μὴ b, εἰ μὶ C, εἰ μὲν h

δεῖνα πρὸ πολλοῦ χρόνου τὸ τρυπᾶν καὶ ὁ δεῖνα τὸ ξέειν, καὶ παρέδωκε τοῖς καθ' ἑαυτόν, καὶ ὁ δεῖνα τὸ πρίζειν· καὶ οὕτως ἐξ ἑνὸς εἰς ἕνα συμπεραιούμεναι αἱ τέχναι τὸ τέλειον κατειλήφασιν. Καὶ ἡ ⟨ἰα⟩τρικὴ δὲ οὐκ ἐξ ἑνὸς ἢ δευτέρου θεωρήματος μόνου, ἀλλὰ καὶ ἐκ πλειόνων συνέστη· οἱ δὲ συστησάμενοι ταύτην οὐκ ἀμογητὶ αὐτὴν συνεστήσαντο οὔτε ἐφάπαξ, ἀλλὰ πολλῶν ἀνδρῶν πολλὴν συνεισενεγκαμένων σπουδὴν καὶ πολλοὺς πόνους ὑποστάντων, τοῦ μὲν τόδε τὸ θεώρημα εὑρηκότος καὶ πολλάκις πειράσαντος καὶ μήπω ἀξιώσαντος αὐτὸ τῇ τέχνῃ προσάψαι, ἄχρις οὗ ἀπὸ τῆς τῶν πραγμάτων ἐβεβαιώθη μαρτυρίας, καὶ ἑτέρου ὁμοίως τινὰ εὑρηκότος θεωρήματα, καὶ ἄλλου ἄλλα, κἀνταῦθα ἐκ τῶν κατὰ μέρος ἱδρῶτι πολλῷ ἀθροίσματος γενομένου καὶ τὴν τέχνην ἐργασαμένου. Μήτις δὲ οἰέσθω, ἄθροισμα μόνον πολλῶν θεωρημάτων τὴν ἰατρικὴν ὑπάρχειν, ἀλλὰ καὶ συνέχειαν φυλαττόντων πρὸς ἄλληλα καὶ τάξιν τινὰ καὶ ἀκολουθίαν, καὶ εἰς ἓν ἅπαντα τέλος ὁρῶντα, τὴν ὑγείαν· οὐκοῦν εἰκότως λέξομεν αὐτὴν ἐκ θεωρημάτων συνίστασθαι συγγεγυμνασμένων πρός τι τέλος, ἓν γὰρ τέλος αὐτῆς ὑγεία· ἀλλὰ καὶ εὔχρηστον τὸ τέλος τοσοῦτον, ὡς μήτε τὰς ἄλλας δύνασθαι τὸ οἰκεῖον τέλος τούτου χωρὶς ἐπιδείξασθαι τῶν ἐν τῷ βίῳ. «Ἐγγεγυμνασμένων» οἱονεὶ δεδοκιμασμένων· ἕως γὰρ νῦν δοκιμάζονται, καὶ λεπτότεραι
651b ἑαυτῶν καὶ ἀκριβέστεραι αἱ τέχναι προέρχονται· ἐγγεγυμνασμένων οὖν ἀντὶ τοῦ ἐξηκριβολογημένων· εἴληπται δὲ ἡ λέξις ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν· οὗτοι γὰρ γυμνάσαντες ἑαυτοὺς εἰς τὸν κατ' ἀλλήλων ἀγῶνα χωροῦσιν, ὅς ἐστι βάσανος ἀρετῆς· ἢ «ἐγγεγυμνασμένων» τουτέστι μεμελετημένων· οὐδὲ γὰρ ἀνιδρωτὶ συνέστησαν αἱ τέχναι. Ἀθήναιος δὲ τὴν ἐναντιότητα παρέλαβεν· οὗτος δὲ καὶ τὸ καταλήψεων ἀντὶ τοῦ θεωρημάτων ἐκλαμβάνει· θεώρημα δὲ εἴρηται ἀπὸ τοῦ ἐκ θεοῦ τὴν ὥραν ἔχειν· ὥρα δέ ἐστιν ἡ φροντίς. «Πρός τι τέλος εὔχρηστον», ἐπειδὴ πᾶσα τέχνη ὀνομάζεται ἐκ τοῦ τέλος ἔχειν βιωφελὲς καὶ χρήσιμον· καὶ γὰρ ἡ γεωργικὴ τὰ ἀπὸ τῆς γῆς ἀγαθὰ πορίζει, καὶ αἱ λοιπαὶ πᾶσαι, οἷον χαλκευτικὴ καὶ τεκτονικὴ καὶ ἑξῆς, τὰ πρὸς ὠφέλειαν ἐπινοοῦνται· ὡς ἥ γε τέχνη ἡ μὴ ἔχουσα τὸ τέλος χρειῶδες καὶ ὠφέλιμον οὐ τέχνη, ἀλλὰ κακοτεχνία ὀνομάζεται· ⟨ἡ⟩ κυβευτικὴ γοῦν, καίτοι λεπτομερὴς οὖσα καὶ ἀκριβής, οὐκ ἂν λεχθείη τέχνη, ὅτι πολλοὺς τῶν ἰδίων ἐστέρησε καὶ τὸ τέλος ἐπιβλαβὲς τοῖς κεκτημένοις ἔχει· καὶ ⟨ἡ⟩ γοητευτική, καθὸ τὸ τέλος οὐκ εὔχρηστον ἔχει, καὶ αὐτὴ κακοτεχνία ὀνομάζεται. Ἰστέον δὲ ὅτι, ὥσπερ τῆς ἰατρικῆς τέλος ἐστὶν ἡ ὑγεία καὶ τῆς ῥητορικῆς τὸ πείθειν, τὸν αὐτὸν τρόπον καὶ τῆς γραμματικῆς τὸ τέλος ὁ ἑλληνισμός.

---

3 ἡ ἰατρικὴ b, ἡ (*in fine versus*) τρικὴ C, μετὰ τρίτον h ‖ **8** αὐτὸ b, αὐτῷ C ‖ **9** οὗ] ἂν Cb ‖ **16** ἓν hb, ἂν C ‖ **22** γυμνάσαντες] γυμνώσαντες Cb ‖ **28** πᾶσα — τοῦ b, πᾶσαν τέχνην ὀνομάζεσθαι ἐκτὸς C ‖ **30** ὠφέλειαν] ἀσφάλειαν Cb | ἐπινοοῦνται b, ἐπινορωμ//// (*seu* ἐστινορωμ///) C, ἐστὶν ὁρμώμενα h ‖ **32** λεπτομερὲς C ‖ **33** πολλοὺς b, πολλὰς C ‖ **34** ἡ *add* hb ‖ **35** αὕτη C

Ἑπτὰ δέ τινα τῇ καθόλου τέχνῃ παράκειται, τεχνοειδές, ἡμιτέχνιον, μικροτεχνία, ψευδοτεχνία, κακοτεχνία, ματαιοτεχνία, ἀτεχνία. Καὶ τεχνοειδὲς μέν ἐστιν ἀλόγου ζῴου δύναμις φυσικὴ μιμουμένη τέχνην, ὡς ἡ τῶν μελισσῶν πλαστικὴ καὶ ⟨ἡ⟩ τῶν χελιδόνων οἰκοδομ⟨ικ⟩ή. Ἡμιτέχνιον δέ ἐστιν ἡ ἐξ ὀλίγων θεωρημάτων συνεστηκυῖα τέχνη, ὡς ἡ ξυστικὴ καὶ ἡ ἀπονυχιστική. Μικροτεχνία δέ ἐστιν ἧς τὸ ἀποτέλεσμα βραχύτατόν ἐστιν, ὡς ἐπὶ Μυρμηκίδου τοῦ Ἀθηναίου καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου· οὗτοι γὰρ ἐποίησαν σιδηροῦν ἅρμα ὑπὸ μυίας ἑλκόμενον καὶ τῷ πτερῷ τῆς μυίας καλυπτόμενον. Ψευδοτεχνία δέ ἐστι βραχεῖα 653b τέχνη, μείζονος ὑποδυομένη τέχνης ἔργον, ὥσπερ οἱ φαρμακοπῶλαι ἤγουν οἱ μυρεψοί· οὗτοι γὰρ λέγουσιν ἑαυτοὺς ἰατρούς. Κακοτεχνία δέ ἐστιν ἕξις εὑρημένη ἐπὶ κακῷ τῷ βίῳ, ὥσπερ ἡ τῶν δηλητήρων καὶ ἡ τῶν τυμβωρύχων. Ματαιοτεχνία δέ ἐστιν ἡ μηδὲν συντελοῦσα τῷ βίῳ τέχνη, ὥσπερ ἡ σχοινοβατική, ἤγουν ὁ ἐν τῇ σχοίνῳ περιπατῶν, καὶ ὥσπερ ὁ κοντοπαίκτης. Ἀτεχνία δέ ἐστιν ἁμάρτημα τῷ τεχνίτῃ γενόμενον.

Φασὶ δὲ τῶν τεχνῶν διαφορὰς τέσσαρας εἶναι· λέγουσι γὰρ ὅτι τῶν τεχνῶν αἱ μέν εἰσι ποιητικαί, αἱ δὲ θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ μικταί. Καὶ ποιητικὴ μέν ἐστιν ἣ ὕλην τινὰ λαβοῦσα κατασκευάζει ⟨τι⟩ ἐντέχνως, ὥσπερ ἡ χαλκευτικὴ καὶ ἡ σκυτοτομικὴ καὶ ἡ τεκτονική. Πρακτικὴ δέ ἐστιν ἡ δι' ὀργάνων καταπραττομένη τινά, ὥσπερ ἡ στρατηγική, ἥτις μηχαναῖς τε καὶ ὀργάνοις τοὺς ἐναντίους καταγωνίζεται. Θεωρητικὴ δέ ἐστιν ἡ τὰ πράγματα θεωροῦσα διὰ λιτῆς θεωρίας, ὥσπερ ἡ ἀστρονομία καὶ ἡ φιλοσοφία· ἰστέον δὲ ὅτι θεωρία ἐστίν, ἡνίκα τις θεωρεῖ μόνον καὶ οὐδὲν λέγει, ὡς ὅταν ὁ ἀστρονόμος θεωρῇ μόνον τὰ ἄστρα. Μικτὴ δέ ἐστιν ἡ ἐκ τούτων τῶν προειρημένων συγκειμένη, ὡς ἡ ἰατρική· τὸ μὲν γὰρ αὐτῆς περὶ τοὺς λόγους ἐστὶ καταγινόμενον ἐν θεωρίᾳ καὶ ⟨θεωρητικόν⟩, τὸ δὲ χειρουργικόν ἐστι καὶ πρακτικόν. ⟨Ὡσαύτως δὲ καὶ ἡ γραμματικὴ μικτή ἐστι τέχνη·⟩ καὶ γὰρ τὸ μὲν διορθωτικὸν καὶ ἡ ὀρθογραφία τοῦ ποιητικοῦ εἰσιν, ἡ δὲ θεωρία τῶν μερῶν τοῦ λόγου τοῦ θεωρητικοῦ ἐστιν.

Λούκιος δὲ ὁ Ταρραῖος λέγει, ὅτι τῆς τέχνης εἴδη ⟨εἰσὶ⟩ τέσσαρα, ἀποτελεσματικόν, πρακτικόν, ὀργανικόν, θεωρητικόν. Καὶ ἀποτελεσματικαὶ μέν εἰσι τέχναι, ὅσαι εἰς συντέλειαν ἤγουν εἰς τὸ συμφέρον ἀπαρτίζουσι καὶ συμπεραίνουσι πᾶν τὸ κατασκευαζόμενον τὸ ἐξ ἑνὸς ἢ

1—16 hab. et. O[d]

3 ὡς — οἰκοδ. (**4**) *om* O ‖ **5** ἡ ἐξ — ξυστική C, ὥσπερ ἡ κουρευτική O ‖ **6** δέ *add* O ‖ **7** Μυρμηκίδου O, Μυρκίδου C ‖ **12** δηλητήρων *R Schneider*, δηλητηρίων C | ἡ τῶν τυμβ. C, ἡ μαγευτική O ‖ **13** ματαιοτεχνίαν C | ἐστιν — ὥσπερ (**14**) *add* O ‖ **21** στρατηγική] στρατιωτική C ‖ **23** διὰ λιτῆς b, δι' ἀλ' (*finis versus*) του C ‖ **25** θεωρῇ b, θεωρεῖ C ‖ **28** θεωρητικόν] . . . ρ. τ . . C, *lac. 8 litt.* h | Ὡσαύτως — τέχνη (**29**)] *nulla lac.* Ch, *lac. ind.* b ‖ **31** ἐστιν] εἰσι C ‖ **33** θεωρηματικὸν C ‖ **34** ἤγουν εἰς] ἦγον εἰς C, ἦσαν καὶ εἰς h, ἦσαν καὶ b

καὶ πλειόνων, ἐξ ἑνὸς μέν, ὥσπερ ἡ τεκτονικὴ καὶ ἡ χαλκευτική· καὶ 653b γὰρ ἡ τεκτονικὴ ἐξ ἑνὸς μέρους κατασκευάζεται, ἐκ τῶν ξύλων, καὶ ἡ χαλκευτικὴ ἐξ ἑνός, ⟨ἐκ⟩ χαλκοῦ· ἐκ πλειόνων δέ, ὥσπερ ἡ οἰκοδομικὴ ἐκ πλειόνων κατασκευάζεται, ἀπὸ ἀσβέστου καὶ λίθων, καὶ ἡ ὑφαντικὴ ⟨ἐξ⟩ ἐρίου καὶ διαφόρων ὑφασμάτων· αἱ δὲ τοιαῦται κριτὴν ἔχουσι τὸν χρόνον· ἐφ᾽ ὅσον γὰρ ἂν ὁ χρόνος διατηρῇ αὐτάς, ἐπὶ τοσοῦτον μένουσιν. Πρακτικαὶ δέ εἰσιν, αἵτινες κατὰ πράξεως κίνησιν γίνονται· τούτων δὲ τάξεις εἰσὶ πέντε, αὐτοκίνητος, ἀντίπαλος, στοχαστική, μεθοδική, ὑπουργηματική. Καὶ αὐτοκίνητος μέν ἐστιν ἡ ἐξ αὐτοῦ τοῦ ἀνθρώπου καθ᾽ ἑαυτὸν κινουμένου συνεστῶσα, ὥσπερ ἡ ὀρχηστική· ταύτην ⟨γὰρ⟩ ὁ ἄνθρωπος κινούμενος συνίστησιν· ἀντίπαλος δέ ἐστιν ἡ πρὸς ἕτερον ἀντιτεταγμένη ἤτοι ἄνοπλον ἢ ἔνοπλον, ἄνοπλον μέν, οἷον παλαιστικὴ καὶ παγκρατιαστική, ἔνοπλον δέ, οἷον ὁπλομαχία καὶ πυκτική· καὶ γὰρ οἱ πύκται βύρσας ἐπιτιθέασι ταῖς χερσὶν αὐτῶν καὶ οὕτω γυμνάζονται· στοχαστικὴ δέ ἐστιν ἡ κατὰ στοχασμὸν ὡρισμένον γινομένη, ὥσπερ ἡ ῥητορικὴ καὶ ἡ ἀκοντιστική· μεθοδικὴ ⟨δέ⟩ ἐστιν ἡ μεθόδῳ τινὶ πραττομένη, ὥσπερ ἡ κυνηγετικὴ καὶ ἡ ἁλιευτική· αὗται γὰρ διὰ μεθόδου τινὸς γίνονται· ὑπουργηματικὴ δέ ἐστιν ἡ μεθ᾽ ὑπουργίας ἑτέρων δρωμένη, ὥσπερ ἡ ἡνιοχευτικὴ καὶ ἡ κυβερνητική· αὗται γὰρ μεθ᾽ ὑπουργίας ἑτέρων γίνονται, καὶ ἡ μὲν ἡνιοχευτικὴ διὰ τῶν ἵππων καὶ τῶν χαλινῶν γίνεται, ἡ δὲ κυβερνητικὴ διὰ τοῦ πηδαλίου. Πᾶσαι δὲ αἱ πρακτικαὶ τέχναι κριτὴν ἔχουσι τὸν τῆς πράξεως καὶ ἐνεργείας μόνον καιρόν· καὶ γὰρ ⟨ἐν⟩ τῷ καιρῷ, ἐν ᾧ καὶ γίνονται, ἐν ⟨τῷ⟩ αὐτῷ καὶ εἰσίν. Ὀργανικαὶ δέ εἰσιν, ὅσαι δι᾽ ὀργάνων συνεστήκασιν· τούτων δὲ εἴδη τρία, ἐμπνευστικόν, ἁπτικὸν καὶ τὸ συναμφότερον· καὶ ἐμπνευστικὸν μέν, ὥσπερ ἡ συριστικὴ ⟨καὶ ἡ σαλπιστική⟩· ἐμπνέουσι γὰρ ἐν τῇ σύριγγι καὶ ἐν τῇ σάλπιγγι, καὶ οὕτω συρίζουσι καὶ σαλπίζουσιν· ἁπτικὸν δέ ἐστιν, 654b ὥσπερ ἡ κιθαριστική· καὶ γὰρ ἁπτόμενος τῇ χειρὶ ποιεῖ τὴν κιθάραν τὸ μέλος ἀφιέναι· τὸ συναμφότερον δέ, ὡς ⟨ἡ⟩ αὐλητική· καὶ γὰρ ἐν τῷ αὐλῷ καὶ ἐμπνεῖ καὶ ἅπτεται τῇ χειρί, καὶ οὕτως αὐλίζει· αὗται δὲ αἱ τέχναι κριτὴν ἔχουσι τῆς ἐνεργείας μόνον τὸν καιρόν, ἐν ᾧ γίνονται. Θεωρητικαὶ δέ εἰσι τέχναι, ὅσαι δι᾽ ἐννοίας καὶ δι᾽ ἐνθυμήσεως καὶ διὰ λόγου ἀκολουθητικοῦ θεωροῦνται, ὥσπερ ἡ γεωμετρία καὶ ἡ ἀστρονομία.

Ἰστέον δὲ ὅτι τῶν τεχνῶν ἁπασῶν ἡ γνῶσις ἐπιστήμη καλεῖται, ὡς μαρτυρεῖ καὶ ὁ ποιητής· ἐπὶ ⟨τῆς⟩ μὲν ἀποτελεσματικῆς, ⟨Ε 60⟩ ὃς χερσὶν ἐπίστατο δαίδαλα πολλὰ Τεύχειν· καὶ ἐπὶ τῆς πρακτικῆς, ⟨Η 238⟩ οἶδ᾽ ἐπὶ δεξιά, οἶδ᾽ ἐπ᾽ ἀριστερὰ νωμῆσαι βῶν Ἀζαλέην, ⟨Η 240 seq.⟩ οἶδα δ᾽ ἐπαΐξαι μόθον ἵππων ὠκειάων, Οἶδα δ᾽ ἐνὶ

3 ἐκ *ante* χαλκ. *om* Ch, τοῦ *in marg. add* h ‖ **10** κινουμένου συνεστῶσα b, κινουμένη συνιστῶσα C | ταύτην] ταῦτα C ‖ **11** ἐνίστησιν *in* συνίστησιν *corr* C[1] | ἕτερον ἀντιτεταγ. b, ἑτέρας ἀντιταγ. C ‖ **21** δὲ αἱ] γὰρ αἱ C ‖ **36** πολλὰ C, πάντα *edd. Hom.* ‖ **38** οἰδ᾽ ἐπαΐξαι C | δὲ ἐν σταδίη δηΐων μέλπ. C

σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρηϊ· ἐπὶ δὲ τῆς ὀργανικῆς, ⟨θ 488⟩ ἤ σέ γε Μοῦσ' ἐδίδαξε, Διὸς παῖς, ἤ σέ γ' Ἀπόλλων· ἐπὶ δὲ τῆς θεωρητικῆς, ⟨Ο 283⟩ ἀγορῇ δέ ⟨ἑ⟩ παῦροι Ἀχαιῶν Νίκων.

Ἔτι ⟨δὲ⟩ τῶν τεχνῶν αἱ μέν εἰσι βάναυσοι, αἱ δὲ ἐγκύκλιοι. Καὶ βάναυσοι ⟨μέν⟩, αἳ καὶ χειρωνακτικαὶ λέγονται, ὥσπερ ἡ χαλκευτικὴ καὶ ἡ τεκτονική· χειρωνακτικαὶ δὲ καλοῦνται, ἐπειδὴ χειρώνακτας καλοῦσι τοὺς ταῖς οἰκείαις χερσὶν ἐργαζομένους, οἱονεὶ χειρῶν ἄνακτας· ὁμοίως δὲ βάναυσοι αἱ διὰ πυρὸς τὴν ἐργασίαν ποιούμεναι, ὥσπερ ἡ χαλκευτική, καταχρηστικῶς δὲ ⟨λέγουσι βαναύσους⟩ καὶ πάσας τὰς διὰ χειρὸς τὴν ἐργασίαν ποιουμένας, οἱονεὶ τεκτονικὴν ⟨καὶ⟩ οἰκοδομικήν. Γίνεται δὲ ἡ λέξις παρὰ τὸ φῶ (τὸ φαίνω), ἐξ οὗ φαύνω, καὶ ἀποβολῇ τοῦ φ̄ αὔνω· ἐκ τούτου αὐνός καὶ βαυνός, ὅπερ κοινῶς μὲν ὀξύνεται, ἀττικῶς δὲ βαρύνεται· σημαίνει δὲ τὴν κάμινον, ὡς παρὰ τῷ Ἐρατοσθένει 655 b ⟨p. 99 H⟩ μέσον δ' ἐξαύσατο βαυνόν, ἤγουν ὑφῆψε· καὶ ὡς παρὰ τὸ ἵππος ἵππασος καὶ παρὰ τὸ χόρτος χόρτασος, οὕτως καὶ παρὰ τὸ βαυνός βαύνασος, καὶ καθ' ὑπερβιβασμὸν βάναυσος. Ἐγκύκλιοι δέ εἰσιν, ἃς ἔνιοι λογικὰς καλοῦσιν, οἷον ἀστρονομία, γεωμετρία, μουσική, φιλοσοφία, ἰατρική, γραμματική, ῥητορική· ἐγκυκλίους δὲ αὐτὰς καλοῦσιν, ὅτι τὸν τεχνίτην ⟨δεῖ⟩ διὰ πασῶν αὐτῶν ὁδεύσαντα τὸ χρειῶδες ἀφ' ἑκάστης εἰς τὴν ἑαυτοῦ εἰσάγειν.

Ἄλλοι δὲ ἄλλας παραδιδόασι διαφορὰς [τέσσαρας] τῆς τέχνης. Ἔστι δὲ θεωρητικὴ καὶ πρακτικὴ καὶ ποιητικὴ καὶ ἐκ τούτων μικτή. Καὶ θεωρητικὴ μέν ἐστιν ἡ τῇ θέᾳ παραδιδομένη μόνῃ, ὥσπερ ἡ ἀστρονομία. Πρακτικὴ δέ ἐστιν, ἥτις ὀργάνων ἐν τῇ πράξει δεῖται, οἷον κριῶν καὶ τῶν τοιούτων μηχανημάτων, ὥσπερ ἡ στρατηγική· ⟨ἢ⟩ πρακτικαί εἰσιν, ὅσαι μέχρι τοῦ γίνεσθαι ὁρῶνται, ὥσπερ ἡ αὐλητικὴ καὶ ἡ ὀρχηστική· αὗται γὰρ ἐφ' ὅσον χρόνον πράττονται, ἐπὶ τοσοῦτον καὶ ὁρῶνται, μετὰ γὰρ τὴν πρᾶξιν οὐχ ὑπάρχουσιν. Ποιητικαὶ δέ εἰσιν, ὅσαι ὕλην ἀδιατύπωτον λαμβάνουσαι ποιοῦσί τι πρὸς μνήμην τοῦ δημιουργήσαντος, ὥσπερ ἡ χαλκευτική· αὕτη γὰρ λαβοῦσα χαλκὸν ἀποτελεῖ εἶδος πρὸς μνήμην τοῦ δημιουργήσαντος. Μικτὴ δέ ἐστιν, ὥσπερ ἡ ἰατρική· αὕτη γὰρ καὶ λόγῳ κέχρηται, ἡνίκα εἴπῃ «ῥαφήτω τόδε τι», καὶ πράξει, ἡνίκα φλεβοτομήσῃ.

Ἔστιν οὖν ἐπιστήμη, τέχνη, ἐμπειρία, πεῖρα. Καὶ ἐπιστήμη μέν ἐστιν ἕξις ἀμετάπτωτος λογική, ὥσπερ ⟨ἡ⟩ ἀστρονομία καὶ ⟨ἡ⟩ γεωμε-

1 ἦσε γε *et* 2 ἦσε γ' C ‖ 4 *prius* δὲ *add* hb | βάναυσοι *et supra* οι *m²* αι C ‖ 5 βαυναυς *et ligatura non satis distincta* C | μέν *in marg. add* h | χειροναυτικαὶ C; *item v. 6* ‖ 7 χειρῶν ἄν. *RSchneider*, χειράνακτας b, χειρανάκτεις C ‖ 8 βάναυσαι C ‖ 10 καὶ *add* hb ‖ 12 αὔνος καὶ βαύνος C ‖ 13 τῷ hb, τὸ C ‖ 14 δὲ ἐξ. βαύνον C | ὑφηῦνε Cb ‖ 16 βαῦνος βάνασος C ‖ 19 δεῖ *add* b ‖ 21 ἄλλας b, ἄλλως C ‖ 22 δὲ] γὰρ C ‖ 24 τῇ πράξει b, τῇ παρατάξει C ‖ 25 ἢ *add* b *p. 1139* ‖ 32 ῥαφήτω] τραφήτω C

τρία· «ἀμετάπτωτος» δὲ οἷον ἄπταιστος. Τί δέ ἐστι τέχνη, ἐμάθομεν ἀνωτέρω. Ἐμπειρία δέ ἐστιν ἡ τῶν ὡσαύτως ἐχόντων πραγμάτων τήρησίς τε καὶ μνήμη, ὡς ἐπὶ τῶν ἐμπειρικῶν ἰατρῶν. Πεῖρα δέ ἐστιν ἡ
656b ἐφ᾽ ἑνὸς καὶ δευτέρου δοκιμαζομένη, οἷον ὅταν λέγωμεν τὸν πλεύσαντα ἅπαξ ἢ δὶς πεῖραν εἰληφέναι τοῦ πλεῖν. Ἡ μὲν οὖν πεῖρα εἰς ἐμπειρίαν προκόπτει, ἡ δὲ ἐμπειρία εἰς τέχνην, ἡ δὲ τέχνη εἰς ἐπιστήμην, ἡ δὲ ἐπιστήμη εἰς τὴν καθόλου τέχνην· ἐπεὶ γὰρ τῶν τεχνῶν αἱ μέν εἰσι θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ ποιητικαί, αἱ δὲ μικταί, θεωρητικὴ δέ ἐστιν ἡ καθόλου σοφία, δῆλον ὅτι ὑπὸ τὴν καθόλου τέχνην ἀνάγεται.

Ἰστέον δὲ ὅτι περὶ πᾶσαν τέχνην ὀκτώ τινα θεωρεῖται· εἰσὶ δὲ ταῦτα, αἴτιον, ἀρχή, ἔννοια, ὕλη, μέρη, ἔργα, ὄργανα, τέλος· ἐπεὶ οὖν τέχνη ἐστὶν ἡ γραμματική, δῆλον ὅτι καὶ αὕτη ταῦτα τὰ ὀκτὼ ἔχει θεωρούμενα περὶ αὐτήν.

Αἴτιον οὖν ἐστι τῆς γραμματικῆς ἡ ἀσάφεια· καὶ γὰρ οἱ ἄνθρωποι ἐντυγχάνοντες ποιήμασι καὶ πεζοῖς συγγράμμασι, τὴν ἀρχαίαν καὶ ἀπεξε⟨νι⟩σμένην φωνὴν οὐκ ἀποσῴζοντες, ἐπεζήτησαν τέχνην τὴν σαφηνίσαι ταύτην δυναμένην· καὶ πολὺ πλέον ἐπεζήτησαν τὴν γραμματικὴν ἐν τοῖς ποιήμασι, γλώσσαις τε καὶ λέξεσι ξέναις χρωμένοις καὶ παραποιοῦσι καὶ ἐξιστοροῦσι πολλὰ σχήμασι, συντάξεσιν, ἐννοήμασι. Τάχα δὲ οὐχ ἡ ἀσάφεια ⟨αἴτιον⟩ τῆς γραμματικῆς, ἀλλ᾽ ἡ σαφήνεια· ὥσπερ γὰρ οἱ νοσήσαντες κατ᾽ ἐπιζήτησιν ὑγείας εὗρον τὴν ἰατρικήν, οὕτως καὶ οἱ περιπεσόντες γραφαῖς ἀσαφέσι σαφηνείας χάριν τὴν γραμματικὴν ἐπενόησαν· ὥστε δυνάμει ταὐτὸν εἶναι καὶ τὸ τέλος καὶ τὸ αἴτιον τῆς γραμματικῆς· καὶ γὰρ τὸ τέλος αὐτῆς ἐστι τὸ διὰ τοῦ ἑλληνισμοῦ τὰ ἀσαφῆ σαφηνίσαι, ἀλλὰ καὶ αἴτιον αὐτῆς ἡ σαφήνεια. Παρά τισι δὲ τὸ αὐτὸ καὶ ἀρχὴ λέγεται. Ἀριστοτέλης δὲ τὸ αἴτιον λέγει τετραχῶς νοεῖσθαι, ὅθεν, ἐξ οὗ, δι᾽ ὅ, καθ᾽ ὅ· καὶ ὅθεν μέν ἐστι τὸ ποιητικὸν αἴτιον, οἷον ὡς ὅταν λέγωμεν αἴτιον εἶναι τὸν θεὸν τοῦ κόσμου, ὑπὸ τοῦ θεοῦ γὰρ
657b γέγονεν ὁ κόσμος, καὶ πάλιν ὅτε λέγομεν αἴτιον τοῦ ἀγάλματος τοῦ Διὸς τὸν Φειδίαν, ὑπὸ τούτου γὰρ γέγονεν· ἐξ οὗ ⟨δέ⟩ ἐστι τὸ ὑλικόν, ὡς ὅταν λέγωμεν, ὅτι ἐκ τοῦ ἐλέφαντος καὶ τοῦ χρυσοῦ ἐγένετο τὸ ἄγαλμα τοῦ Διός· καθ᾽ ὃ δέ ἐστι τὸ εἰδικόν, κατὰ γὰρ τὸ εἶδος χαρακτηρίζονται τὰ πράγματα, οἷον ὡς ὅταν λέγωμεν, ὅτι εἶδός τι ἐνενόησε περιθεῖναι τῇ ὕλῃ ὁ Φειδίας, καὶ οὕτως ἐποίησε τὸ ἄγαλμα τοῦ Διός· τὸ δὲ δι᾽ ὃ τὸ τελικὸν αἴτιον, τουτέστι τὸ ἀποτέλεσμα τοῦ δημιουργήματος σημαίνει, οἷον τὸν Δία, τουτέστιν ἐφ᾽ ὃ σκοπὸν ἔχων ⟨ὁ Φειδίας⟩ καὶ ὁρμὴν ἀποτελεῖ ⟨τὸ ἄγαλμα⟩.

---

2 ἀνωτέρω] *108, 27 seqq* ‖ 4 λέγομεν C ‖ 14 αὐτήν h, αὐτῆς C ‖ 19 χρωμένοις — ἐξιστοροῦσι (20) b (*p. 1139*), χρωμένη καὶ παραποιοῦσα καὶ ἐξιστοροῦσα C | σχήματι C ‖ 27 Ἀριστοτέλης] *cfr Phys. II 3, 194*[b] *23 seqq; Metaph. I 3, 983*[a] *26* ‖ 29 λέγομεν C; *item v. 32 et 34* ‖ 36 ἀπετέλεσμα καὶ δημιουργημ C ‖ 37 ἐφ᾽ ὧ σκ. C | ἔχων ///// καὶ ὁρμὴν ἀποτελει ///////// C, *24 fere litter. vac. spat.* h

Ἡ δὲ ἀρχὴ λέγεται μὲν καὶ ὁσαχῶς τὸ αἴτιον, λέγεται δὲ καὶ ἡ ἐκ τοῦ μέρους ἢ μορίου, καθό φαμεν χρόνου ἀρχὴν καὶ βιβλίου ἀρχήν. Οὕτως οὖν καὶ τῆς γραμματικῆς ἀρχὴν νομίζουσι τὴν περὶ τὰς λέξεις θεωρίαν, πρώτην ⟨γὰρ⟩ γεγονέναι ταύτην, γεγενῆσθαι δ' ἔτι τὰ περὶ τὴν ⟨σύν⟩ταξιν ἀσαφῆ καὶ τὰ περὶ τὴν διάνοιαν· τριῶν γὰρ ὄντων περὶ ἃ ἡ ἀσάφεια θεωρεῖται, λέξεως, συντάξεως, διανοίας, προῆλθεν ἡ περὶ τὰς λέξεις θεωρία εὐλόγως, ἐπειδὴ ἡ λέξις ἁπλῆ ἐστιν, ἡ δὲ σύνταξις σύνθετος, ἀπὸ γὰρ πλειόνων λέξεων σύγκειται· τὰ δὲ ἁπλᾶ προτερεύουσι τῶν συνθέτων, καὶ γὰρ τὸ σοφός ἁπλοῦν ὑπάρχον προτερεύει τοῦ φιλόσοφος συνθέτου ὑπάρχοντος· ἡ δὲ σύνταξις προτέτακται τῆς σημασίας, ἐπειδὴ διὰ τῆς συντάξεως καὶ τῆς συνθήκης τῶν λέξεων τίκτεται ἡ τῆς σημασίας σαφήνεια.

Ἔλθωμεν δὲ καὶ ἐπὶ τὴν ἔννοιαν. Δεῖ ⟨δὲ⟩ εἰδέναι, ὅτι ἔννοιαν λέγουσι τὸν ὅρον, ἐπειδὴ ἐννοηματικοῖς ὅροις κέχρηνται οἱ φιλόσοφοι ἤγουν ὑπογραφικοῖς, ἢ ἐπειδὴ λεγόντων ἡμῶν τὸν ὅρον ἀνατρέχει ἡ ἔννοια ἡ ἡμετέρα ἐπὶ τὸ οριστόν· καὶ γὰρ ἐὰν εἴπωμεν «ζῷον λογικὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν», εὐθέως ἀνατρέχει ἡ ἡμετέρα ἔννοια εἰς τὸ ἄνθρωπος. Δέον οὖν ζητῆσαι τὴν ἔννοιαν τῆς γραμματικῆς ἤγουν τὸν ὅρον· ἀλλ' ἐπειδὴ λόγος ⟨ἐστὶν⟩ ὁ λέγων, ⟨ὅτι⟩ σαφηνίζειν ἀνάγκη τὴν 658 b
ὁμωνυμίαν, δεῖ γινώσκειν καὶ τὴν ὁμωνυμίαν, καὶ οὕτως ὁρίζεσθαι ἐκεῖνο, περὶ οὗ ὁ σκοπὸς ἔχει διαλαβεῖν· περὶ γραμματικῆς οὖν βουλόμενοι διαλαβεῖν, εἴπωμεν ποσαχῶς λέγεται ἡ γραμματική, καὶ εἶθ' οὕτως τὸν ὅρον αὐτῆς διαλέξομεν. Διχῶς οὖν λέγεται παρὰ τοῖς ἀρχαίοις, γραμματικὴ μικρὰ καὶ γραμματικὴ μεγάλη· καὶ μικρὰ μέν ἐστιν, ἧς ἔργον τοὺς χαρακτῆρας τῶν γραμμάτων εἰδέναι καὶ τὰς συλλήψεις αὐτῶν· τοὺς μετιόντας ταύτην νῦν διδασκάλους καλοῦσι, καὶ ἔστιν αὕτη τέχνη περὶ τὸ γράφειν καὶ ἀναγινώσκειν τὴν ἔγγραφον φωνήν. Μεγάλην δὲ γραμματικὴν λέγουσι τὴν καταγινομένην περὶ τὴν ἑρμηνείαν τῶν ποιητῶν, ἥντινα οὕτως ὁρίζουσι· «γραμματική ἐστι τέχνη θεωρ⟨ητ⟩ικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσι»· λογεῖς δὲ λέγουσι τοὺς ἱστορικοὺς καὶ φιλοσόφους καὶ ἰατροὺς καὶ ὅσους ἐν τῷ χορῷ τῶν λογίων τιθέναι δίκαιον· καὶ γὰρ φιλοσόφου ὄντος τοῦ θεωρήματος, ἡ μὲν ἀφήγησις καὶ ἡ σύνταξις τῷ γραμματικῷ ἁρμόζει, τὸ δὲ ζήτημα αὐτὸ τῷ φιλοσόφῳ. Πρόεισιν οὖν ἡ γραμματικὴ μέχρι τούτων.

Ὕλη δὲ γραμματικῆς ἐστιν ὁ γενικὸς λόγος. ⟨Ἔστι δὲ λόγος⟩ λέξεων σύνθεσις, διάνοιαν αὐτοτελῆ κατὰ σύμμετρον περιγραφὴν ἀπαρτίζουσα· «περιγραφὴν» δέ, ἵνα μὴ μακροαπόδοτος ὁ λόγος καὶ ἀσύμμετρος ᾖ. Τοῦ δὲ γενικοῦ λόγου ὁ μέν ἐστι πεζός, ὁ δὲ ποιητικός· ἐπισκέ-

---

2 μορίου] μόριον C ‖ **4** ταύτη γεγενῆσθαί τινα π. τ. τάξιν C ‖ **9** ὑπάρχων C ‖ **10** φιλοσόφου C ‖ **16** ὁριστόν b, ὁριστικὸν C ‖ **17** *ante* εὐθέως *add* καὶ C ‖ **21** ἔχει ἀναλαβεῖν C ‖ **24** τοὺς — γραμμάτων (**25**) b, τοῦ χαρακτῆρας τὸν γραμματικὸν C ‖ **26** τὸ] τοῦ C ‖ **28** καταγενομένην C ‖ **29** θεωρητικὴ b ‖ **33** αὐτὸ b, αὐτῷ C | **36** περιγραφὴν b, περιγραφῆς C

πτεται δὲ ὁ γραμματικὸς τὰ τοῦ λόγου μέρη καὶ τὰ συμβεβηκότα αὐτοῖς, οἷον προφοράν, σημασίαν καὶ τὰ τοιαῦτα. Καταγίνεται δὲ ⟨καὶ⟩ ἡ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ περὶ τὸν γενικὸν λόγον, ἀλλὰ διαφέρουσι τοῖς τέλεσι· τῆς μὲν γὰρ διαλεκτικῆς τἀληθές, τῆς δὲ ῥητορικῆς τὸ πείθειν, τῆς δὲ γραμματικῆς τέλος ἐστὶν ἡ κατάληψις τοῦ λόγου, τουτέστι τὸ διδάσκειν τί σημαίνει καὶ πῶς σημαίνει, οἷον διὰ ποίων μερῶν ὁ λόγος δηλοῦται.

659b Μέρη δὲ τῆς γραμματικῆς εἰσι τέσσαρα, ἀναγνωστικόν, διορθωτικόν, ἐξηγητικόν, κριτικόν· ἢ ⟨γὰρ⟩ λέγεται ὁ γενικὸς λόγος, καὶ ποιεῖ τὸ ἀναγνωστικόν· ἢ γράφεται, καὶ ποιεῖ τὸ διορθωτικόν· ἢ δηλοῦται, καὶ ποιεῖ τὸ ἐξηγητικόν· ἢ ζητοῦμεν πῶς δηλοῦται, καὶ ποιοῦμεν ⟨τὸ⟩ κριτικόν, κρίνοντες γὰρ γινώσκομεν πῶς δηλοῦται· πρῶτον γὰρ ἀναγινώσκει τὸ παιδίον, καὶ οὕτως ⟨διορθοῦται⟩ ὁ διδάσκαλος, καὶ μετὰ ταῦτα ἐξηγεῖται, καὶ μετὰ ταῦτα κρίνει.

Ἔργα δὲ τῆς γραμματικῆς ⟨πάντα τὰ γνωστὰ ἀνθρώποις γινόμενα· ἐπεὶ⟩ γάρ τοι τὴν γραμματικὴν φυλαττομένην πᾶσαν ἱστορίαν ἔγνωμεν, τά τε τοῖς σοφοῖς θεωρούμενα καὶ τὰ πραχθέντα τοῖς πολιτικοῖς, καὶ πᾶν ὁτιοῦν τὸ γνωστὸν ἀνθρώπῳ γινόμενον ἢ θεωρούμενον διδασκόμεθα δι᾿ αὐτῆς.

Ὥρα δὴ λοιπὸν ἅψασθαι ἡμᾶς τῆς περὶ ὅρων διδασκαλίας· χρήσιμοι γὰρ οἱ ὅροι πρὸς τὰς καταλήψεις εἰσὶ τῶν τεχνῶν· ἅπασα γὰρ ἡ λογικὴ θεωρία τὴν σύστασιν ἔχει ἔκ τε ὅρων καὶ διαιρέσεων. Κατὰ γὰρ τὸν Πλάτωνα δεινοῦ τὴν τέχνην ἀνδρός ἐστι τὸ τὰ πολλὰ ἓν ποιῆσαι
660b καὶ τὸ ἓν πολλά· τούτων δὲ τὸ μὲν ὁρισμοῦ, τὸ δὲ διαιρέσεως· καὶ γὰρ ὁ ὁρισμὸς τὰ πολλὰ ἓν ποιεῖ, ὡς ἐπὶ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου, ἡ δὲ διαίρεσις τὸ ἓν πολλά· καὶ γὰρ λαβόντες τὴν οὐσίαν διαιροῦμεν αὐτὴν εἰς πολλά· λέγομεν γὰρ ὅτι ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον, καὶ τὰ ἑξῆς ὁμοίως.

Ὅροις ⟨δὲ⟩ δεῖ κεχρῆσθαι ⟨μᾶλλον⟩ ἤπερ ὑπογραφαῖς· καὶ γὰρ οἱ ὅροι τιμιώτεροί εἰσι τῶν ὑπογραφῶν, ὥσπερ αἱ [μὲν] ζωγραφίαι τιμιώτεραί εἰσι τῶν σκιαγραφιῶν. Καὶ γὰρ αἱ μὲν ζωγραφίαι λαμπρότερον καὶ διαυγέστερον τὸ γραφὲν δεικνύουσιν, αἱ δὲ σκιαγραφίαι ἀμυδρότερον τὸ γραφὲν παριστῶσιν, ὥστε μὴ γινώσκειν ἡμᾶς ἐκ τοῦ ἀμυδρὸν εἶναι τὸν χαρακτῆρα τοῦ ἀνδρός, ὅτι δυνάμεθα ἐπάνω τῆς σκιαγραφίας οὐ μόνον ἐκεῖνον τὸν ἄνδρα ζωγραφῆσαι, οὗτινός ἐστιν ἡ σκιαγραφία, ἀλλὰ

---

2 καὶ *post* δὲ *add* b (*p. 1139*) ‖ 3 *post* διαλεκτ. *add* φιλοσοφία C ‖ 4 *ad* τέλεσι *in marg. add* τοῖς ἀπὸ το τελεσμασι C[1] | τἀληθῆ C ‖ 11 τὸ *ante* κρ. *add* b ‖ 13 διορθοῦται *add* b ‖ 15 πάντα — ἐπεὶ (16) *Stadtmüller, 36 fere litter. spat.* Ch ‖ 17 θεωρούμενα] θεωρήματα C | πραχθέντα] προσαχθέντα C ‖ 19 *patet scholiorum Vaticanorum consarcinatorem praetermisisse quae in eius fonte haud dubie exstabant ad grammaticae* ὄργανα *et* τέλος *spectantia; vide p. 113, 12* ‖ 20 δὴ b, δεῖ C ‖ 24 διαιρέσεων C ‖ 31 καὶ αἱ μὲν ζ. γὰρ C ‖ 32 τὸν γραφέντα δεικν. C ‖ 33 μὴ γινώσκειν] καὶ νομίζειν C

καὶ ἕκαστον ἄνθρωπον. Τὸν αὐτὸν τρόπον καὶ οἱ ὅροι, τῶν καθολικῶν ὄντες, κρείττους εἰσὶ τῶν ὑπογραφῶν, αἵτινες τοῖς μερικοῖς ἁρμόζουσι· καὶ γὰρ βουλόμενός τις ὑπογραφῇ χρήσασθαι ἕνα μόνον ὑπογράφει, εἰ τύχοι λέγων «Σωκράτης ἐστὶν υἱὸς Σωφρονίσκου, φιλόσοφος, προκοίλιος, κολοβός, σιμός»· ὁ δὲ βουλόμενος ὅρῳ χρήσασθαι οὐχ ἕνα μόνον ὁρίζεται ἄνθρωπον, ἀλλὰ πάντα ἄνθρωπον· τὸ γὰρ «ζῷον λογικὸν» καὶ τὰ ἑξῆς οὐ μόνῳ Σωκράτει ἁρμόζει, ἀλλὰ καὶ ἑκάστῳ ἀνθρώπῳ. Καὶ Ἐπίκουρος δέ, ἀεὶ ὑπογραφαῖς κεχρημένος, δηλῶν ὅτι τιμιώτερον οἱ ὅροι, ὅροις ἀντὶ ὑπογραφῶν ἐν τῇ τῆς φυσικῆς ἀκροάσεως πραγματείᾳ ⟨ἐχρήσατο⟩· διαιρῶν γὰρ τὸ πᾶν εἴς τε ἄτομον καὶ κενὸν ὅροις ἐχρήσατο, λέγων ὅτι ἄτομόν ἐστι σῶμα στερεόν, ἀμέτοχον κενοῦ παρεμπλοκῆς, ⟨καὶ⟩ κενόν ἐστι φύσις ἀναφής, τουτέστιν ἀψηλάφητος.

Ἰστέον δὲ ὅτι οἱ ὅροι τῶν καθόλου καὶ ἀεὶ μενόντων εἰσίν, ὡς καὶ Ἀριστοτέλης εἴρηκεν ἐν τῷ περὶ ἰδεῶν, ἃ πρὸς τὰς Πλάτωνος ἰδέας ἐστὶν αὐτῷ πεποιημένα· τὰ μὲν ⟨γὰρ⟩ μερικὰ πάντα μεταβάλλονται καὶ οὐδέποτε ὡσαύτως ἔχουσι, τὰ δὲ καθόλου ἄτρεπτα καὶ ἀΐδιά εἰσιν· ἃ δὴ συλλαβὼν ὁ τεχνικὸς ὁρίζεται. Οἷον περιπεσὼν λευκοῖς πλείοσι, τουτέστι χιόνι καὶ γύψῳ καὶ γάλακτι καὶ τοῖς παραπλησίοις, ἐν⟨ε⟩νόησέ τι λευκὸν ἁπάντων τούτων διῆκον καὶ μένον ἀεί, καὶ τοῦτο ὡρίσατο, λέγων ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως, τουτέστιν ἀσφαλῶς διακρῖναι τὰ ὁρώμενα παρασκευάζον· ὁμοίως δὲ καὶ τὸν ἄνθρωπον ὁριζόμενος οὐ τὸν Πλάτωνα μόνον οὐδὲ τὸν Πυθαγόραν οὐ⟨δὲ τὸν⟩ Δημόκριτον ὡρίσατο, ἀλλὰ πάντα ἄνθρωπον. Χρὴ δὲ σκοπεῖν τὸν ὁρίζεσθαι μέλλοντα, τί ἐστιν ἑκάστῳ τῶν καθόλου ἴδιον· οἷον τῷ ἀνθρώπῳ ἴδιόν ἐστι τὸ ἐζωῶσθαι, τουτέστι τὸ ζῷον εἶναι, τὸ θνητόν, τὸ λογικόν· κατὰ ταῦτα τοίνυν ὡρίσαντο, εἰπόντες «ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν»· διὰ τοῦτο καὶ ὁ Ἀριστοτέλης εἶπεν «ὅρος ἐστὶν ὁ τὸ τί ⟨ἦν⟩ εἶναι δηλῶν», τουτέστιν ὁ δηλῶν τί ὤφειλεν ⟨ἴδιον⟩ εἶναι ἑκάστῳ· καὶ τῇ γραμματικῇ ἴδιόν ἐστι τὸ τέχνην αὐτὴν εἶναι τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσιν.

Ἐπεὶ δὲ οἱ ὅροι μόνου τοῦ ὁριστοῦ εἰσι, καὶ ἀντιστρέφειν θέλουσι, καὶ τὴν οὐσίαν δηλοῦσι — τοῦτο γὰρ ἴδιον τῶν ὅρων — ληπτέον αὐτοῦ πρῶτον μὲν τὰ γένη, ἔπειτα ⟨δὲ⟩ τὰς διαφοράς· ὁ γὰρ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, ἐκ γένους μέν, ἐπεὶ τὸ γένος τὴν οὐσίαν τοῦ ὁριστοῦ σημαίνει, ἐκ συστατικῶν ⟨δὲ⟩ διαφορῶν, ἐπειδὴ αἱ συστατικαὶ διαφοραὶ συνιστῶσι τὸ ὁριστόν· καὶ γὰρ τὸ μὲν ζῷον δηλοῖ τὴν οὐσίαν τοῦ ὁριστοῦ, τουτέστι τοῦ ἀνθρώπου, αἱ δὲ συστατικαὶ διαφοραί, τουτέστι τὸ λογικόν, θνητόν, συνιστῶσι τὸν ἄνθρω-

3 ἕνα b (*p. 1139*), αὐτὸ C ‖ 4 λέγων b (*p. 1139*), λεγόντων C ‖ 5 σιςμός C ‖ 9 ἐχρήσατο *add* b ‖ 16 ἀείδιά εἰσιν C ‖ 18 ἐνενόησε b | τι C, τὸ *vel* ὅπερ τι *Steinth.*[2] *2, 165* ‖ 24 τῶν b, τὸν C ‖ 27 Ἀριστοτ.] *vide p. 107, 1* ‖ 31 ὁριστοῦ εἰσί b, ὅρου εἰσί C ‖ 33 τὰς διαφοράς b, τῆς ἀφορᾶς C ‖ 35 δὲ *add* b ‖ 36 *post* συνιστῶσι *spat. 7 fere litt.* C

πον. Ἔcτι δὲ γένοc μὲν τὸ κατὰ πλειόνων ἀνομοίων τοῖc εἴδεcιν ἐν τῷ τί ἐcτι κατηγορούμενον, οἷον φυτόν· τοῦτο γὰρ κατὰ πλειόνων ἀνο-662b μοίων φέρεται, κατὰ ἀμπέλου, κατὰ cυκῆc, κατὰ ἐλαίαc, ἅτινα πλείονά εἰcι καὶ ἀνόμοια· καὶ κατηγορεῖται ἐν τῷ τί ἐcτιν, τουτέcτι κατ' αὐτῶν ἀγορεύεται καὶ φέρεται· ἐὰν γὰρ εἴπω «τί ἐcτιν ἐλαία;» ἀνάγκη τὸ γένοc ὀνομάcαι καὶ εἰπεῖν ὅτι «φυτόν». Εἴδη δέ εἰcι τὰ ἐμπεριεχόμενα τοῖc γένεcι καὶ δηλοῦντα τὴν ἰδίαν οὐcίαν, οἷον ἄνθρωποc ἵπποc λέων· ταῦτα γὰρ ἐκ γένουc ἐμπεριέχονται, λέγω δὴ ἐκ τοῦ ζῴου, καὶ τὴν ⟨ἰδίαν⟩ οὐcίαν δηλοῦcιν· ὁ γὰρ λέων δηλοῖ τὴν ἰδίαν οὐcίαν, τί ἐcτι, διὰ τῆc προcηγορίαc. Διαφορὰ δέ ἐcτιν ἡ οὐcίαν καὶ ποιότητα ἀπ' ἀλλήλων διαχωρίζουcα, οἷον τὸ θνητὸν ⟨καὶ⟩ τὸ ἀθάνατον, καὶ πάλιν τὸ λογικὸν καὶ τὸ ἄλογον· αὗται δὲ καὶ φυcικαὶ ποιότητεc λέγονται, ὅτι ἀχώριcτοί εἰcι καὶ ἐκ φύcεωc πᾶcιν ἴcωc ὑπάρχουcι· καὶ γὰρ πάντεc οἱ ἄνθρωποι ἴcωc θνητοί εἰcι, καὶ πάντεc ἴcωc λογικοί εἰcιν. Ὅταν δὲ εἴπωμεν, ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰcιν Ἕλληνεc, οἱ δὲ βάρβαροι, cυμβεβηκυίαc δηλοῦμεν ποιότηταc, ἐπειδὴ οὐ φύcει καὶ οὐ πᾶcιν ἴcωc ἁρμόζουcι τὰ τούτων ἤθη· καὶ γὰρ ἤθεcι καὶ διαλέκτῳ καὶ ἀγωγαῖc διαφέρουcιν ⟨οἱ⟩ Ἕλληνεc τῶν βαρβάρων. Γινώcκειν δὲ χρὴ ὅτι τῶν Ἑλλήνων οἱ μέν εἰcι Δωριεῖc, οἱ δὲ Αἰολεῖc, οἱ δὲ Ἴωνεc, οἱ δὲ Ἀττικοί· cυμβεβηκυίαc δὲ διὰ τούτων δηλοῦμεν ποιότηταc, καὶ γὰρ καὶ οὗτοι τρόποιc καὶ ἤθεcι διαφέρουcιν ἀλλήλων· δοκεῖ γὰρ τὸ Δώριον ἀνδρωδέcτερόν τε εἶναι τοῖc βίοιc, καὶ μεγαλοπρεπὲc τοῖc φθόγγοιc τῶν ὀνομάτων καὶ τῷ τῆc φωνῆc τόνῳ, τὸ δὲ Ἰωνικὸν ἐν πᾶcι τούτοιc ἀνειμένον — χαῦνοι γὰρ οἱ Ἴωνεc — τὸ δὲ Ἀττικὸν εἴc τε δίαιταν καὶ φωνῆc ἐπιτέχνηcιν ἀεὶ διαφέρειν, τὸ δὲ Αἰολικὸν τῷ τ' αὐcτηρῷ τῆc διαίτηc καὶ τῷ τῆc φωνῆc ἀρχαιοτρόπῳ· διὰ τοῦτο καὶ τὴν βαρύτητα τῶν τόνων καὶ τὴν ψιλότητα τοῦ πνεύματοc ἐζηλώκαcιν.

663,20b [Τοῦτο δὲ οὐκ ἔcτι πιθανόν· τί γὰρ ἡ βαρεῖα τάcιc καὶ τὸ ψιλὸν πνεῦμα πρὸc τὸ αὐcτηρὸν τῶν τρόπων αὐτῶν; Ἀλλὰ διὰ τοῦτο βαρυντικοί εἰcι καὶ ψιλωτικοὶ οἱ Αἰολεῖc, ἐπειδὴ τοῖc ἀcθενεcτέροιc χαίρουcι· καὶ γὰρ τὸ φθείρω φθέρ⟨ρ⟩ω λέγουcι καὶ τὸ cπείρω cπέρ⟨ρ⟩ω, τὸ δὲ θέcει μακρὸν ἀcθενέcτερον τοῦ φύcει μακροῦ· εἰκότωc οὖν καὶ τῇ βαρείᾳ τάcει καὶ τῷ ψιλῷ πνεύματι κέχρηνται. Καὶ γὰρ ἡ βαρεῖα τάcιc ἀcθενεcτέρα ἐcτὶ τῆc ὀξείαc τάcεωc· ἡ γὰρ βαρεῖα οὐκ ἔcτι κύριοc τόνοc λέξεωc, ἀλλὰ cυλλαβῆc, ἡ δὲ ὀξεῖα κύριόc ἐcτι τόνοc· κύριοι γὰρ τόνοι τῶν λέξεων δύο εἰcίν, ἡ ὀξεῖα καὶ ἡ περιcπωμένη· καὶ δῆλον, εἴ γε ἐν τῇ cυλλαβῇ, ἐν ᾗ ἐcτιν ὁ κύριοc τόνοc τῶν λέξεων, οὐχ εὑρίcκομεν βαρεῖαν, ἀλλ' ἢ ὀξεῖαν ἢ περιcπωμένην· ὅcον δὲ λέξιc cυλλαβῆc ἀνδρειότερον, τοcοῦτον καὶ ἡ ὀξεῖα τῆc βαρείαc ἰcχυροτέρα. Καὶ ἡ ψιλὴ δὲ τῆc δαcείαc ἀcθενεcτέρα ἐcτίν, εἴ γε δαcέοc μὲν πνεύματοc ἐπιφερομένου τρέπεται τὸ ψιλὸν εἰc τὸ δαcὺ ἀντίcτοιχον, ἅτε δὴ ἀcθενέcτερον ὄν, ⟨οἷον ⟨Γ 95⟩ ὣc ἔφαθ', οἱ δ' ἄρα πάντεc, ψιλοῦ δὲ πνεύματοc ἐπιφερομένου οὐ τρέ-

---

8 ἐμπαρέχονται C | δὴ] δὲ C ‖ 12 φυcικαὶ b, φύcει καὶ C ‖ 25 ἐπιτέχνεcιν C ‖ 28 Τοῦτο — ἀγαθόν (118, 2) *e margine irrepsisse patet* ‖ 30 φθέρρω b ‖ 31 cπέρρω b | τοῦ φ. μακροῦ b, τὸ φ. μακρὸν C ‖ 38 ἐπιφερομένου b, ἐκφερομένου C ‖ 39 οἷον — ὄν (118, 1) *om* Cb

πεται τὸ δαςὺ εἰς τὸ ψιλὸν ἀντίςτοιχον, ἅτε δὴ ἰςχυρότερον ὄν,⟩ οἷον ἀμφὶ αὐτόν ⟨ex. gr. Β 417⟩ ἀμφ' αὐτόν, ἀμφὶ ἀγαθόν ⟨Π 165. Ρ 388⟩ ἀμφ' ἀγαθόν.]

Ἴδιον δὲ λέγεται τὸ μόνῳ τινὶ ὑπάρχον, οἷον ἴδιον ἡλίου τὸ φωτίζειν, ζῴου τὸ αἰςθάνεςθαι, ψυχῆς δὲ τὸ αὐτοκίνητον. 663,1 b

Ὀφείλομεν δὲ γένη ἐν τῷ ὅρῳ τιθέναι τὰ ἐγγυτάτω, οὐ τὰ πορρωτέρω· οὐ θέλει γὰρ ⟨ὁ⟩ τὸν ἄνθρωπον ὁρίζων λέγειν, ὅτι ἄνθρωπός ἐςτιν οὐςία λογικὴ θνητὴ καὶ τὰ ἑξῆς, ἐπειδὴ τὸ οὐςία ἀπέχει, κἂν γένος τοῦ ἀνθρώπου ἐςτί· διὰ μέςου ⟨γὰρ⟩ τοῦ ζῴου ἐςτὶ [τὸ] γένος τοῦ ἀνθρώπου ἡ οὐςία, δέον τὸν οριζόμενον τῷ ἐγγυτάτω γένει κεχρῆςθαι, λέγω δὴ τῷ ζώῳ. Ὅθεν ὁ Χαῖρις οὐκ ὀρθῶς ὡρίςατο τὴν γραμματικήν, λέγων «γραμματική ἐςτιν ἕξις ἀπὸ τέχνης καὶ ἱςτορίας διαγνωςτικὴ τῶν παρ' Ἕλληςι λεκτῶν»· καὶ γὰρ ἀπέχοντι γένει ἐχρήςατο, διὰ μέςου γὰρ τῆς τέχνης ἐςτὶν ἡ ἕξις τῆς γραμματικῆς γένος· τῆς μὲν ⟨γὰρ γραμματικῆς⟩ γένος ἐςτὶν ἡ καθόλου τέχνη, τῆς δὲ τέχνης ἡ ἕξις, ὡς δηλοῖ καὶ ὁ Ζήνων, λέγων «τέχνη ἐςτὶν ἕξις ὁδοποιητική», τουτέςτι δι' ὁδοῦ καὶ μεθόδου ποιοῦςά τι.

Γένη οὖν ⟨δεῖ⟩ τιθέναι ἐν τῷ ὅρῳ τὰ ὑπὸ πάντων ὁμολογούμενα, οὐχ ὥςπερ ὁ Ξενοκράτης ὁριζόμενος εἶπε «ψυχή ἐςτιν ἀριθμὸς αὐτὸς ἑαυτὸν κινῶν»· οὐκ ἔςτι γὰρ δῆλον, εἰ γένος ψυχῆς ὁ ἀριθμός. 664 b Ἀλλ' οὐδὲ τὴν γραμματικὴν ὁριςτέον ἐμπειρίαν ⟨τῶν⟩ παρὰ ποιηταῖς τε καὶ ⟨ςυγ⟩γραφεῦςιν, οὐ γάρ ἐςτιν ἡ ἐμπειρία τῆς γραμματικῆς γένος· ἄτεχνον γάρ τι καὶ ἄλογον οὖςαν τὴν ἐμπειρίαν δηλοῖ Πλάτων ἐν τῷ Γοργίᾳ ⟨p. 465 A⟩· «τέχνην γὰρ αὐτὴν οὔ φημι, ἀλλ' ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα» ἤγουν αἰτίαν, «ᾧ προςφέρει, ⟨ἃ προςφέρει⟩, ὁποῖα τὴν φύςιν ἐςτίν».

Ἰςτέον δὲ ὅτι οὔτε τῶν ἀνωτάτω γενῶν εἰςὶν ὅροι [ἀλλ' ὑπογραφαί], οὔτε τῶν ἀτόμων, ἐπειδὴ ⟨ὁ⟩ ὅρος ἐκ γένους καὶ ςυςτατικῶν διαφορῶν θέλει ςυγκεῖςθαι· οἷον τί ἐςτι ζῷον; οὐςία ἔμψυχος καὶ αἰςθητική· ἰδοὺ τὸ μὲν οὐςία γένος ἐςτί, τὸ δὲ ἔμψυχος ⟨καὶ⟩ αἰςθητικὴ ςυςτατικαὶ διαφοραί· εὐλόγως ⟨οὖν⟩ τῶν ἀνωτάτω γενῶν οὐκ ἔςτιν ὅρος. Ἀλλ' οὐδὲ τῶν ἀτόμων, ἐπειδὴ ὁ ὅρος ἐκ γένους καὶ ςυςτατικῶν διαφορῶν θέλει ςυγκεῖςθαι, διαφορὰ δέ ἐςτι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐςτι κατηγορούμενον ἤγουν φερόμενον, ⟨οἷον ἐν τῷ τοῦ ἀνθρώπου ὅρῳ τὸ λογικὸν κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐςτὶ κατηγορούμενον ἤγουν φερόμενον,⟩ κατ' ἀγγέλου καὶ κατὰ δαίμονος καὶ ⟨κατ'⟩ ἀνθρώπου, καὶ ἄλλη φύςις ἀγγέλου καὶ ἄλλη δαίμονος ⟨καὶ ἄλλη ἀνθρώπου⟩· κατηγορεῖται γὰρ τουτέςτι φέρεται κατ' αὐτῶν ἐν τῷ ὁποῖόν τί ἐςτιν· ἐρωτώμενοι γὰρ τί ἐςτιν ἄνθρωπος, τὸ γένος ἀποκρινόμεθα, λέγοντες «ζῷον», ἐρωτώμενοι

5 ὅρῳ b, ὄρει C | πορρωτάτω C ‖ 6 ὁ *add* b ‖ 8 γὰρ *add* b | τὸ *del.* b ‖ 10 Χαῖρις b, χαῖροις C ‖ 17 δεῖ *add* b *omisso* οὖν ‖ 20 τῶν *add* b ‖ 21 ςυγγραφεῦςιν b ‖ 22 τὴν ἐμπειρίαν] ἡ ἐμπειρία C ‖ 26 οὔτε b, οὐδὲ C; *item v. 27* ‖ 27 ὁ *add* b ‖ 38 αὐτῶν] αὐτὴν C, αὐτῆς b

δὲ ποῖόν τί ἐστι, τὰς συστατικὰς διαφορὰς ἀποκρινόμεθα, λέγοντες «λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν». Ἐπειδὴ οὖν ὁ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, διαφορὰ δέ ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν ⟨τί⟩ ἐστι κατηγορούμενον, τὰ δὲ ἄτομα οὐ διαφέρουσιν ἀλλήλων τῷ εἴδει — ἓν γὰρ τὸ εἶδος καὶ μία ⟨ἡ⟩ φύσις Σωκράτους καὶ Πλάτωνος καὶ Ἀλκιβιάδου, 665b πάντες γὰρ ἄνθρωποί εἰσιν — εὐλόγως ἐν τῷ ὅρῳ τῶν ἀτόμων εἶρκται συστατικὴ διαφορά· συστατικῆς δὲ διαφορᾶς μὴ οὔσης οὐδὲ ὅρος γίνεται, ⟨εἴ γε⟩ ἄνευ γένους καὶ συστατικῆς διαφορᾶς ὅρος οὐ συνίσταται. Εἰ γὰρ καὶ δύναμαι τὸν Σωκράτην ὁρίσασθαι, ὅτι Σωκράτης ἐστὶ ζῷον λογικὸν καὶ ἑξῆς, ἀλλ' οὖν οὐκ ἔστι τοῦ Σωκράτους οὗτος ὁ ὅρος, ἀλλὰ καθόλου παντὸς ἀνθρώπου· πᾶς γὰρ ὅρος ἐκ γένους καὶ συστατικῶν διαφορῶν θέλει συγκεῖσθαι, ἐκ γένους μέν, ἐπειδὴ τὸ γένος τὴν οὐσίαν τοῦ ὁριστοῦ δηλοῖ· τὸ γὰρ ζῷον τὴν οὐσίαν τοῦ ὁριζομένου παρίστησιν· ἐκ συστατικῶν δὲ διαφορῶν σύγκειται, ἐπειδὴ αὗται συνιστῶσι τὸ ὁριστόν, ἤγουν τὸν ἄνθρωπον. Ἔστιν οὖν τῆς γραμματικῆς γένος ἡ τέχνη.

Ἰστέον δὲ ὅτι διαφοραὶ ἐκεῖναι ὤφειλον τεθῆναι ἐν τῷ ὅρῳ, αἵτινες καὶ ἀντιδιῄρηνται ἀλλήλαις καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀνάγονται, τουτέστιν ὑπὸ τὴν αὐτὴν διαίρεσίν εἰσιν· οἷον τοῦ ζῴου διαιρέσεις εἰσὶ πλείους κατὰ τὰς διαφοράς· τὰ μὲν γὰρ λέγεται θνητά, τὰ δὲ ἀθάνατα, καὶ πάλιν τὰ μὲν λογικά, τὰ δὲ ἄλογα· ἐκ τούτων οὖν τῶν ἀντιδιαιρουμένων ἀλλήλαις καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀναγομένων δεῖ τιθέναι ⟨τὰς διαφορὰς⟩ ἐν τῷ ὅρῳ τοῦ ἀνθρώπου. Οὕτως οὖν καὶ τὴν γραμματικὴν εἴπωμεν τέχνην θεωρητικήν· καὶ διὰ μὲν τοῦ εἰπεῖν «τέχνην» δηλοῦμεν τὸ γένος αὐτῆς, γένος γὰρ αὐτῆς ἡ τέχνη, διὰ δὲ τοῦ εἰπεῖν «θεωρητικήν» δηλοῦμεν τὴν συστατικὴν διαφοράν· αὕτη δὲ ἡ συστατικὴ διαφορὰ ἀντιδιῄρηται ἑτέραις τισί, καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀνάγεται· καὶ γὰρ τοῦ αὐτοῦ γένους ἐστὶν ἡ θεωρητικὴ καὶ πρακτικὴ καὶ ἀποτελεστική, καὶ ἀντιδιῄρηνται ἀλλήλαις. Διαφέρει δὲ ἡ πρακτικὴ τῆς ἀποτελεστικῆς, ὅτι ἡ μὲν πρακτικὴ ἐν τῷ πράττεσθαι ἔχει τὴν ὕπαρξιν, μετὰ δὲ τὸ πρᾶγμα οὐκ ἔστιν, ὡς ἡ ὀρχηστικὴ ἐν τῷ ὀρχεῖσθαι ἔστι καὶ ὑπάρχει, ἐὰν δὲ παύσηται ὁ ὀρχούμενος, σὺν αὐτῷ καὶ τὰ τῆς ὑπάρξεως ἀποπαύεται, καὶ 666b οὐκ ἔστιν ἔτι ἡ ὄρχησις· ἡ δὲ ἀποτελεστικὴ μετὰ τὸ πρᾶγμα ἔχει τὰ ἀποτελούμενα θεωρούμενα, ὡς ἐπὶ τῆς χαλκευτικῆς· μετὰ γὰρ τὸ ἀποτελέσαι τὸν χαλκέα τὸν ξέστην θεωροῦμεν τὸ ἀποτελούμενον, λέγω δὴ τὸν ξέστην. Ὁριστέον οὖν τὴν γραμματικὴν οὕτως· «γραμματική ἐστι τέχνη θεωρητικὴ ⟨τῶν⟩ παρὰ ποιηταῖς τε καὶ λογεῦσι»· λογεῖς δὲ οἱ πεζολόγοι.

4 τί *add* b ‖ 7 εἶρκται b, εἴρηται C ‖ 8 οὐδὲ b, οὔτε C ‖ 9 εἴ γε *add* b ‖ 14 ὁριστοῦ b, ὁριστικοῦ C ‖ 16 τὸ ὁρ. b, τὸν ὁρ. C ‖ 19 τὸ αὐτὸ b, τῷ αὐτῷ C ‖ 26 γὰρ b, δὲ C ‖ 28 ἑτέροις C ‖ 31 δὲ] γὰρ C; *item v. 32* ‖ 32 ὑπάρχει b, ὕπαρξις C ‖ 36 τὴν ξέστιν C | δὴ b, δὲ C ‖ 37 τὸν ξέστιν C ‖ 38 τῶν *add* b

Ἰστέον δὲ ὅτι ⟨φύσει μὲν⟩ πρότερά ἐστι τὰ στοιχεῖα καὶ ἀρχαὶ αὐτοῦ τοῦ πράγματος, οὗτινος τὸν ὅρον ποιούμεθα· πρὸς δὲ ἡμᾶς πρῶτά εἰσι τὰ συγκρίματα ἤγουν αἱ συνελεύσεις αἱ ἐκ τούτων ἀποτελούμεναι, τουτέστιν αἱ συλλαβαὶ ⟨καὶ⟩ αἱ λέξεις· ἐκ γὰρ τῶν στοιχείων γίνονται αἱ ⟨συλλαβαὶ καὶ αἱ⟩ λέξεις. Καὶ πάλιν φύσει πρῶτά εἰσι τὰ γένη τῶν εἰδῶν καὶ τὰ εἴδη τῶν καθ' ἕκαστα, οἷον ὁ καθόλου ἄνθρωπος τῶν κατὰ μέρος ἀνθρώπων· πρὸς ἡμᾶς δὲ πρῶτά εἰσι τὰ καθ' ἕκαστα τῶν εἰδῶν καὶ τὰ εἴδη τῶν γενῶν. Εὐλόγως δέ· τὰ μὲν γὰρ ἀποτελέσματα αἰσθητά εἰσιν, αἱ δὲ ἀρχαὶ καὶ τὰ στοιχεῖα ⟨νοητά εἰσι· καὶ πάλιν τὰ μὲν καθ' ἕκαστα αἰσθητά εἰσι, τὰ δὲ εἴδη⟩ καὶ τὰ γένη νοητά εἰσι, γνωριμώτερα δὲ ἡμῖν τὰ αἰσθητὰ διὰ τὸ ἀεὶ συνδιαιτᾶσθαι ἡμῖν· αἴσθησις μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς ἐνέφυ, νοῦς δέ, ὥς φησιν ὁ Πλάτων ⟨p. 653 A⟩ ἀγαπητὸν ὅτῳ καὶ πρὸς γῆρας ἀφίκοιτο. Καὶ πάλιν προτέρα μὲν φύσει στιγμή ἐστι γραμμῆς καὶ γραμμὴ ἐπιφανείας καὶ ἐπιφάνεια αἰσθήσεως, ἐγγυτέρω δὲ ⟨πρὸς ἡμᾶς⟩ ἡ αἴσθησις τῆς ἐπιφανείας, καὶ μετ' ἐκείνην ἡ γραμμή, καὶ μετὰ τὴν γραμμὴν ἡ στιγμή. Ὁπηνίκα μὲν οὖν ἐπιστημονικῶς παραδῶμεν, διὰ τῶν φύσει πρώτων ὁριούμεθα, οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν καὶ τὰ ἑξῆς· πρότερα γὰρ τῇ φύσει τὰ γένη τῶν εἰδῶν· ὅτε δὲ τὰ φύσει πρότερα μὴ δύναταί τις καταλαβεῖν, τότε διὰ τῶν εὐχερεστέρων καὶ γινωσκομένων δεῖ ποιεῖν τοὺς ὅρους, οἷον ἐπίπεδον στερεοῦ πέρας· ταῦτα γὰρ ἐγγυτέρω ταῖς αἰσθήσεσίν εἰσιν. Ἐπὶ μέντοι τῆς γραμματικῆς τὸ φύσει πρῶτον ὀρθῶς ἐτάξαμεν ἐν τῷ ὅρῳ, ἤγουν 667 b τὸ τέχνη, ἐπειδὴ πάντες ἐπίστανται ὅτι ἡ γραμματικὴ τέχνη ἐστίν.

Δεῖ δὲ ἐξετάζειν, εἰ ἔστιν ἐν τῷ ὅρῳ λέξις ὁμώνυμος ἢ οὔ· οἷον ἡ αἴσθησις διττή ἐστιν, ἥ τε κατ' ἐνέργειαν καὶ ἡ κατὰ δύναμιν· καὶ ἡ κατ' ἐνέργειαν μέν, ὅτε ἀγρυπνοῦντες ἐνεργοῦμεν κατὰ τὰς αἰσθήσεις, ἡ κατὰ δύναμιν δέ, ὅτε φαμὲν καὶ τὸν ὑπνώσσοντα ἔχειν αἴσθησιν, δυνάμει γὰρ αἰσθάνεται, οὐκ ἐνεργείᾳ. Οὔκουν δεῖ εἰπεῖν «αἴσθησίς ἐστιν ἀντίληψις αἰσθητοῦ», τὸ γὰρ ἓν μόνον τῶν σημαινομένων ὁριούμεθα, λέγω δὴ τὸ ἐνεργείᾳ, οὐ τὸ δυνάμει ἤγουν τὸ ⟨τοῦ⟩ κοιμωμένου· καὶ γὰρ ὁ κοιμώμενος αἴσθησιν ἔχει, οὐ μέντοι ἐνεργεῖ κατ' αὐτήν. Καὶ πάλιν τὸν ἔρωτα οἱ μὲν Ἐπικούρειοί φασιν εἶναι σύντονον ἀφροδισίων ὄρεξιν, οἱ δὲ ἀπὸ τῆς Στοᾶς ἐπιβουλὴν φιλοποιίας νέων κορῶν διὰ κάλλος ἐμφαινομένην· διπλοῦς δὲ ὁ ἔρως ἐστίν, ὁ μὲν ψυχῆς, ὁ δὲ σώματος. Καὶ ἡ γραμματικὴ δὲ κατὰ τὸ παλαιὸν ἐν δύο σημαινομένοις ἦν· τὴν μὲν γὰρ μικρὰν ἐκάλουν, ἥτις ἦν τέχνη περὶ τὸ γράφειν καὶ ἀναγινώσκειν τὴν ἐγγράμματον φωνήν, τούς τε χαρακτῆρας τῶν γραμμάτων εἰδέναι καὶ τὰς συλλήψεις αὐτῶν ἤγουν τὰς συλλαβάς· τὴν δὲ

---

1 φύσει μὲν *add* b ‖ **15** ἐγγυτέρα δὲ τῆς αἰσθήσεως ἡ ἐπιφάνεια C ‖ **17** πρώτων ὁριούμεθα b, πρῶτον ὁριόμεθα C ‖ **21** ἐγγύτερα *in* ἐγγυτέρω *mut.* C[1] ‖ **26** ὅτε b, ὅταν C ‖ **27** ὑπνώσσοντα b (*p. 1140*), ὑπνώσαντα C ‖ **28** Οὔκουν] οὐ C ‖ **29** ὁριούμεθα b, ὁριώμεθα C ‖ **30** τὸ κοιμώμενον C ‖ **33** ἀπὸ b, ἐπὶ C ‖ **36** τὸ] τοῦ C

μεγάλην ἐκάλουν, τὴν περὶ τοὺς ποιητὰς ⟨καὶ τοὺς λογεῖς⟩ θεωρίαν, ἥντινα νῦν ἐξηγοῦνται οἱ γραμματικοί, καὶ ἔστιν αὕτη τέχνη θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσιν.

Δεῖ δὲ τὸν ὅρον ἔμφασιν παρέχειν καὶ τῶν συστοίχων ἤγουν τῶν συγγενῶν· οἷον ὁ ὀρθῶς ὁριζόμενος τὴν ἐπιστήμην καὶ τὸν ἐπιστήμονα ὁρίζεται τρόπον τινά· τῇ γραμματικῇ δὲ ἐναντίον καὶ ἀντικείμενον οὐδέν ἐστιν· ἔμφασιν δὲ παρέχει ὁ ὅρος τῆς γραμματικῆς καὶ τοῦ συστοίχου καὶ συγγενοῦς αὐτῆς, λέγω δὴ τοῦ γραμματικοῦ· ἡ γὰρ γραμματικὴ τέχνη θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσι· δῆλον οὖν ὅτι γραμματικός ἐστιν ὁ τούτων θεωρητικός.

668b Ἔτι δεῖ τὸν ὅρον καὶ τοῖς μὴ πάνυ λογίοις δηλοῦν, τίνος ἐστὶν ὁ ὅρος, οὐχ ὥσπερ οἱ Στωϊκοὶ ὁριζόμενοι τὸν ἥλιον λέγουσιν, ὅτι ἥλιός ἐστιν ἄναμμα νοερὸν θαλασσίων ὑδάτων· καὶ γὰρ οὗτος οὐκ ἔστι πᾶσι πρόδηλος ὅτι τοῦ ἡλίου ἐστὶν ὁ ὅρος· δύναμαι γὰρ καὶ ἐγὼ ἀντλῆσαι ὕδωρ, καὶ ταῦτα μὴ ὢν ἥλιος· ἀλλ᾽ οὐκ ἔστι τὸ παρ᾽ ἐμοῦ ἄναμμα νοερόν, ἀλλ᾽ αἰσθητόν. Ὥστε οὐκ ὀρθῶς ὡρίσατο Τυραννίων τὴν γραμματικήν, εἰπὼν «γραμματική ἐστι θεωρία μιμήσεως»· οὐ μόνον γὰρ περὶ μίμησιν καταγίνεται, ἀλλὰ καὶ περὶ λέξεις μὴ ἐχούσας μίμησιν.

Δεῖ δὲ τὸν ὅρον καὶ ἀντιστρέφειν· ἀντιστρέφει οὖν ὁ τῆς γραμματικῆς ὅρος· καὶ ⟨γὰρ⟩ εἴ τι γραμματική, τοῦτο τέχνη ἐστὶ θεωρητικὴ τῶν παρὰ ποιηταῖς τε καὶ λογεῦσι, καὶ εἴ τι τέχνη θεωρητικὴ καὶ τὰ ἑξῆς, τοῦτο γραμματική ἐστιν.

Ἰστέον δὲ ὅτι καθόλου μέν εἰσιν ὅσα ἀπὸ τῶν ἐν μέρει συνάπτομεν τῷ λογισμῷ· οἷον θεωροῦντες πολλοὺς ἵππους λογιζόμεθα ὅτι ἔστι ⟨τις⟩ περιέχων πάντα ἵππον καθόλου ἵππος, καὶ πάλιν θεωροῦντες πολλοὺς ἀνθρώπους λογιζόμεθα ὅτι ἔστι τις καθόλου ἄνθρωπος. Ἴδιον δὲ καλεῖται τὸ μόνῳ τινὶ ὑπάρχον καὶ ἀντιστρέφον πρὸς ἑαυτό, οἷον ἀνθρώπου ἐστὶν ⟨ἴδιον⟩ τὸ δεκτικὸν ἐπιστήμης, ⟨καὶ εἴ τι δεκτικὸν ἐπιστήμης,⟩ τοῦτο ἄνθρωπός ἐστιν. Τοῦ δὲ ἰδίου τὸ μέν ἐστι πρὸς ἕτερον, τὸ δὲ καθ᾽ ἑαυτό· καὶ πρὸς ἕτερον μὲν ἴδιόν ἐστι τὸ ἀπό τινων χωρίζον, ὥσπερ τὸ ⟨ἀμετάπτωτον⟩ ἴδιον τῆς ἐπιστήμης· τοῦτο γὰρ χωρίζει τὴν ἐπιστήμην ἐκ τῆς τέχνης· καθ᾽ ἑαυτὸ δέ, ὃ καὶ κυρίως ἴδιον καλεῖται, τὸ χωρίζον ἀπὸ πάντων τῶν ὑποκειμένων, ὡς ὅταν εἴπωμεν ἀνθρώπου ἴδιον τὸ ψυχὴν δεκτικὴν ἐπιστήμης ἔχειν· χωρίζει γὰρ τοῦτο τὸν ἄνθρωπον ἀπὸ πάντων τῶν ζῴων, μόνος γὰρ ὁ ἄνθρωπος δεκτικός ἐστιν ἐπιστήμης· τὸ δὲ λέγειν, ὅτι ἀνθρώπου ἐστὶν ἴδιον τὸ ψυχὴν ἔχειν, οὐ 669b χωρίζει τὸν ἄνθρωπον εἰ μὴ ἀπὸ τῶν ἀψύχων· ἀπὸ γὰρ ἵππου καὶ κυνὸς οὐ χωρίζει τὸν ἄνθρωπον, ἐπειδὴ καὶ ταῦτα τῆς ψυχῆς εἰσι δεκτικά.

---

1 περὶ b (*p. 1140*), ἐπὶ C ‖ 8 τοῦ γραμματικοῦ b, τῆς γραμματικῆς C ‖ 17 *de Tyrannionis definitione cfr HPlaner, De Tyr. gramm. p. 28 et Steinth.*[2] *2, 177*** ‖ 19 καὶ ἀντιστρ. b, καὶ ἀναστρ. C ‖ 24 τις *add* b ‖ 26 τις b, της C ‖ 27 ἄνθρωπος ἐστὶν C ‖ 30 χωρίζον b, χαρίζον C

Ἰστέον δὲ ὅτι χρησιμεύει ἡ γραμματικὴ εἴς τε τὴν φύσιν τῶν στοιχείων τῆς ἐγγραμμάτου φωνῆς, διδάσκει τε πῶς ἤρθρωται τῶν φθόγγων ἕκαστος, καὶ τίς αὐτοῖς ἡ προσάλληλος κοινωνία, τῶν τε φωνηέντων καὶ τῶν συμφώνων, τίνες τε ἐν συλλήψει ⟨καὶ ἐν διαστάσει⟩, ἔν τε ἐκτάσει καὶ ⟨ἐν⟩ βραχύτητι. Διδάσκει δὲ καὶ τὰ ἰδιώματα τῶν διαλέκτων, λέγω δὴ τῆς τε Ἰάδος καὶ Δωρίδος ⟨καὶ τῶν ἑξῆς⟩. Καὶ πρὸς τὸν βίον δὲ τὸ τέλος αὐτῆς χρήσιμον, καὶ πρὸς τὰς ἄλλας ἐπιστήμας συνεργόν· ἀναγκαῖον γὰρ ἡγεῖται πᾶς παιδεύεσθαι γράμματα, ὧν χωρὶς οὔτε ἰδία πρᾶξις οὔτε πολιτικὴ δύναται στῆναι. Καὶ μουσικὴν μέν τις ἀγνοῶν ἢ ἀστρονομίαν ἤ τινα τῶν ἄλλων λογικῶν τεχνῶν οὐκ ἂν αἰσχύνοιτο, ὡς ἂν οὐ βλαπτόμενος εἰς τὰς χρείας τοῦ βίου· ἐὰν δὲ γραμμάτων τις εὑρεθῇ ἐστερημένος, ἀμαθὴς ὑπάρχει· ὅθεν οὐδὲ τοὺς οἰκέτας οἱ χαρίεντες ἀπεστέρουν τῆς τοιαύτης παιδεύσεως, ἵνα τοῖς γράμμασιν ἡμεροῖντο καὶ πρὸς τὰς τοῦ βίου χρείας εἶεν πεπαιδευμένοι. Τίς δὲ ἰατρὸς ἢ φιλόσοφος ἢ τῶν ἄθλων τινὸς ἀγωνιστὴς οὐ τὰ κατὰ λέξιν καὶ ἱστορίαν ζητούμενα πρὸς τοῦ γραμματικοῦ ἀξιοῖ μανθάνειν; Ἔχει δὲ ἡ γραμματικὴ καὶ ψυχαγωγίαν ἐμμελῆ, διδάσκουσα κάλλος ποιημάτων, ἱστορίαις τε καὶ μύθοις κατᾴδουσα· φιλόμυθος δὲ ὁ ἄνθρωπος, καὶ πρὸς ἑκάστην βίου διάθεσιν χαίρει ταῖς ἀφηγήσεσιν, ὁ μὲν πολεμικὸς παρατάξεσι πεζαῖς καὶ ναυτικαῖς, ὁ δὲ εἰρηνικὸς ὑποθήκαις καὶ παραινέσεσιν, Ὀλυμπικῶν τε [καὶ] ἀγώνων ἀκροάσεσι καὶ μουσικῶν. Προτροπαὶ δὲ καὶ διδασκαλίαι καὶ ἀποτροπαὶ καὶ ὑποθῆκαι πόθεν οὕτω καλαὶ καὶ πολύτροποι, πλὴν παρὰ ποιητῶν, οὓς διασῴζει καὶ συνίστησι γραμματική; Πόθεν δ' ἄν τις ἀρύσαιτο μᾶλλον μαθήματα σπουδαῖα καὶ πολιτεύματα, πλὴν παρὰ 670 b
ποιητῶν; Τίς δὲ καὶ ἄμεινον δικαιώματα πόλεων καὶ ἐθνῶν ἀνευρεῖν δύναται καὶ διοικῆσαι κτήσεις κατ' ἀκρίβειαν, γραμματικὰ μηδαμῶς ἐπιστάμενος;

Τέτταρα δὲ εἴδη τεχνῶν εἰσι· τὰς μὲν γὰρ θεωρητικὰς καλοῦσι, τὰς δὲ πρακτικάς, τὰς δὲ ἀποτελεστικάς, τὰς δὲ περιποιητικάς. Καὶ θεωρητικὰς μέν, ὧντινων τέλος ἕν, θεωρία ἡ ἐν λόγῳ, ὡς ἐπὶ ἀστρονομίας καὶ ἀριθμητικῆς· τῆς μὲν γὰρ ἴδιόν ἐστι τὸ θεωρῆσαι τὰς ἐπιστάσεις καὶ περιφορὰς τῶν ἄστρων, τῆς δὲ τὸ θεωρῆσαι τὴν τῶν ἀριθμῶν διαίρεσιν καὶ σύνθεσιν. Πρακτικὰς δέ, ἅστινας μετὰ τὴν πρᾶξιν οὐχ ὁρῶμεν ὑφισταμένας, ὡς ἐπὶ κιθαριστικῆς καὶ ὀρχηστικῆς· μετὰ γὰρ τὸ παύσασθαι τὸν κιθαρῳδὸν καὶ τὸν ὀρχηστὴν τοῦ ὀρχεῖσθαι καὶ κιθαρίζειν, οὐκέτι πρᾶξις ὑπολείπεται. Ἀποτελεστικὰς δὲ λέγουσιν, ὧντινων τὰ ἀποτελέσματα μετὰ τὴν πρᾶξιν ὁρῶνται, ὡς ἐπὶ τῆς ἀνδριαντοποιίας καὶ οἰκοδομικῆς· μετὰ γὰρ τὸ ἀποτελέσαι τὸν ἀνδριαντοποιὸν τὸν ἀνδριάντα

3 πρὸς ἄλληλος C, πρὸς ἀλλήλους b ‖ 4 ἐκτάσει b, ἐκστάσει C ‖ 6 τὸν βίον] τῷ βίῳ C ‖ 10 τεχνῶν b, τέχνην C ‖ 15 ἄθλων] ἄλλων C 18 ἑκάστου C ‖ 21 δὲ] γὰρ C ‖ 22 ὑποθῆκαι b, συνθῆκαι C ‖ 26 κτῆσις κατὰ ἀκρ. C ‖ 30 ὧντινων] τῶν ὧν C | ἕν b, ἐν C ‖ 31 ἐπιστάσεις b (*p. 1140*), ὑποστάσεις C

καὶ τὸν οἰκοδόμον τὸ κτίcμα μένει ὁ ἀνδριὰc καὶ τὸ κτιcθέν. Περιποιητικὰc δὲ καλοῦcι τὰc περιποίηcιν δηλούcαc, ὡc ἐπὶ τῆc ἁλιευτικῆc καὶ τῆc θηρευτικῆc.

Τέλοc δὲ τῶν τεχνῶν ἐcτιν ἐφ' ὃ πάντα νεύει τὰ θεωρήματα καὶ ὃ ζητοῦμεν αὐτῆc ἔcχατον. Τὸ δὲ αὐτὸ δυνάμει καὶ αἴτιόν ἐcτιν· οἷον φοβηθέντεc οἱ ἄνθρωποι ναυαγίαν ἐξεῦρον πόθῳ τῆc εὐπλοίαc ⟨τὴν⟩ κυβερνητικήν, ἧc τὸ τέλοc τὸ εὐπλοεῖν· τοῦτο δὲ τὸ εὐπλοεῖν καὶ τέλοc ἐcτὶ τῆc κυβερνητικῆc καὶ αἴτιον, διὰ γὰρ τὸ εὐπλοεῖν ἐπενοήθη ἡ κυβερνητική· καὶ πάλιν τὰc νόcουc βουλόμενοι φυγεῖν ἔρωτι ὑγείαc τὴν ἰατρικὴν cυνεcτήcαντο, ἧc τὸ τέλοc ⟨τὸ⟩ ὑγιάζειν· τοῦτο δὲ ⟨τὸ⟩ ὑγιά-
671b ζειν καὶ τέλοc ἐcτὶ τῆc ἰατρικῆc καὶ αἴτιον, διὰ γὰρ τὴν ὑγείαν ἐπενοήθη ἡ ἰατρική.

Ἐπειδὴ οὖν ἡ γραμματικὴ διὰ τοῦ γλωccηματικοῦ καὶ μετρικοῦ καὶ τεχνικοῦ ⟨καὶ ἱcτορικοῦ⟩ θεωρεῖται, καὶ διδάcκει τὴν ἀνάγνωcιν καὶ τὴν ἐξήγηcιν καὶ τὴν διόρθωcιν καὶ τὴν κρίcιν, τούτου χάριν πρό⟨c⟩κειται «θεωρητικὴ τῶν παρὰ ποιηταῖc τε καὶ λογεῦcιν». Εἰ ἄρα δὲ ἡ γραμματικὴ μικτή ἐcτι — καὶ γὰρ καὶ θεωρίᾳ κέχρηται, ἡνίκα καταλέγει κανόναc, καὶ πράξει, ἡνίκα ποιεῖ τόνουc καὶ cτιγμάc — πῶc ὁρίζομεν αὐτὴν θεωρητικήν, καὶ οὐ μικτήν; Καὶ λέγομεν ὅτι ἡ γραμματικὴ οὐκ ἔcτι πρακτική, ἀλλὰ μόνον θεωρητική, ὁ μέντοι γραμματικόc ἐcτιν ὁ πρακτικόc· οὐ γὰρ ἡ γραμματικὴ ποιεῖ τοὺc τύπουc τῶν τόνων καὶ τὰc cτιγμάc, ἀλλὰ θεωρεῖ μόνον καὶ διδάcκει αὐτούc, ὁ γραμματικὸc δὲ ἐξ αὐτῆc λαμβάνων τὰc ἀφορμὰc ἀποτελεῖ καὶ τόνουc καὶ cτιγμὰc καὶ πνεύματα.

Εἰπόντεc οὖν τί ἐcτι γραμματική, ἔλθωμεν καὶ ζητήcωμεν τὰ ἑπτὰ κεφάλαια, λέγω δὴ τὸν cκοπόν, τὸ χρήcιμον, τὴν αἰτίαν τῆc ἐπιγραφῆc, τὸ γνήcιον, τὴν εἰc τὰ κεφάλαια διαίρεcιν, τὴν τάξιν καὶ τὸ ὑπὸ τί ἀνάγεται ⟨τὸ⟩ προκείμενον βιβλίον. Cκοπὸν δὲ ζητοῦμεν, ἵνα τὴν ὁρμὴν τοῦ cυγγραψαμένου καταλάβωμεν· ἔcτι δὲ cκοπὸc προκατάληψιc ψυχῆc προτυπούcηc τὸ προτεθέν, ἐκ μεταφορᾶc τῶν τοξοτῶν ⟨τῶν⟩ πρότερον μὲν cτοχαζομένων τὸν τόπον, εἶθ' οὕτωc τὸ βέλοc ἐπιπεμπόντων· cκοπὸν οὖν ἔχει ὁ Διονύcιοc ὡc ἐν εἰcαγωγῇ παραδοῦναι πάντα τὰ τῆc γραμματικῆc θεωρήματα. Τὸ δὲ χρήcιμον τοῦ παρόντοc cυγγράμματοc ὁ cκοπὸc φανεροῖ· εἰc ὅcα γὰρ χρηcιμεύει ⟨τὰ⟩ ἐν τῷ παρόντι cυγγράμματι λεγόμενα, τουτέcτι τὰ μέρη τοῦ λόγου καὶ ἡ cτιγμὴ καὶ τὰ μέτρα, εἰc τοcαῦτα χρηcιμεύει τὸ παρὸν ⟨cύγ⟩γραμμα, τὴν διδαcκαλίαν
672b ἡμῖν τούτων μνηcτευόμενον. Ἐπιγραφὴν δὲ ζητοῦμεν, ἵνα εὑρόντεc τυχὸν «περὶ ὀνομάτων» μὴ ζητῶμεν περὶ ἐπιρρημάτων· αἰτία δὴ ταύτη

---

4 ὃ] ὧ C ‖ **10** τὸ *post* δὲ *add* b ‖ **11** ἰατρικῆc b, γραμματικῆc C ‖ **13** γλωccημαντικοῦ C ‖ **18** πράξει b, πράξειc C ‖ **20** μόνον b, μόνωc C ‖ **28** τὸ *ante* προκ. *add* b ‖ **30** τῶν *ante* πρ. *add* b ‖ **34** τὰ *add* b ‖ **36** cύγγραμμα b ‖ **38** δὴ ταύτη b (*p. 1140*), δὲ ταῦτα C

Ζητεῖται τῆς ἐπιγραφῆς· ἐπιγέγραπται οὖν τὸ παρὸν σύγγραμμα «περὶ γραμματικῆς», ἐπει⟨δὴ⟩ πάντα τὰ ἁρμόζοντα τῇ γραμματικῇ ἐν αὐτῷ παραδίδωσι. Ζητοῦμεν δὲ καὶ τὸν συγγραφέα, ἵνα τὸ ἀξιόπιστον ἢ μὴ τοῦ συγγραψαμένου καταλάβωμεν· τοῦτο δὲ διὰ τὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἔχει ἡ Ἀσπὶς Ἡσιόδου· ἑτέρου γάρ ἐστιν, ἐπιγραφῇ δὲ καὶ ὀνόματι ἐχρήσατο τῆς Ἡσιόδου, ἵνα τῇ ἀξιοπιστίᾳ τοῦ ποιητοῦ ἀξία κριθῇ ἀναγνώσεως. Θέλουσιν οὖν τινες μὴ εἶναι γνήσιον τοῦ Θρᾳκὸς τὸ παρὸν σύγγραμμα, ἐπιχειροῦντες οὕτως, ὅτι οἱ τεχνικοὶ μέμνηνται Διονυσίου τοῦ Θρᾳκός, καὶ λέγουσιν ὅτι διεχώριζε τὴν προσηγορίαν ἀπὸ τοῦ ὀνόματος καὶ συνῆπτε τὸ ἄρθρον καὶ τὴν ἀντωνυμίαν· ἄρα οὖν οὐκ ἔστι Διονυσίου τοῦ Θρᾳκὸς τὸ παρὸν σύγγραμμα. Ἔστιν οὖν εἰπεῖν, ὅτι ἄλλος ἦν ἐκεῖνος ⟨ὁ⟩ Διονύσιος ὁ Θρᾷξ, καὶ ἄλλος ὁ ποιήσας τὸ παρὸν σύγγραμμα, ἐκεῖνος μὲν μαθητὴς Ἀριστάρχου, οὗτος δὲ ὁ τοῦ Πηροῦ. Περὶ δὲ τῆς εἰς τὰ κεφάλαια διαιρέσεως ἰστέον ὅτι μονόβιβλόν 673 b ἐστι τὸ παρὸν σύγγραμμα. Περὶ δὲ τῆς τάξεως ἰστέον ὅτι πρὸ ἄλλων μὲν ἀναγινώσκεται, ὡς ἐν εἰσαγωγῇ παρέχον τὰ τῆς γραμματικῆς θεωρήματα, μετὰ δὲ ὅλα τὰ τεχνικὰ συγγράμματα πράττεται, ἐπειδὴ ἀνακεφαλαίωσίς ἐστι τῶν εἰρημένων ἐν τοῖς τεχνικοῖς συγγράμμασι· διαλαμβάνει γὰρ καὶ περὶ τῶν μερῶν τοῦ λόγου ὡς ἐν συντόμῳ καὶ περὶ τῶν μέτρων καὶ περὶ στιγμῆς· ἵνα οὖν εἰς ὑπόμνησιν ἔλθωμεν τῶν ἐν πλάτει ἀναγνωσθέντων, τούτου χάριν τὸ παρὸν σύγγραμμα μετὰ πάντα τὰ τεχνικὰ πράττεται. Ἀνάγεται δὲ τὸ ⟨προ⟩κείμενον βιβλίον ὑπὸ τεχνικὸν ὄργανον· πᾶσα γὰρ ψυχικὴ διδασκαλία ὑπὸ τεχνικὸν ὄργανον ἀνάγεται.

Ταῦτα ⟨μὲν δὴ ταῦτα⟩, ἐν οἷς σὺν θεῷ καὶ τὰ προλεγόμενα τῆς τέχνης Διονυσίου.

Γεωργίου τοῦ Χοιροβοσκοῦ περὶ προσῳδιῶν. 708,21 b

Ἰστέον ὅτι τριχῶς λέγεται ἡ προσῳδία· καὶ ⟨γὰρ⟩ ἡ παρὰ τοῖς μουσικοῖς, τουτέστι τὸ στόμα καὶ ἡ ἐκφώνησις τῶν αὐλῶν, λέγεται προσῳδία· καὶ ἡ ἐν τῇ ἐκφωνήσει γινομένη, τουτέστιν ἐν τῷ παροξύνεσθαι λέξιν ἢ ὀξύνεσθαι ἢ περισπᾶσθαι λέγεται προσῳδία· καὶ αὐτὸς ὁ χαρακτὴρ τῶν τόνων καὶ τῶν χρόνων καὶ τῶν πνευμάτων, οἷον / \ Λ – ◡ ⊢ ⊣. Ταῦτα μὲν ἐν τούτοις.

Ἰστέον δὲ ὅτι ἐν ταῖς προσῳδίαις τρία ἐστὶν εἴδη· ἔστι γὰρ τόνος,

---

27—128, 26 excerpta hab. et. Σ[1]

2 ἐπειδὴ b ‖ **4** ψευὲπίγραφα C ‖ **6** ἀξία b, ἄξιον C ‖ **10** συνῆπτε b, συνῆπται C ‖ **13** δὲ b, ἦν C ‖ **14** πηροῦ C, Τήρου *G F Schoemann, opp. acc. 3, 246 adn. 3* ‖ **22** προκείμ. *R Schneider* ‖ **26** *post* Γεωργ. *add* γραμματικοῦ O | περὶ προς. *om* O ‖ **27** γὰρ *add* b | ἡ (*ante* παρὰ) *add* O Σ[1] b ‖ **30** αὐτὸς ὁ O, ὁ αὐτὸς C ‖ **31** καὶ τ. χρ. Σ[1] b, *om* CO | οἷον — τούτοις (**32**) *om* O | / – ⊣ Σ[1], ὀξεῖα βαρεῖα περισπωμένη C ‖ **33** Ἰστέον — ἀσθενῆ (**125, 23**) *om* O

χρόνος, πνεῦμα· καὶ τόνοι μέν εἰσι τρεῖς, ὀξύς, βαρύς, περισπώμενος·
704b χρόνοι δύο, μακρὸς καὶ βραχύς· πνεύματα δύο, δασὺ καὶ ψιλόν· ἑπτὰ οὖν εἰσιν, ὡς δέδεικται, αἱ προσῳδίαι.

180v Καὶ ἰστέον ὅτι ἡ μὲν ὀξεῖα ταύτης τῆς προσηγορίας ἐτύγχανεν ὡς ἀπὸ μεταφορᾶς τῶν δρομέων τῶν ὀξέως τρεχόντων· ὥσπερ γὰρ τοὺς δρομεῖς τοὺς ὀξέως τρέχοντας ὁρῶμεν ἐπὶ τὰ ἄνω φερομένους καὶ τεινομένους, τὸν αὐτὸν τρόπον καὶ ἡ ὀξεῖα ἐπὶ τὰ ἄνω νεύει. Ἡ δὲ βαρεῖα ταύτης τῆς προσηγορίας ἐτύγχανεν ἀπὸ μεταφορᾶς τῶν βασταζόντων φορτίον· ὥσπερ γὰρ οἱ βαστάζοντες φορτίον τῷ βάρει συγκλονούμενοι κάτω νεύουσι, τὸν αὐτὸν τρόπον καὶ ἡ βαρεῖα κάτω νεύει. Ἡ δὲ περισπωμένη ταύτης ἔτυχε τῆς προσηγορίας, ἐπειδὴ ἔοικε τῷ σχήματι περικεκλασμένῃ ῥάβδῳ, ἐχούσῃ τὰς δύο ἀρχὰς νευούσας πρὸς ἀλλήλας· περισπωμένη οὖν λέγεται οἱονεὶ περικεκλασμένη, ἀπὸ μεταφορᾶς τῶν περικλωμένων ἐν πράγματι, καὶ γὰρ οὗτοι ὑπὸ τοῦ πόνου δοκοῦσι περιεσπάσθαι· τοιαύτη οὖν καὶ ἡ περισπωμένη τῷ σχήματι. Ἡ δὲ μακρὰ καὶ ἡ βραχεῖα τοιαύτης προσηγορίας ἔτυχον ἢ ἐκ τῆς θέσεως, καθὸ ἡ μὲν μακρὰ πολὺ διάστημα κρατεῖ, ἡ δὲ βραχεῖα ὀλίγον· ἢ ἐκ τοῦ χρόνου, καθὸ ἡ μὲν μακρὰ δύο χρόνους ἔχει, ἡ δὲ βραχεῖα ἕνα. Ἡ δὲ δασεῖα οὕτως ὠνομάσθη παρὰ τὸ δα ἐπιτατικὸν μόριον καὶ τὸ σεύω τὸ σημαῖνον τὸ ὁρμῶ, οἱονεὶ ἡ πάνυ ὁρμῶσα καὶ ἀθρόῳ τῷ πνεύματι προφερομένη· καὶ γὰρ δοκεῖ ἐκ τοῦ θώρακος ἐκπέμπεσθαι. Ἡ δὲ ψιλὴ οὕτω προσηγορεύθη παρὰ τὸ ἀσθενῆ αὐτὴν εἶναι· οὕτω καὶ ψιλὸν στρατιώτην εἰώθαμεν καλεῖν τὸν γυμνὸν καὶ ἄοπλον καὶ ἀσθενῆ. Ὅτι δὲ ἡ ψιλὴ ἀσθενής ἐστι, δῆλον, εἴ γε δασυνομένου φωνήεντος ἐπιφερομένου τρέπεται τὸ προηγούμενον ψιλὸν εἰς τὸ ἀντίστοιχον τὸ δασύ, οἷον κατὰ ἡμῶν καθ' ἡμῶν· τὰ δὲ δασέα ψιλουμένου φωνήεντος ἐπιφερομένου, ἅτε δὴ ἰσχυρότερα ὄντα, οὐ τρέπονται, οἷον ἀμφὶ ἀγαθόν ⟨Π 165. Ρ 388⟩ ἀμφ' ἀγαθὸν
705b θεράποντα. Δεῖ προσθεῖναι «χωρὶς εἰ μὴ κατὰ διάλεκτον τραπῇ»· πολλάκις γὰρ αἱ διάλεκτοι ψιλουμένου φωνήεντος ἐπιφερομένου τρέπουσι τὸ δασύ, οἷον ἔχεσθαι καὶ ἡ ἀμφί πρόθεσις· ἐκ τούτου γίνεται ἀμφέχεσθαι καὶ αἰολικῶς ἀμπέχεσθαι.

Ἔνιοι δὲ τὰ καλούμενα πάθη προστιθέασι ταῖς προσῳδίαις, ἅπερ ἐστὶν ἀπόστροφος, ὑφέν, ὑποδιαστολή. Ἰστέον δὲ ὅτι ταῦτα οὐ καλοῦνται κυρίως προσῳδίαι, ἐπειδὴ αἱ προσῳδίαι περὶ τὰ φωνήεντα θέλουσι

4—126, 7 hab. et. Σ^{m}

1 ὀξύς — βραχύς (**2**) Σ^1, ὀξεῖα βαρεῖα περισπωμένη. χρ. β̄, μακρὰ καὶ βραχεῖα C | **4** τῆς *add* Vb ‖ **6** τεινομένους V, γινομένους C ‖ **8** ἀπὸ τῆς μεταφ. C ‖ **9** συγκλονούμενοι CΣ^1, συγκλινόμενοι V ‖ **10** δὲ *add* VΣ^1 ‖ **12** ἐχούσῃ V Σ^1, ἔχουσα C ‖ **13** περικεκλασμένη V, περικλωμένη Σ^1b, περικεκλωμένη C | περισπωμένων CVΣ^1 ‖ **14** ὑπὸ VΣ^1, ἀπὸ C | περικεκλάσθαι CVΣ^1 ‖ **16** ἢ — θέσεως *om* V ‖ **18** ὠνομάσθη V, ὀνόμασθαι C ‖ **23** δὲ *add* OΣ^1b ‖ **27** οἷον — θεράποντα (**28**) *om* O ‖ **29** πολλάκις — γίνεται (**30**)] οἷον V ‖ **30** ἡ] τὸ C, *om* O ‖ **32—126, 14** *om* O ‖ **33** καλοῦνται] καλοῦσι CV ‖ **34** κ. προσῳδίαι C, κ. προσῳδίας V

καταγίνεϲθαι — καὶ γὰρ οἱ τόνοι καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα ἐπάνω φωνηέντων τίθενται· μόνον δὲ τὸ ρ̄ ἐκ τῶν ϲυμφώνων πέφυκε καὶ δαϲεῖαν δέχεϲθαι καὶ ψιλήν — ἡ δὲ ἀπόϲτροφοϲ καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαϲτολὴ καὶ ἐπὶ ϲυμφώνων τίθενται, ἡ μὲν ἀπόϲτροφοϲ, οἷον ἐπὶ τοῦ καθ᾽ ἡμῶν, ἡ δὲ ὑφέν, ὡϲ ἐπὶ τοῦ ΔΙΟϹΚΟΡΟϹ, ἡ δὲ ὑποδιαϲτολή, ὡϲ ἐπὶ τοῦ ΔΙΟϹ,ΚΟΥΡΟϹ· τούτου οὖν χάριν οὐ λέγονται προϲῳδίαι ἡ ἀπόϲτροφοϲ καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαϲτολή.

Ἰϲτέον δὲ ὅτι ἀπόϲτροφοϲ μὲν ὠνομάϲθη ἢ ἐκ τῆϲ θέϲεωϲ, ἐπειδὴ ἐπὶ τὰ ἔξω ἐϲτραμμένη ἐϲτίν· ἐπὶ τὰ ἔξω γὰρ νεύει· ἢ ὅτι ἐν ταῖϲ λέξεϲι τίθεται ταῖϲ ἀποϲτρεφομέναιϲ τὴν ἀλλεπαλληλίαν τῶν φωνηέντων, οἷον κατὰ ἡμῶν καθ᾽ ἡμῶν· ὑφὲν δὲ ὠνομάϲθη, ἐπειδὴ ἑνοῖ τὰϲ λέξειϲ καὶ ὑφ᾽ ἕν, ἤγουν ἅμα, ποιεῖ αὐτὰϲ ἀναγινώϲκεϲθαι, οἷον ΔΙΟϹΚΟΡΟϹ· ἡ δὲ ὑποδιαϲτολὴ ὠνομάϲθη, ἐπειδὴ διαϲτέλλει καὶ διαχωρίζει τὰϲ λέξειϲ ἀπ᾽ ἀλλήλων, ⟨οἷον ЄϹΤΙΝ,ΑΞΙΟϹ⟩.

Ἰϲτέον δὲ ὅτι ἁπλοῖ μὲν τόνοι εἰϲὶ δύο, ἡ ὀξεῖα καὶ ἡ βαρεῖα, ϲύνθετοϲ δὲ τόνοϲ εἷϲ, ἡ περιϲπωμένη. Καὶ λέγουϲί τινεϲ ὅτι διὰ τοῦτο ἡ περιϲπωμένη ϲύνθετοϲ λέγεται, ἐπειδὴ πολλάκιϲ ἡ ϲυλλαβὴ ἡ ἔχουϲα τὴν περιϲπωμένην διάλυϲιν πάϲχει, οἷον πυλῶν πυλάων, Μουϲῶν Μουϲάων. Κακῶϲ δὲ λέγουϲι, πρῶτον μὲν ὅτι κατὰ τοῦτον τὸν λόγον ὤφειλε καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα ϲύνθετοϲ καλεῖϲθαι τόνοϲ, ἐπειδὴ πολλάκιϲ καὶ τούτων ἐν ϲυλλαβαῖϲ οὐϲῶν γίνεται διάλυϲιϲ, οἷον Ἀτρείδου 706 b
Ἀτρείδεω, φίλου φίλοιο, χρήζω χρηΐζω· δεύτερον δὲ ὅτι οὐ πᾶϲα ϲυλλαβὴ ἔχουϲα περιϲπωμένην διάλυϲιν πάϲχει· ἰδοὺ γὰρ τὸ κερῶ καὶ τιλῶ καὶ ῥανῶ οὐ πάϲχουϲι διάλυϲιν. Ἔϲτιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο ἡ περιϲπωμένη ϲύνθετοϲ λέγεται, ἐπειδὴ ἀεὶ ἐπάνω φύϲει μακρᾶϲ τίθεται, ἥτιϲ ϲύνθετοϲ χρόνοϲ ἐϲτίν· ἐκ δύο γὰρ χρόνων ϲύγκειται.

Ἄξιον δέ ἐϲτι ζητῆϲαι, διὰ τί, ὥϲπερ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα ϲυνερχόμεναι ἀποτελοῦϲι τόνον ἕτερον, λέγω δὴ τὴν περιϲπωμένην, διὰ τί μὴ καὶ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα ϲυνερχόμεναι ἀποτελοῦϲιν ἕτερον τόνον. Καὶ ἔϲτιν εἰπεῖν ὅτι προϲῳδίαι κυρίωϲ ἑπτά εἰϲιν, ἤγουν ὀξεῖα, βαρεῖα, περιϲπωμένη, δαϲεῖα, ψιλή, μακρά, βραχεῖα· ἡ γὰρ ἀπόϲτροφοϲ καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαϲτολὴ οὐκ εἰϲὶ κυρίωϲ προϲῳδίαι. Τούτων οὕτωϲ ἐχόντων αἱ προϲῳδίαι ϲυναπτόμεναι ἀλλήλαιϲ τύπον ἀποτελοῦϲι ϲτοι- 107 v
χείου, οἷον ἡ μακρὰ ϲυναπτομένη τῇ βραχείᾳ ⟨τὸν⟩ τύπον τοῦ σ̄ ἀποτελεῖ, οἷον ◡̄· πάλιν ἡ δαϲεῖα ϲυναπτομένη τῇ ψιλῇ ⟨τὸν⟩ τύπον τοῦ Η ἀποτελεῖ, οἷον ⊢⊣· πάλιν ἡ ὀξεῖα ϲυναπτομένη τῇ βαρείᾳ τὸν τύπον τοῦ Λ ἀποτελεῖ, οἷον /\· ἐπειδὴ οὖν ἡ βαρεῖα ϲυναπτομένη τῇ ὀξείᾳ οὐκ

15—24 hab. et. Σ^m || 27—127, 24 hab. et. Σ^m

2 δὲ *add* Σ^1 || 6 τοῦ *add* Vb || 16 ἡ περισπ. *add* V || 18 πυλῶν πυλέων V || 22 ὅτι *add* OV || 23 τὸ κερῶ O, τῶ καιρῶ C, τὸ καρῶ V || 28 διὰ τί μὴ C, οὐχὶ OV || 29 τόνον *add* V || 30 ἡ ὀξ. ἡ βαρ. C || 34 τὸν τύπον — οἷον ◡̄ (35)] καὶ τῇ περισπωμένῃ ποιεῖ τὸ Θ V

ἀποτελεῖ τύπον στοιχείου — τὸ γὰρ Υ κεραίαν ἔχει ἐπὶ τὰ κάτω νεύουσαν — τούτου χάριν, ὡς οὐκ ἀποτελοῦσα ἡ βαρεῖα καὶ ἡ ὀξεῖα τύπον στοιχείου, ἕτερον τόνον οὐκ ἀποτελοῦσιν.

114v Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί, ὥσπερ ἀπὸ δύο τόνων γίνεται ἕτερος τόνος, τουτέστιν ἀπὸ ὀξείας καὶ βαρείας ἡ περισπωμένη, διὰ τί μὴ καὶ ἀπὸ δύο πνευμάτων γίνεται ἕτερον πνεῦμα, οἷον ἀπὸ δασείας καὶ ψιλῆς. Καὶ ἔστιν εἰπεῖν ⟨ὅτι⟩ ἡ δασεῖα ἀπὸ τοῦ θώρακος ἐκπέμπεται, ὅθεν καὶ δασεῖα λέγεται· ἔστι γὰρ παρὰ τὸ δα τὸ ἐπιτατικὸν καὶ ⟨τὸ⟩ σεύω τὸ σημαῖνον τὸ [πάνυ] ὁρμῶ, οἱονεὶ ἡ πάνυ καὶ ἡ ἐκ βάθους ὁρμῶσα· ἡ δὲ 707b ψιλὴ ἐκ τῶν ἄκρων τῶν χειλέων ἐξέρχεται, ὅθεν καὶ ψιλὴ λέγεται, οἱονεὶ ἡ ἐν τοῖς ἄκροις οὖσα· ὅθεν καὶ ψέλλια εἰώθαμεν λέγειν τὰ ἐπιτιθέμενα τοῖς ἄκροις τῶν χειρῶν· καὶ ἐκ τούτου οὐ δύνανται συναφθῆναι ἀλλήλοις καὶ ποιῆσαι ἕτερον πνεῦμα. Πῶς γὰρ τὸ ἐκ τοῦ θώρακος ἐκπεμπόμενον δύναται συναφθῆναι τῷ ἐκπεμπομένῳ ἐκ τῶν ἄκρων τῶν χειλέων; θώρακος γὰρ καὶ χειλέων πολὺ τὸ μέσον ἐστίν.

113v Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί, ὥσπερ ἀπὸ δύο τόνων γίνεται ἕτερος τόνος, οἷον ἀπὸ ὀξείας καὶ βαρείας γίνεται ἡ περισπωμένη, διὰ τί μὴ καὶ ἀπὸ μακρᾶς καὶ βραχείας γίνεται ἕτερος χρόνος. Καὶ λέγομεν ὅτι τὰ στοιχεῖα ἢ μονόχρονά εἰσιν, οἷον ε̄ ⟨καὶ⟩ ο̄, ἢ δίχρονα, οἷον η̄ καὶ ω̄, οὐδέποτε δὲ ὑπερβαίνουσι τοὺς δύο χρόνους· εἰ συνῆλθον οὖν ἡ μακρὰ καὶ ἡ βραχεῖα καὶ ἀπετέλεσαν ἕτερον χρόνον, ἤμελλε τρίχρονος εἶναι χρόνος· καὶ γὰρ ἡ βραχεῖα ἕνα χρόνον ἔχει καὶ ἡ μακρὰ δύο· καὶ εἰς οὐδὲν εἶχε λυσιτελεῖν, ὅπου γε τὰ στοιχεῖα οὐχ ὑπερβαίνουσι τοὺς δύο χρόνους.

Ἰστέον δὲ ὅτι ἡ ὀξεῖα ἢ ἐν τῷ τέλει τίθεται ἢ πρὸ μιᾶς τοῦ τέλους ἢ πρὸ δύο, οἷον σοφός φίλος ἄνθρωπος, πρὸ τριῶν δὲ οὐδέποτε. Ἡ ⟨δὲ⟩ περισπωμένη ἢ ἐν τῷ τέλει τίθεται, ὡς ἐπὶ τοῦ Ἑρμῆς Ἡρακλῆς, ἢ πρὸ μιᾶς τοῦ τέλους, ὡς ἐπὶ τοῦ οἶκος κῆπος, πρὸ δύο δὲ οὐκέτι· οὐδέποτε δὲ ἐπάνω βραχείας τίθεται περισπωμένη οὔτε ἐπάνω θέσει μακρᾶς, ἀλλ' ἐπάνω μόνον τῶν φύσει μακρῶν, οἷον Ἑρμῆς δῆμος.

Ἰστέον δὲ ὅτι πᾶσα λέξις ὀξύτονος ἐν τῇ συνεπείᾳ, ἤγουν ἐν τῇ φράσει, κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν, χωρὶς τοῦ τίς ἐρωτηματικοῦ, οἷον ⟨N 1⟩ Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε, «καλὸς ἄνθρωπος ἦλθεν,

---

29—128, 24 (ἁπλῶν) **hab. et.** Σ^m

1 τὸ — νεύουσαν] τουτέστι τὸ Υ V | Υ Σ^1, Γ COb | νεύουσαν Ob, νεύει C ‖ **4—24** *om* O ‖ **5** διὰ τί *om* V ‖ **7** ὅτι *add* b | ὅθεν — ὁρμῶσα (9) *om* V ‖ **8** σεύω b, σέβω C ‖ **11** ψέλια VΣ^1 ‖ **12** χειρῶν καὶ τῶν ποδῶν Σ^1 ‖ **13** ἀλλήλοις *add* VΣ^1 | τὸ *add* Vb ‖ **16** ἐστι] καὶ τοῦτο V, *om* C | δύο VΣ^1, τῶν δύο C ‖ **18** καὶ *ante* ἀπὸ *add* Σ^1 ‖ **19** καὶ *post* ε̄ *add* b | *post* δίχρονα *add* οἷον ᾱ ῑ ῡ, ἡ μακρὰ V ‖ **20** εἰ συνῆλθον VΣ^1b, εἰσῆλθον C ‖ **26** φίλος *Uhlig*, φιλόσοφος CO ‖ **29** δὲ *add* VΣ^1 ‖ **30** θέσει κρὰς ἀλλ' C | μόνον CV, μόνων OΣ^1 ‖ **31** τῇ συμφράσει V ‖ **32** ἐρωτηματικοῦ *add* V ‖ **33** καλὸς — ἀνδρῶν (**128, 3**) *om* V

σοφὸς ἄνθρωπος παρεγένετο»· πρόσκειται «χωρὶς τοῦ τίς ⟨ἐρωτηματικοῦ⟩», ἐπειδὴ τοῦτο φυλάττει τὴν ὀξεῖαν τάσιν, οἷον ⟨ex. gr. α 170⟩ τίς πόθεν εἰς ἀνδρῶν; Δεῖ δὲ ἐν τῷ κανόνι προσθεῖναι «χωρὶς εἰ 708b μὴ ἐπιφέροιτο στιγμὴ ἢ ἐγκλιτικόν»· ἐὰν γὰρ ἐπιφέρηται στιγμὴ ἢ ἐγκλιτικόν, οὐ κοιμίζεται ἡ ὀξεῖα εἰς βαρεῖαν, οἷον ⟨ex. gr. Α 84⟩ τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· τὸ γὰρ Ἀχιλλεύς οὐ κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν, ἐπειδὴ ἔχει ἐπιφερομένην τὴν στιγμήν· καὶ πάλιν ἐν τῷ ⟨Ι 457⟩ Ζεύς τε καταχθόνιος τὸ Ζεύς οὐ κοιμίζει τὴν ὀξεῖαν εἰς βαρεῖαν, ἐπειδὴ ἔχει ἐπιφερόμενον ἐγκλιτικόν, λέγω δὴ τὸν τέ σύνδεσμον.

Δεῖ δὲ γινώσκειν ὅτι ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συ- 110v νέρχονται, οἷον εὐγενέος εὐγενοῦς, πάϊς παῖς, Δημοσθενέων Δημοσθενῶν. Ἐκ τοῦ ἐναντίου δὲ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, ἐὰν μὴ τονικὸν κωλύσῃ παράγγελμα, οἷον ζωός ζώς, ἑσταώς ἑστώς, Κισσηΐς Κισσῄς· πρόσκειται «εἰ μὴ τονικὸν κωλύσει παράγγελμα» διὰ τὸ ἀδελφιδεός ἀδελφιδοῦς, θυγατριδεός θυγατριδοῦς· ταῦτα γὰρ δι' ἕτερον λόγον περιεσπάσθη τὸν λέγοντα, ὅτι τὰ εἰς $\overline{\text{ους}}$ ὀνόματα ἁπλᾶ μὲν ὄντα περισπῶνται, οἷον βοῦς πλοῦς ῥοῦς νοῦς, πλὴν τοῦ πούς καὶ ὀδούς, σύνθετα δὲ ὄντα βαρύνονται, οἷον σύννους εὔπλους.

Ἰστέον δὲ ὅτι ἡ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται, οἷον Δημοσθένεος Δημοσθένους, τείχεα τείχη, βέλεα βέλη· τὸ γὰρ χάλκεος καὶ χρύσεος καὶ ἀργύρεος καὶ σιδήρεος, γινόμενα χαλκοῦς καὶ ἀργυροῦς καὶ σιδηροῦς καὶ χρυσοῦς, ἑτέρῳ λόγῳ περισπῶνται, οἷον τῷ λόγῳ τῶν εἰς $\overline{\text{ους}}$ ἁπλῶν, ὡς τὸ πλακοῦς Σιμοῦς ἀδελφιδοῦς θυγατριδοῦς· ἐν οἷς οὖν τὸ χαλκοῦς σιδηροῦς χρυσοῦς ἀργυροῦς ἁπλᾶ εἰσι, καὶ εὐλόγως περισπῶνται.

Πορφυρίου περὶ προσῳδίας. 676,3b

Ἰστέον ὡς ὁ Θρᾷξ Διονύσιος, ὁ περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου 103v διδάξας ἡμᾶς, καὶ ἔτι πρὸ τούτων περὶ στοιχείου καὶ συλλαβῆς καὶ λέ-

---

3 εἰς] εἷς C ‖ **13** Ἐκ OVb, ἐκτὸς C ‖ **15** κισηίς κισής C ‖ **19** σύνθετα — εὔπλους, *quae verba in* CO *v. 25 post* θυγατριδοῦς *leguntur, huc transposuit* b; VΣ[1] *hic praebent* τὰ δὲ σύνθετα βαρύνονται, οἷον εὔνους εὔχρους ‖ **24** ὡς b, εἰς CO ‖ **26** *post* περισπῶνται *falso addunt* Ch *quae suo loco iterum leguntur in* C *fol. 33v et in* h *p. 101:* Τῶν δὲ τεχνογράφων — ὑπάρχει *(730, 5—11b)* ‖ **27** Πορφ. π. προς. O, Πορφυρίου περὶ γραμματικῆς P, Ἐκ τοῦ περὶ προσῳδιῶν καὶ ἄλλως C, Γεωργίου γραμματικοῦ τοῦ Χοιροβοσκοῦ περὶ προσῳδίας K ‖ **28** Ἰστέον ὡς CO, Περὶ γραμματικῆς γράφειν προθέμενοι ἀκαιρίας γραφήσεσθαι ὑπειλήφαμεν, τοῦ προτεθέντος ἀφέμενοι, προοιμίοις ἐπιτεταγμένοις καὶ ἀνοικείοις τῇ παρούσῃ πραγματείᾳ κατασκευαῖς τὴν γραφὴν ἐπιχρωννύμενοι, ὥς τινες ποιεῖν πολλάκις εἰώθασιν ἐπιδείξεως ἕνεκα. Ἰστέον τοίνυν ὡς PK ‖ **29** στοιχείου καὶ συλλαβῆς OP, στοιχείων καὶ συλλαβῶν CK | λέξεως OPK, λέξεων C

ξεως, οὐκ ἀπὸ τῆς προσῳδίας ἤρξατο, ἀλλ' ἀπὸ τοῦ ὅρου τῆς γραμματικῆς· τὰ δὲ περὶ προσῳδίας ἕτερός τις, τούτου μεταγενέστερος, διὰ τοὺς ἄρτι τῆς γραμματικῆς ἀρχομένους ἀναγκαίως ἐδίδαξε. Δεῖ οὖν ἡμᾶς μὴ ἀπὸ τῆς τοῦ Διονυσίου τεχνολογίας τῆς ἐξηγήσεως ἄρξασθαι, ἀλλ' ἀπ' αὐτῆς τῆς προσῳδίας· καὶ πρῶτον μὲν ἐκθεμένους τὸν ὅρον τῆς προσῳδίας διασαφῆσαι τοῦτον, εἶτα καὶ περὶ πάντων εἰπεῖν εἰς ἃ διαιρεῖται, τόνων τε καὶ χρόνων καὶ πνευμάτων, ἔτι δὲ καὶ παθῶν· μετὰ ταῦτα δὲ περὶ τέχνης καὶ τῶν ἑξῆς ὅλων.

Ὁρίζονται οὖν τὴν προσῳδίαν οὕτως· «προσῳδία ἐστὶ ποιὰ τάσις ἐγγραμμάτου φωνῆς ὑγιοῦς, κατὰ τὸ ἐπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη μετά τινος τῶν συνεζευγμένων περὶ μίαν συλλαβήν, ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένη, ἤτοι κατὰ τὸν ἀναλογητικὸν ὅρον καὶ λόγον». Τοῦτον δὲ τὸν ὅρον Ἡρωδιανὸς ἐν τῷ περὶ καθολικῆς προσῳδίας ὡρίσατο.

---

1 τῆς προσῳδίας OPK, τῶν προσῳδιῶν C ‖ 2 τὰ δὲ — οὕτως (9) COP, Ἄλλος δέ τις μεταγενέστερος, Θεοδόσιος τοὔνομα, τὸν Ἀλεξανδρέα φημί, τούς τε ὀνοματικοὺς κανόνας καὶ τοὺς ῥηματικοὺς ἐτεχνάσατο, ὃν δὴ καὶ τὸν περὶ προσῳδιῶν τινὲς παριστῶσι συγγραφέα, διὰ τὸ ἀσαφῶς ἐν τῷ περὶ τόνων διδάσκειν τὸν Διονύσιον· ἄλλοι δὲ καὶ τοῦτο τοῦ θεολογικωτάτου Γρηγορίου λέγουσιν εἶναι τὸ πόνημα, ὃς κἂν τούτῳ θέλων ἄρχεσθαι τοὺς εἰσαγομένους εἰς τὴν γραφὴν ἀπ' αὐτοῦ θεοῦ τοὺς κατὰ στοιχεῖον ἰάμβους ἐπόδισε, τὸν καθ' ἕκαστον οἰκείαν ἔννοιαν ἀπαρτίζοντα· εἶτα καὶ περὶ προσῳδιῶν διέλαβεν, ἀπαριθμήσας ταύτας καὶ διαιρήσας καὶ κατὰ τὴν τῶν εἰσαγομένων δύναμιν συγγραψάμενος. Ἀλλ' ἡμεῖς ὅσον ἐξ Ἡρωδιανοῦ τοῦ πολυμαθοῦς ἐκλεξάμενοι, εἰ καὶ δοκεῖ τῶν ἐρωτημάτων προτίθεσθαι, διατρανώσωμέν τε καὶ σαφηνίσωμεν, καὶ οὕτως ἀπὸ τῶν προσῳδιῶν ἀρχὴν ποιησάμενοι καὶ περὶ τῶν ἄλλων ἐροῦμεν. — Ὁ δὲ Ἡρωδιανὸς οὗτος υἱὸς μὲν γέγονεν Ἀπολλωνίου τοὐπίκλην Δυσκόλου, τοῦ καὶ εἰς τὰ ὀκτὼ μέρη συγγραψαμένου καὶ εἰς τὴν σύνταξιν· τῷ γένει δὲ ἦν Ἀλεξανδρεύς, καὶ ᾤκει ἐν Προυχείῳ παρὰ τὸν δρόμον ἐν τόπῳ οὕτω καλουμένῳ περὶ τὴν Ἀλεξάνδρειαν, ἔνθα καὶ ἐτάφη. Ἐκλήθη δὲ ὁ πατὴρ αὐτοῦ Ἀπολλώνιος Δύσκολος, ἤγουν ἐπειδὴ δυσχερής ἐστι κατὰ φράσιν· δι' ὀλίγων γὰρ λέξεων πολλὰ παριστᾷ νοήματα· ἢ ὅτι κακότροπος ἦν, ἢ ὅτι ἐν ταῖς γυμνασίαις δυσλύτους ἀπορίας ἔλεγεν· ἔθος γὰρ ἦν τοῖς ἀρχαίοις σοφοῖς εἰς ἕνα τόπον συνέρχεσθαι καὶ γυμνασίας χάριν αἰνιγματώδεις τινὰς καὶ ἀσαφεῖς λόγους φθέγγεσθαι. Τοσοῦτον δὲ ἦν πένης ὁ Ἀπολλώνιος, ὡς ἐν ὀστράκῳ γράφειν τὰ ἑαυτοῦ συγγράμματα διὰ τὸ μὴ εὐπορεῖν χάρτας πρίασθαι. Ὁ γοῦν Ἡρωδιανὸς παιδευθεὶς παρὰ τῷ οἰκείῳ πατρὶ καὶ τὰ τέλη τῆς παιδεύσεως εἰληφὼς ἀπέστη ἀπ' αὐτοῦ διὰ τὸ ἐκείνου σκληρόν, ἢ διὰ τὸ μητρυιὰν αὐτῷ ἐπεισαγαγεῖν. Ἐν Ῥώμῃ δὲ ἐπὶ Μάρκου Ἀντωνίνου ἀφίκετο, καὶ πάνυ διέτριψεν ἐκεῖ καὶ τοσοῦτον ὥστε καὶ φίλος τῷ Μάρκῳ γέγονεν· ἔνθα καὶ τὴν μερικὴν προσῳδίαν καὶ τὴν καθολικὴν συνεγράψατο, ὑπὸ τοῦ αὐτοκράτορος παρακληθείς· καθολικὴ δὲ λέγεται, ὅτι ἀπὸ μονοσυλλάβων εἰς συλλαβὰς ἕως ἑξασυλλάβων περιλαμβάνει· ἐν ᾗ μετὰ τὸ εἰς τὸν Μάρκον προοίμιον οὕτω τὴν προσῳδίαν ὁρίζεται K ‖ 2 *in marg. rubro:* τὸν Ἀλεξανδρέα αἰνίττεται Θεοδόσιον P[1] ‖ 3 τῆς γραμματικῆς OP, τοὺς γραμματικοὺς C ‖ 4 τοῦ *om* C ‖ 5 ἀπ' αὐτῆς τῆς C, ἀπὸ τῆς τῆς O, ἀπὸ τῆς P ‖ 10 ἐπαγγελτικὸν CO, ἀπαγγελτικὸν PK | ἐκφερομένη COP, ἐκφερομένης K ‖ 11 συνεζευγ. OPK, ἐζευγμένων C ‖ 12 ὁμολογουμένη C, ὁμολογουμένης OPK | ἀναλογητικὸν OPK, ἀναλογικὸν C | καὶ λόγον OPK, *om* C ‖ 13 Τοῦτον — ὡρίσατο (14) C, καὶ τὰ μὲν περὶ Ἡρωδιανοῦ ἐάσθω K, *om* OP | περὶ καθόλου προσῳδιῶν C

Ἰστέον δὲ ὅτι οἱ ὁρισμοὶ ἀπὸ γένους καὶ διαφορῶν συνεστήκασι. Κἀνταῦθα γοῦν τὸ μὲν «τάσις» ἀντὶ γένους ἐστί — καὶ γὰρ καθολικόν τί ἐστιν ἡ τάσις καὶ κατὰ πλειόνων φέρεται· λέγεται γὰρ καὶ ἐπὶ χειρὸς καὶ ποδὸς καὶ ἄλλων μερῶν τε καὶ μορίων τοῦ σώματος καὶ ἐπ᾽ ἄλλων πολλῶν —· τὸ δὲ «ποιά» καὶ τὰ λοιπὰ διαφοραί.

Ἡ γοῦν προσῳδία τάσις ἐστὶ φωνῆς ποιά, ἤγουν ποιότητά τινα ἔχουσα ἤχου· ἢ γὰρ ἐπιτεταμένη ἐστίν, ἢ ἀνειμένη, ἢ μέση.

Ἐπειδὴ δὲ διττή ἐστιν ἡ φωνή — ἢ γὰρ ἔναρθρός ἐστιν ἤγουν ἐγγράμματος, ὡς ἡ ἐκ διανοίας ἀνθρωπίνης προβαλλομένη, ἢ ἄναρθρος, 677 b
τουτέστι μὴ δυναμένη γραφῆναι, ὥσπερ ἡ τῶν ἀλόγων ζώων καὶ ὁ ἦχος ὁ ἀπὸ σιδήρου ἢ ξύλου ἤ τινος τοιούτου γινόμενος· ἔστι δὲ καὶ τού- 104 v
των ἑκατέρα διττή· ἢ γὰρ σημαντική ἐστιν ἢ ἀσήμαντος· καὶ ἄναρθρος μὲν σημαντικὴ ὡς ἡ τοῦ κυνὸς ὑλακή (σημαίνει γὰρ παρουσίαν τινὸς ἐπιδημήσαντος), ἄναρθρος δὲ ἀσήμαντος ὡς ὁ ἐκ λίθων ἦχος γινόμενος, ἔναρθρος δὲ ἀσήμαντος ὡς τὸ σκινδαψός (τοῦτο γὰρ ἀσήμαντόν ἐστιν, ἐπειδὴ οὐ τίθεται κατὰ πράγματος· οὐδὲ γὰρ ἔστι τι λεγόμενον σκινδαψός), ἔναρθρος δὲ σημαντικὴ ὡς ὕδωρ, θάλασσα καὶ ὅσαι κατὰ πραγμάτων φωναὶ τίθενται — ἐπειδὴ οὖν καὶ ἄναρθροί εἰσι φωναὶ τάσιν ἔχουσαι, ὡς αἱ ἀπὸ σιδήρων καὶ ξύλων, ἃς καὶ κυρίως οὐκ ἂν εἴποιμεν φωνάς, διὰ τοῦτο προσέθηκεν «ἐγγραμμάτου». Πάλιν δὲ ἐπεί, ὡς εἰρήκαμεν, εἰσὶ μὲν ἐγγράμματοι φωναί, οὐ δηλοῦσαι δέ τι, τούτου χάριν εἶπεν «ὑγιοῦς» ἤγουν σημαινούσης τι· ἐν πολλοῖς δὲ βιβλίοις εὑρίσκεται καὶ «ὑγιής», ἵνα πρὸς τὴν τάσιν ἀναφέρηται· ἡ γὰρ πεποιημένη, φησί, τάσις οὐχ ὡς ἔτυχεν ὀφείλει ἐκφέρεσθαι, ἀλλὰ πάντως ὑγιῶς καὶ ὀρθῶς. Ὅθεν σαφέστερον δηλῶν τίς ἐστιν ὑγιὴς τάσις ἐπήγαγε «κατὰ τὸ ἐπαγγελτικὸν τῆς λέξεως ἐκφερομένη»· ἐκείνη γάρ ἐστι τάσις ὀρθή, ἥτις κατ᾽ ἐπαγγελίαν ἤγουν σημασίαν τῆς λέξεως ἐκφέρεται, οἷον τὸ ΑΓΝΟϹ εἰ μὲν σημαίνει τὸν καθαρόν, ὀξύνεται· εἰ δὲ σημαίνει τὴν βοτάνην, παροξύνεται· πάλιν τὸ ΑΡΓΟϹ εἰ μὲν σημαίνει τὸν ῥάθυμον, ὀξύνεται, εἰ δὲ βαρύνεται, σημαίνει ὄνομα τόπου καὶ κυνὸς καὶ ἀνδρός. Τὸ δὲ

---

1 Ἰστέον — ἐστί (2) K, ἔστιν οὖν τὸ μὲν (ποιὰ *add* O) τάσις ἀντὶ γένους CO ‖ 2 *ante* τάσις *add* ποιὰ K | καθολικόν τι O, καθολική τις C, καθολικόν τε K ‖ 4 ἄλλων μ. — ἐπ᾽ CO, λίθων καὶ ξύλων καὶ K ‖ 5 τὸ — διαφ. CO, τὸ δὲ ἐγγραμμάτων καὶ τὰ λοιπὰ ἀντὶ συστατικῶν διαφορῶν K ‖ 6 Ἡ γ. πρ. τ. CO, ἡ προς. οὖν φησὶ τάσις K ‖ 9 ἡ K, *om* CO ‖ 11 καὶ K, *om* CO ‖ 13 ὡς K, *om* CO; *item v. 14* ‖ 15 τὸ K, *om* CO | κινδαψὸς C | τοῦτο — σκινδ. (16)] τὸ βλίτηρι καὶ τὰ τοιαῦτα K ‖ 16 σκινδαψής C ‖ 17 θάλασσα καὶ ὅσαι K, θαλάσσης. ταῦτα γὰρ CO ‖ 18 *prius* φωναὶ *add* K ‖ 19 ἃς — φωνάς (20) *add* K ‖ 25 ἐπαγγελτικὸν O, ἀπαγγελτικὸν CK ‖ 27 κατ᾽ ἐπαγγελίαν (ἐ *non distincte*) C, κατὰ ἀπαγγελίαν OK ‖ 29 τὸ *add* K ‖ 30 καὶ κ. καὶ ἀνδρός *add* K, *qui praeterea add:* πρέπει οὖν, φησί, τὴν ποιὰν τάσιν τὴν ἐγγράμματον τὴν σημαίνουσάν τι, ὡς ἡ σημασία τῆς λέξεως ἀπαιτεῖ, ἐκφέρεσθαι, καὶ μὴ βουλομένῳ σοι τὸ ἄργος τὴν ἀπώλειαν εἰπὼν (ἀπονίαν εἰπεῖν *coni. Goettling,* πολιτείαν εἰπεῖν *Stadtmüller*) ἀργός ἡ τάσις ἀποδοθήτω, ἀλλὰ κατὰ τὴν σημασίαν τῆς λέξεως

«μετά τινος τῶν συνεζευγμένων περὶ μίαν cυλλαβήν» τοῦτο δηλοῖ, ὅτι οὔτε χρόνος χωρὶς τόνου εὑρίσκεται, οὔτε τόνος χωρὶς χρόνου· ἀλλ' 678b οὐδὲ πνεῦμα πάλιν αὐτὸ καθ' ἑαυτὸ ἐκφέρεται τούτων ἄτερ, οἷον ἥλιος· ἰδοὺ γὰρ καὶ χρόνος μακρὸς τὸ η̄, καὶ μετὰ δασέος ἐξενήνεκται, καὶ ἐπάνω τῆς μακρᾶς ἐτέθη ἡ ὀξεῖα· εἰ γοῦν καὶ χωρὶς πνεύματος τόνος εὑρίσκεται, ὡς Πέτρος, ἀλλ' οὐ ⟨χωρὶς⟩ χρόνου, ὥσπερ οὐδὲ χρόνος ἄνευ τόνου· ὡς γὰρ ἐροῦμεν προϊόντες, οὐκ ἦν συλλαβὴ μὴ ἐπιδεχομένη τόνον κατὰ τοὺς παλαιοὺς τῶν γραμματικῶν. «Συνεζευγμένα» οὖν ὀνομάζει τούς τε τόνους καὶ τοὺς χρόνους, ἔτι δὲ καὶ τὰ πνεύματα, ὅτι ταῦτα πάντα καὶ τὸν τῆς προςῳδίας ὅρον ἐπιδέχονται καὶ προςῳδίαι καλοῦνται. Τὸ δὲ «ἤτοι κατὰ συνήθειαν διαλέκτου ὁμολογουμένη, ἤτοι κατὰ τὸν ἀναλογητικὸν ὅρον» εἰπὼν τοὺς τρόπους διδάσκει, καθ' οὓς αἱ προςῳδίαι ἐκφέρονται· ἢ γάρ, φησί, κατὰ διάλεκτον προάγονται, ἢ κατὰ ἀναλογίαν καὶ κανόνα. Οἷον τὸ μὲν ὁμοῖος κατὰ ἀναλογίαν ἐκφέρεται, διότι τὰ διὰ τοῦ οιος ἅπαντα προπερισπῶμεν, ἑτεροῖος γελοῖος ἀλλοῖος· διὰ τοῦτο καὶ Ὅμηρος τῇ ἀναλογίᾳ χρησάμενος ⟨ρ 218⟩ ὡς αἰεί, φησί, τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον· οἱ δὲ Ἀττικοὶ ὅμοιος λέγουσι· πάλιν ἡμεῖς μὲν ἀναλόγως τρόπαιον λέγομεν, ὡς ἔλαιον σπήλαιον; ὁ δὲ Θουκυδίδης τροπαῖον ἀττικῶς· καὶ τὸ Ἀχιλλεύς δὲ καὶ τὸ Πηλεύς καὶ τὰ ὅμοια ἡμεῖς μὲν ὀξύνομεν, οἱ δὲ Αἰολεῖς βαρύνουσιν· 105v οὕτω καὶ τὸ εἱρκτή οἱ μὲν Ἀττικοὶ δασύνουσιν, ἡμεῖς δὲ ψιλοῦμεν, καὶ τοῦ Ἀπόλλων ἡμεῖς μὲν ἀναλόγως τὸ ᾱ συστέλλομεν, οἱ δὲ Ἀττικοὶ ἐκτείνουσιν, ὡς τὸ ⟨Α 36⟩ Ἀπόλλωνι ἄνακτι, τὸν ἠύκομος τέκε Λητώ.

Ἰστέον δὲ ὅτι οὐ τοὺς τόνους μόνον ὡρίσατο καὶ τούτους προςῳδίας ἐκάλεσεν, ὥς τισιν ἔδοξε πλανηθεῖσιν ἐκ τοῦ εἰπεῖν «ποιὰ τάσις», ἀλλὰ καὶ τοὺς χρόνους καὶ τὰ πνεύματα· καὶ γὰρ καὶ οἱ χρόνοι τάσιν ἔχουσι, καθὸ ὁ μὲν ἐκτείνεται, ὁ δὲ συστέλλεται· καὶ τὰ πνεύματα δέ, ἐπειδὴ τὸ μὲν ἐκ τοῦ θώρακος πρόεισιν ἐπιτεταμένως, τὸ δὲ ἐξ ἄκρων τῶν χειλέων συνεσταλμένως.

679b Ἀλλὰ γὰρ ἐπεὶ τὸν τῆς προςῳδίας ὅρον ὡς οἷόν τε ἐξηγησάμεθα, φέρε δὴ καὶ εἰς πόσα διαιρεῖται ἡ προςῳδία εἴπωμεν. «Διαιρεῖται τοίνυν ἡ προςῳδία», φησίν, «εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη».

Ζητητέον, κατὰ ποῖον τρόπον τῆς διαιρέσεως διαιρεῖται ἡ προςῳ-

---

6 χωρὶς *om* COK ‖ **7** μὴ K, ἡ μὴ O, *om* C ‖ **9** δὲ OK, γὲ μὴν C ‖ **11** ὁμολογουμένη CK, ὁμολογουμένης O ‖ **15** προπερισπῶμεν OK, περισπώμενα C | ἑτεροῖος *om* C ‖ **17** ἄγει — ὁμοῖον *om* C | ὡς τὸν] πρὸς τὸν O, εἰς τὸν K ‖ **18** ἔλαιον σπήλαιον K, σπήλαιον σύλαιον CO (*quibus add* C: θύλακον) ‖ **19** καὶ τὸ Πηλ. K, *om* CO ‖ **21** καὶ τοῦ — συστέλλ. (**22**) *om* C ‖ **22** τοῦ] τὸ OK | τὸ ᾱ K, *om* O ‖ **25** μόνον O, μόνους K, *om* C ‖ **26** τοῦ — πνεύματα (**27**) K, τῆς τάσεως CO ‖ **28** τὰ πνεύματα OK, πνεῦμα C ‖ **29** ἐπειδὴ C, ἐπεὶ K, *om* O ‖ **32** διαιρεῖται — εἴπωμεν OK, *om* C ‖ **33** φησίν CO, *om* K

δία εἰς τὰ τέσσαρα ταῦτα. Ὀκταχῶς γὰρ γίνεται ἡ διαίρεσις· ἔστι γὰρ ἀπὸ γένους εἰς εἴδη, ὡς τὸ ζῷον εἰς ἄνθρωπον καὶ ἵππον, ἢ τὸ φυτὸν εἰς ἐλαίαν καὶ ἄμπελον· καὶ ἀπὸ εἴδους εἰς ἄτομα, ὡς ὁ ἄνθρωπος εἰς τοὺς κατὰ μέρος ἀνθρώπους, εἰς Σωκράτην καὶ Πλάτωνα. Καὶ ἀπὸ ὅλου εἰς μέρη, καὶ αὕτη διχῶς· ἢ γὰρ εἰς ὁμοιομερῆ γίνεται ἡ διαίρεσις, ἢ εἰς ἀνομοιομερῆ· καὶ εἰς ὁμοιομερῆ μὲν τέμνεται τὸ ὅλον, ὅταν καὶ τοῦ ὀνόματος τοῦ ὅλου καὶ ἀλλήλων μετέχωσι τὰ μέρη καὶ τοῦ ὁρισμοῦ, οἷον ὁ μέγας λίθος τέμνεται εἰς μικρὰ λιθίδια, ἅτινα καὶ τὸ ὄνομα τοῦ ὅλου λίθου καὶ ἀλλήλων ἔχει καὶ τὸν ὁρισμόν· καὶ πάλιν ὅταν τὴν ⟨μεγάλην⟩ φλέβα τέμῃς εἰς μικρὰς φλέβας· καὶ γὰρ ἑκάστη τούτων ὁμωνύμως τῷ ὅλῳ φλὲψ λέγεται· εἰς ἀνομοιομερῆ δέ, ὡς ὅταν τὴν κεφαλὴν διέλωμεν εἰς ὦτα, ῥῖνα, ὀφθαλμούς· ταῦτα γὰρ οὔτε τῷ ὅλῳ ὁμωνύμως λέγομεν (οὔτε γὰρ τὰ ὦτα λέγεται κεφαλή, οὔτε ἡ ῥίν, οὔτε οἱ ὀφθαλμοί), οὔτε δὲ ἀλλήλοις ὁμωνύμως λέγεται (οὔτε γὰρ τὸ οὖς λέγεται ῥίν, οὔτε ἡ ῥὶν ὀφθαλμός), οὔτε τὸν αὐτὸν ὁρισμὸν τοῦ ὅλου ἢ ἀλλήλων ἐπιδέχεται. Ἀπὸ ὁμωνύμου δὲ φωνῆς εἰς διάφορα σημαινόμενα, ὡς ὅταν ἡ κύων φωνὴ διαιρῆται εἴς τε τὸν θαλάττιον κύνα καὶ τὸν χερσαῖον καὶ τὸν ἀστρῷον. Ἀπὸ οὐσίας δὲ εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν ὅτι τῶν ἀνθρώπων οἱ μὲν λευκοί, οἱ δὲ μέλανες· ἐνταῦθα γὰρ εἰς τὸ λευκὸν καὶ τὸ μέλαν, ἅτινα συμβεβηκότα εἰσίν, ἐγένετο ἡ διαίρεσις. Ἀπὸ συμβεβηκότος δὲ εἰς οὐσίας, ὡς ὅταν εἴπωμεν ὅτι τοῦ λευκοῦ τὸ μέν ἐστι χιών, τὸ δὲ ψιμύθιον, τὸ δὲ κύκνος· ἀπὸ γὰρ τοῦ λευκοῦ, 680b
ὅπερ ἐστὶ συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς χιόνα καὶ κύκνον καὶ ψιμύθιον, ἅτινα οὐσίαι εἰσίν. Ἀπὸ συμβεβηκότος δὲ εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν ὅτι τῶν λευκῶν τὰ μέν ἐστι θερμά, τὰ δὲ ψυχρά, καὶ θερμὰ μὲν ὡς ἐπὶ τῆς ἀσβέστου, ψυχρὰ δὲ ὡς ἐπὶ τῆς χιόνος· ἰδοὺ γὰρ ἐνταῦθα ἀπὸ τοῦ λευκοῦ, ὅπερ ἐστὶ συμβεβηκός, ἐγένετο ἡ διαίρεσις εἰς θερμὸν καὶ ψυχρόν, ἅτινα καὶ αὐτὰ συμβεβηκότα εἰσίν. Ἀφ᾽ ἑνὸς δὲ καὶ πρὸς ἕν, ὡς ὅταν ἀπὸ τῆς ἰατρικῆς εἴπωμεν ἰατρικὸν βιβλίον, ἰατρικὸν φάρμακον, ἰατρικὴ ἔμπλαστρος· πρὸς ἓν γὰρ πρᾶγμα, τὴν ὑγίειαν, ἀφορῶντες αὐτὰ ὀνομάζομεν.

Ὀκταχῶς οὖν γινομένης τῆς διαιρέσεως, ζητητέον, κατὰ ποῖον τρόπον γίνεται τῆς προσῳδίας ἡ διαίρεσις ἡ εἰς τόνους, εἰς χρόνους καὶ τὰ λοιπά.

Τινὲς μὲν οὖν λέγουσιν, ὅτι ἀπὸ ὁμωνύμου φωνῆς ἐστιν ἡ διαίρεσις εἰς διάφορα σημαινόμενα. Οὐ καλῶς δὲ λέγουσι, διότι ἐπὶ τῶν

1 τὰ K, *om* CO | ταῦτα CK, *om* O | γὰρ OK, γὰρ καὶ C || **6** καὶ εἰς ὁμοιομερῆ *om* C || **8** ἅτινα K, ἔχει δὲ C, ἔχει O || **9** ἔχει καὶ K, ἔχει δὲ καὶ C, *om* O | καὶ πάλιν — λέγεται (11) *om* K || **12** ῥῖνα K, ῥῖνας CO || **15** οὔτε τὸν — ἐπιδέχ. *add* K || **16** ὅταν ἡ O, ἥ τε C, ἡ K || **17** διαιρεῖται COK || **21** οὐσίας OK, οὐσίαν C || **30** ἰατρ. ἔμπλ. *om* K | ἰατρικὴ *Uhlig,* ὑγιεινὴ CO || **31** ἀφορῶντες — ὀνομάζ.] ἀφορῶσι ταῦτα K | ὀνομάζομεν P, ὀνομάσαμεν C, ὠνομάσαμεν O || **36** ἐπὶ τῶν ἀπὸ O, ἀπὸ τῶν C, ἐπὶ τῶν τῆς K

ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα διαιρουμένων οὐχ εὑρίσκεταί τι κοινόν, οὗ τὸν ὁρισμὸν ἐπιδέξονται πάντα· οἷον ὁ ἀστρῷος κύων οὐκ ἐπιδέξεται τοῦ ζῴου τὸν ὁρισμόν· ἐνταῦθα δὲ καὶ οἱ χρόνοι
106v καὶ τὰ πνεύματα καὶ οἱ τόνοι ἐπιδέχονται τὸν ὁρισμὸν τῆς προσῳδίας, πλὴν τῶν παθῶν, ἅτινα οὐδὲ κυρίως προσῳδίαι εἰσίν, ὡς προϊόντες δείξομεν.

Ἕτεροι δὲ πάλιν φασὶν ὅτι ἀπὸ ὅλου γέγονεν εἰς μέρη ὁμοιομερῆ ἡ διαίρεσις, ἐπεὶ καὶ τὸν ὁρισμὸν τοῦ ὅλου ἐπιδέχονται καὶ τὸ ὄνομα· καὶ γὰρ προσῳδίαι καλοῦνται καὶ οἱ τόνοι καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα, καὶ τῆς προσῳδίας τὸν ὅρον ἐπιδέχονται. Ἀλλὰ καὶ οὗτοι οὐ πιθανῶς λέγουσι, διότι πάντα τὰ ἀπὸ ὅλων εἰς μέρη ὁμοιομερῆ διαιρούμενα οὐ μόνον τοῦ ὅλου τὸν ὁρισμὸν καὶ τὸ ὄνομα ἐπιδέχονται, ἀλλὰ καὶ ἀλλήλων· ἐνταῦθα δὲ οἱ τόνοι οὐ καλοῦνται χρόνοι, οὐδὲ οἱ
681b χρόνοι τόνοι· οὐδὲ τὸν ὁρισμὸν ἀλλήλων ἐπιδέχονται. Ἀλλ' οὐδὲ εἰς ἀνομοιομερῆ μέρη ἐστὶν ἡ διαίρεσις, διότι τὰ ἀνομοιομερῆ οὔτε ἀλλήλοις οὔτε τῷ ὅλῳ ὁμωνύμως λέγονται, ἀλλ' οὐδὲ τὸν ὁρισμὸν ἐπιδέχονται τοῦ ὅλου· οἷον ἡ χεὶρ οὐκ ἂν κληθείη ἄνθρωπος, οὐδὲ τὸν ὁρισμὸν τοῦ ἀνθρώπου δέξεται.

Ἔτι δὲ οὐδὲ ὡς γένος εἰς εἴδη διαιρεῖται ἡ προσῳδία εἰς τόνους καὶ τὰ λοιπά· εἰ γὰρ καὶ τὸν ὁρισμὸν ἐπιδέχονται καὶ τὸ ὄνομα τῆς προσῳδίας οἱ τόνοι τε καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα, ὥσπερ τὰ εἴδη τοῦ γένους, ἀλλ' ἐπειδὴ τὰ εἴδη ὁλόκληρόν τι ἀποτελοῦσιν — οἷον ὁ ἐπιστάμενος ἓν μόνον εἶδος τῆς ῥητορικῆς, τουτέστι τὸ δικανικὸν μόνον ἢ τὸ συμβουλευτικὸν ἢ τὸ πανηγυρικόν, τέλειος ῥήτωρ ἐστίν, ὡς ὁ Γοργίας τὸ δικανικὸν μόνον εἰδώς, ὡς λέγουσιν —, ἐνταῦθα δὲ ὁ ἐπιστάμενος τοὺς τόνους μόνους ἀκριβῶς, οὐχὶ καὶ τοὺς χρόνους καὶ τὰ πνεύματα, οὐκ ἔστι τέλειος γραμματικός, εὔδηλον ὅτι οὐδὲ ἀπὸ γένους ἐστὶν εἰς εἴδη ἐνταῦθα ἡ διαίρεσις.

Ἠλέγχθησαν οὖν οἱ τρεῖς τρόποι οὗτοι τῆς διαιρέσεως μὴ ἐφαρμόζοντες ἐνταυθοῖ· οἱ γὰρ λοιποὶ πέντε τρόποι τῆς διαιρέσεως πάντη ἀπᾴδουσιν, ἄλλως τε οὐδὲ εἰσὶ κυρίως τρόποι διαιρετικοί.

Οὐ δύναται γὰρ ἀπὸ εἰδῶν εἰς ἄτομα γίνεσθαι διαίρεσις, ἐπειδὴ τὰ ἄτομα ἄπειρά εἰσι· καὶ γὰρ οἱ κατὰ μέρος ἄνθρωποι ἄπειροί εἰσι καὶ ἀπερίληπτοι, ἄπειροι δὲ ὄντες καὶ ἀπερίληπτοι οὐ δύνανται διαιρέσει καθυποβληθῆναι· ἐν ὅσῳ γὰρ θέλει τις διαιρέσει τοὺς ἐν τῇδε τῇ πόλει

---

5 κυρίως K, *om* CO ‖ **7** δὲ πάλιν O, δὲ K, *om* C ‖ **10** ὅρον COK, ὁρισμὸν b ‖ **11** διότι K, διὰ τί. ὅτι CO | ὅλων OK, ὅλου C ‖ **17** οὐκ ἂν C, οὐ OK ‖ **19** δὲ O, *om* CK ‖ **23** μόνον εἶδος K, μόνον C, εἶδος O | τουτ. — πανηγ. (**24**) *om* K | μόνον ἢ C, ἢ καὶ O ‖ **24** ὡς — λέγουσιν (**25**) *om* K ‖ **25** λέγουσιν O, λέγει C ‖ **26** *prius* τοὺς *om* C ‖ **29** τρόποι οὗτοι O, οὗτοι τρόποι CK ‖ **31** *post* διαιρ. *add* K: οὗτοι, ὡς ἐν τοῖς περὶ τῶν πέντε φωνῶν εἰρημένοις μεμαθήκαμεν καὶ ἐν τῇ διαιρέσει τῶν στάσεων ‖ **32—135, 2** *om* K

καθυποβάλλειν ἀνθρώπους, οἱ μὲν γεννῶνται, οἱ δὲ φθείρονται, καὶ οὐδέποτε τοῦ τέλους ἐφικνεῖται.

Ἀλλ᾽ οὔτε δὲ ἀπὸ ϲυμβεβηκότοϲ εἰϲ οὐϲίαϲ γίνεται διαίρεϲιϲ· τὸ γὰρ λέγειν ὅτι τοῦ λευκοῦ τὸ μέν ἐϲτι κύκνοϲ, τὸ δὲ ψιμύθιον, τὸ δὲ χιών, οὐκ ἔϲτι διαίρεϲιϲ ϲυμβεβηκότοϲ εἰϲ οὐϲίαϲ· οὐδὲ γὰρ τὸ λευκὸν C 82b τὸ καθ᾽ αὑτὸ θεωρούμενον διεῖλον, ἀλλὰ τὸ ϲῶμα τὸ λευκόν, ὅπερ ἐϲτὶν οὐϲία· οὐδὲ γὰρ δύναμαι τὴν λευκότητα διελεῖν εἰϲ ψιμύθιον καὶ κύκνον καὶ χιόνα, ἐπειδὴ ἡ λευκότηϲ ϲυμβεβηκόϲ ἐϲτι, ταῦτα δὲ οὐϲίαι εἰϲίν, οὐ δύναται δὲ τὸ ϲυμβεβηκὸϲ εἰϲ οὐϲίαϲ διαιρεῖϲθαι· καὶ γὰρ τὸ διαιρούμενον εἰϲ ὅμοια θέλει διαιρεῖϲθαι, οὐκ εἰϲ ἀνόμοια· οἷον τὸ ζῷον εἰϲ ζῷα διαιρεῖται, οὐ μὴν εἰϲ μὴ ζῷα, καὶ τὸ λογικὸν εἰϲ λογικά, οὐ μὴν εἰϲ ἄλογα, καὶ τὸ θνητὸν εἰϲ θνητά, οὐ μὴν εἰϲ ἀθάνατα· πῶϲ οὖν τὸ ϲυμβεβηκὸϲ εἰϲ οὐϲίαϲ δύναται διαιρεῖϲθαι;

Ἀλλ᾽ οὔτε δὲ ἀπὸ οὐϲίαϲ εἰϲ ϲυμβεβηκότα γίνεται διαίρεϲιϲ· τὸ γὰρ λέγειν ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰϲι λευκοί, οἱ δὲ μέλανεϲ, οὐκ ἔϲτι διαίρεϲιϲ ἀπὸ οὐϲίαϲ εἰϲ ϲυμβεβηκότα, ἀλλ᾽ ἀπὸ οὐϲίαϲ εἰϲ οὐϲίαϲ ἐχού- 107v ϲαϲ ϲυμβεβηκότα· εἰϲ γὰρ ἀνθρώπουϲ μέλαναϲ καὶ λευκοὺϲ ἐγένετο ἡ διαίρεϲιϲ, οἵτινεϲ οὐϲίαι εἰϲίν.

Ἀλλ᾽ οὔτε δὲ ἀπὸ ϲυμβεβηκότοϲ εἰϲ ϲυμβεβηκότα γίνεται διαίρεϲιϲ· ἢ γὰρ ἀπὸ γένουϲ εἰϲ εἴδη γίνεται ἡ διαίρεϲιϲ, ὡϲ ὅταν εἴπωμεν ὅτι τὸ χρῶμα διαιρεῖται [εἰϲ εἴδη] εἰϲ λευκὸν καὶ μέλαν· τὸ δὲ τοιοῦτον ἀνάγεται ὑπὸ τὸν διαιρετικὸν τρόπον τὸν ἀπὸ γένουϲ εἰϲ εἴδη, ἢ ἀπὸ οὐϲίαϲ εἰϲ οὐϲίαϲ, καὶ οὐκέτι ὡϲ ἀπὸ ϲυμβεβηκότοϲ εἰϲ ϲυμβεβηκότα γίνεται ἡ διαίρεϲιϲ· τὸ γὰρ λέγειν ὅτι τῶν λευκῶν τὰ μὲν θερμά εἰϲι, τὰ δὲ ψυχρά, ἀπὸ οὐϲίαϲ εἰϲ οὐϲίαϲ διαίρεϲίϲ ἐϲτι· τὸ γὰρ ϲῶμα τὸ λευκόν, ὅπερ οὐϲία ἐϲτί, διεῖλον εἰϲ ϲῶμα θερμὸν καὶ ψυχρόν, καὶ αὐτὰ δὲ οὐϲίαι εἰϲίν· οὐδὲ γὰρ δυνατὸν τὸ λευκὸν καθ᾽ ἑαυτὸ θεωρούμενον, ἤγουν τὴν λευκότητα, διελεῖν εἰϲ ϲῶμα θερμὸν καὶ ψυχρόν, ἐπειδὴ τὸ λευκὸν καθ᾽ ἑαυτὸ θεωρούμενον οὔτε θερμόν ἐϲτιν οὔτε ψυχρόν.

Ἀλλ᾽ οὔτε δὲ τὰ ἀφ᾽ ἑνὸϲ καὶ πρὸϲ ἕν ἐϲτι διαίρεϲιϲ, ἀλλ᾽ ἀπαρίθμηϲιϲ· τὰ γὰρ ἀφ᾽ ἑνὸϲ καὶ πρὸϲ ἓν ἀόριϲτα καὶ ἀπερίληπτά εἰϲι· 683b δυνατὸν γὰρ εἰπεῖν ἰατρικὸν βιβλίον, ἰατρικὴ δίαιτα, ἰατρικὴ ἔμπλαϲτροϲ, ἰατρικὸϲ οἶνοϲ, ἰατρικὸν ἔλαιον καὶ ἄλλα ἄπειρα· καὶ πάλιν ὑγιεινὸϲ οἶνοϲ, ὑγιεινὴ δίαιτα, ὑγιεινὸν βιβλίον· ἄπειρα δὲ καὶ ἀπερίληπτα ὄντα πῶϲ δύνανται διαιρέϲει καθυποβληθῆναι;

Ὥϲτε οὖν κυρίωϲ τρεῖϲ τρόποι εἰϲὶ μόνοι διαιρετικοί, ὁ ἀπὸ γένουϲ

---

1 καθυποβ. *om* O ‖ **3** οὐϲίαν C, οὐϲίαϲ *et supra* ϲ *scr.* ν O ‖ **4** τὸ δὲ ψιμ. O, *om* C ‖ **7** οὐϲία O, *om* C | δύναμαι b, δύναται CO ‖ **9** δὲ O, *om* C | καὶ — διαιρεῖϲθαι (**10**) O, *om* C ‖ **11** ἄλογα O, μὴ λογικὰ C ‖ **21** τὸ (*ante* χρ.) O, *om* C | εἰϲ εἴδη CO, *om* b ‖ **25** διαίρεϲίϲ ἐϲτι b, διαίρεϲιϲ C, διαίρεϲιν O ‖ **28** ἤγουν — θεωρούμ. (**29**) *om* O ‖ **33** ἰατρ. οἶν. ἰατρ. ἔλ. *om* O | οἶνοϲ] οἶκοϲ C ‖ **34** ὑγ. βιβλ. *om* O ‖ **36** μόνοι O, *om* C

εἰς εἴδη, ὁ ἀπὸ ὅλου εἰς μέρη, ὁ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα.

Τούτων οὕτως ἐχόντων, καὶ ὑπ' οὐδεμίαν διαίρεσιν ἀναγομένης τῆς προσῳδίας, λέγει ὁ Φιλόπονος, ὃς καὶ περὶ τῆς προσῳδίας διαλαμβάνει ἐν ἰδίῳ βιβλίῳ, ὡς οὐκ ἔστιν αὕτη διαίρεσις ἀλλ' ὑποδιαίρεσις· διαίρεσις γάρ ἐστι τῆς γραμματικῆς, ὡς ὅλου εἰς μέρη, εἰς ταῦτα τὰ τέσσαρα, τὸ ἀναγνωστικόν, τὸ ἐξηγητικόν, τὸ διορθωτικόν, τὸ κριτικόν· πάλιν τὸ ἀναγνωστικὸν ἐπιδιαιρεῖται εἰς ὑπόκρισιν, προσῳδίαν καὶ διαστολήν, ὡς αὐτὸς ὁ Διονύσιος διδάσκει, λέγων ⟨p. 6, 6 Uhl⟩ «ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν»· ἡ δὲ προσῳδία πάλιν ὑποδιαιρεῖται εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη.

Χρὴ δὲ γινώσκειν ὅτι τὰ πάθη οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστικῶς. Πρῶτον μὲν γὰρ αἱ ἑπτὰ προσῳδίαι ἐπάνω φωνηέντων τίθενται, τῶν δὲ τριῶν τούτων ἡ μὲν μία, ⟨ἡ⟩ ἀπόστροφος, ἐπάνω συμφώνου τίθεται, οἷον ἐπ' ἐμοῦ, οὐχ' οὕτως· ἐπάνω γὰρ τίθεται τοῦ συμφώνου τοῦ ὄντος τελευταίου τῆς λέξεως, δηλοῦσα ὡς ὧδε πάθος τι γέγονε καὶ φωνῆεν ἦν μετὰ τούτου τοῦ συμφώνου καὶ ἀπεστράφη· ἡ δὲ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ ὑποκάτω τίθενται, οἷον φιλόθεος ἔστι,νοῦς· καὶ ἐπὶ μὲν τοῦ φιλόθεος τίθεται ἡ ὑφὲν ὑποκάτω δηλοῦσα τὴν ἕνωσιν, ἀρχομένη μὲν ἀπὸ τοῦ τελευταίου φωνήεντος τῆς πρώτης λέξεως καὶ τὴν μετὰ ταῦτα λέξιν ὁμοῦ συμπεριλαμβάνουσα· ἐπὶ δὲ τοῦ ΕСΤΙΝΟΥС εἰ μὲν βούλει εἰπεῖν «ὑπάρχει ὠτίον», τίθης τὴν ὑποδιαστολὴν ὑποκάτω τοῦ ου̅, εἰ δὲ ἀντὶ τοῦ «ὑπάρχει νοῦς», ὑποκάτω τοῦ ἐστί· προϊόντες δὲ πλατύτερον περὶ τούτων ἐροῦμεν. Εἶτα τὰ μὲν τρία ταῦτα οὐκ ἐγένοντο ἀπὸ στοιχείων, αἱ δὲ ἑπτὰ προσῳδίαι ἀπὸ στοιχείων τὴν γένεσιν ἔχουσιν· ἡ μὲν γὰρ ὀξεῖα καὶ βαρεῖα ἀπὸ τοῦ Λ στοιχείου, ἡ δὲ περισπωμένη καὶ ἡ μακρὰ καὶ ἡ βραχεῖα ἀπὸ τοῦ Θ, ἡ δὲ δασεῖα καὶ ἡ
684b ψιλὴ ἀπὸ τοῦ Η· ἔτι οὐδὲ ὁ ὅρος τῆς προσῳδίας ἐφαρμόζει τοῖς πά-
108v θεσι. Πῶς οὖν καλοῦνται προσῳδίαι τὰ πάθη; Ὁμωνύμως λέγονται, καὶ οὐ συνωνύμως· ὁμώνυμα γὰρ λέγονται ἐκεῖνα, ὧν τὸ ὄνομα μόνον κοινόν ἐστιν, ὁ δὲ ὁρισμὸς διάφορος, ὥσπερ ὁ ἄνθρωπος ὁ ζῶν καὶ ὁ

---

1 ὅλου] ὅλων CO ‖ **3** ὑπ' οὐδεμίαν OK, ὑπὸ μίαν C | διαίρ. — προσῳδ. (**4**) *om* O ‖ **4** λέγει — βιβλίῳ (**5**) K, λέγομεν CO | Φιλόπονος] ἐπὶ τούτοις ἐγένετο ὁ Φιλόπονος, συγγραψάμενος καὶ αὐτὸς περὶ προσῳδιῶν: *Egenolff in Burs. Annal. 1886 I p. 116 e cod. Darmstad. 2773, fol. 155*[r] ‖ **5** ἔστιν αὕτη K, ἔστι CO ‖ **8** ἐπιδιαιρ. K, ὑποδιαιρεῖται O, διαιρεῖται C ‖ **11** ὑποδιαιρ. K, ἐπιδιαιρεῖται C, διαιρεῖται O | καὶ K, *om* CO ‖ **13** ἀλλὰ — προσῳδίαι (**14**) *om* C ‖ **15** τῶν δὲ — ἐροῦμεν (**25**) K, αἱ δὲ τρεῖς αὗται ἐπὶ συμφώνων, ὡς (γὰρ *add* C) τὸ ἐπ' ἐμοῦ καὶ οὐχ' οὕτως· ἰδοὺ γὰρ ἐπὶ τοῦ π̄ καὶ τοῦ χ̄ ἐτέθη ἡ ἀπόστροφος· καὶ πάλιν φιλόθεος Διομήδης, ὑποκάτω συμφώνων· καὶ πάλιν ἔστιν,οὗς· ὑποκάτω γὰρ (γὰρ *om* C) τοῦ ν̄ ἐτέθη ἡ ὑποδιαστολή CO ‖ **15** ἡ (*ante* ἀπ.) *add* b ‖ **20** ἐνδηλοῦσα K ‖ **23** τιθεὶς K ‖ **25** *post* Εἶτα *add* ὅτι CO ‖ **31** ὁμώνυμα — δεκτικόν (**136, 3**) *om* K | ἐκεῖνα C, *om* O

γεγραμμένος· τὸ μὲν γὰρ ὄνομα τοῦ ζῶντος ἔχει ⟨καὶ⟩ ὁ ἐπὶ τοίχου γραφεὶς ἄνθρωπος, οὐ μέντοι καὶ ζῷόν ἐςτι λογικὸν θνητὸν νοῦ καὶ ἐπιςτήμης δεκτικόν· ἐπεὶ γοῦν πρὸς τὰ πάθη ᾄδονται αἱ φωναί, ἤγουν κατὰ τὰ πάθη, διὰ τοῦτο καλοῦνται προςῳδίαι. Οἷον τί φημι; οὐ λέγω «οὐχὶ οὕτως», ἀλλὰ βλέπων τὴν ἀπόςτροφον λέγω «οὐχ' οὕτως»· καὶ πάλιν τὸ ΧΕΙΡΙϹΟΦΟϹ οὐ λέγω χειρὶ ςοφός, ἀλλὰ βλέπων τὴν ὑφὲν ἀναγινώςκω Χειρίςοφος· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ΕϹΤΙΝ,ΑΞΙΟϹ πείθει με ἡ ὑποδιαςτολὴ ὑποκάτω τοῦ ν κειμένη ἄξιος ἀναγινώςκειν καὶ μὴ Νάξιος. Ὥςτε κατὰ τὴν ἐτυμολογίαν μόνον λέγονται τὰ πάθη προςῳδίαι, οὐχὶ κατὰ τὸν ὅρον· διὰ γὰρ τὸ πρὸς αὐτὰ ᾄδεςθαι τὰς φωνὰς εἴρηνται καὶ αὐτὰ προςῳδίαι.

«Τόνοι μὲν οὖν εἰςι τρεῖς, ὀξύς, βαρύς, περιςπώμενος». Τῆς προςῳδίας 109v ὑποδιαιρέςεις εἰςὶ τέςςαρες· πάλιν ἕκαςτον τῶν τεςςάρων ὑποδιαιρεῖται, οἱ μὲν τόνοι καὶ τὰ πάθη εἰς τρία, τὰ δὲ πνεύματα καὶ οἱ χρόνοι εἰς δύο.

Τόνος οὖν ἐςτιν ἐπίταςις ἢ ἄνεςις ἢ μεςότης ςυλλαβῶν, εὐφωνίαν ἔχουςα· τὸ μὲν οὖν ἐπίταςις ἐτέθη ἐν τῷ οριςμῷ διὰ τὴν ὀξεῖαν, τὸ δὲ ἄνεςις διὰ τὴν βαρεῖαν, τὸ δὲ μεςότης διὰ τὴν περιςπωμένην.

Καὶ ἔςτι πάλιν ἡ μὲν ὀξεῖα ποιότης ςυλλαβῆς ἐπιτεταμένον ἔχουςα φθόγγον, ἡ δὲ βαρεῖα ποιότης ςυλλαβῆς ἀνειμένον ἔχουςα φθόγγον, ἡ δὲ περιςπωμένη ποιότης ςυλλαβῆς ςυνημμένον ἢ κεκλαςμένον ἔχουςα φθόγγον· εἶπε δὲ ςυνημμένον τὸν μετέχοντα καὶ ὀξείας καὶ βαρείας, κεκλαςμένον δὲ τὸν ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρὺ ῥέποντα.

Ἔςτιν οὖν ἐπὶ τῶν τριῶν τόνων τὸ μὲν ποιότης ςυλλαβῆς ἀντὶ 685b γένους, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν ἰδίων· ἀρκεῖν γάρ φηςιν ὁ Ἀριςτοτέλης ⟨cfr 132ᵃ, 10—21⟩ καὶ μίαν διαφοράν, τὴν τῷ ὁριςτῷ μόνῳ ἁρμόζουςαν· οἷον ἐὰν εἴπῃ τις «ἄνθρωπός ἐςτι ζῷον νοῦ καὶ ἐπιςτήμης δεκτικόν», ἀρκούντως ὡρίςατο. Διὰ τί; ὅτι ἡ διαφορὰ αὕτη, τὸ νοῦ καὶ ἐπιςτήμης δεκτικόν, ἑνὶ μόνῳ ἁρμόζει τῷ ἀνθρώπῳ.

Ὁ δὲ Κοϊντιλιανὸς Ἀριςτείδης ἐν τῷ περὶ μουςικῆς πρώτῳ δύο εἶναί φηςιν εἴδη τάςεως, ἄνεςίν τε καὶ ἐπίταςιν· καὶ ἄνεςιν μὲν εἶναι λέγει, ἡνίκα ἂν ἀπὸ ὀξυτέρου τόνου ἐπὶ βαρύτερον ἡ φωνὴ χωρῇ, ἐπίταςιν δέ, ὅταν ἐκ βαρυτέρου μεταβαίνῃ πρὸς ὀξύτερον. Ἐκ δὴ τού-

---

1 ἐπὶ τοῦ τείχου C ‖ **2** θνητὸν O, *om* C ‖ **3** γοῦν CO, γὰρ ἐνταῦθα K | ἤγουν — πάθη (4) *om* K ‖ **4** τὰ πάθη O, πάθος C ‖ **6** ἀλλὰ βλέπων CK, ἀλλ' ὁρῶν O ‖ **8** ὑποκ. — κειμένη K, ἔςτιν C, *om* O | καὶ μὴ Νάξιος K, *om* CO ‖ **9** ἐτυμολογίαν OK, ἀναλογίαν C | μόνον C, μόνην OK ‖ **10** αὐτὰ ᾄδεςθαι *RSchneider*, αὐτὰς ᾄδεςθαι COK | αὐτὰ προςῳδίαι O, αὗται προςῳδίαι CK ‖ **12** Τόνοι — περιςπ. *om* K ‖ **13** εἰςὶ OK, *om* C ‖ **19** ἐπιτεταμένον K, τεταμένον CO ‖ **20** ἡ δὲ βαρ. K, βαρεῖα δὲ CO | ἀνειμένον K, ὑφειμένον CO | ἡ δὲ περιςπ. K, περιςπωμένη δέ (ἐςτι *add* O)CO ‖ **22** εἶπε δὲ ςυν. OP, εἴτε ςυν. C, ςυν. μὲν λέγεται K, ςυν. οὖν λέγομεν Par. 2603 ‖ **26** τὴν CO, *om* K ‖ **27** *post* οἷον *add* τί φημι O | *post* ζῷον *add* λογικὸν C ‖ **30** Κοϊντιλ. *om* K ‖ **32** τοῦ ὀξυτ. C | τὸ βαρύτ. C ‖ **33** ὀξύτ. K, τὸ ὀξύτ. CO

των τὰ γινόμενα τὸ μὲν βαρύτονον, τὸ δὲ ὀξύτονον προσαγορεύομεν· γίνεται δὲ ἡ μὲν βαρύτης κάτωθεν ἀναφερομένου τοῦ πνεύματος, ἡ δ᾽ ὀξύτης ἐπιπολῆς προϊεμένου, ὡς οἱ μουσικοί φασιν.

«Ἡ ὀξεῖα τόπους ἔχει τρεῖς, ὀξύτονον, παροξύτονον καὶ προπαροξύτονον». Τὴν ὀξεῖάν φησι τίθεσθαι ἐπὶ τριῶν συλλαβῶν, ἐπὶ τῆς τελευταίας, ἐπὶ τῆς παρατελεύτου καὶ ἐπὶ τῆς πρὸ δύο συλλαβῶν. Καὶ ὅταν μὲν τιθῆται ἐπὶ τέλους, τότε λέγομεν ὀξύνεσθαι τὴν λέξιν· ὅταν δὲ ἐπὶ τῆς πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους, παροξύτονον ἅμα λέγομεν τὴν λέξιν καὶ βαρύτονον· καὶ παροξύτονον μὲν ὅτι ἐπὶ τῆς παραληγούσης τίθεται ἡ ὀξεῖα, βαρύτονον δὲ ὅτι ἐπὶ τέλους τίθεται ἡ βαρεῖα. Ὥσπερ γὰρ ὀξύτονον λέγομεν τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν, οὕτω καὶ βαρύτονον τὸ ἐπὶ τέλους ἔχον τὴν βαρεῖαν· καὶ γὰρ μετὰ τὴν ὀξεῖαν τὴν πρὸ τοῦ τέλους τιθεμένην ἐτίθετο ⟨ἡ⟩ βαρεῖα· οἷον τὸ Αἴας καλεῖται καὶ παροξύτονον καὶ βαρύτονον, παροξύτονον μέν, διότι πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους τίθεται ἡ ὀξεῖα, βαρύτονον δέ, διότι ἐπὶ τέλους
686b τίθεται ἡ βαρεῖα. Εἰ δὲ πρὸ δύο συλλαβῶν τοῦ τέλους τεθείη ἡ ὀξεῖα, τότε ἡ λέξις λέγεται καὶ προπαροξύτονος καὶ βαρύτονος παρατέλευτος· καὶ προπαροξύτονος μέν, διότι ἐπὶ τῆς προπαραληγούσης ἐδέξατο τὸν τόνον, παρατέλευτος δὲ βαρύτονος, διότι οὐ μόνον εἰς τὴν τελευταίαν συλλαβὴν ἐτέθη ἡ βαρεῖα, ἀλλὰ καὶ εἰς τὴν παρατελευταίαν, οἷον Θεόδὼρὸς· οὐ μόνον γὰρ ἐνταῦθα τὸ ρος ἔσχε τὴν βαρεῖαν, ἀλλὰ καὶ τὸ δω, ὡς προϊόντες διδάξομεν· διὰ τοῦτο καὶ ἡ τοιαύτη λέξις βαρύτονος παρατέλευτος ἐκαλεῖτο, ὡς ἐπὶ τῆς παραληγούσης κειμένης τῆς βαρείας. Οὗτοι μὲν οὖν εἰσιν οἱ τρεῖς τῆς ὀξείας τόποι.

110v Ἀπορήσειε δ᾽ ἄν τις, διὰ τί μὴ ἔστι τάσις πρὸ τριῶν συλλαβῶν. Λέγομεν οὖν πρῶτον μέν, ὅτι ἀδύνατόν ἐστιν ἐκταθῆναι τὴν φωνὴν πέραν τοῦ τοιούτου μέτρου, ἤτοι πρὸ τριῶν συλλαβῶν ὀξυνθῆναι· ἔπειτα οὐδὲ λέξις Ἑλληνικὴ θεματικὴ ἁπλῆ πρωτότυπος ὑπερβαίνει ποτὲ τὴν τρισυλλαβίαν. Καὶ «Ἑλληνική» μὲν εἴρηται διὰ τὰ Ἑβραϊκά, οἷον Ἰωάννης· «θεματική» δὲ διὰ τὸ ἐφίλησα· «ἁπλῆ» δὲ διὰ τὸ Μενέλαος Θεόδωρος· «πρωτότυπος» δὲ διὰ τὸ Γεώργιος· ἀπὸ γὰρ τοῦ γεωργῶ παράγεται· μηδέποτε γοῦν τετρασυλλάβου λέξεως εὑρισκομένης τοιαύτης, πῶς ἔμελλε γενέσθαι τάσις πρὸ τριῶν συλλαβῶν;

Ζητητέον δὲ καὶ τοῦτο, διὰ τί μακρᾶς οὔσης ἐπὶ τέλους οὐ δύναται προπαροξυνθῆναι λέξις. Ὅτι ἡ μακρὰ φορτίου τάξιν ἔχει καὶ βά-

---

1 τὸ μὲν — ὀξύτονον O, τὸ μὲν βαρύτατον τὸ δὲ ὀξύτατον C, τὰ μὲν βαρύτατα τὰ δὲ ὀξύτατα K ‖ 3 ἐπιπολῆς προϊεμένου O, ἐπιτολῆς προϊεμένου C, ἐπιπόλαιος προϊεμένη K | οἱ *om* C ‖ 4 Ἡ — προπαρ. *om* O ‖ 7 μὲν *om* C | ἐπὶ τοῦ τέλ. C ‖ 8 ἅμα — βαρύτ. (9) *om* C ‖ 11 γὰρ O, *om* CK ‖ 12 *post* βαρεῖαν *add* λέγομεν C ‖ 13 ἡ *add* b ‖ 16 τεθείη C, τεθῆ OK ‖ 18 καὶ (*ante* προπ.) C, *om* OK | παραληγούσης C ‖ 26 μέν OK, *om* C ‖ 29 οἷον Ἰωάννης OK, θεματικὰ (*sic*) C ‖ 32 γοῦν COK, οὖν b ‖ 34 Ζητητέον C OK, Ζητεῖται b ‖ 35 Ὅτι COK, Ἢ ὅτι b

ρους· ὁ γάρ τοι τῆς μακρᾶς φθόγγος δυσκίνητός ἐστιν, ὁ δὲ τῆς βραχείας εὐσταλής· ὥσπερ οὖν οἱ τὰ φορτία ἐν τοῖς ποσὶ περικείμενοι οὐ δύνανται ταθῆναι εἰς δρόμον, εἰ δὲ ἐπὶ τοῦ ὤμου βαστάζουσί τι δύνανται τρέχειν, οὕτω καὶ ἡ φωνὴ οὐ δύναται ταθῆναι ἐπὶ πολύ, τῆς μακρᾶς κειμένης ἐπὶ τέλους· εἰ δὲ ἐν ἄλλῃ συλλαβῇ κεῖται, τότε προπαροξύνεται.

«Ἡ περισπωμένη τόπους ἔχει δύο, περισπώμενον καὶ προπερισπώμενον». Δύο τόπους φησὶν εἶναι τῆς περισπωμένης· ζητητέον δέ, διὰ 687b
τί μὴ καὶ αὐτῆς τρεῖς εἰσι τόποι, ὥσπερ καὶ τῆς ὀξείας. Ἔστιν οὖν εἰπεῖν ὅτι τούτου χάριν οὐ δύναται ἡ περισπωμένη πρὸ δύο συλλαβῶν τεθῆναι, ἐπειδὴ ἀπὸ κράσεώς ἐστιν ὀξείας καὶ βαρείας· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα συνελθοῦσαι ἀπετέλεσαν τὴν περισπωμένην· ἐπεὶ οὖν οὐχ εὑρίσκεται ἡ ὀξεῖα πρὸ τριῶν, τούτου χάριν οὐδὲ αὐτὴ πρὸ δύο· οἷον Γεώργιος· εἰ καθ' ὑπόθεσιν ἐτίθετο εἰς τὸ ωρ ἡ περισπωμένη, ἔμφασις ἂν ἦν ὅτι καὶ πρὸ τριῶν συλλαβῶν τίθεται ἡ ὀξεῖα· εἰ γὰρ καὶ μὴ πᾶσα συλλαβὴ ἔχουσα τὴν περισπωμένην ἀπὸ κράσεώς ἐστιν, ἀλλ' οὖν αὐτὴ ἡ περισπωμένη δύναμιν ἔχει ὀξείας καὶ βαρείας, ὥστε εἰ ἐτίθετο πρὸ δύο συλλαβῶν, δυνάμει πάλιν ηὑρίσκετο ἡ ὀξεῖα πρὸ τριῶν.

Ἰστέον δὲ ὅτι σύνθετον λέγουσι τὴν περισπωμένην, ἐπειδὴ ἡ συλλαβὴ ἡ ἔχουσα αὐτὴν πολλάκις διάλυσιν πάσχει, οἷον πυλῶν πυλάων, Ἑρμῆς Ἑρμέης, Θαλῆς Θαλέης. Κακῶς δὲ λέγουσι, πρῶτον μὲν ὅτι κατὰ τοῦτον τὸν λόγον ὀφείλει καὶ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα σύνθετος καλεῖσθαι, ἐπειδὴ πολλάκις καὶ τούτων ἐν συλλαβαῖς οὐσῶν γίνεται διαίρεσις, οἷον Ἀτρείδου Ἀτρείδεω, Πηλείδης Πηλεΐδης, χρήζω χρηΐζω· δεύτερον δὲ ὅτι 111v
οὐ πᾶσα συλλαβὴ ἔχουσα περισπωμένην διάλυσιν πάσχει· ἰδοὺ γὰρ τὸ κερῶ καὶ τὸ τιλῶ οὐ πάσχει διάλυσιν. Ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο ἡ περισπωμένη σύνθετος λέγεται, ἐπειδὴ ἐκ δύο τόνων σύγκειται, ἐξ ὀξείας καὶ βαρείας, ἢ διότι ἀεὶ ἐπάνω φύσει μακρᾶς τίθεται, ἥτις σύνθετος χρόνος λέγεται· πᾶσα γὰρ φύσει μακρὰ ἀντὶ δύο χρόνων παραλαμβάνεται· ὅθεν καὶ τὸ λέων τρίχρονον λέγομεν, τὴν βραχεῖαν ἀντὶ ἑνὸς χρόνου παραλαμβάνοντες, καὶ τὴν μακρὰν ἀντὶ δύο.

Ζητητέον δέ, διὰ τί μὴ καὶ ἐπὶ βραχείας τίθεται ἡ περισπωμένη. Ῥητέον οὖν ὅτι ἐκ δύο τόνων ἡ περισπωμένη σύγκειται· πῶς οὖν ἡ 688b
βραχεῖα, ἀσθενὴς οὖσα, ἤνεγκεν ἂν τὴν τῶν δύο τόνων δύναμιν;

Προσῆκον δέ ἐστι καὶ τοῦτο ζητῆσαι, πῶς μακρὰ μὲν πρὸ μακρᾶς

---

1 *ante* ἐστιν *add* τίς O ‖ 3 ταθῆναι — δύνανται *om* C | εἰ δὲ O, οὐδ' εἰ K ‖ 5 παροξύνεται C ‖ 8 εἶναι OK, οὖν C | διὰ τί — εἰσι (9) OK, μὴ αὐτῆς εἰσὶ τρεῖς C ‖ 10 ἡ περισπ. *om* C ‖ 11 γὰρ K, γοῦν CO ‖ 14 ἡ K, *om* CO ‖ 16 συλλαβὴ] λέξις OK, *om* C, λέξις ἡ b | ἐστιν — αὐτὴ (17) OK, βραχείας συλλαβῆς ἐν αὐτῇ (*sic*) C ‖ 17 ἐτίθετο OK, ἐτέθη C ‖ 18 συλλαβῶν C, *om* OK | πάλιν *om* C ‖ 19 λέγουσι CK, λέγει O; *item v. 21* 20 αὐτὴν C, τὴν περισπωμένην OK ‖ 29 φύσει μακρὰ C, μακρὰ φύσει OK ‖ 31 ἑνὸς C, τοῦ ἑνὸς OK

οὐ περισπᾶται, μακρὰ δὲ πρὸ βραχείας περισπᾶται. Ἔστιν οὖν εἰπεῖν ὅτι, ὥσπερ ἄν τις ἐφ' ὁμαλοῦ πεδίου σταθεὶς καὶ τὸ τόξον τείνας, κατ' εὐθεῖαν καὶ ἰσότητα τὸ βέλος ἀφίησιν, ἐὰν δὲ ἀπὸ ἀνωμάλου καὶ ὑψηλοῦ μέλλῃ τὸν ὀιστὸν ἀφιέναι ἐπὶ τὰ χθαμαλώτερα, περικεκλασμένην καὶ τὴν τάσιν ποιεῖται καὶ οἷον ὁρῶσαν ἐπὶ τὸ κάταντες, οὕτω καὶ ὅταν μὲν ἀπὸ μακρᾶς μακρὰ συλλαβὴ διαδέχηται, ἐν ὁμαλότητι οὔσης τῆς φωνῆς, καὶ ἡ τάσις ταύτης κατ' εὐθεῖαν γίνεται· ἐὰν δὲ μετὰ μακρὰν βραχεῖα ἕπηται συλλαβή, ἀνωμάλου τῆς φωνῆς εὑρισκομένης καὶ ὥσπερ ἐπὶ τὸ ταπεινότερον νευούσης, καὶ ὁ ταύτης φθόγγος περικεκλασμένος εὑρίσκεται.

«Ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστί, τουτέστιν εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον τίθεται». Ἐξηγούμενος [ὥσπερ] ὁ περὶ τῶν προσῳδιῶν τὸν λόγον ποιούμενος, διὰ τί ἐλέγετο παρὰ τοῖς ἀρχαίοις συλλαβικὸς τόνος ἡ βαρεῖα, φησὶν ὅτι ἐπὶ πάσης συλλαβῆς ἐτίθετο τῆς μὴ ἐχούσης τὴν ὀξεῖαν. Ἦν γὰρ κανὼν ὁ λέγων ὅτι πᾶσα συλλαβὴ χωρὶς τῆς συλλαβῆς τῆς ἐχούσης τὸν κύριον τόνον βαρεῖαν ἐπιδέχεται· οἷον Θὲόδὼρὸς· τὸ θε καὶ τὸ δω καὶ τὸ ρος βαρεῖαν ἐπιδέχονται· τὸ γὰρ ο̄ τὸν κύριον τόνον εἶχε· κύριος δὲ τόνος καλεῖται ἡ ὀξεῖα, ὅτι ἐπιτείνει τὴν φωνήν. Καὶ πόθεν δῆλον; ὅτι πᾶσαι αἱ ἄλλαι συλλαβαί, αἱ μὴ ἔχουσαι τὴν ὀξεῖαν, ἄνεσιν ἔχουσιν.

Εἶτα τὴν αἰτίαν ἀποδιδούς, δι' ἣν οὐ τίθεται νῦν ἐπὶ πάσης συλλαβῆς ἡ βαρεῖα, φησὶν «ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία, τοῦτο νῦν 689b οὐ γίνεται». Ἐπιλαμβάνονται δὲ πολλοὶ τοῦ τεχνικοῦ καί φασιν ὅτι οὐκ εὔλογα δοκεῖ λέγειν· κατὰ γὰρ τοῦτον τὸν λόγον καὶ ὁ εὑρὼν ἐσφαλμένον βιβλίον οὐκ ὀφείλει τοῦτο διορθοῦσθαι καὶ ξέειν τὰ κακῶς γραφέντα, ἀλλ' ἐᾶν ἀδιόρθωτον, ἵνα μὴ τὸ βιβλίον ἀκαλλές τε ὁρᾶται καί 112v τινα τρόπον ἀμυχὰς ξεσμάτων ἐπιφερόμενον. Τί οὖν ἔστιν εἰπεῖν; Ὅτι ὥσπερ ὁμολογουμένως ὄντος τοῦ η̄ μακροῦ καὶ τοῦ ω̄, οὐ τίθεται ἐπάνω αὐτῶν τὸ σημεῖον τῆς μακρᾶς, οὔτε μὴν ἐπάνω τοῦ ε̄ καὶ τοῦ ο̄ τὸ σημεῖον τῆς βραχείας — καὶ χωρὶς γὰρ τῶν σημείων ὡμολόγηται ὅτι μακρά εἰσι τὸ η̄ καὶ τὸ ω̄, καὶ τὸ ε̄ καὶ τὸ ο̄ ὅτι βραχέα —, τίθεμεν δὲ ταῦτα ἐπὶ τῶν διχρόνων, ἐπὶ μὲν τοῦ ἰσχῡρότατος τὸ σημεῖον τῆς μακρᾶς, ἐπὶ δὲ τοῦ ὀχῠρώτατος τὸ σημεῖον τῆς βραχείας, διότι ἄδηλόν ἐστι χωρὶς τῆς θέσεως τῶν σημείων εἴτε μακρόν ἐστιν τὸ ῡ εἴτε

1 οὖν *om* C ‖ 2 ὅτι *om* C ‖ 4 χθαμαλώτατα C ‖ 5 ὁρῶσα C ‖ 7 ταύτης OK, *om* C | γίνεται OK, γεγένηται C ‖ 8 ὥσπερ CK, οἷον O ‖ 12 τίθεται] ἐπιτίθεται CO, ἐτίθετο K | ὥσπερ *hab.* COK, *om* b ‖ 13 περὶ *om* O ‖ 14 ἐτίθετο *post* ὀξεῖαν (*v. 15*) *transp.* O ‖ 16 *ante* βαρ. *add* τὴν b, *om* COK ‖ 17 ἐπιδέχονται CK, ἐδέχοντο O ‖ 18 κύριος δὲ *om* C ‖ 19 ἐπιτείνει b, ἐκείνη τείνει CO, ἐκτείνει K | αἱ — ὀξεῖαν (20) CK, αἳ μὴ ἔχουσι τὸν κύριον τόνον O ‖ 22 *post* φησὶν *add* K: ὅτι ἐπὶ πάσης συλλαβῆς ἐτίθετο τῆς μὴ ἐχούσης τὸν κύριον τόνον· ἀλλ' ‖ 23 δὲ O, *om* CK ‖ 26 ὁρᾶται K, ὁρῶτο CO ‖ 30 τῶν CK, *om* O ‖ 32 μὲν *om* C ‖ 33 διότι O, δι' ἀτί C, διατί ὅτι K ‖ 34 θέσεως OK, ἐπιθέσεως C | τὸ ῡ εἴτε βρ. CK, εἴτε βραχὺ τὸ ῡ O

βραχύ, οὕτω καὶ ὁμολογουμένου ὄντος ὅτι πᾶσα συλλαβὴ ἄνεσιν ἔχει καὶ βαρεῖαν ἐπιδέχεται χωρὶς τῆς συλλαβῆς τῆς ἐπιδεχομένης τὸν κύριον τόνον, παρεῖται τοῦτο, τὸ ἐπάνω κεῖσθαί φημι τὴν βαρεῖαν τῶν λοιπῶν συλλαβῶν.

Ἆρ᾽ οὖν φησι «παντελῶς ἐκλείψει ἡ βαρεῖα»; Ἀλλ᾽ «οὐκ ἔστι», φησί, «τοῦτο, ἀλλ᾽ εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ τίθεται». Δεῖ προσθεῖναι «τὸν τελευταῖον», ἵν᾽ οὕτως ἀναγινώσκωμεν «ἀλλ᾽ εἰς τὸν τόπον τῆς ὀξείας τὸν τελευταῖον ἐν τῇ συνεπείᾳ τίθεται». Ἐπειδὴ γὰρ τρεῖς εἰσι τόποι τῆς ὀξείας, ὁ ἐπὶ τῆς ληγούσης, ὃς καλεῖται τελευταῖος, ὁ ἐπὶ τῆς παραληγούσης, ὃν λέγουσι παρατέλευτον, καὶ ὁ ἐπὶ τῆς προπαραληγούσης, ὃν καλοῦσι προπαρατέλευτον, οὐχ ἁπλῶς τίθεται ἡ βαρεῖα εἰς τὸν τόπον τῆς ὀξείας, ἀλλ᾽ εἰς ἐκεῖνον μόνον τὸν ἐπὶ τῆς ληγούσης εὑρισκόμενον, καὶ ταῦτα ὅτε οὐδὲ ἡ ἔννοια ἀναπαύεται, ἀλλ᾽ ἔστι συνέπεια, ἤτοι μετὰ τὴν ὀξύτονον λέξιν εὑρίσκεται καὶ ἑτέρα λέξις· οἷον ὡς ἐπὶ παραδείγματος ἐὰν εἴπῃς «ὁ δεῖνα καλὸς ἄνθρωπος», ἰδοὺ 690b εἰς τὸ λος ἐτέθη ἡ βαρεῖα, ὅτι μετὰ τὸ καλός ἐρρέθη τὸ ἄνθρωπος· ἐὰν δὲ εἴπῃς «οὗτος ἄνθρωπος καλός», εἰς τὸ λος πεσεῖται ἡ ὀξεῖα, ὅτι οὐκ ἔστι συνέπεια, ἤγουν οὐχ εὑρίσκεται μετὰ τὸ καλός ἑτέρα λέξις· συνέπεια γάρ ἐστιν ἡ συναρμογὴ τῶν λέξεων καὶ συνεκφώνησις· οὐκ ἔστιν οὖν ἐν συνεπείᾳ τὸ «ὁ δεῖνα ἄνθρωπος καλός», ὅτι ἐπὶ τέλους εὑρέθη· οὐ γὰρ ἔσχε μεθ᾽ ἑαυτὸ ἑτέραν τινὰ λέξιν. Ἰστέον δὲ ὅτι κυρίως συνέπεια τὸ ὅλον λέγεται ἔπος, διὰ τὸ ἀκολουθίαν τινὰ καὶ τάξιν ἔχειν καὶ μέτρον, λέγεται δὲ καταχρηστικῶς συνέπεια καὶ ὅταν μετὰ λέξεις τινὰς εὑρίσκηται καὶ ἑτέρα λέξις.

Ζητήσειε δ᾽ ἄν τις, διὰ τί μὴ καὶ ἐπὶ τέλους τῆς ὀξυτόνου λέξεως εὑρισκομένης τίθεται ἡ βαρεῖα. Ἔστιν οὖν εἰπεῖν ὅτι ἡ στιγμὴ καὶ ἡ ἀνάπαυσις τῆς φωνῆς οὐκ ἐᾷ βαρεῖαν τεθῆναι, ἀλλὰ κρουστικωτέραν, ἵν᾽ οὕτως εἴπω, τὴν λέξιν ἀπεργαζομένη ὀξύνεσθαι ταύτην βιάζεται· οὐ γάρ ἐστιν ἑτέρα λέξις ἐπαγομένη, ἵνα συγκαλύψῃ τὸν ἦχον τῆς ὀξείας· διὰ τοῦτο καὶ ὀξύνεται τὸ καλός ἐπὶ τέλους εὑρισκόμενον, ἅτε μὴ ὑπό τινος ἐπιπροσθοῦντος εἰργόμενον, ἀλλ᾽ οἷον ἐλεύθερόν που τυγχάνον καὶ ἄφετον.

---

3 παρεῖται CO, παραιτεῖται K | φημι C, φησι O, *om* K ‖ **5** φησὶ COK | παντ. ἐκλ. CK, ἐκλ. παντ. O | οὐκέτι φημὶ C, οὐκ ἔσται φησὶ O, οὐκ ἔσται K **6** *post* ὀξείας *add* τὸν τελευταῖον O ‖ **7** *post* δεῖ *add* γὰρ τοῦτο O | τὸν τελ. K, τὸ τελ. C, *om* O | ἀναγινώσκ. OK, εἴπωμεν C ‖ **9** τόποι *om* C | καλ. τελ. C, τελ. καλ. OK ‖ **10** λέγ. παρατ. CK, παρατ. καλοῦσι O ‖ **13** ὅτε — ἀναπαύεται b, ὅταν — ἀναπαύηται COK ‖ **16** ἐρρέθη CK, ἐρρήθη O ‖ **20** οὖν O, *om* CK ‖ **21** οὐ — λέξιν *om* O | οὐ γὰρ C, καὶ οὐκ K ‖ **23** *poster.* καὶ *ante* καταχρ. *transp.* O ‖ **24** εὑρίσκηται b, εὑρίσκεται COK ‖ **25** καὶ K, *om* CO | ὀξυτ. λέξ. εὑρισκ. OK, ὀξείας εὑρισκ. λέξεως C ‖ **27** τεθῆναι b, τιθῆναι CK, τεθεῖναι O | κρουστικωτέραν O, κρουστικώτερον C, δραστικωτέραν K ‖ **29** συγκαλύψῃ O, συνκαλήψῃ C, συγκόψῃ K ‖ **30** *ante* εὑρισκ. *add* δὴ O, δὲ C ‖ **31** που CO, πῶς K ‖ **32** ἄφετον CK, ἄνετον O

Δεῖ δὲ γινώσκειν ὅτι εὑρίσκεται καὶ συνεπείας οὔσης λέξις ὀξύτονος μὴ ἐπιδεχομένη βαρεῖαν, ἀλλὰ φυλάττουσα καὶ οὕτως τὴν ὀξεῖαν, οἷον «καλός ἐστιν ἄνθρωπος». Τίνος χάριν; Ὅτι ἐγκλίνεται ἤτοι μετατίθεται ἡ ὀξεῖα τοῦ ἔστιν ἐπὶ τὸ καλός· περὶ δὲ ἐγκλίσεως καὶ ἐγκλιτικοῦ σὺν 113v 30 θεῷ διαλάβωμεν διεξοδικώτερον ὕστερον, ἐν τῇ περὶ ἀντωνυμιῶν διδασκαλίᾳ γενόμενοι. Ἔδει οὖν εἰπεῖν τὸν διδάσκοντα περὶ προσῳδίας οὕτως· «ἀλλ᾽ εἰς τὸν τόπον τῆς ὀξείας τὸν τελευταῖον ἐν τῇ συνεπείᾳ τίθεται, εἰ μή που ἐγκλιτικὴ λέξις ἐπάγηται».

['Ιστέον δὲ ὅτι τετραχῶς λέγεται ἡ προσῳδία· προσῳδία γὰρ καὶ ἡ χειρονομία καὶ ἡ τοῦ ὀργάνου φωνή, προσῳδία καὶ ὁ τόνος καὶ αὐτὸς ὁ χαρακτήρ. Δέκα τοί- 712,28b νυν αἱ προσῳδίαι, διότι καὶ ὁ δέκατος ἀριθμὸς τέλειός ἐστι. — Διαιροῦνται δὲ αἱ δέκα προσῳδίαι εἰς τέσσαρα, διότι καὶ ὁ τέσσαρα ἀριθμὸς γεννητικός ἐστι τοῦ δεκά- 30 του· τέσσαρες γὰρ καὶ δὶς τρεῖς ἀποτελοῦνται δέκα· ἢ καὶ κατὰ μίμησιν τῶν τεσσάρων στοιχείων, πυρός, ὕδατος, ἀέρος καὶ γῆς, ξηροῦ, ὑγροῦ, ψυχροῦ καὶ θερμοῦ, ὧν συντεθέντων ἀπετελέσθη τὰ ἐν ἡμῖν στοιχεῖα. Ἔστι δὲ καὶ παρὰ Πυθαγορείοις ὁ ἀριθμὸς ὁ τέσσαρα τίμιος, ὃν καὶ ὅρκιον τίθενται.

Ζητήσωμεν δέ, διὰ τί ὥσπερ ἡ ὀξεῖα καὶ ἡ βαρεῖα συνερχόμεναι ἀποτελοῦσιν ἕτερον τόνον, λέγω δὴ τὴν περισπωμένην, διὰ τί μὴ καὶ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα τὸ ἀνάπαλιν συνελθοῦσαι ἕτερον τόνον ἀπετέλεσαν. Ἔστιν οὖν εἰπεῖν, ὅτι προσῳδίαι κυρίως ἑπτά εἰσιν, ὡς ἐδείξαμεν· αὗται οὖν συναπτόμεναι ἀλλήλαις τύπον ἀποτελοῦσι στοιχείων, ὡς δέδεικται· ἐπεὶ οὖν ⟨ἡ⟩ βαρεῖα συναπτομένη τῇ ὀξείᾳ οὐκ ἀποτελεῖ τύπον στοιχείου — τὸ γὰρ Υ γράμμα κεραίαν ἔχει ἐπὶ τὰ κάτω νεύουσαν — τούτου χάριν οὐδὲ τόνον ἀποτελεῖ.]

691b «Περὶ δὲ τῆς μακρᾶς καὶ τῆς βραχείας οὐκ ἔστι νῦν πολλὴ χρεία». Πληρώσας τὸν περὶ τῶν τόνων λόγον περὶ τῶν χρόνων διδάσκει· καί φησιν ὡς οὐκ ἔστι νῦν πολλὴ χρεία περὶ αὐτῶν εἰπεῖν· χρεία μὲν γάρ ἐστι καὶ περὶ αὐτῶν εἰπεῖν, ἀλλὰ νῦν, φησίν, οὐκ ἔστι καιρός, ὕστερον δὲ καὶ περὶ αὐτῶν λέξεται, ὅτε περὶ τῶν βραχέων φωνηέντων καὶ τῶν μακρῶν ἐροῦμεν. Ἄλλοι δὲ τὴν ἑρμηνείαν ταύτην οὐ προσηκάμενοί φασιν, ὡς οὐ περὶ τῶν μηκυνομένων ἢ συστελλομένων φωνηέντων ὁ 10 λόγος τῷ τεχνικῷ, ἀλλὰ περὶ τῶν σημείων τῶν τιθεμένων ἐπάνω τῶν ἐκτεινομένων καὶ συστελλομένων φωνηέντων· δῆλον οὖν ἐστιν, φησίν, ὅτι ἐπὶ τῆς μηκυνομένης λέξεως τίθεται ἡ κεραία, ἥτις ἐστὶ σημεῖον τῆς μακρᾶς, ὡς ἐπὶ τοῦ ἰφθῑμότατος καὶ ἰσχῡρότατος· ἐπὶ δὲ τῆς συστελλομένης, ὡς ἐπὶ τοῦ ὀχῠρώτατος, τὸ σημεῖον τῆς βραχείας τὸ Υ, τῆς κεραίας χωρίς· τὸ γὰρ Υ στοιχεῖον κεραίαν ἔχει ἐπὶ τὰ κάτω ⟨νεύουσαν⟩· διὰ γοῦν τὸ εἶναι πρόδηλον τίθεσθαι ταῦτα τὰ σημεῖα ἐπὶ τῶν βραχυνο-

---

3 ἤτοι CK, ἤγουν O ‖ 4 ἐγκλίσεων K | ἐγκλιτικοῦ O, ἐγκλιτικῆς C, ἐγκλιτικῶν K ‖ 6 εἰπεῖν *post* διδάσκ. *transp.* O | διδάσκοντα OK, διδάσκαλον C | προσωδιῶν K ‖ 8 ἐπάγεται C ‖ 9—23 C, *om* OK ‖ 11 ἀριθμὸς] ἀριμνὸς C; *item v. 12 et 16* ‖ 14 ξηροῦ b, ξυροῦ C ‖ 15 συντεθέντων ἀπετελέσθη b, συνθέντων ἀποτελέσθαι C ‖ 17—23 *cfr p. 126, 27—127, 3* ‖ 22 κεραίαν] μετρέαν C ‖ 24 δὲ K, γὰρ CO, μὲν b ‖ 25 διδάσκει COK, διδάσκειν ἄρχεται b ‖ 27 ὕστερον — λέξεται (28) C, λέξεται δὲ O, λέγεται δὲ ὕστερον K ‖ 32 ἐκτ. κ. συστ. φων. K, συστ. φων. κ. ἐκτ. CO | φησίν CK, *om* O ‖ 34 καὶ ἰσχ. *om* O

μένων καὶ ἐκτεινομένων φωνηέντων, ἐάσθω ταῦτα· οὐ γάρ ἐστι νῦν χρεία λέγειν περὶ αὐτῶν.

Διὰ τί δὲ ἡ κεραία σημεῖόν ἐστι τῆς μακρᾶς, ζητήσειεν ἄν τις. Ἔστιν οὖν εἰπεῖν ὅτι ἡ κεραία εὐθεῖά ἐστι πεπερασμένη, τὴν δὲ πεπερασμένην εὐθεῖαν ἔστι κατὰ τοὺς γεωμέτρας ἐπ' ἄπειρον κατὰ τὸ συνεχὲς ἐπ' εὐθείας ἐκβάλλειν, τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἔκτασις· διὰ τοῦτό ἐστι καὶ σημεῖον μακρᾶς ἡ τοιαύτη εὐθεῖα. Τὸ δὲ ◡ συστολῆς ἐστι πάλιν σημεῖον, ἐπεὶ καὶ αὐτὸ τὸ ῡ τὰ χείλη συστέλλει κατὰ τὴν ἐκφώνησιν· φησὶ γὰρ Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ στοιχείων καὶ συλλαβῶν λόγῳ ⟨de comp. verb. 77, 3 R⟩, ὅτι περὶ αὐτὰ τὰ χείλη συστολῆς γενομένης ἀξιολόγου, πνίγεται καὶ στενὸς ἐκπίπτει ὁ ἦχος.

Ὁρίζονται δὲ τὴν μακρὰν οὕτως· μακρά ἐστι σημείωσις μηκυνομένου φωνήεντος, οἷον ⟨A 36⟩ Ἀ̄πόλλωνι ἄνακτι καὶ πάλιν ⟨O 554⟩ 692b ἀνεψῑοῦ κταμένοιο· τὸ γὰρ ψῑ ἐκτέταται, καὶ διὰ τοῦτο ἔχει καὶ τὸν χαρακτῆρα τῆς μακρᾶς. Βραχεῖα δέ ἐστι σημείωσις βραχυνομένου φωνήεντος, οἷον ⟨E 31. 455⟩ Ἆρες Ἄρες βροτολοιγέ· τὸ γὰρ δεύτερον Ἄρες συνεσταλμένον ὂν ἔσχε καὶ τὸν τύπον τῆς βραχείας.

Ἀπορήσειε δ' ἄν τις, διὰ τί μή, ὥσπερ δύο τόνοι συνελθόντες ἀπετέλεσαν ⟨ἕτερον⟩ τόνον, οὕτω καὶ δύο χρόνοι συνελθόντες ἀπετέλεσαν χρόνον ἕτερον. Καὶ ἔστιν εἰπεῖν ὅτι τὰ στοιχεῖα ἢ μονόχρονά εἰσιν ἢ δίχρονα, οὐδέποτε δὲ ὑπερβαίνουσι τοὺς δύο χρόνους· εἰ δὲ συνῆλθον ἡ μακρὰ καὶ ἡ βραχεῖα καὶ ἀπετέλεσαν ἕτερον χρόνον, ἔμελλε τρίχρονος εἶναι χρόνος, καὶ εἰς οὐδὲν εἶχε συντελεῖν, ὅπου γε τὰ στοιχεῖα οὐχ ὑπερ- 111v βαίνουσι τοὺς δύο χρόνους.

«Ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον, οἷον ἡμέρα ὥρα καὶ εἰς τὰ ὅμοια· ἡ δὲ ψιλὴ εἰς γράμμα φωνῆεν ψιλούμενον, οἷον ἀσεβής». Τὸ μὲν ποῖα δεῖ δασύνεσθαι φωνήεντα καὶ ποῖα ψιλοῦσθαι, πλείστης πραγματείας δεόμενον, παρίησιν· ἄλλως τε καὶ πρὸς εἰσαγωγικοὺς ποιούμενος τὸν λόγον, τὴν περὶ τούτων διδασκαλίαν ἑώρα πολύ τι τῆς παρούσης χρείας ἀπᾴδουσαν. Τοῦτο δέ φησι μόνον, ὅτι τὸ σημεῖον τῆς δασείας, ἤτοι τὸ διχοτόμημα τοῦ H τὸ ἐπὶ τὰ ἔξω ἀπεστραμμένον, τίθεται ἐπάνω φωνήεντος δασυνομένου, ἤγουν ἐκ τοῦ θώρακος μετὰ πολλῆς τῆς ὁρμῆς ἐκφερομένου· τὸ δὲ ἕτερον τοῦ αὐτοῦ στοιχείου

---

4 πεπετασμένη O ‖ **5** ἐπ' ἄπειρον O, *om* CK ‖ **6** ἐπ' εὐθ. ἐκβ. CK, ἐκβ. ἐπ' εὐθ. O | τοῦτό ἐστι b, ταῦτα ἐστὶ COK ‖ **9** στοιχ. καὶ συλλ. b, συλλ. καὶ στοιχ. COK ‖ **11** γενομένης OK, γινομένης C | ἐκπίπτει b, ἐμπίπτει COK ‖ **12** δὲ *om* C | *post* τὴν *add* μὲν O ‖ **14** τὸ — μακρᾶς (**15**) OK, *om* C ‖ **15** βραχ. φων. CK, συστελλομένου φωνήεντος καὶ βραχυνομένου O ‖ **17** ὂν CK, *om* O ‖ **18** μὴ OK, *om* C ‖ **20** ἕτερον CO, *om* K ‖ **22** ἕτερον *supra lin. add* P[1] *om* COK ‖ **23** ὑπερβαίνουσι CK, ὑπερβαίνειν θέλουσι O ‖ **24** δύο χρόνους OK, τόνους C ‖ **26** ὥρα — ὅμοια *om* O | ἡ δὲ ψ. — ἀσεβής (**27**) O, *om* CK ‖ **28** τε καὶ C, δὲ καὶ K, δὲ O ‖ **30** χρείας OK, πραγματείας C ‖ **33** ἐκφερομένου CK, ἐκπεμπόμενον (*sic*) O

διχοτόμημα, τὸ ἐπὶ τὰ ἔσω ἐστραμμένον, ἐπάνω φωνήεντος ψιλουμένου, ἤτοι ἐξ ἄκρων τῶν χειλέων προφερομένου. Ἔστι γὰρ ἡ μὲν ψιλὴ ποιότης συλλαβῆς, καθ' ἣν ἄκροις τοῖς χείλεσι τὸ πνεῦμα ἐκφέρεται, οἷον Αἴας, ἡ δὲ δασεῖα ποιότης συλλαβῆς, καθ' ἣν ἀθρόον τὸ πνεῦμα ἐκφέ-
693b ρεται, οἷον ἥλιος. Τότε δὲ τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον ⟨ἡ δασεῖα⟩, ὥσπερ ⟨καὶ⟩ ἡ ψιλὴ εἰς φωνῆεν ψιλούμενον, ὅτε τὸ φωνῆεν ἀρκτικόν ἐστι τῆς λέξεως· οὐ γὰρ ἁπλῶς τὰ φωνήεντα ἢ ψιλοῦνται ἢ δασύνονται, ἀλλ' ὅτε κατ' ἀρχὰς τῶν λέξεων τίθενται· ὥστε οὕτως ὤφειλεν εἰπεῖν «ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν ἀρκτικὸν δασυνόμενον, ὥσπερ καὶ ἡ ψιλὴ εἰς γράμμα φωνῆεν ἀρκτικὸν ψιλούμενον».

Ἰστέον δὲ ὅτι καὶ ἐπὶ συμφώνου τίθεται ἑνὸς μόνου τοῦ ρ̄ ἡ δασεῖα καὶ ἡ ψιλή· ἐπὶ μὲν τοῦ ῥώμη καὶ ῥέω τίθεται ἡ δασεῖα, ἐπὶ δὲ τοῦ ῥάρος, ὃ σημαίνει τὸ ἔμβρυον κατὰ τοὺς Αἰολεῖς, ⟨ἡ⟩ ψιλή. Καὶ διὰ τί τὸ ῥάρος ψιλοῦται; Ὅτι ἡ Αἰολὶς γλῶττα τὸ ψιλοῦν τὰ στοιχεῖα φιλεῖ, ὥσπερ καὶ τὸ ῡ πάσης λέξεως ἄρχον πάντες μὲν δασύνουσιν, οἱ δὲ Αἰολεῖς ψιλοῦσιν· αὐτίκα τὸ ὕρχας Αἰολικὸν ὂν ψιλοῦται· σημαίνει δὲ τὸ τεῦχος ἐπὶ τὴν ταρίχευσιν. Τοῦτο δὲ τὸ ρ̄ οὐ μόνον κατ' ἀρχὰς καὶ ψιλοῦται καὶ δασύνεται, ἀλλὰ καὶ κατὰ τὸ μέσον, οἷον τὸ ἔῤῥαπτον· τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται· ὡσαύτως καὶ τὰ ὅμοια. Οἱ δὲ ἀρχαῖοι γραμματικοὶ τὸ μὲν μετὰ ψιλοῦ εὑρισκόμενον ρ̄ ἐψίλουν, τὸ δὲ μετὰ δασέος ἐδάσυνον· οἷον τὸ Ἀτρεύς καὶ κάπρος ἐψίλουν, τὸ δὲ χρόνος ἀφρός θρόνος ἐδάσυνον.

Διὰ τί δὲ τὸ ρ̄ ἐκ πάντων τῶν συμφώνων μόνον καὶ ψιλοῦται καὶ δασύνεται; Ὅτι φωνήεντος δύναμιν ἔχει· καὶ τοῦτο ἐλέγχεται ἐκ πολλῶν κανόνων, οἵτινές εἰσιν οὗτοι· τὰ εἰς ᾱ λήγοντα θηλυκὰ συνεσταλμένον ἔχοντα τὸ ᾰ, ἐὰν μὲν ἔχωσι πρὸ τοῦ ᾰ σύμφωνον, τρέπουσι τὸ ᾰ εἰς η̄ ἐν τῇ γενικῇ, οἷον Μοῦσα Μούσης, δόξα δόξης, δίψα δίψης, ἐὰν δὲ φωνῆεν ἔχωσι πρὸ τοῦ ᾰ, φυλάττουσι τὸ ᾱ ἐν τῇ γενικῇ, οἷον ⟨μαῖα μαίας, Ἀντιόχεια Ἀντιοχείας, Ἀλεξάνδρεια Ἀλεξανδρείας· ὁμοίως δὲ καὶ τὰ ἔχοντα πρὸ τοῦ ᾰ τὸ ρ̄ φυλάττουσι τὸ ᾱ ἐν τῇ γενικῇ, οἷον⟩ σφαῖρα σφαίρας, σώτειρα σωτείρας, γενέτειρα γενετείρας· δῆλον οὖν ὅτι οὐκ ἔστι σύμφωνον τὸ ρ̄, ἀλλὰ φωνῆεν, ὡς τὸ ἴδιον τῶν φωνηέντων ἀποτελοῦν·
694,6b εἰ γὰρ ἦν σύμφωνον, οὐκ ὤφειλε τὸ ᾱ φυλαχθῆναι ἐν τῇ γενικῇ, ἀλλὰ

---

3 ἐκφέρεται CK, προφέρεται O | *in marg. add* O: ὅθεν καὶ ψέλλιον εἰώθαμεν λέγειν τὸ τοῖς ἄκροις τῶν χερῶν ἐπιτιθέμενον ‖ **4** ἀθρόον CK, ἐκ βάθους χειλέων O ‖ **5** δασυνόμενον COK, *om* b ‖ **9** τίθεται] *hic des.* K | ἀρκτ. — φωνῆεν (**10**) O, *om* C | ἀρκτ. δασ. O, δασ. ἀρκτ. b ‖ **10** ἀρκτ. ψιλ. C, ψιλ. ἀρκτ. O ‖ **11** καὶ O, *om* C | τίθεται O, *om* C | *post* ρ̄ *add* τίθεται καὶ C ‖ **13** ἔμβριον C, βρέφος O | ἡ *add* b ‖ **15** λέξεως O, *om* C ‖ **16** *post* ὕρχας *add* καὶ τὸ ὔμμες C | σημ. δὲ O, τὸ δὲ ὕρχας σημαίνει C ‖ **17** τὸ τεῦχος — ταρίχ. *Stadtmüller,* τὴν ἐπὶ τοῦ τείχους ἀναρρίχησιν CO ‖ **21** οἷον — ἐδάσυνον (**22**) O, *om* C ‖ **23** μόνον C, *om* O ‖ **25** οἵτινές — οὕτως (**144, 33**) C, οὓς ἐροῦμεν ἐν τοῖς οἰκείοις τόποις, ὅτε περὶ στοιχείων διαλαμβάνομεν O | **25—144, 10** = *Choerob. II 41, 10—28* ‖ **28** μαῖα — οἷον (**30**) *lac. indicat* b, *nullum lac. signum* C

τραπῆναι εἰc η̄. Καὶ ἐξ ἄλλου δὲ κανόνος δείκνυται τὸ ρ̄ φωνῆεν ὑπάρχον· τὰ εἰc ο̅c̅ λήγοντα ἀρcενικὰ ποιοῦντα κατ᾽ ἰδίαν θηλυκόν, τουτέcτι μὴ ὄντα κοινὰ τῷ γένει (διὰ τὸ ὁ φιλόcοφος καὶ ἡ φιλόcοφος) εἰ μὲν ἔχουcι πρὸ τοῦ ο̄ φωνῆεν, εἰc ᾱ ποιοῦcι τὸ θηλυκόν, οἷον Βυζάντιος Βυζαντία, Ῥόδιος Ῥοδία, ἀλλότριος ἀλλοτρία· εἰ δὲ cύμφωνον ἔχουcι πρό τοῦ ο̄, εἰc η̄ ποιοῦcι τὸ θηλυκόν, οἷον cοφός cοφή, ⟨καλός καλή, ἀγαθός ἀγαθή· εἰ δὲ ἔχουcι πρὸ τοῦ ο̄ τὸ ρ̄, εἰc ᾱ ποιοῦcι τὸ θηλυκόν, οἷον φοβερός φοβερά, χλιαρός χλιαρά, καθαρός καθαρά·⟩ δῆλον οὖν ὅτι τὸ ρ̄ οὐκ ἔcτι cύμφωνον, ἀλλὰ φωνῆεν· εἰ γὰρ ἦν cύμφωνον, εἰc η̄ ὤφειλε ποιῆcαι τὸ θηλυκόν, οὐκ εἰc ᾱ. Δείκνυται δὲ καὶ ἀπὸ τῆς Αἰολίδος διαλέκτου τὸ ρ̄ φωνῆεν· εἰώθαcι γὰρ οἱ Αἰολεῖc φωνήεντος ἐπιφερομένου προcτιθέναι τὸ ῡ, ὡc ἐπὶ τοῦ ⟨ἕαδεν⟩ εὔαδε, καὶ πάλιν τὸ ἠώc ἀώc λεγόντων τῶν Δωριέων, οἱ Αἰολεῖc λέγουcιν αὔωc, τὸ ῡ προcτιθέντες, καὶ πάλιν ⟨τὸ⟩ ἀάτην αὐάτην λέγουcιν οἱ Αἰολεῖc· cυμφώνου δὲ ἐπιφερομένου οὐδέποτε προcτιθέαcι τὸ ῡ οἱ Αἰολεῖc· τὸ γὰρ νόcος νοῦcος καὶ Ὄλυμπος Οὔλυμπος ποιητικά εἰcι καὶ οὐκ Αἰολικά· τοῦ δὲ ρ̄ ἐπιφερομένου πολλάκις προcτιθέαcι ⟨τὸ ῡ⟩ οἱ Αἰολεῖc, οἷον ἄρρηκτος ⟨αὔρηκτος⟩· δῆλον οὖν ὅτι φωνῆέν ἐcτι καὶ οὐ cύμφωνον τὸ ρ̄.

Δείξομεν δὲ πάλιν, ὅτι τὸ ρ̄ cύμφωνόν ἐcτι καὶ οὐ φωνῆεν. Πῶc δέ; Ὅτι πᾶν φωνῆεν καθ᾽ ἑαυτὸ φωνὴν ⟨ἀποτελεῖ, οἷον ᾱ ε̄ η̄ ῑ ο̄ ῡ ω̄, ὅθεν καὶ φωνήεντα λέγονται παρὰ τὸ φωνὴν ἀφ᾽ ἑαυτῶν⟩ ἀποτελεῖν· τὸ ⟨δὲ⟩ ρ̄ οὐ δύναται καθ᾽ ἑαυτὸ φωνὴν ἀποτελεῖν· μετὰ γὰρ τοῦ ω̄ ἐκφωνεῖται· δῆλον οὖν ὅτι οὐκ ἔcτι φωνῆεν, ἀλλὰ cύμφωνον. Ἄλλως τε οὐδέποτε ἐν μιᾷ cυλλαβῇ τρία φωνήεντα εὑρίcκονται, ἀλλ᾽ ἢ ἓν ἢ δύο φωνήεντα, ὡc ἐπὶ τῶν διφθόγγων, οἷον εὖχος οἶκος αὐλός· ἐὰν οὖν εἴπωμεν τὸ ρ̄ φωνῆεν εἶναι, εὑρεθήcονται ἐν τῷ ῥεῦμα καὶ ῥοῦc τρία φωνήεντα ἐν μιᾷ cυλλαβῇ, ὅπερ ἀδύνατον. Ἔτι δὲ οὐδὲν ὄνομα ἀρcενικὸν εἰc φωνῆεν λήγει, οἷον Αἴας Πλάτων Φοῖνιξ· τὸ γὰρ ⟨ex. gr. Β 336⟩ ἱππότα καὶ ⟨ex. gr. Α 175⟩ μητίετα Ζεύc καὶ τὰ τοιαῦτα ποιητικά ⟨εἰcι⟩ κατὰ μεταπλαcμὸν γενόμενα, καὶ τὸ τοιόcδε καὶ τοιουτοcί ἐπεκ⟨τε⟩ταμένα· πῶc οὖν τὰ ρ̄ δύναται φωνῆεν εἶναι, ὅπου τὸ ῥήτωρ καὶ τὸ Νέcτωρ καὶ τὰ τοιαῦτα εἰc ρ̄ λήγουcιν; εὑρεθήcεται γὰρ ἀρcενικὸν ὄνομα εἰc φωνῆεν λῆγον, ὅπερ ἀδύνατον. Καὶ ταῦτα μὲν οὕτωc.

Ζητεῖται δέ, διὰ τί μὴ ἀπὸ τῶν δύο πνευμάτων γίνεται πνεῦμα. Φαμὲν οὖν ὅτι ἐπεὶ ἡ μὲν δαcεῖα ἐκ τοῦ θώρακος ἐκπέμπεται, ἡ δὲ 694,3b ψιλὴ ἐξ ἄκρων τῶν χειλέων, εὐλόγωc οὐ δύνανται cυναφθῆναι ἀλλή-

---

6 καλός — καθαρά (8)] *lac. indicat* b, *nullum lac. signum* C ‖ 10—33 = *Choerob. II 42, 31—43, 24* ‖ 13 αὐώc C ‖ 14 τὸ *add* b | ἀάτην *Lentz*, ἄτην C ‖ 17 τὸ ῡ *add Lentz* ‖ 20 ἀποτελεῖ — ἑαυτῶν (21)] *nullum lac. signum* C ‖ 24 ἓν ἢ] ὅλωc C ‖ 25 αὐλός b, αὐλῶ C ‖ 27 οὐδὲν b, οὐδὲ C ‖ 29 ζεῦ C ‖ 30 μεταπλαcμὸν b, πλεοναcμὸν C ‖ 31 ἐπεκτεταμένα b | πῶc b, περὶ C ‖ 34 τῶν C, *om* O ‖ 35 ἐκπέμπεται O, ἐξέρχεται C ‖ 36 *post* χειλέων *add* πολὺ γὰρ τὸ μέcον ἐcτὶν ἀμφοτέρων O

695b λαις· πῶς γὰρ τὸ ἐκ τοῦ θώρακος ἐξερχόμενον συναφθῆναι δύναται τῷ ἐκπεμπομένῳ ἐξ ἄκρων τῶν χειλέων; πολὺ γὰρ τὸ μέσον.

«Φωνήεντα δὲ γράμματά εἰσιν ἑπτά, ᾱ ε̄ η̄ ῑ ο̄ ῡ ω̄». Ἐπειδὴ γραμμάτων φωνηέντων ἐμνήσθη, εἰπὼν «ἡ δὲ δασεῖα τίθεται εἰς γράμμα φωνῆεν δασυνόμενον» καὶ πάλιν «ἡ δὲ ψιλὴ εἰς γράμμα φωνῆεν ψιλούμενον», πρὸς εἰσαγωγικοὺς δὲ τὸν λόγον ἐποιεῖτο καὶ μήπω εἰδότας τί ἐστι φωνῆεν, διὰ τοῦτο ἀπαριθμεῖται ταῦτα, τίνα τε καὶ πόσα εἰσὶ διδάσκων· ἡμεῖς δὲ τῷ περὶ στοιχείων λόγῳ τὴν περὶ τούτων διδασκαλίαν τηρήσαντες, ἐπὶ τὰ ἑξῆς τοῦ λόγου χωρήσωμεν.

115v «Ἡ δὲ ἀπόστροφος τίθεται, ὅταν διὰ τὴν καλλιφωνίαν κουφίζηται τὸ ἓν φωνῆεν γράμμα, ὁπηνίκα δύο φωνήεντά εἰσιν ἐν μιᾷ λέξει, οἷον ⟨psalm. 1, 4⟩ οὐχ' οὕτως οἱ ἀσεβεῖς, οὐχ' οὕτως», καὶ τὰ ἑξῆς ἕως τοῦ «καὶ ἀντ' αὐτοῦ εἰσῆλθεν ἄνωθεν ἡ ἀπόστροφος». Ἐντεῦθεν περὶ παθῶν ἡμᾶς ἄρχεται διδάσκειν· ἔστι δὲ πάθος φωνῆς πεπονθυίας σημεῖον, τὰ ἡνωμένα καὶ διῃρημένα διακρῖνον. Τὸ μὲν οὖν «φωνῆς πεπονθυίας σημεῖον» κοινὸν τῶν τριῶν· καὶ γὰρ ἡ ἀπόστροφος ἐπὶ πεπονθυίας ἔκθλιψιν ⟨φωνήεντος⟩ λέξεως τίθεται, καὶ ἡ ὑφὲν ἐπὶ λέξεως ὡσαύτως ἀποκοπὴν συμφώνου παθούσης, οἷον Φιλόδημος· καὶ ἡ ὑποδιαστολὴ δὲ πεπονθυίας καὶ αὐτὴ διάστασιν λέξεως σημεῖόν ἐστιν, οἷον ἐπὶ τοῦ ΕСΤΙΝ,ΑΞΙΟС· διακεχώρισται γὰρ ἀπὸ τοῦ ἄξιος τὸ ἔστιν. Τὸ δὲ «ἡνωμένα διακρῖνον» διὰ τὴν ὑφὲν ἐτέθη· ἵνα γὰρ μὴ τὸ Μενεκράτης δύο μέρη λόγου ἀναγνῷς, ἐτέθη ἡ ὑφέν, διάγνωσιν παρέχουσα ὅτι ἡνωμένη ἐστὶν ἡ λέξις. Καὶ ἡ ἀπόστροφος δὲ σημεῖόν ἐστι τῆς ἡνωμένων διακρίσεως· τὸ γὰρ οὐχ' οὕτως, ἔχον ἐπὶ τοῦ χ̄ τὴν ἀπόστροφον, ἑνοῖ τὸ χ̄ μετὰ τοῦ ο̄ῡ,
696b καὶ τὸ κατ' ἐμοῦ, ἔχον τὴν ἀπόστροφον ἐπὶ τοῦ τ̄, ἑνοῖ τὸ τ̄ μετὰ τοῦ ε̄· κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι ὅταν ὦσι λέξεις δύο, πάθῃ δὲ ἡ πρώτη ἔκθλιψιν, τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι συνάπτεται. Τὸ δὲ «διακρῖνον τὰ διῃρημένα» διὰ τὴν ὑποδιαστολήν ἐστι τεθειμένον· αὕτη γὰρ μόνη διαιρεῖ τὰ δοκοῦντα ἡνῶσθαι.

Τίθεται δὲ ἡ ἀπόστροφος ἐπάνω τοῦ ἐσχάτου γράμματος τῆς πρώτης λέξεως· οἷον τὸ οὔτ' ἐγώ δύο λέξεις εἰσί, καὶ ἐκθλιβέντος τοῦ ε̄ ἐτέθη ἄνωθεν τοῦ τ̄, ὅ ἐστιν ἔσχατον σύμφωνον τῆς πρώτης λέξεως, ἡ ἀπόστροφος, ἥτις πάθος μὲν λέγεται γενικῷ ὀνόματι διὰ τὸ ἐν ταῖς παθητικαῖς λέξεσι τίθεσθαι, ὥσπερ καὶ ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολή, ἀπόστροφος δὲ ἀπ' αὐτῆς τῆς θέσεως· ἐπὶ γὰρ τὰ ἔσω νεύει, καὶ ἐπὶ τὰς λέξεις τὰς ἀποστρεφομένας τίθεται. Ὁρίζονται δὲ τὴν ἀπόστροφον

---

2 πολὺ — μέσον C, *om* O ‖ **3—9** C, *om* O ‖ **11** μιᾷ λέξει b, ἐνὶ λόγῳ CO ‖ **12** *poster.* οὐχ' οὕτως *om* C ‖ **14** διδάσκειν C, διδάσκων O ‖ **15** σημ. φων. πεπ. CO ‖ **21** Μενεκράτης CO, Μενεκράτους b | λόγου C, *om* O ‖ **23** *ante* ἡνωμ. *add* τῶν O ‖ **25** καὶ τὸ — τοῦ ε̄ *om* O ‖ **27** ἀποστρόφου b, ἀποστροφῆς CO ‖ **30** ἀπόστροφος C, ἀποστροφὴ O | πρώτης O, *om* C ‖ **35** ἀπ' C, ἐξ O | τὰ O, *om* C

οὕτως· ἀπόστροφος σημεῖόν ἐστιν ἐκθλίψεως φωνήεντος ἢ φωνηέντων, φωνήεντος μέν, ⟨ex. gr. Α 43⟩ ὣς ἔφατ' εὐχόμενος· ἓν γὰρ φωνῆεν ἐξεβλήθη, τὸ ο̄· φωνηέντων δέ, οἷον ⟨Α 117⟩ βούλομ' ἐγὼ λαὸν σῶν ἔμμεναι· καὶ γὰρ ἡ α̅ι̅ δίφθογγος ἐνταῦθα ἔκθλιψιν πέπονθεν. Ἐκθλίβονται δὲ τέσσαρα μόνα φωνήεντα, τὸ ᾱ, ⟨Μ 433⟩ ἀλλ' ἔχον ὥστε τάλαντα· τὸ ε̄, ⟨Α 4⟩ αὐτοὺς δ' ἑλώρια· τὸ ῑ, ὡς τὸ ⟨Γ 300⟩ ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι· τὸ ο̄, ὡς τὸ ⟨Α 48⟩ ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν. Καὶ ταῦτα μὲν τὰ φωνήεντα μόνα παρὰ τοῖς συγγραφεῦσι καὶ πεζῇ τῇ λέξει λογογραφοῦσιν ἐκθλίβονται, παρὰ δὲ τοῖς ποιηταῖς καὶ ἡ α̅ι̅ δίφθογγος καὶ τὸ ῑ μετὰ τοῦ ν̄, ⟨Ε 877⟩ ἄλλοι μὲν 697b γὰρ πάντες, ὅσοι θεοί εἰς' ἐν Ὀλύμπῳ· τοῦτο δὲ γίνεται παρ' αὐτοῖς διὰ τὸ μέτρον. Ἐπινενοῆσθαι δέ φησι τὴν ἀπόστροφον διὰ τὴν εὐφωνίαν· ἵνα γὰρ μὴ γένηται σύγκρουσις φωνηέντων, διὰ τοῦτο, φησί, τὸ ἓν φωνῆεν γράμμα ἐκθλίβεται.

Ἰστέον δὲ ὅτι οὐ καλῶς οὐδ' ὑγιῶς ἔχει τὰ περὶ τῆς ἐκθλίψεως ἐνταῦθα τῷ τεχνικῷ ῥηθέντα. Ὀφείλει γὰρ εἰπεῖν «ὁπηνίκα δύο τινῶν λέξεων ἡ μὲν λήγει εἰς φωνῆεν, ἡ δὲ ἄρχεται ἀπὸ φωνήεντος»· ὁ δὲ «ὁπηνίκα» φησὶ «δύο φωνήεντά εἰσιν ἐν μιᾷ λέξει»· οὐ γάρ ἐστι μία λέξις ἀλλὰ δύο τὸ οὐχ' οὕτως· τὸ μὲν γὰρ οὐχί ἐπίρρημά ἐστιν ἀρνή- 116v σεως, τὸ δὲ οὕτως ἐπίρρημα μὲν καὶ αὐτό, ἀλλὰ παραβολῆς ἢ ὁμοιώσεως.

Ζητητέον δέ, διὰ τί ἀντὶ τοῦ εἰπεῖν «ὅταν διὰ τὴν καλλιφωνίαν ἐκθλίβηται τὸ ἓν φωνῆεν γράμμα» εἶπεν «ὅταν διὰ τὴν καλλιφωνίαν κουφίζηται»· τίνος γὰρ ἕνεκα κουφισμὸν τὴν ἀπόστροφον ἐκάλεσεν; Ὅτι βαρεῖα τρόπον τινὰ γίνεται ἡ ἐκφώνησις καὶ φορτικὴ ἐκ τῆς τῶν φωνηέντων συγκρούσεως (διὰ τοῦτο καὶ χασμῳδία τὸ τοιοῦτον καλεῖται πάθος), κούφη δὲ γίνεται καὶ ὡσανεὶ εὐκίνητός ἐστιν ἡ φωνή, ὅταν ἐκθλιβῇ τὸ ἓν φωνῆεν γράμμα.

Ἐπειδὴ δὲ ἐκθλίψεως ἐμνήσθημεν, δεῖ γινώσκειν ὅτι ἡ μὲν συναλοιφὴ γένος ἐστίν, ἔχει δ' ⟨εἴδη⟩ ἑπτά, τρία μὲν ἁπλᾶ, τέσσαρα δὲ σύνθετα· καὶ τὰ μὲν ἁπλᾶ εἰσι ταῦτα, ἔκθλιψις, κρᾶσις, συναίρεσις. Καὶ ἔκθλιψις μέν ἐστιν, ἡνίκα εὑρεθῇ λέξις εἰς φωνῆεν ἢ φωνήεντα καταλήγουσα, τῆς ἐπιφερομένης λέξεως ἀπὸ φωνήεντος ἢ ἀπὸ φωνηέντων ἀρχομένης· τότε γὰρ ⟨διὰ⟩ τὸ χασμῶδες καὶ κεχηνῶδες ἐκθλίβεται τὸ τέλος τῆς

---

2 ἓν — τὸ ο̄ (3) *om* O ‖ 3 σῶν] σῶον C, σόον O ‖ 4 καὶ γὰρ — νεῶν (8) *om* O ‖ 8 ταῦτα μὲν *om* O | τὰ φωνήεντα *om* C ‖ 11 πάντες ὅσοι *om* O ‖ 12 φησι C, φασι O ‖ 13 γὰρ O, *om* C | σύγκρουσις O, σύγκρουσμα C ‖ 16 ὀφείλει O, ὀφείλων C ‖ 19 τὸ μὲν γὰρ O, μὲν C ‖ 20 τὸ δὲ — ὁμοιώσεως O, *om* C ‖ 22 *post* δέ *add* ὅτι O, ἔτι b, *om* C | ὅταν C, ὅτι O; *item v. 23* ‖ 23 ἐκθλίβεται CO ‖ 24 κουφίζεται O | γὰρ ἕνεκα C, χάριν O ‖ 26 χασμῳδία C, χασμῶδες O ‖ 27 εὐκίνητός O, ἀκίνητός C ‖ 29 ἐπεὶ δὲ O, ἐπειδὴ C | δεῖ γινώσκειν — ΝΗΠΙΟΣ (147, 38) C, δέον καὶ περὶ αὐτῆς μικρόν τι διαλαβεῖν, ὃ καὶ ἐν ἄλλοις ῥηθήσεται O ‖ 30 εἴδη b, *om* C ‖ 34 διὰ b, *om* C

προηγουμένης λέξεως. Καὶ ἡνίκα ⟨μὲν⟩ ὦσιν ἐν παραθέσει, δέχονται ἀπόστροφον, ⟨οἷον κατὰ ἐμοῦ κατ' ἐμοῦ· ἡνίκα δὲ ὦσιν ἐν συνθέσει, οὐ 698b δέχονται ἀπόστροφον⟩, οἷον κατὰ ἔγραφον κατέγραφον, κατὰ ἔβην κατέβην. Ταῦτα μὲν περὶ τῆς ἐκθλίψεως. Διαφέρει δὲ συναίρεσις κράσεως κατὰ τούτους τοὺς τρόπους· ἡ συναίρεσις περὶ τὸ ῑ καὶ τὸ ῡ καταγίνεται προηγουμένου προτακτικοῦ φωνήεντος, οἷον πάϊς παῖς, ἀΰω αὔω, Δημοσθένεϊ Δημοσθένει· διαστέλλεται δὲ τὸ συνῃρημένον ἀπὸ τοῦ ἐντελοῦς ἐκ τοῦ μὴ περιστίζεσθαι τὸ ῑ καὶ ⟨τὸ⟩ ῡ ἐν τῇ συναιρέσει. Δεῖ δὲ γινώσκειν ὅτι τὸ ῑ καὶ τὸ ῡ δεῖ περιστίζειν, ἡνίκα προηγεῖται προτακτικὸν φωνῆεν κατὰ διάστασιν· ἐπεὶ ὅταν προηγῆται ⟨τὸ ῑ ἢ τὸ ῡ καὶ ἐπιφέρηται⟩ ὑποτακτικὸν φωνῆεν, οὐ δεῖ περιστίζειν αὐτά, οἷον ἰαχή ἰωή. Ἡ δὲ κρᾶσις περὶ πάντα τὰ φωνήεντα καταγίνεται, οἷον Δημοσθένεος Δημοσθένους, ἱέραξ ἵραξ, τὸ ἐμόν τοὐμόν· καὶ ἡνίκα μὲν γένηται κρᾶσις ἐν ἁρμογῇ δύο λέξεων, τίθεται κορωνίς, ⟨οἷον τὸ ἐμόν τοὐμόν, ὅταν δὲ γένηται κρᾶσις μὴ ἐν ἁρμογῇ δύο λέξεων, οὐ τίθεται κορωνίς⟩, οἷον νόος νοῦς. Ἄλλως τε δὲ ἡ συναίρεσις φυλακτική ἐστι τῶν αὐτῶν φωνηέντων, οἷον πάϊς παῖς, ἡ δὲ κρᾶσις πάντως ἀλλοίωσιν ἀπεργάζεται, οἷον Δημοσθένεος Δημοσθένους. Ταῦτα μέν εἰσι τὰ ἁπλᾶ εἴδη τῆς συναλοιφῆς.

Τὰ δὲ σύνθετα ταῦτα· ἔκθλιψις καὶ κρᾶσις, ἔκθλιψις καὶ συναίρεσις, κρᾶσις καὶ συναίρεσις, ἔκθλιψις καὶ κρᾶσις καὶ συναίρεσις. Καὶ ἔκθλιψις μὲν καὶ κρᾶσίς ἐστιν, ὡς ἐπὶ τοῦ ⟨καὶ⟩ ἐγώ κἀγώ· ἐκθλίβεται γὰρ τὸ ῑ τοῦ καί συνδέσμου, καὶ κιρνᾶται τὸ ᾱ καὶ ε̄ εἰς ᾱ μακρόν· ἔκθλιψις δὲ καὶ συναίρεσις, ὡς τὸ ἐμοὶ ὑποδύνει ἐμοὐποδύνει· ἐκθλίβεται γὰρ τὸ ῑ τῆς ἐμοί ἀντωνυμίας, καὶ συναιρεῖται τὸ ο̄ καὶ ῡ εἰς τὴν ο̄ῡ δίφθογγον· κρᾶσις δὲ καὶ συναίρεσις, ὡς ἐπὶ τοῦ ὁ αἰπόλος ᾡπόλος· κιρνᾶται γὰρ τὸ ο̄ καὶ ᾱ εἰς ω̄, καὶ συναιρεῖται τὸ ω̄ καὶ τὸ ῑ εἰς τὴν ᾠ̄ δίφθογγον· ἔκθλιψις δὲ ⟨καὶ⟩ κρᾶσις καὶ συναίρεσις, ὡς ἐπὶ τοῦ οἱ αἰπόλοι ᾡπόλοι· ἐκθλίβεται γὰρ τὸ ῑ τοῦ οἱ ἄρθρου, καὶ κιρνᾶται τὸ ο̄ καὶ ᾱ εἰς ω̄, καὶ συναιρεῖται τὸ ω̄ καὶ ῑ εἰς τὴν ᾠ̄ δίφθογγον.

699b «Ἡ δὲ ὑφὲν τίθεται, ὅταν δύο λέξεις ἅμα ὀφείλωσι λέγεσθαι». Οἱ παλαιοὶ τὴν ὑφὲν οὕτως ὡρίσαντο· «ὑφέν ἐστι σημεῖον συναφείας συνθέτων λέξεων» ἢ «σημεῖον ἑνώσεως δύο λέξεων, οἷον Νικόλαος»· διὰ τοῦτο γὰρ καὶ ὠνόμασται ὑφέν, ὡς ἑνοῦσα τὰς λέξεις καὶ ὑφ' ἓν ποιοῦσα ἀναγινώσκεσθαι. Τίθεται δὲ ὑποκάτω τῶν δύο λέξεων, ἐπὶ τῆς προτέρας λέξεως τοῦ ἐσχάτου γράμματος ἔχουσα τὴν ἀρχήν, ἐπὶ δὲ τῆς δευτέρας τοῦ ἀρκτικοῦ ἔχουσα τὸ τέλος τοῦ σχήματος. Διαφέρει δὲ ἡ διαστολὴ τῆς ὑφέν, ὅτι τῆς ὑφὲν συναπτούσης τὰ δοκοῦντα διαιρεῖσθαι, αὕτη πάλιν τὰ δοκοῦντα ἡνῶσθαι διαιρεῖ, οἷον ΗΛΘΕ,ΝΗΠΙΟΣ.

---

1 μὲν b, *om* C ‖ 2 οἷον — ἀπόστρ. (3) b, *om* C ‖ 3 κατὰ ἔβην κατέβην C, κατὰ ἔζην κατέζην b ‖ 7 ἀπὸ b, ἐκ C ‖ 8 περιστίζεσθαι b, περιστέλλεσθαι C | τὸ *ante* ῡ *add* b ‖ 12 καταγίνεται b, παραγίνεται C ‖ 13 γένηται C, γίνηται b ‖ 14 *cfr EtM 763, 9—14* ‖ 16 φυλακτική b, φυλακή C ‖ 21 καὶ *ante* ἐγώ *add* b ‖ 24 καὶ συναιρ. δὲ C, συναιρ. δὲ b ‖ 37 διαστολὴ b, ὑποδιαστολὴ C

Εἰδέναι δὲ χρὴ ὅτι αἱ cύνθετοι λέξεις ἀπὸ τῶν τεccάρων γίνονται πτώcεων· αὗται δὲ αἱ πτώcεις ἢ κατὰ τὸ τέλος cυντίθενται, οἷον Περικλῆς, ἢ κατὰ τὴν ἄρχουcαν, οἷον φιλομαθής, ἢ καὶ κατὰ τὴν ἀρχὴν καὶ κατὰ τὸ τέλος, οἷον Φιλόδημος. Κατὰ μὲν οὖν τὸ τέλος οὐ πᾶcα πτῶcις cυντίθεται, ἀλλ' εὐθεῖα μόνη, οἷον Πλάτων φιλοπλάτων, Ἕλλην φιλέλλην, καὶ γενική· γενικὴ δὲ οὐ πᾶcα, ἀλλὰ μόνη ἡ εἰc $\overline{\text{αc}}$ λήγουcα καὶ ἡ εἰc $\overline{\text{ηc}}$ καὶ ἡ εἰc $\overline{\text{οc}}$, οἷον φαρέτρα φαρέτρας ⟨ὁ⟩ εὐφαρέτρας, τέχνη τέχνης ὁ κλυτοτέχνης, γράμμα γράμματος ὁ φιλογράμματος, καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ αὗται αἱ γενικαὶ ἔχουcι κατάληξιν ἁρμόζουcαν εὐθείᾳ — ἡ γὰρ εἰc $\overline{\text{αc}}$ κατάληξις καὶ ἡ εἰc $\overline{\text{ηc}}$ καὶ ἡ εἰc $\overline{\text{οc}}$ καὶ τῆς εὐθείας εἰcίν, οἷον cοφός Πέρcης κοχλίας —, πᾶcα δὲ cύνθεcις ἀναδρομὴν πάcχει εἰc τὴν εὐθεῖαν, οἷον γράμμα γράμματος ὁ φιλογράμματος, εἰκότως αὗται αἱ γενικαὶ cυντίθενται κατὰ τὸ τέλος· ἡ γὰρ εἰc $\overline{\text{ου}}$ λήγουcα γενικὴ οὐ δύναται cυντεθῆναι κατὰ τὸ τέλος, ἐπειδὴ οὐκ ἔχει κατάληξιν ἁρμόζουcαν εὐθείᾳ· οὐκ ἔχομεν γὰρ εὐθεῖαν εἰc $\overline{\text{ου}}$ δίφθογγον λήγουcαν. Διὰ τοῦτο γὰρ οὔτε ἐκ δοτικῆς οὔτε ἐξ αἰτιατικῆς κατὰ τὸ τέλος γίνεται cύνθεcις, ἐπειδὴ οὐκ ἔχουcι κατάληξιν ἁρμόζουcαν εὐθείᾳ· 700b τὸ γὰρ $\overline{\text{ι}}$ καὶ τὸ $\overline{\text{ᾳ}}$ καὶ τὸ $\overline{\text{ῃ}}$ καὶ τὸ $\overline{\text{ῳ}}$, οἷον Αἴαντι κοχλίᾳ Πέρcῃ Μενελάῳ, καταλήξεις εἰcὶ τῆς δοτικῆς, ἅτινα οὐκ εἰcὶ καταλήξεις τῆς εὐθείας τοῦ ἀρcενικοῦ γένους· καὶ τὸ $\overline{\text{α}}$ καὶ τὸ $\overline{\text{η}}$ καὶ τὸ $\overline{\text{ουν}}$, τῆς αἰτιατικῆς ὄντα καταλήξεις, οἷον Αἴαντα εὐγενῆ βοῦν, οὐκ εἰcὶ τῆς εὐθείας. Εἰ δέ τις λέγει ὅτι καὶ ἡ αἰτιατικὴ κατάληξιν ἔχει ἁρμόζουcαν τῇ εὐθείᾳ — τὸ γὰρ $\overline{\text{ην}}$, οἷον Πέρcην, καὶ τὸ $\overline{\text{αν}}$, οἷον κοχλίαν, καὶ τῆς εὐθείας ἐcτίν, οἷον Παιάν Ἀλκμάν φιλέλλην —, ἴcτω ὡς ἐπειδὴ πλείους εἰcὶν αἱ καταλήξεις τῆς αἰτιατικῆς, αἳ μή εἰcι καὶ τῆς εὐθείας τῶν ἀρcενικῶν, διὰ τοῦτο οὐ γίνεται cύνθεcις ἐκ τῆς αἰτιατικῆς. Καὶ ταῦτα μὲν περὶ τῶν cυντεθειμένων κατὰ τὸ τέλος.

Κατὰ δὲ τὸ ἄρχον cυντίθεται καὶ εὐθεῖα, οἷον Ἀcτυάναξ, καὶ γενική, οἷον Ἑλλήcποντος, καὶ δοτική, οἷον ἀρηΐφιλος, καὶ αἰτιατική, οἷον νουνεχής. Κλητικὴ δὲ οὐδέποτε cυντίθεται διὰ τοιαύτην αἰτίαν. Ἡ κλητικὴ καὶ αὐτοτελής ἐcτι, καὶ δευτέρου προcώπου ἐcτί, καὶ πρός τινά ἐcτι, καὶ τὸ ἐπιφερόμενον πάντως ἢ ὁμοιόπτωτον ἀπαιτεῖ, οἷον ⟨ex. gr. A 122⟩ Ἀτρείδη κύδιcτε· ἀμφότεραι γὰρ κλητικαί εἰcιν· ἢ ἐὰν μὴ ὁμοιόπτωτον εὑρεθῇ τὸ ἐπιφερόμενον, γενικὴ εὑρίcκεται, γενικὴ δὲ ἢ κτητικὴ ἢ cυγκριτική· καὶ κτητικὴ μέν, οἷον ⟨ex. gr. B 434⟩ ἄναξ ἀνδρῶν, cυγκριτικὴ δέ, οἷον ⟨ex. gr. Θ 31⟩ ὕπατε κρειόντων. Ἡ δὲ εὐθεῖα οὔτε αὐτοτελής ἐcτιν, οὔτε πρός τινά ἐcτι (περί τινος γὰρ

3 καὶ *om* C ‖ **4** κατὰ (*ante* τὸ) *om* C ‖ **5** ἀλλ' ἡ εὐθ. O ‖ **6** καὶ γεν. *om* O ‖ **7** ὁ εὐφαρ. b, εὐφαρ. C, *om* O ‖ **10** ἡ εἰc $\overline{\text{ηc}}$ καὶ ἡ εἰc $\overline{\text{οc}}$ b, ἡ εἰc $\overline{\text{οc}}$ καὶ ἡ εἰc $\overline{\text{ηc}}$ CO ‖ **11** δὲ O, γὰρ C ‖ **15** οὐκ ἔχομεν — λήγουcαν (**16**) *om* O ‖ **22** καὶ ἡ O, καὶ ἡ αὐτὴ C, ἡ αὐτὴ b ‖ **26** οὐ O, *om* C ‖ **27** cυντεθειμένων O, cυντιθεμένων (τιθε *in ras.* m^1) C ‖ **28** *ante* εὐθ. *et ante* γεν. *add* ἡ b ‖ **35** κτητικὴ (*bis*) O, κλητικὴ C

117v ἐστιν), οὔτε δευτέρου προσώπου ἐστί (τρίτου γὰρ προσώπου ἐστίν), οὔτε
δὲ πάντως τὸ ἐπιφερόμενον ὁμοιόπτωτον ἀπαιτεῖ, ἀλλ' ἀνομοιόπτωτον,
701b οἷον «Cωκράτης Πλάτωνα τύπτει, Ἀλκιβιάδης Δημοσθένει διαλέγεται».
Εἰ συνετίθετο οὖν ἡ κλητική, ἠναγκάζετο ἀναδρομὴν ποιήσασθαι εἰς τὴν
εὐθεῖαν, καθὸ αἱ συνθέσεις ἀναδρομὴν ποιοῦνται εἰς τὴν εὐθεῖαν, οἷον
γράμμα γράμματος ὁ φιλογράμματος, βοῦς βοός ⟨ὁ⟩ πολύβοος· ἀναδρομὴν δὲ ποιοῦσα εἰς τὴν εὐθεῖαν, καθὸ μὲν εὐθεῖα ἐγίνετο, ἠναγκάζετο
μὴ εἶναι αὐτοτελής, μὴ εἶναι πρός τινα, μὴ εἶναι δευτέρου προσώπου,
μὴ ἔχειν τὸ ἐπιφερόμενον πάντως ὁμοιόπτωτον· καθὸ δὲ ἀπὸ κλητικῆς
10 συνετέθη, αἱ δὲ συνθέσεις θέλουσι φυλάττειν λείψανόν τι τοῦ ἁπλοῦ (οἷον
τὸ φιλάνθρωπος, ἀπὸ τοῦ ἁπλοῦ συντεθὲν τοῦ ἄνθρωπος, ἐφύλαξέ τι
λείψανον τὸ ἄνθρωπος), ἠναγκάζετο καὶ αὐτοτελὴς εἶναι, καὶ πρός τινα,
καὶ δευτέρου προσώπου, καὶ τὸ ἐπιφερόμενον ἔχειν ⟨πάντως⟩ ἢ ὁμοιόπτωτον
ἢ γενικήν, γενικὴν δὲ ἢ κτητικὴν ἢ συγκριτικήν. Ἐπειδὴ δὲ οὐ δύναται
κατὰ ταὐτὸν καὶ αὐτοτελὴς εἶναι καὶ μὴ αὐτοτελής, καὶ πρός τινα καὶ
περί τινος, καὶ δευτέρου προσώπου καὶ τρίτου, καὶ τὸ ἐπιφερόμενον μὴ
20 ἔχειν πάντως ὁμοιόπτωτον καὶ ἔχειν τὸ ἐπιφερόμενον πάντως ἢ ὁμοιόπτωτον ἢ γενικὴν κτητικὴν ἢ συγκριτικήν, τούτου χάριν οὐ συντίθεται.

Γίνονται δὲ αἱ συνθέσεις ἢ τῶν δύο λέξεων οὐσῶν ἰδίᾳ ῥητῶν, ἢ
τῆς μὲν μιᾶς ἰδίᾳ ῥητῆς, τῆς δὲ ἑτέρας ἰδίᾳ νοητῆς. Καὶ τὰς δύο μὲν
λέξεις ἰδίᾳ ῥητὰς ἔχει ἡ σύνθεσις αὕτη, Φιλόδημος ἀρχιστράτηγος· λέγεται γὰρ καὶ τὸ φίλος ἰδίᾳ καὶ τὸ δῆμος, καὶ τὸ ἀρχή καὶ τὸ στρατηγός· τὴν δὲ μίαν ῥητὴν καὶ τὴν μίαν νοητὴν τὸ ζάκοτος καὶ τὸ ἄλοχος
καὶ τὸ ἐρίτιμος καὶ τὰ ὅμοια· τούτων γὰρ αἱ πρότεραι λέξεις οὐδέποτε
30 κατ' ἰδίαν ῥηταί, ἀλλὰ καθ' αὑτὰς νοούμεναι καὶ σημαίνουσαί τι· καὶ γὰρ
τὸ μὲν ζα καὶ τὸ ερι ἐπίτασιν ⟨σημαίνει⟩, τὸ δὲ α τὸ ὁμοῦ.

Καὶ ἔστιν ὡς ἐπὶ τὸ πλεῖστον ἡ σύνθεσις ἐκ δύο λέξεων, γίνεται δὲ
702b καὶ ἐκ τριῶν, ὡς ⟨C 54⟩ δυσαριστοτόκεια, παρὰ δὲ τοῖς κωμικοῖς καὶ
ἐκ πλειόνων, ὡς παρὰ Ἀριστοφάνει ⟨Nub. 333⟩ σφραγιδονυχαργοκομῆται οἱ φιλόσοφοι διὰ τὸ ἀργοὶ διατελεῖν ⟨καὶ τῶν ὀνύχων ἐπιμελεῖσθαι⟩
καὶ κομῆται εἶναι, ἔτι καὶ σφραγῖδας ἐν τοῖς δακτυλίοις φορεῖν. Καὶ
παρ' Εὐπόλιδι ⟨fr. 393 K⟩ ἀμφιπτολεμοπηδησίστρατος.

Ἐπὶ δὲ τῶν ἐκ τελείου ἀρχομένων συνθέτων μάλιστα χρὴ τιθέναι
τὴν ὑφέν, ἐπειδὴ διφορεῖσθαι συμβαίνει τὰ τοιαῦτα. Περιττὸν γὰρ οἶμαι

---

1 τρίτου — ἐστίν O, *om* C ‖ **2** δὲ CO, *om* b ‖ **6** βοῦς CO, καὶ βοῦς b ‖ **7** ποιοῦσα C, ποιοῦνται O | ἠναγκάζετο P, ἀναγκάζεται CO ‖ **11** ἁπλοῦ (δὴ *add* P) συντ. — τὸ (**12**) OP, ἄνθρωπος συντεθὲν ἐφύλαξε λείψανόν τι τοῦ C ‖ **12** ἠναγκάζετο] ἀναγκάζεται COP ‖ **13** ἢ *ante* ὁμ. *om* C ‖ **14** κτητικὴν O, κλητικὴν C ‖ **17** πάντως ἢ] ἢ πάντως CO ‖ **18** κτητικὴν O, ἢ κλητικὴν C ‖ **19** δύο *om* O ‖ **20** δὲ ἑτέρας O, δευτέρας C ‖ **21** ἔχει *ante* λέξεις *transp.* C ‖ **22** γὰρ O, δὲ C | ἀρχὴ O, ἀρχὶ C ‖ **23** ἄλοχος O, ἄλογος C ‖ **26** ἐπίτασιν O, ἐπίτασις C ‖ **27** πλεῖστον O, πλεῖον C ‖ **28** ὡς τὸ δυσ. C | δὲ O, *om* C ‖ **33** ἐκ τελείου C, ἐκ τέλους Ob, ἐξ ἐντελοῦς *Lobeck, Pathol. 1, 544* ‖ **34** διφορεῖσθαι C, διαφορεῖσθαι O | γὰρ *om* C

ἐπεντιθέναι τοῖϲ ἐξ ἀπολείποντοϲ, ὥϲπερ καὶ τοῖϲ παραϲυνθέτοιϲ, ἅπερ ἐϲτὶν ὡϲ εἰπεῖν ἁπλᾶ· παράγεϲθαι γὰρ ἀρξάμενα γενέϲεωϲ ἑτέραϲ ἐπιλαμβάνεται· οἷον ⟨ἐπὶ τοῦ⟩ Φιλιππίδηϲ οὐ χρὴ τιθέναι τὴν ὑφέν, διότι παραϲύνθετόν ἐϲτι. Τὸ δὲ αὐτὸ κἂν ταῖϲ ἐπεκτάϲεϲι καὶ ταῖϲ ἀχωρίϲτοιϲ ϲυντάξεϲι νοείϲθω, Παλλήναδε Μεγάραδε δηλαδή τοίνυν τοιγάρτοι τοιγαροῦν· οὕτω δὲ οἶμαι ἔχειν καὶ τὸ οὐδείϲ ἐκ τριῶν μερῶν λόγου χωρὶϲ ἀποϲτρόφου καὶ ὑφέν.

Ὑποτακτέον δὲ τῇ ὑφὲν καὶ τὰ ἐν ϲυναλοιφῇ λεγόμενα, οἷον κἀγώ, καὶ τὰ ἐν δύο λέξεϲι ϲυνημμένην διάνοιαν ἐπαγγελλόμενα, οἷον ⟨Λ 385⟩ τοξότα λωβητήρ· ἓν γὰρ νοεῖται διὰ τῶν δύο, ἀντὶ τοῦ διὰ τῶν τόξων λωβώμενε· καὶ ⟨ex. gr. Ϲ 608⟩ πύκα ποιητοῖο, ⟨ἀντὶ τοῦ⟩ ἐπιμελῶϲ καταϲκευαϲμένου· καὶ ⟨Ν 415. λ 277⟩ πυλάρταο κρατεροῖο· μία γὰρ ἐκ τῶν δύο λέξεών ἐϲτιν ἡ διάνοια, καὶ βούλεται λέγειν τοῦ τὰϲ πύλαϲ ἐπαρτῶντοϲ ἰϲχυρῶϲ· καὶ ⟨Ζ 97. 278⟩ ἄγριον αἰχμητήν· μίαν γὰρ πάλιν διάνοιαν ληπτέον ἐπὶ τῶν ἐπιθέτων ἀμφοτέρων· θέλει 118v γὰρ λέγειν ἄγριον ἐν τῷ αἰχμάζειν, ὅ ἐϲτι μάχεϲθαι.

«Διαϲτολὴ δέ ἐϲτιν, ὅταν διαϲτεῖλαι καὶ διαχωρίϲαι ὀφείλωμέν τιναϲ λέξειϲ ἀπ᾽ ἀλλήλων, οἷον ΕϹΤΙΝ,ΑΞΙΟϹ». Διαϲτολὴ μέν ἐϲτι διάϲταϲιϲ 703b γράμματοϲ περὶ τὴν ϲύνταξιν ἀμφιβαλλομένου· περὶ δὲ τῶν διαϲτολῶν ἐν τῷ περὶ ἀναγνώϲεωϲ ἐροῦμεν πλατύτερον, ὅταν διεξερχώμεθα τοὺϲ τρόπουϲ, καθ᾽ οὓϲ δεῖ ἀναγινώϲκειν. Πλὴν τοῦτο πρὸϲ τὸ παρὸν ἰϲτέον, ὡϲ τῶν διαϲτολῶν αἱ μέν εἰϲι βελτιοῦϲαι τὴν διάνοιαν, ὡϲ τὸ ⟨α 184⟩ ΕϹ,ΤΕΜΕϹΗΝ μετὰ χαλκόν· οὐ γὰρ Μέϲη ἀλλὰ Τεμέϲη πόλιϲ Ἰταλίαϲ ἱϲτορεῖται· αἱ δὲ μηδὲν λυποῦϲαι, ὡϲ ἐν τῷ ⟨Γ 318. Η 177⟩ λαοὶ δ᾽ ἠρήϲαντο ΘΕΟΙϹΙΔΕ χεῖραϲ ἀνέϲχον· δύναται γὰρ ⟨θεοῖϲι, εἶτα δέ, καὶ⟩ θεοῖϲ, εἶτα ἰδέ· αἱ δὲ ⟨γινόμεναι⟩ ἐπὶ τὸ χεῖρον, ὡϲ τὸ ⟨Ξ 221⟩ ἄπρηκτον ΓΕΝΕΕϹΘΑΙ· τινὲϲ γὰρ τὸ γενέεϲθαι ἀντὶ τοῦ γενέϲθαι φαϲίν, ὡϲ τὸ ⟨Ι 626⟩ κρανέεϲθαι καὶ ⟨Ξ 481⟩ κατακτανέεϲθε· καὶ εἴχετο λόγου τὸ γενέεϲθαι, εἰ καὶ ἡ διάνοια ἐπὶ τῇ λέξει ταύτῃ ἀκόλουθοϲ ἦν. Ὁρᾶται δὲ ἡ ὑποδιαϲτολὴ ἐν παραθέϲει, ἥτιϲ ἐϲτὶ λέξεων παράλληλοϲ ϲύνταξιϲ κατὰ τὸν ὑπάρχοντα ἑκάϲτῃ τόνον.

Περὶ προϲῳδιῶν καὶ ἄλλωϲ. 709b

Προϲῳδίαι λέγονται οἱ τόνοι καὶ οἱ χρόνοι καὶ τὰ πνεύματα καὶ τὰ πάθη, ὅτι λεγομένων τῶν ᾠδῶν ἤτοι τῶν λέξεων ϲυνεκφωνοῦνται αὗται· αὗται γὰρ καθ᾽ αὑ-

---

1 ἐπεντιθέναι O, ἐπιτιθέναι C | τοῖϲ ἐξ O, τῶν ἐξ C ‖ 2 ὡϲ *om* C ‖ 5 παλήναδε O, πηλήναδε C ‖ 6 δὲ C, γὰρ O ‖ 7 ὑφέν] ὑποδιαϲτολῆϲ C, διαϲτολῆϲ O ‖ 8 τῇ O, τὸ C ‖ 11 λωβώμενε O, λωβώμενα καὶ βλαπτόμενα C ‖ 17 δέ O, μέν C | διαχωρῆϲαι CO ‖ 19 περὶ δὲ — ἀναγινώϲκειν (21) C, ὅπερ δὴ ἐν ἄλλοιϲ ἐροῦμεν O ‖ 24 μηδὲν O, μηδὲ C ‖ 26 ἰδέ O, *om* C ‖ 27 ἄπρηκτον] εἰϲ Ἰθάκην CO ‖ 29 κατακτανέεϲθε] κτανέεϲθαι Pb, καταγενέεϲθαι C, κατανέεϲθαι O | εἰ καὶ C, εἰ μὴ O ‖ 31 λέξεων O, λόγων C | ϲύνταξιϲ C, *om* O | *ante* ἑκ. *add* τῇ C | ἑκάϲτῃ τόνον CO, ἑκάϲτῃ λόγον P, ἑκάϲτῳ λόγον b

τάς, μὴ λαληθείσης λέξεως, οὐκ ἔχουσι φύσιν τυποῦσθαι· προσῳδίαι οὖν ἤτοι συνῳδίαι, ⟨τῆς⟩ πρός ἀντὶ τῆς σύν προθέσεως λαμβανομένης. Ἢ προσῳδίας εἴποις ταύτας ὡς τυπουμένας πρὸς τὰς ᾠδάς, τῆς πρός ταὐτὸν τῇ ⟨ἐπί⟩ σημαινούσης· εἰ μὴ γὰρ προϋποθήσομεν τὴν λέξιν, πῶς ἂν τὴν ἐπικειμένην αὐτῇ προσῳδίαν τυπώσομεν; πρῶτον τίθεται τὸ ἅγιος, καὶ οὕτω τυποῦται ἡ ἐν τῷ α̅ δασεῖα καὶ ὀξεῖα· πρῶτον τίθεται τὸ ἀγᾰθός εἴτε τὸ ἀγᾰθώτατος, καὶ οὕτω τυποῦται ἡ ἐν τῷ α̅ ψιλὴ καὶ ἡ ἐν τῷ γ̅α̅ βραχεῖα καὶ ἡ ἐν τῷ ⟨θ̅ο̅ καὶ τῷ⟩ θ̅ω̅ ὀξεῖα.

Ὠιδαὶ λέγονται αἱ λέξεις ἐντεῦθεν· τὰ φωνήεντα ἀπὸ τῶν στοιχείων εἰσὶ τὰς φωνὰς ἀποτελοῦντα· τῶν δὲ φωνηέντων πρῶτον μὲν τὸ α̅, τελευταῖον δὲ τὸ υ̅· τὸ γὰρ ω̅ τὸ μέγα συντεθειμένον ἐστὶν ἐκ δύο υ̅υ̅ ἢ ἐκ δύο ο̅ο̅· διὰ γοῦν τοῦ α̅ τοῦ πρώτου γράμματος καὶ τοῦ υ̅, συνεκδοχικῶς καὶ τῶν ἄλλων φωνηέντων λαμβανομένων, ὤφειλε δηλοῦσθαι τὰ πράγματα· ἐπεὶ δὲ ἀδύνατον ἦν ταῦτα λαληθῆναι ἄλλως ἢ διὰ φωνῆς, αὐδὴ ἐκλήθη ἡ φωνή, συναιρεθέντος τοῦ α̅υ̅, ἤτοι ἡ συνδέουσα τὰ γράμματα τὰ δηλωτικὰ τῶν πραγμάτων. Ἦν οὖν τὸ ἀρχαϊκώτερον ἀϋδή, ὅθεν τὸ ἀοιδή, ἐπειδὴ οἱ μεταγενέστεροι καὶ διὰ ῥήματος ἐτύπωσαν τοῦ ἀείδω τὸ λέγω· ἐντεῦθεν γέγονε τὸ ἀοιδὴ ἡ φωνή, κατὰ τὸν κανόνα τὸν λέγοντα· τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο̅ ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασι· κραθέντων δὲ τοῦ α̅ καὶ τοῦ ο ᾠδὴ ἐξεφωνήθη. Καὶ τούτῳ τῷ τρόπῳ αἱ φωναὶ ᾠδαὶ λέγονται, ἤγουν αἱ δέουσαι τὰ φωνήεντα, δι᾽ ὧν αἱ ἐκφωνήσεις γίνονται.

710b Δέκα εἰσὶν αἱ προσῳδίαι, καὶ οὐ πλείους ἢ ἐλάσσους, διὰ τοῦ ἀριθμοῦ τὸ τελειότατον· ἀπὸ γὰρ τοῦ ἑνὸς μέχρι τοῦ δέκα ἀριθμοῦντες, ὥσπερ ἐξ ἄλλης ἀρχῆς τοῦ δέκα τοὺς ἄλλους λέγομεν ἀριθμούς· διὰ τοῦτο καὶ δέκα λέγεται τρόπῳ Ἰωνικῷ, δέχα τι ὄν· ἡ γὰρ δεκὰς δεχὰς ἂν κοινοτέρως ῥηθείη, ὅτι τοὺς πρὸ αὐτῆς ῥηθέντας ἀριθμοὺς μεθ᾽ ἑαυτὴν λεγομένους δέχεται καὶ συνλαλεῖται αὐτοῖς. Καὶ ἡ εἰκὰς γὰρ διπλῆ ἐστι δεκάς, ἑκὰς δεκὰς λεγομένη, ἤτοι μετὰ τὴν δεκάδα καὶ τοὺς μοναδικοὺς ἀριθμοὺς ἑτέρα δεκάς, πόρρω τοσοῦτον ἀπέχουσα τῆς πρώτης δεκάδος, ὅσον ἐκείνη τῆς μονάδος. Ὤφειλεν οὖν λέγεσθαι ἡ εἰκὰς ἰεκάς· ἐπεὶ δὲ ἦν ἀναγκαῖον συναίρεσιν γενέσθαι περιέχουσαν ὅλον τὸ ἐπίρρημα καὶ τὸν ἀριθμόν, τὸ ι̅ δὲ καὶ ε̅ εἰς ι̅ μακρὸν κιρνᾶται καὶ οὐκ εἰς ⟨τὴν⟩ ε̅ι̅ δίφθογγον, γέγονεν ὑπερβιβασμός, καὶ προετέθη τὸ ε̅ τοῦ ἑκάς τοῦ ι̅ τοῦ σημαίνοντος τὸν ἀριθμὸν τὸν δέκα, καὶ οὕτω γέγονεν εἰκάς ἤτοι διπλῆ δεκάς. Ὥσπερ καὶ τὸ τριάκοντα τριπλῆ δεκάς, ἤτοι τρία κοντά, διὰ τὸ κοντοῦ σχῆμα ἔχειν τὸ ι̅ τὸ δηλωτικὸν τοῦ δέκα· καθεξῆς δὲ τὸν τρόπον τοῦτον καὶ τὸν τεσσαράκοντα εἴποις καὶ τὸν πεντήκοντα καὶ τοὺς λοιπούς. Καὶ οὕτω τὸν δέκα δέχα εἴποις κοινοτέρως, ὡς δεκτικὸν τῶν ἄλλων ἔν τε ἁπλότητι καὶ διπλασιασμῷ καὶ πολυπλασιασμῷ. Τὸ δὲ ἑκατόν οὕτως ἐτυμολογοῦσι, τὸ ἑκὰς τοῦ δέκα ὂν τοσοῦτον ὅσον τὸ δέκα τοῦ ἑνός· ἢ τὸ ἕκατι ἤτοι ἕνεκεν τοῦ δέκα ὄν, ἑκατιόν καὶ ἑκατόν· διὰ γὰρ τὸ πολυπλασιάσαι ἐκεῖνο ἐπενοήθη. Καὶ ἔστι τὸ μὲν ἑκατὸν ἕνεκά του, ἕνεκα γάρ ἐστι τοῦ δέκα· τὸ δὲ δέκα οὗ ἕνεκα, δι᾽ αὐτὸ γὰρ ἐτέθη τὸ ἑκατόν. Οὕτως οὖν ὁ δέκα ἀριθμὸς τέλειος, καὶ διὰ τοῦτο δέκα αἱ προσῳδίαι.
711b Ἑπτὰ γὰρ ἦσαν τὸ πρῶτον, διότι καὶ φωνήεντα ἑπτά εἰσιν· ἐπενοήθησαν δὲ τὰ πάθη καὶ προσετέθησαν ταύταις διὰ τὸ τέλειον τοῦ ἀριθμοῦ, ἵν᾽ ἐντεῦθεν τὸ τέλειον καὶ ἐπωφελὲς διαγινώσκοιτο τοῦ μαθήματος τῶν προσῳδιῶν· τέλεια γὰρ λέγονται τὰ τέλος καὶ ἀποτέλεσμα ἔχοντα. Ἀποτέλεσμα δὲ τῶν προσῳδιῶν πάνυ χρησιμώτατον καὶ ἀναγκαιότατον τὸ τυποῦσθαι δι᾽ αὐτῶν τὰ σημαινόμενα ἤτοι τὰ πράγματα· ἰδοὺ γὰρ διὰ τοῦ ὅρος τοῦ δασυνομένου ἄλλο δηλοῦται, ὁ λόγος, καὶ διὰ τοῦ ὄρος

---

2 τῆς *ante* πρός *add* b | εἴποις] εἴπῃς C, εἴπῃς b ‖ **3** ταὐτὸν τῇ ἐπί] ἑαυτὴν C, ἐπὶ hb ‖ **4** ἐπικειμένην b, ὑποκειμένην C ‖ **5** τίθεται] λέγεται Cb ‖ **6** ἀγαθώτατον C ‖ **14** πραγμάτων hb, γραμμάτων C ‖ **15** ἀοιδὴ b, ἀϋδὴ C ‖ **18** τούτῳ hb, τοῦτο C ‖ **21** ἑνὸς b, πρώτου C; *item v. 36* ‖ **25** ἑκὰς δεχὰς Cb ‖ **31** τὸ τρ.] τὰ τρ. Cb ‖ **33** εἴποις hb, εἴπῃς C; *item v. 34* ‖ **36** ἤτοι] καὶ Cb ‖ **37** πολυπλασιάσαι C, πολλαπλασιάσαι b ‖ **45** ὅρος b, ὅρους C

τοῦ ψιλουμένου ἕτερον, ὁ πετρώδης καὶ τῆς γῆς πολὺ ἀπέχων λόφος· καὶ διὰ τοῦ ἄγνος τοῦ ψιλουμένου καὶ παροξυνομένου δηλοῦται φυτὸν ἄκαρπον, διὰ δὲ τοῦ ἁγνός τοῦ δασυνομένου ⟨καὶ ὀξυνομένου⟩ ὁ καθαρὸς καὶ ἄρρυπος καὶ ἀμίαντος.

Ἄλλως τε δὲ καὶ κατὰ μέθοδον αἱ προσῳδίαι δέκα εἰσίν· ἡ γραμμὴ γὰρ ἄλλως καὶ ἄλλως τυπουμένη καὶ τόποις ἄλλοτε ἄλλοις τιθεμένη τὰς δέκα προσῳδίας ἀποτελεῖ. Τυπωθεῖσα γὰρ πρὸς τὸ ὀξὺ τὴν ὀξεῖαν ποιεῖ, πρὸς δὲ τὸ κατωφερὲς καὶ βαρὺ τραπεῖσα τὴν βαρεῖαν, καμφθεῖσα δὲ τόξου δίκην τὴν περισπωμένην· τυπωθεῖσα δὲ πρὸς τὸ ὀρθότατον καὶ στιγμὴν ἔμπροσθε λαβοῦσα τὴν δασεῖαν ποιεῖ, ἡ αὐτὴ δηλαδὴ πρὸς τὸ ὀρθότατον τυπωθεῖσα καὶ κατόπιν τὴν στιγμὴν δεξαμένη ψιλὴ γίνεται· πλαγίως δὲ τυπωθεῖσα τὴν μακρὰν ποιεῖ, καὶ καμφθεῖσα ἐναντίως τῇ περισπωμένῃ βραχεῖα γίνεται· πάλιν καμφθεῖσα πρὸς τὸ κατόπιν ἀπόστροφός ἐστι τὴν ἄνωθεν τῆς φωνῆς θέσιν ἔχουσα, καὶ τῷ αὐτῷ τύπῳ τὴν κάτωθεν τῆς φωνῆς θέσιν ἔχουσα ὑποδιαστολὴ καλεῖται· ὑφὲν δὲ λέγεται κατὰ τὴν βραχεῖαν τυπωθεῖσα, ὑποκάτω δὲ τῆς 712b
φωνῆς τιθεμένη, τῆς βραχείας τὸν ἄνω τόπον ἐχούσης. Δέκα οὖν εἰσὶ παρὰ τὸ μὴ ἄλλως δύνασθαι τὴν τοιαύτην γραμμὴν ἢ τυποῦσθαι ἢ τόπῳ τίθεσθαι.

Οἱ δὲ λέγοντες ἀπὸ κεραιῶν τινων τὰς προσῳδίας γίνεσθαι, αἵτινες ἐκ στοιχείων τινῶν τομῆς προβαίνουσιν, οὐκ ἰσχυρῶς λέγουσι· τούτῳ γὰρ τῷ τρόπῳ πάντα τὰ στοιχεῖα ὤφειλον τμηθῆναι καὶ προσῳδίας ποιεῖσθαι, καὶ οὐχὶ μόνον τὸ Λ καὶ τὸ Η καὶ τὸ Ο καὶ τὸ σ̄. Φασὶν ⟨γὰρ⟩ ὅτι τὸ Λ κοπτόμενον ποιεῖ ὀξεῖαν καὶ βαρεῖαν, τὸ δὲ Η δασεῖαν καὶ ψιλήν, τὸ ⟨δὲ⟩ σ̄ μακρὰν καὶ βραχεῖαν, τὸ δὲ Ο τετραχῆ κοπτόμενον τὴν περισπωμένην, τὴν ἀπόστροφον, τὴν ὑφὲν καὶ τὴν ὑποδιαστολὴν ποιεῖ. Τοιαῦτά φημι οὕτω περιττὰ καὶ ἀμέθοδα ταῦτ' ἄρα, καὶ οὐ προσεκτέον αὐτοῖς.

Εἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι; Εἰς τέσσαρα. Καὶ διὰ τί εἰς τέσσαρα, καὶ οὐκ εἰς πλείονα ἢ ἐλάσσονα; Ὅτι, φημί, ὁ σχηματισμὸς τῶν τεσσάρων στοιχείων, τοῦ ᾱ β̄ γ̄ δ̄, ἀριθμούμενος τὸν δέκα ἀποτελεῖ· ὅτι γοῦν τέσσαρα τὰ γράμματα καὶ ὅτι ἀριθμούμενα τὸν δέκα ἀριθμὸν ἀποτελοῦσιν, εἰκότως ὁ δέκα εἰς τέσσαρα διῄρηται, καὶ οὐκ εἰς ἐλάσσονα ἢ πλείονα.

⟨Τόνοι μὲν οὖν εἰσι τρεῖς.⟩] Οὕτω δὲ καλοῦνται παρὰ τὸ πρὸς αὐτοὺς τείνεσθαι τὰς φωνάς· ἡ τάσις δὲ ἢ πρὸς τὸ ὀξύ ἐστιν ἢ πρὸς τὸ βαρὺ ἢ πρὸς περί- 713b
κλασιν. ⟨Οἱ δὲ χρόνοι οὕτω λέγονται⟩ τοῦ χρόνου τοῦ καθ' ἡμᾶς λαχόντες τὸ ὄνομα· ὥσπερ γὰρ ὁ χρόνος τῷ μὲν τῶν ἀνθρώπων ⟨ἐκ⟩τείνεται, τῷ δὲ συστέλλεται, οὕτω δὲ καὶ αἱ προσῳδίαι αὗται ἐπὶ τοῖς ⟨δι⟩χρόνοις ποιοῦσιν· ὅτε γὰρ τὰ δίχρονα ἐκτείνονται, ἡ μακρὰ τούτοις ἐπιτίθεται, ὅτε δὲ συστέλλονται, ἡ βραχεῖα.

Ἐπειδὴ τῇ φωνῇ πνεῦμα ἐξέρχεται ἑπόμενον τοῖς φωνήεσιν, ὅτε ἀπὸ φωνήεντος ἡ φωνὴ ἄρχεται, ἢ δασύνεται ἢ ψιλοῦται· καὶ ἐπεὶ τὸ πνεῦμα ἢ ἀπὸ τοῦ θώρακος ἐξέρχεται ἢ ἐξ ἄκρων τῶν χειλέων, δύο τὰ πνεύματά εἰσι, τὸ μὲν ἐκ τοῦ θώρακος ἐξερχόμενον δασύ, τὸ δὲ ἐκ τῶν χειλέων ψιλόν. Ἔλαβε δὲ ταῦτα τὰ ὀνόματα ἐκ μεταφορᾶς τῶν ἀνεμιαίων πνευμάτων, ἃ πνέοντα ἐν τοῖς ὄρεσι δάσει μὲν ὕλης προσκρούοντα μέγαν ἦχον ἀποτελοῦσιν, ὑποψιθυρίζουσι δὲ ἐν τοῖς ψιλοτέροις ὄρεσιν ἤγουν ἀδένδροις ἢ ὀλιγοδένδροις.

---

15 τόπῳ b, τύπω C, τόπω *et in marg.* τύ h ‖ **17** τούτῳ hb, τοῦτο C ‖ **19** Η b, π̄ C | σ̄] ε̄ Cb; *item v. 20* ‖ **22** φημι h *probante Uhligio,* φησιν b, C *habet id compendium, quod pro prima et tertia persona accipi licet* | *in summo marg. folii 25*[v] C[2] *add*: ὁ δὲ Πυθαγόρας ἔλεγεν ἀπὸ τῆς γεωμετρικῆς γραμμῆς μετασχηματιζομένης τοιῶσδε ἢ τοιῶσδε γίνεσθαι τὰς προσῳδίας, ◡ _ \ / Λ C Ɔ ‖ **24** αἱ δέκα προσῳδίαι b, τὰ δ̄ στοιχεῖα C ‖ **25** φημί *Uhlig,* φησίν hb, *idem compendium quod v. 22* C ‖ **27** δέκα ἀριθμὸν] δέκατον Cb, δέκα τόνον h | εἰκότως] οἱ (οἱ b) κεθότα Chb ‖ **29** αὐτὰς Cb ‖ **31** τοῦ κ. h, τῆς κ. Cb ‖ **33** διχρόνοις b, χρόνοις C ‖ **34** συστέλλεται C ‖ **35** ὅτε b, ἅτε C ‖ **39** τοῖς C, *om* b

Πάθη δὲ λέγονται παρ' ὅϲον ἐν ταῖϲ παθαινούϲαιϲ τῶν λέξεων τίθενται, ἡ μὲν ἀπόϲτροφοϲ ἐπ' ἐκθλίψει φωνήεντοϲ, ἡ ⟨δὲ⟩ ὑφὲν ἐπὶ ϲυνθέϲει δύο λέξεων μίαν ἀποτελουϲῶν, ἡ ⟨δὲ⟩ ὑποδιαϲτολὴ ἐπὶ διαιρέϲει καὶ τομῇ τοῦ λόγου.

Ϲημείωϲαι ἐπὶ τῶν πνευμάτων, τῆϲ δαϲείαϲ καὶ τῆϲ ψιλῆϲ, ὅτι οἱ μουϲικοὶ ταῦτα ἐφεῦρον, καὶ πρὸϲ τὰϲ ἐκφωνήϲειϲ ἐτίθεϲαν τοῖϲ φωνήεϲιν· καὶ εἰ μὲν ἡ φωνὴ εἴη τραχεῖα καὶ ὥϲπερ ἐκ τοῦ θώρακοϲ ἐξερχομένη, ἐὰν ἀπὸ φωνήεντοϲ ἤρχετο, ἐδάϲυνον· εἰ δὲ λιγυρά τιϲ καὶ χαλαρὰ καὶ ὑφειμένη, ψιλὴν ἐτίθεϲαν ἐπὶ τὸ φωνῆεν. Ἐπειδὴ δὲ ὕϲτερον οἱ λόγοι τῶν μουϲικῶν ἦϲαν δυϲκατάληπτοι, ἐξ ἐμπειρίαϲ καὶ οὗτοι τεχνωθέντεϲ ἡμῖν παρεδόθηϲαν, ⟨καὶ⟩ κατὰ τὴν παρατήρηϲιν καὶ παράδοϲιν τῶν πρὸ ἡμῶν καὶ τοὺϲ ἐκείνων κανόναϲ τὰ πνεύματα ⟨ἐπι⟩τιθέαμεν τοῖϲ φωνήεϲιν.

⟨Ἡ ὀξεῖα τόπουϲ ἔχει τρεῖϲ⟩.] Καὶ διὰ τί τρεῖϲ; Ὅτι οὐκ ἐγχωρεῖ πλείουϲ, 714b παρὰ τὸ μὴ εἶναι τάϲιν πρὸ τριῶν ϲυλλαβῶν. Ὀξύτονον ὄνομα καλεῖται τὸ ἐπὶ τέλουϲ ἔχον τὴν ὀξεῖαν, παροξύτονον τὸ πρὸ μιᾶϲ ϲυλλαβῆϲ τοῦ τέλουϲ ἔχον τὴν ὀξεῖαν, προπαροξύτονον, ὃ καὶ βαρύτονον, τὸ πρὸ δύο ϲυλλαβῶν τοῦ τέλουϲ ἔχον τὴν ὀξεῖαν· βαρύτονον δὲ λέγεται διὰ τὸ πᾶϲαν λέξιν μὴ ἔχουϲαν ἐπὶ τέλουϲ τὸν τόνον βαρύνειν τοὺϲ παλαιούϲ, ἤγουν τιθέναι βαρεῖαν ἐπὶ τέλουϲ, ὡϲ ἂν ἐγκλινομένου μέρουϲ λόγου τῷ λόγῳ προϲτιθεμένου ἡ βαρεῖα εἰϲ ὀξεῖαν ἀνίϲταιτο. Καλεῖται δὲ οὕτω παρὰ ⟨τὸ⟩ τὴν ϲυλλαβὴν τὴν μέϲην τῆϲ ὀξείαϲ καὶ τῆϲ βαρείαϲ μηδένα τόνον ἐπιδέχεϲθαι, οἷον Νικόλαοϲ, ἰδοὺ γὰρ εἰϲ τὸ κο μὲν ὀξεῖα, εἰϲ τὸ οϲ δὲ βαρεῖα, ἡ δὲ μέϲη ϲυλλαβὴ ἡ λα τόνον οὐκ ἐπιδέχεται, ὥϲπερ καὶ ἡ ὄπιϲθεν, ἡ νι.

⟨Ἡ περιϲπωμένη τόπουϲ ἔχει δύο.⟩] Διὰ τί δύο; Ὅτι πρὸ δύο ϲυλλαβῶν περιϲπωμένη οὐ τίθεται. Ἰϲτέον δὲ καθόλου ὅτι ἡ περιϲπωμένη ἐν λέξει ϲυναιρεθείϲῃ τίθεται· ἰδοὺ γὰρ τὸ κῆποϲ οὐκ ἀπὸ τοῦ κάποϲ, ὥϲ τινεϲ λέγουϲιν, ἀλλ' ἀπὸ τοῦ χέειν, ἤτοι διαχεῖν καὶ ἡδονὴν ἐμποιεῖν, χέεποϲ, καὶ ϲυναιρέϲει τῶν δύο εε καὶ τροπῇ τοῦ δαϲέοϲ εἰϲ τὸ ἀντιϲτοιχοῦν αὐτῷ ψιλὸν κῆποϲ· ὡϲαύτωϲ καὶ τὸ δῆμοϲ ἀπὸ τοῦ δέω (τὸ δεϲμεύω) δέεμοϲ καὶ δῆμοϲ, καὶ δεῖμοϲ (ὁ φόβοϲ) ἀπὸ τοῦ δέω (τὸ φοβοῦμαι), δέϊμοϲ καὶ δεῖμοϲ· ὥϲπερ καὶ τὸ Δημᾶϲ κύριον ἀπὸ τοῦ Δημέαϲ, Νομᾶϲ ⟨ἀπὸ τοῦ Νομέαϲ⟩ καὶ τὰ ὅμοια.

⟨Ἡ γὰρ βαρεῖα ϲυλλαβικὸϲ τόνοϲ ἐϲτίν.⟩] Ἐν τῇ [τελευταίᾳ] ϲυλλαβῇ τῇ μὴ ἐχούϲῃ τὸν κύριον τόνον τὸ παλαιὸν [ἐπὶ τέλουϲ] ἐτίθετο· νῦν δὲ ⟨ἐπὶ τέλουϲ⟩ εἰϲ τὸν τόπον τῆϲ ὀξείαϲ ἐν τῇ ϲυνεπείᾳ τίθεται· εἰ μὲν γὰρ εἴποιϲ «εἴρηται λόγοϲ ϲοφόϲ», ὀξεῖαν εἰϲ τὸ φοϲ θήϲειϲ, εἰ δ' ἀναϲτρέψαϲ εἴποιϲ «ϲοφὸϲ εἴρηται λόγοϲ», βαρεῖαν εἰϲ τὸ φοϲ θήϲειϲ. Ἔδοξε δὲ οὕτω τοῖϲ νεωτέροιϲ τῶν γραμματικῶν, ὥϲτε μήτε τὰ βιβλία καταχαράϲϲεϲθαι ταῖϲ καθ' ἑκάϲτην ϲυλλαβὴν βαρείαιϲ, 715b μήτε τὴν βαρεῖαν παντελῶϲ τοῦ τυποῦϲθαι ἀποπεϲεῖν παρὰ τὸ μηδ' ὅλωϲ ὁπουδήποτε τίθεϲθαι.

Περὶ δὲ τῆϲ μακρᾶϲ καὶ τῆϲ βραχείαϲ οὐκ ἔϲτι νῦν πολλὴ χρεία.] Ἡ μακρὰ καὶ ἡ βραχεῖα τίθεται ἐν τοῖϲ ἀμφιβόλοιϲ ἤγουν διχρόνοιϲ· οὔτε γὰρ ἐν τοῖϲ μακροῖϲ ϲτοιχείοιϲ, τῷ η καὶ τῷ ω, ἡ μακρὰ τίθεται, οὔτε ἐν τοῖϲ βραχέϲι, τῷ ε καὶ τῷ ο, ἡ βραχεῖα· δῆλα γὰρ τὰ μακρὰ καὶ τὰ βραχέα αὐτόθεν εἰϲίν. Λοιπὸν ἐν τοῖϲ διχρόνοιϲ τίθενται, ἡ μακρὰ μὲν ἐν τοῖϲ ἀμφιβόλοιϲ ὡϲ μακροῖϲ, ἡ βραχεῖα δὲ ἐν τοῖϲ ὁμοίοιϲ ὡϲ βραχέϲι. Νῦν δὲ καὶ τοῦ ἐν τοῖϲ διχρόνοιϲ τιθέναι ταύταϲ ἀμελοῦϲι πάντεϲ ϲχεδόν· διὰ τοῦτο εἶπεν «οὐκ ἔϲτι νῦν πολλὴ χρεία».

---

1 ἐν ταῖϲ παθαιν. b, ἐνιαῖϲ παθανούϲαιϲ C ‖ **7** ἐδάϲυνεν C, ἐδάϲυναν hb | καὶ χαλ. b, ἢ χαλ. C | ἐπὶ] περὶ Cb ‖ **9** καὶ *ante* κατὰ *add* b ‖ **12** Ἡ ὀξ. — τρεῖϲ *add Uhlig* ‖ **15** ὃ] τὸ Cb | τὸ καὶ πρὸ C ‖ **16** τὸν τόνον C, τὴν ὀξεῖαν b ‖ **19** τὸ *add* b ‖ **20** τόνον] τόπον C, τύπον hb ‖ **22** Ἡ — δύο *add Uhlig* ‖ **25** χέειν] τειχέειν Cb ‖ **32** εἴποιϲ hb, εἴπηϲ C; *item v. 33* ‖ **36** τὴν] μὴν Cb | παρὰ b, περὶ C ‖ **39** γὰρ b, τὰ C ‖ **43** ὁμοίοιϲ ὡϲ] ὁμοίωϲ Cb

⟨Ἡ δὲ δαϲεῖα τίθεται εἰϲ γράμμα φωνῆεν δαϲυνόμενον καὶ ἑξῆϲ.⟩ Τὸ παλαιόν, ὡϲ καὶ ἄνωθεν εἴπομεν, κατὰ λόγουϲ μουϲικοὺϲ καὶ ἡ δαϲεῖα καὶ ἡ ψιλὴ τοῖϲ φωνήεϲιν ἐπετίθεντο· ἐπεὶ δὲ ἡ μουϲικὴ ὀλίγοιϲ ἔμελε, τινὲϲ τῶν γραμματικῶν ἐξ ἐμπειρίαϲ κανόναϲ ἐποιήϲαντο, κατὰ τὰϲ εὑρημέναϲ παραδόϲειϲ λέξιν ἑκάϲτην μεταχειριϲάμενοι καὶ τὰ ἐν ταῖϲ λέξεϲι φωνήεντα ἀκριβωϲάμενοι, πότε καὶ ὁπόϲα δαϲύνονται, καὶ ⟨πότε καὶ⟩ ὁπόϲα ψιλοῦνται. Καὶ ἔϲτι τεχνολόγημα περὶ τούτων, πότε τὸ ᾱ πρὸ τοῦ β̄ καὶ πρὸ τοῦ γ̄ καὶ τῶν λοιπῶν ϲτοιχείων δαϲύνεται ἢ ψιλοῦται, ὁμοίωϲ καὶ τὸ ε̄ καὶ τὰ λοιπὰ φωνήεντα πρὸ τῶν αὐτῶν ϲτοιχείων πότε δαϲύνονται καὶ πότε ψιλοῦνται. Διὰ τοῦτο νῦν ϲτενῶϲ εἶπεν «ἡ δὲ δαϲεῖα τίθεται εἰϲ γράμμα φωνῆεν δαϲυνόμενον, καὶ ἡ ψιλὴ εἰϲ γράμμα φωνῆεν ψιλούμενον».

Ἡμέρα· διὰ τί δαϲύνεται; Τὸ η̄ πρὸ τοῦ μ̄, εἰ μὴ ἐκ κλίϲεωϲ εἴη, ἢ ἰωνικῶϲ κατὰ τὴν προϲθήκην τεθείη, ἢ ἑτέρῳ κανόνι κωλύεται, δαϲύνεται, οἷον ἡμέρα ἥμεροϲ ἡμερίϲ (ἡ ἄμπελοϲ) ἡμῖν ἡμᾶϲ καὶ τὰ ὅμοια. «Εἰ μὴ ἐκ κλίϲεωϲ εἴη» εἶπε διὰ τὸ ἤμελλον, ὅπερ τοῦ ε̄ τὴν ψιλὴν ἔχει, ἤμβροτεϲ ἤμυνε καὶ τὰ ὅμοια· τὰ τοιαῦτα γὰρ τῶν ἐνεϲτώτων τὰ πνεύματα ἔχει· «ἢ ἰωνικῶϲ κατὰ προϲθήκην τεθείη» εἶπε διὰ τὸ 716b μύω ἠμύω (τὸ ἐπικλίνω), ὅπερ ψιλοῦται, ὡϲ δῆλον ἀπὸ τῆϲ χρήϲεωϲ ⟨Β 148⟩ ἐπί τ' ἠμύει ἀϲταχύεϲϲιν· «ἢ ἑτέρῳ κανόνι κωλύεται» εἶπε διὰ τὸ ἦμοϲ καὶ ἦμαρ· ἐν τούτοιϲ γὰρ κανών ἐϲτιν ὁ λέγων· τὸ η̄ ἐν τροχαϊκῇ λέξει ψιλοῦται, ἦμαρ ἦμοϲ ἦπαρ ἦδοϲ, πλὴν τοῦ ἧλοϲ· ὤφειλε γὰρ τριϲ⟨υλλ⟩άβωϲ λέγεϲθαι ἴηλοϲ· καὶ διὰ τὸ ἦμην Αἰολικόν· κανὼν γάρ ἐϲτιν ὁ λέγων, ὅτι οἱ Αἰολεῖϲ ἐν ταῖϲ ἰδίαιϲ λέξεϲι τὴν δαϲεῖαν ὅλωϲ ἀγνοοῦϲιν.

⟨Ὥρα·⟩ εἰϲ τὸ ω̄ δαϲεῖαν· διὰ τί; Τὸ ω̄ πρὸ τοῦ ρ̄ ἐπιφερομένηϲ μακρᾶϲ δαϲύνεται, ὥρα ὡραῖοϲ, εἰ μὴ ἐκ κλίϲεωϲ εἴη, ἧϲ τὸ φωνῆεν ἐν τῷ ἐνεϲτῶτι ψιλοῦται, οἷον ὀρειβατῶ ὠρειβάτουν.

Ἀϲεβήϲ· εἰϲ τὸ ᾱ ψιλήν· διὰ τί; Τὸ ϲτερητικὸν ᾱ ψιλοῦται καθόλου, τὸ δὲ ἀθροιϲτικὸν δαϲύνεται· ὅθεν καὶ τὸ ἅλυϲιϲ καὶ τὸ Ἅιδηϲ δαϲύνονται· οὐ γὰρ ϲτερητικά εἰϲιν, ἀλλ' ἀθροιϲτικά· τὸ γὰρ ἅλυϲιϲ πολύλυϲίϲ ἐϲτι, καὶ τὸ Ἅιδηϲ ὁ ὁμοῦ δεϲμῶν καὶ ϲυνέχων πάνταϲ. Τινὲϲ δὲ ἐπὶ τοῦ Ἅιδηϲ τοιοῦτον ἀποδιδόαϲι λόγον, οὕτω λέγοντεϲ ὅτι, ἐὰν ἡ δαϲεῖα ἐκ τοῦ θώρακοϲ ἐξέρχηται, εἰκότωϲ δαϲύνεται· τί γὰρ Ἅιδου θωρακωδέϲτερον;

Ὄνομα· ⟨εἰϲ⟩ τὸ ο̄ ψιλήν· διὰ τί; Τὸ ο̄ πρὸ τοῦ ν̄ ψιλοῦται, ὄνυξ ὄναρ ὄνομα· ἄλλωϲ ⟨τε⟩ πᾶν φωνῆεν ταῖϲ λέξεϲιν ἔξωθεν προϲτιθέμενον ψιλοῦται, νόμα ὄνομα, δύνη ὀδύνη, ϲτάχυϲ ἄϲταχυϲ· τὸ ὁπότε καὶ ὁπηνίκα οὐ λυμαίνονται τῷ κανόνι· ἄλλη ⟨γὰρ⟩ ϲημαϲία τοῦ πότε καὶ ἄλλη τοῦ ὁπότε· τὸ μὲν γὰρ πότε ἐπὶ ἀπορίαϲ λαμβάνεται, οἷον «πότε γέγονε τόδε»; «πότε γενήϲεται»; τὸ δὲ ὁπότε ἐπὶ ἐγνωϲμένων πραγμάτων, οἷον «ὁπότε ἐγένετο τόδε», «ὁπότε γενήϲεται»· ὁμοίωϲ καὶ τὸ πηνίκα ἐπὶ ἀπορίαϲ, «πηνίκα πέπρακται τόδε»; «πηνίκα πραχθήϲεται»; τὸ δὲ ὁπηνίκα ἐπὶ τῶν δήλων, «ὁπηνίκα πέπρακται τόδε», ἀντὶ ⟨τοῦ⟩ τότε· ὁμοίωϲ καὶ 717b τὸ ὁποῖοϲ ὁπόϲοϲ ὁπηλίκοϲ τοῦ ποῖοϲ πόϲοϲ πηλίκοϲ διαφέρουϲιν. Διὰ τοῦτο τὰ μὲν λέγονται [ἐπιρρήματα] ἀναφορικά· ἀναφέρουϲι γὰρ πρὸϲ τὰ ἐγνωϲμένα· εἰ γάρ τιϲ ἀπορῶν ἔροιτο «πόϲον ἂν ϲυνάξωμεν ϲῖτον ἐκ τῆϲ ἀρούρηϲ»; «ὁπόϲον», εἴποι τιϲ, «κατὰ τὸν παρῳχημένον καιρὸν ϲυνηγάγομεν»· καὶ «ποῖον τὴν ποιότητα»; «ὁποῖον καὶ τότε»· τὰ δὲ ἐπαπορη⟨τι⟩κά, ποῖοϲ πόϲοϲ πηλίκοϲ. Ἀμφότερα γάρ, καὶ τὸ πόϲοϲ καὶ τὸ ὁπόϲοϲ, ἀρχαί εἰϲιν, ἡ μὲν δηλοῦϲα ἀπορίαν, ἡ δὲ γνῶϲιν, ὥϲτε οὐκ ἔξωθεν τὸ ο̄ ἐπέρχεται, ἀλλὰ κυρίωϲ λέγεται, ἐπεὶ ϲημαϲίαν ἔχει ἰδίαν.

---

2 ἄνωθεν] *vide p. 153, 4* ‖ **3** ἔμελλεν C ‖ **11** ἐκ κλίϲεωϲ b, ἐγκλίϲεωϲ C; *item v. 13* ‖ **19** τριϲυλλάβωϲ b ‖ **20** ἦμην (*vel* ἡμί) *Giese, de dial. Aeol. 341 (cfr R Meister, 1, 101 adn. 1),* ἧμιν Cb ‖ **22** Ὥρα *add* b ‖ **23** ἐκ κλίϲεωϲ b, ἐγκλίϲωϲ C ‖ **29** ἐξέρχεται C ‖ **31** εἰϲ *add* b ‖ **32** τε *add* b ‖ **37** καὶ τὸ ὀπηνίκα C ‖ **38** τοῦ *add* b ‖ **39** τοῦ ποῖοϲ τοῦ πόϲοϲ C ‖ **41** εἴπη C ‖ **43** ἐπαπορηκὰ C, ἀπορητικὰ b

⟨Ἡ δὲ ἀπόστροφος τίθεται,⟩ ὅταν διὰ τὴν καλλιφωνίαν κουφίζηται, δύο φωνηέντων συμπεσόντων ⟨ἐν⟩ συνθέτῳ λέξει, τὸ ἓν φωνῆεν, ὡς ἐντεῦθεν εἴη δῆλον, ὅτι τὸ φωνῆεν ἐξεβλήθη καὶ ἀπεστράφη διὰ τὴν τῆς φωνῆς ὡραιότητα· χάσκει γὰρ ὁ λόγος ἐν ταῖς τῶν φωνηέντων συγκρούσεσι, καὶ δοκεῖ ἀηδής τις καὶ ἀκαλλώπιστος.

Τὰ πνεύματα, φασί, διὰ τρόπον ἐπενοήθησαν ἐπιτίθεσθαι ταῖς ἀπὸ φωνήεντος ἀρχομέναις λέξεσιν, ὃν εἰπεῖν μέλλομεν. Ἑπτά φασιν εἶναι φωνήεντα κατὰ μίμησιν τῶν ἑπτὰ πλανητῶν, τῶν ἀστέρων τοῦ οὐρανοῦ, ὧν τὰ ὀνόματα Ζεύς, Ἄρης, Ἥλιος, Ἑρμῆς, Σελήνη, Ἀφροδίτη καὶ [ὁ] Κρόνος· οὗτοι γὰρ μόνοι τῶν ἀστέρων κινοῦνται, καὶ τὰ δώδεκα περιέρχονται ζῴδια, καὶ ⟨διὰ⟩ ταῦτα ἄλλοτε ἄλλους οἴκους ἔχουσιν. Ὅτε μὲν οὖν οἱ ἀστέρες οὗτοι ἔξω τῶν οἴκων θέοντες προσβάλλουσι ταῖς ἡμετέραις ὄψεσι, κόμην τινὰ δοκοῦσιν ἔχειν· ἐν τοῖς οἴκοις δὲ εἰσελθόντες χωρὶς τῆς κόμης ὁρῶνται. Ἐπεὶ οὖν καὶ τὰ φωνήεντα ἐντεῦθεν ἐμεθοδεύθησαν, ὅτε μέν εἰσιν ἔξω τῶν οἴκων αὐτῶν, ἤτοι τῶν συμφώνων, ἐν ταῖς λέξεσι γενόμενα, τὰ σημεῖα ταῦτα τὰ καλού- 718b μενα πνεύματα, τὴν δασεῖαν καὶ τὴν ψιλήν, ὡς κόμην ἐπιφέρονται· ὅτε δὲ ὑπὸ συμφώνων γένωνται, ταῦτα οὐκ ἔχουσιν, ὡς δῆλον ἐκ τοῦ ἔτι οὐκέτι· καὶ οὕτως ἔοικεν ὅτι ἔγραφον οἱ ἀρχαῖοι καὶ τὰς ἄλλας τῶν λέξεων, αἷς συνέβαινεν ἐν ταῖς συνθήκαις τοῖς φωνήεσιν ἐπέρχεσθαι σύμφωνα. Τοῦ λόγου δὲ ἀγνοηθέντος, οὐκ ἐπὶ πᾶσι τὰ νῦν οὕτως, ἀλλ' ἔν τισι γίνεται· καὶ τὸ οὐκέτι μὲν καὶ τὸ οὐκοῦν καὶ τὸ οὐχήκιστα καὶ [τὰ] πολλὰ τοιαῦτα χωρὶς πνευμάτων εὑρήσεις· τὸ δὲ οὐκ ἔστιν, οὐκ ἄξιος, οὐκ ἐγώ καὶ ἁπλῶς τὰ πλείονα μετὰ τῶν οἰκείων πνευμάτων γράφονται· καὶ τῇ μακρᾷ συνηθείᾳ οὐ δυνάμεθα ἀντιτάξασθαι· ὀφθαλμοῖς γὰρ καὶ πράξει [μᾶλλον] πεφύκασι συντίθεσθαι ἄνθρωποι μᾶλλον ἢ λόγῳ καὶ ἀκοῇ.

Εἴποι δ' ἄν τις· «οὐχ ἡ ψιλή ἐστιν αὕτη, ἀλλ' ἡ ἀπόστροφος ἡ ἀντὶ τοῦ ⟨ῑ⟩· οὐκιάξιος γὰρ ὤφειλεν, οὐκιεγώ, οὐκιέστιν· ἐπεὶ δὲ κουφίζεται τὸ ῑ, ἀντ' αὐτοῦ τίθεται ἡ ἀπόστροφος». Ἀκούσει δὲ ὅτι τὰς τῶν διαλέκτων φωνάς, ὅσας οἱ Ἕλληνες οὐχ ὡς ⟨κοινάς, ἀλλ' ὡς⟩ ἰδίας ἐδέξαντο, οὐδὲ τῷ κανονίῳ ὑπέθεσαν· ἡ οὐκί δὲ λέξις Ἰωνική ἐστιν, ὅθεν οὐδὲ φροντιστέον ἐν ταῖς συνθέσεσιν αὐτῆς, ἀλλὰ τὸ κ̄ ἐνταῦθα προσληπτέον ὡς ἐφελκυστικόν· δύο γὰρ τῶν συμφώνων ἐφελκυστικά, τὸ ν̄ καὶ τὸ κ̄. Εὔδηλον οὖν ὅτι ἐφελκυστικοῦ προστιθεμένου τὸ πνεῦμα ἀποβάλλεται, ὅτι καὶ πᾶν φωνῆεν σύμφωνον προσλαβὸν τὸ ἑαυτοῦ πνεῦμα ἀποβάλλει, οἷον ἦμος τῆμος· ἀάξιος οὖν, καὶ μετὰ τοῦ ἐφελκυστικοῦ ⟨ν̄⟩ ἀνάξιος· ὁμοίως καὶ τὸ οὐκ ἄξιος, ἐπειδὴ ἐφελκυστικὸν τὸ κ̄, τὴν ψιλὴν οὐκ ὤφειλεν ἔχειν· οὔτε δὲ τὴν τοῦ κῑ ἀπόστροφον ὤφειλεν ἔχειν, ἐπεί, ὡς εἴπομεν, ἡ οὐκί λέξις Ἰωνική ἐστιν, οὐ κοινή, ὥστε τῇ συνηθείᾳ ἑπόμενοι τὸ οὐκ ἐγώ καὶ τὰ τοιαῦτα ψιλοῦμεν. Ἐν δὲ τῷ παρ' αὐτά καὶ κατ' αὐτά μόνη ὤφειλεν ἀπόστροφος τίθεσθαι· ἡ γὰρ πάρ πρόθεσις καὶ ἡ κάτ μονοσύλλαβοι καὶ ἡ ἄν, καὶ ἁπλῶς πᾶσαι μονοσυλλάβως λεγόμεναι χωρὶς τῆς περί, ἀεὶ ταύτης γε 719b δισυλλάβως λεγομένης, ἵνα μὴ συνεμπέσῃ τῷ πέρ συνδέσμῳ, Ἰωνικαί εἰσι, κοιναὶ δὲ γεγόνασι ταῖς προσθήκαις τῶν φωνηέντων· οἱ Ἴωνες γὰρ πάρθεσαν καὶ κάτθεσαν καὶ ἄνθεσαν λέγουσιν, ἡμεῖς δὲ παρέθεσαν καὶ κατέθεσαν καὶ ἀνέθεσαν. Διὸ ἐν τῷ παρ' αὐτά καὶ κατ' αὐτά καὶ τοῖς ὁμοίοις ἀπόστροφος μόνη τίθεσθαι ὤφειλε διὰ τὴν τοῦ φωνήεντος ἔκθλιψιν· τὸ γὰρ πνεῦμα ἀπώλετο τῇ τοῦ συμφώνου πρὸς τὸ φωνῆεν συνθέσει, παρὰ τὸν λόγον, ὅτι τὰ φωνήεντα ἀναλογεῖ τοῖς πλανήταις, τὰ δὲ σύμφωνα τοῖς οἴκοις· ἀλλ' ἡ συνήθεια οὐδὲ τοῦτο ἐφύλαξεν.

⟨Ἡ δὲ ὑφὲν τίθεται, ὅταν δύο λέξεις ἐν τῷ ἅμα ὀφείλωσι λέγεσθαι,⟩ τῆς βραχείας ἔχουσα τὸ σχῆμα ⟨καὶ⟩ κατὰ τοῦτο μόνον διαφέρουσα, καθότι

---

1 *nulla lac.* C, *lac. ind.* b ‖ 3 χάσκει b, πάσχει C ‖ 5 φασί] φησὶ Cb, φημὶ *Uhlig; item v. 6* ‖ 6 ὃν *Uhlig,* ὧν Cb ‖ 13 γενόμενα] λεγόμενα Cb ‖ 23 ῑ *add* b ‖ 24 οὐκ ἄξιος — οὐκ ἐγώ οὐκ ἔστιν C, οὐκὶ ἄξιος — οὐκὶ ἐγώ, οὐκὶ ἔστιν b ‖ 34 παρ' αὐτά καὶ κατ' αὐτά b, παρ' αὐτῷ καὶ κατ' αὐτῷ C; *item v. 40* ‖ 35 μονοσύλλαβοι b, αἱ μονοσύλλαβαι C ‖ 36 ἀεὶ ταύτης γε *Uhlig,* καὶ αὐτῆς δὲ Cb | 42 παρὰ b, περὶ C ‖ 44 *nulla lac.* C, *lac. ind.* b

ἐκείνη μὲν ἄνωθεν τῆς λέξεως τίθεται, αὕτη δὲ κάτωθεν· ὑφὲν δὲ λεγομένη, ὅτι ἑνοῖ τὰς λέξεις τὰς καθ' ἑαυτὰς σημαινούσας ἄλλο, οἷον εὔνους· καθ' αὑτὸ γὰρ σημαίνει τὸ εὖ τὸ καλῶς καὶ ὁ νοῦς τὸ λογιστικόν, ἡ δὲ σύνθεσις ἄλλην ἔχει σημασίαν· εὔνους γάρ ἐστιν ὁ πρός τινα φιλικῶς διακείμενος καὶ τοῦ νοὸς ἔχων εὖ καὶ καλῶς πρὸς ἐκεῖνον. Ἰστέον δὲ ὅτι αἱ ἁπλαῖ τῶν λέξεων καθολικωτέρας ἔχουσι τὰς σημασίας, ἁπλῶς λεγόμεναι παρὰ συντιθέμεναι· ἰδοὺ γὰρ τὸ εὖ τὸ καθόλου καλὸν σημαίνει, καὶ τὸ νοῦς τὸν καθόλου νοῦν· ὁμοῦ δὲ συντεθεῖσαι αἱ δύο αὗται λέξεις τὸ φίλον σημαίνουσιν, ὅπερ ἐστὶν ὄνομα μερικώτατον.

⟨Ἡ δὲ ὑποδιαστολὴ τίθεται, ὅταν διαστεῖλαι καὶ διαχωρίσαι ὀφείλωμέν τινα λέξιν.⟩] Διαστολὴ γὰρ λέγεται ἡ διαίρεσις τῶν λέξεων· διαστέλλειν γὰρ λέγεται τὸ διαχωρίζειν. Ὑποδιαστολὴ δέ ἐστιν ἡ προσῳδία ἡ τιθεμένη ὑπὸ τὴν διαστολήν, οἷον ΕϹΤΙΝ,ΑΞΙΟϹ, ἵνα μὴ ⟨ὁ⟩ συνημμένως ἀναγνοὺς ἀμφιβολίαν τῷ ἀκούοντι ἐμποιήσῃ, τοῦ ν̄ πῇ μὲν δοκοῦντος τέλος εἶναι τοῦ ἔστιν, πῇ δὲ ὑπολαμβανομένου ἀρχὴ τοῦ Νάξιος. Εἰ δέ τις εἴποι ὅτι ἀρκεῖ τὸ πνεῦμα τοῦ φωνήεντος εἰς διάγνωσιν τοῦ «ἔστιν ἄξιος», ἀκούσεται ὅτι ἀρκεῖ μέν, ἀλλὰ πρὸς τὸν ἀναγινώσκοντα, οὐ μέντοι γε δὴ συμβάλλεται τῷ ἀκούοντι· ὁ γὰρ ἀκούων οὐχ ὁρᾷ τὸ πνεῦμα τοῦ 720b ἄξιος· καὶ λοιπὸν εἰ κατὰ συνάφειαν ἀναγνωσθείη τὸ «ἔστιν ἄξιος», ἐμποδίσει αὐτῷ πνεύματος τὸ ἀμετάβολον· εἰ δὲ μεθ' ὑποδιαστολῆς ἀναγνωσθείη τὸ ἄξιος, δέξεται ἀπαρεμπόδιστόν τε καὶ ἀναμφίβολον.

Περὶ τέχνης.

Ἐπειδήπερ τῷ τεχνικῷ περὶ γραμματικῆς ἡμᾶς πρόκειται διδάξαι, ἡ δὲ γραμματικὴ τέχνη ἐστί, διέξεισι πρῶτον περὶ τέχνης, τί τέ ἐστι τέχνη ὁριζόμενος, καὶ πόσα ταύτης τὰ εἴδη διεξιών. Ἀλλὰ γὰρ πᾶσα ἐπειδὴ τεχνικὴ διδασκαλία ἐξ ὅρου καὶ παρεπομένων θέλει λαμβάνεσθαι, ἔλθωμεν καὶ εἴπωμεν, τί ἐστιν ὅρος· μηδ' ὅλως δὲ μέμψεως ἄξιοι φανησόμεθα, εἰ περὶ τῶν αὐτῶν πάλιν εἴπωμεν, διὸ καὶ τρὶς τὰ καλὰ λέγειν ἐπαινετέον τοῖς γε νοῦν ἔχουσιν.

Ὅρος οὖν ἐστιν ὁ τὸ ὂν τί εἶναι δηλῶν, ἤγουν ὁ πάντα τὰ ὄντα δηλῶν τί ἐστιν· τὸ γὰρ τί εἶναι ἀντὶ τοῦ τί ἐστι παραλαμβάνεται, καὶ ἔστιν Ἀττικὸν τὸ σχῆμα. Ἢ λόγος ἐκ τῶν καθόλου καὶ κοινῶν ⟨καὶ ἰδίου⟩ ἴδιόν τι ἀποτελῶν, οἷον «ἄνθρωπός ἐστι ζῷον λογικὸν ⟨θνητὸν⟩ νοῦ καὶ ἐπιστήμης δεκτικόν»· ἰδού, οὗτος ὁ ὅρος ἐκ τῶν καθόλου καὶ κοινῶν ⟨καὶ ἰδίου⟩ ἴδιόν τι ἀπετέλεσε, τουτέστι τὸν ἄνθρωπον. Καὶ ἐκ μὲν τῶν καθόλου ἐστὶ τὸ ζῷον· τοῦτο γὰρ καθολικόν ἐστι, φέρεται γὰρ κατά τε τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου καὶ τῶν λοιπῶν εἰδῶν· ἐκ δὲ τῶν κοινῶν τὸ λογικὸν καὶ τὸ θνητόν· οὐ μόνον γὰρ οἱ ἄνθρωποί εἰσι λογικοί, ἀλλὰ καὶ οἱ ἄγγελοι καὶ δαίμονες καὶ νύμφαι τινὲς μακραίωνες· αὗται γὰρ ἔτι ζῶσι καὶ εἰσὶ ζῷα λογικὰ ⟨καὶ⟩ θνητά· ἀλλ' οὐκ εἰσὶ καὶ ἐπιστήμης δεκτικαί· οὐ γὰρ μανθάνουσιν, ἀλλ' οἴκοθεν τὴν γνῶσιν ἔχουσι,

7 τὸν καθ. νοῦν b, τοῦ καθ. νοῦ C ‖ 9 *nulla lac.* C ‖ 14 εἴποι b, εἴπῃ C ‖ 17 ἀναγνωστῇ C ‖ 18 πνεύματος b, πρὸς C ‖ 28—157, 14 *cfr p. 107, 1—28* ‖ 28 τί ⟨ἦν⟩ εἶναι *p. 107, 2* ‖ 30 καὶ ἰδίου *add Steinth.*[2] *2, 166* ‖ 38 καὶ *ante* θν. *add* hb ‖ 39 δεκτικά Cb

καὶ φύcει πᾶcαν ἐπιcτήμην κέκτηνται. Τὸ δὲ νοῦ καὶ ἐπιcτήμηc δε- 721b κτικὸν μόνου τοῦ ἀνθρώπου ἐcτὶν ἴδιον, μόνοc γὰρ ὁ ἄνθρωποc πέφυκε νοῦ καὶ ἐπιcτήμηc εἶναι δεκτικόc· καὶ γὰρ μανθάνει τὴν κατ' ἐνέργειαν γνῶcιν. Ὁρίζονται δ' ἄλλοι τὸν ὅρον οὕτωc· «ὅροc ἐcτὶ λόγοc cύντομοc δηλωτικὸc τῆc φύcεωc τοῦ ὑποκειμένου πράγματοc»· καὶ «λόγοc» μὲν πρόcκειται διὰ τὸ ἄνθρωποc· δηλοῖ γὰρ τὴν φύcιν τοῦ ὑποκειμένου πράγματοc· ἐὰν γὰρ εἴπω ἄνθρωποc, ἐδήλωcα τὴν φύcιν τοῦ ὑποκειμένου πράγματοc· ἀλλ' οὐκ ἔcτι λόγοc· «cύντομοc» δὲ πρόcκειται, ἐπειδὴ εἰcὶ λόγοι διηγηματικοί, ἤγουν ἐν πλάτει θεωρούμενοι, ὡc ὁ κατὰ Μειδίου λόγοc Δημοcθένουc· ὁ δὲ ὅροc cύντομοc θέλει εἶναι· πρόcκειται ⟨δὲ⟩ «δηλωτικὸc τῆc φύcεωc τοῦ ὑποκειμένου πράγματοc» διὰ τὰ ἀποφθέγματα, τὸ «μηδὲν ἄγαν», τὸ «γνῶθι cαυτόν»· οὗτοι γὰρ καὶ λόγοι εἰcὶ καὶ cύντομοι, ἀλλ' οὐκ εἰcὶν ὅροι, ἐπειδὴ οὐκ εἰcὶ δηλωτικοὶ τῆc φύcεωc τοῦ ὑποκειμένου πράγματοc. Ταῦτα μὲν ἐν τούτοιc.

Ἰcτέον δὲ ὅτι τὴν τέχνην τινὲc μὲν οὕτωc ὡρίcαντο, «μέθοδοc ἐνεργοῦcα τῷ βίῳ τὸ cυμφέρον»· ὁ δὲ Ἀριcτοτέληc, «ἕξιc ὁδοῦ τοῦ cυμφέροντοc ποιητική»· ἕξιc δέ ἐcτι πρᾶγμα μόνιμον καὶ δυcκατάληπτον. Ὁ δὲ τεχνικὸc οὕτωc· «τέχνη ἐcτὶ cύcτημα ἐκ καταλήψεων ἐγγεγυμνα- 722b cμένων πρόc τι τέλοc εὔχρηcτον τῶν ἐν τῷ βίῳ»· καὶ ἔcτι τὸ μὲν «cύcτημα» ἀντὶ γένουc· καὶ γὰρ ἐπὶ δήμου λαμβάνεται, καὶ cημαίνει τὸ ἄθροιcμα, καὶ ἐπὶ ἄλλων πολλῶν· τὰ δὲ λοιπὰ cυcτατικαὶ διαφοραί· τὸ δὲ «[ἐγ]καταλήψεων» ἀντὶ τοῦ ἐνθυμημάτων καὶ ἐφευρημάτων τέθειται. Ἐπεὶ δὲ καὶ ὁ πεῖραν ἔχων πλῆθοc μὲν ἔχει ἐφευρημάτων, οὐ μὴν ἠκριβωμένων καὶ δεδοκιμαcμένων πολλάκιc, διὰ τοῦτο τέθειται τὸ «ἐγγεγυμναcμένων», ἵνα διαcτέλληται ἡ τέχνη ἀπὸ τῆc πείραc. Τὸ δὲ «πρόc τι τέλοc εὔχρηcτον τῶν ἐν τῷ βίῳ» εἴρηται διὰ τὴν ματαιοτεχνίαν καὶ κακοτεχνίαν, περὶ ὧν ἐν τῇ προθεωρίᾳ εἰρήκαμεν.

Τῆc δὲ καθόλου τέχνηc διαφοραί εἰcι τέccαρεc, θεωρητική, πρακτική, ποιητική, μικτή, ἵνα καὶ πάλιν περὶ αὐτῶν εἴπωμεν. Καὶ θεωρητικαὶ μέν, ὅcαι λόγῳ μόνῳ παραδίδονται, καθάπερ ⟨ἡ⟩ ἀcτρονομία· ὁ γὰρ ἀcτρονόμοc λόγῳ μόνῳ παραδίδωcι τὸν ἥλιον εἶναι cήμερον, εἰ τύχοι, ἐν τῷ ὑδροχόῳ. Πρακτικαὶ δέ, ὅcαι δι' ὀργάνων ἐνεργοῦcιν, ὡc ἡ cτρατηγική· ἐν γὰρ ταῖc παρατάξεcι δέονται κριῶν καὶ ἄλλων τῶν πρὸc τειχομαχίαν πεποιημένων· ἢ ὅcαι μέχρι τοῦ γενέcθαι ὁρῶνται τέχναι, ὡc ἡ αὐλητικὴ καὶ ἡ ὀρχηcτική· ἐφ' ὅcον γὰρ οὗτοι ἐνεργοῦcιν, ὁρῶνται καὶ γνωρίζονται ὄντεc αὐληταὶ καὶ ὀρχηcταί· Ποιητικαὶ δὲ τέχναι λέγονται, ὅcαι ὕλην λαβοῦcαι ἀδιατύπωτον ἐποίηcάν τι εἰc μνήμην

23—158, 14 hab. et. Proll. Voss. *p. 1, 19—2, 14*

6 ἄνθρωποc] ὄνομα Cb ‖ **18** ἐκ καταλ. *Uhlig,* ἐγκαταλ. Cb ‖ **25** διαcτήληται C ‖ **27** εἰρήκαμεν] *vide p. 110, 9—15* ‖ **29** πάλιν] *vide p. 112, 21—32* ‖ **31** εἶναι *add* LN | τύχοι LN, τύχει C ‖ **35** καὶ *add* N ‖ **36** δὲ *add* LN

τοῦ δημιουργήcαντοc, οἷον ⟨ἡ⟩ ἀνδριαντοπλαcτική· χαλκὸν γὰρ καὶ ὕλην λαβοῦcα ἀδιατύπωτον ὁμοίωμά τι ἀπετέλεcε· καὶ ἡ cκυτοτομική· cκῦτοc γὰρ λαβοῦcα ἀδιατύπωτον ἐχάραξε κάττυμα. Αἱ δ' ἐκ τούτων μικταί, αἳ θεωρητικοῦ καὶ πρακτικοῦ καὶ ποιητικοῦ μετέχουcιν, οἷον ἡ ἰατρική· κοινωνεῖ γὰρ τῷ θεωρητικῷ, ὅταν διατάττηται τοῖc νοcοῦcι δίαιτάν τινα· τῷ δὲ πρακτικῷ, ὅταν cμίλην λαβοῦcα διορθῶταί τι τῶν μελῶν τοῦ cώματοc τῶν ἀcθενούντων· πάλιν δὲ τῷ ποιητικῷ, ὅταν τῇ 723b ὕλῃ τῶν βοτανῶν χρηcαμένη ἀποτελέcῃ φάρμακον. Ἧc ἀδελφή ἐcτιν ἡ γραμματική, περὶ ἧc τὰ νῦν πρόκειται λέγειν· καὶ αὐτὴ γὰρ τοῦ μικτοῦ ἐcτιν εἴδουc. Ὅταν ⟨μὲν⟩ γὰρ κανόναc ἀποδιδῷ τοῖc νέοιc, κοινωνεῖ τῷ θεωρητικῷ· ὅταν δὲ κάλαμον λαβοῦcα cτίζῃ καὶ ὀρθῶται τὰc μὴ εὖ ἐχούcαc τῶν λέξεων, τῷ πρακτικῷ· τῷ δὲ ποιητικῷ, ὅταν τὴν ὕλην τῶν διαλελυμένων λέξεων τέχνῃ καὶ μέτρῳ cυναρμόcῃ καὶ τέλειον cτίχον ἀπεργάcηται. Τὰ δὲ παρεπόμενα τῇ καθόλου τέχνῃ ἐν τῇ προθεωρίᾳ εἰρήκαμεν· οὐκοῦν εἴπωμεν περὶ γραμματικῆc, καὶ πρῶτον τὸν βίον τοῦ τεχνικοῦ διεξέλθωμεν.

Ἰcτέον δὲ ὅτι Διονύcιοc ὁ Θρᾷξ ὁ τὴν τέχνην cυγγραψάμενοc τὴν γραμματικὴν τὸ μὲν γένοc ἦν Βυζάντιοc, ἐκαλεῖτο δὲ Θρᾷξ, τῷ μείζονι κοcμούμενοc τῆc χώραc ὀνόματι. Ἐγένετο δὲ ἄγαν cπουδαῖοc καὶ φιλομαθήc, ὥcτε πάνταc ὑπερβάλλεcθαι τοὺc κατ' αὐτόν· cφόδρα δὲ κατορθώcαc τὴν τέχνην τὴν γραμματικήν, οὐ μόνοc ἔχειν ἠθέληcε τῆc γνώcεωc τὴν ἀπόλαυcιν, οὔτε μέχρι τῆc οἰκείαc ψυχῆc ἔcτηcε τὴν ὠφέλειαν, ἀλλὰ φιλάνθρωποc ὢν καὶ ἄφθονοc καθ' ὑπερβολήν, ἐcπούδαcεν εὐεργέτηc γενέcθαι τῶν cπευδόντων, θεμέλιον τοῖc νέοιc εἰcαγωγικὴν cυγγραψάμενοc τέχνην, πᾶcάν τε αὐτὴν δυcκολίαc ἐκτὸc ποιηcάμενοc, ἵνα μὴ τῇ αὐτῆc δυcκολίᾳ φευκτέα νομίζηται, ποθεινὴ δὲ μᾶλλον ὑπάρχῃ τοῖc ἐντυγχάνουcιν. Πεποίηκε δὲ αὐτὴν πολλῇ χρηcάμενοc ἀκολουθίᾳ καὶ τάξει· καὶ πρῶτον μὲν ὁρίζεται, τί ἐcτι γραμματική, ἐπεὶ καὶ περὶ αὐτῆc λέγειν προέθετο· ἔπειτα διεξέρχεται περὶ τῆc ἀναγνώcεωc, καταλαμβάνεται δὲ αὕτη διά τε τῶν τόνων καὶ τῶν cτιγμῶν· πρόειcι δὲ λοιπὸν καὶ ἐπὶ τὰc cυλλαβάc, αἵτινεc καὶ αὐταὶ ἐκ τῶν cτοιχείων cυνίcτανται· εἶτά τε καὶ περὶ αὐτῶν διεξελθών, πόcα τέ ἐcτι καὶ ποcαχῶc διαιρεῖται, μετέρχεται διδαcκαλικῶc καὶ ἐπὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου,

2 ὁμοίωμα — ἀδιατύπ. (3) LN, *om* C ‖ **3** κάττυμα N, κτῆμα V, *om* C ‖ **6** διόρθωταί τι N, διορθοῖτό τι CVb ‖ **8** χρηcαμένη LN, χρηcαμένωc C ‖ **9** αὐτὴ LN, αὕτη C ‖ **10** μὲν *add* b | γὰρ (*post* μὲν) N, *om* CL | ἀποδίδωcι C ‖ **15** εἰρήκ.] *p. 110, 1 seqq* ‖ **18** τὴν γραμμ. *add* LO ‖ **20** φιλομαθήc Cb, πολυμαθήc LO ‖ **21** τὴν γραμματικὴν CLb, τῆc γραμματικῆc O | μόνοc LOb, μόνον C | ἠθέληcε LOb, *om* C ‖ **22** οὔτε CL, οὐδὲ Ob ‖ **24** γεν. τῶν cπευδόντων Cb, τῶν παιδευομένων γενέcθαι LO | *post* θεμέλιον *add* γὰρ LO ‖ **25** ποι. δυcκ. ἐκτὸc LO ‖ **26** αὐτῆc — νομίζηται Cb, δυcχερείᾳ φευκτέα (-ταία L, *ut* C) τυγχάνῃ LO | ποθεινὴ CLb, πόθῳ O ‖ **27** τοῖc ἐντ. ὑπ. LO | Πεποίηκε Cb, πεποίηται LO ‖ **29** λέγειν πρ. Cb, πρ. λέξιν LO ‖ **30** δὲ (*poster.*) C, *om* LOb ‖ **32** τε (*ante* καὶ) LO, *om* Cb

724b δι᾽ ὧν ἡ πᾶςα καταλαμβάνεται τέχνη, μετὰ πολλῆς ςαφηνείας ἑκάςτου τὸν ὅρον ἐκθέμενος, καὶ ὅπως δεῖ ταῦτα ςυντόμως μαθεῖν. Ἔςτι γὰρ πρέπον ἐν ταῖς εἰςαγωγαῖς τὰ δύςκολα καὶ ὑπερβαίνοντα τὴν δύναμιν τῶν εἰςαγομένων ςιωπᾶν καὶ καταλιμπάνειν, ἵνα οὕτω κατ᾽ ὀλίγον οἱ τῆς τέχνης ἁπτόμενοι τὰ ὁδηγοῦντα προοίμια τῶν κανόνων μανθάνωςιν. Ἀλλὰ γὰρ ἐπεὶ περὶ τοῦ τεχνικοῦ ταῦτα διεξήλθομεν, φέρε δὴ καὶ ἐνταῦθα τὰ εἰωθότα πανταχοῦ ζητεῖςθαι τοῖς ἐξηγηταῖς ὀκτὼ κεφάλαια θεωρήςωμεν.

Ἰςτέον οὖν ὅτι ςκοπὸν ἔχει ὁ Διονύςιος ὡς ἐν εἰςαγωγῇ παραδοῦναι πάντα τῆς γραμματικῆς τὰ θεωρήματα, μάλιςτα δὲ τὰ ὀκτὼ μέρη τοῦ λόγου. — Τὸ δὲ χρήςιμον τοῦ παρόντος ςυγγράμματος ὁ ςκοπὸς φανεροῖ. Οἶμαι δὲ ὅτι οὐ μόνον [τὸ] χρήςιμον, ἀλλὰ καὶ ἀναγκαῖόν ἐςτι τὸ παιδεύεςθαι γράμματα, ὧν χωρὶς οὔτε ἴδιαι τάξεις οὔτε πολιτικαὶ δύνανται ςυςτῆναι· εἰ γοῦν τὰ γράμματα ἀναγκαιότατά εἰςι, περὶ δὲ γραμμάτων ἡ γραμματικὴ διαλαμβάνεται, τῶν ἀναγκαιοτάτων ἄρα τῷ βίῳ καὶ χρηςιμωτάτων τὸ τῆς γραμματικῆς καθέςτηκε μάθημα. Μάθοι δ᾽ ἄν τις ἐντεῦθεν ἀκριβέςτερον· μουςικὴν μὲν γάρ τις ἀγνοῶν ἢ ἀςτρονομίαν ἤ τινα τῶν ἄλλων λογικῶν τεχνῶν, οὐκ ἂν αἰςχύνοιτο, ὡς ἂν οὐ μεγάλα πρὸς τὰς χρείας τοῦ βίου βλαπτόμενος· ἐὰν δὲ γραμμάτων τις ἐςτερημένος εὑρεθῇ, ἀμαθὴς ὑπάρχει. Ὅθεν οὐδὲ τοὺς οἰκέτας ἀπεςτέρουν οἱ χαρίεντες τῆς τοιαύτης παιδεύςεως· ὁ γοῦν παρὰ τῷ Θεοφίλῳ τῷ κωμικῷ θεράπων ἐν τοῖς Ἀποδήμοις ⟨fr. 1 K⟩ λέγει·

καί τοι τί φημι καὶ τί δρᾶν βουλεύομαι;
προδοὺς ἀπιέναι τὸν ἀγαπητὸν δεςπότην,
τὸν τροφέα, τὸν ςωτῆρα, δι᾽ ὃν εἶδον νόμους
Ἕλληνας, ἔμαθον γράμματ᾽, ἐμυήθην θεοῖς·

ὥςπερ γὰρ τῶν ἱερῶν μεταδιδόαςι τοῖς οἰκέταις καὶ τῶν νόμων, οὕτω
725b μαθήςεως γραμμάτων μεταδιδόαςιν αὐτοῖς, ἵνα τοῖς γράμμαςιν ἡμεροῖντο καὶ πρὸς τὰς τοῦ βίου χρήςεις ὦςι πεπαιδευμένοι. Ἔχει δὲ ἡ γραμματικὴ καὶ ψυχαγωγίαν ἐμμελῆ, διδάςκουςα κάλλος ποιημάτων, ἱςτορίαις τε καὶ μύθοις κατᾴδουςα· φιλόμυθος γὰρ ὁ ἄνθρωπος. Καὶ ἁπλῶς πρὸς ἑκάςτου βίον ςυντελεῖ· ὁ μὲν γὰρ πολεμικὸς παρατάξεςι χαίρει ταῖς πεζαῖς τε καὶ ναυτικαῖς, ὁ δὲ εἰρηνικὸς ὑποθήκαις καὶ παραινέςεςιν, ⟨ὁ δ᾽ ἀγωνιςτὴς⟩

---

1 ἡ π. κ. τ. CLb, π. ἡ τ. κ. O ‖ 2 ὅπως δεῖ h *(et cod. Athen. 1066),* ὡς ἔδει Cb, εἰ πῶς δεῖ LO | *post* ταῦτα *add* μὴ LO ‖ 3 εἰςαγωγικαῖς LO | καὶ τὰ ὑπερβ. Cb ‖ 4 ἵνα b, ἵν᾽ C, καὶ LO ‖ 5 προοίμια τῶν κανόνων LO, πρὸς τοὺς κανόνας Cb | μανθάνωςιν Cb, μανθάνουςιν LO ‖ 6 καὶ ἐνταῦθα] *cfr p. 123, 25 seqq* ‖ 10 θεωρήματα *ex* θεωρούμενα *corr.* C[1] ‖ 12 τὸ *del. Bast* ‖ 13 ἐςτι *Bast,* ἔπι C ‖ 15 διαλαμβάνεται *ex* διαλαμβάνει *corr.* C[1] ‖ 21 παρὰ *Bast,* τῷ περὶ C ‖ 22 ἀπηδήμοις C ‖ 23 καί τοι *Bast,* καὶ τὶ C | δρᾶν βουλεύομαι *Bast,* δρᾶν βούλομαι C, δρᾶςαι βούλομαι *Meineke* ‖ 26 γράμματ᾽ ἐμυήθην *Bast,* γράμματα ὑφ᾽ ὧν ἐμυήθην C ‖ 31 κατᾴδουςα b, κα///α///δουςα C, κατάρδουςα h *et ex coni. Bast* | γὰρ] δὲ Cb ‖ 32 βίον *Bast,* βίου C

ἱππικῶν τε ἀγώνων ἀκροάσεσι καὶ μουσικῶν. Λυσιτελεῖ δὲ καὶ τῷ ἑλληνισμῷ, ὀρθότητα διδάσκουσα λέξεων καθ' ἑκάστην διάλεκτον, οὗ κάλλιον 10 οὐδέν ἐστι τῷ γένει τῶν ἀνθρώπων· τὸν γὰρ δοθέντα πρὸς τοῦ θεοῦ λόγον θειότερον ὡς ἀληθῶς ἐποίησεν, ἐπανορθοῦσα πᾶν τὸ ἄτακτον καὶ πλημμελές. Προτροπαὶ δὲ καὶ διδασκαλίαι καὶ ἀποτροπαὶ καὶ νουθεσίαι πόθεν οὕτω καλαὶ καὶ πολύτροποι πλὴν παρὰ ποιητῶν, οὓς διασῴζει καὶ συνίστησι γραμματική; πόθεν δ' ἄν τις ἀρύσαιτο μαθήματα μᾶλλον σπουδαῖα καὶ πολιτεύματα; τίς δὲ ἄμεινον δικαιώματα πόλεων καὶ ἐθνῶν εὑρεῖν δύναται καὶ διοικῆσαι κτίσεις κατ' ἀκρίβειαν, γράμματα μηδαμῶς ἐπιστάμενος; Ὅθεν οὐκ ἀπὸ σκοποῦ καὶ Ἐρατοσθένης ἔφη, ὅτι γραμ- 20 172v ματική ἐστιν ἕξις παντελὴς ἐν γράμμασι, γράμματα καλῶν τὰ συγγράμματα. Ὅτι δὲ γράμματα τὰ συγγράμματα, δηλοῖ ὁ Καλλίμαχος εἰπὼν ⟨epigr. 7 Sch⟩ Ὁμήρειον δὲ καλεῦμαι Γράμμα, ἀντὶ τοῦ σύγγραμμα· καὶ πάλιν παρὰ τῷ αὐτῷ ⟨epigr. 25 Sch⟩ περὶ Κλεομβρότου·

εἴπας «ἥλιε χαῖρε» [φαεινὲ] Κλεόμβροτος Ἀμβρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀΐδην,
ἄξιον οὔ τι παθὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος 50
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος·

πρὸς τοῦτο δὲ εἶπεν Ὀλυμπιόδωρος ὁ φιλόσοφος ⟨Cougny III 177⟩

εἰ μὴ γράμμα Πλάτωνος ἐμὴν ἐπέδησεν ἐρωήν, 726b
ἤδη λυγρὸν ἔλυσα βίου πολυκηδέα δεσμόν,

τουτέστιν εἰ μὴ ὠφελήθην ἐκ Πλάτωνος τρόπον εὐζωΐας, προέκρινα ἂν μὴ εἶναι ἢ κακῶς εἶναι.

Περὶ δὲ τοῦ εἰ ἔστι γνήσιον τὸ παρὸν σύγγραμμα Διονυσίου τοῦ Θρᾳκὸς ἠμφισβήτηται· ἐπεχείρησαν γάρ τινες οὕτως εἰπόντες, ὡς οἱ τεχνικοὶ μέμνηνται Διονυσίου τοῦ Θρᾳκὸς καὶ λέγουσιν, ὅτι διεχώριζε τὴν προσηγορίαν ἐκεῖνος ἀπὸ τοῦ ὀνόματος καὶ συνῆπτε τῷ ἄρθρῳ τὴν ἀντωνυμίαν· ὁ δὲ παρὼν τεχνικὸς τὴν προσηγορίαν καὶ τὸ ὄνομα ἓν 672, 21b μέρος λόγου οἶδεν ἐν οἷς φησιν ⟨p. 23, 2 Uhl⟩ «ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται», καὶ τὸ ἄρθρον καὶ τὴν ἀντωνυμίαν δύο μέρη λόγου γινώσκει, καὶ οὐχὶ ἕν. Ἔστιν οὖν εἰπεῖν, ὡς ἐκεῖνος ὁ Διονύσιος ἄλλος ἦν· ἐκεῖνος μὲν γὰρ μαθητὴς ἦν Ἀριστάρχου, ὃς καὶ τὸν ἑαυτοῦ διδάσκαλον ζωγραφήσας ἐν τῷ στήθει αὐτοῦ τὴν τραγῳδίαν ἐζωγράφησε διὰ τὸ ἀποστηθίζειν αὐτὸν πᾶσαν τὴν τραγῳδίαν· οὗτος δέ ἐστιν ὁ λεγόμενος ὁ τοῦ Πηροῦ· ἐλέγετο δὲ καὶ οὗτος Θρᾷξ, ἢ διὰ

10—161, 8 hab. etiam O^d

1 δὲ καὶ b, δὲ δὲ C, δὲ h ‖ **2** λέξεων b, λέξεως C ‖ **8** *post* δὲ *add* τοὺ (*sic*) C ‖ **11** ἐν γράμμασι O^db, ἐγγράμματος C ‖ **13** δὲ *om* C, *add* $\Sigma^1 O^d$ ‖ **14** παρὰ O^db, περὶ C ‖ **15** εἴπας C, *om* O^d | χαῖρε O^d, *in marg. add* h^1, *om* C | φαεινὲ *hab.* CO^d ‖ **17** ἀξιδύτι C ‖ **18** ἓν τὸ O^dh, ἐν τω C ‖ **23** κακῶς CO^d, κακὸς b ‖ **24** δὲ *add* O^d | εἰ ἔστι O, εἶναι C ‖ **27** συνῆπτε *Uhlig*, συνῆπται CO^d ‖ **29** οἶδεν Cb, εἶδεν O^d ‖ **30** ὑποβέβλ. O^d, βέβληται C ‖ **31** λόγου *add* O^d ‖ **35** Πηροῦ O^d, Πησοῦ Cb; *cfr p. 124, 14*

τὸ τραχὺ ἴςως τῆς φωνῆς, ἢ διότι καὶ τῇ ἀληθείᾳ Θρᾷξ ἦν· εἰκὸς δὲ καὶ κατὰ πλάνην κληθῆναι αὐτὸν Θρᾷκα. Ὅτι δὲ ἄλλος ἐςτὶν ἐκεῖνος καὶ ἄλλος οὗτος, δηλοῖ καὶ ὁ παρ' ἀμφοτέρων ὁριςμὸς τοῦ ῥήματος· οὗτος μὲν γὰρ οὕτως τὸ ῥῆμα ὁρίζεται, ⟨p. 46, 4 Uhl⟩ «ῥῆμά ἐςτι λέξις ἄπτωτος, ἐπιδεκτικὴ χρόνων τε καὶ προςώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριςτῶςα»· ὁ δὲ Διονύςιος ὁ Θρᾷξ, ὥς φηςιν Ἀπολλώνιος ἐν τῷ Ῥηματικῷ, οὕτως ὁρίζεται τὸ ῥῆμα, «ῥῆμά ἐςτι λέξις κατηγόρημα σημαίνουςα».

678,16 b Τὸ δὲ παρὸν ςύγγραμμα πρὸ πάντων ἀναγινώςκεται ὡς ἐν εἰςαγωγῆς τάξει, περιέχον πάντα τὰ ὀκτὼ μέρη τοῦ λόγου, καὶ ἔτι περὶ ςτοιχείων καὶ ςυλλαβῶν διδάςκον, καὶ λέγον ἃ πρὸ παντὸς ἄλλου δέον ἀναγινώςκεςθαι. — Ἐπιγέγραπται δὲ τὸ παρὸν ςύγγραμμα κατὰ μέν τινας «περὶ γραμματικῆς», κατὰ δὲ ἑτέρους «περὶ κριτικῆς τέχνης»· κριτικὴ δὲ λέγεται τέχνη ἐκ τοῦ καλλίςτου μέρους, ⟨p. 6, 2 Uhl⟩ «ἕκτον» γάρ ἐςτι «κρίςις ποιημάτων, ὃ δὴ κάλλιςτόν ἐςτι πάντων τῶν ἐν τῇ τέχνῃ»· ⟨ἢ⟩ κριτικὴ λέγεται, ἐπειδὴ ἐν αὐτῇ ⟨ἔχει⟩ τὴν κρίςιν καὶ τὴν ἐξέταςιν τῆς ποιότητος τῶν μερῶν τοῦ λόγου. — Διαιρεῖται δὲ εἴς τε τὴν τοῦ ἀναγνωςτικοῦ διδαςκαλίαν καὶ εἰς τὴν περὶ ῥαψῳδίας, ἔτι εἰς τὴν τῶν ὀκτὼ μερῶν τοῦ λόγου παράδοςιν.

Τεςςάρων δ' ὄντων τῶν διδαςκαλικῶν τρόπων, διαιρετικοῦ, ὁριςτικοῦ, ἀποδεικτικοῦ καὶ ἀναλυτικοῦ, τῷ διαιρετικῷ χρῆται μόνῳ καὶ τῷ ὁριςτικῷ· πάντα τε γὰρ τὰ μέρη τοῦ λόγου ὁρίζεται, καὶ ἓν ἕκαςτον αὐτῶν διαιρεῖ, τὸ μὲν ὄνομα εἰς κύριον καὶ προςηγορικὸν καὶ ἐπίθετον καὶ τὰ λοιπά, τὸ δὲ ῥῆμα εἰς ὁριςτικόν, εἰς προςτακτικὸν καὶ τἄλλα.

Ἀνάγεται δὲ τὸ προκείμενον βιβλίον ὑπὸ τὸ λογικὸν ὄργανον· πᾶςα γὰρ τεχνικὴ διδαςκαλία ὑπὸ τὸ λογικὸν ὄργανον ἀνάγεται.

721,25 b Ἰςτέον ὅτι οἱ Cτωϊκοὶ οὕτως ὁρίζονται τὴν τέχνην· «τέχνη ἐςτὶ ςύςτημα [περὶ ψυχὴν γινόμενον] ἐκ καταλήψεων ἐγγεγυμναςμένων πρός τι τέλος εὔχρηςτον τῶν ἐν τῷ βίῳ». «Cύςτημα» μὲν σημαίνει τὸ ἄθροιςμα, «ἐκ καταλήψεων» δὲ τὸ ἐξ ἐφευρέςεων, «ἐγγεγυμναςμένων» δὲ τὸ δεδοκιμαςμένων, τὸ δὲ «πρός τι τέλος» πρὸς ἀόριςτον τέλος· τὸ γὰρ τί σημαίνει τέςςαρα, ἀόριςτόν τι πρᾶγμα, καὶ ὡριςμένον, καὶ τὸ ἑνιαῖον,

---

20—24 hab. et. Oᵈ ‖ **27** (τέχνη) — **162, 7 hab. et.** Oᵈ

4 οὕτως *add* Oᵈ ‖ **6** ὁ Θρᾷξ *add* Oᵈ ‖ **7** οὕτως Oᵈb, οὗτος C | ὁρίζεται COᵈ, ὡρίζετο b, διωρίζετο *G F Schoemann, Opp. acc. 3, 251 adn. 11* | τὸ ῥῆμα *add* Oᵈ | *post* λέξις *add* ἄπτωτος *Schoemann, et post* σημαίν. (*v. 8*): χρόνων τε καὶ προςώπων καὶ ἀριθμῶν ἐπιδεκτική *(Redeth. p. 17)* ‖ [10 ἔτι] ἔςτι Cb ‖ **11** διδάςκων Cb | λέγων Cb ‖ **12** δὲ] γὰρ Cb ‖ **14** *ante* τέχνῃ *add* ἡ b ‖ **16** *in marg. add* C²: ὑπό τι μέρος. Διομήδους ςχολαςτικοῦ περὶ τέχνης. *haec verba potius referenda videntur ad v. 20 seqq* ‖ **17** ποςότητος Cb ‖ **20** τῶν *add* Oᵈ ‖ **25** προκείμενον C, παρὸν b ‖ **26** τὸ] πὸ C, *om* b ‖ **28** περὶ ψυχὴν γιν. *om* Oᵈ | ἐκ καταλ. Oᵈ, ἐγκαταλ. Cb; *item v. 30* ‖ **30** ἐφευρέςεως C

καὶ προςδιορισμόν· ἀλλὰ καὶ τὸ τέλος δηλοῖ ἕξ, τὴν πρόσοδον, τὸ ἀξίωμα, τὸ δαπάνημα, τὴν ἑορτήν, τὸ πεπληρωμένον ἔργον καὶ τὸ δημόσιον· ἀλλὰ καὶ ὁ βίος σημαίνει τέσσαρα, τὸν πλοῦτον, τὴν ἑκάστου [κοινὴν] ζωήν, τὸ ἑκάστου ἐπιτήδευμα καὶ τὸν ἐπιτήδειον χρόνον εἰς μάθησιν. Ὃ οὖν λέγει τοιοῦτόν ἐστι [πρός τι τέλος]· τέχνη ἐστὶν ἄθροισμα ἐξ 722,31 b ἐφευρέσεων δεδοκιμασμένων πρὸς ἀόριστον τέλος χρησιμώτατον πρὸς τὴν ἑκάστου τῶν ὄντων ζωήν.

Τῶν δὲ τεχνῶν διαφοραί εἰσι δύο.] Δύο μὲν οὗτος εἶπε διὰ 726,6 b τὸ φιλοσύντομον, τρεῖς δὲ ὅμως εἰσί, λογικαί, πρακτικαί, μικταί· καὶ λογικαὶ μὲν λέγονται, ὅσαι λόγῳ μόνῳ κατορθοῦνται, ὡς ἀστρονομία καὶ γεωμετρία· πρακτικαὶ δέ, ὅσαι πράξει, ὡς ἡ τεκτονικὴ καὶ ἡ σκυτοτομική· μικταὶ δέ, ὅσαι μετέχουσι λόγου καὶ πράξεως, ὡς ἡ γραμματικὴ καὶ ⟨ἡ⟩ ἰατρική.

Κατὰ πόσους τρόπους διαφέρει τέχνη ἐπιστήμης; Κατὰ δύο, κατὰ τὸ καθολικώτερον καὶ μερικώτερον, καὶ ⟨κατὰ τὸ⟩ πταιστὸν καὶ ἄπταιστον· ⟨προσήκει δὲ τῷ μὲν καθολικῷ τὸ ἄπταιστον⟩, τῷ δὲ μερικῷ τὸ πταιστόν. Ἐπιστήμη δέ ἐστιν ἕξις ἀμετάπτωτος ἐν ψυχῇ ἐπιγινομένη λογική, ὡς ἀστρονομία καὶ μουσική· προστιθέασι δὲ τὸ περὶ ψυχήν, χωρίζοντες αὐτὸ ἀπὸ τῶν ἄλλων συστημάτων, οἱονεὶ στρατιωτικῶν, πολιτικῶν καὶ τῶν τοιούτων, ἅτινα οὐ περὶ ψυχὴν γίνονται, ἀλλὰ περὶ τρόπον τινά.

Ἐπεὶ τὰ εἰωθότα ζητεῖσθαι κεφάλαια τοῖς ἐξηγηταῖς προειρήκαμεν καὶ τὴν τέχνην ἀξίως ὡρισάμεθα, φέρε εἴπωμεν καὶ τί ἐστιν ἐπιστήμη καὶ ἐμπειρία καὶ πεῖρα, ἵνα καὶ ταῦτα μαθόντες ἑνὶ τούτων τὴν γραμματικὴν οἰκειώσωμεν. Ἐπιστήμη τοίνυν ἐστὶν ἕξις ἀμετάπτωτος ἤγουν ἄπταιστος, λογικὴ ἤγουν διὰ λόγου θεωρουμένη, ὡς ἀστρονομία καὶ γεωμετρία· ἐμπειρία δὲ ἡ τῶν ὡσαύτως ἐχόντων πραγμάτων τήρησίς τε καὶ μνήμη μερική, ὡς εἴ τις ἀνὴρ ἰδιώτης τραύματί τινι βοτάνην προσαγαγὼν καὶ τυχαίως τὸ πάθος ἰασάμενος ἔκτοτε κατὰ τῶν ὁμοίων τραυμάτων τῇ τοιαύτῃ βοτάνῃ χρήσαιτο, μὴ λόγον τῆς θεραπείας ἀποδιδούς· 727 b διὸ καὶ τοὺς ἰατροὺς τοὺς εἰδότας μὲν ἐκ τῆς συνεχοῦς τριβῆς ⟨περιοδεύειν, μὴ δυναμένους δὲ λόγον ἀποδοῦναι τῆς περιοδείας,⟩ ἐμπειρικοὺς ὀνομάζομεν· πεῖρα δέ ἐστιν ἡ ἅπαξ τινὸς πράγματος δοκιμασία ἄλογος, ὡς ὅταν τις ἅπαξ ἢ δίς που πλεύσας εἴπῃ «πεῖραν ἔλαβον τοῦ πλεῖν». Ἐπεὶ οὖν τῶν τεσσάρων τὴν διαφορὰν μεμαθήκαμεν, φημὶ δὲ τῆς τέχνης, τῆς ἐπιστήμης, τῆς ἐμπειρίας ⟨καὶ⟩ τῆς πείρας, σκεψώμεθα ποίᾳ μᾶλλον οἰκειώσωμεν τὴν γραμματικήν. Καὶ ὅτι μὲν οὐκ ἔστιν ἐπι-

---

1 πρὸς διορ. Cb ‖ 3 τέσσαρα O[d], πέντε Cb | κοινὴν *om* O[d]; *an* καὶ τὴν κοινὴν ἁπάντων? ‖ 5 πρός τι τέλος CO[d], *om* b ‖ 6 χρησιμώτατον O, χρησιμωτάτη Cb ‖ 23 ἀξίως b, ἄξιον C | ἐστιν ἐπιστήμη] ἐστι τέχνη Cb ‖ 28 βοτάνη C ‖ 31 περιοδεύειν — περιοδείας (32) *add Steinth.*[2] *2, 169; cfr p. 10, 28* ‖ 33 ὀνομάζομεν C, καλοῦμεν b

στήμη, ἔστι δῆλον· οὐ γὰρ ἄπταιστος, ἀλλ' ἐν πολλοῖς ἀτελὴς εὑρίσκεται ἐκ τοῦ πολλὰ μὴ κατορθοῦν, ἀλλ' ἐν τοῖς ⟨σε⟩σημειωμένοις ἐᾶν· ὅτι δὲ οὐδὲ ἐμπειρία κατὰ Διονύσιον, φανερόν· οὐ γὰρ ἀμοιρεῖ λόγου τοῦ κυροῦντος αὐτήν· εἰ δ' οὐκ ἐμπειρία, πολλῷ μᾶλλον οὐδὲ πεῖρα. Τέχνην τοίνυν αὐτὴν ὑποληπτέον· συνέστηκε γὰρ ἐκ διαφόρων μεθόδων καὶ καταλήψεων ἠκριβωμένων ἐν τέχνῃ καὶ ἱστορίᾳ· τὸ δὲ τέλος ἔχει βιωφελές· ποιημάτων γὰρ μήτηρ ἐστίν, ἐξ ὧν μεγίστη τῷ βίῳ συμβουλὴ καὶ ἀσφάλεια καὶ τῶν δικαίων ἀπόλαυσις. Ὅτι γὰρ συμβουλεύειν οἶδε τὸ χρειῶδες ἡ ποιητική, ἄκουε καὶ Ὁμήρου λέγοντος ⟨γ 267—272⟩·

πὰρ γὰρ ἔην καὶ ἀοιδὸς ἀνήρ, ᾧ πόλλ' ἐπέτελλεν
Ἀτρείδης, Τροίηνδε κιών, εἴρυσθαι ἄκοιτιν·
ἀλλ' ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην
κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι·
τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.

Τοῦτο δὲ καὶ Σόλων εἰδώς, ὡς ἐμψυχότεραί εἰσι μᾶλλον αἱ ἔμμετροι τῶν παραινέσεων καὶ τῇ χάριτι τοῦ ῥυθμοῦ ψυχαγωγοῦσι τὸν ἀκροατήν, ἐμμέτρως παρῄνεσεν· ὁμοίως καὶ ὁ Ἡσίοδος καὶ ἄλλοι πολλοὶ τῶν σοφῶν. Ἄλλως τε καὶ τὸν ἑλληνισμὸν ἀκριβοῖ πάσῃ λογικῇ μεθόδῳ περισπούδαστον ὄντα, προσῳδιῶν καὶ χρόνων ἔτι δὲ καὶ ⟨ὀνοματικῶν καὶ⟩ ῥηματικῶν κινήσεων ἕνεκεν [πρεσβεύει τῶν ἄλλων τεχνῶν],
728b ὧν ἡ ἄγνοια πολλὰ τοὺς ἀμετόχους ἔβλαψε· καὶ γὰρ Ἡγέλοχος ὁ τῆς τραγῳδίας ὑποκριτὴς οὐκ ἂν τοσοῦτον ὠφλήκει παρ' Ἀθηναίοις τὸν γέλωτα, εἰ τὴν ἐν τῷ ἰάμβῳ ἀπόστροφον ἐγνώκει· Ξενοκράτην δὲ τὸν φιλόσοφον λέγουσι, βουλομένου τινὸς ἀγραμματικεύτου φιλοσοφεῖν, εἰπεῖν «ἄπιθι, λαβὰς γὰρ φιλοσοφίας οὐκ ἔχεις». Ἀλλ' εἴ μοι ἐρεῖς, ὡς πολλοὶ δίχα γραμματικῆς ἐφιλοσόφησαν, ὡς Σίμων ὁ σκυτεὺς παρὰ Σωκράτει καὶ Κλειτόμαχος ὁ βάρβαρος, πόσῳ μᾶλλον ἀμείνους ἦσαν, φαίην ἄν, εἰ μετειλήφεισαν καὶ γραμματικῆς. ⟨Καὶ⟩ εὑρήσομεν ὡς μόνον οὐ τέχνη τεχνῶν ἡ γραμματική.

Ὠνομάσθη δὲ γραμματικὴ παρὰ τὸ γράμμα, ὃ δηλοῖ πολλά, τοὺς τῶν στοιχείων τύπους, ⟨καὶ⟩ τὰ τῶν σοφῶν ἀπομνημονεύματα, καὶ τὸ ἐπίγραμμα, καὶ τὸ ποίημα· Ὁμήρειον δὲ καλεῦμαι Γράμμα, ὁ Καλλίμαχος· καὶ ἀλλαχοῦ ὁ αὐτὸς ποτὲ μὲν τὸ ποίημα καλεῖ γράμμα, ποτὲ δὲ τὸ καταλογάδην σύγγραμμα, ὡς ἐκεῖ ⟨epigr. 7 Sch⟩·

Κρεωφύλου πόνος εἰμί, δόμῳ ποτὲ θεῖον ἀοιδὸν
δεξαμένου· κλείω δ' Εὔρυτον, ὅσ⟨σ⟩' ἔπαθε,

---

1 ἀτελὴς b, εὐτελὴς C ‖ 2 σεσημ. b, σημ. C ‖ 11 εἰρῆσθαι C ‖ 14 κάλλιπα εἰωνοῖσιν C ‖ 15 ἐθέλλων C ‖ 16 αἱ τῶν παρ. ἔμμ. Cb ‖ 22 Ἡγέλοχος b, ἡ ἀργέλοχος C ‖ 24 τῷ *in marg. add* C² | ἰάμβῳ] ἄμβωνι Cb; *cfr schol. ad Eurip. Or. 279* ‖ 26 φιλοσ. οὐκ (*coll. Diog. Laert. IV 2, 10 et Plut. mor. 452 D*) *Stadtmüller*, οὐδὲ ὦτα Cb ‖ 29 μόνον οὐ b, οὐ μόνον C ‖ 31 δὲ b, γὰρ C ‖ 34 ἀλλαχοῦ Cb, *an* πολλαχοῦ? ‖ 36 κρεοφύλου τόνος C | ἀοιδὸν C, Ὅμηρον b ‖ 37 κλείω C, κλαίω b | ὅσσ' b

καὶ ξανθὴν Ἰόλειαν. Ὁμήρειον δὲ καλεῦμαι
γράμμα Κρεωφύλου.

Ἀπὸ τοῦδε τοίνυν τοῦ δηλοῦντος τὸ ποίημα ὠνομάσθη γραμματικός, ὡς πρᾶγμα πράγματος πραγματικός, ὁ πολλῶν ποιημάτων ἐπιστήμων.

Ὁρίζονται δὲ τὴν γραμματικὴν οὕτως· γραμματική ἐστιν ἕξις θεωρητική τε καὶ καταληπτικὴ τῶν κατὰ πλεῖστον παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι λεγομένων, δι' ἧς ἑκάστην λέξιν τῷ οἰκείῳ κόσμῳ ἀποδιδόντες εὐκατάληπτον ἐξ ἀπείρου κατασκευάζουσιν.

Μέρη δὲ αὐτῆς τέσσαρα, ἀναγνωστικόν, ἐξηγητικόν, διορθωτικὸν καὶ κριτικόν· ὄργανα ⟨δὲ⟩ τέσσαρα, γλωσσηματικόν, ἱστορικόν, τεχνικόν, 729b μετρικόν. Πολλὴ δέ ἐστιν ἡ διαφορὰ μέρους καὶ ὀργάνου καὶ εἴδους· εἶδος γάρ ἐστιν ὃ διῄρηται μὲν ἐκ τοῦ γένους, αὐτοτελὲς δέ ἐστι καὶ μηδενὸς εἰς συμπλήρωσιν δεόμενον, οἷον εἰ λέγοιμεν γένος τὸ φυτόν, εἶδος δὲ τὴν ἐλαίαν, καὶ γένος τὴν τέχνην, εἶδος δὲ τὴν γραμματικήν· τὸ δὲ μέρος ἀτελὲς καὶ ἀπόσπασμα ἑνὸς μόνου, ὡς λέγομεν πρύμναν, μόνης γὰρ νηός, καὶ στέλεχος, μόνου γὰρ φυτοῦ. Καὶ τὸ μὲν εἶδος ἔχει ἐν ἑαυτῷ τὸ γένος· εἴ τι γὰρ ἐλαία, τοῦτο καὶ φυτόν, καὶ εἴ τι ἵππος, τοῦτο καὶ ζῷον· τό γε μὴν μέρος οὐχ οὕτως ἔχει· οὔτε γὰρ αὐτοτελές τί ἐστιν, ὡς τὸ εἶδος, οὔτε ἐν ἑαυτῷ περιέχει τὸ ὅλον. Καὶ ταῦτα μὲν περὶ ⟨εἴδους καὶ περὶ⟩ μέρους. Τὸ δὲ ὄργανον διαφόροις ὑποπίπτει τέχναις, ὡς τρύπανον, σκέπαρνον καὶ τὰ τοιαῦτα· ὑποπίπτουσι γὰρ τῇ τε λεπτουργικῇ καὶ ναυπηγικῇ καὶ ἄλλαις τισὶ τῶν τεχνῶν.

Διττὴ δέ ἐστιν ἡ γραμματική· ἡ μὲν γὰρ περὶ τοὺς χαρακτῆρας καὶ τὰς τῶν στοιχείων ἐκφωνήσεις καταγίνεται, ἥτις καὶ γραμματικὴ λέγεται παλαιά, οὖσα καὶ πρὸ τῶν Τρωϊκῶν, σχεδὸν δὲ καὶ ἅμα τῇ φύσει προελθοῦσα· ἡ δὲ περὶ τὸν ἑλληνισμόν, ἥτις καὶ νεωτέρα ἐστίν, ἀρξαμένη μὲν ἀπὸ Θεαγένους, τελεσθεῖσα ⟨δὲ⟩ παρὰ τῶν Περιπατητικῶν Πραξιφάνους τε καὶ Ἀριστοτέλους· καὶ τῆς μὲν γραμματικῆς τέλος τὸ εὖ ἀναγινώσκειν, τῆς δὲ γραμματικῆς τὸ εὖ γράφειν.

9—20 hab. et. Σ¹

1—2 Ὁμ. γράμμα δὲ καλοῦμαι κρεοφύλου C ‖ **5** δὲ b, καὶ C ‖ **6** παρὰ b, περὶ C | **10** γλωσσηματικόν b, γλωσσημαντικὸν C Σ¹ ‖ **11** δέ *add* b Σ¹ ‖ **17** τι b, τις C (*bis*) | ἥ τις γὰρ Σ¹ | καὶ — ζῷον (18) *om* Σ¹ ‖ **18** οὔτε — μέρους (20) *om* Σ¹ | αὐτοτελές *Stadtmüller*, ὅλον Cb ‖ **27** Θεαγένους Σ¹, Θεογένους Cb; *de Theodecte cogitabat JClassen, de gr. gr. prim. p. 9, quod non probatur GFSchoemanno, Die Lehre v. d. Redeth. p. 9* | δὲ *add* b | παρὰ b, περὶ C ‖ **28** Πραξιφάνους Σ¹, παρὰ ἐξιφάνους C, παρ' Ἑξ. b | γραμματικῆς *om* b; *item v. 29*

§ 1.

730b **Περὶ γραμματικῆς.**

Τῶν τεχνογράφων οἱ μὲν ἀπὸ λόγου ἤρξαντο, οἱ δὲ ἀπὸ ὅρου, ἔνιοι δὲ ἀπὸ λέξεως, ἄλλοι δὲ ἀπὸ συλλαβῆς, τινὲς δὲ ἀπὸ στοιχείων· εἰσὶ δὲ καὶ ἀπὸ φωνῆς ἀρξάμενοι, ὅπερ καὶ ἄμεινον· εἰ γὰρ ὕλη γραμματικῆς λέξις, αὕτη δὲ συνέστηκεν ἐκ συλλαβῶν, αἱ δὲ συλλαβαὶ ἀπὸ στοιχείων, τὰ δὲ στοιχεῖα ἡ πρώτη καὶ ἄτομος τοῦ ἀνθρώπου φωνὴ ὑπάρχει, δῆλον ὡς ἀπὸ τοῦ ἀρχετύπου καὶ πρώτου αἰτίου ἄρχεσθαι δεῖ, τῆς φωνῆς. Ὁ δὲ Διονύσιος νέοις ἐκδιδοὺς τὸ πόνημα καὶ κατ' ἀρχὰς διαλαβεῖν τὸν περὶ ἀναγνώσεως βουλόμενος λόγον, ὅς ἐστι πάντων τοῖς νέοις προὐργιαίτερος, ἐπίτηδες τὸν περὶ γραμματικῆς προέκρινε λόγον. Δυοῖν γὰρ ἕτερον ἐχρῆν· ἢ τὸ ποιοῦν τοῦ γενομένου προτάσσειν καὶ τὸ πρῶτον τῇ τάξει πρωτεύειν καὶ τῇ θέσει, τουτέστι τὸν τῶν λέξεων κατάλογον, ἐξ ὧν ἡ γραμματικὴ συνέστηκεν, ἢ προθέμενον εἰπεῖν περὶ γραμματικῆς ἀκριβῶσαι αὐτῆς πάντα τὰ μέρη καὶ μὴ μόνον τὸ ἀναγνωστικόν.

Γραμματική ἐστιν ἐμπειρία.] Ἐνταῦθα γενόμενος Πτολεμαῖος ὁ Περιπατητικὸς καὶ ἄλλοι τινὲς ἐγκαλοῦσι Διονυσίῳ ἐμπειρία⟨ν⟩ εἰρηκότι τὴν λογικωτάτην γραμματικήν, ἥτις — ἐμπειρία φημί — τῶν ὡσαύτως ἐχόντων πραγμάτων ἐστὶ τήρησίς τε καὶ μνήμη ἄλογος. Καὶ οἱ μὲν οὕτως ἐπιλύονται τὴν κατηγορίαν· ἐπειδὴ γὰρ οὐ λόγῳ πάντοτε κατορθοῦται ἡ γραμματική, ἀλλὰ πολλάκις καὶ ψιλῇ παραδόσει, ὡς ἐπὶ τοῦ Σκείρων καὶ εἰμί καὶ μεγάλως καὶ ὀλίγος, καὶ πολλάκις εὑρίσκομεν τὴν γραμματικὴν ἄλογον, φασὶν οὕτως ἔχειν τὸν ὅρον· «γραμματική ἐστιν ὡς ἐπὶ πολὺ τῶν λέξεων ἐμπειρία, κατὰ δὲ τὸ πλεῖστον τέχνη».
731b Οὗτοι δὲ τὸ μὲν ὑποκείμενον ἐπιθανεύσαντο, τόν γε μὴν ὅρον ἐλυμήναντο· πάντων ⟨γὰρ⟩ δεῖ εἶναι τὸν ὅρον περιεκτικόν, τὸ δὲ «ὡς ἐπὶ πολύ» ἀνοίκειον τοῦ ὅρου. Ἕτεροι δὲ οὕτω φασίν, ὅτι τὸ τῆς ἐμπειρίας ὄνομα τέτακται καὶ ἐπὶ τῆς τέχνης ἀδιαφόρως ⟨ὑπὸ⟩ τοῦ βίου, τῶν αὐτῶν ἐμπείρων τε καὶ τεχνικῶν ὀνομαζομένων, ὥς φησί που καὶ Μητρόδωρος μηδεμίαν ἄλλην πραγμάτων ἐμπειρίαν τὸ ἑαυτῆς τέλος συνορᾶν ἢ φιλοσοφίαν, τουτέστι μηδεμίαν τέχνην. Τάττεται δὲ τὸ τῆς ἐμπειρίας ὄνομα ἐξόχως καὶ ἐπὶ τῆς τῶν πολλῶν καὶ ποικίλων πραγμά-

---

1—15 hab. et. Σ[1]

3 συλλαβῆς Σ[1]b, συλλαβῶν C | στοιχείων Cb, στοιχείου Σ[1] ‖ **6** ἄτομος Cb, ἀμερὴς Σ[1] ‖ **7** δεῖ Σ[1]b, δὴ C ‖ **8** πόνημα Σ[1], ποίημα Cb ‖ **10** γραμματικῆς Σ[1], γραμματικὴν Cb ‖ **11** γὰρ *add* Σ[1] ‖ **12** τὸν *add* Σ[1] ‖ **17** ἄλλοι] *ex. gr.* Asclepiades; *cfr Sext. Emp. adv. gramm. 615, 10 (B)* | ἐμπειρίαν b ‖ **18** λογικωτάτην b, λογιότητα C ‖ **23** ἔχειν b, ἔχον C ‖ **26** γὰρ *add* b ‖ **28** ὑπὸ *add* b, *om etiam Sextus Emp. 612, 23 structura coactus* ‖ **29** φησί b, φασί C

των γνώσεως, καθὸ καὶ τοὺς πρεσβύτας πολλὰ μὲν ἰδόντας πολλὰ δὲ καὶ ἀκούσαντας ἐμπείρους τοῦ βίου φαμέν, ὡς Εὐριπίδης ἐν Φοινίσσαις, παρεισάγων τὴν Ἰοκάστην πρὸς τὸν Ἐτεοκλῆν λέγουσαν ⟨531 seqq⟩·

ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
Ἐτεόκλεες, πρόσεστιν, ἀλλ' ἡμπειρία
ἔχει τι λέξαι τῶν νέων σοφώτερον.

Ἄμεινον οὖν λέγειν ἐμπειρίαν τὴν πολυπειρίαν. Ὅτι ⟨δὲ⟩ οὐ διαφέρεται πρὸς τὸ ὄνομα τῆς ἐμπειρίας καὶ τῆς τέχνης ὁ τεχνικός, δῆλον ἀφ' ὧν ὑποκατιὼν τὴν ἐμπειρίαν τέχνην φησίν, λέγων ⟨p. 6, 3 Uhl⟩ «ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ». Ἄλλοι ⟨δέ⟩ φασι, βουλόμενος ἐφελκύσασθαι τοὺς νέους τέως ἐμπειρίαν καλεῖ τὴν γραμματικήν, ὕστερον δὲ τέχνην.

Τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσι.] Οὐκ ἔστι ποιητὴς 733,13b ὁ μέτρῳ μόνῳ χρώμενος· οὐδὲ γὰρ Ἐμπεδοκλῆς ὁ τὰ φυσικὰ γράψας, οὐδ' οἱ περὶ ἀστρολογίας εἰπόντες, οὐδὲ ὁ Πύθιος ἐμμέτρως χρησμῳδῶν. Χρὴ γὰρ εἰδέναι, ὅτι ταῦτα χαρακτηρίζει ποιητήν, μέτρον, πλάσμα, ἱστορία, ποιὰ λέξις· οὐδὲ γὰρ συγγραφεὺς λέγεται ὁ καταλογάδην εἰρηκώς, ἀλλ' εἰδικῶς συγγραφεὺς ἐκεῖνος ὀνομάζεται ὁ τὰ ἐπὶ τῶν αὑτοῦ καιρῶν γεγονότα συγγραψάμενος, ὡς Θουκυδίδης, ῥήτωρ δὲ ὁ περὶ τὰ πολιτικά.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. Περὶ γραμματικῆς. — Μελάμποδος. — Γραμματική ἐστιν ἐμπειρία.] Πρότερον etc. = Σ^{d} 10, 24—16, 2.

Περὶ γραμματικῆς. — Γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ 732,4b ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων.] Ἐμπειρίαν εἰπὼν ἐξεφαύλισε τὴν τέχνην· ἐμπειρία γάρ ἐστιν ἡ ἄλογος τριβή, ὡς καὶ ἐμπειρικοὺς λέγομεν ἰατροὺς τοὺς ἄνευ λόγου τὰς θεραπείας τοῖς πάσχουσι προσάγοντας· ὅτι μὲν γὰρ θεραπεύειν οἷόν τέ ἐστι τὸ φάρμακον πρὸς τὸ ἕλκος, ἐπίστανται· εἰ δέ τις ἔροιτο, τίνος ἕνεκα πρὸς τόδε τὸ πάθος ἐπιτηδείως ἔχει, ἀποροῦσιν. Ἡ δὲ γραμματικὴ πάντα μετὰ λόγου καὶ τῆς δεούσης ἀναλογίας κανονίζει. Πῶς οὖν ὁ τεχνικὸς εἴρηκεν ἐμπειρίαν τὴν γραμματικήν; ἆρα ὡς ἄλογον οὖσαν, ἢ ὡς αὐτὸς ἄγνωστος ὢν τοῦ καλῶς ἔχοντος; Φαμὲν ὅτι οὔ, ἀλλ' ἐπειδὴ ὁ σκοπὸς αὐτῷ πρὸς εἰσαγομένους γράφειν, δεῖ δὲ τὰς εἰσαγωγικὰς τέχνας ἀπέχεσθαι τῶν δυσχερῶν προβλημάτων, τῶν δὲ εὐλήπτων ἀντέχεσθαι, εἰδὼς δὲ ὅτι καὶ ἡ ἐμπειρία πολλαχῶς παρὰ τοῖς ἀρχαίοις

27—167, 4 hab. et. Σ^{m} ‖ 32—167, 4 hab. et. Σ^{l}

1 εἰδόντας C, *corr.* b ‖ 4 οὐ κακὰ πάντα τῶ γήρα πρόσεστι, τέκνον, ἐτεόκλεες, ἀλλ' ὁ ἐμπ. C ‖ 10 βουλόμενος b, βουλόμενοι C ‖ 18 εἰδικῶς b, ἰδικῶς C ‖ 19 καιρῶν b, μερῶν C ‖ 31 ἐμπ. — αὐτὸς (32) V, ἐμπειρία ἄρα C ‖ 35 δὲ *add* V

φράζεται· ἔστι γὰρ ἡ ἄλογος τριβὴ καὶ ἡ λογικὴ γνῶσις, ἔστι δὲ καὶ ἡ
ἀκριβὴς μάθησις. Ἁπλούστερον δὲ τὸν λόγον ἐποιήσατο ὡς πρὸς εἰσα-
20 γομένους, σημαίνων ἀπὸ ἐμπειρίας τὴν γνῶσιν· ὥστε ἡ γραμματικὴ
γνῶσίς ἐστι· τίνων; ὧν παρατίθησιν αὐτός.

Stephani. — Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Γραμματική ἐστιν
ἐμπειρία.] Πολλοὶ τῷ Διονυσίῳ ψόγον προσάπτουσι, λέγοντες κακῶς
αὐτὸν εἰρηκέναι τὴν γραμματικὴν ἐμπειρίαν· «οὐδὲν γὰρ ἄλλο ἐστὶν ἐμ-
πειρία ἀλλ' ἢ ἀλόγου τριβῆς κατόρθωσις, ὥσπερ πεῖρα ἡ ἅπαξ δοκιμασία
τινὸς ἀλόγου τριβῆς, ἡ δὲ γραμματικὴ οὐκ ἄλογός ἐστι τριβή» [ἀλλὰ
μικτή]· ἀγνοοῦντες ὅτι, ἐπεὶ μικτή ἐστιν ἡ γραμματική, λογική τε καὶ
30 πρακτική, διὰ τοῦ ἐμπειρία τὸ πρακτικὸν μέρος αὐτῆς ἀφορίζεταί τε
καὶ ὁρίζεται, ἀπὸ δὲ μέρους τὸ ὅλον διαλαμβάνει. «Καὶ εἰ ἀπὸ μέρους
τὸ ὅλον ὁρίζεται, τί μὴ ἀπὸ τοῦ κρείττονος ὁρισάμενος τὸ χεῖρον συν-
διέλαβε; κρεῖττον γάρ ἐστι τὸ λογικὸν τοῦ πρακτικοῦ.» Πρὸς οὓς φαμεν,
ὅτι κακῶς, ὦ οὗτοι, φατέ, ἀγνοοῦντες ὅτι πάντα τοῦ εἶναι ἐφίεται· εἰ
733b δὲ ὡρίσατο τὸ κρεῖττον, ἐλάνθανεν ἄρα τὸ χεῖρον ὡς μὴ ὄν· διὰ τοῦτο
τὸ χεῖρον ὁρισάμενος τὸ κρεῖττον συνέλαβεν· ὅθεν καὶ ἡμίονος ἀπὸ τοῦ
χείρονος ὠνομάσθη, καὶ οὐχ ἡμίιππος, ἵνα μὴ λάθῃ τὸ χεῖρον ὄν. Τινὲς
δὲ λέγουσιν, ὅτι ἐμπειρία ἐπὶ ἀμφοτέρων τῶν σημαινομένων λαμβάνε-
ται, ἐπί τε τοῦ λογικοῦ καὶ τοῦ πρακτικοῦ· λέγουσι γάρ, ὅτι ἐμπειρία
ἐστὶν ἡ ἄλογος τριβὴ καὶ ἡ λογικὴ γνῶσις, ἀγνοοῦντες ὅτι τὸ προκα-
τάρχον αἴτιον τῆς λέξεως, τὸ πεῖρα, οὐδὲν ἄλλο δηλοῖ ἀλλ' ἢ τὴν ἅπαξ
10 δοκιμασίαν ἀλόγου τριβῆς, ὡς εἴπομεν· παρὰ γὰρ τὸ πεῖρα ἐν μετα-
σχηματισμῷ καὶ συνθέσει τῆς ἓν προθέσεως τροπῇ τε τοῦ ν̄ εἰς μ̄ ἐγέ-
νετο ἔμπειρος, καὶ τὸ θηλυκὸν ἐμπειρία παρενθέσει τοῦ ῑ.

28 Τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν.] Οὐκ ἔστι μόνον
παρὰ τοῖς ποιηταῖς τε καὶ συγγραφεῦσι χρειώδης ἡ γραμματική, ἀλλὰ
30 καὶ παρὰ τοῖς ῥήτορσι καὶ ἱστοριογράφοις. Τέσσαρα γάρ εἰσι ταῦτα
ἀλλήλοις ἀντιπαρακείμενα, ἐξ ἑκατέρας δὲ ἀντιθέσεως ἓν εἰπὼν καὶ τὸ
ἕτερον παρεδήλωσεν. Ἀντίκειται δὲ τῇ μὲν ποιητικῇ ἡ ἱστοριογραφική·
734b ἡ μὲν γὰρ ποιητικὴ τέχνη, ἡ δὲ ἱστοριογραφικὴ οὐ τέχνη, τὸ δὲ τέχνη

5—168, 13 hab. et. Σ^m (N *in marg.* Στεφάνου) ‖ **10—25 similia hab. et.** Σ^1 ‖ **26—168, 8 hab. et.** Σ^1

1 ἔστι δὲ — μάθησις (**2**) *om* V ‖ **4** τινῶν (*sic*) ὧν — αὐτός CΣ^1, τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν V ‖ **5—170, 10** *videntur esse* ***Stephani*** ‖ **5** Εἰς — ἄλλως *om* V | Γραμμ. — ἐμπ. (**6**) *add* V ‖ **8** τριβῆς] τέχνης CV ‖ **9** τριβή] τέχνη CV | ἀλλὰ μικτή *om* V ‖ **11** τε — ὁρίζεται (**13**) *add* V ‖ **13** συνδιέλ. V, διέλαβε C ‖ **16** ὡρίσατο V, διορίσατο C ‖ **17** συνέλαβεν V, διέλαβεν C | ὅθεν V, ἔνθα C[1], *in* ἔνθεν *mut.* C[2] ‖ **18** καὶ *add* V ‖ **20** τε *add* VΣ^1 ‖ **22** ἅπαξ δοκιμ. VΣ^1, ἀποδοκιμασίαν C ‖ **23** τριβῆς] τέχνης CVΣ^1 ‖ **24** τροπῇ — μ̄ *add* V ‖ **25** παρ. τοῦ ῑ *add* V ‖ **27** τε *add* V ‖ **28** τοῖς *add* V ‖ **29** ἀντιπαραθέσεως E

καὶ οὐ τέχνη ἀντίθεσις· ὡσαύτως καὶ ἡ ῥητορικὴ ἀντίκειται τῇ συγγραφικῇ· ἡ μὲν γὰρ ῥητορικὴ τέχνη ἐστίν, ἡ δὲ συγγραφικὴ οὐ τέχνη ἐστίν. Συγγραφεὺς δὲ καὶ ῥήτωρ καὶ ἱστοριογράφος καὶ ποιητὴς ταύτῃ διαφέ- 172v ρουσι· συγγραφεὺς μὲν γὰρ ὁ τὰ ἐφ' ἑαυτοῦ γενόμενα συγγραψάμενος, ὡς Θουκυδίδης ὁ Ἀθηναῖος τὸν Πελοποννησιακὸν πόλεμον συνέγραψεν ἐπὶ αὐτοῦ γεγονότα· ἱστοριογράφος δὲ ὁ τὰ πρὸ αὐτοῦ ἅπαντα συγγράφων, ὡς Ἡρόδοτος· ῥήτωρ δὲ ὁ περὶ τὰ πολιτικὰ ζητήματα ἠσχολημένος, ὡς Δημοσθένης καὶ οἱ κατ' αὐτόν. Ποιητὴς δὲ κεκόσμηται τοῖς τέσσαρσι τούτοις, μέτρῳ, μύθῳ, ἱστορίᾳ καὶ ποιᾷ λέξει, καὶ πᾶν ποίημα μὴ μετέχον τῶν τεσσάρων τούτων οὐκ ἔστι ποίημα· ἀμέλει τὸν Ἐμπεδοκλέα καὶ τὸν Πύθιον καὶ τοὺς περὶ ἀστρολογίας εἰπόντας οὐ καλοῦμεν ποιητάς, εἰ καὶ μέτρῳ ἐχρήσαντο, διὰ τὸ μὴ χρήσασθαι αὐτοὺς τοῖς τῶν ποιητῶν χαρακτηριστικοῖς.

Ὡς ἐπὶ τὸ πολὺ λεγομένων·] τουτέστι τῶν ὑπὸ πολλῶν ἀρ- 185,10b χαίων διὰ μνήμης ἀξίως ἐνεχθέντων. Λείπει δὲ τὸ «λέξεων», ἵνα ᾖ τοιοῦτον ⟨τὸ⟩ ὅλον σημαινόμενον· χρειώδης ἐστὶν ἡ γραμματική, ἐμπειρία οὖσα τῶν ὡς ἐπὶ τὸ πολὺ λεγομένων λέξεων παρά τε τοῖς ποιηταῖς καὶ συγγραφεῦσιν.

Μέρη δὲ αὐτῆς ἕξ.] Τί δή ποτε τῆς γραμματικῆς μέρη λέγομεν, τῆς δὲ ῥητορικῆς εἴδη; καὶ τίνι διαφέρει μέρος εἴδους καὶ ὀργάνου; Εἶδος μὲν γὰρ τέλειόν τί ἐστιν, ὡς λέγομεν «εἶδος ζῴου ὁ ἄνθρωπος»· μέρος δέ ἐστιν ὃ μεθ' ἑτέρων συναγωγῆς τέλειόν τι ἀπεργάζεται· ὄργανον δὲ τὸ καὶ ἑτέραις τέχναις πεποιημένον, ἀντιπεπονθότως τῷ μέρει· τὸ γὰρ μέρος αὐτῷ μόνῳ πεποίηται, οὗ ἐστι μέρος, οἷον ὀφθαλμὸς ἐκείνῳ μόνῳ πεποίηται, οὗ ἐστι μέρος· τὸ δὲ ὄργανον καὶ ἑτέροις ἁρμόζει, οἷον τὸ σμιλίον οὐκ ἐπὶ ἑνὶ ἔργῳ χρήσιμον, ἀλλ' ἐν πολλοῖς ἔργοις. Ἰστέον δὲ ὅτι ἡ γραμματικὴ εἴδη οὐκ ἔχει· οὐ γὰρ τὸ ἀναγνωστικὸν ἢ τὸ ἐξηγητικὸν τέλειον ἀποτελεῖ γραμματικόν, ὥσπερ τὸ συμβουλευτικὸν ῥήτορα τέλειον. Διὰ τί δὲ τῶν ἓξ τούτων μὴ ὄντων μόνως μερῶν, ἀλλὰ καὶ ὀργάνων, τὰ πάντα μέρη ἐκάλεσεν; Καὶ λέγομεν ὅτι πρὸς εἰσαγομένους γράφων οὐκ ἀκριβολογεῖται. Ἰστέον δὲ ὅτι μέρος ἐστὶ τῆς γραμματικῆς τὸ ἀναγνωστικὸν μετὰ τῆς δεούσης προσῳδίας, καὶ τὸ ἐξηγητικόν, ὥς φησιν αὐτός, κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους, τουτέστι τοὺς

19—169, 2 hab. et. Σ^m (*in marg.* Διομήδους καὶ Στεφάνου N, *qui, item ut* V, *post 169, 2 statim addit* Σ^d *12, 3—13, 10, in contextu* Στεφάνου V) ‖ **19—31 hab. et.** O[d]

2 γὰρ *add* VΣ^1 | συγγραφ. VΣ^1, γραφικὴ C ‖ **3** καὶ ποι. *add* V ‖ **6** δὲ *add* VΣ^1; *item v. 7* | συγγρ. V, γράφων CΣ^1 ‖ **7** ζητήμ. *add* V ‖ **11** τὸν Πύθιον *Stadtmüller,* Τυρταῖον CVb | καὶ τοὺς — εἰπόντας *add* V | καλοῦμεν V, καλοῦσι C ‖ **13** ποιητῶν V, ποιητικῶν C ‖ **16** τὸ *add* b | σημαινόμενον b, σῆμα C ‖ **17** τε b, γε C ‖ **21** τί *add* O[d] ‖ **23** ἀντιπεπονθότως O[d]N, ἀντιπεπονθότος C, ἀντιπεπονθὸς V ‖ **27** εἴδη V, εἶδος CO[d]N ‖ **31** γράφων *add* O[d] | μέρος ἐστὶ V, ἐστὶ C, μέρη μέν ἐστι b

736b ἐγκειμένους τρόπους· ὄργανα δὲ τὰ λοιπά· καὶ γὰρ καὶ ἄλλαις τέχναις ταῦτα ἁρμόζει, οἷον τὸ γλωσσηματικὸν καὶ ῥήτορσι καὶ ἰατροῖς.

738,6b Πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν.] Πρῶτον λέγει τὴν ἀνάγνωσιν ἀναγκαίως, πρῶτον γὰρ φοιτῶντες εἰς γραμματικοὺς τὸ εὖ ἀναγινώσκειν μανθάνομεν· «ἐντριβὴς» δὲ ἡ τετριμμένη καὶ ἐκ παλαιῶν διδασκάλων παραδεδομένη ἀνάγνωσις.

Δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ⟨ποιητικοὺς τρόπους⟩.] Μετὰ τὸ διδαχθῆναι τὸν εἰσαγόμενον τὸ καλῶς ἀναγινώσκειν ἀναγκαῖον ἐκλέγεσθαι καὶ τῆς καλῶς ἀνεγνωσμένης λέξεως τὴν σημασίαν, ἥτις ἐστὶν ἐξήγησις, ἡ εἰς τὸ ἑξῆς ἡμᾶς ἄγουσα τοῦ νοῦ.

739,15b Τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις.] Πρῶτον μανθάνει ὁ εἰσαγόμενος, ὅτι μῆνιν βαρυτόνως δεῖ ἀναγινώσκειν· διδαχθεὶς δὲ καὶ τοῦτο ἀναγνοὺς ἀπαιτεῖ τὴν ἐξήγησιν· μαθὼν δὲ ὅτι ὀργὴν ἐπίμονον σημαίνει, ἀπαιτεῖ τὴν διάλεκτον, τίνες λέγουσι μῆνιν τὴν ὀργήν, καὶ ἀκούει ὅτι οἱ Ἴωνες. «Πρόχειρος» δὲ ἀντὶ τοῦ ἕτοιμος· «ἀπόδοσις» ἡ ἀπολογία. Δεῖ οὖν τὸν γραμματικόν, φησίν, ἐρωτώμενον ἢ περὶ σημασίας ἢ περὶ γλώττης ἢ ἱστορίας προχείρως ἀποδιδόναι τὴν αἰτίαν.

740b Τέταρτον ἐτυμολογίας εὕρεσις.] Μετὰ τὸ γνῶναι ἡμᾶς τὴν ἱστορίαν ἀναγκαίως τρέχομεν εἰς τὴν ἐτυμολογίαν. Ἐτυμολογία δέ ἐστιν ἀνάπτυξις λέξεως κατὰ τὸ δυνατόν· εἴρηται δὲ παρὰ τὸ ἔτυμον, ὅ ἐστιν ἀληθὲς καὶ πιθανόν.

30 175v Πέμπτον ἀναλογίας ἐκλογισμός.] Μαθὼν ὁ εἰσαγόμενος τὰ προειρημένα καὶ ἔμφρων γενόμενος, ἄρχεται καὶ περὶ τεχνικὰ καταγίνεσθαι καὶ πυνθάνεσθαι, τί δήποτε μῆνιν λέγομεν καὶ οὐχὶ μήνιδα.

741b Ἀναλογία δέ ἐστι λόγος ἀποδεικτικὸς καθ' ὁμοίου παράθεσιν τῆς ἐν ἑκάστῳ μέρει λόγου φυσικῆς ἀκολουθίας· εἴρηται δὲ ἀναλογία ἡ τὸν λόγον τὸν αὐτὸν συλλέγουσα καὶ τὰς λέξεις, καὶ ἰδίῳ κανόνι ἀπονέμουσα.

24 175v Ἕκτον κρίσις ποιημάτων.] Ὅταν γάρ τις ἀκριβῶς μαθὼν τὸ κατὰ προσῳδίαν ἀναγινώσκειν καὶ τοὺς ποιητικοὺς τρόπους καὶ τὴν

8—10 hab. et. Σ^m (Στεφάνου *in contextu* V, *in marg.* N) ‖ **12—15 hab. et. $\Sigma^m \Sigma^l$** ‖ **23—170, 10 hab. et. Σ^m** (Στεφάνου *add in cont.* V, *in marg.* N)

1 καὶ γὰρ καὶ V, καὶ ταῖς C ‖ **2** γλωσσημαντικὸν CV ‖ **4** ἀναγκαίως *Stadtmüller,* ἀναγκαῖον Cb ‖ **9** *post* ἀναγκαῖον *add* γὰρ πρῶτον φοιτῶντας εἰς γραμματικὸν πρῶτον τὸ εὖ ἀναγινώσκειν μανθάνειν· διὸ πρῶτον λέγει τὴν ἀνάγνωσιν V ‖ **10** *post* σημας. *add* δεῖ μανθάνειν V | ἐξήγ. ἡ V, ἡ ἐξήγ. C | ἡμᾶς — νοῦ C, τὸν νοῦν ἡμῶν ἄγουσα V, ἡμᾶς τοῦ νοῦ ἄγουσα N ‖ **12** *in marg.* Διομήδους N (*sed hoc nomen pertinet ad Σ^d 14, 23 seqq, quae paucis versibus post in* N *leguntur*) ‖ **14** τίνες δὲ λέγ. τὴν μῆνιν ὀργὴν C ‖ **16** ἢ b, ἡ C ‖ **24** τεχνικὰ V, τεχνικὸν N, τεχνῶν C, τέχνην b ‖ **26** Ἀναλογία — ἀκολουθ. (**27**) *om* V ‖ **27** ἀκολουθίας b, ἀναλογίας C | δὲ *add* V ‖ **28** ἰδίῳ κανόνι C, ἴδιον ἑκάστῳ κανόνα V ‖ **30** *in marg.* Διομήδους N | γάρ *om* V | μαθὼν *om* V ‖ **31** καὶ τοὺς b, κατὰ C, καὶ κατὰ V

γλῶτταν ⟨καὶ⟩ τὴν ἱςτορίαν ⟨καὶ⟩ τὴν ἐτυμολογίαν ⟨καὶ τὴν ἀναλογίαν⟩ διδαχθῇ, ἱκανός ἐςτιν ὁ τοιοῦτος κρίνειν. Κρίνει δὲ τὰ ποιήματα οὐχ ὅτι καλά ἐςτιν ἢ κακά· ποιητοῦ γὰρ ἂν εἴη τὸ τοιοῦτον· ἀλλ' ἐπειδὴ πᾶν μέτρον ὑπὸ τὴν τέχνην ἐςτίν, ἀνάγκη τὸν γραμματικὸν ταῦτα πάντα δια- 30 κρίνειν, εἰ τοῦ αὐτοῦ ἐςτι ποιητοῦ ἢ οὔ.

῝Ο δὴ κάλλιςτόν ἐςτι πάντων τῶν ἐν τῇ τέχνῃ.] Κάλλιςτον 742,6b εἶπε τοῦτο τὸ μέρος, οὐχ ὅτι τὰ ἄλλα ἀςθενέςτερά ἐςτιν· ἀλλ' ἐπειδὴ ςυμπέραςμά ἐςτι τῆς πάςης τέχνης τὸ κριτικὸν καὶ τρόπον τινὰ ςτέφανος, διὰ τοῦτο κάλλιςτον εἶπε, καὶ ὅτι εἰ μὴ πρόοιδέ τις τὰ λεχθέντα μέρη τῆς γραμματικῆς, τοῦ κρίνειν ποιεῖν τὸ ἔργον οὐ δύναται.

Πόςα θεωρούμενα περὶ τὴν γραμματικήν; Ὀκτώ· αἴτιον, ἀρχή, ἔν- 659,20b 171v νοια, ὕλη, μέρη, ὄργανα, ἔργα καὶ τέλος. Αἴτιον, κατὰ πᾶςαν γὰρ λέξιν αἴτιον ὁρᾶται καὶ αἰτιατόν. Ἀρχὴ δέ, ὅτι ἀρχὴν ἔχει ὥςπερ καὶ τέλος· ἀρχὴν γὰρ ἔχει τὰ ςτοιχεῖα. Ἔννοιαν δὲ λέγει τὸν ςκοπόν· ςκοπὸς γὰρ ὁρᾶται καὶ περὶ τὴν γραμματικήν, ὥςπερ καὶ περὶ τὴν διαλεκτικὴν καὶ τὰς λοιπὰς τέχνας καὶ ἐπιςτήμας. Ὕλην δὲ ἔχει πᾶςαν Ἑλληνίδα φωνήν. Μέρη δὲ λέγει, ἢ ὅτι πᾶςα Ἑλληνικὴ φωνὴ εἰς ὀκτὼ μέρη διαιρεῖται, ἢ ὅτι τῆς γραμματικῆς μέρη κυρίως τέςςαρα, διορθωτικόν, ἀναγνωςτικόν, ἐξηγητικόν, κριτικόν. Ὄργανα δέ εἰςι τέςςαρα τὰ περὶ τὴν γραμματικὴν ὄντα, γλωςςηματικόν, μετρικόν, τεχνικόν, ἱςτορικόν. 30 Ἔργα τὸ τὸν ἔμμετρον καὶ τὸν πεζὸν λόγον τεχνᾶςθαι. Τέλος τὸ μὴ ἁμαρτάνειν μήτε περὶ μίαν λέξιν μήτε περὶ πλείονας· τὸ γὰρ περὶ μίαν ἁμαρτάνειν βαρβαριςμός ἐςτι, τὸ δὲ περὶ πλείονας ςολοικιςμός· ςολοικιςμὸς δέ ἐςτιν ὁ τοῦ ςώου λόγου αἰκιςμός, ἤγουν ἡ ὕβρις ὁλοκλήρου λόγου.

§ 2.

Περὶ ἀναγνώςεως.

Ἀνάγνωςίς ἐςτι *etc.* = Σ^d 16, 4—25.

Ἄλλως. — [Τὸ ἀναγινώςκειν δοκίμως.] Τὸ δὲ δοκίμως ἀναγινώςκειν 743b πάντως ἐκ τριβῆς καὶ ἐπιμονῆς πολλῆς γίνεται· ἐνδέχεται οὖν τὸν γραμματικὸν οὕτως ἀναγινώςκειν καὶ ὅςοις μὴ ἐντετύχηκε ςυγγράμμαςιν, ὥςπερ ἐκεῖνα οἷς πολλάκις ἐντετύχηκεν· δεῖ γὰρ οὕτω προδιοικονομεῖν ἑαυτὸν καὶ ἐθίζειν ἐν οἷς ἐγχειρίζεται, ὡς ἐκ τούτων καὶ παρατυχόντα δοκεῖν πολλάκις ἀνεγνωςμένα. Ἀναγινώςκειν δὲ ⟨δεῖ⟩ κατὰ προςῳδίαν,

---

11—25 hab. et. Σ^m ‖ **11—18** (τέςς.) **hab. et.** O^d

1 καὶ τὴν γλ. — διδαχθῇ (2)] ἐξηγεῖςθαι κατορθώςειε, γλωςςῶν τε καὶ ἱςτοριῶν πρόχειρον ἀπόδοςιν καὶ ἐτυμολογίας ἐκλογιςμόν V ‖ 3 ἂν εἴη *om* V, ἂν *om* N | εἴη Nb, ἢ C ‖ 4 τὴν *om* V ‖ 5 ἢ οὔ V, *om* C ‖ 8 ἐςτι V, ἦν C ‖ 9 εἶπε — δύναται (10) V, *om* C; *cfr* Σ^d *15, 30 seq* ‖ 11 περὶ O^dV, κατὰ C ‖ 12 γὰρ *add* O^dV ‖ 13 ὥςπερ — ἔχει (14) *add* O^dV ‖ 17 φωνὴ O^dV, *om* C ‖ 18 διορθ. *post* ἐξηγ. (*v. 19*) *transp.* C ‖ 20 γλωςςημαντικόν CV ‖ 21 τὸν *bis add* V ‖ 27 *in marg.* Μελάμποδος C ‖ 31 πολλ. ἐντετύχε C | προςδιοικ. C

ἤτοι καθ' ὃν ἔχει τόνον ἡ λέξις, ὡς μὴ ἀναγνῶναι τὸ ὄρος ὀρός καὶ τὸ ἁγνός [ὁ καθαρός] ἄγνος, κἀντεῦθεν εἰς πλάνην ἀγαγεῖν τὸν ἀκροατήν, καὶ ἀντὶ τοῦ ὄρος, τυχὸν ὁ Ὑμηττὸς ἢ τὸ Τηΰγετον ἤ τι ἄλλο, ὀρὸν νοῆσαι, ἤγουν τὸ ὑδατῶδες τοῦ γάλακτος, καὶ πάλιν ἀντὶ τοῦ ἁγνός (ὁ καθαρός) τὸ φυτὸν ὑπολαβεῖν λέγεσθαι τὸν ἄγνον· ἄγνος γάρ ἐστι φυτὸν ἄγονον καὶ ἄκαρπον.

Ἐκ δὲ τῆς προσῳδίας *etc.* = Σ^d 16, 26—22, 13.

742,14b *Stephani.* — Ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά.] Πᾶς ὅρος ἀπὸ γένους καὶ εἴδους καὶ διαφορᾶς συνίσταται· καὶ πάλιν πᾶς ὅρος ἀπ' εὐθείας ἄρχεται, οἷον ὁ τοῦ ἀνθρώπου ὅρος, «ἔστι ζῷον λογικὸν θνητόν»· ἰδοὺ τὸ ζῷον γένος ἐστίν, εἶδος ⟨δὲ⟩ τὸ λογικόν, θνητόν δὲ διαφορά, καὶ πάλιν τὸ ζῷον εὐθείας πτώσεώς ἐστιν. Ἐπὶ δὲ τοῦ προτεθέντος ὅρου ⟨οὐκ ἔστι τοῦτο, οὐ γὰρ ἀπ' εὐθείας ἄρχεται. Λεκτέον δὲ ὅτι⟩ ἐὰν ἀναστρέψωμεν τὸν ὅρον, εὑρίσκομεν ὑγιῶς ἔχοντα, ἤγουν «ἀνάγνωσίς ἐστι προφορὰ ἀδιάπτωτος ποιημάτων ἢ συγγραμμάτων»· ἰδοὺ γὰρ ἀπ' εὐθείας ἤρξατο, καὶ ⟨συνίσταται⟩ ἀπὸ γένους καὶ εἴδους καὶ διαφορᾶς· προφορὰ γοῦν ἐστιν ἡ ἐκφώνησις, ἥ ἐστι γένος, εἶδος δὲ ⟨τὸ⟩ ποιημάτων ἢ συγγραμμάτων, τὸ δὲ ἀδιάπτωτος ἐστὶν ἀδιάπταιστος, ὅπερ ἐστὶ διαφορά. Μόνης δὲ τῆς ἀναγνώσεως τὸν λόγον ποιησάμενος, οὐκέτι περὶ τῶν ἄλλων μερῶν διεξέρχεται τῆς γραμματικῆς, οἷον περὶ τῆς ἐξηγήσεως καὶ τῶν λοιπῶν μερῶν· σκοπὸς γὰρ αὐτῷ πρὸς εἰσαγομένους γράφειν, δεῖ δὲ τοὺς εἰσαγομένους δυσχερῶν ἀπέχεσθαι διδαγμάτων· ἐπεὶ οὖν ὁ τῆς ἐξηγήσεως καὶ τῶν ἄλλων μερῶν λόγος ποικίλος τις ἦν καὶ πολλῆς ἀκριβείας δεόμενος, ἀναγκαίως παρῆκεν ὁ τεχνικός, περὶ μόνης δὲ τῆς ἀναγνώσεως ποιεῖται τὸν λόγον.

743,16b 179v Καὶ ἄλλως εἰς τὸ αὐτό. — Στέφανος. — Ἀναγνῶσαι τὸ ἀναπεῖσαι, ὡς καὶ παρ' Ἴωσιν· Ἡρόδοτος οὖν φησι ⟨I 87⟩ τίς σε ἀνθρώπων ἀνέγνω⟨σεν⟩ ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενον; ἀντὶ τοῦ ἀνέπεισεν· ἀνάγνωσις οὖν ἡ ἀνάπεισις, ἀναπείθουσι γὰρ οἱ καλῶς ἀναγινώσκοντες· ἢ περιττή ἐστιν ἡ ἀνά, γνῶσις γάρ ἐστιν ἡ ἀνάγνωσις.

8—172, 9 hab. et. O^d ‖ **8—172, 16 hab. et.** Σ^m (Στεφάνου ἑρμηνεία εἰς τὸ περὶ ἀναγνώσεως V, *in marg.* Στεφάνου N)

3 Ὑμητ. — ὀρὸν (**4**) b, ὑμιτὸς ἢ τὸ τιΰγε ἐστὶν ἄλλο ὀρρὸς C ‖ **8—174, 24** *videntur esse Stephani* ‖ **9** καὶ εἴδους *om* V ‖ **12** εἶδος — διαφ.] τὸ λογ. θν. διαφορά V ‖ **13** προτεθέντος b, προτιθέντος CO^d, προλεχθέντος V | οὐκ — ὅτι (**14**) *om* CO^dV ‖ **16** καὶ — διαφορᾶς (**17**)] καὶ γένει καὶ διαφορᾷ κέχρηται V | καὶ (*ante* συν.) O^d, *om* C | συνίστ. *om* CO^d ‖ **18** εἶδος — συγγρ. *om* V | *prius* τὸ *add* b ‖ **19** ἐστὶν — ἐστὶ *add* V ‖ **21** τῆς γραμμ. — μερῶν (**22**) *add* V ‖ **22** σκοπὸς — λόγον (**26**) *om* O^d ‖ **27—31** *om* V, *habet* N | εἰς — Στέφ. *om* N | ἀναγνῶναι CO^dNb ‖ **28** καὶ O^dN, *om* C ‖ **29** ἀνέγνω CO^dN | *ante* γῆν *add* τὴν N ‖ **30** ἀναπείσονται C, ἀναπείθονται O^dN | καλῶς] κακῶς CO^dN ‖ **31** ἡ ἀνά O^dN, ἡ ἀνάγνωσις C, ἡ ἀνά πρόθεσις b

Ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ 744b 180v διαστολήν.] Ὑπόκρισίς ἐστι μίμησις ἁρμόζουσα τοῖς ὑποκειμένοις προσώποις ἔν τε λόγῳ καὶ σχήματι· οὐ μόνον γὰρ δεῖ μιμεῖσθαι τῷ λόγῳ τὰ πρόσωπα, ἀλλὰ καὶ τὰς τῶν σωμάτων κινήσεις κατὰ τὸ ἀπαιτοῦν, ὡς ἐν τῷ Ὀρέστῃ τοῦ Μενελάου μηδὲν εἰρηκότος αὐτῷ ἀποκρίνεται ⟨ὁ Ὀρέστης⟩, λέγων ⟨644⟩ οὐ χρήματ' εἶπον· δηλοῦται γὰρ ἐκ τούτου, ὡς οὐ λόγῳ γεγένηται ἡ ὑπόκρισις, ἀλλὰ μόνῳ τῷ σχήματι, τοῦ Μενελάου τὰς χεῖρας ἀνατείναντος καὶ τρόπον τινὰ μετασχηματιζομένου ὡς οὐδὲν εἰληφότος. «Καθ' ὑπόκρισιν» 10 οὖν, τουτέστι κατὰ μίμησιν τῶν προσώπων. «Κατὰ προσῳδίαν» δέ, του- 15 τέστι κατὰ τόνον· προσῳδία γάρ ἐστι σημεῖον λέξεων τοῖς φωνήεσιν ἑπόμενον· κατὰ προσῳδίαν οὖν, τουτέστι κατὰ τὸν ὀρθὸν τόνον. «Κατὰ 19 διαστολὴν» δέ, τουτέστι κατὰ χωρισμὸν τῶν διανοιῶν· διαστολὴ γάρ ἐστι σημεῖον λέξεων ὁμοῦ μὲν γεγραμμένων, μὴ ὁμοῦ δὲ νοουμένων· διαστολὴν δὲ ἐκάλεσε τὴν στιγμὴν ἐκ τοῦ διαστέλλειν λέξεις ἀπὸ λέξεων καὶ σημαινόμενον ἀπὸ σημαινομένου.

Ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν.] Τραγῳδία 747b ποίησίς ἐστιν. Εἴρηται δὲ τραγῳδία παρὰ τὸ τραχύς καὶ τὸ ᾠδή, ἐκ μεταφορᾶς τῆς τῶν τράγων φωνῆς· ἐκεῖνοι γὰρ τραχεῖαν ᾠδὴν ᾄδουσιν· ἢ τραγῳδία ἐστὶ ποίημα ἐπιτάφιον, ὅπερ οἱ τότε ποιοῦντες ἀντὶ μισθοῦ τράγον ἐλάμβανον, καὶ ἐκαλεῖτο τραγῳδία. «Ἡρωϊκῶς», δέ, τουτέστιν ἀξιοπίστως, μετὰ πολλῆς σεμνότητος καὶ ὄγκου· δεῖ γὰρ ἡμᾶς τραγικὰ προφερομένους κατὰ πάντα τρόπον μιμεῖσθαι τοὺς ἥρωας, καὶ μεγέθει σώματος καὶ λόγου ὑπερβολῇ.

Τὴν δὲ κωμῳδίαν βιωτικῶς.] Κωμῳδία ἐστὶν ἡ ἐν μέσῳ λαοῦ 10 κατηγορία ἤγουν δημοσίευσις· εἴρηται δὲ παρὰ τὸ κώμη καὶ τὸ ᾠδή, ἔστι δὲ εἶδος ποιήματος ἐν κώμαις κατὰ τὸν βίον ᾀδόμενον. Διὰ τοῦτο καὶ «βιωτικῶς» λέγεται, τουτέστιν ἱλαρῶς, ὡς ἂν εὔξαιτό τις βιῶναι, ἀντὶ τοῦ ἐν ἡδονῇ καὶ γέλωτι· δεῖ οὖν τὸν τὴν κωμῳδίαν ὑποκρινόμενον μετὰ γέλωτος καὶ πολλῆς ἀστειότητος καὶ ἱλαροῦ τοῦ προσώπου προφέρεσθαι. Ἢ «βιωτικῶς» κατὰ μίμησιν τοῦ βίου, ἵνα εἰ μὲν ὑπό-

29—173, 4 hab. et. O^d

2 μίμησις *add* V ‖ **4** τὰ πρόσωπα CO^d, τὰ σχήματα τῶν προσώπων V ‖ **5** τοῦ O^dV, τὴν C ‖ **6** αὐτῷ CO^dV, αὐτοῦ b | ὁ Ὀρ. *om* CO^dV ‖ **7** γὰρ O^dV, *om* C | γεγένηται O^dV, γένηται C ‖ **9** μετασχηματισαμένου V | Καθ' — προσώπ. (10) *om* V ‖ **11** *post* τόνον *add* χρόνον πνεῦμα πάθος V | τῶν λέξ. b | λέξεως V ‖ **12** κατὰ πρ. — τόνον *om* V ‖ **13** *post* διανοιῶν *add* V: κατὰ διάστασιν γὰρ δεῖ ⟨προ⟩φέρεσθαι τὰ ποιήματα καὶ ⟨ἀποκόπτειν⟩ ὅπου ὀφείλει ἀποτίθεσθαι ὁ τέλειος νοῦς, ἵνα μὴ ἀποκοπὰς τοῦ τελείου νοὸς ποιοῦντες ἀταξίαν ἐργαζώμεθα | γάρ] δέ V ‖ **14** λέξεων — νοουμένων V, λέξεως ὁ. γεγραμμένον μὴ ὁ. δὲ νοούμενον C ‖ **15** λέξεις — λέξεων C, καὶ διαχωρίζειν λέξιν ἀπὸ λέξεως V ‖ **28** ἂν εὔξαιτό τις b, διεύξαιτό τις C ‖ **29** τὸν — ὑποκρινόμενον] τῷ — ὑποκρινομένῳ O^d, τῷ — ὑποκειμένῳ C ‖ **31** προσφέρεσθαι C, φέρεσθαι O^d | εἰ μὲν] ἂν μὲν C, ἐὰν μὲν O^1

κειται γέρων, μιμησώμεθα τὴν φωνὴν τοῦ γέροντος, εἰ δὲ γυνή, μιμησώμεθα τὴν φωνὴν τῆς γυναικός. Διαφέρει δὲ κωμῳδία τραγῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν ἔχει καὶ ἀπαγγελίαν πράξεων γενομένων, ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων.

750,17b Τὰ δ' ἐλεγεῖα λιγυρῶς.] Ἐλεγεῖόν ἐστιν εἶδος μέτρου ἐκ δύο πενθημιμερῶν συγκείμενον, παρὰ τὸ ἔλεγος, ὃ δηλοῖ τὸν θρῆνον· τοῦτο πάλιν παρὰ τὸ ἒ ἒ λέγειν, ὡς γὰρ ἐλεοῦντες τοὺς ἀποιχομένους τοῦτο ἐφεῦρον τὸ μέτρον. Ἢ ἐλεγεῖόν ἐστι θρῆνος ἐπιτάφιος, οἱονεὶ ἐλεεῖόν τι ὄν, τοῦ γ̄ ἐκθλιβομένου, παρὰ τὸ ἐλεεῖν τὸν τετελευτηκότα· ἢ εὐλογεῖον, παρὰ τὸ εὖ λέγειν τὸν ἀποβιώσαντα. Ἐπειδὴ δὲ οἱ τεθνηκότες ἔλλειψίν τινα ἔχουσιν, ἤγουν τοῦ ζῆν, τούτου χάριν καὶ τὰ ἐλεγεῖα, ὡς ἐπὶ τοῖς τεθνηκόσι λεγόμενα, ἐλλείπουσι πόδα πρὸς τὸν δακτυλικὸν στί-
178v χον. Ἰστέον δὲ ὅτι ἐλεγεῖον ἐλεγείας διαφέρει· ἐλεγεῖον γάρ ἐστιν, ὅταν εἷς στίχος ὑπάρχῃ καὶ πεντάμετρος, ἐλεγεία δέ, ὅταν ὅλον τὸ ποίημα ἀμοιβαῖα ἔχῃ τὰ μέτρα, ἑξάμετρον καὶ πεντάμετρον. — «Λιγυρῶς» δέ, οἷον ὀξέως ἀναγινώσκειν ἡμᾶς δεῖ τὰ ἐλεγεῖα, ὡς ἂν συμπεπνιγμένους καὶ ἐκπεπληγμένους τῷ πλήθει τῶν κακῶν· ἢ «λιγυρῶς» ἤγουν γλυκερῶς, λιγὺς γὰρ ὁ γλυκύς.

751,9b Τὸ δὲ ἔπος εὐτόνως.] Ἔπος κυρίως ὁ ἔμμετρος λόγος λέγεται, καταχρηστικῶς δὲ καὶ πᾶς λόγος· νῦν δὲ ⟨οὐ⟩ πάντα λόγον λέγει· ἢ ἔπος τὸ ἑξάμετρον· ἐκείνη δὲ ἡ ποίησις ἔπος λέγεται, ὅτε τὸ σωμάτιον ὅλον ἐκ τοῦ ἡρωϊκοῦ στίχου σύγκειται. Τὸ δὲ εἰπεῖν «εὐτόνως» οὐ λέγει κατὰ τόνον, ἀλλ' εὐτόνως τουτέστι μετὰ δυνάμεως· τόνος γάρ ἐστιν ἡ δύναμις· ἐπείπερ τινὲς ἀναγινώσκοντες μαλθακύνουσιν ἑαυτῶν τὰς φωνάς, οὐ δεῖ δὲ μαλθακῇ τῇ φωνῇ ἡρώων πράξεις προάγεσθαι. — Ἔπος δὲ παρὰ τὸ ἕπεσθαι τῷ μέτρῳ, ὅλου τοῦ σωματίου ἐξ ἡρωϊκοῦ συγκειμένου.

752,5b Τὴν ⟨δὲ⟩ λυρικὴν ποίησιν ἐμμελῶς.] Ποίησίς ἐστι λυρική·
179v εἴρηται δὲ λυρικὴ ἀπὸ τοῦ ἀξιοπίστου ὀργάνου· οὐ μόνον γὰρ πρὸς λύραν ἐλέγετο, ἀλλὰ καὶ πρὸς αὐλὸν καὶ βάρβιτον καὶ κιθάραν καὶ ἁπλῶς εἰπεῖν πρὸς πᾶν ὄργανον μουσικόν· ἀλλ' ἐπειδὴ τῶν ἁπάντων τὸ ἀξιοπιστότατον ὄργανον ἡ λύρα ἐστίν, ἀπὸ ταύτης ὠνόμασται. Εἴρηται δὲ λύρα, λύτρα τις οὖσα· φασὶ γὰρ ὅτι ποτὲ Ἑρμῆς ἐν Ἀρκαδίᾳ

2—18 hab. et. Σ^l ‖ 10—18 hab. et. Σ^m ‖ 13—18 hab. et. O^d ‖ 19—27 similia hab. $\Sigma^m\Sigma^l$ ‖ 28—174, 4 hab. et. Σ^m, similia Σ^l ‖ 28—174, 24 hab. et. O^d

3 μὲν $O^d\Sigma^l$, *om* C | ἀπαγγ. Σ^l, ἐπαγγ. CO^d | γενομ. Σ^l, γινομ. CO^d ‖ 5 ἐκ — συγκείμ. (6) *om* Σ^l ‖ 6 συγκείμενον] τεμνόμενον Cb ‖ 7 πάλιν b, μᾶλλον C, δὲ Σ^l | *alterum* ἒ *add* Σ^l | γὰρ Σ^l, προ C, περ hb | ἀποιχομ. C, κατοιχομ. Σ^l ‖ 10 δὲ V, καὶ Σ^l, *om* C ‖ 12 πόδα CVΣ^l, ποδὶ b ‖ 16 συμπ. καὶ *om* V | συμπεπνιγμένους $O^d\Sigma^l$, συμπεπλιγμένους C, συμπεπληγμένους b ‖ 18 γὰρ O^dVΣ^l, *om* C ‖ 21 δὲ *add* V | ὅτε] ὅταν CV ‖ 22 ἡρωϊκοῦ CV, ἑξαμέτρου b ‖ 23 τόνος *RSchneider*, τάσις Cb ‖ 25 προάγεσθαι Σ^l, προσάγεσθαι Cb ‖ 30 ἐλέγ.] ᾔδετο V | καὶ κιθ. *add* Σ^l ‖ 32 ὠνόμασται O^dVΣ^l, ὠνόμασθαι C, ὠνομάσθη b ‖ 33 δὲ O^dVΣ^lb, γὰρ C | ἐν — δὲ (174, 2) *om* Σ^l

ἀναστρεφόμενος εὗρε χελώνην, καὶ διακόψας ἐποίησε κοιλίαν λύρας· ἡνίκα δὲ τὰς τοῦ Ἡλίου βοῦς κλέψαι ἠβουλήθη, καὶ διὰ τὸ μαντικὸν τοῦ θεοῦ οὐκ ἠδύνατο, συνελήφθη· εἰδὼς δὲ καὶ τοῦ θεοῦ τὸ μουσικόν, δέδωκεν ὑπὲρ ἑαυτοῦ τὴν λύραν λύτρον, καὶ ἠλευθερώθη τοῦ ἐγκλήματος.

Τοὺς δὲ οἴκτους ὑφειμένως.] Εἶδος μὲν ποιήσεως ὁ οἶκτος 27
οὐκ ἔστιν, εὑρίσκεται δὲ ἐν παντὶ εἴδει ποιήσεως, παρὰ λυρικοῖς, παρ' ἐλε-
γειογράφοις, ὁμοίως καὶ παρὰ τοῖς τὰ ἔπη γράφουσιν, ὡς καὶ παρ' Ὁμή- 30
ρῳ Ἀνδρομάχη λέγει ἐλεεινολογουμένη πρὸς Ἕκτορα ⟨Z 407⟩ δαι-
μόνιε, φθίσει σε τὸ σὸν μένος, καὶ πάλιν ⟨Ω 725⟩ ἆνερ, ἀπ' αἰ- 753b
ῶνος νέος ὤλεο. Λέγει οὖν τοὺς οἴκτους προφέρεσθαι «ὑφειμένως καὶ γοερῶς», τουτέστι συνεσταλμένως, ταπεινῶς καὶ μετὰ πένθους, οἰκτρῶς, θρηνητικῶς· δεῖ γὰρ τὸν ἀναγινώσκοντα τὸν οἶκτον τοιοῦτον φαίνεσθαι, ὡς ἐλεεῖσθαι ὑπὸ τῶν ἀκουόντων.

Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν καὶ τὰ
ἑξῆς.] Ἡ παρά πρόθεσις σημαίνει καὶ ἐγγύτητα, σημαίνει καὶ χωρισμόν,
ὡς ἂν εἴποι τις ἐπὶ χωρισμοῦ «πάντες συνήχθημεν ἐν τῇ διατριβῇ παρὰ 10
τόνδε», ἀντὶ τοῦ ἐκτὸς τοῦδε, καὶ πάλιν ἐπὶ πλησιασμοῦ «πάντες συνήχθημεν παρὰ τόνδε», τουτέστιν ἐγγὺς τοῦδε. Ἐνταῦθα οὖν τὴν παρά πρόθεσιν ἐπὶ πλησιασμοῦ εἴρηκε· «τὰ γὰρ μὴ παρὰ τὴν τούτων» φησί, τουτέστι τὰ μὴ πλησίον τούτων καὶ κατὰ τὴν αὐτῶν ῥῆσιν προφερόμενα· «καταρρίπτει» δὲ ἀντὶ τοῦ ἐξουθενεῖ· «ἕξεις» δὲ τὰ σχήματα λέγει. Καλῶς δὲ εἶπε «καταγελάστους παρίστησιν»· ἀρκεῖ γὰρ τοῖς ἀπαιδεύτοις ἀλόγως προφερομένοις τὰ μαθήματα πρὸς τιμωρίαν ὁ παρὰ τῶν ἀν-
θρώπων κατ' αὐτῶν γινόμενος γέλως. 20

§ 3.

Περὶ τόνου.

Μελάμποδος. — Τόνος ἐστὶν ἀπήχησις *etc.* = Σ^d 22, 15—24, 7.

⟨*Stephani.*⟩ — Τόνος ἐστὶν ἀπήχησις φωνῆς ἐναρμονίου.] 754,10b
Ἐκεῖνα μόνα πειρᾶται παραβάλλειν ὁ τεχνικός, ὅσα τοῖς εἰσαγομένοις ὠφελεῖν δύναται. Ἐπεὶ οὖν οἱ εἰσαγόμενοι πρῶτον ἀναγνώσει ἐντυγχά-

5—13 hab. et. Σ^m ‖ **15—24 hab. et. Σ^m** (*in marg.* Στεφάνου N) ‖ **22—24 hab. et. Σ^l** ‖ **27—175, 33 hab. et. Σ^m**

2 τὰς τοῦ VΣ^l, τὰς O^d, τοῦ C ‖ **3** οὐ δεδύνητο Cb, οὐ δεδύνηται O^d, μὴ δυνάμενος Σ^l, *om* V | συνελήφθη VΣ^l, ἀνελήφθη CO^db | καὶ *om* V ‖ **4** δέδωκεν CO^dVΣ^l, ἔδωκεν *R Schneider* | Σ^l *add*: ἀπὸ δὲ τοῦ πρώτου εὑρόντος τὴν ὀνομασίαν ἔσχεν ‖ **10** ὤλετο C | οἱ. καὶ θρήνους προσφ. V ‖ **11** *poster.* καὶ *om* V ‖ **14** καὶ τὰ ἑξῆς *Uhlig*, καὶ τὰς ἕξεις Cb, *om* O^d ‖ **17** τοῦ O^dV, *om* C ‖ **21** καταρρ. — λέγει *om* V | καταρρίπτει C, καταρριπτεῖ O^d | τὰ σχήματα] τὰς μνήμας *in ras.* C^1, τὰς γνώμας O^d ‖ **22** δὲ O^dVΣ^l, *om* C | ἀπαιδεύτως καὶ ἀλόγως V ‖ **27—175, 32** *videntur esse Stephani* ‖ **28** μόνα *om* V | ὅσα μὴ δυσχερῆ τοὺς δὲ εἰσαγομένους V

νουcιν, καὶ ἀναγκαῖον ᾠήθη περὶ ταύτης διαλαβεῖν, περιcπούδαcτον δὲ
ἡγήcατο καὶ περὶ τῶν παρεπομένων τῇ ἀναγνώcει ἀφηγήcαcθαι· ἔcτι δὲ
ταῦτα τόνοc καὶ cτιγμὴ καὶ διαcτολή· καίτοι ἀκόλουθον ἦν μετὰ τὸν
περὶ ἀναγνώcεωc λόγον εἰπεῖν τὸν περὶ ἐξηγήcεωc, δεύτερον γὰρ μέροc
τῆc γραμματικῆc ἡ ἐξήγηcιc. Λέγει δὲ τὸν τόνον εἶναι ἀπήχηcιν τῆc
20 ἐναρμονίου φωνῆc ἤγουν τῆc ἐνάρθρου, τουτέcτι τῆc ἀνθρωπίνηc· μόνη
γὰρ ἡ τοῦ ἀνθρώπου φωνὴ ἔναρθροc· ὅθεν καὶ φώc ὁ ἄνθρωποc, ὡc
εἶναι αὐτὴν φωτεινοειδῆ τινα, τὴν φωτίζουcαν καὶ cαφηνίζουcαν τὰ
ἐντὸc τοῦ νοῦ. Ὅθεν καὶ ἐναρμόνιόc ἐcτι, τουτέcτιν ἔναρθροc, ἡ ἀπὸ
διανοίαc ἐκπεμπομένη καὶ εἰc διάνοιαν ἀνερχομένη, ἣ καὶ διεξοδικὴ κα-
λεῖται· διεξοδικὴν δὲ καλοῦμεν τὴν ἐγγράμματον. Τῶν γὰρ φωνῶν δια-
φοραὶ δύο, ἐγγράμματοc καὶ ἀγράμματοc· καὶ ἐγγράμματοc μέν, ἣc ὁ
νοῦc εἰcακούων διέξειcι τὰ cτοιχεῖα, ἀγράμματοc δέ, ὡc οἱ ψόφοι. Ἐπεὶ
30 δὲ καὶ ἄλλα ἐcτὶ ζῷα τὴν ἐναρμόνιον φωνὴν ἀπομιμούμενα, καὶ φθέγ-
γεται ὡc δοκεῖν ἀνθρώπου ἀκούειν, ἆρα κἀκείνων εἴποιμεν ἐναρμόνιον
εἶναι τὴν φωνήν; Φαμὲν οὔ· μιμεῖται γὰρ τὴν τοῦ ἀνθρώπου φωνήν,
755b οὐκ ἀπὸ διανοίαc δὲ ἐκπέμπεται. Πᾶcα οὖν φωνὴ ἐκπεμπομένη μετὰ
δυνάμεωc ἐκπέμπεται· αὕτη οὖν ἡ δύναμιc κατὰ τὸν τεχνικὸν τόνοc
λέγεται· ἀνάγκη οὖν πᾶcαν cυλλαβήν, ἥτιc cυντείνει εἰc τὴν τοῦ ἀν-
θρώπου φωνήν, τόνον ἴδιον ἔχειν.

14 Ἢ κατὰ ἀνάταcιν ἐν τῇ ὀξείᾳ, ἢ κατὰ ὁμαλιcμὸν ἐν τῇ
βαρείᾳ, ἢ κατὰ περίκλαcιν ἐν τῇ περιcπωμένῃ.] Ἀμήχανόν ἐcτι
φωνὴν δίχα τάcεωc ἀποτελεcθῆναι· εἰ γὰρ φωνή ἐcτιν ἀὴρ πεπληγ-
μένοc, δεῖ δὲ τὴν πλῆξιν μετὰ τάcεωc γίνεcθαι, οὐκ ἂν εἴη φωνὴ δίχα
τόνου· πᾶcα τοίνυν cυλλαβὴ τόνῳ κέχρηται. Τῶν δὲ τόνων οἱ μὲν
30 εἰcιν ὀξεῖc, οἱ δὲ βαρεῖc· ὁ γὰρ περιcπώμενοc cύνθετόc ἐcτιν ἐξ ἀμφοῖν.
Ὅcαι τοίνυν τῶν cυλλαβῶν τὸν ὀξὺν ἔχουcι τόνον, τρόπον τινὰ ταῖc
⟨ἄλλαιc⟩ cυλλαβαῖc ἐπιcκιάζουcαι τὸν ἐν αὐταῖc βαρύν τε καὶ ὁμαλὸν
τόνον οὐκ ἐῶcιν ἐξακούεcθαι· ὅμωc γε μὴν οἱ γραμματικοί, τῷ τέλει
προcέχοντεc τῶν λέξεων, ὥcπερ ὀξύτονα καλοῦcι τὰ ἐπὶ τῆc τελευταίαc
cυλλαβῆc τὴν ὀξεῖαν ἔχοντα, οὕτω καὶ βαρύτονα τὰ ἐπὶ τοῦ τέλουc
ἔχοντα τὴν βαρεῖαν. — Τόνοc δέ ἐcτιν ἐπίταcιc ἢ ἄνεcιc ἢ μεcότηc
cυλλαβῆc εὐφωνίαν ἔχουcα.

757,13b 181v Εἰc τὸ αὐτό. — Πορφυρίου. — Τῶν τόνων γνήcιοι μέν εἰcι δύο,

---

5—11 hab. et. O^d ‖ 34—176, 13 (τεχνικὸc) hab. et. Σ^m ‖ 34—176, 14 hab. et. O^d (*qui in marg. add* Πορφυρίου) *et* Σ[1]

1 καὶ *om* b ‖ 2 περὶ V, πρὸ C ‖ 3 τὸν *om* C ‖ 5 τῆc γραμμ. *add* V ‖ 7 ἔναρθροc b, ἐναρμόνιοc V, *om* CO^d ‖ 9 ἡ C, *om* O^d V ‖ 10 ἐκπεμπ. C, πεμπομένη O^d V | ἀνερχομ. C, ἐρχομένη O^d V ‖ 12 καὶ *ante* ἐγγρ. *add* V ‖ 13 εἰc ἀκοὴν V ‖ 17 *post* φωνὴ *add* ἀπὸ διανοίαc V ‖ 22 *in marg. add* Cτεφάνου N ‖ 28 ἄλλαιc *om* CV, *add* b ‖ 30 τὴν τελευταίαν cυλλαβὴν C ‖ 32 Τόνοc — ἔχουcα (33) *om* b ‖ 33 cυλλαβῆc C, cυλλαβῶν V ‖ 34 Εἰc — Πορφ. *om* V Σ[1]

ὅ τε ὀξὺς καὶ ὁ περισπώμενος· ἀλλ' ὁ μὲν κατ' ἀπαθοῦς λέξεως τίθεται, ὁ δὲ κατὰ πεπονθυίας, ὁ περισπώμενος, καὶ ἔστι σύνθετος ἐκ τῆς ὀξείας καὶ τῆς βαρείας συντεθειμένων εἰς τὸν περισπώμενον· καὶ οὐκ ἂν εὕροι τις πεπονθυῖαν λέξιν μὴ ἐκ τῆς ὀξείας καὶ τῆς βαρείας συντιθεμένην εἰς τὸν περισπώμενον. Ὁ δὲ ἕτερος τόνος, ὁ βαρύς, νωθής ἐστι καὶ βραδύς, ὡς ἔστι γνωρίζειν καὶ ἀπὸ τῶν σχημάτων· [ὁ μὲν γάρ, ἅτε δὴ λεπτὸς καὶ ἐλαφρὸς ὤν, ἀνωφερής ἐστιν·] ὃν ⟨γὰρ⟩ τρόπον ἐπὶ τῶν στοιχείων ὅσα μέν ἐστι βαρύτατα κάτω νένευκεν, ὡς ἡ γῆ καὶ τὸ ὕδωρ, ὅσα δὲ κουφότατα, τὴν ἄνω φορὰν διώκει, ὡς ὁ ἀὴρ καὶ τὸ πῦρ, οὕτως οὖν καὶ ὁ ὀξὺς τόνος, ἐλαφρὸς ὤν, ἀνατρέχει καὶ ἄνω νένευκεν, ὁ δὲ βαρύς, ἅπαξ νωχελὴς ὢν καὶ κατὰ μικρὸν βαδίζειν δυνάμενος, κάτω νένευκεν, ἐκ μεταφορᾶς τῶν τὰ ἄχθη ἐπιφερομένων· οὗτοι γὰρ πιεζόμενοι κάτω νεύουσιν. Καὶ διὰ τοῦτο καὶ ὁ τεχνικὸς «κατὰ ὁμαλισμόν» φησιν· ὁμαλισμὸς δὲ τὸ βραδὺ καὶ χθαμαλόν. Ὁ δὲ περισπώμενος σύνθετός ἐστιν, ἔκ τε ὀξείας καὶ βαρείας συναιρούμενος.

§ 4 (4 et 5b).

Περὶ στιγμῆς.

Μελάμποδος. — Στιγμαί εἰσι τρεῖς *etc.* = Σ^d 24, 9—28, 8.

Stephani. — Καὶ ἄλλως. — Στιγμαί εἰσι τρεῖς, τελεία, μέση, 759,26 b
ὑποστιγμή.] Σκοπὸν ἔχων ὁ τεχνικὸς εἰσαγωγικὴν γράφειν τέχνην ἀποφεύγει τῶν προσῳδιῶν τὰ δυσχερῆ, τουτέστι τὸ πνεῦμα, τὸν χρόνον καὶ τὰ πάθη· ἐπεὶ γὰρ ὁ περὶ τούτων λόγος πολὺς ἦν καὶ πολλῶν θεωρημάτων δεόμενος, ἦν δὲ αὕτη ἡ διδασκαλία πρὸς παῖδας ἀπρόσφορος, ἀναγκαίως καὶ αὐτὸς παρῆκεν. Ἵνα δὲ μὴ παντελῶς ἡμᾶς ἀνοήτους καταλίπῃ, ὥσπερ τις καλὸς τροφεὺς ἐκ παντὸς ἐδέσματος λαβὼν μεταδίδωσι παιδὶ τρεφομένῳ αὐτῷ, οὕτω καὶ οὗτος παντὸς τεχνικοῦ διδάγματος τὰ λεπτομερῆ συνάγων παρατίθησιν ἡμῖν, καὶ μεταβαίνει πάλιν 760 b
ἐπὶ τὴν στιγμήν· σύμφορος γάρ ἐστι καὶ αὕτη τῇ ἀναγνώσει τῆς γραμ-

---

18—179, 2 hab. et. O^d ‖ **18—177, 32 hab. et.** Σ^m ‖ **19—23 hab. et.** Σ^l

1 ἀλλ'] καὶ V | κατ' ἀπαθοῦς b, κατὰ ἀπαθοῦς V, κατὰ πάθος C$O^d\Sigma^l$ | λέξεως *om* Σ^l ‖ 2 τῆς (*post* καὶ) *add* O^d ‖ 3 συντεθ. — περισπ. *om* Σ^l | συντεθειμένης O^d, συντιθέμενος C, μὴ οὐχὶ συντιθεμένων V | καὶ οὐκ — περισπ. (5) *om* O^dV ‖ 5 ὁ βαρύς *et* ἐστι *add* V ‖ 6 βραδύς] βαρὺς Σ^l | ὡς] ὅς C ‖ 7 καὶ *add* O^d ‖ 9 τὴν O^dVΣ^l, *om* C | διήκει V ‖ 10 ἀνατρέχει O^d, ἄνω τρέχει CVΣ^l ‖ 11 ὢν *add* O^dV | καὶ *add* VΣ^l ‖ 12 ἐκ — νεύουσιν (13) *om* Σ^l | οὗτοι — Καὶ (13) *om* O^d ‖ 13 κατὰ *add* Σ^l ‖ 14 καὶ χθαμ. O^d, *om* CΣ^l ‖ **18—177, 32** ***videntur esse Stephani*** ‖ 18 καὶ ἄλλως C, περὶ στιγμῆς. Στεφάνου O^d, ἄλλου *in marg.* N, *om* V ‖ 20 τῶν προσῳδιῶν] τῶν τόνων C$O^d\Sigma^l$b, *om* V ‖ 22 ἀπρόσφορος O^d, *om* CVΣ^lb ‖ 23 ἡμᾶς O^dV, *om* Cb ‖ 24 καταλίπῃ O^dV, καταλείπῃ Cb ‖ 25 αὐτῷ CO^dV, ὑπ' αὐτῷ b | οὕτω καὶ V, οὕτως CO^db ‖ 26 παρατίθ. V, ἐντίθησιν CO^db ‖ 27 ἐπὶ O^dV, εἰς Cb

ματικῆς. Καὶ λέγει ταύτας εἶναι τρεῖς, τελείαν, μέσην καὶ ὑποστιγμήν·
142v ἡ τοίνυν στιγμὴ αὕτη ἐστὶ τῇ διαστολῇ συνόμοιος, καὶ οὐκ ἔστι διαφορά, εἰ μὴ ἐν τούτῳ ὅτι ἡ μὲν στιγμὴ ἐπινενόηται ἕνεκα τοῦ πνεύματος, ἡ δὲ διαστολὴ μετὰ τοῦ ἀναπαύειν ἡμῶν τὴν πνοὴν καὶ διαστέλλει τὰς διανοίας ἀπ' ἀλλήλων.

Οὐ τρεῖς εἰσι στιγμαί, ἀλλὰ τόποι τρεῖς. Ἔστι δὲ ἡ τελεία, ὅτε τῆς περιόδου τέλειον καὶ ἀπηρτισμένον ἐστὶ τὸ ἐνθύμημα, οἷον ⟨ex. gr. K 382⟩ τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· καὶ πάλιν ⟨M 243⟩ εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης· ἰδοὺ αὕτη ἡ περίοδος τελεία· τίθεται δὲ ἐπὶ κεφαλῆς τοῦ γράμματος. Ἡ δὲ μέση, ὅταν μέσως πως ἔχῃ ὁ νοῦς, οἷον ⟨A 36⟩ Ἀπόλλωνι ἄνακτι· τὸν ἠύκομος τέκε Λητώ· ἐν γὰρ τῷ «ἄνακτι» τὴν μέσην τίθεμεν. Ὑποστιγμὴ δέ, ὅταν ᾖ τι παρηρτημένον τοῦ νοῦ καὶ μὴ δεχόμενον ὑπέρθεσιν, ἀλλὰ ταχείας ἐπιφορᾶς δεόμενον, οἷον ⟨A 51⟩ αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιείς. Βάλλεν· ἐν ⟨γὰρ⟩ τῷ «ἐφιείς» τίθεμεν τὴν ὑποστιγμήν. Τίθεται δὲ ἡ μὲν μέση ἐν τῷ μέσῳ τοῦ γράμματος, ἡ δὲ ὑποστιγμὴ [μεθ' ὑποκρίσεως] κάτω ἐν τῷ ἄκρῳ τοῦ γράμματος.

Ἄλλοι δὲ λέγουσι στιγμὰς τέσσαρας· τελείαν, ἥτις ἐπὶ τῷ τέλει τῶν περιόδων τίθεται· ἀτελῆ, ἥτις ἐπὶ τῷ τέλει τῶν περικοπῶν τίθεται· ὑποστιγμὴν δὲ μεθ' ὑποκρίσεως, ἥτις ἐν ταῖς συναπτικαῖς τε καὶ ἀναφορικαῖς τῶν φράσεων τίθεται, οἷον ⟨P 94 seq.⟩ εἰ δέ κεν Ἕκτορι μοῦνος
761b ἐὼν καὶ Τρωσὶ μάχωμαι Αἰδεσθείς, μή πώς με περιστήωσ' ἕνα πολλοί, καὶ αὖθις ⟨Π 777 seq.⟩ ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει, Τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαός· ὑποστιγμὴν δὲ ἀνυπόκριτον μετὰ τὰς ἐν ἤθει ἢ πάθει κλητικάς, οἷον ⟨K 249⟩ Τυδείδη, μήτ' ἄρ με μάλ' αἴνεε μήτε τι νείκει, ⟨καὶ⟩ ⟨Ω 725⟩ ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο. Ἔστι δὲ ἐπὶ ταύταις ἡ καλουμένη ἐγκοπή, ἥτις ἐν ταῖς συναλειφομέναις καταγίνεται λέξεσιν, οἷον ⟨Γ 76. H 54⟩ ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτ' ἐχάρη μέγα μῦθον ἀκούσας, ⟨καὶ⟩ ⟨I 228⟩ δαίνυσθ', ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν. — Ὁ δὲ Νικάνωρ ὀκτώ φησιν εἶναι στιγμάς.

2 αὕτη CO^dV, αὐτὴ b | διαστολῇ O^dVb, διδασκαλίᾳ C ‖ **4** ἡμῶν CV, ἡμῖν O^db ‖ **6** *ante* Οὐ *add* καὶ ἄλλως. Στεφάνου O^d, Στεφάνου VN, καὶ ἄλλο C | τόποι CO^db, τρόποι V | ἡ τελεία] ἐν τελείᾳ CVb, ἐντέλεια O^d ‖ **10** ἡ περίοδος V, περίοδος ἡ C, *om* ἡ O^db | δὲ (*ante* ἐπὶ) *om* C ‖ **15** ἐν — ὑποστ. (16) Vb, *om* CO^d | γὰρ b, *om* V ‖ **16** μὲν Vb, *om* CO^d ‖ **17** μεθ. ὑποκρ. CO^db, *om* V | κάτω ἐν τῷ ἄκρῳ O^d, κάτω τῷ ἄκρῳ C, κατωτάτω b, μικρόν τι ὕπο V, κάτω ἄκρου *Uhlig* ‖ **18** τοῦ γράμμ. *om* V ‖ **19** ἐπὶ τῷ V, ἐπὶ (*om* τῷ) CO^d, ἐν τῷ b; *item v. 20* ‖ **20** ὑποστιγμὴν Vb, ὑποστιγμὴ CO^d ‖ **21** δὲ CO^d, *om* Vb ‖ **24** καὶ αὖθις V, καὶ b, *om* CO^d ‖ **26** ὑποστιγμὴν ἀνυπόκριτον ἥτις μετὰ V, ἡ δὲ ἀνυπόκριτος στιγμὴ μετὰ CO^db ‖ **28** καὶ b, *om* CO^dV ‖ **29** ἐγκοπὴ CVb, ἐγκειμένη O^d | ταῖς C, *om* O^dVb ‖ **30** αὖτε χάρη C | μέγα — καὶ (31) *om* V ‖ **31** καὶ b, *om* CO^d | δαίνυσθ' Vb, δαίνωθ' C, δαίνυμεθ' O^d

Στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖον, μέση δὲ σημεῖον πνεύματος ἕνεκεν παραλαμβανόμενον.] Περὶ τῆς τελείας στιγμῆς πρῶτον διαλαμβάνει· ὁ δὲ νοῦς οὗτος· ἡ τελεία στιγμὴ σημεῖόν 20 ἐστι διανοίας τελείας καὶ πεπερασμένης καὶ τετελεσμένης. Διαλλάσσει δὲ στιγμὴ διαστολῆς· ἡ μὲν γὰρ στιγμὴ τὰ πνεύματα διίστησιν, ἡ δὲ διαστολὴ ἅμα τοῖς πνεύμασι καὶ τὰς διανοίας. Καὶ ἡ μὲν μέση σημεῖον μεσούσης διανοίας, μήτε λίαν οὔσης πρὸς τὸ τέλος μήτε κρεμαμένης, οἷον ⟨Α 23⟩ αἰδεῖσθαί θ' ἱερῆα· ἡ δὲ ὑποστιγμὴ κρεμαμένης τῆς διανοίας καὶ πρὸς συμπλήρωσιν ὀλίγου δεομένης· διὸ καὶ καταβιβάζοντες ἐμφαν- 143v τικώτατα τὴν φωνήν, ζητητικὴν αὐτὴν κατασκευάζουσι τῶν ἑξῆς, οἷον 30 ⟨Α 5⟩ Διὸς δ' ἐτελείετο βουλή.

⟨*Stephani.*⟩ — Τίνι διαφέρει στιγμὴ ὑποστιγμῆς; Χρόνῳ.] 762,14b Τῷ χρόνῳ, φησί, διαφέρουσιν ἀλλήλων· χρόνῳ δὲ εἶπεν οὐ τῷ καιρῷ, ἀλλὰ τῷ διαστήματι τῆς φωνῆς· μετὰ γὰρ τὴν τελείαν ἔξεστί μοι καὶ μετὰ μίαν ὥραν καὶ μετὰ δύο καὶ μετὰ τρεῖς τὸν ἑξῆς ἐπαγαγεῖν στίχον, ἐν δὲ τῇ ὑποστιγμῇ οὐδ' ὅλως ἀναμένειν, ἀλλ' εὐθέως ἐπαγαγεῖν· ὥστε οὖν τῷ χρόνῳ διαφέρουσιν ἀλλήλων ἥ τε στιγμὴ καὶ ἡ ὑποστιγμή. 20

Ζητοῦσι δέ τινες, τί δήποτε τῆς τελείας καὶ τῆς ὑποστιγμῆς σύγκρισιν ὁ τεχνικὸς ποιεῖται, τῆς δὲ μέσης οὐκέτι. Καί φασιν ὅτι τὰ ἄκρα ἀεί ποτε ἐναντία ἐστί, καὶ ἐκ τοῦ ἐναντίως ἔχειν πρὸς ἄλληλα δεῖται συγκρίσεως, ἡ δὲ μέση οὐδ' ὅλως· δήλη γάρ ἐστιν ὡς οὖσα τῶν πρός τι ἐχόντων, τὰ γὰρ μέσα τῶν πρός τί ἐστιν ἀεί· ὥσπερ οὖν τὸ ψυχρὸν τῷ θερμῷ ἐναντίον καὶ τὸ πικρὸν τῷ πάνυ γλυκεῖ, οὕτω καὶ ἡ στιγμὴ 30 τῇ ὑποστιγμῇ. Καὶ ταῦτα μὲν ὁ ὑπομνηματίζων. Ἐγὼ δὲ νομίζω ὅτι τὰ πάντη διεστῶτα οὐ συγκρίνεται· ἀμέλει τὸ πικρὸν οὐκ ἄν τις συγκρίνειε τῷ γλυκεῖ οὐδὲ ⟨τὸ⟩ θερμὸν τῷ ψυχρῷ· οὐκοῦν οὐδὲ στιγ- 763b μὴν τελείαν ὑποστιγμῇ· ἄκρα γὰρ καὶ διεστῶτα. Τὰ δὲ ποσῶς κοινωνοῦντα ἤγουν πλησιάζοντα, ταῦτα ἐπιδέχονται τὴν σύγκρισιν, οἷον ὁ ταχύτερος λέγεται οὐ πρὸς τὸν μηδ' ὅλως ταχύν, ἀλλὰ πρὸς τὸν ταχὺν μέν, ἔλαττον δέ· ἡ δὲ μέση τῇ ὑποστιγμῇ πλησιάζουσα, καθότι ἑκατέρα ἐπ' ἀτε-

---

4—6 seq hab. et. Σ¹ ‖ **13—179, 2 hab. et. Σᵐ** (*add* Διομήδους καὶ Στεφάνου V, Διομήδους ·.· Στεφάνου *in marg.* N) ‖ **18—179, 1** (συγκρ.) **hab. et. Σ¹**

1 Στιγμή — διαλαμβ. (**3**) *om* Oᵈ ‖ **2** παραλαμβανομένη C ‖ **3** *post* διαλαμβ. *add* ὁ Διονύσιος b | οὗτος Cb, οὕτως Oᵈ ‖ **5** διαστολὴ *add* Σ¹ ‖ **6** Καὶ — διανοίας (**7**) Oᵈ, *om* C ‖ **9** ὀλίγου Cb, ὀλίγον Oᵈ | καταβιβ. — βουλή (**11**) *om* Oᵈ ‖ **11** *exemplum falso additum monet Friedländer p. 59 adn. 2* ‖ **12—179, 2** *videntur esse Stephani* ‖ **13** Τῷ — ὑποστ. (**17**) *om* Oᵈ ‖ **18** τινες Oᵈ, *om* CVb ‖ **21** τῶν — ἐχόντων (**22**) b, τοῦ — ἔχοντος COᵈVΣ¹ ‖ **23** οὕτω — διεστῶτα (**27**) *om* E | στιγμὴ] τελεία A ‖ **26** οὐδὲ — ψυχρῷ *om* A | τὸ (*ante* θ.) b, *om* COᵈV | τῷ (*ante* ψ.) *om* V ‖ **27** τελείαν *om* Oᵈ ‖ **28** ταῦτα ἐπιδέχονται OᵈΣ¹, ταῦτα ἐπιδέχονται ἂν C, ταῦτ' ἂν ἐπιδέχωνται V, ταῦτα ἐπιδέχοιντο ἂν b ‖ **29** τὸν (*ante* τ.) *add* VΣ¹ ‖ **30** ὑποστιγμῇ A, διαστολῇ COᵈVb,

λοῦς ἐννοίας τίθεται, εἰκότως συγκριθήσεται. Ἰστέον δὲ ὅτι μετὰ τὴν ἐν ὑποκρίσει ὑποστιγμὴν ἡ τελεία ἐπαχθήσεται.

§ 5 (6b).

Περὶ ῥαψῳδίας.

Ῥαψῳδία ἐστὶ μέρος ποιήματος *etc.* = Σ^d 28, 10—30, 24.

⟨*Stephani.*⟩ — Καὶ ἄλλως. Περὶ ῥαψῳδίας. — Ῥαψῳδία ἐστὶ μέρος ποιήματος ἐμπεριειληφός τινα ὑπόθεσιν.] Τὴν ῥαψῳδίαν καὶ αὐτὸς παρετυμολογῶν λέγει διαφόρως παρῆχθαι· ἢ γὰρ παρὰ τὸ ῥάπτειν — ῥάψαι δέ ἐστιν, ὥς ἴσμεν, τὸ κατασκευάσαι — ἐπειδὴ τὰ ἔπη συρράπτεται ἔκ τε διαφόρων λέξεων καὶ νοημάτων, καὶ οὕτως ἐξυφαίνεται τὰ τῆς ὑποθέσεως· ἢ παρὰ τὸ μετὰ ῥάβδου δαφνίνης τοὺς
182v ῥαψῳδοὺς τὰ ἔπη ἐπιδείκνυσθαι. Ἦν δέ, ὥς φασιν, ἀπολόμενα τὰ τοῦ Ὁμήρου· τότε γὰρ οὐ γραφῇ παρεδίδοτο, ἀλλὰ μόνῃ διδασκαλίᾳ καὶ ὡς ἂν μνήμῃ μόνῃ ἐφυλάττετο. Πεισίστρατος δέ τις Ἀθηναίων τύραννος, ἐν ἅπασιν ὢν εὐγενής, καὶ ἓν τοῦτο θαυμαστὸν ἐβουλεύσατο· ἠθέλησε γὰρ καὶ τὴν Ὁμήρου ποίησιν ἔγγραφον διαφυλάττεσθαι. Προθεὶς δὲ ἀγῶνα δημοτελῆ καὶ κηρύξας καὶ δοὺς ἄδειαν τοῖς εἰδόσι καὶ βουλομένοις τὰ Ὁμήρου ἐπιδείκνυσθαι, καὶ μισθὸν τάξας στίχου ἑκάστου ὀβολόν, συνήγαγεν ὁλοσχερεῖς τὰς λέξεις καὶ παρέδωκεν ἀνθρώποις σοφοῖς καὶ ἐπιστήμοσιν, ὡς καὶ τὸ ἐπίγραμμα αὐτοῦ δηλοῖ ⟨Anthol. XI 442⟩.

Τρίς με τυραννήσαντα τοσαυτάκις ἐξετίναξε
  δῆμος Ἀθηναίων, καὶ τρὶς ἐπηγάγετο,
τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν Ὅμηρον
  ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
Ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης,
  εἴπερ Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν.

768, 22b 185v Ῥαψῳδία ἐστὶ μέρος ποιήματος.] Ποιήσεως ἐχρῆν εἰπεῖν, οὐ ποιήματος· ποίησις γὰρ ἡ πᾶσα Ἰλιάς, ποίημα δὲ ἑκάστη ῥαψῳδία. Διαφέρει δὲ ποίημα καὶ ποίησις καὶ ποιητικὴ καὶ ποιητής· ποιητικὴ μὲν γάρ ἐστιν ἡ ἕξις, ποιητὴς δὲ ὁ μετέχων ποιητικῆς, ποίημα δὲ ὁ στίχος

11—19 (δηλοῖ) **hab. et.** Σ^m ‖ **26—180, 7 hab. et.** O^d (*in marg. add* ἑτέρου) *et* Σ^m (*in marg. add* Στεφάνου VN) ‖ **27—180, 7 hab. et.** Σ^l

ὑποδιαστολῇ E | ἑκατέρα b, ἑκάτεραι CΣ^l, ἑκατέραι O^dV | ἐπ' ἀτελοῦς CO^db, ἐπὶ τέλους VΣ^l

1 τίθεται Cb, τίθενται VΣ^l, *om* O^d ‖ **2** ἐν ὑποκρίσει CO^db, ὑπόκρισιν καὶ V | ἐπαχθήσεται CO^dV, ἐπενεχθήσεται b ‖ **5—180, 7** *videntur esse* ***Stephani*** ‖ **9** νοημάτων V, ῥημάτων C ‖ **11** δέ] γὰρ CV ‖ **14** καὶ ἓν τοῦτο θαυμαστὸν C, καὶ (ἐν *add* N) τούτῳ θαυμασθῆναι VN ‖ **15** καὶ *om* V | δὲ *add* V ‖ **18** σοφ. καὶ ἐπιστ. *add* V ‖ **19** καὶ τὸ *et* αὐτοῦ *add* V ‖ **20** ἐξετίναξε h ἐξετείναξε C ‖ **28** ποιητικὴ μέν — ποιητικῆς (**29**) *om* O^d ‖ **29** ποιητικῆς b, ποιήματος CV, *om* NΣ^l | ποίημα — καλουμ. (**180, 2**) *post* ἀποτελεῖ (**180, 3**) *transp.* N | *poster.* δὲ *add* V

καὶ τὸ cύνταγμα τὸ ἐν ταὐτῷ ἀρχὴν καὶ τέλος ἔχον, ὁποῖόν ἐcτι τὸ Κ τῆc Ἰλιάδοc, ἡ νυκτεγερcία καλουμένη· ποίηcιc δέ ἐcτιν ἥτιc ἀρχὴν μὲν οὐκ ἔχει ἐν τοῖc προτέροιc, τὸ δὲ νόημα ἐν τοῖc ἐχομένοιc ἀποτελεῖ· ἢ ποίημά ἐcτι φράcιc ἔμμετροc καὶ εὔρυθμοc, ἀρχαιοτέρα καὶ cεμνοτέρα τῆc λογικῆc cυντάξεωc, κατὰ τῶν ὑποκειμένων πραγμάτων ἢ ὡc ὑποκειμένων τιθεμένη, ὑποκειμένων μὲν θείων τε καὶ ἀνθρωπίνων, ὡc ὑπο- 769b
κειμένων δέ, οἷον Cκύλληc, Χιμαίραc καὶ τῶν ὁμοίων.

Καὶ ἄλλωc. — Πορφυρίου. — Ὁ ἐμπεριεχόμενοc νοῦc ἐν τῇ ὑπογραφῇ τοῦτον ἔχει τὸν τρόπον, ὅτι ῥαψῳδία ἐcτὶ μέροc ποιήματοc, ποίημα δὲ ἡ Ἰλιάc, καὶ ἕτερον ποίημα ἡ Ὀδύccεια· τὸ δὲ cυναμφότερον λέγεται ποίηcιc· ἑκάcτη δὲ τῶν ῥαψῳδιῶν οἰκείαν ὑπόθεcιν ἔχει. Ὠνόμαcται δὲ ἀπὸ τοῦ ῥάψω μέλλοντοc καὶ τοῦ ᾠδή· cυνέρραπτον γὰρ τοὺc κατάλληλον διάνοιαν ἀπαρτίζονταc cτίχουc Ὁμηρικούc, καὶ ἔψαλλον τὸ ἐφαρμόζον μέλοc πρὸc τὴν τοῦ Ἀπόλλωνοc ἑορτήν· κατεῖχον δὲ καὶ κλάδουc δαφνῶν οἱ Ὁμηρίδαι ἐν ταῖc χερcίν, ὅτε τοὺc Ὁμηρικοὺc cτί- 186v
χουc ἐν τῇ τοῦ Ἀπόλλωνοc ἑορτῇ ἔψαλλον. — Διὰ τί τοιαύτην ῥάβδον κατέχοντεc τὰ Ὁμηρικὰ ᾖδον; Διὰ τὸ ἀειθαλὲc τῆc ποιήcεωc, ἐπεὶ καὶ ἡ δάφνη ἀειθαλήc ἐcτιν οὐδέποτε φυλλορ⟨ρ⟩οοῦcα· καὶ ὅτι τοῦ Ὁμήρου ἡ ποίηcιc καὶ μαντικῆc μετέχει, οἱ δὲ μάντειc δάφνῃ ἐcτέφοντο, τοῦ Ἀπόλλωνοc κατὰ τὴν ἱcτορίαν Δάφνηc τινὸc κόρηc ἐραcθέντοc, διώκοντοc δὲ καὶ μὴ καταλαβόντοc, cτεφανωθέντοc δὲ ἀπὸ τῶν κλάδων αὐτῆc, ἐπεὶ ἀπεδενδρώθη παρὰ τῆc γῆc διαcχούcηc καὶ ταύτην λαβούcηc οἷα μητρόc, καὶ ἀνταποδούcηc ἀντὶ ⟨τῆc⟩ γυναικὸc τὸ φυτόν. — Ποῦ δὲ φαίνεται ὁ ποιητὴc μαντευcάμενοc; Καὶ ἐν ἄλλοιc μὲν πολλοῖc, πλὴν καὶ ἐν τούτοιc· φηcὶ γὰρ προcώπῳ τοῦ Ποcειδῶνοc διὰ τὸν Αἰνείαν, ὅτι ⟨Υ 307 seq⟩ Τρώεccιν ἀνάξει, Καὶ παῖδεc παίδων, τοί κεν μετόπιcθεν ἔcονται· ὅτι δὲ ἀληθῆ ἐμαντεύcατο, δηλοῦcι τὰ πράγματα· ἐξ Αἰνείου γὰρ ἡ Ῥωμαϊκὴ ἀρχή, καὶ Αἰνειάδαι οἱ βαcιλεῖc.

⟨*Stephani.*⟩ — Ταῦτα μὲν ἐν τούτοιc. Τὰ δὲ ἐντεῦθεν τῆc γραμματικῆc «περὶ cτοιχείου» μὲν ἐπιγράφεται, ἄρχεται δὲ ἐκ τοῦ «γράμματά εἰcιν κδ′».

9—17 hab. et. $O^d \Sigma^m$

1 τὸ (*ante* cύντ.) *add* VΣ^1 | cύνταγμα] cύγγραμμα N ‖ **2** δέ *add* VΣ^1 ‖ **3** προτέροιc CVΣ^1, πρότερον O^db ‖ **4** ἢ π. ἐcτι V, ποίημα δὲ CO^d, ἐcτι δὲ π. Σ^1 | εὔρυθμοc O^dV, εὔυμνοc C, ἔρρυθμοc Σ^1 ‖ **7** οἷον *add* V ‖ **9** Καὶ — Πορφ. CO^d, τοῦ αὐτοῦ VN ‖ **10** ὅτι ἡ ῥαψ. CO^d ‖ **11** cυναμφ. O^dV, ἀμφότερον C ‖ **15** μέλοc O^dVb, μέροc C | πρὸc CO^d, εἰc V | *post* ἑορτὴν *add* V: καὶ τῶν λοιπῶν θεῶν, ἢ εἰc γάμουc τοὺc ἁρμόζονταc, ἢ εἰc ἄρχονταc, ἢ γενέθλια, ἢ ἄλλο τι προκείμενον (*cfr* Σ^d *29, 11—13* ‖ **16** cτίχουc O^d, ὕμνουc CV ‖ **17** ἔψαλλον CO^d, ᾖδον V ‖ **19** δάφνη] τέχνη Cb ‖ **20** μαντ. ἐπέχει Cb ‖ **23** ἀπεδενδρώθη b, ἀπὸ δένδρων C ‖ **24** οἷα C, ὡc b ‖ **27** παίδων παῖδεc, τοί κεν μετόπιcθε γένωνται *edd. Hom.* ‖ **28** ἀληθῆ C, ἀλήθειαν b ‖ **30—182, 2** *videntur esse Stephani* ‖ **30** Τὰ δὲ ἐντ.] ἐντεῦθεν δὲ Cb ‖ **31** *ante* περὶ *add* ὅτι Cb

770,18b Ἐπειδὴ ⟨δὲ⟩ ἐκ τῆς φωνῆς τὰ στοιχεῖα συνίστανται — στοιχεῖον δέ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή — ἀναγκαῖον ἡμᾶς πρῶτον περὶ φωνῆς διαλαβεῖν, εἰ καὶ ὁ τεχνικὸς οὐδὲν εἶπε περὶ αὐτῆς. Καὶ οἱ μὲν τῶν παλαιῶν λέγουσι τὴν φωνὴν σῶμα, οἱ δὲ ἀσώματον· οἱ γὰρ λέγοντες ⟨ὅτι⟩ ἀὴρ πεπληγμένος, σῶμα αὐτὴν νοοῦσι· σῶμα γὰρ ⟨ὁ⟩ ἀήρ, ἓν ὑπάρχων τῶν τεσσάρων στοιχείων· οἱ δὲ λέγοντες ἀσώματον οὔ φασι τὴν φωνὴν ⟨ὅτι⟩ ἀὴρ πεπληγμένος, ἀλλὰ πληγὴ ἀέρος ἤτοι ἴδιον αἰσθητὸν ἀκοῆς· ὅπερ ἐστὶ καὶ μᾶλλον ἀληθές. Καὶ δῆλον ἐκ μεθόδου τοιαύτης· τῶν πραγμάτων τὰ μὲν ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι, καθάπερ ἡ αὐλητικὴ καὶ ⟨ἡ⟩ ὀρχηστική· ταῦτα γὰρ ἐνεργούμενα μὲν εἰσί, γεγονότα δὲ οὐκ εἰσίν, ἅμα γὰρ τῷ παύσασθαι τὴν ἐνέργειαν φθείρεται καὶ τὸ γινόμενον· τὰ δὲ ἐν τῷ γεγονέναι ἔχει τὸ εἶναι, ὥσπερ
771b ἡ ἀνδριαντοποιητικὴ καὶ ⟨ἡ⟩ τεκτονική· ταῦτα ⟨γὰρ⟩ ἐν μὲν τῷ γίνεσθαι οὐκ ἔχουσι τὴν ὕπαρξιν, καθὸ οὔπω ἀποτέλεσμα ἔχουσι, μετὰ δὲ τὸ γενέσθαι ἔχουσι καὶ τὸ εἶναι, τότε τοῦ ἀποτελέσματος ὄντος. Ἆρ' οὖν ἡ φωνὴ ἐν τῷ γίνεσθαι ἔχει τὴν ὕπαρξιν, μετὰ δὲ ταῦτα οὐχ ὑφίσταται· καὶ δῆλον ὅτι οὐκ ἔστι σῶμα, ἀλλ' ἀσώματον.

Ἰστέον ⟨δὲ⟩ ὅτι τῶν φωνῶν αἱ μέν εἰσιν ἔναρθροι καὶ ἐγγράμματοι, ὡς αἱ ἡμέτεραι· αἱ δὲ ἄναρθροι καὶ ἀγράμματοι, ὡς ὁ ἦχος τοῦ πυρὸς καὶ ὁ κτύπος τοῦ λίθου ἢ τοῦ ξύλου· αἱ δὲ ἄναρθροι μέν, ἐγγράμματοι δέ, οἷον αἱ μιμήσεις τῶν ἀλόγων ζῴων, ὡς τὸ βρεκεκὲξ καὶ τὸ κοΐ (ἡ φωνὴ τοῦ χοίρου)· αὕτη γὰρ ἡ φωνὴ ἄναρθρος μέν, καθὸ οὐκ ἴσμεν τί σημαίνει, ἐγγράμματος δέ, καθὸ δύναται γραφῆναι· αἱ δὲ ἔναρθροι μέν, ἀγράμματοι δέ, ὡς ἐπὶ τοῦ συρισμοῦ· αὕτη γὰρ ἡ φωνὴ ἔναρθρος μέν, καθὸ ἴσμεν τί σημαίνει, οἷον ⟨K 502⟩ ῥοίζησε⟨ν⟩ δ' ἄρα πιφαύσκων Διομήδεϊ δίῳ, ἀγράμματος δέ ἐστι, καθὸ οὐ δύναται γραφῆναι.

Ἰστέον δὲ ὅτι ἡ φωνὴ κυρίως ⟨μὲν⟩ λέγεται ἐπὶ τῶν ἀνθρώπων, ὡς παρὰ τῷ ποιητῇ ⟨B 489 seq⟩ οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' εἶεν, Φωνή τ' ἄρρηκτος· καταχρηστικῶς δὲ καὶ ἐφ' ἑτέρων λέγεται φωνή, ὡς ἐπὶ σάλπιγγος εἶπεν Ὅμηρος ⟨Σ 219⟩ ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ.

Σχηματίζεται δὲ ἡ φωνὴ παρὰ τὸ φῶ, τὸ φαίνω, κατὰ πρόσληψιν συλλαβῆς τῆς νη γινομένη [φῶ] φωνή· φαίνει γὰρ καὶ λαμπρῶς δηλοῖ τὰ ἐνθυμήματα· ἢ ὅτι φωτονόη τίς ἐστιν· αὕτη γὰρ τὰ τοῦ νοὸς ἐνθυμήματα εἰς φῶς ἐξάγει.

Ὁρίζεται δὲ ἡ φωνὴ οὕτως· φωνή ἐστι πνεῦμά τι ἀπὸ συστήματος

---

1 δὲ] καὶ b, *om* C | τὰ στοιχεῖα] τῶν στοιχείων Cb ‖ 3 εἰ καὶ] κἂν C, καὶ b | αὐτῆς] αὐτῶν Cb; C *add*: ἴδιον αἰσθητὸν ἀκοῆς ‖ 5 γὰρ (*prius*) b, δὲ C | ὅτι b, *om* C; *item v. 7* ‖ 6 ὁ b, *om* C ‖ 13 γὰρ ἐν μὲν] μὲν ἐν Cb ‖ 16 γίνεσθαι] λέγεσθαι Cb ‖ 18 δὲ b, *om* C ‖ 26 πιφάσκων Cb ‖ 30 τ' Cb, δ' *edd. Hom.* ‖ 34 τῆς νη b, τοῦ ν C ‖ 35 φωτονοή Cb

ἰδίου καὶ αἵματος ἀναφερόμενον ἕως τῆς γλώττης, ὑφ' ἧς τυπτόμενον 772b
διαρθροῦται καὶ νοητὸν ταῖς πλησίον ἀκοαῖς παραδίδοται.

§ 6 (7b).

Περὶ στοιχείου.

Μελάμποδος. — Γράμματά ἐστιν κδ' *etc.* = Σ^{d} 30, 26—47, 31.

Περὶ στοιχείου. — Διδάξας ἡμᾶς ὁ Διονύσιος περὶ προσῳδιῶν 770,5b
⟨καὶ⟩ τέχνης καὶ γραμματικῆς καὶ ἀναγνώσεως καὶ τῶν ἐφεξῆς τοὺς
λόγους, ἄρχεται λοιπὸν καὶ περὶ τῶν τῆς γραμματικῆς ἀρχῶν, τοῦ στοι-
χείου, καὶ τὴν τούτου διάκρισιν ποιεῖται. Δέον δὲ εἰπεῖν τί ἐστι στοι-
χεῖον· ἀλλ' ἐπειδὴ ἀδύνατον εἰπεῖν τί ἐστιν, εἰ μὴ διαστείλωμεν τὸ τοῦ 10
στοιχείου ὄνομα, ὁμώνυμον γάρ, πρότερον δέον εἰπεῖν, ποσαχῶς τὸ στοι-
χεῖον. Λέγουσι τοίνυν αὐτὸ διχῶς, τά τε ἀφ' ἑαυτῶν ἀρχόμενα γράμ-
ματα καὶ τὰ ἐξ ὧν σύγκειται τὰ σώματα. — Στοιχεῖον δέ ἐστιν ἡ πρώτη
καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή, ἢ φωνὴ ἐγγράμματος ἀμερής, ἢ φωνῆς
Ἑλληνίδος φθόγγος ἐλάχιστος.

Περὶ δὲ τῆς τῶν γραμμάτων εὑρέσεως διαφόρως οἱ ἱστορικοὶ ἱστό- 781,27b 187v
ρησαν· οἱ μὲν γὰρ Προμηθέα λέγουσι τούτων εὑρετήν, ἄλλοι δὲ Φοίνικα
τὸν τοῦ Ἀχιλλέως παιδαγωγόν, ἄλλοι δὲ τὸν Μιλήσιον Κάδμον, ἄλλοι 30
δὲ τὴν Ἀθηνᾶν, ἄλλοι δὲ ἐξ οὐρανοῦ ἐρρῖφθαι τοῖς ἀνθρώποις πρὸς
ὠφέλειαν. Εὕρηνται δὲ οὐχ ὑφ' ἑνὸς ἅπαντα· ὕστερον γὰρ ἐπενοήθησαν 121v
τὰ δασέα καὶ τὰ διπλᾶ· πρὶν γὰρ ταῦτα ἐπινοηθῆναι, τοῖς ἀντιστοίχοις 782b
ἐχρῶντο, οἷον εἰ ἠθέλησαν χ̄ ποιῆσαι, ἐποίουν κ̄ καὶ δασεῖαν, εἰ δὲ θ̄ ἢ
φ̄, πάλιν ὁμοίως τὰ ἀντίστοιχα μετὰ δασειῶν, ὡς νῦν οἱ Ῥωμαῖοι· καὶ
τὰ διπλᾶ δέ, ἐξ ὧν σύγκεινται. Ἄλλοι δὲ λέγουσιν, ὅτι καὶ τὰ μακρὰ
τελευταῖον ἐπενοήθησαν, τῶν βραχέων τὸ πρότερον μετὰ μακρᾶς προσ-
τιθεμένης ἄνωθεν ἀναπληρούντων ⟨αὐτῶν⟩ τὴν τάξιν· ἐποίουν γὰρ ἀντὶ
τοῦ ω̄ ᾱ καὶ ἄνω⟨θεν⟩ μακράν, καὶ ἀντὶ τοῦ η̄ ε̄ καὶ ἄνωθεν μακράν. Τι-
νὲς δὲ φοινίκεια ἐκάλεσαν τὰ γράμματα, ⟨οἱονεὶ φωνίκεια,⟩ παρὰ τὸ τῆς 10
φωνῆς εἰκόνα εἶναι τὰ γράμματα.

5—12 hab. et. Σ^{m} ‖ 15—28 hab. et. Σ^{m} ‖

3 στοιχείων C ‖ **5** στοιχείου V, στοιχείων Cb ‖ **6** τέχνης τε καὶ V ‖ **7** τοῦ στοιχ.] τοῦ ποσοῦ V, τό τε ποσὸν NCb ‖ **8** τούτου VN, τούτων Cb | ποιεῖται] ποιούμενος NCb, πεποίηται V ‖ **9** ἀδύν. — ἐστιν V, ἀδύνατόν ἐστιν εἰπεῖν τί (τι b)Cb ‖ **10** πρότερον *add* V ‖ **11** *post* στοιχ. *add* λέγουσιν b, *om* CV ‖ **13** φωνῇ ἑλληνίδος C, φωνῆς Ἑλληνικῆς b ‖ **15** δὲ V, *om* Cb ‖ **20** ἀντι-στοίχοις] ἐναντίοις CVb ‖ **21** δασεῖαν — δασειῶν (**22**) V, ε̄. εἰ δὲ θ̄, ἐποίουν τ̄ε, εἰ δὲ φ̄, πάλιν ὁμοίως π̄ καὶ δασεῖαν Cb ‖ **22** οἱ CV, *om* b ‖ **23** ὧν Cb, αὐτῶν V ‖ **25** ἄνωθεν *add* V | ἐποίουν — (*poster.*) μακράν (**26**) *om* V ‖ **27** φοινίκεια b, φοινίκια C; *cfr p. 186, 1 et 191, 34*

783b Τῶν στοιχείων εὑρετὴν ἄλλοι τε καὶ Ἔφορος ἐν δευτέρῳ Κάδμον φασίν· οἱ δὲ οὐχ εὑρετήν, τῆς δὲ Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς διάκτορον γεγενῆσθαι, ὡς καὶ Ἡρόδοτος ἐν ταῖς ἱστορίαις ⟨V, 58⟩ καὶ Ἀριστοτέλης ⟨p. 472 Rose⟩ ἱστορεῖ· φασὶ γὰρ ὅτι Φοίνικες μὲν εὗρον τὰ στοιχεῖα, Κάδμος δὲ ἤγαγεν αὐτὰ εἰς τὴν Ἑλλάδα. Πυθόδωρος δὲ [ὡς] ἐν τῷ περὶ στοιχείων καὶ Φίλλις ὁ Δήλιος ἐν τῷ περὶ χρόνων πρὸ Κάδμου Δαναὸν μετακομίσαι αὐτά φασιν· ἐπιμαρτυροῦσι τούτοις καὶ οἱ Μιλησιακοὶ συγγραφεῖς Ἀναξίμανδρος καὶ Διονύσιος καὶ Ἑκαταῖος, οὓς καὶ Ἀπολλόδωρος ἐν νεῶν καταλόγῳ παρατίθεται. Ἔνιοι δὲ Μουσαῖον εὑρετὴν λέγουσι τὸν Μητίονος καὶ Στερόπης κατ' Ὀρφέα γενόμενον· Ἀντικλείδης δὲ ὁ Ἀθηναῖος Αἰγυπτίοις τὴν εὕρεσιν ἀνατίθησι· Δοσιάδης δὲ ἐν Κρήτῃ φησὶν εὑρεθῆναι αὐτά· Αἰσχύλος δὲ Προμηθέα φησὶν εὑρηκέναι ἐν τῷ ὁμωνύμῳ δράματι ⟨v. 460⟩, Στησίχορος δὲ ἐν δευτέρῳ Ὀρεστείας καὶ Εὐριπίδης ⟨fr. 578 N²⟩ τὸν Παλαμήδην φησὶν εὑρηκέναι, Μνασέας δὲ Ἑρμῆν, ἄλλοι δὲ ἄλλον. Πιθανὸν δὲ κατὰ πάντα τόπον εὑρετὰς γεγενῆσθαι, διὸ καὶ ἄλλοι παρ' ἄλλοις εἰσὶ χαρακτῆρες τῶν στοιχείων· οἷς δὲ νυνὶ χρώμεθα, εἰσὶν Ἰωνικοί, εἰσενέγκαντος Ἀρχίνου παρ' Ἀθηναίοις ψήφισμα, τοὺς γραμματιστάς, ἤγουν τοὺς διδασκάλους, παιδεύειν τὴν Ἰωνικὴν γραμματικήν, ἤγουν τὰ γράμματα. Διέταξε δὲ τὰ στοιχεῖα γράφεσθαι, ὡς γράφομεν νῦν, Προναπίδης ὁ Ἀθηναῖος· τῶν γὰρ ἀρχαίων οἱ μὲν σπειρηδὸν ἔγραφον, οἱ δὲ πλιν-
784b θηδόν, οἱ δὲ βουστροφηδόν, οἱ δὲ κιονηδόν [περὶ ὧν ἐν τοῖς ἑξῆς ἔχομεν μαθεῖν]· ἔγραφον δὲ αὐτὰ καὶ δισχιδὸν ἤγουν στιχηδόν, ᾗ γραφῇ καὶ ἡμεῖς νῦν χρώμεθα· δισχιδὸν δὲ λέγεται τὰ στιχηδὸν γεγραμμένα παρὰ τὸ ἔχειν διεσχισμένους καὶ διακεχωρισμένους τοὺς στίχους ἀπ' ἀλλήλων. Διὰ τοῦτο δὲ καὶ οὐκ ἄλλοις χαρακτῆρσι χρώμεθα τῶν στοιχείων, ἀλλὰ τοῖς Ἰωνικοῖς, ὡς μὲν Ἀσκληπιάδης ὁ Μυρλεανὸς λέγει, διὰ τὸ κάλλος, καὶ ὅτι πλεῖστα τῶν συγγραμμάτων τούτοις ἐγέγραπτο τοῖς χαρακτῆρσιν, ὡς δὲ Διόδωρος καὶ Ἀπίων ἐν τῷ περὶ τῶν στοιχείων, ὅτι πλεῖστοι συγγραφεῖς καὶ οἱ ποιηταὶ ἀπὸ τῆς Ἰωνίας τούτοις τοῖς τύποις ἐχρήσαντο. Ἀπολλώνιος δὲ ὁ Μεσσήνιος ἐν τῷ περὶ ἀρχαίων γραμμάτων φησί τινας λέγειν, ὅτι Πυθαγόρας αὐτῶν τοῦ κάλλους ἐπεμελήθη,

29—186, 20 (*partim excerpta*) **hab. et.** Σ^1

2 οἱ δὲ οὐχ εὑρ. *add* Σ^1 | διάκτορον *Lehrs*, διόσκορον Cb, διάκονον Σ^1 || **3** γεγενῆσθαι CEb, γενέσθαι A || **4** ἱστορεῖ C, λέγει b || **6** ὡς Cb, τις *Nitzsch* | καὶ Φίλλις *Nitzsch*, αφιληϊς (*sic*) Cb || **10** μητίονος Σ^1, μητίωνος Cb || **11** Ἀντικλ. — ἀνατίθ. (**12**)] οἱ δὲ τὸν παρ' Αἰγυπτίοις Θὼθ εὑρηκέναι, ὃν λέγουσιν Ἑρμῆν Σ^1 || **12** Δοσιάδης Cb, Δωσιάδης *Hoerschelmann* || **14** καὶ Εὐριπ. *add* Σ^1 || **15** μνασίας C, μνησέας Σ^1 || **16** πάντα Σ^1, τὸν C, *om* b || **18** Ἀρχίνου CAb, αἰσχίνου E | παρ' ἀθηναίοις Σ^1, παρὰ θηβαίοις Cb || **20** τὰ Σ^1, καὶ τὰ Cb || **21** σπειρηδὸν Σ^1, σπειριδὸν C, σπυριδὸν b || **23** δισχιδὸν E, διαχηδὸν C, δεσχιδὸν A, διασχιδὸν b | στιχηδὸν Σ^1b, στοιχηδὸν C || **24** διαχηδὸν C, διασχιδὸν b | στιχηδόν b, στοιχηδὸν C || **27** Μυρλεανὸς *CMueller*, σμυρναῖος Cb | *post* κάλλος *add* Σ^1: εὐτρεπέστεροι γὰρ οὗτοι παρὰ τοὺς ἄλλους || **30** οἱ *om* Σ^1

ἐκ τῆς κατὰ γεωμετρίαν γραμμῆς ῥυθμίσας αὐτὰ γωνίαις καὶ περιφερείαις καὶ εὐθείαις.

Ἰστέον δὲ ὅτι τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά εἰσιν, ὡς μέν 781,5 b
φασί τινες, ὅτι βαρβάρων ἐστὶν εὑρήματα. Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν πολλὰ ⟨ὀνόματα⟩ τῶν βαρβάρων κλίνονται, ὡς τὸ Ξέρξης καὶ Δαρεῖος· δεύτερον δὲ ὅτι ἄτοπόν ἐστι τὸν θεμέλιον τῆς Ἑλληνικῆς διαλέκτου βαρβάρων εὕρημα λέγειν· τρίτον δὲ εἰ, διότι βαρβάρων ἐστὶν εὑρήματα, διὰ τοῦτο ἄκλιτά εἰσιν, ὤφειλον ἐκεῖνα ⟨τὰ⟩ στοιχεῖα ἄκλιτα εἶναι μόνα, ἅπερ λέγουσι βαρβάρους εὑρεῖν, φημὶ δὴ ᾱ β̄ ⟨γ̄⟩ δ̄ ⟨ε̄⟩ ῑ κ̄ λ̄ μ̄ ν̄ ō π̄ ρ̄ c̄ τ̄ ῡ, τὰ δὲ ἄλλα ὀκτὼ τὰ ὑπὸ τῶν Ἑλλήνων εὑρεθέντα ὤφειλον κλίνεσθαι, φημὶ δὴ τὰ δύο μακρά, τὸ η̄ καὶ τὸ ω̄, καὶ τὰ τρία διπλᾶ, ζ̄ ξ̄ ψ̄, καὶ τὰ τρία δασέα, θ̄ φ̄ χ̄. Κακῶς οὖν λέγουσιν· ἀλλὰ κρεῖττόν ἐστιν εἰπεῖν, ὅτι διὰ τοῦτο τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά ἐστιν, ἢ ἐπειδὴ ἀρχαί εἰσιν, αἱ δὲ ἀρχαὶ θέλουσιν ἁπλαῖ τε εἶναι καὶ ἀποίκιλοι, ὥσπερ ἡ λευκότης αὐτὴ καθ' ἑαυτὴν νοουμένη ἁπλῆ ἐστιν· ἢ ὅτι οἱ θεμέλιοι ἀμεταθέτως θέλουσιν ἔχειν· ἢ διὰ τὸ ἀρτιμαθὲς τῶν παίδων οὐ κλίνονται, ἵνα μὴ πολλὰ γινόμενα δυσκατάληπτα αὐτοῖς γίνωνται· παρὰ Δημοκρίτῳ δὲ κλίνονται, λέγει γὰρ δέλτατος καὶ θήτατος. Ταῦτα μὲν ἐν τούτοις.

Φοινίκεια δὲ τὰ γράμματα ἐλέγοντο, ὥς φησιν Ἔφορος ὁ Κυμαῖος 782,14 b
καὶ Ἡρόδοτος ⟨V 58⟩, ἐπεὶ Φοίνικες εὗρον αὐτά· Εὐφρόνιος δέ, ὅτι μίλτῳ τὸ πρότερον ἐγράφοντο, ὅ ἐστι χρῶμά τι φοινικοῦν· Ἐτεωνεὺς ⟨δὲ⟩ καὶ Μένανδρος, ἐπειδὴ ἐν πετάλοις φοινικείοις ἐγράφοντο· ἤ, ὅπερ κρεῖττόν ἐστιν εἰπεῖν, ὅτι φοινίσσεται ὑπ' αὐτῶν ὁ νοῦς ἤγουν λαμπρύνεται· Ἄνδρων δὲ καὶ Μενεκράτης ὁ Ὀλύνθιος ἀπὸ Φοινίκης τῆς Ἀκταίωνος θυγατρός· Ἀπολλώνιος δὲ ὁ τοῦ Ἀρχιβίου, ἐπειδὴ οἱ ἀντίγραφοι ἀπὸ φοίνικος ξύλον εἶχον καὶ μετ' αὐτοῦ ἔγραφον· Δοῦρις δὲ ὁ Σάμιος ὁ ἱστορικὸς ἐν ὀγδόῃ ⟨τῶν⟩ Μακεδονικῶν ἀπὸ Φοίνικος τοῦ Ἀχιλλέως τροφοῦ· Ἀλέξανδρος δὲ ὁ Ῥόδιος ἀπὸ Φοίνικος τοῦ

---

3 μέν b, γάρ C, *om* Σ^1 ‖ 6 δεύτερον δὲ CΣ^1, εἶτα b | τὸν Σ^1, τὸ Cb ‖ 7 εὕρημα A, εὕρεμα E, εὑρήματα Cb ‖ 8 ἐκεῖνα στοιχεῖα Cb, τὰ ιϛ' Σ^1 ‖ 9 ἅπερ — ῡ (10) *om* Σ^1 | λέγουσι] λέγει Cb | γ̄ *et* ε̄ *add* b ‖ 10 τὰ δὲ — κλίνονται (17) *om* E ‖ 11 τὰ (*ante* τρ.) *add* A; *item v. 12* ‖ 12 Κακ. οὖν λέγ. *om* A | λέγουσιν] λέγει Cb ‖ 15 ἀποίκιλοι b, ποικίλαι C | ἡ λευκ. — οἱ (16) A, ἡνίκα διαλέκτου οἱ δὲ (*sic*) Cb ‖ 16 ἢ — θεμέλιοι] ἢ ἐπειδὴ θεμέλιοί εἰσι τῆς Ἑλληνικῆς διαλέκτου, οἱ δὲ θεμέλιοι *Egenolff* | τὸ ἀρτιμαθὲς A, τὰ ἀρτιμαθῆ Cb ‖ 17 γίνωνται b, γίνονται C, γένηται Σ^1 ‖ 18 παρὰ — θήτατος *om* E | λέγει A, λέγεται Cb | γὰρ A, γὰρ τὸ Cb ‖ 20 Φοινίκεια b, φοινικὰ CΣ^1 ‖ 22 ὅτι μίλτῳ b, ἀμμύτω C, ὅτι διὰ μίλτου Σ^1 | ὃ Σ^1, ἢ Cb | τι b, τὸ C, *om* Σ^1 | φοινικοῦν Σ^1, φοινίκεον Cb ‖ 23 φοινικείοις A, φοινικίοις E, φοινικοῖς Cb | *post* ἐγράφ. *add* Σ^1: ἢ ὅτι ἐν πυρ⟨ρ⟩ῷ κηρῷ ἐγράφε(-ον-E)το ‖ 24 ἤγουν C, ἤτοι b, ὅ ἐστι Σ^1 ‖ 26 Ἀκταίωνος A, Ἀκταίονος ECb | Ἀπολλ. — ἔγραφον (27) Cb, ἢ ὅτι ἀπὸ φοινίκης ξύλον εἶχον ἀντὶ γραφείου Σ^1 ‖ 27 Δοῦρις — Μακεδ. (28)] οἱ δὲ Σ^1 ‖ 28 τῶν *add* b

Προνάπου καὶ Εὐρώπης, εὑρόντος αὐτὰ ἐν Κρήτῃ, ὃν ἀπέκτεινε Ῥαδάμανθυς φθονήσας.

Εὕρεται δὲ τῶν λοιπῶν [τῶν] χαρακτήρων, τουτέστι τῶν ὀκτώ, οἷον τῶν δύο μακρῶν καὶ τῶν τριῶν διπλῶν καὶ ⟨τῶν⟩ τριῶν δασέων, δηλονότι Σιμωνίδης μὲν ὁ Κεῖος τῶν δύο μακρῶν καὶ τοῦ ξ̄ καὶ τοῦ ψ̄, Παλαμήδης δὲ τῶν δασέων καὶ τοῦ ζ̄, ἤ, ὥς φασί τινες, Ἐπίχαρμος ὁ Συρακούσιος.

784,18b Ὅσοι ⟨δὲ⟩ τὴν τῶν γραμμάτων εὕρεσιν Σισύφῳ ἢ Παλαμήδῃ ἢ Φοίνικι ἢ Προμηθεῖ ἐφάπτουσιν, ἢ ἐν Φοινίκῃ ἀπὸ οὐρανοῦ πεπτωκέναι φασίν, ἢ παρ᾽ Αἰγυπτίοις εὑρηκέναι Θώθ, ὃν Ἑρμῆν ἑρμηνεύουσιν, ⟨οὐκ ὀρθῶς λέγουσιν⟩· καὶ γὰρ ἡ φύσις ἡνίκα ἐδημιούργησε τὸν ἄνθρωπον, ἐχαρίσατο αὐτῷ τοιαύτην ἐπιτηδειότητα, ὥστε τεχνάσασθαι ταῦτα τὰ στοιχεῖα. Δείκνυνται δὲ ταῦτα καὶ πρὸ τῶν Ἰλιακῶν ὄντα, ὡς δῆλον ἐκ τῶν Βελλεροφόντου· φησὶ γὰρ ὁ ποιητὴς ⟨Ζ 169⟩ γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά· ὁ δὲ Βελλεροφόντης πρὸ τοῦ Τρωϊκοῦ πολέμου ἦν, καὶ γὰρ πάππος ἦν τοῦ Γλαύκου τοῦ ἐν τῷ Τρωϊκῷ πολέμῳ ὄντος. Ἀλλὰ καὶ ἐν Πυθοῖ ἦν λέβης ἐπιγεγραμμένος ⟨cfr Herod. V 59⟩ Ἀμφιτρύων μ᾽ ἀνέθηκε λαβὼν ἀπὸ Τηλεβοάων· καὶ ἐν Τάφῳ τῇ νήσῳ ⟨Anthol. IX 684⟩

Ὠκεανοῦ θυγάτηρ καὶ Τηθύος εἰμὶ Νύχεια
κρήνη· Τηλεβόαι γάρ με τόδ᾽ ὠνόμασαν·
785b νύμφαις μὲν προχέω λουτρόν, θνητοῖσι δ᾽ ὑγείην·
θῆκε δέ με Πτερέλας, υἱὸς Ἐνυαλίου.

Μετὰ δὲ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν οὐδεὶς τῶν περιλειφθέντων Ἑλλήνων ἐφύλαξεν αὐτῶν τὴν μνήμην, πλὴν τῶν Πελασγῶν τῶν ἀφ᾽ Ἑλλάδος εἰς βαρβάρους πλανηθέντων, οὓς καὶ ὁ ποιητὴς δίους καλεῖ, φάσκων ⟨Κ 429⟩ καὶ Λέλεγες καὶ Καύκωνες δῖοί τε Πελασγοί· παρ᾽ ὧν μαθόντες πρῶτοι Φοίνικες εἰς Ἕλληνας ἤγαγον, γείτονές τε βαρβάρων ὄντες καὶ συνεχεῖς ἐμπορίας ποιούμενοι· ὅθεν καὶ Φοινίκεια

---

1 Προνώπου Cb, Προνόπου Σ^1 ‖ 3 Εὕρεται — ζ̄ (6)] εὗρε δὲ τὰ μὲν δύο μακρὰ Σιμωνίδης ὁ Κεῖος (Κίος E) καὶ τὸ ζ̄ καὶ τὸ ψ̄, Παλαμήδης δὲ τὸ ξ̄ καὶ τὰ δασέα Σ^1 | Εὕρεται] εὕρηνται Cb ‖ 5 δηλονότι] δηλοῦντες Cb | Κεῖος b, χίος C | ξ̄ b, ῑ C ‖ 8 *add* περὶ γραμμάτων C | Ὅσοι — ἐδημιούργ. (11)] κρεῖττον δέ ἐστι λέγειν, ὡς ἅμα τὸ (*l.* τῷ) δημιουργῆσαι ὁ θεὸς Σ^1 | Παλαμήδει b ‖ 9 Φοινίκῃ ἀπὸ οὐρ. *Stadtmüller,* φοίνικι τόπῳ ἐφέσου Cb ‖ 10 Θώθ, ὃν Ἑρμῆν] θεόθεν ὡς Cb ‖ 12 τεχνάσασθαι CE, τεχνώσασθαι A, τεχνήσασθαι b ‖ 15 πυκτῷ CA, πηκτῷ E, πτυκτῇ b ‖ 16 καὶ *et poster.* ἦν *om* b ‖ 17 Πυθοῖ b, πυθοῖς C, πυθίᾳ Σ^1 | λέβης Σ^1b, λέσβος C ‖ 18 λαβὼν CΣ^1b, ἰὼν *Herod.* ‖ 19 Τάφῳ A, Πάφῳ CEb ‖ 20 Ὠκεανοῦ Σ^1, Ὠκεανῷ Cb | εἰμὶ Νύχ. b, ἡμινυχεία C, εἰμηνυχία Σ^1 ‖ 21 κρήνη Σ^1b, κρόνου C | με τόδ᾽ ὠνόμασαν Σ^1b, μετωνόμασαν C ‖ 22 προχέω Eb, προχέων A, προχέον C | θνητοῖς δ᾽ ὑγιείην Cb, θνητῷ δ᾽ ὑγείην Σ^1 ‖ 23 Πτερέλας Σ^1, Περίλας C, Πτερίλας b ‖ 24 περιλειφθ. Σ^1, παραλειφθ. Cb ‖ 25 αὐτῶν *add* Σ^1 ‖ 26 δίους *add* Σ^1 ‖ 27 *post* φάσκων *add* ἔθνος Παφλαγονίας Cb ‖ 28 γείτονές τε βαρβάροις Σ^1, ἥττονές τε βαρβάρων Cb ‖ 29 ποιούμενοι Σ^1, ποιοῦντες Cb | φοινίκεια Cb, φοινίκια Σ^1; *item p. 186, 1*

κτητικῶς ὀνομάζονται. Οἱ δὲ φοινίκεια λέγουσιν αὐτά, οἱονεὶ φωνίκεια, ἐπειδὴ φωνῆς ἐγγραμμάτου δυνάμει εἰκόνες εἰσί, μεταβολῆς γεγονυίας τοῦ ω̅ εἰς τὴν ο̅ι̅ δίφθογγον κατὰ τὴν τῶν Βοιωτῶν διάλεκτον, ὥσπερ ἀγκώνη ἀγκοίνη.

Ἰστέον ⟨δὲ⟩ ὅτι παρὰ τὸ στοιχῶ γίνεται στοιχεῖον, ἁρμονίᾳ γάρ τινι ἕπεται ἀλλήλοις τὰ στοιχεῖα· καὶ δῆλον ἀφ' ὧν λέγομεν ψιλὰ ψιλῶν ἡγεῖσθαι καὶ δασέα δασέων καὶ μέσα μέσων κατὰ σύλληψιν, οἷον κτύπος φθόνος ἕβδομος· καὶ πάλιν φαμὲν τὸ ν̅ τοῦ ⟨κ̅ γ̅⟩ χ̅ μὴ προηγεῖσθαι, καὶ μηδέποτε σύμφωνον προηγεῖσθαι τοῦ σ̅ κατὰ σύλληψιν.

Γράμματα δὲ λέγεται παρὰ τὸ γλάπτεσθαι, ὅ ἐστι κοιλαίνεσθαι· γέ- 789,6b
γονε γὰρ γλάμμα καὶ κατὰ μετάθεσιν τοῦ λ̅ εἰς ρ̅ γράμμα· ἢ παρ' ὅσον ἐκ τῶν παρὰ τοῖς γεωμέτραις λεγομένων γραμμῶν ἐσχημάτισται· καὶ γὰρ ὁ Πυθαγόρας, ὥς φασι, ⟨τοῦ⟩ κάλλους αὐτῶν ἐπεμελήθη ἐκ τῆς κατὰ γεωμετρίαν γραμμῆς.

Ζητοῦσι δέ τινες, διὰ τί τὸ γράμμα διὰ δύο μ̅μ̅ γράφεται, καὶ οὐ δι' ἑνὸς μ̅, ὥσπερ τὸ θέμα καὶ βῆμα καὶ ποίημα. Καὶ ἔστιν εἰπεῖν, ὅτι ταῦτα ἐκ τοῦ πρώτου προσώπου τοῦ παθητικοῦ παρακειμένου σχηματίζονται, οἷον ἀπὸ τοῦ πεποίημαι ποίημα, νενόημαι νόημα, τετέλεσμαι τέλεσμα, γέγλυμμαι γλύμμα, ἔστεμμαι στέμμα· εἰ οὖν τὸ γέγραμμαι διὰ δύο μ̅μ̅ γράφεται, εὐλόγως καὶ τὸ γράμμα διὰ δύο μ̅μ̅ γράφεται.

Ἐπειδὴ δέ τινες τὸ παρὰ τοῖς Βοιωτοῖς ⟨καὶ Λάκωσι⟩ καὶ Αἰολεῦσι 777,27b
λεγόμενον δίγαμμα, ὃ τυποῦται οὕτως F, βούλονται τοῖς στοιχείοις κατατάσσειν, ἔλθωμεν καὶ εἴπωμεν τοὺς λόγους, δι' οὓς βούλονται αὐτὸ κατατάσσειν τοῖς στοιχείοις, καὶ τότε δείξομεν ὅτι οὐκ ἔστι στοιχεῖον. Φασὶ μὲν ὅτι παντὶ στοιχείῳ ἕπεται τὸ ἔχειν χαρακτῆρα καὶ ὄνομα, δι' οὗ ὀνομάζεται, ὥς φαμεν τοῦτο καλεῖσθαι ἄλφα ἢ ἦτα ἢ ω̅ μέγα· εἰ ἄρα οὖν καὶ τὸ δίγαμμα χαρακτῆρα ἔχει καὶ ὄνομα, δῆλον ὅτι στοιχεῖόν ἐστιν. Εἰπόντες οὖν πῶς λέγεται αὐτὸ στοιχεῖον, ἔλθωμεν καὶ δείξωμεν ὅτι οὐκ 778,4b

---

21—190, 18 hab. et. Σ^1

1 Οἱ — ἀγκοίνη (4) *om* b | οἱ. φωνίκ. *add* Σ^1 | φωνίκεια E, φωνήκεια A ‖ **2** ἐπειδὴ — ἀγκοίνη (4) *om* E | δυνάμει *add* A ‖ **3** τὴν *et* δίφθ. *add* A | τῶν *add* A ‖ **5—9** *om* b ‖ **5** στοιχεῖον Σ^1, στοιχεῖα C ‖ **8** τὸ γ̅ τοῦ χ̅ μὴ πρ. μὴ δὲ ποτὲ ἄφωνον προηγεῖσθαι Σ^1, τοῦ γ̅ τὸ χ̅ πρ. οὐδέποτε γὰρ ἄφ. προηγεῖται C ‖ **9** σ̅ *om* C | Σ^1 *add*: ἢ στοιχεῖα λέγονται ὁμοφώνως τοῖς κοσμικοῖς στοιχείοις· ὥσπερ γὰρ ἐκεῖνα συνελθόντα σῶμα ἀποτελεῖ, τὸν αὐτὸν τρόπον καὶ ταῦτα ἐπιπλεκόμενα ἀλλήλοις τὴν ἐγγράμματον φωνὴν τρόπῳ τινὶ οὖσαν σῶμα συνίστησιν ‖ **10** δὲ *add* Σ^1; *item v. 15* ‖ **11** γλάμμα A, γλάμματα E, γράμματα Cb | καὶ *add* Σ^1 | γράμμα A, γράμματα E, *om* Cb ‖ **12** καὶ — γραμμῆς (14) *om* Σ^1 ‖ **13** τοῦ *add* b | ἐκ — γραμμῆς (14) *om* b ‖ **16** μ̅ *add* Σ^1 ‖ **17** ταῦτα *add* Σ^1 ‖ **21** τοῖς CΣ^1, *om* b ‖ **22** λεγόμενον Cb, γενόμενον A, γινόμενον E | τοῖς στοιχ. Cb, εἰς τὰ στοιχεῖα Σ^1 ‖ **23** αὐτὸ Σ^1b, αὐτοὶ C ‖ **24** τοῖς στοιχ. Cb, στοιχεῖον Σ^1 ‖ **26** καλεῖσθαι CΣ^1, καλεῖται b | α̅ ἢ η̅ ἢ ω̅ C, α̅ η̅ ω̅ Σ^1 | ἄρα οὖν Σ^1, οὖν ἄρα C ‖ **27** Εἰπόντες — ὅτι (187, 1) C, ἡμεῖς δὲ λέγομεν ὡς Σ^1 ‖ **28** δείξωμεν b, δείξομεν C

322,32a ἔςτιν αὐτὸ στοιχεῖον. Ἰστέον γὰρ ὅτι πᾶν στοιχεῖον ἀφ' ἑαυτοῦ ἄρχε-
323a ται, τὸ ἄλφα ἀπὸ τοῦ ᾱ, τὸ βῆτα ἀπὸ τοῦ β̄, καὶ τὰ ἑξῆς ὁμοίως· τὸ
δὲ δίγαμμα οὐχ οὕτως ἔχει· οὐκ ἄρα οὖν ἐστι στοιχεῖον. Ἄλλως τε
δὲ πάντα τὰ στοιχεῖα κατὰ πᾶσαν ἔςτιν εὑρίσκεσθαι διάλεκτον, τὸ δὲ
δίγαμμα οὔ, ἀλλὰ παρὰ μόνοις τοῖς Βοιωτοῖς καὶ τοῖς Λάκωσι καὶ Αἰο-
10b λεῦσιν· οὐκ ἄρα ἐστὶ στοιχεῖον. Ἔτι τὰ στοιχεῖα ἢ φωνήεντά ἐστιν ἢ
σύμφωνα, τοῦτο δὲ οὐδὲν ἐκ τούτων δύναται εἶναι· σύμφωνον μὲν γὰρ
οὐκ ἔστιν, ἐπειδὴ τὰ σύμφωνα εὑρίσκονται μετὰ ἑτέρου συμφώνου ἢ ἐν
συλλήψει ἢ ἐν διαστάσει, οἷον θνήσκω ἕλκω· εἰ ἄρα οὖν τὸ F οὐ σύ-
10a νεστι παντελῶς συμφώνοις, ἀλλὰ φωνήεσιν ἀεί, οἷον Fουλαμός, δῆλον
ὅτι οὐκ ἔστι σύμφωνον. Ἀλλ' οὐδὲ φωνῆεν δύναται εἶναι· καὶ γὰρ
τοῖς φωνήεσι παρέπεται τὸ δασύνεσθαι καὶ ψιλοῦσθαι, τὸ δὲ F οὐ-
δέποτε δασύνεται, ἀλλὰ μόνον ψιλοῦται· οὐκ ἄρα ἐστὶ φωνῆεν· ἄλλως
τε δὲ τὰ προτακτικὰ φωνήεντα οὐχ ὑποτάσσονται φωνήεσιν, οἷον τὸ ᾱ
καὶ ε̄ καὶ τὰ ἄλλα προτακτικὰ ὄντα οὐχ εὑρίσκονται ἑτέροις ὑποτασσό-
20b μενα φωνήεσιν· εἰ ἄρα οὖν τὸ F εἴπωμεν φωνῆεν, εὑρεθήσεται ἐν τῷ
Fάναξ καὶ Fελένη τὸ ᾱ καὶ ε̄ τὰ προτακτικὰ ὑποτασσόμενα φωνήεσιν,
ὅπερ ἐστὶν ἄτοπον· 〈ἔτι οὐδέποτε τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ πα-
ραλαμβάνονται· εἰ ἄρα οὖν τὸ F εἴπωμεν φωνῆεν, εὑρεθήσονται ἐν τῷ
Fεῖδος καὶ Fουλαμός〉 τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ, ὅπερ ἐστὶν ἀδύ-
νατον· εἰ ἄρα οὖν, ὡς δέδεικται, οὔτε σύμφωνον δύναται εἶναι οὔτε
20a φωνῆεν, δῆλον ὅτι οὐκ ἔστι στοιχεῖον τὸ F. Ἔτι πᾶς χαρακτὴρ στοι-
χείων σημαίνει ἀριθμόν· καὶ γὰρ τὸ ᾱ σημαίνει τὸν ἕνα ἀριθμόν, καὶ τὸ
β̄ τὸν δύο, καὶ ἑξῆς· εἰ ἄρα οὖν ὁ χαρακτὴρ τοῦ F οὐ σημαίνει ἀριθμόν,
δῆλον ὅτι οὐκ ἔστι στοιχεῖον.

Ἐπειδὴ δέ τινες τὴν δασεῖαν, ἥτις τυποῦται οὕτως F, οὐκ ὤκνησαν
30b στοιχεῖον λέγειν, φέρε πρῶτον τοὺς λόγους εἴπωμεν, οἷστισιν ἐπερει-
δόμενοι λέγουσι τὴν δασεῖαν στοιχεῖον εἶναι, καὶ τότε δείξομεν ὅτι οὐκ
ἔστι στοιχεῖον. Φασὶν ὅτι πᾶν στοιχεῖον ἔχει τινὰ ἐκφώνησιν· τοιαύτη
δέ ἐστι καὶ ἡ δασεῖα, προσγινομένη καὶ φθόγγον ἴδιον ἀποτελοῦσα· στοι-
χεῖον ἄρα ἡ δασεῖα. Ἔστι δὲ εἰπεῖν ὅτι οὐκ ἔστι στοιχεῖον ἡ δασεῖα·
καὶ γὰρ πάντα τὰ στοιχεῖα ἢ φωνήεντά ἐστιν ἢ σύμφωνα· εἰ ἄρα δεί-
ξομεν τὴν δασεῖαν ὅτι οὔτε φωνήεντος δύναμιν ἔχει οὔτε συμφώνου,
779,8b δῆλον ὅτι οὐκ ἔστι στοιχεῖον. Καὶ γὰρ φωνήεντος μὲν δύναμιν οὐκ

---

1 γὰρ E, οὖν C, *om* A ‖ **2** ἄλφα *et* βῆτα] ᾱ *et* β̄ CΣ^1b ‖ **3** ἐστὶ Σ^1b, εἶναι C | τε δὲ] δὲ C, τε Σ^1; *item v. 14* ‖ **6** ἐστὶ *add* Σ^1 | Ἔτι τὰ E, ἔτι δὲ τὰ A, τὰ δὲ C ‖ **7** τοῦτο — σύμφωνα (8) *add* Σ^1 ‖ **10** οἷον Fουλ. *om* Σ^1 | Fουλαμός] Fοῦλενα Cb ‖ **11** οὐδὲ b, οὔτε CΣ^1 ‖ **12** δὲ *add* Σ^1 ‖ **14** *post* δὲ *add* καὶ Cb ‖ **18** *nulla lac. in* CΣ^1, *lac. ind.* b ‖ **20** *post* τρία *add* οὖν Cb, γὰρ Σ^1 | συλλ. ὅπερ ἐστὶν C, λέξει παραλαμβάνεσθαι Σ^1 ‖ **22** στοιχείων C, στοιχείου Σ^1 ‖ **23** τὸν *add* Σ^1; *item v. 24* ‖ **26** οὐκ — λέγειν (27)] λέγουσι στοιχεῖον Σ^1 | ὤκνησαν b, ὤκνησε C ‖ **27** οἷστ. ἐπερ.] καθ' ἣν αἰτίαν Σ^1 | οἵστισιν C, οἷς τινὲς b ‖ **29** Φασὶν ὅτι *add* Σ^1 | πᾶν C, τὸ Σ^1 ‖ **32** ἐστιν *add* Σ^1

ἔχει, ἐπειδὴ τὰ φωνήεντα καὶ δασύνονται καὶ ψιλοῦνται, ὅπερ οὐ παρακολουθεῖ τῇ δασείᾳ· οὐκ ἄρα οὖν φωνῆέν ἐστιν· ἄλλως τε δὲ εἰ ἦν φωνῆεν ἡ δασεῖα, ἔδει τὸ δασυνόμενον ε̄ καὶ τὸ ο̄ τὸ δασυνόμενον μείζονι χρόνῳ κεχρῆσθαι τοῦ ψιλουμένου, εἴ γε τὰ ἐκ δύο φωνηέντων καταγινόμενα μείζονα τῶν βραχέων εἰσίν· ⟨ὅπερ οὐκ ἔστιν⟩· ἔτι οὐδέποτε τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ παραλαμβάνονται· εἰ ἄρα οὖν εἴπωμεν τὴν δασεῖαν φωνῆεν, εὑρεθήσονται ἐν τῷ εἷμα καὶ αἷμα τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ, ὅπερ ἀδύνατον· ἔτι τὰ φωνήεντα αὐτὰ καθ' ἑαυτὰ δύνανται παραλαμβάνεσθαι, ἡ δὲ δασεῖα οὐ δύναται καθ' ἑαυτὴν παραλαμβάνεσθαι· οὐκ ἄρα οὖν φωνῆέν ἐστιν. Ἀλλ' οὔτε δὲ σύμφωνον δύναται εἶναι· καὶ γὰρ τοῖς δασέσι συμφώνοις οἱ Αἰολεῖς κέχρηνται συνεχῶς, οἷον ⟨Π 165⟩ ἀμφ' ἀγαθὸν θεράποντα, ⟨ubi?⟩ οὐχ εὗρον, τῇ δὲ δασείᾳ οὐ κέχρηνται, ψιλωτικοὶ γάρ εἰσιν· οὐκ ἄρα οὖν ἐστι σύμφωνον ἡ δασεῖα· ἄλλως τε δὲ τὰ ἀπὸ συμφώνων ἀρχόμενα ῥήματα τὸ ε̄ προσλαμβάνουσι κατὰ τὸν παρατατικόν, οἷον τύπτω ἔτυπτον, γράφω ἔγραφον· εἰ ἄρα οὖν ⟨ἦν⟩ ἡ δασεῖα σύμφωνον, ὤφειλον τὰ δασυνόμενα, φημὶ δὴ τὸ εὑρίσκω καὶ τὸ εὕδω, τὸ ε̄ προσλαμβάνειν κατὰ τὸν παρατατικόν, ὅπερ οὐκ ἔστιν· ἔτι τὰ σύμφωνα ἐν τῇ ἀρχῇ καὶ ἐν τῷ μέσῳ καὶ ἐν τῷ τέλει εὑρίσκονται, οἷον Πλάτων, ἡ δὲ δασεῖα οὐχ οὕτως ἔχει, φίλαρχος γάρ ἐστιν· οὐκ ἄρα οὖν σύμφωνόν ἐστι. Δῆλον οὖν ὡς οὔτε σύμφωνον οὔτε φωνῆεν ὑπάρχουσα ἡ δασεῖα οὐκ ἔστι στοιχεῖον.

Ἐπειδὴ δέ τινες τὸ ρ̄ φωνῆεν θέλουσι λέγειν, εἴπωμεν πῶς λέγου- 806, 29 b 323, 23 c
σιν αὐτὸ φωνῆεν εἶναι, καὶ τότε δείξομεν αὐτὸ σύμφωνον. Φασὶν ὅτι τοῖς φωνήεσι παρέπεται τὸ δασύνεσθαι καὶ ψιλοῦσθαι, οὐ μὴν τοῖς συμφώνοις· εἰ ἄρα οὖν τὸ ρ̄ καὶ δασύνεται καὶ ψιλοῦται — καὶ δασύνεται μέν, ὡς ἐν τῷ ῥάπτω, ψιλοῦται δέ, ὡς ἐν τῷ μέρος — δῆλον ὅτι φωνῆέν ἐστιν. Ἄλλως τε δὲ τὰ διὰ τοῦ ᾱ μακροῦ ἐκφερόμενα κατὰ τὸν
μέλλοντα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, ὅτε μὴ Δωρικά 807, 4 b
ἐστι, κατὰ τὸν ἐνεστῶτα ἔχουσι πρὸ τοῦ ᾱ φωνῆεν, οἷον ἀνιάσω ἀνιῶ, 30 c
κοπιάσω κοπιῶ, ἐρυθριάσω ἐρυθριῶ· ἐπεὶ οὖν καὶ τὸ φυράσω καὶ τὸ περάσω καὶ τὸ δράσω, οὐ Δωρικὰ ὄντα ἀλλὰ κοινά, μακρῷ τῷ ᾱ κέχρηνται, παραλήγεται δὲ τῷ ρ̄, δῆλον ὅτι φωνῆέν ἐστι καὶ οὐ
σύμφωνον· πρόσκειται «ὅτε μὴ ὦσι Δωρικά», διὰ τὸ πεινάσω καὶ 324 c
διψάσω· ταῦτα γὰρ μακρὸν ἔχουσι τὸ ᾱ, καὶ ὅμως κατὰ τὸν ἐνεστῶτα 10 b
οὐκ ἔχουσι πρὸ τοῦ ω̄ φωνῆεν· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ ἀπὸ

---

2 δὲ C, καὶ b, *om* Σ^1 ‖ **5** ἔτι *add* Σ^1 ‖ **7** ἐν (*ante* τῷ) *add* Σ^1 ‖ **9** δύν. καθ' ἑ. παραλ. *add* Σ^1 ‖ **10** οὖν *add* Σ^1; *item v. 13* | οὔτε CΣ^1, οὐδὲ b | δὲ *add* E ‖ **13** ψιλωτικοὶ Σ^1, ψιλωταὶ Cb ‖ **14** δὲ C, καὶ b, *om* Σ^1 ‖ **15** οἷον — παρατ. (17) *om* A ‖ **17** τὸν *add* Eb ‖ **18** ἀρχῇ] ἀρχούσῃ CΣ^1 ‖ **20** ἐστι *add* E ‖ **22** Ἐπειδὴ E, ἐπεὶ AC | τὸ ρ̄ Σ^1, τὸ σύμφωνον C ‖ **25** οὖν *add* Σ^1 | καὶ δασ. μέν — μέρος (26) *add* A ‖ **27** δὲ *om* Σ^1 ‖ **28** μέλλοντα Σ^1b, μέσον C ‖ **29** οἷον — κέχρ. (32) *om* E | ἀνιάσω A, ἄσω C ‖ **31** τῷ ᾱ A, τὸ ᾱ C ‖ **32** τῷ ρ̄ Σ^1, τὸ ρ̄ C ‖ **33** ὅτε A, ὅτι C, *om* E | ὦσι δωρικὰ C, δώρια Σ^1 | καὶ *add* Σ^1 ‖ **34** κατὰ *add* Σ^1b

τοῦ πεινήςω καὶ διψήςω κατὰ τροπὴν Δωρικὴν τοῦ η̄ εἰς ᾱ μακρὸν γέγονεν. Ἔτι τὰ βραχυκατάληκτα τῶν εἰς ᾱ ληγόντων θηλυκῶν ποτὲ μὲν φυλάττουςι τὸ ᾱ κατὰ τὴν γενικήν, ὅτε φωνήεςι παραλήγεται, οἷον Μήδεια Μηδείας, Ἀντιόχεια Ἀντιοχείας, ποτὲ δὲ τρέπουςιν αὐτὸ εἰς τὸ η̄, ὅτε ςύμφωνον ἔχει πρὸ τοῦ ᾱ, οἷον θάλαςςα θαλάςςης, ἅμαξα ἁμάξης· εἰ ἄρα οὖν τὰ ἔχοντα πρὸ τοῦ ᾱ τὸ ρ̄ φυλάττουςιν αὐτὸ ἐπὶ γενικῆς καὶ οὐ τρέπουςιν, οἷον ςφαῖρα ςφαίρας, μάχαιρα μαχαίρας, δῆλον ὅτι τὸ ρ̄ φωνῆέν ἐςτι καὶ οὐ ςύμφωνον. Ἔτι τὰ ἀπὸ ἑνὸς ἁπλοῦ ςυμφώνου ἀρχόμενα ῥήματα ἀναδιπλαςιάζουςι τὸν παρακείμενον, οἷον τύπτω τέτυφα, θύω τέθυκα, φιλῶ πεφίληκα, τὰ δὲ ἀπὸ φωνήεντος ἀρχόμενα οὐκ ἀναδιπλαςιάζουςι τὸν παρακείμενον, οἷον ἐρευνῶ ἠρεύνηκα, ἐλεῶ ἠλέηκα· εἰ ἄρα οὖν τὰ ἀπὸ τοῦ ρ̄ ἀρχόμενα οὐκ ἀναδιπλαςιάζουςι τὸν παρακείμενον, οἷον ῥάπτω ἔρραφα, ῥυπῶ ἐρρύπωκα, δῆλον ὅτι οὐκ ἔςτι τὸ ρ̄ ςύμφωνον, ἀλλὰ φωνῆεν.

Ἔςτι δὲ εἰπεῖν ὅτι ςύμφωνόν ἐςτι τὸ ρ̄ καὶ οὐ φωνῆεν· οὐδὲν γὰρ ὄνομα ἀρςενικὸν εἰς φωνῆεν λήγει, οἷον Πλάτων Φοῖνιξ Αἴας· πῶς οὖν τὸ ρ̄ φωνῆεν, ὅπου τὸ ῥήτωρ καὶ πατήρ καὶ τὰ τοιαῦτα εἰς ρ̄ λήγει; Ἄλλως τε δὲ οὐδέποτε φωνῆεν τοῦ αὐτοῦ φωνήεντος προτάςςεται καὶ ὑποτάςςεται ⟨ἐν ςυλλήψει⟩· πῶς οὖν τὸ ρ̄ τοῦ η̄ καὶ προταςςόμενον καὶ ὑποταςςόμενον, ὡς ἐν τῷ Ἄρης καὶ ἀήρ, δύναται εἶναι φωνῆεν; Ἔτι τὰ εἰς ω̄ λήγοντα ῥήματα οὐδέποτε διὰ δύο φωνηέντων ἐκφέρονται κατὰ τὴν λήγουςαν ςυλλαβήν· εἰ ἄρα οὖν τὸ ρ̄ εἴπωμεν εἶναι φωνῆεν, εὑρεθήςονται κατὰ τὴν τελευταίαν ςυλλαβὴν τοῦ κείρω ⟨καὶ⟩ φθείρω δύο φωνήεντα, ὅπερ ἐςτὶν ἄτοπον. Ἔτι τρία φωνήεντα ἐν μιᾷ
808,25b ςυλλαβῇ οὐ παραλαμβάνονται· εἰ ἄρα οὖν εἴπωμεν τὸ ρ̄ φωνῆεν, εὑρεθήςονται ἐν τῷ ῥοῦς καὶ ἐν τῷ ῥεῦμα τρία φωνήεντα ⟨ἐν μιᾷ ςυλλαβῇ, ὅπερ ἐςτὶν ἄτοπον⟩. Ἔτι αὐτὰ καθ' ἑαυτὰ παραλαμβανόμενα τὰ φωνήεντα φωνὴν ἀποτελοῦςιν, τὰ δὲ ςύμφωνα οὔ· εἰ ἄρα οὖν τὸ ρ̄ αὐτὸ καθ' ἑαυτὸ παραλαμβανόμενον φωνὴν οὐκ ἀποτελεῖ, δῆλον ὅτι οὐκ ἔςτι φωνῆεν ἀλλὰ ςύμφωνον. Ἔτι πᾶς παρακείμενος ἀπαθής — λέγω δὲ «ἀπαθής» διὰ τὸ ἑώρακα — ἀπὸ τοῦ ε̄ ἀρχόμενος πάντως τὸν ἐνεςτῶτα ἔχει ἀπὸ ςυμφώνου ἀρχόμενον, οἷον ἔφθαρκα φθείρω, ἔςταλκα ςτέλλω, ἐψήφωκα ψηφῶ, ἔςπαρκα ςπείρω· εἰ ἄρα οὖν τὸ ἐρρύπωκα καὶ τὸ ἔρραφα ἀπὸ τοῦ ε̄ ἄρχονται, δῆλον ὅτι τὸ ῥυπῶ καὶ τὸ ῥάπτω ἀπὸ ςυμφώνου ἄρχονται· ἄρα οὖν τὸ ρ̄ ςύμφωνόν ἐςτι καὶ οὐ φωνῆεν.

815,10b Ἰςτέον δὲ ὅτι τινὲς τὰ διπλᾶ λέγουςι ςύνθετα εἶναι, λέγοντες ὅτι

---

1 καὶ *add* Σ^1b ‖ 5 πρὸ τοῦ ᾱ *add* Σ^1 ‖ 8 Ἔτι δὲ τὰ C | ἁπλοῦ A, ἁπλῶς C, *om* E ‖ 9 ῥήματα *add* Σ^1 ‖ 18 δὲ *om* Σ^1 ‖ 20 ἀὴρ καὶ Ἄρης C ‖ 21 ω̄ Σ^1, ᾱ C | *post* δύο *add* δαςέων C ‖ 22 ςυλλ. *om* Σ^1 | εἰ — ἄτοπον (24) *om* E ‖ 23 κείρω *om* A ‖ 24 ἐςτὶν *add* A ‖ 28 *post* φωνὴν *add* ἀφ' ἑαυτῶν C | τὰ — οὔ *om* C | οὔ E, οὐκέτι A | τό ρ̄ *add* Σ^1 ‖ 31 πάντως — ἀρχόμενον (32) *add* Σ^1 ‖ 35 ἐςτι — φωνῆεν *add* Σ^1 ‖ 36 δὲ C, *om* Σ^1b | *poster.* ὅτι *add* A

τὰ ἐκ διαφόρων ϲυνεϲτῶτα ϲύνθετά ἐϲτιν, οἷον Ἀγαμέμνων Μενέλαοϲ· ἆρα οὖν καὶ ἕκαϲτον τούτων τῶν διπλῶν ἐκ δύο ϲυμφώνων ϲύγκειται, τὸ μὲν ζ̄ ἐκ τοῦ ϲ̄ καὶ δ̄, τὸ δὲ ξ̄ ἐκ τοῦ κ̄ καὶ ϲ̄, τὸ δὲ ψ̄ ἐκ τοῦ π̄ καὶ ϲ̄· δῆλον οὖν ὅτι ϲύνθετά εἰϲιν. Πρὸϲ οὓϲ ἔϲτιν εἰπεῖν, ὅτι οὐ δύναται ταῦτα εἶναι ϲύνθετα, ἐπειδὴ ϲτοιχεῖά εἰϲι, τὰ δὲ ϲτοιχεῖα ἁπλᾶ 816b θέλουϲιν εἶναι καὶ ἀποίκιλα· ϲτοιχεῖον γάρ ἐϲτιν ἡ πρώτη καὶ ἀμερὴϲ τοῦ ἀνθρώπου φωνή. Ἄλλωϲ τε δὲ διπλᾶ λέγεται καὶ οὐ ϲύνθετα· διαφέρει δὲ διπλοῦν ϲυνθέτου, καθὸ ϲύνθετον μέν ἐϲτι τὸ ἐκ διαφόρων ϲυνεϲτηκόϲ, οἷον Ἀγαμέμνων, διπλοῦν δὲ λέγεται τὸ δυνάμενον εἰϲ ἑαυτὸ διπλωθῆναι, ὥϲπερ ⟨διπλοῖϲ⟩ τὸ ἱμάτιον εἰϲ ἑαυτὸ δεδιπλωμένον. Κρεῖττον οὖν ἐϲτι λέγειν ὅτι οὐκ ἐκ δύο ϲυμφώνων ϲύγκεινται, ἀλλὰ δύο ϲυμφώνων ἔχουϲι δύναμιν καὶ ἐκφώνηϲιν.

Δέον δέ ἐϲτι ζητῆϲαι, εἰ ἄρα τὸ ο̄ τὸ προϲτιθέμενον παρὰ τοῖϲ 779,32b 324,5c Βοιωτοῖϲ τῷ ῡ δύναμιν ἔχει ϲτοιχείου. Καὶ ἔϲτιν εἰπεῖν ὅτι οὐκ ἔχει δύναμιν ϲτοιχείου, ἀλλὰ φθόγγοϲ μόνον ἐϲτίν· ὅτι γὰρ οὐκ ἔχει δύναμιν ϲτοιχείου, δῆλον, εἴ γε προϲερχομένου αὐτοῦ ⟨τὸ⟩ ο̄ῡ τὸν αὐτὸν χρόνον ⟨τῷ ῡ⟩ φυλάττει· καὶ γὰρ ὥϲπερ τὸ κύνεϲ ϲυνεϲταλμένον ἔχει τὸ ῡ, οὕτω καὶ τὸ κούνεϲ ϲυνεϲταλμένην ἔχει τὴν κ̄ο̄ῡ ϲυλλαβήν.

Ἄλλωϲ εἰϲ τὸ αὐτό. — Τῶν ϲτοιχείων ὁ Κάδμοϲ εὑρετήϲ ἐϲτιν, 786b ὥϲ φηϲιν Ἔφοροϲ καὶ Ἀριϲτοτέληϲ· ἄλλοι δὲ λέγουϲιν, ὅτι Φοινίκων εἰϲὶν εὑρήματα, Κάδμοϲ δὲ ταῦτα διεπόρθμευϲεν εἰϲ τὴν Ἑλλάδα· Πυθόδωροϲ δέ φηϲιν ὅτι καὶ πρὸ Κάδμου ὁ Δαναὸϲ ἐκεῖθεν, ἤτοι ἀπὸ Φοινίκηϲ, αὐτὰ μετεκόμιϲεν· ἔνιοι δὲ Μουϲαῖον εὑρετὴν λέγουϲι τῶν ϲτοιχείων τὸν Μητίονοϲ καὶ Ϲτερόπηϲ, γενόμενον κατὰ τοὺϲ καιροὺϲ τοῦ Ὀρφέωϲ· Ἀντικλείδηϲ δὲ τοῖϲ Αἰγυπτίοιϲ τὴν εὕρεϲιν ἀνατίθηϲιν· Αἰϲχύλοϲ ⟨Prom. 460⟩ δὲ Προμηθέα φηϲὶν εὑρηκέναι αὐτά· Δοϲιάδηϲ δὲ ἐν Κρήτῃ λέγει εὑρεθῆναι αὐτά· Ϲτηϲίχοροϲ δὲ Παλαμήδην εὑρετὴν αὐτῶν ποιεῖται, ᾧ ϲυμφωνεῖ καὶ Εὐριπίδηϲ ⟨fr. 578 N²⟩, Μναϲέαϲ δὲ ⟨Ἑρμῆν. Πιθανὸν δὲ⟩ κατὰ πάντα τόπον εὑρετὰϲ γεγενῆϲθαι τῶν ϲτοιχείων· ⟨διὸ καὶ ἄλλοι παρ' ἄλλοιϲ εἰϲὶ χαρακτῆρεϲ τῶν ϲτοιχείων·⟩ οἷϲ δὲ ἡμεῖϲ χρώμεθα νῦν, εἰϲὶν Ἰωνικοί, διὰ τὸ ἀρχαιοτέραν εἶναι τὴν Ἰάδα τῶν ἄλλων διαλέκτων, καὶ αὐτὴν πρώτην τῶν ἄλλων τοὺϲ Ἑλληνικοὺϲ εὑρεῖν τύπουϲ. Διέταξε δὲ τὰ ϲτοιχεῖα γράφεϲθαι, ὡϲ γράφομεν νῦν, Προναπίδηϲ ὁ Ἀθηναῖοϲ· τῶν γὰρ ἀρχαίων οἱ μὲν ϲπυριδὸν ἔγραφον, ἤτοι δίκην ϲπυρίδοϲ ἀπὸ πλάτουϲ ἀρχομένηϲ καὶ εἰϲ

ΚΥΡΙΟϹΕΙΠΕΠΡΟϹΜΕ
ΥΙΟϹΜΟΥΕΙϹΥ
ΕΓΩϹΗΜΕΡΟΝ
Γ Ε Γ Ε
Ν Ν Η
ΚΑϹΕ

7 δὲ C, καὶ b, *om* Σ¹ ‖ 8 δὲ *add* Σ¹b | καθὸ Σ¹, καθὰ C | ἐκ *add* Σ¹b ‖ 10 ὥϲπερ — ϲύγκεινται (11) *om* E | δεδιπλωμένον A, διπλούμενον C ‖ 11 οὖν ἐϲτι *add* A ‖ 13 προϲτιθ. CΣ¹, προτιθ. b | τοῖϲ *add* Σ¹ ‖ 14 τῷ] τοῦ Cb, *om* Σ¹ ‖ 16 προϲερχόμενον τοῦ ῡ C, προϲερχόμενον τῷ ῡ Σ¹, προϲερχομένου τοῦ ῡ b ‖ 19—191, 22 *cfr p. 183, 1—25* ‖ 22 ὅτι C, *om* b ‖ 26 Δοϲιάδηϲ] Δωτιάδηϲ Cb ‖ 31 Ἰωνικοί C, Ἰωνικά b ‖ 35 τῶν γ. ἀρχαίων C, τὸ γ. ἀρχαῖον b

στενὸν κομιδῇ ληγούσης· τὸ δὲ σπυριδὸν σχῆμα ἑξάστιχόν ἐστι, γράφεται δὲ οὕτως· ⟨Psalm. 2, 7 seq⟩·

30 Οἱ δὲ πλινθηδόν, ἤτοι τετραγώνως· μέσον γὰρ σχήματος τετραγώνου ταῦτα διέγραφον· τὸ δὲ τετράγωνον τὸ κατὰ πλίνθον οὐκ ἰσόπλευρον· τὰς μὲν γὰρ δύο πλευρὰς τὰς ἐπαλλήλους ἴσας ἔχει, καὶ πάλιν τὰς παραλλήλους ἴσας, πλὴν οὐκ ἰσομήκεις ταῖς ἐπαλλήλοις· αἱ μὲν γὰρ ἐπάλλη-
787b λοι μακραί, αἱ δὲ παράλληλοι μικραί· γράφεται δὲ οὕτω τὸ πλινθηδόν·

ΚΥΡΙΟϹΕΙΠΕΠΡΟϹ
ΜΕΥΙΟϹΜΟΥΕΙϹΥ
Ε Γ Ω Ϲ Η Μ Ε Ρ Ο Ν
Γ Ε Γ Ε Ν Ν Η Κ Α
Ϲ Ε Α Ι Τ Η Ϲ Α Ι
Π Α Ρ Ε Μ Ο Υ Κ Α Ι
Δ Ω Ϲ Ω Ϲ Ο Ι Τ Η Ν

Οἱ δὲ βουστροφηδόν, ἤγουν ἐναλλήλως καὶ κατὰ τὰς αὔλακας, αἵτινες ἀντέχονται ἀλλήλαις, καὶ οὐδέν ἐστι μέσον αὐτῶν τὸ διάσχημα, μόνου τοῦ φαινομένου γραφήματος [τοῦ] διαγνωρίζοντος ἑκατέραν αὔλακα· γράφεται δὲ οὕτω τὸ βουστροφηδόν·

ΚΥΡΙΟϹΕΙΠΕΠΡΟϹΜΕ
Ω Γ Ε Υ Ϲ Ι Ε Υ Ο Μ Ϲ Ο Ι Υ
ϹΗΜΕΡΟΝΓΕΓΕΝΝΗΚΑϹΕ
ΙΑΚΥΟΜΕΡΑΠΙΑϹΗΤΙΑ
ΔΩϹΩϹΟΙΤΗΝΚΛΗΡΟΝΟΜΙΑ

Οἱ δὲ κιονηδόν, δίκην κίονος ἤτοι παραλλήλως κατὰ γραμμήν· καὶ γὰρ διαμεμερισμένως ἔγραφον· γράφεται δὲ οὕτω τὸ κιονηδόν·

788,13b Οἱ δὲ δίϲχιδόν, ἤγουν στιχηδόν, ὡς γράφομεν ἡμεῖς νῦν· λέγεται δὲ δισχιδὸν παρὰ τὸ διεσχισμένους καὶ διακεχωρισμένους τοὺς στίχους ἀπ' ἀλλήλων εἶναι.

Ἰστέον ⟨δὲ⟩ ὅτι τὰ ὀνόματα τῶν στοιχείων ἄκλιτά εἰσι. Καὶ διὰ τί εἰσιν ἄκλιτα; Ἐπειδὴ ἀρχαί εἰσι, καὶ αἱ ἀρχαὶ ἁπλαῖ καὶ ἀποίκιλοι ὀφείλουσιν εἶναι· ἢ ὅτι καὶ οἱ θεμέλιοι τὸ ἀμετάθετον ὀφείλουσιν ἔχειν· ἄλλως δὲ διὰ τὸ ἀρτιμαθὲς τῶν παίδων οὐ κλίνονται, ἵνα μὴ πολλὰ γινόμενα δυσκατάληπτα αὐτοῖς γένωνται.

ΕΓΗΑΚ
ΓΕϹΙΛ
ΩΝΑΔΗ
ϹΝΙΩΡ
ΗΗΠϹΟ
ΜΚΑΩΝ
ΕΑΡϹΟ
ΡϹΕΟΜ
ΟΕΜΙ Ι
ΝΑΟΤΑ
Γ ΙΥΗΝ
Ε ΤΚΝ.

781b Ἰστέον δὲ ὅτι βαρβάρων μέν εἰσιν εὑρέματα τὰ ις' γράμματα ταῦτα, α̅ β̅ γ̅ δ̅ ε̅ ι̅ κ̅ λ̅ μ̅ ν̅ ο̅ π̅ ρ̅ σ̅ τ̅ υ̅, Σιμωνίδου δὲ τοῦ Κείου εὕρεμα τὰ δύο μακρά, τὸ η̅ καὶ τὸ ω̅, καὶ τὰ δύο διπλᾶ, τὸ ξ̅ καὶ τὸ ψ̅, Παλαμήδους δὲ τὰ τρία δασέα καὶ τὸ ζ̅.

782,30b Καλοῦνται δὲ τὰ στοιχεῖα φοινίκεια, ἐπεὶ ὁ Κάδμος Φοῖνιξ ὢν εἰς Ἕλληνας ταῦτα μετήνεγκεν· ἢ ὡς φωνίκειά τινα ὄντα, ἤτοι φωνῆς ἐγγραμμάτου δυνάμει[ς καὶ] εἰκόνες, τοῦ ω̅ μεταβληθέντος εἰς τὴν οι̅ δίφθογγον κατὰ τὴν Βοιωτῶν διάλεκτον, ὡς τὸ ἀγκώνη ἀγκοίνη· τὴν γὰρ ἀγκάλην, ἥτις ἐκ τοῦ ἀγκῶνος ἀγκώνη λέγεται, ἀγκοίνην οἱ Βοιωτοὶ λέ-

---

1 κομιδῇ C, πάνυ b ‖ **5** πλίνθον b, πλινθηδὸν C ‖ **6** ἐπαλλήλους] ἐπαλλήλας Cb ‖ **7** πάλιν b, πάσας C | παραλλήλους] παραλλήλας Cb ‖ **9** μακραί C, μικραί b | μικραί C, μακραί b ‖ **12** ἀντέχονται] ἀνέχονται C, ἐνέχονται b ‖ **13** διάσχημα b, διὰ σχῆμα C ‖ **20** δισχιδόν] διαχιδόν C, διασχιδόν b; *item v. 21* ‖ **23—28** *om* b; *cfr p. 184, 3—18* ‖ **26** διὰ τοὺς ἀρτιμαθεῖς C ‖ **30** σιμωνίου C | Κείου b, Κίου C ‖ **31** Παλαμ. — ζ̅ (**32**) *om* b ‖ **37** Βοιωτοὶ b, βροτοὶ C

γουcιν· οὕτωc οὖν καὶ φωνίκεια φοινίκεια, κατὰ τὸ εἶδοc τὸ παράγωγον 788,28b
τὸ λεγόμενον κτητικὸν cχηματιζόμενα· ἢ φοινίκεια, ἐπεὶ διὰ μίλτου,
ὅπερ ἐcτὶ χρῶμα φοινικοῦν, πρότερον ἐγράφετο· ἢ ὅτι πρότερον ἐν πε- 30
τάλοιc φοινικείοιc ἐγράφετο· ἢ ὅτι ἐν πυρ⟨ρ⟩ώδει κηρῷ ἐτυποῦντο· ἤ,
ὅπερ ἐcτὶ κρεῖττον, ὅτι φοινίccεται ὑπ' αὐτῶν ὁ νοῦc ἤγουν λαμπρύ-
νεται. Τινὲc δὲ λέγουcι κατὰ ἱcτορίαν, ὅτι ἀπὸ Φοινίκηc τῆc 'Ακταίωνοc
θυγατρόc· ἄλλοι ἀπὸ Φοίνικοc ⟨τοῦ⟩ Προνάπου καὶ Εὐρώπηc.

Λέγεται δὲ cτοιχεῖον ἢ παρὰ τὸ cτείχω, τὸ ⟨ἐν τάξει⟩ πορεύομαι, 790,21b
ἢ ἀπὸ τοῦ cτοίχου τοῦ cημαίνοντοc τὴν τάξιν, ἢ ἀπὸ Cτοίχου τινόc,
'Αθηναίου γηγενοῦc, εὑρόντοc αὐτά, ὡc Πινδαρίων φηcί· cχηματίζεται
δὲ παρὰ τὸ cτοῖχοc cτοιχεῖον.

Καὶ ἄλλωc εἰc τὸ αὐτό. — Cτεφάνου. — Cτοιχεῖον εἴρηται, ὡc 187v
μὲν Πινδαρίων ὁ γραμματικόc ⟨φηcιν⟩, ἀπὸ Cτοίχου τινόc, ἑνὸc τῶν
αὐτοχθόνων 'Αθηναίων· ὡc δὲ ἔνιοι, ἀπὸ τοῦ δι' αὐτῶν τοὺc ἀριθμοὺc
τυποῦcθαι· cτοῖχοc γὰρ παρὰ τοῖc παλαιοῖc ὁ ἀριθμόc· τοιγαροῦν ⟨οἱ⟩ 30
Cικυώνιοι κατὰ φυλὰc ἑαυτοὺc τάξαντεc καὶ ἀριθμήcαντεc Διὸc Cτοιχα-
δέωc ἱερὸν ἱδρύcαντο. Ἄλλοι παρὰ τὸ cτιχηδὸν γράφεcθαι cτιχεῖον,
καὶ πλεοναcμῷ τοῦ ō cτοιχεῖον· οἱ δὲ παρὰ τὸ τοῖχοc τοιχεῖον, καὶ 791b
πλεοναcμῷ τοῦ c̄ cτοιχεῖον· ἐν γὰρ τοίχοιc ἔγραφον τὸ πρότερον, ὥc
που καὶ ὁ Καλλίμαχοc λέγων μαρτυρεῖ, ⟨fr. 70 Sch⟩ αὐτὸc ὁ Μῶμοc
Ἔγραφεν ἐν τοίχοιc· ὁ Κρόνοc ἐcτὶ cοφόc. Οἱ δὲ παρὰ τὸ cτοῖ-
χοc cτοιχεῖον, τὸ ὡc ἐκ τάξεωc φωνὴν ἤγουν ἐκφώνηcιν ἀποτελοῦν·
cτοῖχοc γὰρ ἡ τάξιc.

Γράμματά ἐcτιν κδ' ἀπὸ τοῦ ᾱ β̄ μέχρι τοῦ ω̄]. «Περὶ cτοι- 772,4b
χείου» ἐπιγράψαc οὐ cτοιχεῖα εἶπεν κδ', ἀλλὰ γράμματα κδ'. Διὰ τί;
Ἵνα δείξῃ, ὅτι ἄμφω τὰ ὀνόματα τῷ πράγματι ἁρμόζει· οἱ δέ φαcιν,
ὅτε μὲν γράφονται, λέγονται γράμματα, ὅτε δὲ ἀναγινώcκονται, λέγον-
ται cτοιχεῖα. Καὶ cτοιχεῖα εἴρηται παρὰ τὸ ἔχειν cτοῖχόν τινα καὶ τάξιν,
γράμματα δὲ διὰ τὸ γραμμαῖc καὶ ξυcμαῖc τυποῦcθαι· ἢ παρὰ τὸ γλάπτω,
τὸ κοιλαίνω, γλάμμα, ⟨καὶ⟩ κατὰ μετάθεcιν τοῦ λ̄ εἰc τὸ ρ̄ γράμμα·
ἢ παρ' ὅcον ἐκ τῶν παρὰ τοῖc γεωμέτραιc λεγομένων γραμμῶν ἐcχη-
μάτιcται· καὶ γάρ, ὥc φαcιν, ὁ Πυθαγόραc τοῦ κάλλουc αὐτῶν ἐπεμε-

---

12—23 hab. et. Σ^m ‖ 14—23 excerpta hab. et. Σ^1

6 'Ακταίωνοc C, 'Ακταίονοc b ‖ 7 τοῦ *add* b | Προνόπου Cb ‖ 8 *ante* cτοιχ. *add* τὸ C²b | ἐν τάξει *add Egenolff* ‖ 9 *ante* Cτ. *add* τοῦ C ‖ 10 Πινδαρίων *JA Fabricius ad Sext. Emp. adv. gramm. I 10 § 202, adsentiente Lehrsio,* Πίνδαροc Cb ‖ 12—204, 13 *videntur esse Stephani* ‖ 12 Cτεφ. V, *in marg. add* C ‖ 13 Πινδαρίων *Fabricius (vide ad v. 10),* Πίνδαροc CV | γραμματικόc Cb, κομματικόc V ‖ 15 οἱ c, *om* CVΣ¹b ‖ 16 φυλὰc CEb, φυλακὰc VA | Cτοιχαδέωc CΣ¹, Cτοιχίου V, Cτοιχέωc b ‖ 19 ἔγραφον τὸ V, ἐγράφοντο CΣ¹b ‖ 21 cοφόc] καλόc CV | cτοῖχοc V, cτείχω C ‖ 23 (Καὶ) — 193, 2 *om* b | καὶ] ἢ C ‖ 29—193, 2 = *p. 186, 10—14* ‖ 32 φαcιν] φηcιν C

λήθη, ἐκ τῆς κατὰ γεωμετρίαν γραμμῆς ῥυθμίσας αὐτὰ γωνίαις καὶ εὐθείαις καὶ περιφερείαις.

791,10b Τὸ στοιχεῖον παρὰ τὸ στοῖχος· τοῦτο παρὰ τὸ στείχω, τὸ ἐν τάξει πορεύομαι· τὰ γὰρ ἔχοντα τὸ ε̅ ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο̅ ⟨ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασιν⟩. Τὸ δὲ στοιχεῖον οὐχ ὑποκοριστικῶς διὰ τοῦ ι̅ γράφεται, ἀλλ' ὡσανεὶ περιεκτικῶς διὰ διφθόγγου, ὡς τὸ θωρακεῖον, τὸ ἀγγεῖον, τὸ βαλανεῖον.

Τὰ καλούμενα περιεκτικὰ ὀνόματα ἀπὸ τῶν περιεχομένων ἐν αὐτοῖς πραγμάτων οὕτως ἐκλήθησαν. Τύποι δὲ τούτων δύο εἰσίν, ὁ εἰς ω̅ν̅ ἀρσενικῶς, καὶ οὐδετέρως ⟨ὁ⟩ διὰ τοῦ ε̅ι̅ο̅ν̅, ἀρσενικῶς μέν, οἷον δαφνών παρθενών λουτρών, οὐδετέρως δέ, οἷον κουρεῖον μουσεῖον βαλανεῖον. Ἐπειδὴ ⟨δέ⟩ τινα τῶν ὀνομάτων τοὺς τύπους μὲν τούτους ἔχουσιν, ὅμως δὲ περιεκτικὰ οὐκ εἰσὶ διὰ τὸ μὴ ἐκ τῶν περιεχομένων συνίστασθαι, ὡς περιεκτικὰ ταῦτα λέγονται ἤτοι ἐοικότα περιεκτικοῖς· τὸ ⟨γὰρ⟩ ὡς ἐνταῦθα τὸ ὁμοίως δηλοῖ. Καὶ ὥσπερ τὰ ὡς πρός τι διαφέρουσι ⟨τῶν πρός τι⟩, ἔστι δ' ὅπῃ καὶ ⟨κοινωνοῦσιν αὐτοῖς, οὕτω καὶ τὰ ὡς περιεκτικὰ καὶ⟩ κοινωνοῦσι τοῖς περιεκτικοῖς καὶ διαφέρουσιν αὐτῶν· καὶ κοινωνοῦσι μὲν τοῖς τύποις, διαφέρουσι δὲ τῷ μὴ ἀπὸ τῶν περιεχομένων συντεθεῖσθαι, καθὰ δὴ καὶ τὰ ὡς πρός τι κοινωνοῦσι μὲν τοῖς πρός τι, ὅτι τῷ ἑνὶ τὸ ἕτερον δοκεῖ συνεξακούεσθαι, ὡς τῷ θανάτῳ ἡ ζωὴ καὶ τῇ ζωῇ ὁ θάνατος, καὶ τῇ νυκτὶ ἡ ἡμέρα καὶ τῇ ἡμέρᾳ ἡ νύξ, διαφέρουσι δέ, ὅτι οὐ συναναιροῦσιν ἄλληλα, καθάπερ τὰ πρός τι. Ἕπεται γὰρ τοῖς πρός τι καὶ τὸ ἓν τῷ ἑτέρῳ συν⟨εξ⟩ακούεσθαι καὶ τὸ συναναιρεῖσθαι, ὧν τὸ ⟨μὲν⟩ ἓν ἔχουσι τὰ ὡς πρός τι, τοῦ ⟨δὲ⟩ ἑτέρου λείπονται· οἷον ἐν τοῖς πρός τι, ὡς πατήρ υἱός, τοῦ πατήρ ὀνόματος
792,4b λεγομένου συνεξακούεται καὶ ὁ υἱός, καὶ πάλιν τοῦ υἱός λεγομένου συνεξακούεται καὶ ὁ πατήρ, ἀναιρουμένου δὲ τοῦ πατήρ ὀνόματος καὶ τὸ υἱός ὄνομα συναναιρεῖται, ὥσπερ καὶ τοῦ υἱός ἀναιρουμένου συναναιρεῖται καὶ τὸ ὄνομα ὁ πατήρ. Οὐ μέντοι γε ἐπὶ τῶν ὡς πρός τι ἄμφω παρεπόμενά εἰσι, καὶ τὸ ⟨συν⟩εξακούεσθαι καὶ τὸ συναναιρεῖσθαι, ἀλλὰ τὸ μὲν συν⟨εξ⟩ακούεσθαι ἕπεται, τὸ δὲ συναναιρεῖσθαι λείπει· οἷον τῇ ζωῇ συνεξακούεται ὁ θάνατος ⟨καὶ τῷ θανάτῳ ἡ ζωή⟩, οὐ μέντοι γε συναναιρεῖ ἡ ζωὴ τὸν θάνατον, ἀλλὰ μᾶλλον ἀναιρεῖται ἡ ζωὴ ὑπὸ τοῦ θανάτου καὶ ὁ θάνατος ὑπὸ τῆς ζωῆς· καὶ πάλιν τῇ ἡμέρᾳ συνεξακούεται ἡ νὺξ καὶ τῇ νυκτὶ ἡ ἡμέρα, οὐ μέντοι γε συναναιρεῖται τῇ νυκτὶ ἡ ἡμέρα ἢ τῇ ἡμέρᾳ ἡ νύξ, ἀλλὰ μάλιστα ἑκάτερον τὸ ἕτερον ἀναιρεῖ· νυκτὸς γὰρ συνισταμένης ἡμέρα οὐκ ἔστιν.

---

4 ε̅ C, ο̅ b ‖ **5** ο̅] οι̅ C, ε̅ b ‖ **10** τοῦ ε̅ι̅ο̅ν̅ b, τὸ ε̅ι̅ω̅ν̅ C ‖ **15** γὰρ *add* b ‖ **16** τῶν πρός τι *add* b | κοινωνοῦσιν — καὶ (17) *add* b ‖ **17** διαφέρουσιν b, ἀφέρουσιν C ‖ **18** τῷ b, τὸ C ‖ **21** καὶ τῇ ἡμ.] ἢ τῇ ἡμ. Cb **22** τὰ b, τὰ ὡς C ‖ **24** ἔχουσι τὰ] ἔχοντα τὸν C, ἔχοντα τὰ b ‖ **25** ἐν τοῖς] τὰ ὡς Cb | τοῦ πατήρ b, τοῦ πατρὸς C; *item v. 27* ‖ **27** *ante* ἀναιρ. *add* καὶ C ‖ **30** παρεπόμενά b, τρεπόμενά C | συνεξακούεσθαι b; *item v. 31*

Διὰ ταῦτα τοίνυν τὸ ὡς, προστεθειμένον ⟨ἐν⟩ τοῖς ὡς περιεκτικοῖς, καὶ τὴν κοινωνίαν δείκνυσι καὶ τὴν διαφορὰν δηλοῖ· οἷον ὡς περιεκτικὸν ὄνομά ἐστιν ἀρσενικὸν ὁ πυλών τοῦ πυλῶνος, ἔχον τὸν τύπον τοῦ δαφνών δαφνῶνος περιεκτικοῦ, οὐ μέντοι γε ἐκ τῶν περιεχομένων συνίσταται· οὐδὲ γὰρ πυλὼν πύλας περιέχει, ὡς δαφνὼν δάφνας, ἀλλ' αὐτὸ τοῦτό ἐστιν ὁ πυλὼν αἱ πύλαι. Καὶ πάλιν τὸ θωρακεῖον καὶ τὸ ἀγγεῖον καὶ τὸ μεγαλεῖον τὰ οὐδέτερα ὡς περιεκτικὰ τοὺς τύπους μὲν ἔχουσι τῶν περιεκτικῶν, τοῦ κουρεῖον σεμνεῖον ἀμνεῖον μουσεῖον· οὐ μὴν δὲ ἀπὸ τῶν περιεχομένων συνετέθησαν, ἀλλὰ τὸ μὲν θωρακεῖον τὸ τεῖχος λέγεται κατὰ ἀναλογίαν τοῦ θώρακος· ὡς γὰρ ὁ θώραξ (τὸ ὅπλον) σκέπη τις καὶ παραφυλακὴ τοῦ σώματός ἐστιν, οὕτω δὴ καὶ τὸ θωρακεῖον (τὸ τεῖχος) καὶ σκέπη καὶ ⟨παρα⟩φυλακὴ τῆς πόλεως γέγονε. Καὶ τὸ ἀγγεῖον οὐχ ὅτι ἄγγη περιέχει, ἀλλ' αὐτὸ τοῦτο τὸ ἄγγος καὶ ἀγγεῖον λέγεται, ἐκ τοῦ ἄγγος ἄγγεος ἐτυμολογούμενον ἀγγέϊον καὶ συναιρέσει ἀγγεῖον· τὸ δὲ ἄγγος ἐτυμολογεῖται παρὰ τὸ ἄνω ἄγειν ⟨τὸ⟩ ἔγγειον καὶ ἐν τῷ βάθει τῆς γῆς τυγχάνον ὕδωρ ἄναγος, καὶ ἐν συγκοπῇ ἄνγος, καὶ τροπῇ τοῦ ν̄ εἰς γ̄ ἄγγος διὰ τὴν ἐπέλευσιν τοῦ γ̄· μάλιστα δ' ἂν εἴποις τὸ ἀγγεῖον διὰ τῆς ει̅ διφθόγγου γράφεσθαι, ἀπὸ τῆς ἐτυμολογίας τοῦτο συνάξας, διὰ τὸ ἄνω ἄγειν τὸ ἐν τῷ βάθει τῆς γῆς κείμενον ὕδωρ ἀναγεῖον, καὶ ἐν συγκοπῇ ἀγγεῖον, ὡς ἵνα φυλάξῃ λείψανα τῶν λέξεων ἀφ' ὧν συνετέθη, ἤτοι τὸ μὲν αν̅ τοῦ ἄνω, τὸ δὲ γειον̅ [τοῦ] ἐκ τοῦ γέα, φυλαττομένου τοῦ ε̄ πρωτοτύπου ἐν τῷ 793,4b γέα διὰ τῆς τοῦ γειον̅ γραφῆς· τὸ γὰρ ἄγγος ἄγγεος ἀγγέϊον ἀγγίον ἴσως τις συναιρήσει διὰ τὸ τεῖχος τείχεος [τειχέϊον] τειχίον καὶ ἕρκος ἕρκεος ἑρκίον. Ὁμοίως καὶ τὸ μεγαλεῖον τὸ ὡς περιεκτικὸν τύπον μὲν ἔχει τοῦ κουρεῖον καὶ τῶν ὁμοίων, ἅτινα περιεκτικά εἰσιν, οὐ μὴν δὲ ἀπὸ τῶν περιεχομένων συνέστη· μεγαλεῖον γὰρ αὐτὸ τοῦτο τὸ λίαν μέγα ἐστίν, ἤτοι τὸ ὑπέρμεγα· ὥσπερ δὲ πτοιαλέον δειμαλέον θαρραλέον γηραλέον, οὕτως ὤφειλε καὶ [τὸ] μεγαλέον ⟨εἶναι⟩· εὕρηται δὲ μεγαλεῖον τῇ προσθήκῃ τοῦ ι̅, ὡς τέλεον τέλειον· τὰ γὰρ τοιαῦτα τῶν ὀνομάτων, ἅτινα διὰ τοῦ λεον̅ τυποῦνται, ἐπίτασιν δηλοῦσι τῶν πρωτοτύπων, οἷον πτοιαλέος ὁ λίαν φοβούμενος, καὶ δειμαλέος ὁμοίως, καὶ γηραλέος ⟨ὁ λίαν γεραιός⟩· οὕτω δὴ καὶ τὸ μεγαλεῖον τὸ πάμμεγα καὶ λίαν μέγα. Διὰ τοῦτο δὴ καὶ τὸ νωλεμέως ἐπίρρημα τὴν διὰ τοῦ ε̄ γραφὴν ἔχει· νωμελέως γὰρ ὤφειλε λέγεσθαι, τρόπῳ δὲ ποιητικῷ τῇ μεταθέσει τῶν στοιχείων νωλεμέως λέγεται· μετετέθη γὰρ τὰ στοιχεῖα,

---

3 ἔχων Cb ‖ **8** κουρεῖον b, κωφεῖον C ‖ **13** ἄγγη b, ἀγγεῖον C ‖ **16** τὸ *ante* ἔγγ. *add* b ‖ **18** γράφεσθαι *om* b ‖ **22** τὸ δὲ b, τοῦ δὲ C ‖ **23** ἀγγίον — τεῖχος (**24**)] ἀγγεῖον ἴσως ἂν ἀνερηση (ἄνρηση *sic* b) διὰ τοῦ τεῖχος Cb ‖ **24** τειχίον b, τείχειον C ‖ **25** περιεκτικὸν b, πρός τι C ‖ **26** περιεκτικά b, πρός τί C | δὲ] καὶ Cb ‖ **27** τὸ μέγα λίαν Cb ‖ **28** δὲ] γὰρ Cb | *ante* πτοι. *add* τὸ b ‖ **30** τὰ b, κατὰ C ‖ **31** ἐπίτασιν *Lobeck, Proll. p. 516,* ἐπέκτασιν Cb ‖ **33** τὸ *ante* μεγ. *om* b ‖ **34** καὶ *om* b

τὸ λ̅ εἰς τὴν τοῦ μ̅ τάξιν καὶ τὸ μ̅ εἰς τὴν τοῦ λ̅, ὡς τὸ χιτώνιον τιχώνιον, ὃ δὴ κιθώνιον ἰωνικῶς λέγεται κατὰ τροπὴν τοῦ χ̅ εἰς κ̅ καὶ τοῦ τ̅ εἰς θ̅. Τοιοῦτον δὴ καὶ τὸ ἔρημος· ἤρεμος γὰρ ὤφειλε, καὶ κατὰ μετάθεσιν τῶν στοιχείων, τοῦ ε̅ εἰς τὸν τόπον τοῦ η̅ καὶ τοῦ η̅ εἰς τὸν τόπον τοῦ ε̅, ἔρημος. Τὸ δὲ νωλεμέως σημαίνει τὸ ἀδιαλείπτως, πάντως δὲ ἐτυμολογεῖται παρὰ τὸ νω̅ στερητικὸν μόριον καὶ τὸ μέλλω τὸ βραδύνω, ἤτοι νωμελέως ἀδιαλείπτως, τουτέστι χωρὶς μελλήσεως καὶ βραδυτῆτος· εὔδηλον ἄρα, ὅτι τὸ νωλεμέως νωμελέως ὤφειλε⟨ν, ἀλλὰ⟩ τῷ ποιητικῷ τρόπῳ, τῇ μεταθέσει τῶν στοιχείων, τῇ συνηθείᾳ μάλιστα τὸ νωλεμέως παραδέδοται, τοῦ νωμελέως τῇ ἀχρηστίᾳ κατακρυβέντος.

Ὅσα δὲ εἰς ιο̅ν̅ [παροξύτονα] διὰ τοῦ ι̅ γράφονται, οὔτε περιεκτικά εἰσιν οὔτε ὡς περιεκτικά, ἀλλ' ὑποκοριστικά [ὧν ὑποκοριστικῶν τὰ μὲν παροξύνονται], γίνονται δὲ ἀπὸ πρωτοτύπων ἑτέρων, καὶ δοκοῦσι τὰ μὲν πρωτότυπα μείζονος εἶναί τινος οὐσίας, τὰ δὲ ὑποκοριστικὰ ἐλάσσονος, εἰ καὶ πολλάκις τὰ πρωτότυπα ἀχρηστεύουσιν. Εἰσὶ δὲ τὰ μὲν παροξύτονα, οἷον τύμβος τυμβίον (ὁ τάφος), τύβος τυβίον, κράμβη κραμβίον, σάγος σαγίον, στλέγγος καὶ στλεγγίς [καὶ] στλεγγίον (λέγεται δὲ καὶ τὸ κτένιον καὶ ἡ ξύστρα τῆς κεφαλῆς), παῖς παιδός παιδίον, δᾴς
794,5 b δᾳδός δᾳδίον, ἕρκος ἑρκίον, ἀσκός ἀσκίον, ⟨σάρξ⟩ σαρκός σαρκίον, βίβλος βιβλίον, σκύμνος σκυμνίον, ἀμνός (τὸ σταμνίον τῆς θυσίας) ἀμνίον καὶ στάμνος σταμνίον, θάμνος θαμνίον, ἀρνός ἀρνίον, πυξίς πυξίον, κῆπος κηπίον, σάρπη σαρπίον, θήρ θηρός θηρίον, χῶρος χωρίον, μηρός μηρίον, κηρός κηρίον, ἠρίον (τὸ μνημεῖον) ἀπὸ τοῦ ἦρος (τοῦ τάφος) ὅπερ ἄχρηστον, ὡς τὸ τύμβος τυμβίον, χρυσός χρυσίον, [καὶ] κισσός κισσίον (τὰ ἐν ταῖς βίβλοις τιθέμενα σημεῖα), σῖτος σιτίον, πυκτίς πυκτίον, σπάρτος σπαρτίον (τὸ σχοινίον), ἁπτρίον, ⟨οὗ⟩ τὸ πρωτότυπον τὸ ἅπτρος ἄχρηστον, ἔστι δὲ καὶ θηλυκὸν ἅπτρα (ἡ τοῦ λύχνου θρυαλλίς), ψίξ ψιχός ψιχίον· τὰ δὲ προπαροξύτονα, οἷον κάκ⟨κ⟩αβος κακ⟨κ⟩άβιον, κάραβος καράβιον, ὄροβος (εἶδος βοτάνης) ὀρόβιον, λόγος λόγιον, λύγος (τὸ βεργίον) λύγιον, κάδδος κάδδιον, λαμπάς λαμπάδος λαμπάδιον, ῥοά καὶ ῥοιά [καὶ] ῥοΐδιον, ὄνος ὀνίδιον, σπυρίς σπυρίδος σπυρίδιον, λεκανίς λεκανίδος λεκανίδιον, τράπεζα τραπέζιον, ὄρυζα ὀρύζιον, τοπάζιον (ὁ λίθος) ἀπὸ ⟨τοῦ⟩ τόπαζος [λίθος], παραμυθία παραμύθιον, λήκυθος (τὸ ἐλαιοδόχον ἀγγεῖον) ληκύθιον, παλάθη (ἡ βοτάνη) παλάθιον, ὁρμαθός (τὸ πλῆθος) ὁρμάθιον, πέλεκυς πελέκιον, ⟨μύρμηξ μύρμηκος⟩ μυρμήκιον,

---

4 τόπον b, τύπον C; *item v. 5* ‖ **8** *post* ἄρα *add* ἐστὶν b ‖ **10** τὸ νωλεμ. C, *om* b | κατακρυβ. b, κατακριβέντος C ‖ **11** εἰς] διὰ τοῦ Cb | γράφονται] γραφόμενα Cb ‖ **12** ὧν Cb, τῶν *Bast* ‖ **14** τὰ μὲν] μὲν τὰ Cb ‖ **18** κτένιον b, ἐκτένιον C | κεφαλῆς b, κάφης C ‖ **19** σάρξ *add* b ‖ **20** σκύμνος σκυμνίον] σκάμνος σκαμνίον Cb ‖ **23** τάφος] τάφου Cb ‖ **25** σιτίον b, σιτία C ‖ **26** οὗ *add* b | τὸ ἅπτρὸς b, τοῦ ἅπτρὸς C ‖ **30** καδδίον C | ῥοά] ῥόα Cb ‖ **32** ὄρυζα ὀρύζιον *Bast*, ὄριζα ὀρίζιον Cb ‖ **33** τοῦ *add* b | τόπαζος] τόπαζα Cb ‖ **35** τὸ πλῆθος C, *om* b

⟨νάρθηξ νάρθηκος⟩ ναρθήκιον, ὄστρακον ὀστράκιον, ἐποίκιον καὶ ἐνοίκιον,
ὧν τὰ πρωτότυπα ἄχρηστα, μεῖραξ μείρακος μειράκιον, αὖλαξ αὔλακος
αὐλάκιον, εἴδωλον εἰδώλιον, τρίβολος τριβόλιον, ὀμφαλός ὀμφάλιον, τρί-
φυλλον τριφύλλιον, ἄμπελος ἀμπέλιον, κέραμος κεράμιον καὶ κεραμίς
κεραμίδος κεραμίδιον, κεράμειον δὲ ἄγγος τὸ κεραμεοῦν, κάλαμος καλά-
μιον, κεραυνός κεραύνιον [πῦρ], σκηπάνη σκηπάνιον, βοτάνη βοτάνιον,
θρόνος θρόνιον, τόπος τόπιον, ὀπός ὄπιον (ὁ χυμὸς τῆς ὀπώρας), ἄν-
θρωπος ἀνθρώπιον, λέπος λέπιον (ὁ φλοιός), ὅρος (ὁ ὁρισμός) ὅριον, 30
ἄργυρος ἀργύριον, μόρος μόριον, νεοσσός νεόσσιον καὶ νεόττιον καὶ νόσ-
σιον, παλάτιον, ὀσπίτιον, ὧν τὰ πρωτότυπα ἄχρηστα, χρυσός χρυσάφιον,
ἄμφιον, οὗ τὸ πρωτότυπον ἄχρηστον, ῥάμφος ῥάμφιον, λόφος ⟨καὶ⟩
λοφιά λόφιον (τὸ κάλλαιον τοῦ ἀλέκτορος), τροχός τρόχιον, μαλάχη (ἡ
βοτάνη) μαλάχιον.

Γράμματά εἰσιν κδʹ ἀπὸ τοῦ ᾱ μέχρι τοῦ ω̄.] Κδʹ λέγουσιν 779,1 b
αὐτὰ εἶναι κατὰ μίμησιν τῶν κδʹ ὡρῶν τοῦ νυχθημέρου.

Διαφέρει δὲ στοιχεῖον γράμματος κατὰ τὸ ἐπὶ πλέον καὶ ἐπ' ἔλατ- 795,4 b
τον· πᾶσα γὰρ γραμμὴ γράμμα ἐστίν, οὐ πάντως ⟨δὲ⟩ στοιχεῖον· ἀλλ'
οὐδὲ πᾶν στοιχεῖον γράμμα, ἀλλὰ μόνα τὰ παρὰ τοῖς γραμματικοῖς στοι-
χεῖά εἰσι καὶ γράμματα· τὰ δὲ ἐξ ὧν σύγκειται τὰ σώματα στοιχεῖα μὲν
λέγονται, γράμματα δὲ οὔ.

Ἀρχὴ δέ ἐστι στοιχείων τὸ ᾱ, διότι ἀφ' ἑαυτοῦ ἄρχεται καὶ εἰς 788,22 b
ἑαυτὸ καταλήγει, τὰ δὲ λοιπὰ στοιχεῖα ἀφ' ἑαυτῶν μὲν ἄρχονται, εἰς
ἑαυτὰ δὲ οὐ καταλήγουσιν. Καὶ τέλος δὲ στοιχείων τὸ ω̄, διότι καὶ
αὐτό, μονοσύλλαβον ὄν, τρόπον τινὰ ἀφ' ἑαυτοῦ ἄρχεται καὶ εἰς ἑαυτὸ
καταλήγει.

Ζητεῖται ⟨δέ⟩, τίνος ἕνεκεν εἶπεν κδʹ, εἴ γε γράμματά ἐστιν, ὡς 779,4 b
καὶ αὐτὸς λέγει, παρὰ τὸ γράφεσθαι καὶ καταξέεσθαι· οὐκοῦν γράμματα
καὶ τὰ σημεῖα καὶ οἱ ἀριθμοὶ καὶ πάνθ' ὅσα διὰ τοῦ ξέεσθαι, ὥστε εἶναι 780 b
ἄπειρα τὰ γράμματα. Λέγομεν οὖν ὅτι ἐκεῖνα ἀριθμεῖται καὶ λέγει εἶναι
κδʹ τὰ παρ' Ἕλλησι μόνα γνωριζόμενα, ἐπεὶ ἔστι πλείω, ὡς τὰ Ἀρμε-
νίων καὶ τὰ Αἰγυπτίων.

Διὰ τί δὲ ᾱ καὶ β̄ καὶ ω̄ γράφει μόνα, μηδὲν τῶν ἄλλων ὀνομάσας; 788,17 b
Ῥητέον, εἰδὼς ὅτι προεπαιδεύθη παρὰ τῷ γραμματιστῇ, τὴν τούτων
ἐξαρίθμησιν ἀφῆκεν.

«Οὐχ ὑγιῶς δὲ ἐνταῦθα ὁ τεχνικός, ⟨τὸν⟩ περὶ στοιχείου λόγον 772,10 b
διδάσκειν ἡμᾶς προθέμενος, τὰ γράμματα εἰσηνέγκατο· εἰπὼν γὰρ

21—25 hab. et. Σ^m

1 ὄστρακος Cb ‖ **3** τρίφυλλος Cb ‖ **6** πῦρ κεραύνιον *Eurip. Tr. 80* ‖ **7** ὁ χυμὸς ὄπιον *transp.* Cb ‖ **9** μόρος *RSchneider*, μέρος Cb ‖ **10** ὀσπήτιον Cb | χρυσός Cb, χρύσαφος *RSchneider* ‖ **12** κάλλαιον *Bast* b, κάλεον C ‖ **15** ὡρῶν b, ἡμερῶν C | τῆς νυκτημέρου C, τῆς νυχθημέρου b ‖ **17** δὲ *add* b ‖ **22** καταλήγει V, λήγει Cb ‖ **32** καὶ β̄ C, *om* b | γράφει μόνα b, γράφονται C ‖ **33** Ῥητέον] ῥητον C, *om* b

«περὶ στοιχείου» τὰ γράμματα ὁρίζεται». Λέγομεν οὖν, ὅτι καὶ ἐνταῦθα σκοπὸν ἔχει εἰςαγωγικὴν τέχνην γράφειν, δεῖ δὲ τὸν οὕτω συγγραφόμενον τῶν γλαφυρωτέρων ἀφίςταςθαι. Ἐπεὶ οὖν ὁ περὶ στοιχείου λόγος πολὺς ἦν καὶ φιλοςοφίας γέμων, παρῆκεν αὐτόν, μετέρχεται δὲ ἐπὶ τὰ γράμματα, εἰδὼς ὅτι καὶ αὐτὰ στοιχεῖά ἐςτιν, ὁπότε δύνανται τὴν ἐγγράμματον φωνὴν ἀποτελεῖν. Στοιχεῖα γάρ φαμεν
20 εἶναι κοςμικὰ τέςςαρα, πῦρ, ἀέρα, ὕδωρ καὶ γῆν· καὶ ὃν τρόπον ταῦτα καταλλήλως πλεκόμενα τὰ ἡμέτερα ςώματα ὑγιᾶ τε καὶ τέλεια καθίςτηςιν, οὕτω καὶ τὰ στοιχεῖα ὁμωνύμως ἐκάλεςεν· ὅτε γὰρ κατὰ τάξιν καὶ δεόντως γράφεται, τότε τὴν ἐναρμόνιον φωνὴν ἀποτελεῖ· στοιχεῖον γὰρ ἡ ἀπὸ τῶν γραμμάτων καὶ λέξεων ἀποτελουμένη ἐκφώνηςις.

789,30b Γράμματα δὲ λέγεται διὰ τὸ γραμμαῖς καὶ ξυςμοῖς τυποῦςθαι·] ἔνθεν καὶ γράβδις ἡ διεςχιςμένη λαμπάς, καὶ γραῦς ἡ κατεξυςμένη τὸ ςῶμα διὰ γῆρας, καὶ ζωγράφος ὁ τῇ γραφίδι πρός⟨ωπα⟩ καταξύων.

792b Τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται.] Ἰδοὺ παρακατιὼν ὁ τεχνικὸς εἶπεν αὐτὰ στοιχεῖα, ἐπειδὴ τὸ αὐτὸ τοῖς στοιχείοις ἐργάζονται,
793b τουτέςτι φωνήν· καὶ διὰ τοῦτο λέγει αὐτὰ εἶναι στοιχεῖα, διὰ τὸ ἔχειν αὐτὰ ⟨στοῖχόν τινα καὶ⟩ τάξιν πρὸς ἄλληλα· τότε γὰρ καὶ στοιχεῖά
794b ἐςτιν· ὅταν δὲ μὴ κατὰ τάξιν γράφωνται, γράμματα μὲν λέγονται, οὐκέτι δὲ στοιχεῖα· οἷον προς, ἰδοὺ καταλλήλως καὶ κατὰ τάξιν γέγραπται, διὰ τοῦτο καὶ στοιχεῖα λέγεται, ἀποτελοῦςι γὰρ ὡς στοιχεῖα τὴν πρός·
795b ἐὰν δὲ ἐναλλὰξ γράψω ρπος, γράμματα μὲν λέγεται, οὐκέτι δὲ στοιχεῖα, διὰ τὸ μὴ κατὰ τάξιν αὐτὰ εἶναι.

11 Παρέπεται δὲ τῷ στοιχείῳ τέςςαρα, ὄνομα, ςχῆμα, χαρακτήρ, δύναμις· ὄνομα μέν, ἐπειδὴ ἕκαςτον ὀνομάζεται, ἄλφα, βῆτα καὶ τὰ ἑξῆς· ςχῆμα δέ, ὅτι ἕκαςτον αὐτῶν ἴδιον ἔχει ςχῆμα· χαρακτὴρ δέ, ὅτι ἕκαςτον χαρακτηρίζεται οἰκείαις ἰδιότηςιν, ὡς ὁ ὑποκείμενος ἑκάςτου τύπος, οἷον τοῦ μὲν Α τρεῖς εἰςι γραμμαί, τοῦ δὲ Γ δύο πλάγιοι, τοῦ δὲ Ε δύο καὶ μία μικρά· δύναμις δὲ ἡ ἐξ αὐτῶν ἀποτελουμένη ⟨φωνή⟩. Εἰκότως οὖν ὁμωνύμως τοῖς κοςμικοῖς στοιχείοις ὠνόμαςεν αὐτὰ ὁ τεχνικός.

28 Τούτων φωνήεντα μέν εἰςιν ἑπτά.] Διαίρεςιν ποιεῖται ὁ τεχνικός· διαίρεςις δέ ἐςτιν ἡ πρώτη τομὴ τῶν μηδέποτε τετμημένων· καὶ
30 λέγει «φωνήεντά ἐςτιν ἑπτά». Καὶ τί δήποτε ὁ τεχνικὸς τῶν φωνηέντων τὸν ἀριθμὸν μέχρι τοῦ ἑπτὰ ὁρίζεται; Καί φαμεν ὅτι ἴς⟨α αὐτὰ τῷ⟩

---

13 seq hab. et. $\Sigma^m \Sigma^l$ ‖ **15—23 hab. et. Σ^m** ‖ **33—198, 6 hab. et.** O^d ‖ **33—198, 22 hab. et. Σ^m** (Στεφάνου *add* V, Στεφάνου εἰς τὸ αὐτὸ N)

5 ὁπόταν Cb ‖ **7** γῆν b, γῇ C ‖ **13** γράβδις C, γράβδης Σ^l, γραύδης V, γράβδυς b, γραβδίς *EtM 239, 28,* γράβιον *Athen. 699e* | κατεξυςμένη C, διεςχιςμένη VA, διεξυςμένη E ‖ **14** ὁ] ὃς C | πρόςωπα κατ.] προςκαταξύων V, προςκαταξίων Σ^l, καταξύων C ‖ **15** καλεῖται V, καλοῦνται C ‖ **16** τὸ αὐτὸ] τὰ αὐτὰ CVb ‖ **19** γράφωνται V, γράφονται C | μὲν *add* V ‖ **20** δὲ *add* V | ἰδοὺ — πρός (**21**) *om* V ‖ **21** ὡς b, καὶ C ‖ **22** γράμματα V, γράμμα C ‖ **29** μία b, ᾱμι C | φωνή] ἐκφώνηςις *Egenolff, om* Cb ‖ **34** τοῦ CV, τῶν O^dN

ἀριθμῷ τῶν χορδῶν τῆϲ λύραϲ τοῦ Ἀπόλλωνοϲ ἐποίηϲεν, ἢ κατὰ μίμηϲιν
τῶν ἑπτὰ ἀϲτέρων τῶν πλανήτων τοῦ οὐρανοῦ· πλάνητεϲ γάρ εἰϲιν 796b
ἑπτά, Κρόνοϲ, Ζεύϲ, Ἄρηϲ, Ἥλιοϲ, Ἀφροδίτη, Ἑρμῆϲ καὶ Ϲελήνη. Ταῦτα
γὰρ τὰ φωνήεντα τοῖϲ πλάνηϲιν ἀνάκειται· καὶ τὸ μὲν ᾱ φαϲὶ τῇ Ϲε- 326,4c
λήνῃ ἀνακεῖϲθαι, τὸ δὲ ε̄ τῷ Ἑρμῇ, τὸ δὲ η̄ τῇ Ἀφροδίτῃ, τὸ δὲ ῑ τῷ
Ἡλίῳ, τὸ δὲ ο̄ τῷ Ἄρει, τὸ δὲ ῡ τῷ Διί, τὸ δὲ ω̄ τῷ Κρόνῳ. Λέγον-
ται δὲ πλάνητεϲ, διότι πάντων τῶν ἐν τῷ οὐρανῷ ἀϲτέρων ὄντων ἀκι-
νήτων οὗτοι μόνοι κινοῦνται καὶ περιπλανῶνται καὶ περιφέρονται, ἐναν-
τίαν πρὸϲ τὴν τοῦ πόλου ποιούμενοι κίνηϲιν.

Φωνήεντα δὲ λέγεται, ὅτι φωνὴν ἀφ' ἑαυτῶν ἀποτελεῖ.] 10
Ἆρα τὰ ϲύμφωνα φωνὴν οὐκ ἔχουϲι; Λεκτέον μέν, ὅτι ἔχουϲι φωνὴν
κἀκεῖνα, ἀλλ' ἐκτὸϲ τούτων ἐκφωνηθῆναι οὐ δύνανται, ὥϲτε ταῦτα μὲν
⟨αὐτὰ⟩ καθ' ἑαυτὰ ἐκφωνεῖται καὶ φωνὴν ἔχει, ἐκεῖνα δὲ χωρὶϲ τῆϲ
τούτων ϲυμφωνίαϲ ὀνομαϲθῆναι οὐ δύναται· δικαίωϲ οὖν φωνήεντα εἴ-
ρηται, εἴ γε αὐτά ἐϲτιν αἴτια πάϲηϲ φωνῆϲ. Καὶ ἐπεὶ φωνὴν ἀφ' ἑαυ-
τῶν ἀποτελεῖ, διὰ τί ἐπενοήθηϲαν τὰ ϲύμφωνα; Ὅτι τὰ ⟨μὲν⟩ φωνήεντα
τῇ ψυχῇ ἐοίκαϲι, τὰ δὲ ϲύμφωνα τῷ ϲώματι· καὶ ὥϲπερ ἡ ψυχή, εἰ καὶ 20
χωρὶϲ τοῦ ϲώματοϲ δύναται εἶναι, ἀλλὰ δεῖται τοῦ ϲώματοϲ εἰϲ τὸ ἀπο-
τελέϲαι τὴν ϲύϲταϲιν τοῦ ζῴου, τὸν αὐτὸν τρόπον καὶ τὰ φωνήεντα, εἰ
καὶ καθ' ἑαυτὰ δύνανται παραλαμβάνεϲθαι καὶ ἀφ' ἑαυτῶν ἐκφωνεῖϲθαι,
ἀλλὰ δέονται τῆϲ τῶν ϲυμφώνων ϲυντάξεωϲ εἰϲ τὸ ἀποτελέϲαι τὴν ἐγ-
γράμματον φωνήν.

Τῶν δὲ φωνηέντων μακρὰ μέν ἐϲτι δύο, η̄ καὶ ω̄, βραχέα 33
δύο, ε̄ καὶ ο̄, δίχρονα τρία, ᾱ ῑ ῡ.] Αὕτη ἐϲτὶν ἐπιδιαίρεϲιϲ· ἐπι-
διαίρεϲιϲ δέ ἐϲτιν, ὅταν τῶν ἤδη μεριϲθέντων διαίρεϲιν ἑτέραν ποιηϲώ- 797b
μεθα· καὶ λέγει τῶν φωνηέντων τὴν ἐπιδιαίρεϲιν τέμνεϲθαι εἰϲ τρία, εἴϲ
τε μακρὰ καὶ βραχέα καὶ δίχρονα. Μακρὰ δὲ εἶπε τὸ η̄ καὶ τὸ ω̄, οὐχ
ὅτι μεγάλαιϲ γραμμαῖϲ κέχρηνται· δύνανται γὰρ ⟨καὶ⟩ τὰ βραχέα μεγά-
λαιϲ ταῖϲ γραμμαῖϲ γράφεϲθαι· ἀλλ' ἐπειδὴ τῶν πρόϲ τί εἰϲι, καὶ ϲυγ-
κρίνεται τὰ μακρὰ ὡϲ πρὸϲ τὰ βραχέα. Καὶ ἔϲτι ταῦτα εἰρημένα κατὰ

4—6 hab. et. Σ[l] ‖ **27—199, 5 hab. et. Σ[m]**

1 ἰϲαρίθμωϲ Cb, ἰϲαρίθμουϲ O[d]V | *ante* ἢ *add* V: ἢ ὅτι ἑπτά εἰϲιν αἴτια ‖ **2** πλανήτων CV, πλανητῶν b, πλανιτῶν O[d] | πλάνητεϲ γάρ V, πλανῆται δὲ Cb, πλανίται δὲ O[d] ‖ **3** Ἑρμῆϲ *hoc loco* V, *ante* Ἄρηϲ *transp.* CO[d]b ‖ **4** πλάνηϲιν O[d]V, πλανήταιϲ Cb ‖ **7** πλάνητεϲ V, πλανῆται Cb | ἀϲτέρων V, *om* Cb ‖ **9** V *add*: καὶ τίνοϲ χάριν τῇ πρὸϲ τοὺϲ πλάνηταϲ ϲυγκρίϲει ἠρίθμηνται; ὅτι ὥϲπερ οὗτοι αὐτοκίνητοί εἰϲι καὶ οὐ τῇ φορᾷ τοῦ πόλου ϲυμπεριφέρονται, ὡϲ οἱ λοιποὶ ἀϲτέρεϲ, οὕτω καὶ ταῦτα αὐτόφωνά εἰϲι καὶ οὐ τῇ πρὸϲ ἄλληλα κοινωνίᾳ ἑαυτὰ ἐκφωνοῦϲι ‖ **11** *ante* Ἆρα *add* V: ἤγουν φωνὴν ἀφ' ἑαυτῶν ἔχουϲι μὴ δεόμενα τῆϲ πρὸϲ τὰ ϲύμφωνα κοινωνίαϲ, αὐτὰ δὲ ἀφ' ἑαυτῶν φωνὴν λέγεται ἔχειν. πῶϲ; ‖ **12** ταῦτα b, αὐτὰ CV ‖ **13** ἑαυτὰ V, ἑαυτῶν Cb ‖ **17** εἰ καὶ V, *om* Cb ‖ **18** δύναται V, οὐ δύναται Cb ‖ **21** ἀλλὰ *add* V ‖ **24** δὲ δύο C ‖ **25** ὅταν] ὅτε Cb | μεριϲθέντων C, διαιρεθέντων b ‖ **28** μεγ. ταῖϲ γραμ. Cb, μεγαλωτέραιϲ V ‖ **29** ϲυγκρίν. V, κρίνεται Cb

μουcικὸν λόγον· τὸ γὰρ μακρὸν καὶ βραχὺ κατὰ χρόνον λέγει καὶ διι. cτημα τῆc φωνῆc· πολλάκιc γὰρ αὐτὰ εἰc ἑαυτὰ ἀναλύεται καὶ cυγκιρ νᾶται· ἀναλύεται γοῦν τὸ η̄ εἰc δύο ε̄ε̄, ὡc παρὰ τῷ ποιητῇ ⟨K 466⟩ δέελον δ' ἐπὶ cῆμά τ' ἔχευαν, ἤτοι δῆλον, καὶ cυναιρεῖται πάλιν τὰ δύο ε̄ε̄ εἰc τὸ η̄, ὡc τὸ ἤδεε ᾔδη.

798b Τῶν ⟨δὲ⟩ δύο μακρῶν ποῖόν ἐcτι μακρότερον; Τὸ η̄. Ποίῳ λόγ... Ὅτι ἐν τέλει λέξεωc εὑριcκόμενον οὐ δίδωcι τρίτην ἀπὸ τέλ..υc ... πεμφθῆναι τὴν ὀξεῖαν, ὅτι κατὰ φύcιν ἐcτὶ μακρόν· τὸ δὲ ω̄ ⟨προ⟩παροξύνεται· οὐκ ἄρα ἐcτὶ κατὰ φύcιν μακρόν, ὥcπερ τυ.. γουcι δὲ πρὸc ταῦτα, ὅτι Ἀττικῷ λόγῳ ⟨προ⟩παροξύνεται τὸ ... δέ φαμεν ὅτι οἱ Ἀττικοί, ἅτε δὴ ὄντεc cοφοί, τὴν αἰτίαν ἀκριβῶc ... cτάμενοι, διὰ τὸ μὴ εἶναι τὸ ω̄ φύcει μακρόν, τούτου χάριν αὐτο ⟨... παροξύνουcιν· ἐπεὶ καὶ τὸ η̄, εἴ γε εὗρον ἀξιόλογον αἰτίαν, ... κατὰ φύcιν μακρόν, ὡcαύτωc τοῦτο cυνέcτελλον.

800b Πάλιν τῶν δύο βραχέων βραχύτερον μὲν κατὰ Ἀπολλώνι.. τ.. ο̄· φηcὶ γὰρ ὅτι τὸ ε̄ καὶ τὸ ο̄, εἰ προcθήcειc [ἐν] ἑκατέρῳ αὐ..ῦν ... ποιήcειc δηλονότι δύο διφθόγγουc, καὶ ἡ μέν ἐcτι μακροτέρ... ἔχουcα· ἐν τέλει γὰρ λέξεωc εὑριcκομένη ἡ οῑ δίφθογγοc διη.εκῶ. cτέλλεται, ἡ δὲ εῑ οὐδέποτε. Πρὸc ὃν φηcιν Ἡρωδιανόc, ὅ [ὥ περ] οὐ δεῖ τῇ παραθέcει τοῦ ῑ τὴν τοῦ ε̄ καὶ ο̄ δύναμιν ἐξετάζεcθαι, ... ἕκαcτον αὐτῶν. Ὁ δὲ Ἀπολλώνιοc πρὸc αὐτόν· ὦ τέκ... λόγῳ; Καί φηcιν ὅτι πᾶν cτοιχεῖον ἀφ' ἑαυτοῦ ἄρχεται, τὸ ... ἀφ' ἑαυτοῦ ἀλλὰ τοῦ ε̄, ὥcτε cυγγενὲc αὐτῷ ἐcτι· τὸ δὲ cυ... ἴδιον προcλαμβάνον, μεγαλικωτάτην τινὰ δίφθογγον ἀποτελε... δὲ οὐκ ἔχει cυγγένειαν προcλαμβάνον, τὸ ο̄ οὐχ οὕτωc ἐπιβοηθε..., ὡ.. μεγάλην ἀποτελέcαι δίφθογγον· διὰ τοῦτο οὐ δεῖ τῇ παραθέ.ει του ταῦτα ἐξετάζεcθαι. Καὶ λοιπὸν ἀποδείκνυcιν Ἡρωδιανὸc τὸ ... τερον οὑτωcί, λέγων ὅτι πᾶcα κλητικὴ ἢ τὸν ἴcον χρόνον θ... ἔχε. τῆc ἰδίαc εὐθείαc ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα· ἐπεὶ δὲ εὑρίcκεται τὸ ⟨ο̄⟩ τῆc εὐθείαc τελικὸν φωνῆεν, ὡc ἐν τῷ κύριοc, τρεπό.ενον ἐπὶ τῆc κλητικῆc εἰc ε̄, βραχύτερον ἄρα ἐcτὶ τὸ ε̄ τοῦ ο̄. Καὶ .ότε ἰcοχρονεῖ ἡ κλητικὴ τῇ εὐθείᾳ, καὶ πότε βραχύτερον ἔχει χρόνο.; Ἡνίκα μὲν ἡ κλητικὴ οὐ μεταβάλλει τὸ φωνῆεν τῆc εὐθείαc, ἰcοχρ..εῖ αὐτῇ, ἡνίκα δὲ μεταβάλλει, ἐλάττονα ἔχει χρόνον.

Δίχρονα τρία, ᾱ ῑ ῡ.] Ἔδει ἀμφίβολα καλέcαι ταῦτα τὸν Διο-

---

2 cυγκιρνᾶται] cυγκρίνεται CVb ‖ **4** ἔχευαν C, ἔχευα V, ἔθηκεν *edd. Hom.* | ἤτοι δῆλον *add* V | cυναναιρεῖται C, *corr.* b ‖ **7** ἀπὸ b, ἐπὶ C ‖ **9** προπαροξ. b, παροξύνεται C; *item v. 10* ‖ **11** τὴν αἰτίαν] αἰτίαν τινὰ τὸ ω̄ Cb ‖ **12** τὸ ω̄] αὐτὸ Cb | προπαροξ. b, παροξύνουcιν C ‖ **18** *post* ἔχουcα *intercidisse nonnulla non recte suspicatur* b ‖ **22** τὸ — ε̄ (**23**) Cb, *neque quicquam mutandum*; *cfr KEA Schmidt, Beitr. p. 61, Steinth.*[2] *2, 194**** ‖ **25** τὸ ο̄ b, τὸ ῡ C | ἐπιβοηθεῖται b, ἐπιβοηθεῖ C ‖ **27** τὸ ε̄ C, τὸ ο̄ b ‖ **33** κλητικὴ] εὐθεῖα Cb | τῆc εὐθ. ἰc. αὐτῇ] αὐτῆc ἰc. τῇ κλητικῇ Cb

νύσιον· ἀμφιβάλλεται γάρ, πότερον μακρὰ ἢ βραχέα· οὐ μέντοι δίχρονα· 30
τὸ γὰρ δίχρονον οὐδὲν ἄλλο δηλοῖ ἀλλ' ἢ ὅτι δύο χρόνους ἔχει· ταῦτα
δὲ οὐ πάντοτε δύο χρόνους ἔχει, ἀλλὰ ποτὲ μὲν ἕνα, ποτὲ δὲ δύο.

Προτακτικὰ φωνήεντα πέντε, ᾱ ε̄ η̄ ο̄ ω̄· προτακτικὰ δὲ λέ- 801,20b
γεται.] Εἰπὼν «προτακτικά» οὐ διέστειλεν ἡμῖν, ἀλλὰ καὶ παρεπέμψατο,
ἁπλούστερον διαλεγόμενος· πρὸς εἰσαγομένους γὰρ γράφει· ἐχρῆν γὰρ
αὐτὸν εἰπεῖν «προτακτικὰ φωνήεντα φωνηέντων»· πρὸς γὰρ ἄλληλα
συγκρίνονται τὰ φωνήεντα, ὅτι ἀλλήλων εἰσὶ προτακτικὰ καὶ ὑποτα-
κτικά.

Ὑποτακτικὰ δύο, ῑ καὶ ῡ.] Προτακτικὰ ἐκάλεσεν ἐκεῖνα, ὑπο-
τακτικὰ δὲ τὸ ῑ καὶ τὸ ῡ. Τί οὖν; ἐν τῷ ἵστημι ὑφαίνω οὐκ εἰσὶ καὶ
ταῦτα προτακτικά, καὶ τὸ ᾱ δὲ καὶ τὸ ω̄ οὐχ ὑποτέτακται ⟨ἐν τῷ⟩
θαρρῶ θέλω; Ῥητέον δὲ ὅτι προτακτικά εἰσιν οὐ τῶν λέξεων, ἀλλὰ
τῶν διφθόγγων· τὸ γὰρ ῑ καὶ ῡ οὐδέποτε προηγεῖται ἐν διφθόγγῳ,
ἀλλ' ὑποτέτακται. Ὑποτακτικὰ δὲ γίνεται ταῦτα τὰ δύο τῶν πέντε· τῇδε 30
γὰρ συμβήσεται καὶ τὰς διφθόγγους ἀποτελεσθῆναι, ἐπὰν τὰ ὑποτακτικὰ
τὰ δύο καὶ τὰ πέντε προτακτικὰ συμπλακῶσιν ἀλλήλοις.

Γινώσκειν ⟨δὲ⟩ δεῖ, ὅτι τὸ ῡ ποτὲ μὲν προτακτικόν ἐστι, ποτὲ δὲ 802,29b
ὑποτακτικόν, ὡς εἶναι ἓξ μὲν προτακτικά, ἓν δὲ μόνον ὑποτακτικόν.

Δίφθογγοι δέ εἰσιν ἕξ, α̅ι̅ α̅υ̅ ε̅ι̅ ε̅υ̅ ο̅ι̅ ο̅υ̅.] Εἰδὼς ὁ τεχνικός, 803b
ὅτι ἐκ τῆς κράσεως τῶν προτακτικῶν καὶ ὑποτακτικῶν ⟨φωνηέντων⟩
αἱ δίφθογγοι ἀποτελοῦνται, δεύτερον ἐπάγει αὐτάς.

Τῷ ἀληθεῖ λόγῳ ἕνδεκά εἰσιν· ἀλλ' ἐπειδὴ σκοπὸς αὐτῷ πρὸς εἰσα- 17
γομένους γράφειν, ἁπλούστερον εἶπεν ἕξ, εἰδὼς ὅτι δυσχερὴς ἦν ἡ τῶν
ἄλλων παράδοσις, ⟨παρ' ὅσον⟩ χρήσει μόνῃ καὶ ἱστορίᾳ καὶ θεωρήμασι τεχνι- 20
κοῖς παραδίδονται. Ἔστι γὰρ τὸ ω̄ μετὰ τοῦ ῡ, ὡς παρὰ τῷ ποιητῇ
⟨Ε 396⟩ εὖτέ μιν ωὐτὸς ἀνήρ· καὶ τὸ η̄ μετὰ τοῦ ῑ, οἷον ἀπὸ τοῦ
αἰτῶ ὁ παρατατικὸς ᾔτουν· πάλιν τὸ ω̄ καὶ τὸ ῑ, ὡς ⟨ἐν⟩ τῷ ξένῳ, τὸ
η̄ καὶ ⟨τὸ⟩ ῡ, ὡς ἐν τῷ ηὔλουν, καὶ τὸ ῡ μετὰ τοῦ ῑ, ὡς ἐπὶ τοῦ υἱός.

Σύμφωνα δὲ τὰ λοιπὰ ιζ'.] Καλῶς προσέθηκε «τὰ λοιπά»· τῶν 805b
γὰρ ἑπτὰ πρὸς ἀναπλήρωσιν εἰκοσιτεσσάρων τὰ ἐπίλοιπά ἐστιν ιζ'. Σύμ- 18
φωνα δὲ εἴρηται παρὰ τὸ συμφωνεῖν· ἡ γὰρ σύν πρόθεσις δυάδος κα-
τηγορεῖ· ἄλλο γάρ ἐστι πράττειν, καὶ ἄλλο τὸ συμπράττειν. Ὁρίζεται 20
δὲ ὁ τεχνικὸς κεκλῆσθαι αὐτὰ οὕτως διὰ τὸ μὴ ἔχειν ἀφ' ἑαυτῶν φω-
νήν, συμφωνεῖν δὲ τῇ τῶν φωνηέντων εὐφωνίᾳ.

5—17 hab. et. Σ^m ‖ **30—35 hab. et. Σ^l**

3 οὐ πάντοτε] οὐδέποτε Cb ‖ **5** ἀλλὰ καὶ παρεπ. *om* V, ἀλλ' ἄκριτα παρεπ. *RSchneider, coll. p. 202, 1* ‖ **8** ἀλλήλων Vb, ἀπ' ἀλλήλων C ‖ **10** καὶ V, *om* Cb | Προτακτ. — τὸ ῡ (11) *add* V ‖ **13** δὲ — τῶν (15)] οὖν ὅτι V ‖ **24** εἶπεν b, εἰπεῖν C ‖ **25** παρ' ὅσον] αἵ γε b ‖ **27** εὖ τέμειν οὗτος C ‖ **31** εἰκοσιτεσσ. E, κδ' A, δεκατεσσάρων C ‖ **33** τὸ *om* Σ^l ‖ **34** δὲ καὶ ὁ Σ^l ‖ **35** συμφωνεῖν Σ^l, συμφωνεῖ C | Σ^l *add*: ὥσπερ γὰρ σύνοικον λέγομεν τὸν σὺν ἑτέρῳ οἰκοῦντα, οὕτω καὶ σύμφωνον τὸ σὺν ἑτέροις φωνὴν ἀποτελοῦν

31 Τούτων ἡμίφωνα μέν ἐϲτιν ὀκτώ, ζ̄ ξ̄ ψ̄ λ̄ μ̄ ν̄ ρ̄ ϲ̄.] Διαιρεῖ τὰ ϲύμφωνα εἰϲ ἡμίφωνα καὶ ἄφωνα. Ἡμίφωνα δὲ λέγονται κατά τι, οὐχ ὡϲ ἔτυχε· τὸ γὰρ ἡμι ϲημαίνει καὶ τὸ ἥμιϲυ, ϲημαίνει ⟨δὲ⟩ καὶ τὸ
806b παρ᾽ ὀλίγον, ὡϲ ἂν εἴποι τιϲ εἴκοϲι ϲτίχουϲ ἔχων, «ἡμιτελέϲ ἐϲτι τὸ βιβλίον»· καὶ ἐνταῦθα οὖν οὐ τὸν ἐξ ἰϲομοιρίαϲ ὁρίζει μεριϲμόν, ἀλλὰ τὸν παρ᾽ ὀλίγον. Καὶ εὑρίϲκεται τῶν πρόϲ τι, τουτέϲτιν ἡμίφωνα τὰ παρ᾽ ὀλίγον φωνήεντα, καὶ εὑρίϲκεται μέϲα φωνηέντων τε καὶ ἀφώνων πρὸϲ ϲύγκριϲιν λαμβανόμενα· καὶ ϲυγκρινόμενα ⟨μὲν⟩ πρὸϲ τὰ φωνήεντα εὑρίϲκεται ἀϲθενέϲτερα, πρὸϲ δὲ τὰ ἄφωνα φωνήεντα· ὡϲ καὶ αὐτὸϲ ὁ τεχνικὸϲ πείθει ὅτι παρ᾽ ὀλίγον εὔφωνά ἐϲτιν ὡϲ τὰ φωνήεντα, λέγων
10 «ὅτι παρ᾽ ὅϲον ἧττον τῶν φωνηέντων εὔφωνα καθεϲτήκαϲιν», ἀντὶ τοῦ «παρ᾽ ὀλίγον». Διὰ τοῦτο πᾶϲα λέξιϲ Ἑλληνὶϲ ἢ εἰϲ φωνῆεν λήγει ἢ εἰϲ ἡμίφωνον.

807b Μυγμοὶ δέ εἰϲιν οἱ διὰ τῶν μυκτήρων ἦχοι, οἷον ⟨ω 416⟩ μυγμῷ τε ϲτοναχῇ τε, ⟨Δ 20. Θ 457⟩ αἱ δ᾽ ἐπέμυξαν Ἀθηναίη τε καὶ
808b Ἥρη· ϲιγμοὶ δέ εἰϲιν οἱ ἐξ ἄκραϲ τῆϲ ὑπερῴαϲ ϲυριγμοί, ⟨οἷον⟩ ⟨ι 394⟩ ὣϲ τοῦ ϲίζ᾽ ὀφθαλμόϲ. Ἀπὸ μέρουϲ δὲ τὸ πᾶν ἐδήλωϲεν· ἄλλα ⟨γὰρ⟩ καὶ ῥοιζοῦϲιν, ὡϲ τὸ ρ̄, καὶ ϲυριϲμοὺϲ ἀποτελοῦϲιν, ὡϲ τὸ ϲ̄ ξ̄ ψ̄. — Καὶ ἄλλωϲ. Μυγμὸϲ λέγεται ὁ τοῦ μ̄ ἦχοϲ, οἷον ϲυμμένειν, ὁ δὲ τοῦ ν̄ νυγμόϲ, οἷον ϲυννεύειν, ὁ δὲ τοῦ ζ̄ ξ̄ ψ̄ καὶ ϲ̄ ϲιγμόϲ, οἷον ϲυρίζω ξέω ψηλαφῶ ϲείω, ὁ δὲ τοῦ ρ̄ ῥοῖζοϲ, οἷον ϲυρράπτω.

809,4b Ἄφωνα δὲ λέγεται, ὅτι μᾶλλον τῶν ἄλλων ἐϲτὶ κακόφωνα.] Τὸ ᾱ πολλὰ ϲημαίνει· τὴν παντελῆ ϲτέρηϲιν, ὡϲ ἂν εἴποιμεν ἄποινα ἢ ἀφανήϲ ἢ ἄφιλοϲ ἢ ἄλλο τι τῶν τοιούτων· τὸ ὁμοῦ, ὡϲ τὸ ἄλοχοϲ ἡ ὁμόλοχοϲ· τὸ ὀπίϲω, ὡϲ ἀκόλουθοϲ ὁ ὀπιϲθοκέλευθοϲ, ὀπίϲω γὰρ τὴν ὁδὸν ποιεῖται ἑπόμενοϲ τῷ δεϲπότῃ· ϲημαίνει καὶ τὸ κακόν, ὡϲ ἐνταῦθα,
10 ὡϲ καὶ ἐπὶ τοῦ ἄμορφοϲ γυνή, οὐχ ὅτι παντελῶϲ ἐϲτέρηται μορφῆϲ, ἀλλ᾽ ἔχουϲα κακὴν ἔχει, ὡϲ καὶ ἄφωνοϲ τραγῳδὸϲ οὐ παντελῶϲ τῆϲ φωνῆϲ ἐϲτέρηται, ἀλλ᾽ ἔχων κακὴν ἔχει.

23 Μέϲα δὲ τούτων τρία, β̄ γ̄ δ̄.] Μέϲα δὲ αὐτὰ εἴρηται πρὸϲ ϲύγκριϲιν. Τίνων δὲ μέϲα ἐϲτί; Δῆλον ὅτι τῶν προειρημένων· ὥϲπερ δὲ

2—13 similia hab. et. Σ^m ‖ **3—21 hab. et. A** ‖ **14—28 (ἔχει) hab. et. Σ^m**

2 κατὰ τί Cb ‖ **3** ϲημ. δὲ *om* A | δὲ *om* C, *add* b ‖ **5** μεριϲμόν *scripsi*, ὁριϲμόν CAb ‖ **10** ὅτι VA, *om* C | λέγων *transp. ante* παρ᾽ ὀλ. CAb ‖ **11** *in marg. add* Στεφάνου C | ὅτι — ὀλίγον (**12**)] καὶ A ‖ **14** μυγμῷ CVAb, μυχμῷ *edd. Hom.* ‖ **15** αἱ — Ἥρη (**16**) *om* A ‖ **17** ὡϲ τὸ τοῦ ϲίζ᾽ ὀφθ. V, ὡϲ τοῦ ϲίζονοϲ ὀφθ. C, ὡϲ τὸ ϲί᾽ ὀφθ. A, ὡϲ τὸ ϲίζ᾽ ὀφθ. b | ἄλλα — ψ̄ (**18**) *om* A | ἀλλὰ καὶ ῥαζοῦϲιν C, ἄλλα ῥοιζοῦϲιν V ‖ **18** ϲυριγμοὺϲ *dubitanter Uhlig* ‖ **21** A *add*: τὸ δὲ λ̄ οὐδὲν τούτων ἔχει· εὐφωνότερον δέ ἐϲτι τῶν ἀφώνων, καθὸ λεγόμενον δεύτερον πλήττει τὸν οὐρανίϲκον ‖ **23** *post* ᾱ *add* ἐνταῦτα C, ἐνταῦθα b, γὰρ V ‖ **24** ἢ ἄφιλοϲ *add* V ‖ **25** ὁ *add* V | ὀπιϲθοκέλευθοϲ C, ὀπιϲθοκόλουθοϲ b, ὀπίϲω τὴν κέλευθον ποιούμενοϲ V ‖ **27** ἐϲτέρηται V, ἐϲτερήθη Cb **28** ἄφωνοϲ τραγῳδὸϲ] ὁ κακῶϲ τραγῳδῶν Cb

περὶ τῶν προτακτικῶν διαλεγόμενος ἀδιάστολον καὶ ἀόριστον ⟨τὸν λόγον⟩ ἀφῆκεν, ὡς πρὸς εἰσαγομένους διαλεγόμενος, οὕτω καὶ ἐνταῦθα· ἡμεῖς δὲ ἀναπτύξαντες διασαφοῦμεν. Καὶ λέγομεν τὰ μέσα εἰρῆσθαι ὡς ⟨πρὸς⟩ τὰ δασέα καὶ τὰ ψιλά· καὶ ὡς εἴ τις σύγκρισιν ποιούμενος θερμοτάτου καὶ ψυχροτάτου μέσον τι καλέσει ὡς πρὸς σύγκρισιν ἀμφοτέρων τῶν ἀκροτήτων — συγκρινόμενον γὰρ πρὸς τὸ θερμὸν ψυχρὸν ἂν νομισθείη, πρὸς δὲ τὸ ψυχρὸν θερμόν — τοῦτον τὸν τρόπον καὶ τὰ 810b μέσα πρὸς μὲν τὰ δασέα ψιλά ἐστι, πρὸς δὲ τὰ ψιλὰ δασέα. Δασέα δὲ λέγονται τὰ μεγάλως καὶ μετὰ πολλοῦ τοῦ πνεύματος σευόμενα.

Ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς.] Διὰ τίνα δὲ αἰτίαν 812,4b ὁ τεχνικὸς εἰρηκὼς «ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς» ἐπήνεγκε τὸ ψιλὸν πρῶτον εἰπὼν «τῷ μὲν π̅ τὸ φ̅»; Λέγομεν οὖν ὅτι ἐν μὲν τῷ πρώτῳ τὴν ἰσοδυναμίαν αὐτῶν ἐζήτησεν εἰπεῖν, παρακατιὼν δὲ οὐ προέταξε τὸ δασύ, ἐπειδὴ οὐχ εὑρίσκεται δασὺ εἰς ψιλὸν τρεπόμενον· οὐκ ἀκαίρως δὲ οὐδὲ τῆς ἰσοδυναμίας αὐτῶν προέταξεν, ἀλλ' ἵνα μὴ ταραττώμεθα εὑρίσκοντες τὰ δασέα ἀντὶ τῶν ψιλῶν τιθέμενα. [Τὰ μέσα δὲ πρὸς μὲν τὰ δασέα ψιλά ἐστι, πρὸς δὲ τὰ ψιλὰ δασέα, ὡς καὶ αὐτὸς παρακατιὼν λέγει.]

Τούτων δὲ τὴν δύναμιν ἀκριβέστερον ⟨ἂν⟩ δυνηθείη τις καταλαβεῖν ἐνίοτε ἀπὸ τῆς τῶν ῥημάτων κινήσεως καὶ τῆς τῶν ὀνομάτων κλίσεως· οἱ γὰρ μέσοι τῶν χρόνων καὶ οἱ δεύτεροι ἀόριστοι τούτοις κέχρηνται τοῖς στοιχείοις, οἷον λείβω λέλοιβα, πλήσσω πέπληγα, φράζω πέφραδα· πάλιν τὰ κλινόμενα, ἐπειδὴ εἰς τὸ μέσον τῆς κλίσεως γίνονται· τὰ γὰρ εἰς διπλοῦν ⟨τὸ ψ̅ λήγοντα ὀνόματα⟩ διὰ τῆς ἰδίας συζυγίας, π̅ φ̅ β̅, ⟨κλίνονται⟩· οὕτως οὖν καὶ ἰσοστοιχεῖν ἀλλήλοις τὰ δασέα καὶ τὰ ψιλά φησι. — Ψιλὸν δὲ λέγεται τὸ ἄκρον· ἐντεῦθεν καὶ ψέλ⟨λ⟩ια λέγονται τὰ ἐπ' ἄκρων τῶν χειρῶν τιθέμενα κόσμια. Τὰ οὖν δι' ἄκρου μόνου τῆς γλώττης προφερόμενα σύμφωνα ταῦτα λέγεται ψιλά· ἰδοὺ τὸ κ̅ προφερόμεθα οὕτω δι' ἄκρου μόνου τῆς γλώττης, μηδενὸς πνεύματος παραπεμπομένου.

Ἐζήτηται δέ, ὥσπερ τὰ δασέα ἀντὶ ψιλῶν ⟨παρα⟩λαμβάνεται, ἆρα καὶ τὰ ψιλὰ ἀντὶ δασέων; Καὶ λεκτέον ὅτι ἐκεῖνα σαθρά ἐστι καὶ οὐχ οἷά τε πέρα αὐτῶν τείνεσθαι [πόσῳ μᾶλλον τῶν μειζόνων]· οἷον ⟨Γ 95⟩

4—8 hab. et. Σ^m A ‖ **10—16** (τιθέμενα) **hab. et.** A ‖ **31—33** (μειζόνων) **hab. et.** Σ^m

1 προτακτικῶν b, πρακτικῶν C; *vide p. 200, 5* | ἀόριστον C, ἀφόριστον b | τὸν λόγον *add Uhlig* ‖ **3** διασαφοῦμεν C, διασαφῶμεν b ‖ **6** ἀκροτάτων V ‖ **7** τὸν αὐτὸν τρόπον A | καὶ *add* V ‖ **9** λέγονται b, εἴρηνται C ‖ **10** Διὰ τίνα] δι' ἣν CAb | δὲ *add* A; *item v. 11* ‖ **12** τῷ μὲν π̅ τὸ φ̅ A, τὸ μὲν π̅ τὸ φ̅ C ‖ **13** οὐ *om* A ‖ **14** οὐχ A, οὔτε Cb ‖ **15** οὐδὲ A, οὔτε Cb ‖ **16** Τὰ — λέγει (18) *secl. Uhlig* ‖ **24** τῆς] τὰς Cb ‖ **27** μόνου C, μόνης b ‖ **28** προφερόμεθα h, προφερόμενα C, προφέρομαι b ‖ **33** πέρα Cb, ὑπὲρ V | τείνεσθαι Cb, γίνεσθαι V | πόσῳ CVb, πρόσω N

813b ὢc ἔφαθ', οἱ δ' ἄρα πάντες· ὢc ἔφατο ἦν τὸ τέλειον, ἀπόστροφος ⟨δὲ⟩ ἐγένετο διὰ τὸν cυγκρουcμόν, ⟨καὶ⟩ τὸ ἐπιφερόμενον ἐδαcύνετο ⟨τὸ⟩ οἱ· πᾶν γὰρ ἄρθρον ἀπὸ φωνήεντοc ἀρχόμενον δαcύνεται· ἀνάγκη οὖν πρὸc τὰ ἐπιφερόμενα μεταβληθῆναι τὰ cύμφωνα, κανόνοc κελεύοντοc ὅτι δαcέα δαcέων ἡγεῖται καὶ ψιλὰ ψιλῶν· ὥcτε ἐξ ἀνάγκηc τὸ τ̄ εἰc τὸ θ̄ μεταβληθῆναι. Ὁμοίωc καὶ ταῦτα αὐτὰ τὰ μαρτύρια, ⟨ι 279⟩ ἀλλά μοι εἴφ' ὅπῃ ἔcχεc ἰὼν εὐεργέα νῆα ⟨καὶ αὐτίχ' ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ' Ὀδυccεύc⟩. Ὅτι δὲ τὰ ψιλὰ οὐ δύνανται ἀνθυπουργῆcαι τῶν δαcέων ⟨δῆλον⟩· ἰδοὺ εὑρίcκομεν ⟨Α 22. 376⟩ ἔνθ' ἄλλοι μὲν πάντεc ἐπευφήμηcαν Ἀχαιοί· τὸ θ̄ cυναλοιφὴν ἔχει, τὸ ᾱ δὲ ψιλοῦται, καὶ ἐνταῦθα τεχνικοῦ λόγου ἀπαιτοῦντοc, ⟨ὅτι⟩ πᾶν φωνῆεν πρὸ δύο cυμφώνων τῶν αὐτῶν ψιλοῦcθαι θέλει, εἰ μὴ ἄρα ἦν ἐκ πλεοναcμοῦ τὸ ἕν· καὶ οὐκέτι μεταβολὴν ἐποιηcάμεθα τοῦ θ̄ εἰc τ̄, ἀλλ' ἐπὶ τῆc ταὐτότητοc ἔμεινε. Τούτου δὲ αἴτιον, ὃ πρὸ μικροῦ εἴπομεν, ὅτι τὰ ψιλὰ ἀcθενῆ ἐcτιν οὐδὲ ὑπὲρ ἑαυτῶν τείνεcθαι δυνάμενα.

814,17b Ἔτι δὲ τῶν cυμφώνων διπλᾶ μέν ἐcτι τρία, ζ̄ ξ̄ ψ̄.] Δευτέρα διαίρεcιc τῶν cυμφώνων παρὰ δύναμιν, ⟨ὅτι ἁπλᾶ⟩, ὅτι διπλᾶ, ὅτι ὑγρά· τὰ ⟨δὲ⟩ διπλᾶ τοῖc μακροῖc, τὰ ἁπλᾶ τοῖc βραχέcι, τὰ ὑγρὰ τοῖc διχρόνοιc εἰκάζονται. Ἄξιον δὲ ζητῆcαι, τίνοc ἕνεκεν εἰπὼν «διπλοῦν» μικρὸν ὕcτερόν φηcι cυγκεῖcθαι ἐκ δύο cυμφώνων· τὰ γὰρ cύνθετα εἰc ἐκεῖνα ἀναλύονται, ἐξ ὧν καὶ τὴν cύνθεcιν ἔχει, ὥcπερ τὸ ἀρηΐφιλοc ⟨εἰc τὸ Ἄρηc καὶ τὸ φίλοc⟩ καὶ τὸ μεγάθυμοc εἰc τὸ μέγα καὶ τὸ θυμόc· ταῦτα δὲ οὐχ ὁρῶμεν ἀναλυόμενα. Ἀλλὰ πρότερον μὲν διὰ ⟨δύο cτοιχείων ἐγράφοντο· καὶ διὰ⟩ τὸ ⟨διὰ⟩ δύο γράφεcθαι cύνθετα εἰκότωc ⟨αὐτὰ⟩ εἴρηκε, διπλᾶ δὲ διὰ τὸ ἔχειν δύο cτοιχείων δύναμιν. Ἐντεῦθεν καί τινεc ἐμέμψαντο λέγοντεc ⟨ὅτι οὐ δεῖ⟩ τὰ cτοιχεῖα διπλᾶ λέγειν. Λέγομεν δὲ ὅτι καὶ τὰ cτοιχεῖα διπλᾶ· ἔcτι δὲ ἁπλᾶ ἔcθ' ὅτε δι' ἀνάγκην· ἐχρήcατο γὰρ αὐτοῖc ὁ ποιητὴc ὡc ἁπλοῖc, ⟨Β 634⟩ οἵ τε Ζάκυνθον ἔναιον καὶ τὸ ⟨Δ 103. 121⟩ ἄcτυ Ζελείηc. Ὅτι δὲ
815b καὶ διὰ δύο cτοιχείων τὸ παλαιὸν ἐγράφοντο, διδάcκουcιν αἱ διάλεκτοι· τὸ γὰρ ξίφοc cκίφοc ἐκάλουν, καὶ τὸ ψέλ⟨λ⟩ιον cπέλ⟨λ⟩ιον, καὶ τὸν ζυγὸν cδυγόν. Καὶ ἐπὶ τῆc κλίcεωc τῶν ὀνομάτων· λέγομεν γὰρ πολλάκιc τὰc πληθυντικὰc ⟨δοτικὰc⟩ ἀπὸ τῆc δοτικῆc ἑνικῆc γίνεcθαι κατ' ἐπένθεcιν τοῦ c̄· ἰδοὺ γοῦν κήρυκι κήρυκcι ⟨κήρυξι⟩, Πέλοπι Πέλοπcι ⟨Πέλοψιν⟩. Ὥcτε ὁρᾶται ὁ τεχνικὸc μετὰ πάcηc ἐπιcτήμηc προcαγόμενοc τοὺc εἰcαγομένουc.

---

2 διὰ b, καὶ διὰ C | καὶ τὸ b, τὸν C ‖ **15** οὐδὲ b, οὔτε C ‖ **18** ὅτι ἁπλᾶ *add* b ‖ **20** *post* διπλοῦν *add* cυντίθεcθαι Cb ‖ **23** εἰc — φίλοc *add* b ‖ **25** τὸ] τὰ C, τῶν b ‖ **28** ἁπλᾶ *RSchneider*, διπλᾶ Cb ‖ **29** οἱ δὲ Ζ. Cb ‖ **30** ἔναιον Cb, ἔχον *edd. Hom., cfr B 824* ‖ **31** *ante* διδάcκ. *add* τόδε C, *om* b ‖ **34** δοτικὰc *add* b | δοτικῆc C, *om* b ‖ **35** κήρυcκι *et* πέλοcπι C

Ἀμετάβολα τέccαρα, λ̄ μ̄ ν̄ ρ̄.] Εἶπεν ἡμῖν περὶ τῶν τριῶν διπλῶν καὶ περὶ τῶν τεccάρων ἀμεταβόλων· τὰ δὲ πάντα ἡμίφωνα εἴρηκεν εἶναι ὀκτώ, ὥcτε ζητεῖcθαι τὸ c̄, διὰ τί μηδὲν περὶ τούτου εἴρηκε. Φαμὲν ὅτι ἐν ταῖc κλίcεcι τῶν ὀνομάτων ὥριcται καὶ κοινόν ἐcτι τῶν τριῶν γενῶν. 816,27b 30

Τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖται.] Ὑγρὰ αὐτὰ ἐκάλεcεν ὁ τεχνικὸc διὰ τὴν ὑπερβάλλουcαν ποιότητα· τοῖc γὰρ τραχέcι cυνευριcκόμενα, τουτέcτιν ἀφώνοιc, καὶ πολλάκιc cυμμετρίαν δυνάμενα ποιεῖν, ὑγρὰ αὐτὰ τῇ ἀκοῇ ἡμῶν παραcκευάζει. Διὰ τοῦτο καὶ κοινὴν ἀπεργάζονται ⟨cυλλαβήν⟩, ἐπὰν εὑρεθῶcιν ἄφωνον καὶ ἀμετάβολον, οὐκ ἀναcτρέφοντοc τοῦ λόγου· οὐ γὰρ ἰcχύει ἀναcτρέφειν, προηγουμένου μὲν ἀμεταβόλου, ἀφώνου δὲ δευτέρου ὄντοc, οἷον ⟨ἐν μὲν τῷ⟩ ἰατρόc ἡ ᾱ κοινή ἐcτιν, ἐν δὲ τῷ ἄρτοc οὐκέτι. 817b

Καὶ ἄλλωc εἰc τὰ αὐτά. — Ὑγρὰ τουτέcτιν ὀλιcθηρά· cυμπλεκόμενα γὰρ τοῖc ἀφώνοιc κοινὴν ἀποτελεῖ cυλλαβήν. Ἢ ὅτι ἀμετάβολά ἐcτιν, ἀπὸ μεταφορᾶc τῶν ὑγρῶν χρωμάτων, ἃ δυc⟨εξ⟩άλειπτα τυγχάνει, τῶν ξηρῶν εὐαπονίπτων ⟨ὄντων⟩. Καὶ τὸ ῑ δὲ καὶ τὸ ῡ ἀμετάβολά τέ εἰcι καὶ δίχρονα. Ἔcτι δὲ διττὴ ἡ δύναμιc, ὡc ⟨ὁ⟩ ἥλιοc τὰ cώματα ξηραίνειν τε καὶ διαλύειν πέφυκεν. 10

⟨*Stephani.*⟩ — Τινὲc δὲ προcτιθέαcι καὶ τὸ ō, οἷον ἄλλο.] Τοῦτο οὐκ ἀρέcκει τῷ τεχνικῷ· ἔcτι γὰρ τὸ ⟨γνήcιον⟩ ἄλλον, ὅθεν καὶ ἐν τῇ cυνθέcει λέγεται τὸ ἔξαλλον καὶ πάραλλον. 819,8b

§ 7 (8b).

Περὶ cυλλαβῆc.

Cυλλαβή ἐcτι.] Πρεπόντωc *etc.* = Σ^d 48, 2—49, 8.

Περὶ cυλλαβῆc καὶ ἄλλωc. — Cτεφάνου. — Φαcί τινεc οὐ καλῶc ἐν εἰcαγωγικῇ τέχνῃ περὶ μέτρων γράψαι τὸν Διονύcιον· τὸ γὰρ περὶ cυλλαβῶν περὶ μέτρων ἐcτίν. Εὖ δὲ πεποίηκεν ὁ τεχνικόc, ὡc ἂν ἀπὸ τῆc πρώτηc ἡλικίαc cυνήθειαν ἔχοιεν οἱ παῖδεc ποδίζειν τοὺc cτίχουc. 821,6b

Cυνεμπίπτει δὲ cτοιχεῖον cυλλαβῇ, οἷον ᾰ, αὐτὴ δὲ λέξει, οἷον γῆ, λέξιc δὲ λόγῳ, οἷον ἄπελθε. 820,24b

1—5 hab. et. Σ^m ‖ **25—205, 11 hab. et.** $\Sigma^m \Sigma^l$

4 καὶ κοινόν ἐcτι Cb, κοινὸν ἐπὶ V ‖ **8** δυναμένοιc Cb ‖ **9** αὐτὰ — τοῦτο] ὄντα τὴν ἡμῶν ἀκοὴν παρ. διὰ τούτων Cb ‖ **11** μὲν] τοῦ Cb ‖ **12** ἀφ. ἀμετ. Cb | ἐν μὲν τῷ] τοῦ b, *om* C ‖ **13** ἐν δὲ τοῦ C, ἡ δὲ τοῦ b ‖ **14** *in marg. add* Cτεφάνου C ‖ **16** δυcεξάλ. b, δυcάλ. C ‖ **17** εὐαπον. ὄντων b, ἐναπονείπτων C ‖ **21** ἀρέcκει b, ἀρκέcει C ‖ **25** Περὶ — Cτεφ. *in marg.* C, *om* VΣ^l ‖ **26** ἐν VΣ^l, *om* C ‖ **27** cυλλαβῶν CΣ^l, cυλλαβῆc V ‖ **29—205, 2** (φωνηέντων) *hic om* Σ^l | Cυνεμπ. CV, ἐμπίπτει b | γῆ CV, οὗ b ‖ **30** λέξιc δὲ h, λέξιc καὶ (καὶ *supra lin.*) C, καὶ ἡ λ. τῷ V | οἷον *ante* ἀπ. *om* C

Συλλαβή ἐστι κυρίως σύλληψις συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων.] Ὅρα τὴν ἀσθένειαν· τῶν συμφώνων, ὅτι κἂν πολλὰ ὦσι συλλαβὴν πληρῶσαι οὐ δύνανται δίχα τῆς τῶν φωνηέντων βοηθείας, τὰ μέντοι φωνήεντα καὶ καθ' ἓν μόνον ἐξαρκεῖ. Ἰστέον δὲ ὅτι τὸ τέλειον μέγεθος τῆς συλλαβῆς μέχρι ἓξ ἢ ἑπτὰ γραμμάτων, ὡς τὸ στράγξ, τοὐλάχιστον δὲ καὶ ἕως ἑνός.

821b Οἷον κα͞ρ βο͞υς.] Ἔστι καὶ Κάρ λέξις ἐθνική, ἀφ' οὗ ἡ γενικὴ Καρός καὶ Κᾶρες ⟨εὐθεῖα⟩ πληθυντική· δεῖ οὖν λαμβάνειν τὴν κα͞ρ συλλαβὴν ὡς ἀπὸ τοῦ καρπός, καὶ τὸ βο͞υς οὐκ ἐπὶ τοῦ ζῴου, ἀλλὰ συλλαβὴν ἀποκεκομμένην ἀπὸ τοῦ Βούσιρις· αἱ γὰρ συλλαβαὶ καθ' ἑαυτὰς οὐδὲν σημαίνουσιν.

§ 8 (9b).

Περὶ μακρᾶς συλλαβῆς.

Ὁ πρῶτος τρόπος τῶν θέσει *etc.* = **Σ**[d] 49, 10—50, 10.

821,15b ⟨*Stephani.*⟩ — Περὶ μακρᾶς συλλαβῆς καὶ ἄλλως. — Μακρὰ συλλαβὴ γίνεται κατὰ τρόπους ⟨ὀκτώ⟩, φύσει μὲν τρεῖς, θέσει δὲ πέντε.] Οὐχ ὡς ἔτυχε [περὶ μακρᾶς συλλαβῆς] λέγει ὁ τεχνικὸς τὰς ἐκτάσεις ἢ τὰς συστολὰς τῶν συλλαβῶν γίνεσθαι, ἀλλὰ κατὰ τὴν παράδοσιν λέγει αὐτὰς γίνεσθαι, τρόπους δὲ τὰς λεγομένας διαφορὰς φύσει καὶ θέσει.

Καὶ φύσει μὲν ἤτοι ὅταν διὰ τῶν μακρῶν στοιχείων ἐκφέρηται, οἷον ἥρως.] Εἰπὼν φύσει καὶ θέσει προτάττει τὴν φύσει· ἐκείνη γὰρ γνησία ἐστί, καὶ δεῖ τὰ γνήσια προτάττειν τῶν μὴ γνησίων. Καὶ ἔστιν ἡ πρώτη διαφορὰ τῶν ἐκτεταμένων φωνῶν, ὅταν τὰ μακρὰ στοιχεῖα, τό τε η̄ καὶ ω̄, εὑρίσκηται. Ἰστέον δὲ ὅτι παρὰ μὲν τοῖς μετρικοῖς πᾶσα μακρὰ δίχρονος, παρὰ δὲ τοῖς μουσικοῖς καὶ ῥυθμικοῖς καὶ τεχνικοῖς ⟨καὶ⟩ τρίχρονός τε καὶ τετράχρονος, τρίχρονος μέν, ὡς ηὔλουν· ἔστι γὰρ ἡ μὲν πρώτη συλλαβὴ ἐκ μακροῦ καὶ βραχέος φωνήεντος, ὧν τὸ μὲν μακρὸν δύο, τὸ δὲ βραχὺ ἕνα χρόνον ἔχει, ἡ δὲ δευτέρα ἐκ συμφώνου, ὅπερ ἥμισυν χρόνον ἔχει, καὶ ἐκ διφθόγγου, ὃ δύο, καὶ ἐξ ἑτέρου

16—206, 9 hab. et. Σ[m] Σ[1]

1 συμφώνων V, συμφ[ω'] C ‖ **4** καὶ *om* C | καθ' *om* **Σ**[1] | μόνον C**Σ**[1], μόνα V | Ἰστ. — ἑνός (6) *om* V**Σ**[1] ‖ **5** ἢ] καὶ C ‖ **7** καὶ C**Σ**[1], δὲ V, *om* b | ἡ *add* V ‖ **8** καὶ — πληθ.] κᾶρες C, καὶ κάρες **Σ**[1], καὶ κάρες πληθυντικῶς V | συλλ. ὡς *add* V ‖ **9** καρπός CE, καρός A, καρῶ V ‖ **12** ἐκ τῶν περὶ μ. σ. C ‖ **14—208, 6** *videntur esse Stephani* ‖ **16** περὶ μ. συλλ. *hab.* CV**Σ**[1] ‖ **17** ἐπεκτάσεις CV**Σ**[1]b | τὴν VE, *om* CA ‖ **18** τὰς λεγομένας CV, τοὺς ἐσχηματισμένους (σχηματισμένους A) καὶ **Σ**[1], τὰς γινομένας b | φ. καὶ θ. *om* **Σ**[1] ‖ **21** τὴν φύσει V**Σ**[1], τὴν φύσιν C | **22** ἐκείνη — ἐστί V, ἐκεῖνα γὰρ γνήσιά ἐστι C**Σ**[1] ‖ **23** Καὶ — εὑρ. (**24**) *om* V**Σ**[1] | φονῶν C, φωνηέντων b ‖ **24** μὲν VA, *om* CE ‖ **25** μουσ. κ. ῥυθ. κ. *om* C ‖ **26** τεχν. — μέν] τρίχρονος **Σ**[1] | *post* ηὔλουν *add* ὤθουν CV ‖ **27** ἔστι — τρεῖς (**206, 1**) *add* V

cυμφώνου, ὅπερ ἄλλον ἥμιcυν ἔχει χρόνον, καὶ γίνονται τρεῖc· τετρά-
χρονοc δέ, ὡc Θρᾷξ· ἔcτι γὰρ τὸ ᾱͅ μακρὸν καὶ ἔχει δύο χρόνουc, τὰ
δὲ πρὸ αὐτοῦ cύμφωνα ἕτερον, [καὶ τὸ ῑ ἕνα,] καὶ τὸ διπλοῦν ἄλλον
ἕνα, καὶ ἰδοὺ τέccαρεc· ἀλλὰ καὶ ἑνὸc καὶ ἡμίcεοc χρόνου, ὡc ἡ α̅ι̅ καὶ
ἡ ο̅ι, ἀπὸ κανόνοc λέγοντοc ὅτι μακρᾶc οὔcηc τῆc ἐπὶ τέλουc τρίτη ἀπὸ
τέλουc οὐ πίπτει ἡ ὀξεῖα· καὶ γὰρ προcλαβοῦcα cύμφωνον δέχεται
ἥμιcυν χόνον καὶ γίνεται δίχρονοc, καὶ τότε οὐκ ἐᾷ ἐπὶ τέλουc οὖcα
τρίτην ἀπὸ τέλουc τίθεcθαι τὴν ὀξεῖαν, οἷον ἄελλαι ἀέλλαιc, λίθιναι λι-
θίναιc, ἄνθρωποι ἀνθρώποιc, ἄριcτοι ἀρίcτοιc. 30

Ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ ἔκταcιν παραλαμ-
βανόμενον, οἷον Ἄρηc.] Δεύτεροc τρόποc, ὅταν τὰ δίχρονα ἐκτε-
ταμένα τὴν αὐτὴν ἔχωcι δύναμιν τῷ η̅ καὶ τῷ ω̅.

Ἢ ὅταν ἔχῃ μίαν τῶν διφθόγγων, οἷον Αἴαc.] Τρίτοc τρό- 822b
ποc, ὅταν ἔχῃ τὰc διφθόγγουc. Ἆρ' οὖν ἔξεcτί μοι τὰc διφθόγγουc
καὶ τὰ δίχρονα διὰ παντὸc ἐκτείνειν; Λεκτέον ὅτι ἐν τοῖc μετρικοῖc τὰc
διφθόγγουc ἐκ παντὸc τρόπου, τὰ δὲ δίχρονα οὐκ εἰκῇ, ἀλλὰ κατὰ τὴν
παράδοcιν καὶ χρῆcιν τῶν παλαιῶν· ἰδοὺ γὰρ τὸ ⟨Ε 31. 455⟩ Ἆρεc,
Ἄρεc καὶ μακρὸν καὶ βραχὺ ἔχει τὸ α̅· ἔξεcτιν οὖν ὁμοίωc καὶ ἡμῖν
χρήcαcθαι· καὶ τῷ φίλε μακρῷ καὶ βραχεῖ, μακρῷ μέν, ὡc τὸ ⟨Δ 155.
Φ 308⟩ φῖλε καcίγνητε, βραχεῖ δέ, ὡc τὸ ⟨Κ 114⟩ ἀλλὰ φίλον περ 10
ἐόντα.

Θέcει δὲ ἤτοι ὅταν εἰc δύο cύμφωνα λήγῃ, οἷον ἅλc.] Θέcει
δὲ λέγονται τὰ μὴ κατὰ φύcιν ἀλλ' ἐπιτεχνήcει τινὶ καὶ ποιήcει καὶ
μεθόδῳ καὶ ἐργαcίᾳ ⟨γενόμενα⟩· ὥcπερ παρέπεται τῷ κόρακι τὸ μέλαν,
τὸ δὲ λευκὸν τῷ κύκνῳ· ἐὰν ⟨οὖν⟩ καταχρίcωμεν τὸν κόρακα χρώματι
λευκῷ ἢ τὸν κύκνον μέλανι, καὶ ποιήcωμεν τὸν ⟨μὲν⟩ κόρακα λευκὸν
τὸν δὲ κύκνον μέλανα, τότε λέγομεν τὸν μὲν φύcει λευκὸν θέcει μέλανα,
τὸν δὲ φύcει μέλανα θέcει λευκόν· οὕτω καὶ τῶν cυλλαβῶν τὰc μὲν
καλοῦμεν φύcει μακράc, τὰc δὲ θέcει. Καὶ ὁ μὲν πρῶτοc τρόποc τῆc
θέcει μακρᾶc γνωρίζεται, ὅταν ᾖ αὐτὸ τὸ βραχὺ κατὰ cύλληψιν κατα-
λῆγον καὶ ἀποτερματιζόμενον καὶ περαιούμενον εἰc δύο cύμφωνα, οἷον
μάκαρc Τίρυνc ἅλc. Πολλὰ γοῦν εἰc δύο cύμφωνα λήγοντα οὐκ εἰcίν, 823,16b
ὥc φηcιν ὁ ὑπομνηματίζων, εἰ μὴ τὸ ἅλc Τίρυνc μάκαρc δάμαρc

14—207, 2 hab. et. Σ^{m} ‖ **14—21 hab. et.** A ‖ **32—207, 2 hab. et.** A

2 ἔcτι — τέccαρεc (4) *add* V | ᾱͅ] α̅ V ‖ **4** καὶ *ante* ἡμ. *add* V | ἡ α̅ καὶ ἡ υ̅ V, οἱ καὶ αἱ C, ἡ ο̅ι̅ α̅ι̅ Σ^{1} ‖ **5** ἀπὸ κ. — ἀρίcτοιc (9) V, αἵτινεc ἐὰν λάβωcι τὸ c̅ (αἵτινεc ἐπαγομένου cυμφώνου Σ^{1}) τέλειαι γίνονται μακραί CΣ^{1} ‖ **7** ἥμιcυ χρόνου V ‖ **12** τῷ (*bis*) b, τὸ C ‖ **17** παλαιῶν] *an* ποιητῶν? ‖ **18** ἔχει VA, *om* C ‖ **19** καὶ τῷ — μέν V, καὶ τὸ ῑ ὡc μακρὸν καὶ βαχύ, μακρὸν μὲν C, τὸ ῑ ὁμοίωc A ‖ **20** φῖλε C, φίλε VA | βραχεῖ V, βραχὺ CA | φίλον περ ἐόντα CV, φίλοc θάναι (*sic*; Φ 106) A ‖ **22** Θέcει — ἅλc (32) *add* V; *similia hab. et.* Σ^{1} ‖ **27** τότε λέγομεν] καὶ λέγωμεν V ‖ **28** τὸν δὲ] καὶ τὸν V ‖ **31** ἀποκερματιζόμενον V ‖ **32** γοῦν V, δὲ A, *om* C ‖ **33** ὥc — ὑπομν. *om* A

⟨καὶ⟩ ἅ φηcιν ἐν τῷ περὶ ὀρθογραφίας cημειούμενα· εἰcὶ δὲ ταῦτα, ζόρξ cτράγξ λύγξ cάλπιγξ ἴυγξ πῶυγξ.

Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο cύμφωνα, οἷον ἀγρός.] Δεύτερος, φηcί, τρόπος, ὅταν ἑνὶ τῶν διχρόνων ἢ τῶν φύcει βραχέων ἐπενεχθῇ δύο cύμφωνα· τότε γὰρ γίνεται ἀνάγκῃ μακρά, ὅτι ἡ βραχεῖα ἕνα χρόνον ἔχει καὶ ἕκαcτον τῶν cυμφώνων ἡμιχρόνιον, ὥcτε ταῦτα cυνερχόμενα ἀποτελεῖν δύο χρόνους· ἡ δὲ μακρὰ ἐκ δύο χρόνων cυνίcταται, ὥcτε γίνεcθαι θέcει μακράν. «Βραχεῖ» δὲ εἶπεν ἢ τῷ ε̄ ἢ τῷ ο̄, «βραχυνομένῳ» δὲ ἑνὶ τῶν διχρόνων.

Ἢ ὅταν εἰc ἁπλοῦν cύμφωνον λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ cυμφώνου ἀρχομένην, οἷον ἔργον.] Τρίτος οὗτος ⟨ὁ⟩ τρόπος ὁ κατὰ λῆξίν τε καὶ ἐπιφοράν· λήγει δὲ εἰc ἁπλοῦν cύμφωνον, τῆς ἑξῆς ἀρχομένης ἀπὸ cυμφώνου. Ἁπλούcτερον δὲ καὶ ἐνταῦθα εἶπε· cυμβαίνει γὰρ ἐν ταῖc λέξεcι λήγειν μὲν τὴν προτέραν εἰc ἓν cύμφωνον, τὴν δὲ
824b ἐπιφερομένην μὴ ἀπὸ ἑνὸc μόνου, ἀλλὰ καὶ ἀπὸ δύο ἄρχεcθαι, ὡc ἐν εἰcαγωγῇ δὲ παρῆκε τοῦτο. Τί δὲ διαφέρει οὗτος ὁ τρόπος τοῦ πρὸ αὐτοῦ; Ὅτι ὁ μὲν τὴν ἑξῆς ἔχει ἀπὸ cυμπεπλεγμένων cυμφώνων ἀρχομένην, ὁ δὲ προκείμενος ἐν διαcτάcει ἔχει τὰ cύμφωνα, οἷον ἕρμα ἕρνος.

Ἢ ὅταν διπλοῦν cύμφωνον ἐπιφέρηται, οἷον ἔξω.] Τέταρτος οὗτος ὁ τρόπος· δείκνυται δὲ πότε ἐπιφέρεται καὶ πότε καταλήγει νόμῳ τῆς ὀρθογραφίας· λέγει δὲ ἐν τῷ ἔξω ἐπιφέρεcθαι μᾶλλον ἢ καταλήγειν τὸ ξ̄. Πόθεν δῆλον; Λόγος τεχνικὸc καταναγκάζει· πᾶν γὰρ cύμφωνον μεταξὺ δύο φωνηέντων ἐν μιᾷ λέξει τῷ δευτέρῳ ἀκολουθεῖ.

Ἢ ὅταν εἰc διπλοῦν cύμφωνον λήγῃ, οἷον Ἄραψ.] Πέμπτον λέγει εἶναι τρόπον, ὅταν καταλήγῃ εἰc διπλοῦν cύμφωνον.

Ἰcτέον δὲ ὅτι οἱ χρόνοι, ὡc ὄντες κυρίως προcῳδίαι, ἐπάνω φωνηέντων τίθενται, δυνάμει δὲ καὶ εἰc τὰ δεκαεπτὰ cύμφωνα. Καὶ εἰc μὲν τὰ δύο μακρά, λέγω δὴ τὸ η̄ καὶ τὸ ω̄, ἡ μακρὰ τίθεται, καὶ εἰc τὰ δύο βραχέα ἡ βραχεῖα, εἰc δὲ τὰ τρία δίχρονα ποτὲ μὲν μακρὰ ποτὲ δὲ βραχεῖα, κατὰ τὴν ἀναλογίαν· εἰc δὲ τὰ ιδʹ ἁπλᾶ ἡμιβράχεια δυνά-

3—9 hab. et. Σ^1 ‖ 10—208, 6 hab. et. Σ^m ‖ 16—19 hab. et. Σ^1 ‖ 27—208, 6 hab. et. Σ^1

1 καὶ *om* CVA, *add* b | ἅ — ταῦτα *om* A | ἐν V, *om* C ‖ 2 ἴυγξ VN, *om* CA | πῶυγξ A, πώϋγξ C, *om* VN ‖ 8 Βραχεῖ b, βραχὺ CA, βραχεῖα E ‖ 9 τῷ ε̄ — ο̄ b, ε̄ ἢ τὸ ο̄ C, τὸ (τῶ E) ε̄ ἢ τὸ ο̄ Σ^1 | *poster.* δὲ *add* Σ^1 ‖ 12 τε *add* V | λήγει V, λήγων C ‖ 13 καὶ *om* V ‖ 15 ἄρχεcθαι *add* V ‖ 18 ἔχει *add* VΣ^1 | οἷον — ἕρνος (19) *om* Σ^1 ‖ 19 ἕρνος] ἔρνος V, ἕρμος Cb ‖ 20 ἔξω V, ἔξω C; *item v. 22* ‖ 21 δείκνυται V, δείκνυcι C | ἐπιφέρεται V, διαφέρεται C ‖ 22 ἐπιφέρεcθαι *et* καταλήγειν CV, ἐπιφέρεται *et* καταλήγει b ‖ 23 πᾶν γὰρ cύμφ. CV, τὰ γὰρ cύμφωνα b ‖ 27 ὅτι CV, ὡc E, ὅτι ὡc A, ὅταν b ‖ 28 δεκαεπτὰ VΣ^1, ιζ̄ C ‖ 29 τὸ *bis add* A | ἡ μακρὰ τίθεται V, μακρὰ τίθενται CE, μακραὶ τίθενται A ‖ 30 ἡ βραχεῖα V, βραχεῖαι Σ^1, *om* C ‖ 31 τὴν *add* V | εἰc — δυνάμει *om* V | ἡμιβρ. — διπλᾶ (208, 1) *om* Σ^1 | ἡμιβραχεῖα Cb

μει, καὶ εἰς τὰ τρία διπλᾶ τελεία βραχεῖα, διὰ τὸ ἐκ δύο συμφώνων συνεστηκέναι αὐτά. Συμπλεκόμενα δὲ τὰ σύμφωνα τοῖς φωνήεσιν ἀποτελοῦσι τὴν ἐγγράμματον φωνήν· λοιπὸν εἰ τύχοι φωνῆεν βραχὺ πρὸ δύο συμφώνων ἢ ἑνὸς διπλοῦ, ἐκτείνεται· τὰ γὰρ ἡμιβράχεα τῶν δύο συμφώνων καὶ τοῦ ἑνὸς φωνήεντος ἡ τελεία βραχεῖα συνελθόντα ἀποτελοῦσι τὴν τελείαν μακράν.

§ 9 (10b).

Περὶ βραχείας συλλαβῆς.

Βραχεῖα συλλαβὴ γίνεται *etc.* = Σ^d 50, 12—18.

⟨*Stephani.*⟩ — Καὶ ἄλλως. — Βραχεῖα συλλαβὴ γίνεται κατὰ τρόπους δύο καὶ ἑξῆς.] Ἡ βραχεῖα συλλαβὴ οὐκ ἔχει πολυτρόπους τὰς μεταβολάς, καθάπερ ἡ μακρὰ συλλαβή, ἀλλὰ δύο μόνας· ἢ γὰρ φύσει βραχέα ὄντα τὰ φωνήεντα τὰς συλλαβὰς βραχύνει, ἢ βραχυνόμενα τὰ δίχρονα, οὐ χύδην, ἀλλά, καθάπερ ἐν τῷ περὶ μακρᾶς συλλαβῆς εἰρήκαμεν, τῇ χρήσει προσανέχοντες τῶν ποιητῶν. 825,15b

§ 10 (11b).

Περὶ κοινῆς συλλαβῆς.

Κοινὴ συλλαβὴ γίνεται *etc.* = Σ^d 50, 20—56, 14.

⟨*Stephani.*⟩ — Περὶ κοινῆς συλλαβῆς καὶ ἄλλως. — Ἡ κοινὴ συλλαβὴ τῶν πρός τι· ὃν γὰρ τρόπον ἐν τῷ περὶ στοιχείου εἴρηται τὰ μέσα εἰρῆσθαι δασέων τε καὶ ψιλῶν, οὕτω καὶ ἐνταῦθα τὴν κοινὴν εἶναι λέγει μακρῶν τε καὶ βραχειῶν· ⟨καὶ⟩ ὥσπερ ἐν τῇ συνηθείᾳ λέγομεν πολλάκις, ὁρῶντες κτῆμα διαφόρων δεσποτῶν, ὅτι τοῦδε καὶ τοῦδε κοινόν ἐστιν, οὕτω καὶ ἐνταῦθα κοινὴ συλλαβή ἐστιν ⟨ἡ⟩ δυναμένη ὑπακούειν τῇ τε μακρᾷ καὶ τῇ βραχείᾳ. 825,24b

Κοινὴ συλλαβὴ γίνεται κατὰ τρόπους τρεῖς, ἤτοι ὅταν εἰς φωνῆεν μακρὸν λήγῃ καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον ⟨Γ 164⟩ οὔ τί μοι αἰτίη ἐσσί.] Τῇ κοινῇ συλλαβῇ κέχρηνται οἱ ποιηταὶ ἐν τοῖς ἑαυτῶν ἔπεσι· γίνεται δὲ ὁ πρῶτος τρόπος, 826,9b

---

11—14 hab. et. Σ^m ‖ **17—209, 4 hab. et. Σ^m**

1 τὰ *add* Vb | τέλειαι (τελεῖαι C) βραχεῖαι CΣ^1, ἡ μακρὰ V ‖ **2** συνεστ. CΣ^1, καθεστηκέναι V | *post* αὐτά *add* V: εἰς δὲ τὰ λοιπὰ ἡ βραχεῖα ‖ **4** ἢ — συμφώνων (**5**) VΣ^1, *om* C; *aliter lacunam explevit* b ‖ **10—14** *videntur esse Stephani* ‖ **13** *ante* ἐν *add* καὶ V | εἰρήκ.] *vide p. 206, 16* ‖ **14** προσανέχοντες V, προγαρέχοντες C, προσέχοντες b ‖ **17—211, 3** *videntur esse Stephani* ‖ **18** γὰρ τρ. V, τρ. γὰρ C | εἴρηται] *vide p. 202, 3* ‖ **20** βραχειῶν b, βραχέων CV ‖ **21** ὅτι *add* V ‖ **22** *prius* ἐστιν *add* V | *poster.* ἐστιν *om* V | ἡ *add* b ‖ **23** τε CV, *om* b ‖ **24—26** (ἐσσί) *om* V ‖ **27** ἑαυτῶν V, αὐτῶν C

ὅταν λέξις εἰς μέρος λόγου λήξῃ καὶ εἰς φωνῆεν μακρόν, ἐπιφέρηται δὲ
ἐν τῇ ἑξῆς συλλαβῇ ἕτερον φωνῆεν· τότε ⟨γὰρ⟩ ἐκείνη ἡ συλλαβὴ βρα-
χεῖα γίνεται, καὶ ἔστι μὲν καθ' ἑαυτὴν ἀμφίμακρος, ἐν δὲ τῷ στίχῳ
δάκτυλος.

Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο
20 σύμφωνα, ὧν τὸ μὲν δεύτερον ἀμετάβολον, καὶ ἑξῆς.] Καλῶς
εἶπε «βραχεῖ ἢ βραχυνομένῳ»· τὸ γὰρ ε̄ καὶ τὸ ο̄ βραχέα εἰσί, τὸ δὲ
ᾱ ῑ ῡ ἐνίοτε μὲν βραχέα, ἐνίοτε δὲ μακρά· βραχυνόμενα οὖν λέγει τὰ
δίχρονα. Τὸ δὲ «καθ' ἓν ἄφωνόν ἐστιν» ἀντὶ τοῦ ἐν συλλήψει, τουτέ-
στιν ἐν ἐπιπλοκῇ συμφώνων, ὡς ἔστι τὸ κλε̅· τοῦτο ⟨γὰρ⟩ οὐ δύναται
γενέσθαι δύο μέρη λόγου, ὡς τὸ ἐκ Λακεδαίμονος· διὰ τοῦτο καθ' ἕν
ἐστι, καὶ δύναται καὶ μακρὰ γίνεσθαι ἡ συλλαβὴ καὶ βραχεῖα [καὶ κοινή].
30 Εἰσὶ δὲ ἐννέα ἄφωνα, β̄ γ̄ δ̄ κ̄ π̄ τ̄ θ̄ φ̄ χ̄, καὶ τέσσαρα ἀμετάβολα, λ̄ μ̄ ν̄
ρ̄· ταῦτα οὖν πρὸς ἄλληλα μιγνύμενα καθ' ἓν τριάκοντα ἓξ σχήματα
ποιεῖ. Αὕτη δὲ ἡ δευτέρα διαφορὰ ἐπαγγέλλεται τὴν τοῦ παλιμβακχείου
827b θεραπείαν, ὅταν ἡ μέση συλλαβὴ ὁμοίως λήξῃ μὲν εἰς φωνῆεν, ἔτι γε
μὴν καὶ εἰς μέρος λόγου· ἀλλ' ἁπλούστερον εἶπεν· ἀντὶ γὰρ τοῦ ⟨α 2⟩
πλάγχθη ἐπεὶ Τροίης εἴρηκε ⟨Τ 287⟩ Πάτροκλέ μοι δειλῇ· καὶ ἡ
δευτέρα γὰρ κοινή ἐστιν, οὐχ ὥσπερ ἀπαιτεῖ ὁ λόγος ⟨οὗτος⟩, ἀλλ' ἑτέρῳ
λόγῳ, ὅτ' οὔτε καταπεραιοῖ οὔτε μὴν εἰς μακρὰν λήγει.

Ἢ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ
10 τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον ⟨Ξ 1⟩ Νέστορα
δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.] Ὁ τρίτος τρόπος τῆς
κοινῆς συλλαβῆς οὕτω γίνεται, ὅταν βραχεῖα συλλαβὴ τελικὴ λέξεως ᾖ
μὴ ἐπιφερομένων ἐκείνων τῶν συμφώνων τῶν τὴν μακρὰν ποιούντων,
ἀλλ' ἤτοι ἑνὸς ἢ μηδενός· πᾶσα γὰρ τελικὴ συλλαβὴ ἐκ τῆς ἀναπαύσεως
χρόνον προσλαμβάνει, ὡς ἐν τῷ ⟨Ξ 421⟩ οἱ δὲ μέγα ἰάχοντες ἐπέ-
20 δραμον, καὶ ⟨Μ 144. Ο 396⟩ ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φό-
βος τε, καὶ ⟨ι 109⟩ ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα, καὶ ἐν τῷ
⟨Ζ 194⟩ καὶ μέν οἱ Λύκιοι τέμενος τάμον.

828,11b [Διὰ τί δὲ τρεῖς μόνοι τρόποι εἰσὶ τῆς κοινῆς συλλαβῆς, καὶ οὐ
πλείους; Καὶ λεκτέον ὅτι πᾶσα συλλαβὴ ἤτοι μακρά ἐστιν ἢ βραχεῖα·
καὶ ἴσμεν ὅτι ἡ μὲν μακρὰ διχῶς γίνεται, ἢ φύσει ἢ θέσει, ἡ δὲ βραχεῖα
μονότροπός ἐστιν· ἕκαστος οὖν ὁ τρόπος τῇ κοινῇ παρεχώρησεν, ὁ μὲν
φύσει ⟨μακρός⟩, ὡς ἐν τῷ ⟨Γ 164⟩ οὔ τί μοι αἰτίη ἐσσί, ὁ δὲ θέσει

21—30 hab. et. Σ^m ‖ 23—27 hab. et. Σ^1 ‖ 31—211, 3 hab. et. A

1 εἰς μ. CV, ἢ μ. b | καὶ CV, *om* b | ἐπιφέρηται CV, ἐπιφέρῃ b ‖ **2** ἐν τῇ ἑξῆς λέξει V, ἡ ἑξῆς συλλαβὴ Cb | γὰρ *om* CV ‖ **3** ἐν Vb, οὐ C ‖ **10** ἐπιπλοκῇ C, συμπλοκῇ b | συμφώνου Cb | κλε̅ b, κτε̅ C ‖ **14** καθ' ἓν C, *om* b | τριάκ. ἕξ] λ̅β̅ C, τριάκοντα δύο b ‖ **16** μέση (*ut videtur*) C, μακρὰ b ‖ **18** δειλῇ b, δηλοῖ C ‖ **20** καταπεραιοῖ] καρεύει Cb ‖ **21** ὅταν CV, ὅτε b ‖ **24** *ante* ὅταν *add* οἷον Cb ‖ **27** προσλαμβάνει VΣ^1, παραλαμβάνει Cb ‖ **31** μόνοι *add* A ‖ **33** μὲν *add* A ‖ **34** ὁ *om* A ‖ **35** ὡς *add* A; *item bis p. 210, 1*

⟨μακρός⟩, ὡς ἐν τῷ ⟨Τ 287⟩ Πάτροκλέ μοι δειλῇ, ὁ δὲ βραχύς, ὡς 30
ἐν τῷ ⟨Ξ 421⟩ οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον.]

Cημειωτέον δὲ ὡς οὐ καλῶς εἶπεν ὁ τεχνικὸς ἐν τούτῳ τῷ τρόπῳ 827, 26 b
«καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην»· κἂν γὰρ ἡ ἑξῆς ἄρχη-
ται ἀπὸ συμφώνου, λήγῃ δὲ ἡ πρώτη εἰς φωνῆεν, πάλιν κοινὴν ποιεῖ,
οἷον ⟨Φ 352⟩ τὰ περὶ καλὰ ῥέεθρα, ⟨ι 109⟩ ἀλλὰ τά γ' ἄcπαρτα 30
καὶ ἀνήροτα.

Ἔcτι δὲ ἐν τοῖς κοινοῖς μέτροις καὶ ἡ καλουμένη cυνεκφώνηcιc, ἣ 835, 29 b
καὶ cυνίζηcιc λέγεται· ὅταν γὰρ φωνηέντων ἐπάλληλος γένηται προ-
φορά, τότε γίνεται ἡ cυνίζηcιc εἰς μίαν cυλλαβήν. Διαφέρει δὲ ἡ cυ-
νίζηcιc τῆς cυναλοιφῆς· ἡ μὲν γὰρ γραμμάτων ἐcτὶ κλοπή, ἡ δὲ χρόνων,
καὶ ἡ μὲν cυναλοιφὴ ὡς λέγεται καὶ φαίνεται, ἡ δὲ cυνίζηcιc οὐχ οὕ- 836 b
τως· ἐντελῶς μὲν γὰρ λέγεται, κατὰ κρᾶcιν δὲ φαίνεται. Καὶ ἔcτιν
αὐτῆς ὁ ὅρος οὗτος· cυνεκφώνηcίc ἐcτιν ὁπόταν δύο ⟨cυλλαβαὶ⟩ cύμ- 826, 11 c
φωνον μεταξὺ ἀλλήλων μὴ ἔχουcαι ἀντὶ μιᾶς παραλαμβάνωνται. Τρό-
ποι δὲ cυνεκφωνήcεως οἱ ἀναγκαιότατοι τέccαρες· ἢ δύο μακρῶν εἰς
μίαν μακράν, ὡς ἐν τῷ ⟨Ε 349⟩ ἦ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλ-
κιδας ἠπεροπεύεις; καὶ ⟨Ζ 187. υ 227⟩ ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι
φωτὶ ἔοικας· ἢ βραχείας καὶ μακρᾶς εἰς μακράν, ὡς ἐν τῷ ⟨α 183⟩
πλέων ἐπὶ οἴνοπα πόντον, καὶ ⟨Α 18⟩ ὑμῖν μὲν θεοὶ δοῖεν
[καὶ ⟨Α 15⟩ χρυcέῳ ἀνὰ cκήπτρῳ]· ἢ μακρᾶς καὶ βραχείας εἰς
μακράν, ὡς ἐν τῷ ⟨Β 544⟩ θώρηκας ῥήξειν δηΐων ἀμφὶ cτή-
θεccιν· ἢ δύο βραχειῶν εἰς μακράν, ὡς ἐν τῷ ⟨ι 283⟩ νέα μέν μοι 10
κατέαξε Ποcειδάων· ἢ δύο βραχειῶν εἰς μίαν βραχεῖαν, ὡς ἐν ἄλλοις
μέτροις εὑρίcκομεν, cπανίως δέ, οἷον ⟨Praxilla? cfr X 133⟩ cείων μελίην
Πηλιάδα· ἔcτι δὲ Ἰωνικὸν ἀπὸ μείζονος. Ἔcτι δὲ ὅπου βραχεῖα καὶ
κοινὴ ἀντὶ βραχείας κοινῆς παραλαμβάνεται, ὡς ἐν τῷ ⟨Γ 152⟩ δεν-
δρέῳ ἐφεζόμενοι ὄπα λειριόεccαν ἱεῖcι, καὶ ἐν τῷ ⟨Α 15⟩ χρυ-

9—211, 3 hab. et. Σ^m

1 δειλῇ A, δηλοῖ C | ὁ δὲ A, καὶ ὁ C ‖ 2 οἱ δὲ *add* A ‖ 4 ἔχῃ A, ἔχει C ‖ 6 τὰ A, τὸ C | ῥέεθρα] ῥέθρα A, ῥέξα C ‖ 9 *ante* προφ. *add* ἡ C, *om* VA ‖ 10 ἡ cυνίζ. *add* V ‖ 11 τῆς CVA, *om* b ‖ 12 *poster*. καὶ *add* V | ἡ δὲ — παραλ. (15)] ἡ δὲ οὐ C | οὐχ οὕτως *add* V ‖ 13 ἐντελῶς V, ἐντελὲς A | γὰρ *add* V ‖ 14 δύο cυλλ. *om* V | cυλλ. *om* A | cύμφωνα VA ‖ 15 Τρόποι — μακράν (17) *om* A ‖ 16 οἱ ἀναγκ. *add* V ‖ 17 μακράν — τῷ *om* C | ἢ CA, ἢ V | γυν. ἀν. VA, *spat. 12 litt.* C ‖ 18 ἠπερ. — ἔοικας (19) *add* V ‖ 19 φωτὶ] ἀνδρὶ V | ἢ A, β̄ ἡ C, δεύτερος ἢ V | εἰς μίαν μακρὰν V, *om* CA | ἐν τῷ VA, τὸ C ‖ 20 πλέων VA, ὀρόων Cb | καὶ *om* C; *item v. 21* ‖ 21 καὶ χρ. — cτήθ. (22) *om* A | ἢ] γ̄ ἡ C, τρίτος ἢ V | εἰς — τῷ (23) *om* C ‖ 23 θώρακα C | ῥῆξε C, ῥῆξαι V | cτήθεccιν V, cτήθεcφι C | ἢ A, ἡ δ̄ C, τέταρτος ἢ V | εἰς — βραχειῶν (24) *om* C | εἰς μίαν μακρὰν A | νέα μέν V, νέας A ‖ 24 ἢ A, πέμπτος ἢ V | ὡς — εὑρ. (25) *om* C ‖ 25 εὑρ. — μείζ. (26)] εὑρίcκεται, καὶ παρὰ Πραξίλλῃ ⟨fr 1 B[4]⟩ ἀλλὰ τεὸν οὔποθε θυμὸν ἐνὶ cτείθεcιν ἔπειθον A ‖ 26 πηλιάδα C, πηληϊάδαο V | δὲ (*prius*) V, γὰρ C | Ἔcτι — cκήπτρῳ (211, 1) *om* C

céῳ ἀνὰ κήπτρῳ. Πολλάκις δὲ cυνεκφώνηcιc μὴ νοηθεῖcα μέτρον ἀμείβει· τὸ γὰρ ⟨Ε 349⟩ ἦ οὐχ ἅλιc ὅττι γυναῖκαc ἀναπαιcτικόν ἐcτιν.

827,33b Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. — Ἡ τρίτη διαφορὰ τὸν χορεῖον θερα-
828b πεύει· καὶ ὧδε πάλιν, ὅταν βραχεῖά ἐcτι κατὰ τὴν ἀρχήν, λήξῃ μέντοι εἰc μέροc λόγου, τῆc δευτέραc ἀρχομένηc ἀπὸ φωνήεντοc, οὕτωc ἡ κοινὴ γίνεται.

826,1b *Stephani.* — Δεῖ δὲ εἰδέναι, ὅτι ἡ κοινὴ οὐκ ἀκαίρωc ἐπινενόηται τοῖc μετρικοῖc· ἀλλ' ἐπειδὴ οἱ ἄνθρωποι περὶ τὰ τοιαῦτα μετριώτεροί εἰcι καὶ οὐ πάντωc εὐποροῦcι λέξεων, ὡc ὁ γνήcιοc λόγοc ἀπαιτεῖ τὴν μακρὰν φύcει καὶ τὴν βραχεῖαν φύcει, τρόπον τινὰ παραμυθούμενοι τὴν ἀcθένειαν τὴν κοινὴν εἰργάcαντο· ἵνα ⟨δὲ⟩ μὴ ὡc ἔτυχε τὰc μακρὰc ἐν κοινῷ λαμβάνωμεν ἢ τὰc βραχείαc, μέθοδον οὖν τεχνικὴν προέθεντο.
828,5b Δεῖ δὲ γινώcκειν καὶ τοῦτο, ὅτι γνήcιοι μὲν πόδεc τοῦ ἡρωϊκοῦ μέτρου δάκτυλόc ἐcτι καὶ ἐν τοῖc διcυλλάβοιc cπονδεῖοc· οἱ δὲ κοινῶc λαμβανόμενοι ἀμφίμακροc, παλιμβάκχειοc, χορεῖοc. Τούτων ὁ μὲν ἀμφίμακροc κατὰ τὴν τρίτην cυλλαβὴν ⟨καὶ κατὰ τὸν πρῶτον τρόπον τῆc κοινῆc cυλλαβῆc θεραπεύεται, ὁ δὲ παλιμβάκχειοc κατὰ τὴν δευτέραν cυλλαβὴν καὶ κατὰ τὸν δεύτερον τρόπον τῆc κοινῆc cυλλαβῆc, ὁ δὲ χορεῖοc κατὰ τὴν πρώτην cυλλαβὴν⟩ καὶ κατὰ τὸν τρίτον τρόπον τῆc κοινῆc cυλλαβῆc.

§ 11 (12. 13b).

Περὶ λέξεωc.

Λέξιc ἐcτὶ μέροc ἐλάχιcτον *etc.* = Σ^d 56, 16—58, 26.

836,30b ⟨*Stephani.*⟩ — Περὶ λέξεωc καὶ ἄλλωc. — Λέξιc ἐcτὶ μέροc ἐλάχιcτον τοῦ κατὰ cύνταξιν λόγου.] Διεξελθὼν ὁ τεχνικὸc περὶ τῶν cτοιχείων καὶ περὶ τῶν cυλλαβῶν λοιπὸν παραβαίνει εἰc τὸν περὶ τῆc λέξεωc λόγον, εἰκότωc· καὶ γὰρ ἀπὸ τῶν cτοιχείων cυλλαβαί, ἀπὸ δὲ cυλλαβῶν λέξειc, ἀπὸ δὲ λέξεων διάνοιαι, ἀπὸ δὲ διανοιῶν ὁ τέλειοc

---

8—16 (χορ.) **hab. et.** Σ^m (V *in marg. add* Cτεφάνου, *idem nomen* N *in marg. ad v. 16* ‖ **8—13 hab. et.** A ‖ **25—213, 1 hab. et.** Σ^m

2 ἥ A, ἣ CV ‖ **3** V *add*: ἅπερ μέτρα οὐκ ἀναγκαῖον ἐνταῦθα τοῖc νέοιc παρειcάγειν ‖ **4** χορεῖον] λογεῖον C ‖ **8—21** *videntur esse Stephani* ‖ **9** π. τ. τοι. *om* A | τὰ τοιαῦτα CV, τὴν τοιαύτην b ‖ **10** εὐποροῦcι C, ἀποροῦcι VA | λέξεων VA, λέξεωc C | ὁ VA, *om* C ‖ **11** τῆc μακρᾶc φ. καὶ βραχείαc φ. V ‖ **12** τὴν ἀcθέν. CVA, *om* b | μακρὰc ἐν κοινῷ CA, κοινὰc V ‖ **13** λαμβάνωμεν VA, λαμβάνοιμεν C | ἢ VA, *om* C | προέθεντο C, προέθετο VA ‖ **14** καὶ τοῦτο *add* V ‖ **17** καὶ — cυλλ. (**20**) *om* C; *Hoerschelmann lacuna non perspecta pro* τρίτον *(v. 20) voluit* πρῶτον *et post* cυλλαβῆc *(21) add* θεραπεύεται ‖ **25—215, 3** *videntur esse Stephani* ‖ **26** τῶν cτοιχ. V, τοῦ cτοιχείου Cb | παραβαίνει] παραβάλλει CVb ‖ **28** αἱ λέξειc Cb

λόγος· ὥστε οὖν κατὰ τάξιν τοὺς εἰσαγομένους ἐκπαιδεύει. Καί φησι «λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου»· κακῶς δὲ ὡρίσατο, ταὐτὸν γὰρ καὶ τὸ στοιχεῖον· ἀλλ' ἔδει εἰπεῖν «μέρος ἐλάχιστον διανοίας τοῦ κατὰ σύνταξιν λόγου». Καὶ λέγομεν ὅτι ὡς ἐν εἰσαγωγῇ τὰ ποικίλα ἐκφεύγει· τῷ γὰρ εἰσαγομένῳ ζητήματα μυρία ὑπαντᾷ περὶ 30 διακρίσεως καὶ συντάξεως λόγου καὶ διανοίας.

Ὡς δὲ ἀπὸ τοῦ ἕξω ἕξις, οὕτως ἀπὸ τοῦ λέξω λέξις· λέγω δὲ οὐ 837, 19 b ⟨τὸ⟩ εἰκῇ, ἀλλ' ἀπὸ τοῦ σημαίνοντος τὸ σημαινόμενον· ἴδιον γὰρ λέξεως σημαινόμενον ἔχειν, συλλαβῆς δὲ ἴδιον τὸ μηδὲν σημαίνειν. Τὸ δὲ λέγω σημαίνει ἐνταῦθα τρία, τὸ ἀπαγγέλλω, τὸ ἀριθμῶ, τὸ ἐκλέγομαι· λέξις οὖν ἐστιν ἡ σημασίας ἀπαγγελτική, ἢ ἡ πρὸς σύνταξιν λόγου καταριθμουμένη, ἢ ἣν πᾶς ὁστισοῦν ἐκλέγεται μᾶλλον τῆς ἀσήμου φωνῆς.

Διαφέρει δὲ σύνταξις συνθέσεως· καὶ σύνταξις μέν ἐστι λέξεων παράθεσις μὴ ὁμοῦ μὲν γεγραμμένων, ὁμοῦ δὲ νοουμένων, σύνθεσις δὲ [μιᾶς ἢ] δύο ἢ καὶ τριῶν λέξεων ἕνωσις ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα. 30 Τὴν δὲ σύνθεσιν ἐνταῦθα τὴν πεζὴν εἶπε φράσιν, ἥτις πεζὴ λέγεται, ὅτι 838 b δι' αὐτῆς, ὡς δημοσίας ὁδοῦ, πάντες ὁδεύουσι καὶ ποιηταὶ καὶ πεζολόγοι· πεζὴν γὰρ λέγει τὴν κοινήν· τῇ μέντοι ποιητικῇ μόνοι χρῶνται, ὅσοι μετὰ τέχνης αὐτὴν ἐπιτηδεύουσιν. Εἴρηκε δὲ τὸν λόγον πεζῆς λέξεως σύνθεσιν, ὡς ἂν εἴποι τις τὴν κοινωνίαν καὶ τῶν νοημάτων τῶν ἐντελῶν ἄκραν ἕνωσιν.

Προσθετέον οὖν τὸ «αὐτοτελές»· ἢ ὁριστέον οὕτω· «λέξις ἐστὶ φωνὴ ἐγγράμματος νοητόν τι ἀποτελοῦσα»· ἐγγράμματος δὲ φωνή ἐστιν ἀποτέλεσμα τοῦ ἐν ἡμῖν ἐντεθησαυρισμένου πνεύματος. Εἰ δὲ λέγοις, ὡς οἱ παραπληρωματικοὶ σύνδεσμοι λέξεις εἰσὶ καὶ οὐκ ἔχουσι νοητόν, φαμὲν 10 ὡς πρῶτον μὲν ἔχουσιν, ὡς ὁ γέ μείωσιν, ⟨fr. poet. lyr. 3, 737 B[4]⟩ τοῦτό γέ μοι χάρισαι, καὶ ἔμφασιν, «καλῶς γε», ὁ πέρ ἐναντίωσιν, ⟨A 131⟩ μὴ δ' οὕτως ἀγαθός περ ἐών, καὶ ⟨A 586. E 382⟩ ἀνάσχεο κηδομένη περ· παραπληρωματικοὶ δὲ καλοῦνται, ὅτι διάφορα δηλοῦντες πληροῦσι τὴν διάνοιαν. Εἰ δέ τινες ὀλίγαι λέξεις μηδὲν ση-

---

9—11 (καταρ.) **hab. et.** A ‖ **22—213, 5 similia hab. et.** A

1 ἐκπαιδ. V, παιδεύει C ‖ **2** τοῦ *om* C ‖ **4** τοῦ — λόγου *add* V ‖ **5** ὑπαντᾷ h, ὑπήντα *ex* ὑπάντα *factum* C[1], ἀπήντα V ‖ **7** λέγω — σημαίνειν (9) *om* V | οὐ τὸ b, οὐκ C ‖ **9** σημαντικὸν ἔχειν C ‖ **10** ἐνταῦθα V, *om* CNA | ἐκλέγομαι] ἐπιλέγομαι CVA ‖ **11** ἐστιν *add* V ‖ **12** ὁστ. ἐκλ. V, συνεκλέγεται C ‖ **13** καὶ *add* V ‖ **14** μὴ *post* γεγραμμ. *hab*. C, *om* V, *transp. Lehrs* ‖ **15** μιᾶς ἢ β̄ ἢ γ̄ λέξεως C, μιᾶς ἢ δευτέρας ἢ καὶ τρίτης λέξεως V | καὶ ὑφ' ἓν C ‖ **16** σύνθεσιν V, σύνταξιν C ‖ **18** ποιητικῇ] ποιᾶ C, ποιᾷ V ‖ **19** ὅσοι — καὶ (**20**) V, ὅσοι τῇ κοινωνίᾳ C ‖ **22** Προσθ. — αὐτοτ. *om* C | αὐτοτελὴς V ‖ **24** ἐντεθησ. VA, τεθησαυρισμένου C, ἀποτεθησαυρισμένου b ‖ **26** μὲν *add* V ‖ **27** τοῦτο γέ μοι χ. C, τούτῳ γὲ μὴν χ. V, τοῦτο γε' μὲν A ‖ **29** κηδόμενός περ V ‖ **30** πληροῦσι VA, *om* Cb | ὀλ. λέξ. μηδὲν VA, οὐ C

μαίνουσιν, οὐ τῶν ὅλων ἐπικρατήσουσιν, ὑπὸ δὲ τῶν πολλῶν ὁρισθήσονται. Ἄλλως τε καὶ αὗται λέξεις εἰσί, καθὸ ἐγκλίνονται καὶ ὀρθοτονοῦνται· ἐγκλίνεται δὲ ὁ θήν, οἷον ⟨Κ 104⟩ οὔ θην Ἕκτορι πάντα νοήματα, καὶ ὁ κέν, ⟨ex. gr. β 204⟩ ὄφρά κεν, καὶ ὁ τοί, ⟨ex. gr. Γ 65⟩ οὔ τοι.

Καλῶς δὲ εἶπε «τοῦ κατὰ σύνταξιν λόγου»· πολλαχῶς γὰρ λέγεται
839 b 327,13 c λόγος· σημαίνει γὰρ τὸν ἐξ ἀναλωμάτων, ὃς λέγεται καὶ τραπεζιτικός, οὗ μέμνηται καὶ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς, ⟨De Chers. § 47⟩ τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ· τὸν γεωμετρικόν, οἷον «ὃν ἔχει λόγον τὸ ἡμίπηχυ πρὸς τὸν πῆχυν, τοῦτον ἔχει τὸν λόγον καὶ τὸ δίπηχυ πρὸς τὸ τετράπηχυ». Ἔστι λόγος καὶ ἡ φροντίς, ὡς παρὰ Μενάνδρῳ ⟨fr. 836 K⟩ οὔτε λόγον ὑμῶν οὔτ' ἐπιστροφὴν ἔχω. Ἔστι λόγος καὶ ὁ ἐκ λημμάτων καὶ ἐπιφορᾶς, οἷον «εἰ ἡμέρα ἐστί, φῶς ἐστι»· τοῦτο λῆμμα, ἐπεὶ ὡς ὁμολογούμενον εἴληπται τὸ ἡμέρας οὔσης φῶς εἶναι· «ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί»· τοῦτο ἐπιφορά, τῷ γὰρ προειλημμένῳ ἐπηνέχθη. Ἔστι λόγος καὶ ἡ λογικὴ κατασκευή, καθό φαμεν τοὺς μὲν ἀνθρώπους ἔχειν λόγον, τὰ δὲ ἄλογα μή. Ἔστι λόγος καὶ ἡ δύναμις, ὡς λέγομεν κατὰ φυσικὸν λόγον ὀδοντοφυεῖν τὰ ζῷα καὶ γένεια φέρειν, οἷον κατὰ τὰς φυσικὰς καὶ σπερματικὰς δυνάμεις. Ἔστι λόγος καὶ ἡ συμπαρεκτεινομένη φωνὴ τῷ διανοήματι, οἷον τὸ «ἄπελθε»· τοῦτο γὰρ καὶ λέξις, ὅτι τετύχηκε νοῦ, καὶ λόγος διὰ τὸ ἐν-
328 c τελὲς τοῦ νοήματος τοῦ δηλουμένου. Ἔστι λόγος καὶ ὁ δηλῶν τὸ αὐτοτελές, καθό τινος εἰπόντος ἐλλιπῶς φαμεν «τελείωσον τὸν λόγον». Ἔστι λόγος καὶ ὁ ἔκτασιν ἔχων ποιοῦ ἀπαρτισμοῦ, οἷον «καλός ἐστιν ὁ κατὰ Μειδίου λόγος Δημοσθένους». Ἔστι λόγος καὶ αὐτὸ τὸ βιβλίον, οἷον «χρῆσόν μοι τὸν κατὰ Ἀνδροτίωνος λόγον». Ἔστι λόγος καὶ ἡ ὑπόθεσις, οἷον

5—214, 2 simillima hab. et. Σ^{m} Σ^{1}

1 ἐπικρατ. VA, κρατήσουσιν C | ὑπὸ — ὁρισθ. *om* C | πολλῶν ὁρισθ. A, πλειόνων ῥηθήσονται V, πλειόνων ὁρισθήσονται N ‖ 2 καὶ αὗται — ὀρθοτ. A, λέξεως ἴδιον τὸ ἐγκλίνεσθαι C ‖ 3 ἐγκλίνεται — οὔ τοι (5) *om* A ‖ 7 τὸν] τῶν C | τραπεζητικὸς Σ^{1}, τραπεζικὸς CV ‖ 10 *post* στρατ. *add* ἀντὶ τοῦ τὰ λογάρια Σ^{1} ‖ 11 ἔχει — καὶ Σ^{1}, γὰρ C, καὶ b ‖ 12 Ἔστι λ. καὶ *add* Σ^{1} ‖ 13 ὑμῶν VA (*exemplum om* E), ἡμῶν C | ἔχω CV, ἔχει A | Ἔστι λ. καὶ *add* A, λόγος λέγεται καὶ V; *item v. 17. 18. 21. 23. 25. 26. 27* ‖ 14 φῶς ἐστι *add* Σ^{1}b ‖ 15 ὁμολογούμενον Σ^{1}, ὁμόλογον C ‖ 18 μὲν *add* V ‖ 19 *post* λόγον *add* καὶ σπερματικὸν Σ^{1} ‖ 20 τὰς *add* VΣ^{1} ‖ 21 οἷον — δηλουμ. (23) CV, ὡς ἐπὶ τοῦ ⟨*ex. gr.* I 307⟩ τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· οὗτος δὲ ὁ τρόπος καὶ τὴν μίαν λέξιν δηλοῖ, ὡς τὸ «ἄπελθε»· τοῦτο δὲ καὶ λέξις ἐστὶ καὶ λόγος· λέξις μὲν γάρ ἐστι, καθὸ μία ἐστί, λόγος δέ, καθὸ αὐτοτελῆ διάνοιαν περιέχει Σ^{1} ‖ 23 τοῦ νοήμ. *om* C | ὁ δηλῶν C, ὃ δηλοῖ V, τὸ σημαινόμενον Σ^{1} | αὐτοτελές VΣ^{1}, αὐτὸ τέλος C, αὐτοῦ τέλος b ‖ 24 ἐλλιπῶς CV, ἀτελὲς Σ^{1} | φαμεν C, *om* VΣ^{1} ‖ 25 ἐστιν *add* Σ^{1}b ‖ 26 Μειδίου CV, μηδίας Σ^{1} | δημοσθένει C ‖ 27 *post* λόγον *add* Σ^{1}: τουτέστι τὸ τεῦχος | οἷον V, ὡς ἐπὶ τοῦ Σ^{1}, *om* C

⟨fr. com. 4, 654 p. 1224 M⟩ ἤδη δὲ λέξω τὸν λόγον τοῦ δράματος.

Λόγος δέ ἐστι πεζῆς λέξεως σύνθεσις διάνοιαν αὐτοτελῆ 840,11b δηλοῦσα.] Τοῦτο ἐκβάλλει τοὺς ἐμμέτρους. Ὁριστέον οὖν οὕτως· «σύνθεσις λέξεων κατάλληλος διάνοιαν ἀπαρτίζουσα»· ὁ γὰρ λόγος ἐκ διανοιῶν, ἡ δὲ διάνοια ἐκ λέξεων. Δεῖ οὖν προσέχειν καὶ ἐνταῦθα τὸ ἀκριβὲς τοῦ τεχνικοῦ· πῇ μὲν γὰρ σύνταξιν ⟨λέγει⟩, πῇ δὲ σύνθεσιν, ὅτι ἡ μὲν σύνταξις τὸ κατάλληλον μόνον τῶν μερῶν τοῦ λόγου ζητεῖ, ἡ δὲ σύνθεσις τὴν ἕνωσιν. Σύνθεσις οὖν τῶν λέξεων ἡ διάνοια· καθ' ἑαυτὴν γὰρ ἡ λέξις, ἔξωθεν δ' οὐδέν ἐστι τῆς διανοίας· ἐκ δὲ διανοίας συνίσταται ὁ τέλειος λόγος. Δεῖ οὖν ἐνταῦθα νοεῖν λόγον τὸν διεξοδι- 20 κόν, τὸν συνιστάμενον ἐκ τῶν μερῶν τοῦ λόγου.

Τοῦ δὲ λόγου μέρη εἰσὶν ὀκτώ, ὄνομα, ῥῆμα, μετοχή, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος.] Βουλόμενος διδάξαι καὶ τὰ μέρη, ⟨ἐξ⟩ ὧν συνίσταται ὁ λόγος, ἀπαριθμεῖ τοῦ λόγου εἶναι μέρη ὀκτώ, ὧν ἑκάστου τὸ ὄνομα παραδίδωσιν.

Ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται.] Οἱ 842,19b Στωϊκοὶ ὀνόματα τὰ μὲν κύρια ἔλεγον, τὰ δὲ προσηγορικὰ οὐκ ὀνόματα· καί φασιν, ὡς διάφορος ἡ κλίσις κυρίων καὶ προσηγορικῶν· Πάρις γὰρ Πάριδος, ὅτι κύριον, μάντις δὲ μάντιος, ὅτι προσηγορικόν. Εἰ δὲ κλίσιν προσδεξαίμεθα τοῦ μερισμοῦ κριτήριον, τὸ λέοντος καὶ λέγοντος ὑφ' ἓν ⟨τε⟩τάξεται μέρος, τὸ δὲ μήνιδος καὶ μάντεως οὐχ ὑφ' ἕν. Ἔτι φασίν, ⟨ὡς⟩ ἀπὸ κυρίων προσηγορικά. Ἀλλ' εἴπερ ἐκ τῶν πρωτοτύπων μεριοῦμεν τὰ παράγωγα, τὸ Ἑκτόρεον καὶ αἴγεον διαστελοῦμεν, τό τε εὐγενέστερος καὶ ἐρρωμενέστερος. Ἔτι τὰ κύρια λέγουσι μὴ ἔχειν θηλυκά, τὰ προσηγορικὰ δέ. Ἀλλ' εἰ παρασχηματισμὸς μερίζει τὰς λέ- 30 ξεις, χωριζέσθω ὁ ἄνθρωπος ἀπὸ τοῦ ὁ χρυσός καὶ ὁ ἄργυρος καὶ μὴ εἴη τοῦ αὐτοῦ μέρους, ἐπειδὴ ὁ μὲν ἄνθρωπος παρασχηματίζει θηλυκόν, ὁ δὲ χρυσός καὶ ὁ ἄργυρος μονογενὲς ἔχουσιν ὄνομα. Λεκτέον οὖν, 843b ὡς παντὸς μέρους τὰ ἴδια δεῖ σκοπεῖν καὶ οὐ τὰ παρεπόμενα, καὶ οὕτω ποιεῖσθαι τὸν μερισμόν· ἴδιον δέ ἐστι τὸ ἑνὶ μόνῳ ἀνῆκον, ἑτέρῳ δὲ μὴ ἐπικοινωνοῦν, ὡς ἀνθρώπου τὸ γελαστικόν, ἵππου δὲ τὸ χρεμετιστικόν· παρεπόμενα δὲ λευκὸν ἢ μέλαν, [ἢ] ταχὺ ἢ βραδύ. Οὕτω δὴ καὶ ὀνόματος ἴδιον μὲν τὸ δηλοῦν τὴν τῶν ὑποκειμένων σωμάτων ἢ πραγμά-

4—12 hab. et. Σ^m ‖ 17—29 longe ampliora praebent $\Sigma^m \Sigma^1$ ‖ 29—215, 3 hab. et. $\Sigma^m \Sigma^1$

1 ἤδη δὲ λέξω Σ^1, ἤδη λέξω C, ἡδέως δέδεξο V ‖ **5** κατάλληλος VA, κατάλληλον C ‖ **7** μὲν V, *om* C | γὰρ C, *om* V | δὲ V, *om* C ‖ **8** μὲν V, *om* C ‖ **10** ἐστι τῆς διαν. V, ἐστιν C, ἔξωθεν διανοίας οὐδέν *dubitanter Steinth.*[2] *2, 209* | δὲ] τῆς C, *om* V | *ante* συν. *add* γὰρ C ‖ **13** *in marg. add* Στεφάνου C ‖ **15** ἐξ *add* b ‖ **18** μὲν τὰ κ. Cb ‖ **19** κλίσις b, κρίσις C ‖ **22** τετάξεται *Lehrs* | μήνιδος] ἡΐδος Cb, λῃΐδος *Lehrs* ‖ **23** Ἔτι — ἐρρωμ. (**25**)] *male excerpta ex* Σ^m ‖ **25** τε b, γε C ‖ **30** οὐ *add* V ‖ **31** τὸ τῷ ἑνὶ C **32** ἵπ. δὲ τὸ χρεμ. *add* V ‖ **33** δὴ V, δὲ C, *om* Σ^1

των ποιότητα, παρεπόμενον δὲ τὸ κύριον ἢ προσηγορικὸν εἶναι· ὥστε καθὸ ποιότητα δηλοῖ τὸ κύριον, ὄνομά ἐστι, κἂν μὴ προσηγορικὸν ᾖ, καὶ καθὸ ποιότητα δηλοῖ τὸ προσηγορικόν, ὄνομά ἐστι, κἂν μὴ ᾖ κύριον.

837,31b Ἕνωσίς ἐστι διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή· ἕνωσις δὲ εἴρηται διὰ τὸ εἰς ἓν συνωθεῖσθαι τὰ πράγματα. Κατὰ δὲ τρόπους δέκα
838,23b λέγεται ἡ ἕνωσις· α΄ κατ' οὐσίαν, β΄ καθ' ὑπόστασιν, γ΄ κατὰ σχέσιν, δ΄ κατὰ παράθεσιν, ε΄ καθ' ἁρμονίαν, ϛ΄ κατὰ κρᾶσιν, ζ΄ κατὰ φύρσιν, η΄ κατὰ σύγχυσιν, θ΄ κατὰ σωρείαν, ι΄ κατὰ συναλοιφήν. Καὶ κατ' οὐσίαν μὲν ἕνωσίς ἐστιν ἐπὶ τῶν ὑποστάσεων, τουτέστι τῶν ἀτόμων· καθ' ὑπόστασιν δὲ ἐπὶ τῶν οὐσιῶν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος· κατὰ σχέσιν δὲ ἐπὶ τῶν γνωμῶν, ὡς εἰς ἓν θέλημα· κατὰ παράθεσιν δὲ ἐπὶ τῶν σανίδων· καθ' ἁρμονίαν δὲ ἐπὶ τῶν λίθων· κατὰ κρᾶσιν δὲ ἐπὶ τῶν ὑγρῶν, οἴνου καὶ ὕδατος· κατὰ φύρσιν δὲ ἐπὶ τῶν ξηρῶν καὶ ὑγρῶν, ἀλεύρου καὶ ὕδατος· κατὰ σύγχυσιν δὲ ἐπὶ τῶν τηκτῶν, κηροῦ καὶ πίσσης· κατὰ σωρείαν δὲ ἐπὶ τῶν ξηρῶν, σίτου καὶ κριθῆς· κατὰ συναλοιφὴν δὲ ἐπὶ τῶν προσερχομένων καὶ αὖθις ἀποκαθισταμένων, οἷον λαμπάδος πυρὶ προσερχομένης καὶ πάλιν ἀποκαθισταμένης.

§ 12 (14b).

Περὶ ὀνόματος.

848,15b ⟨*Stephani.*⟩ — Ὄνομά ἐστι μέρος λόγου πτωτικόν, σῶμα ἢ πρᾶγμα σημαῖνον.] Ἀκριβεστάτην περὶ τῶν προκατειλεγμένων διδασκαλίαν ὁ τεχνικὸς παραδούς, ἐπὶ τὸ κυριώτατον τῆς ἑαυτοῦ διδασκαλίας ἐπιτρέχει, καὶ τὴν ἀρχὴν τῶν τοῦ λόγου μερῶν ποιούμενος περὶ τοῦ ὀνόματος διαλαμβάνει. Ἔνθα καὶ ἀναγκαῖόν ἐστι πρότερον περὶ τοῦ ἰδίου καὶ φυσικοῦ μέρους ἑκάστου διαλαβεῖν, ἅμα δὲ καὶ ⟨περὶ⟩ τῆς τάξεως.

Τοῦ μὲν οὖν ὀνόματος ἴδιον τυγχάνει τὸ οὐσίαν σημαίνειν· ἔστι δὲ οὐσία αὐθύπαρκτόν τι καθ' ἑαυτό, μὴ δεόμενον ἑτέρου εἰς τὸ εἶναι· τῶν δὲ οὐσιῶν αἱ μέν εἰσιν αἰσθηταί, αἱ δὲ νοηταί. Τοῦ δὲ ῥήματος ἴδιον τὸ σημαίνειν πρᾶγμα· τὰ δὲ πράγματα διὰ τῶν ἀνθρώπων κατορθοῦται ἢ ὡς ἐνεργούντων ἢ ὡς πασχόντων. Τῆς δὲ μετοχῆς μετουσία· μετουσία δέ ἐστι κοινωνία δύο πραγμάτων· μεταξὺ δέ ἐστιν ἡ μετοχὴ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος, τουτέστι δύο τινῶν. Τοῦ δὲ ἄρθρου ἴδιον τὸ ἀναφορὰν σημαίνειν· ἀναφορὰ δέ ἐστιν ἀναπόλησις καὶ ὑπόμνησις

21—216, 13 hab. et. Σ[1] ‖ 27—216, 7 hab. et. Σ[m]

2 κἂν — ἐστι (3) VΣ[1], *om* C ‖ 3 ᾖ V, εἴη CΣ[1] ‖ 16 προσερχομένων] ἀποσπωμένων Cb ‖ 17 πυρὶ] πυρὸς Cb ‖ 20—217, 27 *videntur esse Stephani* ‖ 21 προκατειλεγμένων A, προκατειλημμένων CE ‖ 22 παραδοὺς Σ[1]b, παραδιδοὺς C | κυριώτατον Σ[1], καιριώτατον C[1] *et in marg.* γρ. ἐπὶ τὸ κυρωτ. C[2] | ἑαυτοῦ Σ[1], αὐτοῦ C ‖ 23 ἐπιτρέχει CΣ[1], ἐπιτρέχων b ‖ 25 ἑκάστου Σ[1]b, ἕκαστα C ‖ 26 οὖν Σ[1], *om* C ‖ 27 αὐθύπαρκτόν τι C, αὐθυπόστατόν τι VΣ[1] | καθ' ἑαυτὸ CV, *om* Σ[1] ‖ 28 δὲ (*ante* ῥ.) V, *om* CΣ[1] ‖ 29 τὰ δὲ πράγματα VΣ[1], *om* C, δ hb

προεγνωςμένου ἀπόντος προςώπου. Τῆς δὲ ἀντωνυμίας τὸ ὁρίζειν πρόςωπα καὶ ἀντὶ κυρίων ὀνομάτων παραλαμβάνεςθαι καὶ μόνων. Τῆς 844b δὲ προθέςεως τὸ προτίθεςθαι καὶ προτάττεςθαι ὀνομάτων τε καὶ ῥημάτων ἢ κατὰ παράθεςιν ἢ κατὰ ςύνθεςιν. Τοῦ δὲ ἐπιρρήματος τὸ ἐπικεῖςθαι τοῖς ῥήμαςι καὶ πρὸς αὐτὰ ποιεῖςθαι τὴν ςύνταξιν. Τοῦ δὲ ςυνδέςμου τὸ ςυνδεῖν καὶ ςυμπλέκειν τὴν φράςιν τοῦ λόγου καὶ κοςμεῖν. Καὶ ταῦτα μὲν τὰ ἴδια ἑκάςτου.

Περὶ δὲ τῆς τάξεως ἄξιον ζητῆςαι, τί δή ποτε τῶν ἁπάντων προέταξε τὸ ὄνομα, τοῦ ῥήματος προγενεςτέρου ὄντος τῇ φύςει· ἀεὶ γὰρ τὰ πράγματα τῶν οὐςιῶν προγενέςτερά εἰςιν. Καὶ τοῦ μὲν ῥήματος ὅτι δικαίως τὸ ὄνομα ⟨προ⟩τέτακται, ἀποχρήςει εἰς ἀπολογίαν, ὅτι εἰ καὶ προτέτακται τῇ φύςει τὸ ῥῆμα, ἀλλ' οὖν γε διὰ τῶν οὐςιῶν τὰ πράγματα φαίνεται. Τὸ δὲ ⟨ὄνομα⟩ καὶ ⟨τὸ ῥῆμα προτέτακται⟩ τῶν ἄλλων μερῶν εὐλόγως· κύρια γὰρ καὶ γνηςιώτατα μέρη τοῦ λόγου τὰ δύο ταῦτα, τό γε ὄνομα καὶ τὸ ῥῆμα· ταῦτα γὰρ ἀλλήλοις ςυμπλακέντα τέλειον λόγον καὶ ἀνελλιπῆ ἀπεργάζεται, οἷον «Cωκράτης περιπατεῖ», πάντα δὲ τὰ ἄλλα πρὸς τὴν τελείαν ςύνταξιν ἐπινενόηται· οὐδὲ γὰρ ἰδικοῖς ὀνόμαςι κέχρηνται, ἀλλ' ὡς ἀπὸ τῆς χρείας· μετοχὴ γὰρ διὰ τὸ μετέχειν τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος καὶ μεταξὺ εἶναι ὀνόματος καὶ ῥήματος, καὶ ἄρθρον διὰ τὸ ςυναρτᾶςθαι πτωτικοῖς, τουτέςτι ςυνδεςμεῖςθαι, ἀντωνυμία δὲ διὰ τὸ ἀντὶ ὀνόματος παραλαμβάνεςθαι, πρόθεςις δὲ διὰ τὸ προτίθεςθαι τῶν προειρημένων δύο μερῶν τοῦ λόγου, ὀνόματος καὶ ῥήματος, ἐπίρρημα δὲ διὰ τὸ ἐπὶ ῥήματα φέρεςθαι, ςύνδεςμος δὲ ἐπειδὴ ςυνδεςμεύει.

Εἴρηται δὲ ὄνομα παρὰ τὸ νέμω, τὸ μερίζω, τὸ διαμερίζον ἕκαςτον ἀπὸ τοῦ ἑτέρου· ἐν γὰρ τῷ ἄνθρωπος ὀνόματι πάντες κοινωνοῦμεν, ἐν δὲ τῷ Ὅμηρος ἢ Cωκράτης ἐπιμερίζεται εἰς γνῶςιν ἕκαςτος ἀπὸ τοῦ πληςίον.

Ὁριζόμενος δὲ τοῦτο ὁ τεχνικὸς λέγει αὐτὸ μέρος λόγου· ἀλλ' ἐπεὶ 845b ⟨κατὰ τοῦτο⟩ κοινωνεῖ ἑτέροις — οὐ μόνον γὰρ τοῦτο μέρος λόγου — διὰ τοῦτο προςέθηκεν ἐν τῷ ὅρῳ «πτωτικόν». Ἐπειδὴ δὲ καὶ κατὰ τοῦτο ἄλλοις τιςὶν ἐκοινώνει, λέγω δὴ μετοχῇ καὶ ἄρθρῳ καὶ ἀντωνυμίᾳ — τῶν γὰρ

16—24 hab. et. Σ^m ‖ 29—217, 21 hab. et. Σ^m

1 προεγνωςμένου Vb, προεγνωςμένη C, προςαγομένη A, προςαγομένου E | ἀπόντος CΣ^1, *om* V | τὸ V, *om* CΣ^1 ‖ 2 κυρίων μόνων ὀνομάτων *An. Ep. 331, 18* | καὶ μόνον C, μόνον V, *om* Σ^1 ‖ 3 τὸ VΣ^1, *om* C ‖ 4 ἢ κατὰ ςύνθ. VΣ^1, *om* C ‖ 8 Περὶ — ζητῆςαι *om* Σ^1 | τάξεως b, λέξεως C ‖ 9 προγεν. C, προτέρου Σ^1 | τῇ *om* Σ^1 ‖ 10 Καὶ — ὅτι (11)] φαμὲν οὖν ὅτι Σ^1 ‖ 11 προτέτακται b ‖ 13 φαίνεται] φαίνη Σ^1, *om* C | *post* φαίν. *add* Σ^1: ἢ ἐπειδὴ τὸ ὄνομα ἓν ςημαίνει, ἢ χρόνον ἢ πρᾶγμα, τὸ δὲ ῥῆμα καὶ χρόνον καὶ πρᾶγμα· τοιγαροῦν καὶ διὰ τοῦτο προτάττομεν, καθὸ τὸ μὲν ὄνομα μονάδος ἐςτί, τὸ δὲ ῥῆμα δυάδος ‖ 18 ἰδικοῖς CV, εἰδικοῖς b ‖ 19 μετέχειν — ἰδιότητος καὶ V, *om* C ‖ 22 προτίθ. V, προςτίθεςθαι C ‖ 26 κοινωνοῦμεν C, κοινωνούμεθα b ‖ 27 ὁμήρω C ‖ 31 ἄλλοις V, καὶ ἄλλοις C

μερῶν τοῦ λόγου τὰ μέν ἐστι πτωτικά, τὰ δὲ ἄπτωτα — διὰ τοῦτο τὸ ἰδιάζον καὶ μόνῳ τῷ ὀνόματι ὑπάρχον προσέθηκε, «σῶμα ἢ πρᾶγμα σημαῖνον», τουτέστιν οὐσίαν αἰσθητὴν ἢ νοητήν.

.Σῶμα μέν, οἷον λίθος, πρᾶγμα δέ, οἷον παιδεία.] Σῶμα μέν ἐστι κυρίως τὸ τριχῇ διαστατόν, μήκει βάθει πλάτει, ὅπερ ὑποπίπτει τῇ ἡμετέρᾳ αἰσθήσει· τὰ γὰρ σώματα ὁρῶμεν ἢ ψηλαφῶμεν ἢ ἀπογευόμεθα· πρᾶγμα δέ, ὃ μόνῃ διανοίᾳ καὶ θεωρητικῶς λαμβάνεται, ὡς καὶ αὐτὸς εἶπεν ὁ τεχνικός. Ὄνομα τοίνυν ἐστὶ λέξις ἐπὶ σώματι ἢ ἐπὶ πράγματι τεταγμένη.

Κοινῶς τε καὶ ἰδίως λεγόμενον, κοινῶς μέν, οἷον ἄνθρωπος ἵππος, ἰδίως δέ, οἷον Σωκράτης Πλάτων.] Τὰ ὀνόματα προφερόμεθα τετραχῇ, κοινῶς κοινότατα ἰδίως ἰδιαίτατα· κοινῶς μέν, ὡς ὅταν εἴπωμεν ὄνομα, οὗ δύναται ἄρρεν καὶ θῆλυ μεταλαβεῖν, ὡς τὸ σώφρων καὶ φιλόσοφος· λέγομεν γὰρ καὶ ἐπὶ ἀνδρὸς καὶ ἐπὶ γυναικὸς τοῦτο· κοινότατα δέ, ὡς ὅταν δι' ἑνὸς ὀνόματος πολύ τι καὶ ἀπέραντον πλῆθος παραλαμβάνωμεν, οἷον ἄνθρωπος λέων· ἐν γὰρ τῷ εἰπεῖν ἄνθρωπος αὐτὴν τὴν ἀνθρωπότητα σημαίνω, ἧς πάντες μετειλήφασιν, καὶ λέων πᾶν τὸ εἶδος τοῦ ζῴου, τὸ περιλαμβάνον πάντα λέοντα ἐν παντὶ τόπῳ εὑρισκόμενον· ἰδίως δὲ τὸ χωρίζον ἐκ τῆς κοινότητος ἕνα τινά, ὡς Ὅμηρος Πλάτων· ἰδιαίτατα δέ, ὡς τὰ ὁμώνυμα τῶν ὀνομάτων.

Παρέπεται δὲ τῷ ὀνόματι πέντε, γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις.] Παρεπόμενον δέ ἐστι συμβεβηκός, ὃ συμβέβηκεν ἀχώριστον ἢ χωριστόν, ἀχώριστον μέν, ὡς Αἰθίοπι τὸ μέλαν, χωριστὸν δέ,
846b ὡς ἐμοὶ τὸ καθέζεσθαι· τοῦτο δὲ οὐχ ἑνός ἐστι μόνου [παρεπόμενον], οἷον τὸ μέλαν Αἰθίοπι κόρακι πίσσῃ ⟨παρέπεται⟩· οὕτω καὶ γένος καὶ εἶδος καὶ τὰ λοιπὰ οὐ μόνου τοῦ ὀνόματος.

Εἰς τὸ αὐτό. — Πορφυρίου. — Παρεπόμενόν ἐστιν ὃ οὐκ ἀπὸ

11—218, 7 hab. et. Σ[1]

3 αἰσθητὴν Vb, αἰσθητικὴν C ‖ 4 παιδία C ‖ 6 *post* αἰσθήσει *add* V: ἤγουν κατὰ ὅρασίν τε καὶ ἀφὴν ἢ γεῦσιν ὑποπίπτον | γὰρ Vb, δὲ C ‖ 7 πρᾶγμα — Πλάτων (11)] πρᾶγμα δέ, ὃ μηδενὶ τούτων ἕπεται, μόνῳ δὲ τῷ νῷ καὶ τῇ διανοίᾳ νοεῖται καὶ θεωρητῶς λαμβάνεται, ὡς λόγος θεός εὐσέβεια καὶ τὰ λοιπά. «Σῶμα μέν, οἷον λίθος». Ἀπαλλάττων ἡμᾶς ὁ τεχνικὸς φαύλης ἐννοίας, δι' ἧς νομίζομεν, μόνην τὴν ἡμετέραν οὐσίαν σῶμα λέγεσθαι, δι' ἄλλου τινὸς τὸ ὑπόδειγμα παρήγαγεν, εἰπὼν «λίθος». «Κοινῶς μέν, οἷον ἄνθρωπος ἵππος» καὶ τἆλλα V ‖ 9 τεταγμένη b, τεταμένη C ‖ 12 τετραχῇ VΣ[1], τετραχῶς C | κοινότητα C ‖ 14 λέγομεν — τοῦτο (15) *om* Σ[1] | *poster*. ἐπὶ *add* V ‖ 15 τοῦτο *add* V | κοινότατα — πλῆθος (16) VΣ[1], *om* C | τι καὶ ἀπέραντον *om* Σ[1] ‖ 16 ἐν — εὑρισκόμενον (19) *om* Σ[1] ‖ 17 ἄνθρωπος V, *om* C | σημαίνειν C, σημαίνει Vb ‖ 20 ὁμώνυμα VΣ[1] *et An. Ep. 298, 16,* ὀνόματα Cb ‖ 21 *post* ὀνομάτων *add* V: καὶ ταῦτα μὲν ἡμῖν ἐξακριβοῦν πειραθεῖσιν εἴρηται ‖ 24 μέν *add* V ‖ 26 κόραπι C ‖ 28 Εἰς τὸ αὐτό C, ὁ ὑπομνηματιστὴς οὕτω φησί V, *om* Σ[1] | Πορφ. *in marg. add* C, *om* VΣ[1]

ϲκοποῦ γίνεται οὐδὲ κατὰ πρόνοιαν τοῦ ποιοῦντος, ἀλλ' ἔκ τινος παρεπομένου, ὡς τοῖς ξέουσι τὰ ξύλα συμβαίνει ἑλικοειδεῖς ἐπαναστάσεις γίνεσθαι, οὐχὶ ταῦτα τοῦ τέκτονος ἐπιτηδεύοντος· οὕτως οὖν καὶ ἐπὶ τοῦ ὀνόματος· οὐ διὰ τοῦτο ὄνομα γεγένηται, ἵνα ταῦτα αὐτῷ παρέπηται — ἓν γὰρ καὶ μόνον ἴδιον τοῦ ὀνόματος, τὸ ϲῶμα ἢ πρᾶγμα ϲημαίνειν — ἅμα δὲ τῷ γενέσθαι αὐτὸ προϲηρμόσθηϲαν αὐτῷ γένη, εἴδη καὶ τὰ λοιπά.

⟨*Stephani.*⟩ — **Γένη μὲν οὖν ἐστι τρία, ἀρσενικόν, θηλυκόν, οὐδέτερον.**] Τινὲς δύο μόνα γένη λέγουσιν· παρὰ γὰρ τὸ θῆλυ καὶ τὸ ἄρρεν οὐκ ἔστιν ἕτερον γένος· τῶν γὰρ ὄντων τὰ μὲν ἄρρενά ἐστι, τὰ δὲ θήλεα· τὰ δὲ μήτε ἄρρενα μήτε θήλεα οὐδέτερα καλεῖται, ἐκ τῆς τῶν προειρημένων ἀναιρέσεως ἰδίου ὀνόματος τιθεμένου τούτοις. Δεῖ γὰρ εἰδέναι, ὅτι τὴν διάκρισιν τῶν γενῶν ἡ γραμματικὴ οὐ κατὰ τὴν ἀλήθειαν ποιεῖ, ἀλλὰ κατὰ τὴν σύνταξιν τῶν ἄρθρων καὶ τὴν εὐφωνίαν· ἐπεὶ πόλις καθ' ἑαυτὸ οὔτε ἄρρεν ἐστὶν οὔτε θῆλυ, δίχα γὰρ τῶν οἰκούντων, τουτέστι θήλεος καὶ ἄρρενος, οὐκ ἂν ἦν οὔτε θῆλυ οὔτε ἄρρεν.

Ἔνιοι δὲ προστιθέασι τούτοις ἄλλα δύο, κοινόν τε καὶ ἐπίκοινον.] Κοινὸν μέν ἐστιν ὃ τὰς μὲν πτώσεις ἔχει τὰς αὐτάς, ὑποτάσσεται δὲ ἄρθροις διαφόροις, ἵππος βοῦς λίθος καὶ τὰ ὅμοια· λέγομεν οὖν ὁ ἵππος καὶ ἡ ἵππος, ὁ βοῦς καὶ ἡ βοῦς, ὁ λίθος καὶ ἡ λίθος, καὶ ἐν ἁπάσαις ταῖς πτώσεσιν ὁμοφωνοῦσι, μόνων τῶν ἄρθρων ἀλλασσομένων. Ἐπίκοινον δέ ἐστιν ὃ διὰ μιᾶς λέξεως τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν σημαίνει, τῷ ἑτέρῳ τῶν ἄρθρων προκατειλημμένον, ἤτοι ἀρσενικῷ ἢ θηλυκῷ. Ὁ τεχνικὸς δέ, ὅταν μὴ ἀρέσκηταί τινι ὑφ' ἑτέρων εἰρημένῳ, ἵνα μὴ δοκοίη κατὰ ἄγνοιαν παραλιμπάνειν, παρεμφαίνει διά τινος 847b
λέξεως ὅτι οὐκ ἀρέσκεται τῇ δόξῃ.

Στεφάνου. — Κοινὸν μέν ἐστι τὸ ὑποκείμενον ἀρσενικῷ τε καὶ θηλυκῷ ἄρθρῳ καὶ ἀμφοτέροις ἀνῆκον τοῖς χαρακτῆρσι τῶν γενῶν, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ ἵππος καὶ ἡ ἵππος, ὡς πατρῴαν οὐσίαν κοινὴν ἀδελφῶν φαμεν. Ἐπίκοινον δέ ἐστι τὸ μὴ τοῖς δύο ἄρθροις ἀλλ' ἑνὶ

18—26 simillima hab. et. Σ¹ ‖ 27—219, 7 hab. et. Σᵐ

5 ἓν — σημαίνειν *om* **Σ**¹ | ἴδιον *et* τὸ *add* V ‖ **6** ἅμα δὲ Vb, ἅμα C, ἀλλ' ἵνα **Σ**¹ | αὐτὸ *add* V | γένη — λοιπά (7) V, οὐ γὰρ ὁ τιθεὶς τὸ ὄνομα πρὸς διαφορὰν τίθησιν, ἀλλὰ τοῦ σημαινομένου χάριν **Σ**¹, *om* C ‖ **8—16** *videntur esse Stephani* ‖ **11** καλεῖται b, καλεῖ C ‖ **14** ἄρθρων b, ἀριθμῶν C | εὐφωνίαν C, συμφωνίαν *Lobeck Proll. p. 24* ‖ **15** ἑαυτὸν C, ἑαυτὴν b ‖ **21** ὁμοφωνεῖ C ‖ **22** λέξεως C**Σ**¹, λήξεως b ‖ **23** προκατειλημμένον b, προκατειλημμένω C ‖ **24** ἢ b, ἤτοι C**Σ**¹ | εἰρημένῳ b, εἰρημένων C**Σ**¹ ‖ **25** διά τινος C**Σ**¹, διὰ τῆς τινές b ‖ **27** Στεφ. *in marg. add* C, *om* V | μέν *add* V | τε *add* V ‖ **28** τῶν γενῶν C, γενῶν V, *om* b | οἷον — ἡ ἵππος (**29**) *add* V ‖ **30** δύο *add* Vb

ὑποκείμενον, κατὰ δὲ τὸ σημαινόμενον ἀνῆκον ἀμφοτέροις τοῖς γένεσι· τὸ μὲν γὰρ κοινὸν ἄρθρῳ καὶ δηλουμένῳ ὑπόκειται τοῖς γένεσι, τὸ δὲ ἐπίκοινον σημαινομένῳ μέν, οὐκ ἄρθρῳ δέ, ὡς ἐπὶ χωρίου τὸν μὲν ἀπολαύοντα ἐξ ἴσου κοινωνεῖν φαμεν, ἐπικοινωνεῖν δὲ τὸν μέρους τινὸς ἀπολαύοντα, οὐχὶ παντός. Τότε δὲ τὸ ἐπίκοινον ἐν ἑνὶ ἄρθρῳ τὰ δύο ἔχει γένη, ὅταν ὁ χαρακτὴρ ἑνὸς ᾖ γένους ἐπιδεκτικός, οἷον ἡ περιστερά, ἡ χελιδών, ὁ ἀετός, ὁ κόραξ, ἡ κορώνη.

Πορφυρίου. — Διαφέρει τὸ κοινὸν τοῦ ἐπικοίνου, ὅτι τὸ μὲν κοινὸν καὶ ἑκατέροις τοῖς ἄρθροις χρῆται καὶ ⟨ἑκατέροις⟩ τοῖς σημαινομένοις, τὸ δὲ ἐπίκοινον ἑκατέροις μὲν τοῖς σημαινομένοις χρῆται, ἑνὶ δὲ ἄρθρῳ. Ὠνομάσθη δὲ τὸ μὲν κοινόν, ὅτι κοινόν ἐστιν ἀρσενικοῦ καὶ θηλυκοῦ, τὸ δὲ ἐπίκοινον διὰ τοῦτο, ὅτι ἐπικοινωνίαν ἔχει δι᾽ ἑνὸς ἄρθρου πρὸς ἕτερον σημαινόμενον· ὃν τρόπον ἐπικοινωνεῖν ἐν τῷ βίῳ φαμὲν τὸν καθ᾽ ἥμισυ μὲν μέρος κοινωνοῦντα πράγματι, ⟨οὐ⟩ κοινωνοῦντα δὲ κατὰ τὸ ἕτερον.

Εἴδη δὲ δύο, πρωτότυπον καὶ παράγωγον· πρωτότυπον μὲν οὖν ἐστι τὸ κατὰ τὴν πρώτην θέσιν λεχθέν, οἷον γῆ, παράγωγον δὲ τὸ ἀφ᾽ ἑτέρου τὴν γένεσιν ἐσχηκός, οἷον γαιήϊος.] Τὸ πρωτότυπον διχῶς νοεῖται, οὗ τῆς γενέσεως οὐδὲν κατῆρξεν, ὡς τὸ πᾶς, καὶ ὃ παρῆκται μὲν ἀπό τινος, ἑτέρῳ δὲ γίνεται ἀρχή, ὡς Θησεύς — ἔστι γὰρ ἀπὸ τοῦ θήσω, ποιεῖ δὲ τὸ Θησείδης — καὶ ὃ παρέθετο ὁ τεχνικὸς γῆ, ποιοῦν τὸ γαιήϊος, γίνεται δὲ ἀπὸ τοῦ γῶ ῥήματος, ὅ ἐστι χωρῶ.

⟨*Stephani.*⟩ — Εἰς τὸ αὐτό. — Πρωτότυπόν ἐστιν ὃ τὴν πρώτην
848b θέσιν ἐπαγγέλλεται· τύπος γάρ ἐστιν ὁ χαρακτὴρ ἑκάστης φωνῆς· παράγωγον δὲ ὃ ἐξ ἑτέρου τὴν γένεσιν ἔσχε. Δύναται δὲ τὸ αὐτὸ καὶ πρωτότυπον εἶναι καὶ παράγωγον· ἔστι γὰρ τὸ γέα διὰ τοῦ ε̅ γραφόμενον, ὅθεν καὶ γεωμέτρης καὶ γεωργός διὰ τοῦ ε̅· τοῦτο συναιρεῖται καὶ γίνεται [καὶ ἀπὸ τοῦ γέα] γῆ, καὶ ἀπὸ τούτου γίνεται [τοῦ συναιρεθέντος] τὸ διὰ τῆς α̅ι̅ διφθόγγου γραφόμενον γαῖα.

8—15 hab. et. Σ^1 ‖ 19—30 hab. et. Σ^m, similia Σ^1

1 ἀμφοτέροις V, ἄμφω C ‖ 2 τὸ μὲν — γένεσι *add* V ‖ 6 ᾖ γέν. ἐπιδ. V, γένους ἐστὶ δεκτικὸς C ‖ 7 ἡ χελ. *add* V | ὁ κόρ. ἡ κορ. *om* V ‖ 8 Πορφ. *in marg.* C, *om* Σ^1 ‖ 9 *poster.* ἑκατ. *om* CΣ^1, *lac. ind.* b ‖ 10 μὲν *add* Σ^1 ‖ 11 δὲ ὅτι τὸ C ‖ 12 διὰ τοῦτο *om* Σ^1 ‖ 14 κοινωνοῦντα πρ. Σ^1b, κοινωνοῦντι πρ. C | οὐ *add* b, *om* CΣ^1 ‖ 20 πᾶς VΣ^1, πᾶν C | ἑτέρῳ (*seu* -ρω) CVΣ^1, ἑτέρων b ‖ 21 καὶ — χωρῶ (23) *om* Σ^1 ‖ 22 ποιοῦν Vb, ποιοῦντος C | γαιήϊος V, γήϊος Cb | ὅ ἐστι χωρῶ *om* V ‖ 24—220, 16 *videntur esse Stephani* ‖ 24 Εἰς τὸ αὐτό *om* VΣ^1 ‖ 26 ἔσχεν, ὡς καὶ αὐτὸς ὁ τεχνικός φησι γαιήϊος, οὐχ ὑγιῶς· δύναται V ‖ 27 *post* παράγ. *add* V: ὅταν ὑφ᾽ ἑτέρου μὲν ᾖ γενόμενον, δύναται δὲ ἄλλο ποιῆσαι | τὸ V, τι C, *om* Σ^1 ‖ 29 καὶ ἀ. τ. γέα C, *om* VΣ^1 | τοῦ συν. C, *om* VΣ^1 ‖ 30 τὸ VΣ^1b, *om* C | γραφόμενον V, γραφομένου C, *om* Σ^1 | *post* γαῖα *add* V: οὐχ ἕπεται δὲ τῷ τεχνικῷ εἰρηκότι

Εἴδη δὲ παραγώγων εἰcὶν ἑπτά, πατρωνυμικόν, κτητικόν, cυγκριτικόν, ὑπερθετικόν, ὑποκοριcτικόν, παρώνυμον, ῥηματικόν.] Ἐνταῦθα ζήτημα ἀναφύεται, εἰ δυνατὸν εἴδη εἰδῶν εἶναι, καὶ διὰ τί τῶν μὲν πρωτοτύπων τὰ εἴδη ἀπεcιώπηcε, τῶν δὲ παραγώγων ἐκτίθεται. Καὶ λέγομεν ὅτι δυνατὸν εἴδη εἰδῶν λέγεcθαι, ὥcπερ τοῦ ζῴου ὄντοc ὑπὸ τὸ γένοc τῆc οὐcίαc, ἔχει καὶ αὐτὸ ἕτερα εἴδη. Τῶν δὲ πρωτοτύπων ἀπεcιώπηcε τὰ εἴδη, ἐπείπερ πολλὰ ἦν· τὰ γὰρ πρωτότυπα αὐτόθετά ἐcτι καὶ ἄπειρα, καθ᾽ ἑκάcτην γὰρ φωνὴν ἰδιάζων ἦν ὁ χαρακτήρ, τὰ δὲ ἄπειρα καὶ ἄτακτα καὶ ἀcαφῆ· ὅθεν εἰκότωc ἐκεῖνα μὲν παρεπέμψατο ὁ τεχνικόc, οὐ γὰρ ἦν ἀπείρων καὶ ἀcαφεcτάτων διδαcκαλίαν παραδοῦναι, ἐπὶ δὲ τὰ παράγωγα χωρεῖ· εὐαρίθμητα γὰρ καὶ εὐπερίληπτα εἰc διδαcκαλίαν εἰcί· μέχρι γὰρ ἑπτὰ τὸν ἀριθμὸν αὐτῶν εἶναι λέγει.

Τὸ πατήρ πολλὰ cημαίνει· οὐ μόνουc γὰρ τοὺc φύcανταc καὶ τοὺc προγόνουc, ἀλλὰ καὶ τοὺc πολιούχουc καὶ ⟨τοὺc⟩ τῶν πόλεων κτίcταc καὶ τοὺc νομοθέταc δὲ πατέραc λέγομεν εἶναι.

Πατρωνυμικὸν μὲν οὖν ἐcτι φύcει τὸ κυρίωc ἀπὸ πατρὸc cχηματιζόμενον καὶ δηλοῦν μετὰ τοῦ πρωτοτύπου ὀνόματοc καὶ τὸν παῖδα, οἷον Πηλείδηc ὁ τοῦ Πηλέωc παῖc· καταχρηcτικῶc μέν⟨τοι καὶ⟩ ἐκ προγόνων cχηματίζεται, οἷον Αἰακίδηc (ὁ Ἀχιλλεὺc) ὁ Αἰακοῦ ἀπόγονοc, καὶ Δαρδανίδηc (ὁ Πρίαμοc) ὁ Δαρδάνου ἀπόγονοc.

⟨*Stephani.*⟩ — Πατρωνυμικόν ἐcτιν ὃ γεγονὸc ἀπὸ κυρίου εἰc τὴν 849b
γενικὴν τοῦ πρωτοτύπου ἀναλύεται μετὰ τοῦ υἱόc ἢ ἔγγονοc. Προέταξε δὲ τὸ πατρωνυμικόν, ὅτι πάντωc ἀπὸ κυρίων γίνεται· διὰ τοῦτο ἁμαρτάνει ὁ Τρύφων τὸ Τελαμωνιάδηc ἀπὸ τοῦ Τελαμώνιοc λέγων· ἐπλάνηcε δὲ αὐτὸν ἴcωc τὸ Λαερτιάδηc παρὰ τὸ Λαέρτιοc γεγονόc, ὅπερ ἐcτὶ κυρίου δύναμιν ἔχον παρὰ τοῖc τραγικοῖc. Χρειώδηc δὲ τοῦ τύπου τούτου ἐcτὶν ἡ cυντομία· ἀντὶ γὰρ τοῦ εἰπεῖν Πηλέωc υἱόc, Αἰακοῦ υἱὸc ἢ ἔγγονοc, φημὶ Πηλείδηc Αἰακίδηc· ὅθεν οὐδὲ προcτίθεται τὸ υἱόc ἤ τι τοιοῦτον· τὸ γὰρ ⟨Λ 490⟩ Πριαμίδην νόθον υἱόν ποιητικῶc

3—13 hab. et. Σ^m ‖ 14—16 hab. et. $\Sigma^m \Sigma^l$ ‖ 27—30 hab. et. Σ^m

αὐτὸ πρωτότυπον. παράγωγον δὲ τὸ ἀπὸ πρωτοτύπου παραγόμενον. παράγωγον ἐκεῖνο τὸ γενόμενον ἐξ ἑτέρου, οἷον Ἕκτωρ

3 *ante* εἰ *add* ἁπλοῦν V ‖ **5** ὥcπερ V, ὡc γὰρ C ‖ **6** τὸ γένοc] τὸ εἶδοc V, τοῦ εἴδο////c C | καὶ *om* V ‖ **8** αὐτόθετά ἐcτι C, αὐτόθι ἐcτὶ V | καὶ ἄπειρα — ἦν V, καὶ ἦν καθ᾽ ἑκ. φωνὴν ἰδ. C ‖ **10** οὐ γὰρ — παραδοῦναι (**11**) V, *om* C ‖ **12** αὐτῶν — λέγει (**13**) *om* V ‖ **14** πατήρ N, πατρὸc CVΣ^l, πατέρεc b ‖ **15** τοὺc (*ante* τῶν) *add* b, *om* CVΣ^l ‖ **18** πρωτοτύπου b, πατρωνυμικοῦ C ‖ **19** παῖc C, υἱόc b | τοι καὶ *add* b | ἐκ C, ἀπὸ b ‖ **22—224, 13** *videntur esse Stephani* ‖ **24** κυρίων C, κυρίου b ‖ **28** υἱὸc V, υἱὸν C | Αἰακοῦ — ἔγγονοc (**29**)] διὸc ἔγγονον (ἔκγονοc V) ἢ αἰακοῦ CV ‖ **29** προτίθεται C

πλεονάζει, ἢ διὰ τὸ νόθον ⟨τὸ υἱόν⟩ προcέρριπται· ⟨τοῖc⟩ μέντοι κτητικοῖc πάντωc ἐπάγεταί ⟨τι⟩, πολλὰ γὰρ τὰ κτήματα.

Τύποι δὲ τῶν πατρωνυμικῶν ἀρcενικῶν μὲν τρεῖc, ὁ εἰc δηc, ὁ εἰc ων, ὁ εἰc αδιοc, οἷον Ἀτρείδηc Ἀτρείων [Ἀτρειάδιοc], καὶ ὁ τῶν Αἰολέων ἴδιοc τύποc Ὑρράδιοc· Ὕρρα γὰρ παῖc ὁ Πιττακόc.] Ὁ εἰc ων παρ' Ἴωcιν, ὁ δὲ εἰc αδιοc παρ' Αἰολεῦcιν, οἷον Τινάδιοc ὁ ⟨τοῦ⟩ Τίνα παῖc καὶ Ὑρράδιοc ὁ τοῦ Ὕρρα παῖc.

Οὐκ ἀρκεῖ δὲ πρὸc διάγνωcιν πατρωνυμικῶν ὁ τύποc μόνοc· χρεία γὰρ καὶ παραληγούcηc. Ἔχει οὖν παραλήξειc τέccαραc· ἢ γὰρ τῷ ῑ παραλήγεται, ἢ τῇ οῑ διφθόγγῳ, ἢ τῇ εῑ, ἢ τῷ ᾱ, οἷον Κρονίδηc Πανθοίδηc Πηλείδηc Τελαμωνιάδηc· ἰcτέον δὲ ὅτι τὸ ῑ καὶ τὸ ᾱ μόνα ἐcτὶ τὰ παραλήγοντα τούτων κυρίωc, αἱ γὰρ δίφθογγοι πάλιν διὰ τοῦ ῑ ἐκφέρονται. Ὅcα μὲν οὖν ἢ ἐνδεῖ ἢ ⟨δύο cυλλαβαῖc⟩ πλεονάζει τῆc τοῦ πρωτοτύπου γενικῆc, ταῦτα λέγομεν πεπονθότα· εὐθὺc οὖν ⟨ἀπὸ τοῦ Τελαμών⟩ Τελαμῶνοc τὸ ἀνάλογον ἦν Τελαμωνίδηc, εἰ δὲ ἐπλεόναcε τὸ ᾱ, ⟨οἷον Τελαμωνιάδηc,⟩ πέπονθεν· καὶ πάλιν ⟨ἀπὸ τοῦ⟩ Δευκαλίων Δευκαλίωνοc τὸ ἀνάλογον ἦν Δευκαλιωνίδηc, εἰ δὲ εὑρίcκομεν Δευκαλίδηc, δῆλον ὅτι πέπονθεν.

851,33b 852b Εἰ δὲ παρὰ τὸ πατρόc πατρωνυμικὰ λέγεται, δῆλον ὅτι καὶ παρὰ τὸ μητρόc μητρωνυμικά· ἀλλὰ τὸ τοῦ ἄρρενοc ⟨προ⟩τετίμηται, καὶ πατρωνυμικὸν λέγεται, κἄν τε ἀπὸ πατρὸc ᾖ κἄν τε ἀπὸ μητρόc· ὃν γὰρ τρόπον ἀνδριάντα φαμέν, κἂν γυναικὸc ᾖ, τοῦτον τὸν τρόπον καὶ πατρωνυμικόν, κἂν ἀπὸ μητρὸc ᾖ.

849,32b 850b Πᾶcα γενικὴ εἰc οc ἢ εἰc ουc εἰc ιδηc ποιεῖ τὸ πατρωνυμικόν, ἀμοιβῇ τοῦ τέλουc, οἷον Μεμνονίδηc Πελοπίδηc Αἰαντίδηc — τὸ γὰρ Αἰαντιάδηc πλεονάζει — Δημοcθένουc Δημοcθενίδηc, Ἡρακλέουc Ἡρακλεῖδηc καὶ Ἡρακλείδηc· τὰ εἰc οc εἰc ου καθαρὰ καὶ τὰ εἰc αc εἰc ου κλινόμενα διὰ τοῦ αδηc ποιεῖ τὸ πατρωνυμικόν, Ἥλιοc Ἡλιάδηc, Δεξιόc Δεξιάδηc, Βορέαc Βορεάδηc, καὶ τὰ ⟨εἰc ηc⟩ εἰc ου κλινόμενα, Ἱππότηc Ἱπποτάδηc, Δότηc Δοτάδηc· καὶ τὰ εἰc οc ⟨εἰc ου κλινόμενα⟩ μὴ καθαρὰ ⟨διὰ τοῦ ιδηc ποιεῖ τὸ πατρωνυμικόν⟩, Ὅμηροc Ὁμηρίδηc, Πριαμίδηc Τανταλίδηc. Πᾶν πατρωνυμικὸν εἰc δηc τοῦ πρωτοτύπου τῆc γενικῆc μιᾷ περιττεύει cυλλαβῇ, Τανταλίδηc Πελοπίδηc· ἐὰν δὲ ἰcοcυλλαβῇ, δίφθογγον ἔχει καὶ κατὰ cυναίρεcιν γέγονεν, οἷον Πηλείδηc Μινῴδηc Ἡρῴδηc. Τὰ δὲ εἰc δηc ἀμοιβῇ τοῦ τέλουc ποιεῖ τὰ πατρωνυμικὰ εἰc ων, Κρονίδηc Κρονίων, Πηλείδηc Πηλείων· τὸ δὲ Ὑπεριονίδηc Ὑπεριονίων, τὸ ἄρα Ὑπερίων οὐ πατρωνυμικόν· οὗτοc δὲ ⟨ὁ⟩ εἰc ων τύποc Ἰωνικόc. Τὰ δὲ διὰ τοῦ αδιοc Αἰολικά, χρειώδηc δὲ Αἰολεῦcιν

---

1 τὸ νόθον, τοῦ νόθου C, τὸ νόθοc *coni.* ***An. Ep. 312, 21*** | τοῖc ***add*** b || 10 τῇ εῑ b, τῷ ῑ C || 12 τοῦ ῑ] τούτων Cb || 15 Τελάμων ***add*** b | Τελάμωνοc Cb || 24 ιδηc] δηc C || 26 αἰαντίδηc πλ. C || 29 κλινόμενα] καθαρὰ Cb || 37 οὗτοc δὲ ὁ b, οὕτωc δὲ C || 38 αδιοc b, ἄδηc C

ὁ τύπος καὶ πρὸς χρόνον καὶ πρὸς τόνον· τὰ γὰρ διὰ τοῦ $\overline{\text{αδιος}}$ πρὸς τῷ συστέλλεσθαι καὶ ⟨προ⟩παροξύνεται.

Θηλυκῶν δὲ τύποι εἰσὶ τρεῖς, ὁ εἰς $\overline{\text{ις}}$, οἷον Πριαμίς, ὁ εἰς $\overline{\text{ας}}$, οἷον Πελιάς, ὁ εἰς $\overline{\text{νη}}$, οἷον Ἀδρηστίνη.] Τὰ εἰς $\overline{\text{δης}}$ ἀποβάλλοντα [326,33 c] τὸ $\overline{\text{δη}}$ ποιεῖ θηλυκόν, Ταντελίδης Ταντελίς, Πελιάδης Πελιάς, Αἰνειάδης Αἰνειάς· καὶ ἔδει ἐπιγράφειν Αἰνειάδος, οὐκ Αἰνεΐδος· καὶ τὸ μὲν Χρυσηΐς καὶ Νηρηΐς ἀπὸ τοῦ Χρύσης ⟨καὶ⟩ Νηρεύς, Βασιλεύς Βασιληΐς καὶ ἐνδείᾳ τοῦ $\overline{\text{η}}$ Βασιλίς· τὸ δὲ Εὐξαντιάς ἀπὸ τοῦ Εὐξάντιος, τὸ δὲ Εὐξαντίδος παρὰ Καλλιμάχῳ (fragm. 504 Sch) ὕφεσιν ἔχει τοῦ $\overline{\text{α}}$· τὸ [327 c] ⟨δὲ⟩ Ἑλικωνιάς πλεονάζει. Οὕτως ἀπὸ τῶν εἰς $\overline{\text{δης}}$ ἀρσενικῶν σχηματίζουσι τὰ θηλυκὰ πατρωνυμικὰ οἱ περὶ τὸν Ἀπολλώνιον. Ἡρωδιανῷ δὲ τοῦτο οὐ δοκεῖ, φάσκοντι μὴ δύνασθαι τοιοῦτον παρασχηματισμὸν εἶναι διὰ τὴν κατάληξιν, διὰ τὸν χρόνον, διὰ τὴν γένεσιν· τὰ γὰρ παρεσχηματισμένα ἀρσενικοῖς ἀπὸ τῆς γενικῆς κανονίζεται, ἐκ μὲν ⟨γὰρ⟩ μακροκαταλήκτου γίνεται μακροκατάληκτον, οἷον φίλου φίλη, ἐκ δὲ βραχυκαταλήκτου ὁμοίως ⟨βραχυκατάληκτον⟩, οἷον μέλανος μέλαινα· [351 b] εἰ οὖν ⟨ἐκ τοῦ⟩ Πριαμίδου, πῶς μὴ εἰς $\overline{\text{η}}$ τὸ θηλυκόν; οὐ γὰρ καθαρὸν ἢ τὸ $\overline{\text{ρ}}$ ἔχει, ὡς τὸ Ῥοδία φοβερά· πῶς καὶ εἰς $\overline{\text{ις}}$ καὶ βραχύ; πῶς δὲ καὶ τὸ νοητὸν ἕξει; Πριαμίς γὰρ οὐχ ἡ τοῦ Πριαμίδου, ἀλλ' ἡ τοῦ Πριάμου. Οὐκοῦν ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου καὶ τὸ Πριαμίδης καὶ τὸ Πριαμίς ⟨καὶ τὸ Θησείδης⟩ καὶ τὸ Θησηΐς (ἡ Θησέως θυγάτηρ).

Ἰστέον δὲ ὅτι ἀπὸ οὐδετέρων οὐ γίνονται πατρωνυμικά, ἐπειδὴ τὰ πατρωνυμικὰ ἀπὸ κυρίων παράγονται, οἷον Ἀτρεύς Ἀτρείδης, Λητώ Λητοΐδης, κύρια δὲ οὐδέτερα ἐπὶ ἐμψύχων οὐκ εἰσίν· πρόσκειται δὲ «ἐπὶ ἐμψύχων» διὰ τὰ ἐπὶ πόλεων, οἷον τὸ Ἴλιον, τὸ Δάρδανον.

Διὰ τί δὲ τὰ πατρωνυμικὰ ἀπὸ κυρίων παράγονται μόνων καὶ οὐχὶ καὶ ἀπὸ προσηγορικῶν; Καί φαμεν, ἐπειδὴ τὰ προσηγορικὰ κοινὴν οὐσίαν σημαίνουσι καὶ κατὰ πολλῶν τίθενται, οἷον τὸ ἄνθρωπος προσηγορικὸν ὂν ἁρμόζει καὶ Πλάτωνι καὶ Ἀλκιβιάδῃ καὶ Σωκράτει· εἰ ἐγένοντο οὖν ἀπὸ προσηγορικῶν πατρωνυμικά, ἤμελλον κατὰ πολλῶν λαμβάνεσθαι, ὅπερ ἀδύνατον· οἷον εἰ ἐγένετο ἀπὸ τοῦ ἄνθρωπος ἀνθρω-

---

4—223, 2 hab. et. Σ[1] ‖ 26—223, 7 hab. et. Σ[m]

2 τῷ b, τὸ C | προπαροξύνεται b, παροξύνεσθαι C ‖ **5** τὴν $\overline{\text{δη}}$ A, τὴν $\overline{\text{δης}}$ CE | πηληϊάδης πηληάς (*sic*) C, *om* Σ[1] ‖ **6** καὶ ἔδει — Βασιλίς (**8**)] βασιληΐδης βασιληΐς Σ[1] | ἐπιγράφειν *Lobeck Proll. 477 adn. 68 (cfr Prisc. II 67, 19 H)*, ὑπογράφειν C | οὐκ Αἰνηΐδος *Lobeck* ‖ **7** τοῦ χρυσεύς C ‖ **10** Οὕτως — φάσκοντι (**12**)] οὕτως μὲν Ἀπολλώνιος· ὁ δὲ Ἡρωδιανὸς φησὶ Σ[1] ‖ **15** γίν. μακροκατάληκτα C, *om* Σ[1] ‖ **16** ὁμοίως *om* Σ[1] | βραχυκ. *om* CΣ[1] | οἷον *add* Σ[1] ‖ **18** ῥοδία Σ[1], ῥωδιά C ‖ **19** τοῦ Πρ. ἀλλ' ἡ Σ[1], *om* C ‖ **20** τῆς E, *om* CA ‖ **21** καὶ τὸ Θ. ἡ Θ. θυγάτηρ *om* Σ[1] ‖ **22** *post* γίνον. *add* τὰ C | ἐπειδὴ — παράγονται (**23**) *add* Σ[1] ‖ **23** οἷον — Λητοΐδης (**24**) *om* Σ[1] | ἀτρειΐδης C ‖ **24** λητωΐδης C ‖ **25** *ante utrumque* τὸ *add* διὰ C | Ἴλιον Σ[1]b, ἥλιον C ‖ **26** μόνων *add* V | καὶ οὐχὶ ἀπὸ CΣ[1], οὐχὶ δὲ καὶ ἀπὸ V ‖ **28** προσηγ. ὂν *add* V

πίδης, ἤμελλε σημαίνειν τὸν υἱὸν τῶν ἀνθρώπων· ἄτοπον δὲ τὸ ἕνα πολλῶν ἀνθρώπων εἶναι υἱόν, τοῦτο γὰρ ἡ φύσις ἀλλότριον ἐκληρώσατο.

Ἀπὸ δὲ μητέρων οὐ σχηματίζει πατρωνυμικὸν εἶδος ὁ Ὅμηρος, ἀλλ' οἱ νεώτεροι.] Μόνος ὁ ποιητὴς οὐκ ἐχρήσατο ἀπὸ μητέρων τοῖς πατρωνυμικοῖς· ἄτοπον γὰρ ἡγήσατο, τὰς τῶν ἡρώων πράξεις ἐξηγούμενος ἀπὸ μητέρων παράγειν· οἱ δὲ νεώτεροι ποιηταὶ καὶ τούτοις ἐχρήσαντο.

852,7b Κτητικὸν δέ ἐστι τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός, ἐμπεριειλημμένου τοῦ κτήτορος, οἷον ⟨Λ 597⟩ Νηλήϊοι ἵπποι, ⟨cfr B 416⟩ Ἑκτόρεος χιτών, Πλατωνικὸν βιβλίον.] Κτητικόν ἐστιν ὃ γεγονὸς ἐκ γενικῆς ὀνόματος εἰς αὐτὴν ἀναλύεται μετά τινος τῶν ὑπὸ τὴν κτῆσιν πεπτωκότων. Λέγουσι δέ τινες ὅτι, εἰ τὸ πατρωνυμικὸν καὶ τὸ κτητικὸν γενικῇ συντάσσεται καὶ ὁμόσχημά εἰσι — Πηλείδης γὰρ καὶ Πηλήϊος ὁ τοῦ Πηλέως —, περιττὸν τὸ γράψαι περὶ κτητικοῦ. Πρὸς οὕς φαμεν ὅτι, εἰ καὶ μίαν ἔχουσι γένεσιν, τὴν γενικήν, ἀλλ' οὐχ ἑνός ⟨εἰσιν⟩ εἴδους, ἀλλὰ τὸ μὲν ἀπὸ μόνου κυρίου, τὸ δὲ καὶ ἀπὸ προσηγορικοῦ, οἷον Ἀρίσταρχος Ἀριστάρχειος, ἄνθρωπος ⟨ἀνθρώπειος⟩. Ἄλλως τε δὲ οὐδὲ ὁμόσχημά ⟨εἰσι⟩· τὸ γὰρ πατρωνυμικὸν οὐ δεῖται τοῦ ὑπακουομένου, εἰ μὴ σκάζει περὶ τὸ γένος, οἷον ⟨Λ 490⟩ Πριαμίδην νόθον υἱόν, καὶ νοούμενον ἔχει μόνον τὸ υἱός ἢ ἔγγονος· τὸ δὲ κτητικὸν δεῖται, καὶ οὐχ ἑνὸς μόνον ἢ δύο, ἀλλὰ καὶ πλειόνων· ἰδοὺ γοῦν Τελαμώνιον εἰπὼν υἱόν ὁ ποιητὴς ⟨ex. gr. Λ 563⟩ ἐδήλωσε τὸ κτῆμα διὰ τῆς ἐπαγωγῆς. Εἰ δέ τις εἴποι, εἴ ποτε ἀνάγκη τῷ Νεστόρειος ἐπάγειν τὸ οἶκος καὶ ἕτερα κτήματα, τί μὴ λέγομεν Νέστορος οἶκος; Ἀλλ' ἔστιν ὅτε τὰ κτητικὰ καὶ ἕνα καὶ πλείονας ὑποφαίνουσι κτήτορας, οἷον βασίλειος αὐλὴ ἡ τοῦ βασιλέως καὶ βασιλέων, Πυθαγόρεια δόγματα τὰ Πυθαγόρου καὶ τῶν ἀκολουθησάντων αὐτοῦ τῇ δόξῃ, ὕειαι τρίχες αἱ τοῦ ἑνὸς ⟨ὑὸς⟩ καὶ πολλῶν. Τινὲς δέ φασι τεθνεώτων τῶν κτητόρων ⟨μὴ⟩ λέγεσθαι τὰ κτητικά. Τί οὖν ⟨ex. gr. N 76⟩ Τελαμώνιος Αἴας καὶ ⟨η 324⟩ Γαιήϊον υἱόν;

853b Εἴδη δὲ τοῦ κτητικοῦ ταῦτα, οἰκειωτικόν, μετουσιαστικόν, συνεκφαντικόν· οἰκειωτικὸν μέν, ⟨οἷον⟩ Ὀλύμπιος θαλάσσιος, μετουσιαστικὸν δέ, οἷον ἀργύρεος χρύσεος, συνεκφαντικὸν δέ, οἷον γραμματικός γεωμετρικός.

Τύποι δὲ τῶν κτητικῶν δύο· ἢ γὰρ εἰς $\overline{\text{ος}}$ καθαρὸν λήγει, οἷον λάγειος Ἀρήϊος πατρῷϊος, ἢ εἰς $\overline{\text{κος}}$, οἷον Ὁμηρικός Βοιωτικός.

31—33 hab. et. $\Sigma^m \Sigma^l$

1 τὸ C, τὸν VΣ^l | *post* ἕνα *add* ἀπὸ C ‖ 3 Ἀπὸ — νεώτεροι (4) *om* V ‖ 6 καὶ τούτοις C, τούτου οὕτως V ‖ 9 νήληιοι C ‖ 17 ἀριστάρχιος C | ἀνθρώπειος *add* b ‖ 21 ἢ] καὶ Cb ‖ 23 ἀνάγκην C | νεστόριος C ‖ 26 βασιλέως b, βασιλείου C | πυθαγόρια C ‖ 27 ἀκολουθησάντων C, ἀκολουθούντων b ‖ 28 μὴ *add* *Lehrs* ‖ 31 συνεκφαντικόν CΣ^l, συνεμφαντικόν V; *item v. 33* ‖ 32 οἷον *add* b ‖ 36 ἄρκιος C | βιωτικός C

Φαcὶ δέ τινες ὡς οὐ δεῖ λέγειν Πλατωνικὸν βιβλίον, ἀλλὰ Πλατώνειον· Πλατωνικὸν γὰρ βιβλίον λέγεται τὸ περιέχον περὶ Πλάτωνος, ὥcπερ καὶ Φιλιππικοὶ λόγοι λέγονται οἱ περὶ Φιλίππου ⟨περι⟩έχοντες, καὶ Τυρcηνικαὶ ἱcτορίαι αἱ περὶ Τυρcηνῶν περιέχουcαι· ἁμαρτάνουcιν οὖν οἱ λέγοντες Ὁμηρικὸν ⟨ποίημα⟩, Ὁμήρειον γὰρ δεῖ λέγειν· οὐ γὰρ περιέχει περὶ Ὁμήρου, ἀλλ' Ὁμήρου ἐcτὶ τὸ ποίημα.

Ἰcτέον δὲ καὶ τοῦτο, ὅτι οὐ δεῖ λέγειν ⟨Λ 597⟩ Νέcτορα δ' ἐκ πολέμοιο φέρον Νηλήϊαι ἵπποι, ἀλλὰ Νέcτορα δ' ἐκ πολέμοιο φέρον Νηλήϊον ἵπποι, τουτέcτι Νέcτορα τὸν Νηλήϊον, οὐ μὴν αἱ ἵπποι Νηλήϊαι· καὶ γὰρ οὐκ ἐδύναντο τοῦ Νηλέως εἶναι αἱ ἵπποι, ἐπειδὴ περαιτέρω, ὥς φαcι, τῶν τριάκοντα ἐτῶν οὐ δύναται ζῆcαι ἵππος, ὁ δὲ Νέcτωρ τῆc τρίτης γενεᾶc ἦν καὶ ἦν παρελθὼν τὸ ἑξηκοcτὸν ἔτοc· πῶς οὖν ἕως τότε ἠδύναντο εἶναι;

Εἰc τὸ αὐτό. — Τὰ πατρωνυμικὰ ἀπὸ μόνων κυρίων παράγονται, 851,24 b
οἷον Ἀτρεύς Ἀτρείδης· τὸ γὰρ Ἡρῴδης ἀπὸ τοῦ ἥρως προcηγορικοῦ ὂν οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτι τῇ cημαcίᾳ πατρωνυμικόν, ἀλλὰ τύπου πατρωνυμικοῦ ἐcτιν.

⟨*Stephani.*⟩ — Ἀναγκαῖον δὲ εἰδέναι, τί διαφέρουcι τὰ κτητικὰ 853,26 b
ὀνόματα τῶν κτητικῶν ἀντωνυμιῶν. ⟨Καὶ ἔcτιν εἰπεῖν, ὅτι ἐπὶ μὲν τῶν ἀντωνυμιῶν⟩ δῆλος ἀεί ἐcτιν ὁ τῶν κτητόρων ἀριθμός· ἐὰν ⟨γὰρ⟩ εἴπω ἐμός, οἶδα ὅτι ἕνα κτήτορα ἐδήλωcα· ἐὰν δὲ εἴπω νωΐτερος, οἶδα ὅτι δύο κτήτορας ἐδήλωcα· ἐὰν δὲ εἴπω ἡμέτερος, οἶδα ὅτι πολλοὺς κτήτορας ἐδήλωcα. Ἐπὶ δὲ τῶν ὀνομάτων οὐ πάντως δῆλός ἐcτιν ὁ ἀριθμός· ἐπὶ μὲν γὰρ τῶν ⟨ἀπὸ⟩ κυρίων δῆλος ὁ ἀριθμός· ἐὰν γὰρ εἴπω Ἀριcτάρχειος ⟨δοῦλος⟩, οἶδα ὅτι τοῦ Ἀριcτάρχου δοῦλός ἐcτιν· ἐπὶ δὲ τῶν ⟨ἀπὸ⟩ προcηγορικῶν οὐ δῆλος· ἐὰν γὰρ εἴπω ἀνθρώπειος πούς, ἄδηλον 854 b
εἴτε ὁ τοῦ ἀνθρώπου πούς ἐcτιν εἴτε ὁ τῶν ἀνθρώπων. Καὶ ἄλλως ⟨δὲ⟩ ἐπὶ ⟨μὲν⟩ τῶν ἀντωνυμιῶν οὐ μόνον τὰ ὑπὸ τὴν κτῆcιν πεπτωκότα cυντάccομεν, οἷον ἐμὸc δοῦλος, ἐμὸc ἀγρός, ἀλλὰ καὶ τὰ μὴ οὕτως ἔχοντα, ⟨οἷον⟩ ἐμὸc ἀδελφός, ἐμὸc πατήρ· ταῦτα δὲ οὐχ ὑποπεπτώκαcιν· ἐπὶ μὲν γὰρ τοῦ ἀδελφοῦ ἰcότης ἐcτίν, ἐπὶ δὲ τοῦ πατρὸc ὑπεροχή. Τοῖc δὲ κτητικοῖc ὀνόμαcι μόνα τὰ ὑπὸ τὴν κτῆcιν πεπτωκότα cυντάccομεν, οἷον Νεcτόρειος χιτών, Ἀριcτάρχειος ἀγρός· ⟨οὐκέτι μέντοι ἐπὶ τῶν ἴcων ἢ τῶν ὑπερεχόντων τοῦτο ποιοῦμεν· οὐ γάρ φαμεν Αἰάντειος ἐχθρός ἢ Ἀριcτάρχειος ἀδελφός ἢ Νεcτόρειος πατήρ,⟩ ἐπειδὴ ταῦτα

7—13 hab. et. Σ^1 ‖ 18—225, 3 similia hab. et. Σ^1

1 *ante* Φαcὶ *add* C: ἄμβρων (*l.* Ἄβρων) καὶ Φρύνιχος ‖ 5 ποίημα *add* b ‖ 16 ὂν] ὃ C ‖ 18—227, 5 *videntur esse Stephani* ‖ 19 ἐπὶ — ἀντωνυμιῶν (20) *add* b ‖ 20 ἐὰν εἴπω ὅτι ἐμὸc C ‖ 23 πάντως δῆ ἐcτὶν C ‖ 25 δοῦλος *add* b ‖ 30 ὑπεπτώκαcιν C; *item p. 225, 1* ‖ 31 ὑπεροχή *Stadtmüller*, ἀποχή Cb ‖ 33 οὐκέτι — πατήρ (35) *om* C; *vide quae praebent* Σ^1

οὐχ ὑποπεπτώκαϲιν. Ἰϲτέον δὲ ὅτι ἐν τοῖϲ δύο μόνοιϲ μέρεϲι ⟨τοῦ⟩ λόγου θεωρεῖται τὰ κτητικά, ἔν τε ὀνόμαϲι καὶ ἀντωνυμίαιϲ, οἷον Ἀριϲτάρχου Ἀριϲτάρχειοϲ, ἐμοῦ ἐμόϲ.

Συγκριτικὸν δέ ἐϲτι τὸ τὴν ϲύγκριϲιν ἔχον ἑνὸϲ πρὸϲ ἕνα ὁμοιογενῆ, ὡϲ Ἀχιλλεὺϲ ἀνδρειότεροϲ Αἴαντοϲ, ἢ ἑνὸϲ πρὸϲ πολλοὺϲ ἑτερογενεῖϲ, ὡϲ Ἀχιλλεὺϲ ἀνδρειότεροϲ τῶν Τρώων.] Τὰ ϲυγκριτικὰ οὐκ ἐν κυρίοιϲ γίνεται ⟨οὐδὲ ἐν προϲηγορικοῖϲ⟩, εἰ μὴ ἐν τοῖϲ προϲηγορικοῖϲ προϲώποιϲ μετειληφόϲι τοῦ αὐτοῦ πράγματοϲ· εἰ δέ ποτε εὕροιϲ ἐν ὀνόμαϲι κυρίοιϲ ἢ ἐν ἀντωνυμίαιϲ τὸ τοιοῦτο, παραγωγὴν μόνον λέγε καὶ μὴ ϲύγκριϲιν, ὥϲπερ ἔϲτι καὶ παρὰ Ἀριϲτοφάνει ⟨Plut. 83⟩ τὸ αὐτότατοϲ καὶ παρὰ Μενάνδρῳ ⟨fr. 986 K⟩ τὸ αὐταιτιώτατοϲ. Ὁ τεχνικὸϲ δὲ εἶπε τὴν ϲύγκριϲιν λέγεϲθαι ⟨ἑνὸϲ⟩ πρὸϲ ἕνα ὁμόφυλον ἢ ἑνὸϲ πρὸϲ ἅπανταϲ ἑτεροφύλουϲ· ἀλλόφυλοι γὰρ ἦϲαν οἱ Τρῶεϲ τῷ Ἀχιλλεῖ, πολλοὶ δ' οἱ Τρῶεϲ πρὸϲ ἕνα Ἕλληνα. Φαμὲν ὅτι φιλέλλην ὢν ὁ ποιητὴϲ προϲεχαρίϲατο, βουλόμενοϲ ϲεμνῦναι τὸ πᾶν γένοϲ τῶν Ἑλλήνων. Οὐκ ἔϲτι δὲ εἰκῇ ποιεῖϲθαι τὴν ϲύγκριϲιν· οὔτε γὰρ ζωγράφου καὶ τέκτονοϲ ϲύγκριϲιϲ γίνεται, ἀλλὰ δύο τινῶν ἢ καὶ πλειόνων τοῦ αὐτοῦ ἐπιτηδεύματοϲ μετεχόντων.

Τῶν δὲ ϲυγκριτικῶν τύποι εἰϲὶ τρεῖϲ, ὁ εἰϲ τεροϲ, οἷον ὀξύτεροϲ, καὶ ὁ εἰϲ ιων καθαρόϲ, οἷον βελτίων καλλίων· ἀπὸ τοῦ κάλλοϲ γίνεται καλλίων, καὶ κυρίωϲ ὁ εὔμορφοϲ ⟨καλόϲ⟩· καὶ ὁ εἰϲ ων, οἷον κρείϲϲων ἥϲϲων.

855 b Ἴδιόν ἐϲτι τῶν ϲυγκριτικῶν τὸ ἀναλύεϲθαι εἰϲ εὐθεῖαν καὶ τὸ μᾶλλον· τίϲ γάρ ἐϲτιν ὀξύτεροϲ; ὁ μᾶλλον ὀξύϲ· βραδύτεροϲ; ὁ μᾶλλον βραδύϲ.

Ὑπερθετικὸν δέ ἐϲτι τὸ κατ' ἐπίταϲιν ἑνὸϲ πρὸϲ πολλοὺϲ παραλαμβανόμενον ἐν ϲυγκρίϲει. Τύποι δὲ αὐτοῦ εἰϲι δύο, ὁ εἰϲ τατοϲ, οἷον ὀξύτατοϲ βραδύτατοϲ, καὶ ὁ εἰϲ τοϲ, οἷον ἄριϲτοϲ μέγιϲτοϲ.] Ὑπερθετικὸν δέ ἐϲτι τὸ ὑπὲρ πάνταϲ ἔχον τὴν ὑπέρθεϲιν ἐν ὁμοιογενέϲιν, οἷον «ἀνδρειότατοϲ ὁ Ἀχιλλεὺϲ πάντων τῶν Ἑλλήνων, ϲοφώτατοϲ ⟨ὁ⟩ Ὀδυϲϲεὺϲ πάντων τῶν ἀνθρώπων»· ἐπαγγέλλεται γὰρ ⟨καὶ⟩ τὸ ὑπερθετικὸν ϲύγκριϲιν, ἀλλὰ μείζονα, τὸ γὰρ ὑπερβάλλον τῆϲ ϲυγκρίϲεωϲ ἐμφαίνει· ἐπὶ μὲν γὰρ τοῦ ϲυγκριτικοῦ ἡ ϲύγκριϲιϲ μετριωτέρα ἑνὸϲ πρὸϲ πλειόνων, οὐ μὴν πάντων· τὸ δὲ ὑπερθετικὸν ὑπερέχον τῆϲ ϲυγκρίϲεωϲ· τὸ γὰρ ἀνδρειότεροϲ ἢ ⟨ἑνὸϲ ἢ⟩ πέντε ἢ δέκα, τὸ δὲ ἀνδρειότατοϲ οὐ μέχρι ἀριθμοῦ ὡριϲμένου διατείνει, ἀλλὰ καθόλου πάντων ὁμοῦ ἀνθρώπων [καὶ] τῶν τὸ αὐτὸ ἐπιτηδευόντων. Ἡ φωνὴ δὲ τοῦ ϲυγκριτικοῦ τὸ μᾶλλον ἔχει· τί⟨ϲ⟩ γάρ ἐϲτι ϲοφώτεροϲ; ὁ μᾶλλον

1 τοῦ *add Egenolff Ann. Phil. 1879, 697* || 2 ἔν τε C, ἐν τοῖϲ b || 8 αὐτοῦ b, ἑαυτοῦ C || 11 αὐταιτιώτατοϲ *Kock*, αἰτιώτατοϲ Cb || 12 ἑνὸϲ *add Uhlig* || 14 πολλοὶ δ' οἱ Τρῶεϲ *Uhlig*, πολλοὺϲ δὲ Τρῶαϲ Cb || 20 καθαρ͂ C || 21 καλλ° C, κάλλουϲ b | καλόϲ *add* b || 31 ὁ Ὀδυϲ.] ὀδυϲ. C || 32 καὶ *add* b || 37 τὸ αὐτὸ ἐπιτηδευόντων b, τὸ αὐτοῦ ἐπιτηδευμάτων C

σοφός· τί⟨ς⟩ δέ ἐστι σοφώτατος; ὁ ἄγαν σοφός· ἔχει οὖν ἡ φωνὴ τοῦ ὑπερθετικοῦ τὸ ἄγαν. Ἐντεῦθεν οὐδὲ τὰ ὀνόματα τὰ ἐπιδεχόμενα ἐπίτασιν εἰς σύγκρισιν ὑπέρχεται, οἷόν ἐστι τὸ ἐρίτιμος καὶ περικλυτός καὶ ζάθεος καὶ ζάπλουτος.

Τύποι δὲ αὐτοῦ εἰσι δύο, ὁ εἰς τατος καὶ ὁ εἰς τος.] Τὸ ὑπερθετικὸν διαφέρει τοῦ συγκριτικοῦ, ὅτι ἐκεῖνο μὲν ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τοῦτο δέ ἐστιν ἀνεπίτατον, καὶ ὅτι ἐκεῖνο μὲν ἔχει τρεῖς τύπους, τοῦτο δὲ δύο· ἔχει γὰρ τὰ ὑπερθετικὰ καταλήξεις δύο, αἵτινες τὴν γένεσιν ἔσχον ⟨ἀπὸ⟩ τῶν συγκριτικῶν· ὁ γὰρ εἰς τερος ποιεῖ τὸν εἰς τατος, ὁ ⟨δὲ⟩ εἰς ων ⟨καθαρὸς⟩ τὸν εἰς τος, οἷον τάχιστος ἀπὸ τοῦ ταχίων, καὶ βραχύτατος ἀπὸ τοῦ βραχύτερος· ἀπὸ γὰρ τοῦ εἰς σων οὐκέτι γίνεται.

Ὑποκοριστικὸν δέ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν, οἷον ἀνθρωπίσκος λίθαξ μειρακύλλιον.] — Στεφάνου. — Ὁ ὑποκορισμὸς ὄνομά ἐστι μικρότητος ἐμφαντικόν, ⟨κόροις⟩ καὶ κόραις ἐοικός. Λαμβάνεται δὲ ἕνεκεν τοῦ πρέποντος, ὡς παρ' Ἀλκμᾶνι· †κόραι γὰρ αἱ λέγουσαι· ἢ τοῦ χρειώδους, ⟨ὡς τὸ⟩ «ἱππάριόν μοι χάρισαι»· μειῶ γὰρ τὸ ζητούμενον, ἵνα ἑτοιμότερον πρὸς τὸ δοῦναι ποιήσω 856 b
τὸν ἔχοντα· ἢ τοῦ γελοίου χάριν, ὡς τὸ Πριαμύλλιον ὁ Πρίαμος. Παρὰ δὲ τῷ ποιητῇ οὐκ ἂν εὑρεθείη ὑποκοριστικόν· ἡρωϊκὰ γὰρ τὰ παρ' αὐτῷ καὶ ἐπηρμένα. Τὸ τειχίον δὲ καὶ τὸ ἑρκίον οὐχ ὑποκοριστικά· διάφορον γὰρ τὸ δηλούμενον, τεῖχος καὶ ἕρκος ἐπὶ πόλεων, τειχίον καὶ ἑρκίον ἐπὶ ἐπαύλεων· πῶς δὲ μείωσις, ὅπου τὸ μέγα; ⟨π 165⟩ παρ' ἐκ μέγα τειχίον αὐλῆς· οὕτω καὶ τὸ θηρίον, ⟨κ 171⟩ μάλα γὰρ μέγα θηρίον ἦεν· καὶ τὸ μηρίον διάφορον· μηρία γὰρ τὰ ἐναγιζόμενα τοῖς θεοῖς, μηροὶ δὲ τὰ μὴ οὕτως ἔχοντα· οὐδὲ τὸ ὀγκίον, οὐ γὰρ τοῦ ὄγκος μείωσις· οὐδὲ τὸ ἴχνιον, ⟨Ν 71⟩ ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων· καὶ ⟨γὰρ⟩ περὶ αὐτοῦ φησι ⟨Ν 20⟩ τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ, Αἰγάς. Μάχεται καὶ ὁ τόνος· τὰ γὰρ εἰς ιον ὑποκοριστικὰ τρισύλλαβα ἀρχόμενα ἀπὸ βραχείας ⟨προπαροξύνεται, ἀπὸ δὲ μακρᾶς παρ⟩οξύνεται, στόλιον πόδιον χέριον σάκιον, ὅτε δι' ἑνὸς κ· ὅτε δὲ διὰ δύο, παροξύτονον, σακκίον· κορρίον διὰ δύο

---

7 δ' ἐστὶν C | ἀνεπίτατον b, ἀνεπέκτατον C ‖ 9 ἀπὸ *add* b ‖ 10 δὲ *add* b ‖ 12 σων] ων Cb ‖ 15 Στεφάνου *in marg.* C | *in marg.* ὑποκοριστικὸν παρὰ τὸ ὑποκείρειν τὸ ὑποκείμενον πρόσωπον C[2] ‖ 16 *post* Ἀλκμ. *Egenolff coni:* κόρας ἔχοντι τὰς ὑποκοριστικαῖς χρωμένας λέξεσι ‖ 23 παρὲκ C ‖ 25 μηρίον b, μὴ θηρίον C | μηρία b, μυρία C ‖ 26 τοῦ b, τὸ C ‖ 27 ἴχνα γὰρ μετόπισθεν π. ἠδὲ κνημάτων C | *in marg. add* C: τὸ γὰρ ἴχνια μετόπισθεν ποδῶν ἡ δὲ κνημάτων (*sic*) παρώνυμον καὶ οὐχ ὑποκοριστικὸν, ἀλλὰ καὶ εἴ που ἐμπέσῃ ὁ ποιητὴς τὸ τοιοῦτο, δι' ἐπιθέτου αὐτὸ ἐναιρεῖ, ὡς ἐν τῷ μάλα μέγα θηρίον, τὸ γὰρ θηρίον ὑποκοριστικόν ἐστι (*cfr* Σ^{m} *et* Σ^{i}), *et alia manu:* ⟨ἰ⟩στέον ὅτι παρὰ τὸ κόρη γέγονεν κορίζω κορίσ[σ]ω κεκόρισται κοριστός καὶ ὑποκοριστικός ‖ 28 ὠρέξατ' C ‖ 29 τέταρτον C | τέκμωρ] τεήμων C ‖ 30 ιον b, τον C | προπαροξύνεται b ‖ 31 χέρειον C

ρρ παρὰ Ἀττικοῖc, κόριον δὲ δι' ἑνὸc ρ παρὰ τῷ Θεοκρίτῳ (11, 60)· ἐχρῆν ἄρα ἰχνίον· ἔcτι δὲ ῥηματικόν· ὥcπερ οὖν τὸ δέμω δέμνιον καὶ ἀράc⟨c⟩ω ἀράχνιον, οὕτωc ἵκω ἴχνιον, ὑπερθέcει τοῦ πνεύματοc. Καὶ τὸ νήϊον πῶc ὑποκοριcτικὸν ἐπὶ τῆc Ὀδυccέωc νεώc ⟨cfr ι 498⟩, ἐφ' ἧc ὁ ποιητὴc ⟨Θ 222. Λ 5⟩ τὸ μεγακήτεϊ φηcίν;

Καὶ ἄλλωc εἰc τὸ αὐτό. — Τῶν ὑποκοριcτικῶν τύποι εἰcὶν ⟨ἀρcενικῶν μὲν⟩ ἕξ, ὧν ὁ μὲν πρῶτοc εἰc ων, οἷον Βακχυλίδηc Βάκχων, Λακεδαιμόνιοc Λάκων· ὁ ⟨δὲ⟩ δεύτεροc πάλιν εἰc ων παραλήγοντοc τοῦ ι, οἷον μωρίων ὁ 857b μωρόc· ὁ δὲ τρίτοc εἰc αξ, ὡc Ῥόδαξ ὁ Ῥόδιοc καὶ πλούταξ ὁ πλούcιοc· ὁ ⟨δὲ⟩ τέταρτοc εἰc αc, ὡc Ζηνᾶc ὁ Ζηνόδωροc καὶ Μητρᾶc ὁ Μητρόδωροc· ὁ δὲ πέμπτοc εἰc ⟨c⟩κοc, ὡc γραμματίcκοc ὁ γραμματικόc καὶ πυργίcκοc ὁ πύργοc· ὁ ⟨δὲ⟩ ἕκτοc εἰc λοc, ὡc ναυτίλοc ὁ ναύτηc καὶ δριμύλοc ὁ δριμύc. Ὁ δὲ Ὦρόc φηcιν, ὅτι καὶ ὁ εἰc υν καὶ ὁ εἰc υc καὶ ὁ εἰc ιc ὑποκοριcτικά εἰcιν, ⟨εἰc υν⟩ μέν, οἷον ⟨μόcυν⟩, εἰc υc δὲ Καμμῦc Κλαυcῦc Λαρδῦc ἀπφῦc Διονῦc, εἰc ιc δὲ ὁ κομβῖc τοῦ κομβῖ. Τῶν δὲ θηλυκῶν τύποι τρεῖc, ὁ εἰc ω, οἷον Ὑψώ Ὑψιπύλη, Εἰδώ Εἰδοθέα καὶ Ἀφρώ ἡ Ἀφροδίτη, καὶ ὁ εἰc ιc, οἷον λυρίc ἡ λύρα καὶ θεραπαινίc ἡ θεράπαινα, καὶ ὁ εἰc ⟨c⟩κη, οἷον λεκανίcκη ἡ λεκάνη καὶ παιδίcκη ἡ παῖc. Τῶν δὲ οὐδετέρων μία μέν ἐcτιν ἡ εἰc ον κατάληξιc, ἔχει δὲ παραλήξειc ἕξ· ἢ ⟨γὰρ⟩ τῇ νι cυλλαβῇ παραλήγεται, ὡc κανόνιον ὀψώνιον χελιδόνιον τρυγόνιον· ἢ τῇ δι, ὡc παιδίον αὐλίδιον· ἢ τῇ ρι, ὡc ξυλάριον νηττάριον δελτάριον· ἢ τῇ δρι, ὡc μελύδριον λεξίδριον πολίδριον· ἢ τῇ λι, ὡc μειρακύλλιον· ἢ τῇ φι, ὡc χρυcάφιον ζωΰφιον δενδρύφιον.

Τὸ ὑποκοριcτικὸν ἐλάττωcίν τινα cημαίνει· εἴρηται δὲ παρὰ τοὺc κόρουc, τουτέcτι τοὺc μικροὺc νέουc, ἢ τὰc κόραc· τούτουc γὰρ πολλάκιc ἢ ταύταc ὑποθωπεύοντεc τοιούτοιc κεχρήμεθα ὀνόμαcιν, ὡc παρὰ Μενάνδρῳ ⟨fr. 1041 K⟩ νηττάριον, ἢ ⟨ὅταν⟩ τὸν Πρίαμον Πριαμύλλιον εἴπωμεν καὶ τὸ μικρὸν παιδίον παιδάριον. Τύπουc δὲ ἔχει ἡ φωνὴ τῶν

---

4 νήϊον] ///ιήιον C, ἰήϊον b, ἠϊήϊον b ‖ **5** μεγακήτεcι C ‖ **8** δὲ *add* b ‖ **9** πλοῦταξ C ‖ **10** ὡc b, ὁ C ‖ **11** cκοc *An. Ep. 317, 6* ‖ **13** υν] ν C | *Lobeck, Proleg. p. 507:* ὅτι καὶ ὁ εἰc ν ἐcτὶν ὑποκοριcτικὸc τύποc, οἷον ⟨πίθων ὁ πίθηκοc *vel simile quid*⟩, καὶ ὁ εἰc υc καμμῦc — εἰc ιc δὲ ὁ κομβίc (ὁ κόμπιc ἀπὸ τοῦ ὁ κομπόc?) ‖ **15** ἀπφῦc b, ἀμφῦc C | ὁ κομβῖc τοῦ κομβῖc C ‖ **16** Ὑψώ *et* Εἰδώ] *vide Aeschyli fragm. 247 et 212* N² ‖ **18** cκη *An. Ep. 317, 7* ‖ **20** γὰρ *add* b ‖ **21** αὐλίδιον] οὐλανίον C b ‖ **22** νιτάριον (ι *ex* η *factum*) C; *item v. 28* | μελίδριον λεξύδριον πολύδριον C ‖ **23** λλι *An. Ep. 317, 10* ‖ **25** *in marg. add* C: καλῶc πρόcκει⟨ται⟩ τὸ «ἀcυγκρίτωc» ⟨ὅτι⟩ οὐχ ὥcπερ τὸ ⟨cυγκριτικὸν⟩ cυγκρίνεται πρόc ⟨τι⟩ . . ἡ γὰρ τὸ ὑποκορ⟨ιcτικὸν⟩ οὐ δηλοῖ cύγκρ⟨ιcιν⟩ ἀλλὰ μείωcιν· εἰ γὰρ εἴπω ἀνθρωπί⟨cκοc⟩, οὐκ ἔcτιν ὁ ⟨μείζων⟩ τοῦ ἄνθρωποc ἢ ὁ ἡ (*l.* ἥττων)· καὶ γὰρ καὶ οἱ μαλ⟨ακοὶ⟩ καὶ οἱ κολοβοὶ ἄνθρωποί εἰcιν ‖ **28** ὅταν *add* b ‖ **29** δ' ἔχει C

ὑποκοριστικῶν διαφόρους· γίνονται δὲ ἀπὸ τῶν εἰς κος κτητικῶν κατὰ πλεονασμὸν τοῦ c̄, †πυργίσκος ὁ μικρὸς πύργος, καὶ ἰατρικός προσθέσει τοῦ c̄ ἰατρίσκος.

⟨*Stephani.*⟩ — Παρώνυμον δέ ἐστι τὸ παρ' ὄνομα ποιηθέν, οἷον Θέων Τρύφων.] Ἕκαστον τῶν ⟨ἄλλων⟩ εἰδῶν μίαν ἔχει σημασίαν, ἐξ ἧς καὶ ὀνομάζεται, τὸ πατρωνυμικὸν ὡς δηλοῦν πατέρα, τὸ κτητικὸν κτῆσιν, τὸ συγκριτικὸν σύγκρισιν, τὸ ὑπερθετικὸν ὑπέρθεσιν, τὸ ὑποκοριστικὸν ὑποκορισμόν· τὸ παρώνυμον δὲ πολλὰ ἐδήλου, περιεκτικά, ἄμ- 858b πελος ἀμπελών, ἐθνικά, ⟨Ἀκράγας⟩ Ἀκραγαντῖνος, μετουσιαστικά, ⟨δέρμα⟩ δερμάτινος, κύρια, ⟨κράτος⟩ Κρατῖνος, κατὰ τοῦ αὐτοῦ, ἐργάτης ἐργατίνης· ἐπεὶ οὖν οὐκ ἠδύνατο ἐξ ἑνὸς τὴν ὀνομασίαν ἔχειν, ἐκ τοῦ παρεπομένου πᾶσιν ἐκλήθη, τοῦ παρωνύμου, οἷόν τι καὶ ἐπὶ τῆς ὑποτακτικῆς ἐγκλίσεως γέγονεν.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ζητῆσαι ἄξιον, τίνος ἕνεκα τὴν κοινὴν ὀνομασίαν ἰδίαν τοῦτο ἐποιήσατο· τὰ γὰρ πάντα παρώνυμά ἐστιν. Λέγομεν ὅτι τὰ μὲν ἄλλα πάντα, εἰ καὶ παρώνυμά ἐστιν, ἀλλ' οὖν γε ἔχει ἕκαστον ᾧ διαστέλλεται ἀπὸ τοῦ ἑτέρου, τοῦτο δὲ μόνον αὐτὸ τὸ τῆς παραγωγῆς κέκτηται, καὶ οὐδὲν ἄλλο ᾧ διασταλῇ· καὶ γὰρ τὸ πατρωνυμικὸν παρώνυμόν ἐστι, καθὸ παρήχθη ἀπὸ τοῦ πρωτοτύπου, ἀλλὰ πρὸς τῷ εἶναι αὐτὸ παρώνυμον καὶ ἔχειν τὴν γένεσιν ἀπὸ ὀνόματος τὸ διαστέλλον ἔχει, παῖδα ἢ πρόγονον ⟨δηλοῦν⟩, καὶ τὰ ἄλλα πάνθ' οὕτως· τοῦτο δὲ αὐτὸ μόνον τὸ τῆς παραγωγῆς ὁμολογεῖ, ὅτι ἀπὸ ὀνόματος ὄνομα παρηνέχθη, ὡς ἀπὸ τοῦ θεός ⟨Θέων⟩ καὶ ἀπὸ τοῦ τρυφή ⟨Τρύφων⟩ καὶ ἀπὸ τοῦ Ἡρακλῆς Ἡρακλέων.

⟨*Stephani.*⟩ — Ῥηματικόν ἐστιν ὄνομα ὃ γεγονὸς ἀπὸ ῥήματος ἐνέργειαν ἢ πάθος δηλοῖ, οἷον πεποίηται ποιητής ὁ ποιῶν τι, πεποίημαι ποίημα τὸ ποιηθέν· πᾶν δὲ ῥηματικὸν ὄνομα διὰ τοῦ μ̄ λεγόμενον οἰκειοῦται τῷ πρώτῳ προσώπῳ παθητικῷ κατὰ τὸ σύμφωνον, διὰ δὲ τοῦ τ̄ τῷ τρίτῳ, οἷον πέπραγμαι πρᾶγμα πολυπράγμων, πεποίημαι ⟨ποίημα⟩, πεποίηται ποιητής, πέπρακται πρακτός, ἤνυσται ἀνυστός.

14—24 hab. et. Σ^m ‖ **25—229, 7 similia hab. et.** $\Sigma^m \Sigma^1$

2 σατυρίσκος ὁ μικρὸς σάτυρος, καὶ τραγικός πρ. τοῦ c̄ τραγίσκος *Stadtmüller* ‖ **4—13** *videntur esse Stephani* ‖ **9—10** Ἀκραγᾶς, δέρμα, κράτος *add* b ‖ **12** ἐκλίθη C ‖ **14** Εἰς — ἄλλως *om* V ‖ **18** οὐδὲν — διασταλῇ C, οὐδὲ ἄλλο διαστέλλει V ‖ **19** πρωτοτύπου] πηλέως CV | ἀλλὰ — ἔχει (**21**) V, ἀλλ' ἔχει καὶ τὸ διαστέλλον C ‖ **21** διαστέλλειν V ‖ **22** τοῦτο — τῆς π. V, τοῦ δὲ μόνον αὐτὸ μόνον αὐτὸ τὸ τῆς π. (*sic*) C | ὄνομα (εἰς ὄν. N) κατηνέχθη VN, εἰς ὄνομα (*sic*) C ‖ **23** ὡς — Ἡρακλέων (**24**) *om* V | Θέων *add* b | τῆς τρυφῆς Cb | Τρύφων *add* b ‖ **24** Ἡρακλῆς] ἡρακλέα C, Ἡρακλέος b ‖ **25—30** *videntur esse Stephani* ‖ **25** ὄνομα *add* VΣ^1 ‖ **26** πεποίηται VΣ^1, ποιήσω C ‖ **28** τῷ *et* προσώπῳ *add* V | ⟨τῷ⟩ πρώτῳ παθητικοῦ ⟨παρακειμένου, ἐξ οὗ καὶ ἐγένετο⟩ *Egenolff An. Ep. 310, 30** ‖ **29** τῷ τρίτῳ *Egenolff*, τῆς τοῦ τρίτου Cb ‖ **30** ποίημα πεποίηται *Egenolff*, πεποίησαι Cb

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ῥηματικόν ἐστιν ὃ παρῆκται ἀπὸ [τοῦ] ῥήματος, οἷον ποιῶ ποιητής, γράφω γραφεύς. Δεῖ δὲ εἰδέναι, ὅτι θέλει τὸ ὄνομα μέρος τι φυλάττειν τοῦ ῥήματος, ὥσπερ καὶ τὸ φερώνυμον
859b Νοήμων, ἵνα τὴν παραλήγουσαν τοῦ μέλλοντος φυλάξῃ καὶ ἐν τῇ παραληγούσῃ τοῦ ὀνόματος, καὶ τὸ Φιλήμων ὁμοίως.

Τὰ παρὰ μετοχὴν ἢ ἀντωνυμίαν ἢ πρόθεσιν ἢ ἐπίρρημα [καὶ τὰ ὅμοια] παρηγμένα ἐστὶν ἄπειρα· ταῦτα δ' ὁμοίως παραγώγοις ἐτάξαμεν.

⟨*Stephani.*⟩ — Σχήματα ὀνομάτων εἰσὶ τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον.] Σχῆμα εἴρηται παρὰ τὴν σχέσιν τὴν πρὸς τὸ σημαινόμενον· ἀπὸ γὰρ τοῦ σχήματος νοοῦμεν, τί ἐστιν ὃ θέλει σημαίνειν ἡ λέξις· ἢ παρὰ τὸ σχῆμα, τουτέστιν τὴν θέσιν, ὥσπερ σχῆμα ἀνδριάντος δηλοῖ αὐτὴν τὴν στάσιν καὶ τὸν τύπον. Τὸ δὲ παρασύνθετον καλεῖται, ἐπειδὴ ἀπὸ συνθέτου γίνεται, ὡς καὶ αὐτός φησιν· ἀπὸ γὰρ τοῦ Ἀγαμέμνων ⟨συνθέτου⟩ Ἀγαμεμνονίδης παρασύνθετον καλεῖται.

Τῶν δὲ συνθέτων ὀνομάτων διαφοραί εἰσι τέσσαρες· ἃ μὲν γὰρ αὐτῶν ἐστιν ἐκ δύο τελείων, ὡς Χειρίσοφος, ἃ δὲ ἐκ δύο ἀπολειπόντων, ὡς Σοφοκλῆς, ἃ δὲ ἐξ ἀπολείποντος καὶ τελείου, ὡς Φιλόδημος, ἃ δὲ ἐκ τελείου καὶ ἀπολείποντος, ὡς Περικλῆς.] Ἐνταῦθα τεχνική τις γίνεται συζυγία· ὅταν γὰρ ὦσι δύο συζυγίαι καὶ συμπλακῶσιν ἀλλήλαις, ἀποτελοῦσιν ἡμῖν ἑτέρας δύο συζυγίας, ὥσπερ καὶ ἐν τοῖς ποσὶν ἔστιν εὑρέσθαι· [δύο] δισύλλαβοι ⟨γὰρ⟩ πόδες δύο, σπονδεῖος καὶ πυρρίχιος· ἀλλ' ἐπειδὰν συμπλακῶσιν ἀλλήλοις καὶ σύγκρισιν ποιήσωνται, τίκτουσιν ἡμῖν ἄλλους δύο, τόν τε τροχαῖον καὶ τὸν ἴαμβον. Τινὲς δὲ τὰ μὲν τέλεια καλοῦσι ἄφθαρτα, τὰ δὲ ἀπολείποντα ἐφθαρμένα.

Ἰστέον δὲ ὅτι πᾶσαι αἱ πτώσεις συντίθενται, οἷον χηναλώπηξ Ἑλλήσποντος ⟨ἀρηΐφιλος⟩ νουνεχής· κλητικὴ δὲ οὐκέτι, καθὸ πρὸς δεύτερόν ἐστι πρόσωπον, ἡ δὲ εὐθεῖα πρὸς τρίτον, ⟨καὶ⟩ τὸ δεύτερον πάρεστι, τὸ ⟨δὲ⟩ τρίτον ἄπεστι· τὸ οὖν παρὸν ἀπόντι πῶς ἑνωθήσεται; Τὸ γυναιμανής ἢ τροπῇ, γυνομανής γυναμανής γυναιμανής, ⟨ἢ συγκοπῇ ἐκ τοῦ γυναικομανής⟩· τὸ βακχέβακχος τροπὴν ἔσχε τοῦ ο̄ εἰς ε̄.

Ἀριθμοὶ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός.] Τὸν τρίτον ἀριθμὸν πληθυντικὸν ὀνομάζομεν, ἐπεὶ ὁ τρεῖς ἀριθμὸς ἀρχὴ πλήθους
860b ἐστίν, ὡς καὶ ἐν τῇ παροιμίᾳ «τρεῖς πολλοί»· διὰ τοῦτο καὶ οἱ παλαιοὶ

9—12 hab. et. Σ^{l} ‖ 26—29 hab. et. Σ^{m} ‖ 32—230, 2 hab. et. Σ^{m}

1 Εἰς — γραφεύς (2) *om* VΣ^{l} ‖ 3 φερώνυμον Σ^{l}, φερόμενον CVb ‖ 6—7 *om* V ‖ 7 ἐστὶν ἄπειρα] ἐπ' ἄπειρα C, ἐπάπειρα Σ^{l} ‖ 9—231, 15 *videntur esse Stephani* ‖ 17 ἀπολιπόντων (ι *ex* ει *factum*) C | ἀπολίποντος C; *item v. 18* ‖ 19 τις b, της C ‖ 20 ἀποτελοῦσιν b, διατελοῦσιν C ‖ 22 συμπλακῶσιν b, ἐπιπλακῶσιν C ‖ 23 ποιήσονται C ‖ 24 ἄφθαρτα] φθαρτὰ Cb ‖ 26 οἷον *add* V ‖ 27 οὐκέτι Vb, οὐκ ἔστι C ‖ 29 τρίτον Vb, πρῶτον C ‖ 30 ἡ τροπῇ] ἡ τροπὴ C ‖ 32 Τὸν b, τὸ C

πολλὰ βουλόμενοι σημαίνειν τρεῖς λέγουσιν, ὡς καὶ ὁ ποιητής ⟨ε 306⟩ τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, ἀντὶ τοῦ πολλάκις.

Εἰσὶ δέ τινες ἑνικοὶ χαρακτῆρες καὶ κατὰ πολλῶν λεγόμενοι.] Συμβαίνει πολλάκις ἑνικὸν μὲν εἶναι τὸν χαρακτῆρα τοῦ ὀνόματος, σημαίνειν δὲ πληθυντικόν, ὥσπερ ἔστιν εὑρεῖν ἐν τοῖς περιληπτικοῖς ὀνόμασιν· τὸ γὰρ χορός ὄνομά ἐστιν ἔχον χαρακτῆρα ἑνικόν — ὥσπερ γὰρ καλός, οὕτω καὶ χορός — ἀλλὰ τὸ ἐξ αὐτοῦ σημαινόμενον 10
πληθυντικόν ἐστιν· οὐ γὰρ ἂν συσταίη χορὸς ἐξ ἑνὸς μόνου ἀνθρώπου, ἀλλ' ἐκ πλειόνων· καὶ τὸ δῆμος δὲ τὸ ὅμοιον σημαίνει.

Καὶ πληθυντικοὶ κατὰ ἑνικῶν τε καὶ δυϊκῶν.] Συμβαίνει πάλιν, φησίν, ἐκ τοῦ ἐναντίου, πληθυντικὸν ἔχειν χαρακτῆρα τὸ ὄνομα, σημαίνεσθαι δὲ ἐξ αὐτοῦ ἐναντίως ⟨ἑνικόν⟩· Θῆβαι γὰρ τύπος πληθυντικός, ἡ δὲ πόλις μία ἐστίν. Τὰ δὲ τοιαῦτα καὶ οἱ ποιηταὶ οὕτω προφέρονται, τὰς μὲν Ἀθήνας ⟨η 80⟩ εὐρυάγυιαν ⟨Ἀθήνην⟩, ὅτι τῇ φωνῇ μὲν πληθυντικόν ἐστιν, τῷ δὲ σημαινομένῳ ἑνικόν· τοιοῦτο δὲ καὶ τὸ Θῆβαι, 20
ὡς καὶ ὁ ποιητὴς εἶπε πρὸς τὸ σημαινόμενον ⟨Ζ 416⟩ Θήβην ὑψίπυλον. Καὶ τὸ ἀμφότεροι δὲ δυϊκὸν ὄν, ὡς αὐτὸς λέγει, πληθυντικὸν χαρακτῆρα ἔχει, σημαίνει δὲ δύο μόνους· καὶ γὰρ οὐδὲ τολμήσει τις ἐπὶ πλήθους τῇ λέξει χρήσασθαι.

Πτώσεις δὲ ὀνομάτων πέντε, ὀρθή, γενική, δοτική, αἰτιατική, κλητική.] Πτώσεις λέγονται, ἐπειδὴ ἡ φωνὴ ἀπ' ἄλλου εἰς ἄλλο μεταπίπτει· πτῶσις δέ ἐστι πτωτικῆς λέξεως μετασχηματισμὸς τῆς τελευταίας συλλαβῆς ἄλλοτε εἰς ἄλλο τρεπομένης.

Λέγεται δὲ ἡ μὲν ὀρθὴ ὀνομαστικὴ καὶ εὐθεῖα.] Εἰ ὀρθή, 862,4 b
πῶς πτῶσις; Ὅτι πέπτωκεν ἐκ τοῦ ἀσωμάτου καὶ γενικοῦ εἰς τὸ εἰδικόν· ὀρθὴ δέ, ὅτι οὔπω ἐκινήθη εἰς πλάγιον, ἢ ὅτι ἐξ αὐτῆς τὰ καλούμενα παρὰ τοῖς Στωϊκοῖς ὀρθὰ ῥήματα, ἅ εἰσιν ἐνεργητικά, οἷον «Σωκράτης τύπτει»· πᾶς γὰρ λόγος ἔχων αὐτὴν ἐρήρεισται καὶ ὀρθός ἐστιν· πλάγιος ⟨δ'⟩ οὐκέτι ποιεῖ τὸν λόγον ὀρθόν, εἰ μὴ εὐθεῖα φαίνοιτο, 10
«Σωκράτους ἀναγινώσκοντος ἤκουσα» δηλονότι ἐγώ. Ἀλλὰ καὶ ἡ κλητικὴ συνίστησι λόγον, οἷον «ἀναγίνωσκε ἄνθρωπε»· δυνάμει οὖν ⟨καὶ⟩ αὕτη [ἡ] εὐθεῖα· ἀλλ' ὀνομαστικῆς μὲν ἴδιον τὸ τρίτον πρόσωπον, ἡ δὲ κλητικὴ πρὸς δεύτερον· οὐκ ἄρα εὐθεῖα.

Ἰστέον δὲ ὡς τῶν σημαινομένων, οὐ τῶν φωνῶν εἰσιν αἱ πέντε 860,29 b
πτώσεις, ἐπεί τοι τοῦ Ἀτρείδης πλείους τῶν πέντε ἔσονται πτώσεις· Ἀτρείδου γὰρ ⟨ἡ γενικὴ⟩ καὶ Ἀτρείδεω καὶ Ἀτρείδαο καὶ Ἀτρείδα.

Τῶν δὲ ὀνομάτων τὰ μὲν μονόπτωτα, τὰ δὲ δίπτωτα, τὰ δὲ τρί- 861 b

---

2 *ante* πολλάκις *add* πολλοὶ C ‖ **4** Συμβαίνει] σημαίνει C; *item v. 10* **5** σημαίνει C ‖ **6** ἑνικόν] ἑνὸς C ‖ **7** τὸ b, τοῦ C ‖ **12** πληθυντικὸν C ‖ **14** εὐρυγυίαν C | πληθυντική C ‖ **21** ἄλλο *KEASchmidt, Beitr. p. 262,* ἄλλον C ‖ **25** ἰδικὸν C ‖ **26** ἐκινήθη (ιν *in ras.*) C, ἐκλίθη b ‖ **29** δ' *add* b ‖ **31** καὶ *add* b ‖ **35** ἐπεί τοι C, ἐπειδὴ b ‖ **37—231, 15** *leniter mutatis verbis iterum leguntur in* C *fol. 152ᵛ med.* (Cᵃ); *vide An. Var. 1, 101 adn. 1*

πτωτα, τὰ δὲ τετράπτωτα, τὰ δὲ πεντάπτωτα. Τί ἐστι πεντάπτωτον; Τὸ ἔχον πέντε πτώσεις ἤγουν φωνάς, οἷον ὁ Αἴας τοῦ Αἴαντος τῷ Αἴαντι τὸν Αἴαντα ὦ Αἶαν· τοῦτο γὰρ πέντε φωνὰς ἔχει, μὴ ἔχον διπλῆν τινα φωνήν. Τετράπτωτον δὲ τὸ ἔχον φωνὰς τέσσαρας, οἷον φοῖνιξ φοίνικος φοίνικι φοίνικα ὦ φοῖνιξ· τοῦτο γὰρ τέσσαρας φωνὰς ἔχει, ἔχον τὴν αὐτὴν φωνὴν καὶ ἐπὶ τῆς εὐθείας καὶ ἐπὶ τῆς κλητικῆς. Τρίπτωτον δέ ἐστι τὸ ἔχον τρεῖς πτώσεις, οἷον τὸ βῆμα τοῦ βήματος τῷ βήματι τὸ βῆμα ὦ βῆμα. Δίπτωτον δέ ἐστι τὸ ἔχον δύο πτώσεις, οἷον τὸ χρέος τοῦ χρέους τὸ χρέος ὦ χρέος. Μονόπτωτα δέ εἰσιν ὡς τὰ ὀνόματα τῶν στοιχείων [μονόπτωτον δέ ἐστιν ὡς τὸ δώς θηλυκὸν ὄνομα, καὶ σημαίνει τὴν δόσιν] καὶ οἷον ⟨ὁ⟩ Ἀβραάμ τοῦ Ἀβραάμ τῷ Ἀβραάμ τὸν Ἀβραάμ ὦ Ἀβραάμ. — Τί διαφέρει τὸ μονόπτωτον τοῦ ἀκλίτου; Διαφέρει ⟨ὅτι⟩ τὸ μονόπτωτον ἄρθρα μόνα ἐπιδέχεται, ὡς τὸ Ἀβραάμ, ἄκλιτον δέ ἐστι τὸ μήτε ἐνδεχόμενον μήτε ὅλως κλινόμενον, οἷον τὸ οὖς, [τὸ δέπας,] τὸ δέμας.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ἀπαριθμησάμενος τὰς πτώσεις διδάσκει ἡμᾶς πῶς ἑκάστη λέγεται. Λέγει δὲ τὴν εὐθεῖαν καὶ ὀνομαστικήν, καθὸ ὀνομάζειν τινὰ βουλόμενοι ταύτῃ κεχρήμεθα· εἰ γάρ τις ἔροιτο περί τινος, ὅτι «οὗτος πῶς λέγεται;» ἐρεῖ τῇ εὐθείᾳ χρησάμενος «Πλάτων» ἢ «Σωκράτης». Πῶς δὲ οἷόν τέ ἐστι τὴν αὐτὴν εὐθεῖαν καὶ πτῶσιν λέγεσθαι; Καί φαμεν ὅτι δυνατὸν τὴν πτῶσιν λέγεσθαι καὶ εὐθεῖαν κατά τινα λόγον· καθὸ μὲν γὰρ πέπτωκεν ἀπὸ τοῦ κοινοῦ εἰς ἰδιότητα, ὀνομάζεται πτῶσις· καθὸ δὲ πεσοῦσα ἔμεινεν ὀρθὴ καὶ ἔστιν ὥσπερ ἦν ἐν τῷ γενικῷ, καλοῖτο ἂν ὀρθή, ὡς ἂν εἴποιμεν καὶ περὶ γραφείου,
862b ὥσπερ ἐάν τις λάβῃ γραφεῖον καὶ ἀφῇ εἰς γῆν καὶ ὀρθὸν στῇ, καθὸ μὲν πέπτωκεν ⟨ἐκ⟩ τῆς χειρός, δοκεῖ πεπτωκέναι, καθὸ δὲ πεσὸν ὀρθὸν ἔστη, λέγεται ὀρθόν.

17 ⟨*Stephani.*⟩ — Ἡ δὲ γενικὴ κτητική τε καὶ πατρική.] Τὴν πτῶσιν ταύτην εἶπε κτητικὴν καὶ πατρικήν, καθὼς ἔναγχος εἴρηται, ὅτι
20 πᾶν κτητικὸν ἢ πατρωνυμικὸν ἀπὸ γενικῆς ἐστι καὶ εἰς αὐτὴν ἀναλύεται. Ἡ δὲ δοτικὴ ἐπισταλτική.] Καλῶς οὕτως εἴρηται, ἐπείπερ καὶ

20—27 hab. et. Σ^m

1 *post* πεντάπτ. *add* τὰ δὲ ἑτερόπτωτα Cb ‖ 4 τινα b, τὴν CC[a] ‖ 5 ὦ *add* C[a] | γὰρ C[a], δὲ C ‖ 6 ἔχον *add* C[a] ‖ 7 τρίπτ. δὲ τὸ C[a], τί ἐστι τρίπτ. τὸ C ‖ 9 ὡς *om* C[a] ‖ 10 μονόπτωτον — δόσιν (11) *seclusit Skrzeczka lib. schol. Regimont. 1853, 12 probante Egenolffo Annal. Phil. 1887 p. 394* | μονόπτωτον (*an* -τα?) C[a], μονόπτωτα C | δώς *Skrzeczka,* δός C, δύς C[a] ‖ 11 ὁ *add* b | *quinquies* ἄβρ. CC[a]; *item v. 14* ‖ 20 τὴν αὐτὴν — πτῶσιν V, εὐθεῖα καὶ πτῶσις C ‖ 22 μὲν V, *om* C ‖ 23 ὀρθὴ V, *om* C | ἔστιν V, ἔστη C ‖ 24 εἴποιμεν V, εἴπωμεν C ‖ 26 ὀρθὸν (*ante* ἔστη) V, *om* C ‖ 28—232, 29 *videntur esse Stephani* ‖ 29 εἴρηται] *vide p. 220, 22 et 223, 11* ‖ 30 ἢ b, ἣν C ‖ 31 ἐπεί περ b, ὥσπερ C

τοῖc φίλοιc ἐπιcτέλλοντεc ταύτῃ χρώμεθα, ὥc ποτε Κλέων ὁ cτρατηγὸc τοῖc Ἀθηναίοιc ἐπιcτέλλων γέγραφε «Κλέων Ἀθηναίοιc χαίρειν».

Ἡ δὲ αἰτιατικὴ κατὰ αἰτιατικήν.] Κατ' αἰτίαν φηcὶν ἤτοι αἴτηcιν ἢ καὶ αἰτίαcιν, ἐπείπερ αἰτούμενοι λαβεῖν τι ἢ αἰτιώμενοί ⟨τινα⟩ ταύτην προφερόμεθα, ὡc ἂν εἴποιc «αἰτοῦμαί cε δοῦναί μοι βιβλίον»· τὸ γὰρ cέ καὶ τὸ βιβλίον αἰτιατικῆc εἰcι πτώcεωc· καὶ πάλιν «αἰτιῶμαι Ἀρίcταρχον».

Ἡ δὲ κλητικὴ προcαγορευτική.] Τὴν κλητικὴν προcαγορευτικὴν εἶπεν, ἐπειδὴ προcκαλούμενοί τινα καὶ ἀcπαζόμενοι ταύτῃ πάλιν χρώμεθα, ὡc καὶ ὁ ποιητὴc λέγει ⟨Κ 462⟩ χαῖρε, θεά, τοῖcδεc⟨c⟩ι. 863b

Ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα, ἃ καὶ αὐτὰ εἴδη προcαγορεύεται.] Διεξελθὼν ὁ τεχνικὸc τὰ πρῶτα δύο εἴδη, ἐπεὶ ἅπαν ὄνομα ὑπὸ ταῦτα τὰ δύο εἴδη εὐθύνεται — πᾶν γὰρ ὄνομα ἢ πρωτότυπόν ἐcτιν ἢ παράγωγον — καὶ τὰ τοῦ παραγώγου εἴδη ἑπτά, βούλεται διδάξαι καὶ τὰ cυμβεβηκότα τῷ ὀνόματι.

Κύριον μὲν οὖν ἐcτι τὸ τὴν ἰδίαν οὐcίαν cημαῖνον, οἷον Ὅμηροc Cωκράτηc.] Ἀπαριθμηcάμενοc τὰ εἴδη ἐπὶ τὴν ἑκάcτου διδαcκαλίαν ἔρχεται, καὶ λέγει κύριον εἶναι τὸ τὴν ἰδίαν ⟨οὐcίαν⟩ ἐπαγγελλόμενον, τουτέcτι τὴν ἰδικὴν ἑκάcτου· τῶν γὰρ οὐcιῶν αἱ μέν εἰcιν ἰδικαί, αἱ δὲ κοιναί, ὡc Cωκράτηc, ἄνθρωποc. Ὃν δὲ τρόπον εἰρήκαμεν, ὅτι πᾶν ὄνομα ὑπὸ τὰ δύο εἴδη ἐcτὶ τὰ πρῶτα, οὕτω καὶ ἐνταῦθα ἐροῦμεν, ὅτι πᾶν ὄνομα ὑπὸ τὰ δύο εἴδη ἐcτὶ τὰ πρῶτα, φημὶ κύριον καὶ προcηγορικόν, μετὰ δὲ τοῦ εἶναι κύριον ἢ προcηγορικὸν καὶ ἑτέρῳ cυμβαίνει cημαινομένῳ κατέχεcθαι, οἷον ἐπιθέτῳ καὶ ἑξῆc.

Προcηγορικὸν δέ ἐcτι τὸ τὴν κοινὴν οὐcίαν cημαῖνον, οἷον ἄνθρωποc ἵπποc.] Τὸ προcηγορικὸν τὸ κοινὸν ἐπαγγέλλεται κοινῆc οὐcίαc δηλωτικὸν καὶ ἐπὶ κοινοῦ πράγματοc τιθέμενον καὶ οὐκ ἀφ' ἡμῶν ἔχον τὴν ὀνομαcίαν, οἷον ἄνθρωποc ἵπποc ἀρετή παιδεία βοῦc καὶ τὰ ὅμοια.

Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. — Ζητῆcαι ἄξιον, τί διαφέρει ἰδία οὐcία κοινῆc οὐcίαc. Καὶ ἔcτιν εἰπεῖν, ὅτι ἐν μὲν τῇ κοινῇ οὐcίᾳ ἅπαν τὸ εἶδοc τῷ αὐτῷ ὀνόματι λέγεται· οἷον τὸ ἄνθρωποc κοινὴν οὐcίαν δηλοῖ, καὶ οὐ μόνοc Cωκράτηc λέγεται ἄνθρωποc, ἀλλὰ καὶ Πλάτων καὶ Ἀλκιβιάδηc καὶ ἕκαcτοc, καὶ πάλιν τὸ ἵπποc κοινὴν οὐcίαν cημαίνει, καὶ οὐχ οὗτοc ὁ ἵπποc λέγεται ἵπποc ἢ ἐκεῖνοc, ἀλλὰ πᾶν τὸ τοιοῦτον εἶδοc·

20—24 hab. et. Σ^m ‖ 26—29 hab. et. Σ^m ‖ 30—233, 6 hab. et. Σ^l

3 Κατ' αἰτίαν — αἰτίαcιν (**4**) *Uhlig*, κατ' αἰτίαcίν φηcιν ἤτοι αἰτίαν C ‖ **5** προcφερόμεθα C ‖ **11** δὲ] καὶ C ‖ **18** οὐcίαν *add* b ‖ **19** ἰδικὴν] ἰδίαν Cb ‖ **20** ἰδικαὶ C, εἰδικαί b | εἰρήκαμεν] *vide v. 13* ‖ **21** οὕτω — πρῶτα (**22**) *add* V ‖ **23** μετὰ — προcηγορικὸν *add* V ‖ **26** κοινῆc *Stadtmüller*, τῆc CV ‖ **27** ἀφ' ἡμῶν V, ἐφ' ἡμῖν C ‖ **30** ἰδία Σ^l, κοινὴ (*sic*) C ‖ **33** ἄνθρωποc *add* Σ^lb ‖ **34** καὶ πάλιν — εἶδοc (**35**) *om* Σ^l | οὐχ b, οὐ C

τὸ δὲ Cωκράτης ἰδίαν οὐcίαν δηλοῖ, καὶ οὐ πᾶc ἄνθρωποc λέγεται Cωκράτης, καὶ πάλιν τὸ Αἴαc ἰδίαν οὐcίαν δηλοῖ, καὶ οὐ πᾶc ἄνθρωποc λέγεται Αἴαc· εἰ δέ τιc εὕροι τὸ Αἴαc μὴ μόνον ἐπὶ ἑνὸc λεγόμενον,
864b ἀλλὰ καὶ ἐπὶ ἑτέρου, μὴ οἰέcθω κοινὴν αὐτὸ οὐcίαν cημαίνειν· οὐ λέγεται γὰρ ἅπαν τὸ εἶδοc οὕτωc — οὐδὲ γὰρ πᾶc ἄνθρωποc λέγεται Αἴαc — ἀλλ' ὁμώνυμόc ἐcτιν ἡ φωνή.

Ἐπίθετον δέ ἐcτι τὸ ἐπὶ κυρίων ἢ προcηγορικῶν ὁμωνύμωc τιθέμενον καὶ δηλοῦν ἔπαινον ἢ ψόγον καὶ ἑξῆc.] Ἐπίθετόν ἐcτι τὸ δυνάμενον ἐπιτεθῆναι κυρίῳ καὶ προcηγορικῷ· ἐντεῦθεν γὰρ καὶ τρίτον τῇ τάξει τέτακται· ὥcπερ γὰρ ἐν τοῖc παραγώγοιc πρῶτον μὲν τέτακται τὸ πατρωνυμικόν, καθὸ ἀπὸ κυρίων ἔχει τὴν γένεcιν, καὶ δεύτερον τὸ κτητικόν, καθότι τοῖc κυρίοιc καὶ προcηγορικοῖc ὕλῃ κέχρηται, καὶ τρίτον τὸ cυγκριτικὸν τὸ ἐπιcυμβαῖνον κυρίῳ τε καὶ προcηγορικῷ, οὕτω καὶ ἐνταῦθα τὸ ἐπίθετον τρίτον τέταχεν ὡc ἐπιcυμβαῖνον κυρίῳ καὶ προcηγορικῷ. Δεῖ δὲ ἡμᾶc εἰδέναι, ὅτι ἐκεῖνό ἐcτιν ἐπίθετον τὸ παραλαμβανόμενον ψόγου ἢ ἐγκωμίου χάριν, ὡc τὸ ταχὺc ἵπποc ἢ λευκὸc Αἴαc. Ἔτι γε μὴν ἔcτι τινὰ τῶν ἐπιθέτων, ἅτινα οἰκείωc εἴληπται καὶ πολλάκιc ἀντὶ τοῦ κυρίου παραλαμβάνεται· ὥcπερ γλαυκῶπιν ἐὰν εἴπω, τὸ ἐπίθετον τῆc Ἀθηνᾶc, μὴ ἐπαγαγὼν τὸ κύριον ὄνομα αὐτῆc, ἐπίcταμαι τίνα ὀνομάζω καὶ ἀρκοῦμαι· ὁμοίωc καὶ ἐνοcίχθων εἰπὼν οὐ πάντωc δεήcει μοι καὶ τὸ κύριον ἐπαγαγεῖν, εἰ μὴ κατὰ ζῆλον τῶν ποιητῶν· ἐκεῖνοι γὰρ ἀνοικείωc τάccουcιν· ἰδοὺ γὰρ Εὐφορίων ὁ ποιητὴc περὶ τοῦ ἀρότρου εἶπεν ἐνοcίχθονι, καὶ τὴν ἐλαίαν γλαυκῶπιν.

Cτεφάνου εἰc τὸ αὐτό. — Τὸ ἐπίθετον τοῦτο κατηγορικὸν ὑπ' ἐνίων καλεῖται διὰ τὸ πάντῃ κατηγορεῖν κυρίων ἢ προcηγορικῶν· ὡc γὰρ τὰ ἐπιρρήματα τοῖc ῥήμαcι πάντωc cυναρτᾶται, οὕτω καὶ τὰ ἐπίθετα τοῖc ὀνόμαcιν. Διαφέρει οὖν προcηγορικοῦ ἐπίθετον, ὅτι τὸ μὲν αὐτοτελέc, οἷον ἄνθρωποc, τὸ δὲ τῆc ἑτέρου δεόμενον ἐπαγωγῆc, οἷον «ἀγαθὸc ὁ δεῖνα». Ὅcα δὲ τῶν ἐπιθέτων τὴν αἰτίαν τοῦ λέγεcθαι ἐξ ἡμῶν ἔχει, ταῦτα ἐπαίνου ἢ ψόγου ὑπάρχει cημαντικά, οἷον ταχύc βραδύc·
865b τὰ δὲ μὴ οὕτωc ἔχοντα μέcα, οἷον ὑγιήc ἀcθενήc πλούcιοc πένηc, ταῦτα ἀπὸ τῶν ἐκτόc ἐcτι τῶν ἐκ τύχηc cυμβαινόντων, ἃ μήτε ἔπαινον μήτε ψόγον δηλοῦcιν, ἀλλὰ μακαρίζουcι ἢ οἰκτείρουcιν. Λαμβάνεται δὲ τὸ ἐπί-

---

8—17 hab. et. Σ^m ‖ 10—235, 8 hab. et. Σ^1 ‖ 27—234, 1 hab. et. Σ^m

3 εὕροι Σ^1b, ἔροιτο C ‖ 5 ἄνθρωποc *et* 6 Αἴαc *add* Σ^1 ‖ 10 τρίτον τῇ CVΣ^1, τρίτῃ b ‖ 12 ὕλῃ V, cυλλαβῇ CE, cυλλαβὴ A ‖ 13 τὸ ἐπιc. — προcηγορικῷ V, *om* CΣ^1 ‖ 15 Δεῖ — Αἴαc (17) *om* Σ^1 ‖ 16 λευκὸc V, λωκρὸc C, Λοκρὸc b ‖ 23 *post* ἐνοcίχθ. *add* ἀρότρῳ Σ^1 ‖ 24—236, 8 *videntur esse Stephani* ‖ 24 Cτεφ. — αὐτό *om* Σ^1 | τοῦτο *om* Σ^1 | τοῦτο ⟨καὶ⟩ κατηγ. *GFSchoemann, Opp. acad. 4, 227 adn. 11* ‖ 26 πάντα CΣ^1 ‖ 28 τῆc *om* b ‖ 32 τῶν ἐκ τύχηc VΣ^1, ὡc ἐκ τύχηc *An. Ep. 299, 23*, τῆc ψυχῆc C ‖ 33 ἢ οἰκτείρουcιν] καὶ ψέγουcιν C

θετον παρὰ ποιηταῖς ἀπὸ τῶν μάλιστα συνεχῶν τρόπων κδ΄ τούτων· ἀπὸ φύσεως, ⟨Ε 442⟩ ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων· ἀπὸ γένους, ⟨cfr Α 1⟩ Πηλείδης Ἀχιλλεύς, ⟨ex. gr. Λ 246⟩ Ἀτρείδης Ἀγαμέμνων· ἀπὸ εἴδους, ⟨ex. gr. Α 206⟩ γλαυκῶπις Ἀθήνη, ⟨ex. gr. Α 551⟩ βοῶπις πότνια Ἥρη· ἀπὸ τόπου, ⟨ω 1⟩ Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο· ἀπὸ φορήματος, ⟨cfr κ 277⟩ χρυσόρραπις Ἑρμῆς, ⟨ex. gr. Β 816⟩ κορυθαίολος Ἕκτωρ· ἀπὸ τύχης, ⟨Γ 182⟩ ὦ μάκαρ Ἀτρείδη, μοιρηγενές, ὀλβιόδαιμον· ἀπὸ ἕξεως, ⟨ex. gr. Α 311⟩ πολύμητις Ὀδυσσεύς, ⟨Δ 59⟩ Κρόνος ἀγκυλομήτης· ἀπὸ δυνάμεως, ⟨ex. gr. β 100⟩ μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο· ἀπὸ αἱρέσεως, ⟨ex. gr. Γ 424⟩ φιλομμειδὴς Ἀφροδίτη· ἀπὸ πράξεως, ⟨θ 335⟩ Ἑρμεία, Διὸς υἱέ, διάκτορε, δῶτορ ἑάων· ἀπὸ ἐνεργείας, ⟨Ε 31. 455⟩ Ἆρες Ἄρες, βροτολοιγέ, μιαιφόνε, τειχεσιβλῆτα· ἀπὸ πάθους, ⟨λ 41⟩ ἄνδρες ἀρηΐφατοι, βεβροτωμένα τεύχε' ἔχοντες· ἀπὸ συμβεβηκότος, ⟨Β 496⟩ Αὐλίδα πετρήεσσαν, ⟨Β 497⟩ πολύκρημνόν τ' Ἐτεωνόν· ἀπὸ ἐπιπολάζοντος, ⟨Β 503⟩ ποιήενθ' Ἁλίαρτον, ⟨Β 537⟩ πολυστάφυλόν θ' Ἱστίαιαν· ἀπὸ κτήματος, ⟨Γ 185⟩ Φρύγας ἀνέρας αἰολοπώλους· ἀπὸ χρώματος, ⟨cfr ι 125 cum λ 124. ψ 271⟩ νέας μιλτοπαρῄους· ἀπὸ σχήματος, ⟨ex. gr. Ε 453⟩ ἀσπίδας εὐκύκλους· κατὰ τὸ ἑστώς, ⟨Ν 799⟩ κυρτὰ φαληριόωντα· κατὰ τὸ κινούμενον †· ἀπὸ ἀναλογισμοῦ, ⟨ex. gr. Α 55⟩ λευκώλενος Ἥρη· δεῖ γὰρ ἀνα- 866b λογίσασθαι, ὅτι ὁ ἀὴρ λευκὸς λέλεκται διὰ τὸ τὰ ἄκρα περιλάμπεσθαι· ⟨cfr ex. gr. Α 607⟩ Ἥφαιστος ἀμφιγυήεις, διὰ τὴν κρᾶσιν τοῦ πυρός· ⟨Ε 500⟩ ξανθὴ Δημήτηρ, διὰ τὸ περὶ τὴν ὥραν τοῦ θέρους χρῶμα· ἐκ τοῦ ὁμολογουμένου, ⟨Δ 434. Ε 902⟩ γάλα λευκόν καὶ τὸ ⟨δ 458⟩ ὑγρὸν ὕδωρ, ⟨cfr ex. gr. Β 699⟩ γῆ μέλαινα· ἀπὸ ἰδιωνύμου, ὅταν ἰδίως καὶ μόνως ἐπί τινων τιθῆται, ⟨ex. gr. Α 511⟩ νεφεληγερέτα Ζεύς, ἐνοσίχθων ὁ Ποσειδῶν· ἀπὸ τοῦ πάσχοντος †· ἐπὶ τὸ ποιοῦν, ⟨ex. gr. Η 479⟩ χλωρὸν δέος, ⟨ex. gr. Β 455⟩ πῦρ ἀΐδηλον. Πρὸς ἱστορίαν ζῴων τετραχῶς· κατὰ κίνησιν, ⟨Γ 327. Ψ 475⟩ ἵπποι ἀερσίποδες, ⟨ex. gr. Ι 466⟩ εἰλίποδας βοῦς· κατὰ σχῆμα, ⟨cfr τ 538⟩ ἀγκυλοχεῖλαι ἀετοί, ⟨cfr Β 460. Ο 692⟩ κύκνοι δουλιχόδειροι, ⟨cfr ε 66⟩ τανύγλωσσοι κορῶναι· κατὰ χρῶμα, ⟨κ 85⟩ ἄργυφα μῆλα, ⟨τ 518⟩ χλωρηῒς ἀηδών [καὶ ⟨Rufinus in Anthol. V 73, 4⟩ κυαναυγὲς ἴον]· κατὰ συμβεβηκὸς ἰδίωμα, ⟨cfr ex. gr. Β 474⟩

1 συνεχῶν VΣ^1 *et An. Ep.*, συνεχόντων C | κδ΄] εἴκοσι δύο C, κβ΄ Σ^1, κυρίων V *et An. Ep.* ‖ 2 τε *et* τ' *add* Σ^1 ‖ 8 τύχης *Stadtmüller*, ψυχῆς C Σ^1 ‖ 18 θ'] τε C ‖ 19 νέας — σχήματος (20) *add* Σ^1 ‖ 21 φαληρεόων τὰ Σ^1, φαλακρυόωντα C ‖ 22 *exemplum om* CΣ^1 ‖ 23 ὁ *add* Σ^1 | τὰ *add* Σ^1 ‖ 25 Δημήτηρ] δὲ μήτηρ C ‖ 27 γῆ CΣ^1, γῆ μέλαινα *Anacr. 21, 1 B*[4] ‖ 28 τίθεται CΣ^1 ‖ 29 *exemplum om* CΣ ‖ 33 ἀγκυλοχεῖται C; *videtur confudisse* τ *538 et* χ *302* | δολιχόδειροι C ‖ 35 καὶ — ἴον (36) *hab.* CΣ^1

πλατέα τὰ τῶν αἰγῶν αἰπόλια, διεσπαρμένως γὰρ βόσκονται, ⟨κ 243⟩ σύες χαμαιευνάδες, καθεύδουσι γὰρ πολὺ εἰς τὸ κάτω τῆς γῆς ἑαυτὰς καλινδοῦσαι, καὶ ⟨Ο 690⟩ αἰετὸς αἴθων· οὕτω γὰρ θερμός, ὡς τὰ πτερὰ αὐτοῦ πλησιάζοντα ἄλλοις πτεροῖς καίειν αὐτά· ⟨cfr Δ 105⟩ ἴξαλον αἶγα, τὸν ἱκνούμενον εἰς τοὺς ἅλας· ἱστορεῖται γὰρ περὶ τὰς τῶν σωμάτων ἐξανθήσεις ἁλσὶ χρῆσθαι. Πρὸς ἱστορίαν δὲ φυτῶν, ὡς ⟨κ 510⟩ ἰτέαι ὠλεσίκαρποι· ἱστορεῖται γὰρ ὅτι ἡ πιοῦσα γυνὴ τὸ τῆς ἰτέας ἄνθος ἀποβάλλει τὸ ἐν τῇ γαστρὶ βρέφος.

Πρός τι δέ ἐστιν ἔχον ὡς πατήρ υἱός φίλος δεξιός.] Πρός τι ἔχον ἐστὶ τὸ κατὰ πᾶν πρὸς ἑτέραν σχέσιν νοούμενον, καθ' αὑτὸ δ' ἀνυπόστατον, οἷον πατήρ υἱός ἑταῖρος· ταῦτα ⟨γὰρ⟩ σὺν ἑτέροις νοεῖται, οἷον πατήρ τινος, υἱός τινος. Διαφέρει ⟨δὲ⟩ τὸ πρός τι τοῦ ὡς πρός τι ἔχοντος, ὅτι τὸ μὲν πρός τι ἔχον συνιστάμενον συνίστησι ⟨καὶ ἀναιρούμενον συναναιρεῖ τὸ ἕτερον· συνιστάμενος γὰρ ὁ πατὴρ συνίστησι⟩ καὶ παρεισάγει ⟨καὶ⟩ τὸν υἱόν, καὶ πάλιν ἀναιρούμενος ὁ πατὴρ συναναιρεῖ καὶ τὸν υἱόν· μὴ γὰρ ὄντος τοῦ πατρὸς ἀνάγκη καὶ τὸν υἱὸν μὴ εἶναι· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. Τὸ δὲ ὡς πρός τι τὸ ἐναντίον συνιστάμενον ἀναιρεῖ, ἀναιρούμενον δὲ συνίστησιν, ὡς νὺξ τὴν ἡμέραν.

867b Ὡς πρός τι ἔχον δέ ἐστιν ὡς νύξ ἡμέρα, θάνατος ζωή.] Καὶ αὐτὸ τὸ ὡς πρός τι ἔχον ⟨πρὸς ἕτερον⟩ τὴν σχέσιν ἔχει, ἀλλ' ἀναιρετικὸν γίνεται τοῦ ἑτέρου· τούτῳ γὰρ καὶ διαφέρει τοῦ πρός τι ἔχοντος τὸ ὡς πρός τι ἔχον, καίπερ δοκοῦν ὅμοιον εἶναι. Τὸ μὲν γὰρ πρός τι ἔχον καὶ συνευρίσκεται καὶ συναπόλλυται, τὸ δὲ ὡς πρός τι ἔχον ἓν τοῦ ἑτέρου ἀναιρετικόν ἐστιν· οἷον ἐπὶ τοῦ πρός τι ἔχοντος, ὠνόμασας πατέρα, συνονομάζεις καὶ υἱόν, ἀνεῖλες τὸν υἱόν, συναναιρεῖς καὶ τὸν πατέρα· υἱοῦ γὰρ μὴ ὄντος πατέρα εἶναι πῶς ἐγχωρεῖ; Ἔστι δὲ τοῦτο σαφέστατα γνῶναι καὶ ἀπ' αὐτοῦ τοῦ ποιητοῦ· ἡνίκα γὰρ τὸν Ὀδυσσέα παρεισάγει ἐπαπειλούμενον τῷ Θερσίτῃ, διδάσκει τοῦτο ⟨Β 259⟩ ⟨μηκέτ'⟩ ἔπειτ' Ὀδυσ[σ]ῆϊ κάρη ὤμοισιν ἐπείη· καὶ ταύτην μὲν τὴν ἀρὰν ἑαυτῷ ἔθετο, τουτέστι «μὴ εἴην ἐν τοῖς ζῶσιν»· τὸν δὲ ἑξῆς στίχον κατὰ τοῦ παιδός· ἔφη γὰρ ⟨Β 260⟩ μηδ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην· τινὲς δὲ ἐνόμισαν καὶ τοῦτο ἑαυτῷ ⟨αὐτὸν⟩ τεταχέναι, ἵνα τὸ ῥητὸν εἴη «ἀποθάνοιμι καὶ μὴ εἴην πατὴρ Τελεμάχου». Ἐπὶ δὲ τοῦ ὡς πρός τι οὐκέτι τοῦτον ἔχεις τὸν τρόπον, ἀλλ' ὀνομάζεις ἓν καὶ τὸ ἕτερον ἀναιρεῖς· ἐὰν γὰρ εἴπῃς νύξ, ἀνῄρηται ἡ ἡμέρα, καὶ φῶς εἰπὼν ἀναιρεῖς τὸ σκότος.

---

2 πολὺ Σ^1, πολ (*sic*) C ‖ **3** καλινδοῦσαι CΣ^1 | αἰετὸς Σ^1, ἀετὸς C ‖ **5** γὰρ *add* Σ^1b | περὶ C, παρὰ Σ^1 ‖ **6** χρᾶσθαι CΣ^1 ‖ **10** ἑτέρου *An. Ep. 302, 2* ‖ **13** καὶ ἀναιρ. — υἱόν (**15**)] καὶ παρεισάγει τὸν υἱόν C; *paulo aliter suppleverunt AHart lib. gymn. Luisenst. Berol. 1871, p. 30; Egenolff An. Ep. 301, 24; ThMatthias Ann. Phil. suppl. 15, 597 adn. 8* ‖ **20** Καὶ — ἔχει] τὸ αὐτὸ ὡς πρός τι ἔχον τὸ σχέσιν ἔχει C ‖ **24** ἑτέρου] ἑνὸς C ‖ **28** διδ. τοῦτο· ⟨ἐπαρᾶται δ' ἐκεῖνος⟩ μηκ. *Stadtmüller* ‖ **31** *ante* κατὰ *add* καὶ b ‖ **32** δὲ] γὰρ C | ἑαυτῷ b, ἑαυτὸ C ‖ **34** ἔχει C ‖ **35** εἴπῃς b, εἴποις C

Ὁμώνυμον δέ ἐστιν ὄνομα τὸ κατὰ πολλῶν ὁμωνύμως τιθέμενον, οἷον ἐπὶ μὲν κυρίων, ὡς Αἴας ὁ Τελαμώνιος καὶ Αἴας ὁ Ἰλέως, ἐπὶ δὲ προσηγορικῶν, ὡς μῦς θαλάσσιος καὶ μῦς γηγενής.] — Στεφάνου. — Ὁμώνυμόν ἐστι τὸ ἐναντίον τῷ συνωνύμῳ, καὶ λέξις δὲ διὰ μιᾶς φωνῆς δύο ἢ καὶ πλείονας διαφορὰς σημαίνουσα, οἷον Φοῖνιξ ⟨κύων⟩· Φοῖνιξ γὰρ καλεῖται ὁ ἀπὸ Φοινίκης, καὶ τὸ δένδρον, καὶ ὁ Ἀχιλλέως τροφεύς, καὶ κύων ὁ ἐπίγειος καὶ ὁ θαλάσσιος καὶ ὁ οὐράνιος, καὶ τὰ ὅμοια.

Εἰς τὸ αὐτό. — Ὁμώνυμόν ἐστι τὸ ὅμοιον ὄν, διαφόροις δὲ οὐσίαις ὑποκείμενον· διαφέρει δὲ τοῦ συνωνύμου, ὡς ὁμόδουλος τοῦ συνδούλου· ὁμόδουλοι γάρ εἰσιν οἱ μετέχοντες ὁμοίας τύχης δουλικῆς, σύν- 868b
δουλοι δὲ οἱ σὺν ἀλλήλοις δουλεύοντες.

Συνώνυμον δέ ἐστι τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν, οἷον ἄορ ξίφος μάχαιρα φάσγανον σπάθη.] Συνώνυμον δέ ἐστιν ὃ διὰ πλειόνων ἓν ὑποκείμενον σημαίνει, οἷον μέροψ βροτός ἄνθρωπος, πολλὰ ὀνόματα καθ' ἑνὸς πράγματος τιθέμενα· τὸ μὲν γὰρ ξίφος ἕν ἐστι, κατ' αὐτοῦ δὲ πολλὰ ὀνόματα, ὡς ἔγχος φάσγανον κνώδων καὶ ἐγχειρίδιον, καὶ εἴ τι ἕτερον περὶ τούτου τοῖς ἀρχαίοις εἴρηται· τὰ γὰρ πάντα ἓν μόνον σημαίνει, τὸ ξίφος.

Καὶ ἄλλως. — Στεφάνου. — Συνώνυμόν ἐστι τὸ ἐν πλείοσιν ὀνόμασι μιᾷ οὐσίᾳ ὑποκείμενον, οἷον μέροψ βροτός ἄνθρωπος, ἅπερ οἱ Περιπατητικοὶ πολυώνυμα λέγουσιν, ὁμώνυμα δὲ τὰ τὸ αὐτὸ γένος ἔχοντα καὶ τὴν αὐτὴν οὐσίαν, ⟨οἷον⟩ τὸ ἄνθρωπος ἵππος ἔλαφος ὁμώνυμά φασιν, ἐπεὶ τὰ τρία κατὰ ἀρρένων καὶ ⟨θηλέων⟩ ζῴων ἐτάχθη.

Φερώνυμον δέ ἐστι τὸ ἀπό τινος συμβεβηκότος τεθέν, ὡς Τισαμενός καὶ Μεγαπένθης.] Τὸ φερώνυμον δύναμιν ἔχει τοιαύτην· φορὰν καλοῦσιν οἱ φιλόσοφοι τὴν τύχην· τὸ οὖν ἀπὸ τύχης τινὸς συμβαινούσης ὀνομαζόμενον ὄνομα λέγεται [τὸ] φερώνυμον· τὸν γὰρ Μενελάου παῖδα Μεγαπένθην εἰρῆσθαι διὰ τὰ τῷ Μενελάῳ συμβεβηκότα· τῆς γὰρ Ἑλένης ἁρπαγείσης συνέβη τὸ τηνικαῦτα τὸν Μενέλαον οὐ τὰς τυχούσας λύπας ἔχειν· καὶ πάλιν Ὀρέστης ἐπειδὴ τὴν Κλυταιμνήστραν ἐτίσατο Τισαμενὸν τὸν παῖδα αὐτοῦ ἐκάλεσεν. Λέγει δὲ καὶ ὁ ποιητὴς περὶ Ὀδυσσέως ⟨τ 407. 409⟩ πολλοῖσι⟨ν⟩ γὰρ ἔγωγ⟨ε⟩ ὀδυσ⟨σ⟩άμενος τόδ' ἱκάνω. Τῷ δ' Ὀδυσ[σ]εὺς ὄνομ' ἔστω ἐπώνυμον,

---

4—8 hab. et. Σ^m ‖ **10—12 hab. et. Σ^m**

4 Στεφάνου *in marg.* C ‖ **5** δὲ *add* V | καὶ (*post* ἢ) *add* V ‖ **6** φοῖνιξ· φοῖνιξ V, φοῖνιξ τε (*sic*) C ‖ **7** ὁ *ante* θαλ. *et ante* οὐρ. *add* V ‖ **11** μετέχοντες Vb, μετασχόντες C ‖ **20—237, 5** *videntur esse Stephani* ‖ **20** Καὶ — Στεφ. *in marg.* C ‖ **22** περιπατικοὶ C | ὁμώνυμα] συνώνυμα *AHart, itemque v. 23* συνώνυμά φασιν, *non recte;* cfr Σ[1] ‖ **24** ἐτάχθη C, ἐλέχθη b ‖ **34** Τῷ δ'] τὸ γὰρ C

ἀντὶ τοῦ φερώνυμον. ⟨Λέγεται δὲ φερώνυμον⟩ καὶ τὸ τεθὲν ἐκ γενετῆς, ὕστερον δὲ τῷ ὀνομασθέντι οἰκεῖον γενόμενον, οἷον ὡς ἔτυχεν οἱ
869b γονεῖς τὸν Δημοσθένην ὠνόμασαν, ὕστερον δὲ σθένος εὑρέθη τοῦ δήμου· καὶ Θυέστης δὲ καὶ Πενθεύς καὶ Μελέαγρος· οὕτω μὲν γὰρ ἐκ γενετῆς ὠνόμαστο, ἀνδρωθέντι δὲ αὐτῷ ἐμέλησε περὶ ἄγρας.

Διώνυμον δέ ἐστιν ὀνόματα δύο καθ' ἑνὸς κυρίου τεταγμένα, οἷον Ἀλέξανδρος ὁ καὶ Πάρις.] Διώνυμον δέ ἐστιν οὗ τὰ δύο ὀνόματα καθ' ἑνὸς τέτακται, ἔκ τε τῆς τῶν κυρίων ὕλης καὶ τῆς τῶν ἐπιθέτων ⟨τῶν⟩ μόνῳ συμβάν⟨των⟩, ὡς τὸ Φοῖβος Ἀπόλλων καὶ ἐνοσίχθων ὁ Ποσειδῶν· καὶ τούτων ἓν ἀντὶ ἑνὸς παραλαμβανόμενον ἀναπληροῖ τὸ ζητούμενον.

Εἰς τὸ αὐτό. — Διώνυμόν ἐστιν ὅταν δύο ὀνόματα τεθῇ τινι, καὶ μετὰ τοῦ κυρίου συμπαραλαμβάνηται ἕτερόν τι ἐπίθετον ἐκείνῳ μόνῳ συμβάν, ὥσπερ Ἀλέξανδρος καὶ Πάρις ὁ αὐτός· διὰ τοῦτο δὲ εἶπον «μόνῳ συμβάν», μόνῳ γὰρ τῷ Ἀλεξάνδρῳ συμβέβηκε τὸ Πάριν καλεῖσθαι· διὰ τοῦτο γὰρ καὶ ὁ τεχνικὸς εἶπεν «οὐκ ἀναστρέφοντος τοῦ λόγου»· οὐ γὰρ εἴ τις Ἀλέξανδρος κέκληται, πάντως ἤδη καὶ Πάρις ὀνομάζεται. Εἴρηται δὲ ἐκεῖνος Πάρις ἢ διὰ τὸ παρεῖναι ἐν τῇ κρίσει τῶν θεῶν, ὅτε περὶ τοῦ μήλου ἤρισαν αἱ τρεῖς θεαί, Ἥρα, Ἀθηνᾶ καὶ Ἀφροδίτη· ἢ διὰ τὸ ἀπὸ πήρας τὴν τροφὴν ἐσχηκέναι· ἐκτεθεὶς γὰρ ὑπὸ Πριάμου ἀνῃρέθη ὑπό τινος βουκόλου, παρ' οὗ καὶ ἀνετράφη ἀπὸ τῆς πήρας· ὥστε οὖν τοῦτο οὐκ ἂν συμβαίη ἑτέρῳ Ἀλεξάνδρῳ λεγομένῳ.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνου. — Διώνυμόν ἐστι τὸ μίαν οὐσίαν δυσὶν ὀνόμασι δηλοῦν, Ξάνθος Σκάμανδρος, Πάρις Ἀλέξανδρος. Διωνυμίας δὲ τρόποι παρὰ τῷ ποιητῇ τέσσαρες· ἢ γὰρ ὑπ' ἀνδρῶν καὶ γυναικῶν ποιεῖ καλούμενόν τινα τῷ αὐτῷ ὀνόματι, ⟨Η 138 seq⟩ δίου Ἀρηϊθόου, τὸν ἐπίκλησιν Κορυνήτην Ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες· ἢ ἑτέρως τοὺς οἰκείους καλοῦντας, ἑτέρως δὲ τοὺς
870b ἐκτός, ⟨Ζ 402⟩ τόν ῥ' Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ

12—22 hab. et. Σ^{m} ‖ **23—238, 6 hab. et.** $\Sigma^{m}\Sigma^{1}$

5 ἀνδρωθέντος C, *corr.* b ‖ **7** *post* Πάρις *add* δύο ὀνόματα καθ' ἑνὸς τέτακται C ‖ **8** τῶν *ante* κυρ. *om Uhlig* | τῆς τῶν ἐπιθ.] τῆς ἐξ ἐπιθ. C, τῆς ἐπιθέτων *vel* ἐκ τῆς ἐπιθέτων *Uhlig* ‖ **10** τούτων] τοῦτο C ‖ **11** ἀναπληροῖ τὸν C, ἀποπληροῖ τὸν b ‖ **12** εἰς τὸ αὐτό *in marg.* C ‖ **13** μόνῳ *add* V b ‖ **15** τὸ *add* V | κεκλῆσθαι V ‖ **16** γὰρ *add* V ‖ **19** καὶ *add* V ‖ **22** *post* πήρας *add* V: τουτέστιν ἀπὸ τῆς πηρικῆς σπυρίδος τὴν τροφὴν ἔχων· ἐπεὶ γοῦν ἐκ πήρας ἀνετράφη, καὶ ἐξ αὐτῆς αὐτὸν ἀνεθρέψατο ὁ τοῦτον ἀνελόμενος, ἐκαλεῖτο Πάρις | συμβ. παντὶ λεγομένῳ Ἀλεξάνδρῳ V ‖ **23** Εἰς — Στεφ. *in marg.* C, *om* V Σ^{1} ‖ **24** οὐσίαν δυσὶν ὀνόμασιν V, οὐσίαν ὀνόμασι δυσὶ Σ^{1}, ὀνομασίαν C ‖ **25** Διωνυμίας — θεοί (**238, 6**) *habet etiam* O *fol. 220*ᵛ ‖ **28** τοὺς οἰκ. καλοῦντας (-τα C) — ἐκτός (**29**) C Σ^{1} O, μὲν τοῖς οἰκείοις καλούμενον, ἑτέρως δὲ τοῖς ἐκτός V

ἄλλοι Ἀστυάνακτα· ἢ δύο ὀνομάτων ὄντων τὸ μὲν σεμνότερον ἤγουν ἐντιμότερον τοῖς θεοῖς, τὸ δὲ δυσφορώτερον τοῖς ἀνθρώποις περιάπτει, ⟨Υ 74⟩ ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον· ἢ μόνον τὸ τῶν θεῶν λέγει, τὸ τῶν ἀνθρώπων ἀποσιωπῶν, ⟨μ 61⟩ Πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσι, καὶ ⟨κ 305⟩ μῶλυ δέ μιν καλέουσι θεοί.

Ἐπώνυμον δέ ἐστιν, ὃ καὶ διώνυμον καλεῖται, τὸ μεθ' ἑτέρου κυρίου καθ' ἓν λεγόμενον, ὡς ἐνοσίχθων ὁ Ποσειδῶν καὶ φοῖβος ὁ Ἀπόλλων.] Ἐπώνυμόν ἐστι τὸ ἐπιθετικὸν καὶ κυρίου τάξιν ἔχον καὶ δυνάμενον ἀπὸ τῆς τοῦ συμβεβηκότος δυνάμεως καθ' αὑτὸ δηλῶσαι τὸ κύριον, οἷον ὑψιβρεμέτης φανερὸν ὅτι ὁ Ζεύς, γλαυκῶπις ἡ Ἀθηνᾶ, καὶ φοῖβος ὁ Ἀπόλλων, καὶ τὰ ὅμοια.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνου. — Ἐπώνυμον δέ ἐστι δύο ὀνόματα καθ' ἑνὸς τεταγμένα, ὧν τὸ μὲν κύριον, τὸ δ' ἐπίθετον δύναμιν ἔχον κυρίου διὰ τὸ ἴδιον εἶναι τοῦδέ τινος, ὡς ἃ παρέθετο, καὶ τὸ γλαυκῶπις καὶ ἐριούνης εὐρύοπα νεφεληγερέτα. Διαφέρει οὖν τὸ διώνυμον τοῦ ἐπωνύμου, καθὸ τοῦτο μὲν οὐκ ἀντιστρέφει, ὡς καὶ αὐτός φησιν, οὐ γὰρ εἴ τις Ἀλέξανδρος οὗτος καὶ Πάρις· τὸ δὲ ἐπώνυμον ἀντιστρέφει· ὁ γὰρ Ποσειδῶν ⟨ὁ⟩ αὐτὸς ⟨καὶ⟩ ἐνοσίχθων ⟨καὶ ὁ ἐνοσίχθων ὁ⟩ αὐτὸς καὶ Ποσειδῶν, ὁ Ἀπόλλων φοῖβος καὶ φοῖβος Ἀπόλλων, ἡ Ἡμέρα ἠριγένεια καὶ ἠριγένεια Ἡμέρα.

Ἐθνικὸν δέ ἐστι τὸ ἔθνους δηλωτικόν, οἷον Φρύξ Γαλάτης.] Τὸ ἐθνικὸν δεῖ ἀκριβῶς εἰδέναι πόθεν. Γίνεται δὲ τετραχῶς, ἀπὸ γένους, ἀπὸ χώρας, ἀπὸ πόλεως, ἀπὸ βασιλέως· ἀπὸ γένους μέν, ὡς Ἕλλην καὶ βάρβαρος, ἀπὸ δὲ χώρας, ὡς Θεσσαλός, ἀπὸ δὲ πόλεως, ὡς Φθιώτης, ἀπὸ δὲ βασιλέως, ὡς Ἀχαιός καὶ Δαναός. Τοῦτο οὖν 871 b ἐστι τὸ ἔθνους δηλωτικόν, ὡς καὶ αὐτὸς παρέθετο, ὁ Φρύξ Γαλάτης, ὡς ἐν εἰσαγωγῇ.

Ἐρωτηματικὸν δέ ἐστιν, ὃ καὶ πευστικὸν καλεῖται, τὸ κατ' ἐρώτησιν λεγόμενον, οἷον τίς ποῖος πόσος πηλίκος.] Διαφέρει τὸ ἐρωτηματικὸν τοῦ πευστικοῦ τῇδε, καθὸ τὸ μὲν ἐρωτηματικὸν σύντομον ἔχει καὶ συμβολικὴν τὴν ἀπόκρισιν· ἐὰν γὰρ ἐρωτήσῃς τινά, ἢ τὸ ναί λέγει ἢ τὸ οὔ, ἅπερ ἐστὶ συμβολικά· τὸ δὲ πευστικὸν μακρηγορίας δεῖται καὶ διὰ πολλῶν ἀπολογίας, ὡς καὶ παρὰ τῷ Μενάνδρῳ εὑρίσκομεν

9—12 hab. et. Σ^m ‖ 13—16 similia hab. et. Σ^m ‖ 23—26 hab. et. Σ^m

2 δυσφορώτερον CV, δυσφωνότερον O, ἀτιμότερον Σ^l ‖ **3** ὃν V, οἷον CΣ^lO ‖ **5** καὶ — θεοί (6) *om* Σ^l | καὶ C, *om* VO ‖ **9** ἐπιθετικὸν V, ἐπιθετικοῦ C ‖ **13—28** *videntur esse Stephani* ‖ **13** Εἰς — Στεφ. *in marg.* C ‖ **14** τεταγμένα V, κυρίου C ‖ **16** νεφεληγερέτας C ‖ **19** ὁ γὰρ ποσειδῶν αὐτὸ ἐνοσίχθων αὐτὸς καὶ Ποσ. C ‖ **27** ἔθνους b, ἔθνος C

10 ⟨fr. 869 K⟩ πυθοῦ παρ' αὐτῆς διὰ τίν' αἰτίαν, ἀντὶ τοῦ «ἐρωτήcας
ἄκουcον»· ἥδε ⟨δὲ⟩ διὰ πολλῶν ἀπόδοcιc ἦν καὶ οὐ cυμβολική, ὥcπερ
ἡ τοῦ ἐρωτηματικοῦ. Οὕτωc καὶ ὁ τεχνικὸc παρατίθεται τὸ τίc ποῖοc
πόcοc ⟨πηλίκοc⟩· ταῦτα γὰρ ὀνόματά ἐcτιν ἐρωτήcειc cημαίνοντα.

29 Ἰcτέον δὲ ὅτι τοῦ μὲν πευcτικοῦ ἐννέα λέξειc μόναι εἰcίν, τέccαρα
ὀνόματα, τίc ποῖοc πόcοc πηλίκοc, πέντε δὲ ἐπιρρήματα, πῇ ποῦ πότε
πηνίκα πῶc· ἐρωτηματικαὶ δὲ cχεδὸν εἰπεῖν πᾶcαι αἱ λέξειc· δύναται
γὰρ πᾶcα λέξιc εἶναι ἐρωτηματική, τῆc φωνῆc καὶ τῆc ὑποκρίcεωc μόνον
872b καθελκομένηc. Καὶ ὅτι τῷ μὲν ἐρωτηματικῷ ἢ τὸ ναί ἢ τὸ οὔ πάντωc
προcυπακούεται, τῷ δὲ πευcτικῷ οὐκέτι, ἀλλὰ ἢ οὐcία ἢ ποιότηc ἤ
33 τι τοιοῦτον. — Τὸ δὲ τίc μόριον ὅταν μὲν ὀξυτονῆται, τότε ἐρωτημα-
873b τικόν ἐcτιν, ἐὰν δὲ ἐγκλίνηται, ἔcται ἀόριcτον ἢ ἀποφαντικόν, καὶ ἀρcε-
νικοῦ καὶ θηλυκοῦ κοινόν.

872,5b Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. — Cτεφάνου. — Διαφέρει πευcτικὸν
ἐρωτηματικοῦ· τῷ γὰρ ἐρωτηματικῷ ἀποχρήcει τὸ ναί ἢ τὸ οὔ, καὶ
ἀνάνευcιc ἢ ἐπίνευcιc, τῷ δὲ ⟨πευcτικῷ⟩ πάντωc ἀποκρίcεωc δεῖ·
καὶ ἡ μὲν ἐρώτηcιc ἐπὶ παντὸc μέρουc λόγου ⟨γίνεται⟩, ἡ δὲ πεῦcιc
ἐπ' ὀνομάτων ἢ ἐπιρρημάτων. Ἐρωτῶμεν δὲ μαθεῖν ἐθέλοντεc διὰ
10 τοῦ τίc οὐcίαν, [ἄνθρωποc ἢ λέων]· τῷ δὲ ποῖοc [καὶ πότεροc]
πᾶν ἐπίθετον ἐπαχθήcεται, πλὴν τῶν ἐπὶ cωματικοῦ μεγέθουc· «ποῖοc
Cτέφανοc; ὁ ἰατρόc· ποῖοc πύκτηc; ὁ ταχύc, ὁ λευκόc, ὁ μέγαc»· τῷ
δὲ πόcοc τὸ πολύc ἢ μικρόc· τοῦτο δὲ καὶ ἐπὶ μεγέθουc τάττεται,
«πόcοc ὄχλοc; πόcοc cτρατόc»· τῷ πηλίκοc τὰ ἐπὶ μεγέθουc, μέγαc βρα-
330,30 χύc παχύc λεπτόc· τῷ δὲ πόcτοc τὰ ἀριθμητικά, δεύτεροc τρίτοc· τῷ
ποδαπόc τὰ ἐθνικά, Ῥόδιοc Θρᾷξ, ἔcθ' ὅτε ⟨δὲ⟩ καὶ τὰ τῆc ποιότητοc,
20 λευκόc ξανθόc· Cοφοκλῆc οὖν ἐν Ὀδυccεῖ Ἀκανθοπλῆγι τῷ ποδαπόc
ἀντὶ τοῦ ποῖοc χρηcάμενοc ἀκυρολογεῖ, ⟨fr. 415 N²⟩ ποδαπὸν τὸ
δῶρον ἀμφὶ φαιδίμοιc ἔχων Ὤμοιc; — Τὰ δὲ ὑπὲρ μίαν cυλλαβὴν
ἐρωτηματικὰ καταβιβάζοντα τὸν τόνον ἀόριcτα γίνεται, οἷον ποιόc ποcόc
πηλικόc· ἀποβάλλοντα δὲ τὸ κατ' ἀρχὴν cύμφωνον ἀναφορικὰ γίνεται,
οἷον πόcοc ὅcοc, ποῖοc οἷοc, πηλίκοc ἡλίκοc, ἃ προcλαμβάνοντα τὸ τ̄
ἀνταποδοτικὰ γίνεται, τόcοc τοῖοc τηλίκοc· ταῦτα δὲ τὰ διὰ τοῦ τ̄ καὶ
παράγεται διὰ τοῦ οὗτοc, τοιοῦτοc τοcοῦτοc τηλικοῦτοc — ἔcτι δὲ ἡ

5—9 hab. et. $\Sigma^m \Sigma^1$ ‖ 11—13 hab. et. Σ^m ‖ 14—18 hab. et. Σ^m ‖ 18—240, 16 hab. et. Σ^1 ‖ 28—240, 2 hab. et. Σ^m

1 αὐτῆc b, αὐτοῖc C ‖ **2** ἥδε δὲ] ἡ δὲ C ‖ **11** ὀξυτονεῖται C ‖ **12** καὶ ἀρc.] ἢ ἀρc. C ‖ **14—241, 14** *videntur esse Stephani* ‖ **14** Εἰc — Cτεφ. *in marg.* C ‖ **15** ἐρωτηματικῷ V, ἐρωτήματι C ‖ **19** ἄνθ. ἢ λέων *om* Σ^1 | τῷ b, τὸ CΣ^1 | καὶ πότεροc *hab.* CΣ^1 ‖ **21** τῷ b, τὸ CΣ^1 ‖ **24** πόcτοc A, πόcοc C ‖ **26** οὖν *add* Σ^1 | ὀδυccεῖα ἀκανθ. C | *post* τῷ *add* δὲ C ‖ **27** ἀκυρολογεῖ Σ^1, ἀκριβολογεῖ C ‖ **28** ἔχων b, ἔχον CΣ^1 ‖ **30** πηλίκοc C ‖ **32** γίνονται C | ταῦτα δὲ τὰ Σ^1, ταῦτα δὲ V, τὰ δὲ C ‖ **33** διὰ — τοιοῦτοc V, διὰ τοιοῦτοc τοῦ οὗτοc C, διὰ τὸ (διατί A) οὗτοc τοιοῦτοc Σ^1

παραγωγὴ κατὰ γένος, κατὰ πτῶσιν, κατὰ ἀριθμόν — καὶ ἐπεκτείνεται 30
διὰ τοῦ δε, τοιόσδε τοσόσδε τηλικόσδε. — Τὸ τίς ἐρωτηματικόν ἐστι καὶ 873,4b
ἀόριστον, «⟨τίς ἦλθε;⟩ ἦλθέ τις»· δύο οὖν τόνων ἐστὶ δεκτικόν, ἀλλ' ἐπεὶ
μονοσύλλαβος βραχεῖα λέξις οὐ δύναται δύο τόνους λαβεῖν, ἕνα λαμβάνει
τὸν ὀξὺν ἀεί, ἐν δὲ ταῖς πλαγίαις δείκνυται τὸ διάφορον διὰ τῆς ποσότητος
τῆς ἐπιδεκτικῆς ἑκατέρου τόνου, ⟨τίνος⟩ τινός, ⟨τίνι⟩ τινί, ⟨τίνα⟩ τινά·
τὸ ποδαπός ἕνα τόνον ἔχει τὸν ὀξὺν ἐπ' ἐρωτήσεως, ἐπεὶ ὁ χαρακτὴρ 10
ὁ διὰ τοῦ δαπος τοιοῦτος ἦν, ἀλλοδαπός ἡμεδαπός παντοδαπός. —
Ἔτι τὰ ἐρωτηματικὰ ἄπειρά εἰσιν, ἑκάστη γὰρ λέξις δύναται προφέρε- 871,17b
σθαι ἐρωτηματικῶς· τὰ δὲ πευστικὰ ὑπὸ ἀριθμὸν ἀνάγονται· ἓξ γάρ
εἰσιν ἐν τοῖς ὀνόμασιν, οἷον τίς ποῖος πόσος πηλίκος πόστος ποδαπός, 20
καὶ τρία κατὰ τὸ σημαινόμενον ἐν τοῖς ἐπιρρήμασιν· ἢ γὰρ πράξεώς
εἰσι ζητητικά, οἷον ⟨Γ 248⟩ πῶς ἔθαν' Ἀτρείδης; ἢ τόπου, οἷον
⟨Κ 406⟩ ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα; ἢ χρόνου, οἷον ⟨δ 642⟩
πότ' ⟨ᾤχετο⟩· Πρόσκειται «κατὰ τὸ σημαινόμενον», ἐπειδὴ κατὰ φωνὴν
πλείονά εἰσιν, οἷον πῇ ποῖ πηνίκα πότε ποῦ πόθεν πῶς.

Ἀόριστον δέ ἐστι τὸ τῷ ἐρωτηματικῷ ἐναντίως λεγόμενον, 873,12b
οἷον ὅστις ὁποῖος ὁπόσος ὁπηλίκος.] Ἀόριστόν ἐστιν ὃ μὴ ὁρίζει,
τὸ γὰρ ᾱ στερητικόν ἐστι· τὸ δὲ ἐρωτηματικὸν καὶ γνωστὸν καὶ ὡρι-
σμένον· ἐναντίον οὖν τί ἐστι τοῦτο τῷ ἐρωτηματικῷ. Ἔχει δὲ τὴν γέ-
νεσιν τὸ ἀόριστον ἀπὸ τοῦ ἐρωτηματικοῦ· πᾶν γὰρ ἐρωτηματικὸν ὄνομα
ἔξωθεν προσλαβὸν πλεονασμόν τινα γίνεται ἀόριστον· προσλαβόντα γὰρ
τὰ ἐρωτηματικὰ ἔξωθεν τὸ ō ἀόριστον ἐπαγγέλλεται, πῶς ὅπως, πῇ ὅπῃ.
Καὶ συντείνει εἰς δύο μέρη λόγου, εἴς τε ἐπίρρημα καὶ ὄνομα· ἐρώτησις 30
γὰρ οὐ γίνεται εἰ μὴ δι' ὀνόματος καὶ ἐπιρρήματος.

Ἀναφορικὸν δέ ἐστιν, ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν
καὶ ἀνταποδοτικὸν καλεῖται, τὸ ὁμοίωσιν σημαῖνον, οἷον τοι-
οῦτος τοσοῦτος τηλικοῦτος.] Ἀναφορά ἐστιν ἀνάμνησις προεγνω-
σμένου προσώπου καὶ ἀπόντος τινὸς γνῶσις καὶ ἀναπόλησις. Τοῖς
δ' ἄλλοις ὀνόμασιν οὕτως ὠνόμασται, ἐπειδὴ ταύτῃ τῇ φωνῇ χρώμεθα
καὶ ὁμοιοῦντες, ὅτι οὗτος ὅμοιος τῷδε τῷ μὴ παρόντι, † καὶ ἀνταποδι-
δόντες, ὡς ἄν τις εἴποι «τοιοῦτός ἐστιν ἀνδρεῖος οἷός ποτε ὁ Ἀχιλλεύς».

Περιληπτικὸν δέ ἐστι τὸ τῷ ἑνικῷ ἀριθμῷ πλῆθος σημαῖ- 874,3b
νον, οἷον δῆμος χορός ὄχλος.] Περιληπτικὸν ὄνομα λέγεται, ὅταν
ὁ μὲν χαρακτὴρ ἑνικὸς ᾖ, ἐμφαίνηται δὲ διὰ τοῦ σημαινομένου πολύ τι
πλῆθος, οἷον στρατός χορός. Εἴρηται δὲ περιληπτικὸν παρὰ τὸ περιέ-

---

18—25 hab. et. Σ^m || **20—32 hab. et. Σ^1** || **34—241, 8** *cfr* $\Sigma^m\Sigma^1$

1 καὶ ἐπεκτ. — δε (**2**) O, καὶ ἐπέκτασις (-ιν V)CVΣ^1 || **2** τηλικόσδε *add* O **6** τίνος *et* τίνι *et* τίνα *add* b | τινά *om* Σ^1 || **12** τρία κατὰ Σ^1b, τριάκοντα C || **13** τόπου Σ^1, τὸ ποῦ C || **15** πότ' ᾤχετο *Stadtmüller*, πότε CΣ^1 | ἐπεὶ δὲ κ. C || **26** Ἀναφορ. — τηλικοῦτος (**28**) *om* Σ^1 || **29** γνῶσις *add* Σ^1 || **31** ἀνταποδιδόντες] ἀποδιδόντες CΣ^1 || **35** δὲ *add* VAb

χειν τὰ ἐξ αὐτοῦ cημαινόμενα, οἷον, ὡc ὁ τεχνικόc φηcι, δῆμοc χορόc ὄχλοc· ταῦτα γὰρ ἑνικὸν μὲν ἔχει τὸν τύπον, εἰc ος γὰρ λήγει, τὸ δὲ ἐξ αὐτῶν cημαινόμενον πλῆθόc ἐcτιν· οὔτε γὰρ ἂν δῆμοc οὔτε χορὸc οὔτε ὄχλοc ἐξ ἑνὸc προcώπου cυcταίη. Ἐντεῦθεν οὖν καὶ οἱ ποιηταὶ εἰδότεc τὴν δύναμιν τῆc λέξεωc πολλάκιc πρὸc τὸ cημαινόμενον ὑπαντῶcι καὶ ῥήματα πληθυντικοῦ ἀριθμοῦ ἐπάγουcιν, οἷον ⟨Υ 166⟩ ἀγρόμενοι πᾶc δῆμοc καὶ ⟨Ο 305⟩ ἡ πληθὺc ἐπὶ νῆαc Ἀχαιῶν ἀπονέοντο.

33 Ἐπιμεριζόμενον δέ ἐcτι τὸ ἐκ δύο ⟨ἢ⟩ καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφοράν, οἷον ἑκάτεροc ἕκαcτοc.] Ἐπιμεριζόμενόν
875b ἐcτιν ὃ ποιεῖται ἀπὸ πλήθουc προcώπων ἐξαναρίθμηcιν· εἴρηται δὲ ἐπιμεριζόμενον, ὅτι ἀπομερίζει ἀπὸ τοῦ πλήθουc τὸ καταληπτόν, ὡc τὸ ἕκαcτοc καὶ τὸ ἑκάτεροc· λέγοιτο μέν γε τὸ ἕκαcτοc ἐπὶ πλήθουc, τὸ δὲ ἑκάτεροc ἐπὶ μόνου δυϊκοῦ.

Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. — Τὸ μὲν ἑκάτεροc ἐκ δύο ἐπὶ ἓν ἔχει τὴν ἀναφοράν, οἷον ὡc ὅταν εἴπω «ἑκάτεροc τῶν φίλων γνήcιόc ἐcτιν»· οὗτοι γὰρ ἐπὶ ἓν ἔχουcι τὴν ἀναφοράν, λέγω δὴ τὴν γνηcιότητα· καὶ πάλιν τὸ ἕκαcτοc ⟨ἐκ πολλῶν ἐπὶ ἓν ἔχει τὴν ἀναφοράν, οἷον ὡc ὅταν εἴπω «ἕκαcτοc⟩ τῶν φίλων ἐλεύθερόc ἐcτιν»· οὗτοι γὰρ ἐπὶ ἓν ἔχουcι τὴν ἀναφοράν, λέγω δὴ τὴν ἐλευθερίαν.

Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. — Τὸ ἐπιμεριζόμενον διὰ τὸ ἐκ τῆc κατὰ μέροc διαιρέcεωc ὡc ἐπὶ τὸ πᾶν χωρεῖν καὶ [ὥcπερ] τὴν αὐτὴν ἔννοιαν δοκεῖ πωc ἔχειν τῷ περιληπτικῷ [τὸ ἐπιμεριζόμενον], εἴ γε ἑκάτερον αὐτῶν ἐπὶ τὸ πάνταc δηλοῦν ἀναφέρεται· ἡ δὲ διαφορά ἐcτιν αὕτη, ὅτι τὸ μὲν ἐκ τοῦ καθ᾽ ἕκαcτον ἐπιμεριcμοῦ τὴν πρὸc πάνταc ἔμφαcιν ἔχει, τὸ δὲ οὐκ ἐξ ἐπιμεριcμοῦ τὴν πρὸc πάνταc ἔμφαcιν ἔχει, [τὸ δὲ] ἀλλ᾽ αὐτὸ μόνον τὴν περίληψιν cημαίνει [τὸ περιληπτικόν].

876,9b ⟨*Stephani.*⟩ — Περιεκτικὸν δέ ἐcτι τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τι περιεχόμενον, οἷον δαφνών παρθενών.] Τοῦ περιεκτικοῦ ἡ φωνὴ γίνεται ἀπὸ τοῦ περιεχομένου, οἷον εἰπεῖν παρθενὼν ὁ παρθένουc ἔχων καὶ φοινικὼν ὁ φοίνικαc ἔχων. Δόξειε δ᾽ ἄν τιcι τὸ περιληπτικὸν ἑνικῇ φωνῇ πλῆθοc περιέχον, ὅπερ καὶ τὸ περιεκτικὸν ἐπαγγέλλεται, ὅμοιον εἶναι τῷ περιεκτικῷ. Ἀλλὰ ῥητέον ὅτι ἔcτι τιc διαφορὰ ἐν μέcῳ· τὸ μὲν γὰρ περιεκτικὸν ἐν αὑτῷ τὴν cύcταcιν ἔχει καὶ

29—242, 8 hab. et. Σ[1]

6 ῥήματα VA, ῥηματικοῦ C ‖ **7** νῆαc V, νηυcὶν C ‖ **11** ἐξαναρίθμηcιν *add* **Σ[1]** ‖ **20** δὴ] δὲ C ‖ **28—243, 29** *videntur esse Stephani* ‖ **28** ἑαυτὸ τί π. C ‖ **31** Δόξειε δ᾽ ἄν b, δόξειε δέ C, δόξει δέ **Σ[1]** ‖ **32** πλῆθοc περιέχον **Σ[1]**, πληθυντικ῀ περιέχειν C | ὅπερ — ἐπαγγέλλεται *om* **Σ[1]** ‖ **33** ὅμοιον — περιεκτικῷ *add* **Σ[1]** | Ἀλλὰ — **242, 8** *om* E | Ἀλλὰ ῥητέον Ab, ἀλλ᾽ ἀρκτέον C

τοῦ περιέχοντοϲ καὶ τοῦ περιεχομένου, κἂν διαλυθῇ τὸ περιεχόμενον, ἔτι ϲυνίϲταται τὸ περιεκτικόν· τὸ μέντοι περιληπτικὸν οὐκ ἄλλο τι ϲημαίνει αὐτὸ τὸ περιέχον καὶ ἄλλο αὐτὸ τὸ περιεχόμενον· οἷον εἰπεῖν ἐπὶ τοῦ περιεκτικοῦ, παρθενὼν τόποϲ παρθένων καὶ δαφνὼν ὁμοίωϲ 30 ⟨τόποϲ δαφνῶν⟩· καὶ εἰ ἀφέλοιϲ τὰ περιεχόμενα, οὐκ ἀπώλετο τὸ περιεκτικόν, ἐπειδὴ τόποϲ ἐϲτίν· εἰ μή τιϲ εἴποι, ἀλλ' οὐκ ἔϲτι τοιόϲδε τόποϲ. Ἐπὶ δὲ τοῦ περιληπτικοῦ οὐκέτι· ὁ γὰρ χορὸϲ οὐκ ἔϲτι ϲύϲτημα ἢ τόποϲ χορῶν, οὐδὲ δῆμοϲ ἀπὸ δήμων, ἀλλ' ἀπὸ ἀνδρῶν.

Πεποιημένον δέ ἐϲτι τὸ παρὰ τὰϲ τῶν ἤχων ἰδιότηταϲ μιμητικῶϲ 877,6b εἰρημένον, οἷον φλοῖϲβοϲ ῥοῖζοϲ ὀρυγμαδόϲ.] Πεποιημένον ὄνομά ἐϲτιν, ὅταν κατὰ μίμηϲιν ἤχου τινὸϲ καὶ τῆϲ ποιότητοϲ τοῦ ὑποκειμένου πράγματοϲ προενεχθῇ, ὥϲπερ τὸ φλοῖϲβοϲ κάρκαιροϲ δοῦποϲ ἄραβοϲ κόναβοϲ· καὶ φλοῖϲβοϲ κατὰ μίμηϲιν εἴρηται τῶν κυμάτων, ἐν τῷ προϲβράττεϲθαι γὰρ τὴν θάλαϲϲαν τοιαύτην ποιότητα φαί- 10 νονται τὰ κύματα ποιοῦντα· καὶ πάλιν τὸ ὀρυγμαδὸϲ ἦχόϲ ἐϲτι πολλοῦ πλήθουϲ ἀνθρώπων ἐπιρρεόντων· ὁ δὲ ῥοῖζοϲ πάλιν ἦχόϲ ἐϲτι τοῦ βέλουϲ διιπταμένου καὶ διατέμνοντοϲ τὸν ἀέρα καὶ τὴν τοιαύτην ποιότητα ἀποτελοῦντοϲ. Γίνεται δὲ καὶ ἐν ἄλλοιϲ μέρεϲι λόγου κατὰ μίμηϲιν φωνῆϲ, ὡϲ τὸ ⟨Δ 125⟩ λίγξε βιόϲ καὶ ⟨ι 394⟩ ὣϲ τοῦ ϲίζ' ὀφθαλμόϲ· ἀλλ' ἐν μὲν ἐκείνοιϲ λέγεται ὁ τρόποϲ ὀνοματοποιία, ἐνταῦθα δὲ πεποιημένον ὄνομα.

Γενικὸν δέ ἐϲτι τὸ δυνάμενον εἰϲ πολλὰ εἴδη διαιρεθῆναι, 878,3b οἷον ζῷον φυτόν.] Γενικόν ἐϲτιν ᾧ περιέχεται καὶ περιείληπται πολλὰ καὶ ἀνόμοια εἴδη· ἐν μὲν γὰρ τῷ ζῴῳ πολλά ἔϲτιν εἴδη, ἄνθρωποϲ ἵπποϲ βοῦϲ, ἐν δὲ τῷ φυτῷ ἄμπελοϲ δρῦϲ ἐλαία καὶ πάντα τὰ φυόμενα· φυτὸν γὰρ τὸ γένοϲ, καὶ πᾶν φυόμενον ὑπὸ τοῦτο ἀνάγεται.

Εἰδικὸν ⟨δέ⟩ ἐϲτι τὸ ἐκ τοῦ γένουϲ διαιρεθέν, οἷον βοῦϲ ἵπποϲ ἄμπελοϲ ἐλαία.] Εἰδικόν ἐϲτιν ᾧ οὐ περιέχεται οὐδὲ περιεί- 10 ληπται πολλὰ καὶ ἀνόμοια εἴδη, ἀλλ' ἕν τι τῶν προειρημένων δηλοῦται, οἷον ἵπποϲ ἄμπελοϲ· ὁ μὲν γὰρ ἵπποϲ ζῴου εἶδοϲ, ἡ δὲ ἄμπελοϲ φυτοῦ.

Τακτικὸν δέ ἐϲτι τὸ τάξιν δηλοῦν, οἷον πρῶτοϲ δεύτεροϲ 31 τρίτοϲ.] Τοῦτο ϲύγκριϲιν οὐκ ἀναδέχεται· εἰ δέ που εὕροιμεν, μόνῃ τῇ φωνῇ λέγομεν ἀναδέχεϲθαι τὴν παραγωγήν, ὥϲπερ τὸ πρώτιϲτοϲ δεύτατοϲ· τάξιν δὲ μόνον δηλοῖ, ὡϲ τὸ πρῶτοϲ καὶ τὸ δεύτεροϲ. 879b

Ἀριθμητικὸν δέ ἐϲτι τὸ ἀριθμὸν ϲημαῖνον, οἷον εἷϲ δύο

10—21 hab. et. Σ^{m} ‖ **18—21 hab. et. A** ‖ **32—34 hab. et.** Σ^{l}

2 οὐκ *add* Σ^{h} *69,21* ‖ **3** καὶ ἄλλο Σ^{h}, *om* CA ‖ **4** τόποϲ Ab, τὸ πρὸϲ C | καὶ — δαφνῶν (5) *om* A ‖ **12** κάρκαιροϲ — φλοῖϲβοϲ (13) *add* V ‖ **14** προϲβράττεϲθαι V, ταράττεϲθαι C ‖ **15** ὀρυγμαδὸϲ C, ὀρυμαγδὸϲ V ‖ **16** ἀνθρώπων ἐπιρρεόντων] ἀνθρώπουϲ ἢ ὄρουϲ C, ἐπιρεόντων V ‖ **17** τὴν *om* V ‖ **18** κατὰ μίμηϲιν] καταμίμηϲιϲ *RSchneider* ‖ **19** τὸ VA, τοῦ C ‖ **23** ᾧ Σ^{l}b, ὃ C ‖ **26** ὑπὸ V, ἐπὶ C ‖ **32** ἀναδέχεται Σ^{l}, ἀναδέδεκται C ‖ **34** δεύτατοϲ Σ^{l}, δυώτατοϲ δευτερώτατοϲ C

τρεῖς.] Ἀριθμητικόν ἐστιν ὃ διάκρισιν ποιεῖται τοῦ ἀριθμοῦ· καὶ δοκεῖ μὲν ταὐτὸν εἶναι τῷ τακτικῷ, ἐπειδὴ κἀκεῖνο τρόπον τινὰ ὡς ἀρίθμησιν ποιεῖται. Ἀλλά φαμεν ὅτι διαφέρει τούτῳ, καθὸ τὸ μὲν τάξιν μόνον ἐπαγγέλλεται, περὶ ἀριθμοῦ μηδένα ποιούμενον λόγον, τὸ δὲ ἀριθμητικὸν τὸ ἐναντίον· τὴν ἐξαρίθμησιν γὰρ ποιεῖται, τῆς τάξεως λόγον μὴ ποιούμενον, ὡς καὶ ὁ τεχνικὸς λέγει· εἷς δύο τρεῖς ἀριθμοῦντες λέγομεν μόνον, τὸ δὲ πρῶτος δεύτερος τρίτος κατατάσσοντες.

Ἀπολελυμένον ⟨δέ⟩ ἐστιν ὃ καθ' αὑτὸ νοεῖται, οἷον θεός λόγος.] Ἀπολελυμένον ἐστὶν ὃ δύναται καθ' ἑαυτὸ θεωρεῖσθαι, οἷον λόγος [ὥσπερ τὸ ἀπόλυτον]· τοῦτο ⟨γὰρ⟩ πρὸς ἕτερον οὐ ποιεῖται τὴν σχέσιν, τουτέστι τὴν ἐξάρτησιν· πάντα γὰρ τὰ εἴδη τὰ ὑποπεπτωκότα πρός τι καὶ κατὰ συζυγίαν εἴρηται, τοῦτο δὲ μοναδικόν. Διὸ καὶ ὁ τεχνικὸς ἀπολελυμένον αὐτὸ ἐκάλεσε, δηλονότι τῆς πρὸς ἕτερον σχέσεως· καὶ γὰρ ἀπολελυμένον ἐστὶν ὃ μὴ μεθ' ἑτέρου νοεῖται, [ὥσπερ τὸ πρωτότυπον,] ἔννοιαν δέ τινα ἔχον τοῦ ἀφ' ἑτέρου γεγονέναι, οἷον λόγος ἀπὸ τοῦ λέγειν, καὶ ἀήρ ἀπὸ τοῦ ἄειν, ὅ ἐστι πνέειν· ὑποτάσσουσι δὲ τῷ πρωτοτύπῳ τὸ ἀπόλυτον.

880,6 b Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύο, ἐνέργεια καὶ πάθος· ἐνέργεια μέν, ὡς κριτής ὁ κρίνων, πάθος δέ, ὡς κριτός ὁ κρινόμενος.] Γνωστέον ὅτι τὸ ὄνομα διαθέσεις οὐκ ἔχει· ἡ γὰρ οὐσία καθ' αὑτὴν οὖσα ἀπαθής ἐστι, τὰ δὲ πάθη ἐκ τοῦ ἐπισυμβαίνοντος τῇ οὐσίᾳ, τουτέστι τοῦ ῥήματος. Πῶς οὖν εἶπεν ὁ τεχνικὸς τοῦ ὀνόματος διαθέσεις; Ἐροῦμεν ὅτι πολλάκις εἰσὶ ῥηματικὰ ὀνόματα, ἔχοντα τὴν διάθεσιν ἀπὸ τῆς ἐννοίας, καί, ὡς ἀλλαχοῦ εἰρήκαμεν, ὅτι τὰ ῥήματα, τουτέστι τὰ πράγματα, ἀποτελοῦμεν ἄνθρωποι ἢ ὡς πάσχοντες ἢ ὡς ἐνεργοῦντες. Διὰ τοῦτο καὶ ὁ τεχνικὸς τοῦτο εἶπεν, ὥστε νοεῖν ἡμᾶς τὸ μὲν πάθος τοῦ ῥήματος, τὸν δὲ τύπον τῆς φωνῆς τοῦ ὀνόματος· κριτής μὲν γὰρ ἀπὸ τοῦ κρίνω, ἀπὸ δὲ τοῦ κρίνομαι κριτός ἤγουν κατάκριτος.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Εἰ ἄρα καὶ τὰ ὀνόματα ἔχουσι διαθέσεις, διὰ τί οὐ λέξομεν ἓξ παρέπεσθαι τῷ ὀνόματι, οἷον γένη εἴδη σχήματα ἀριθμοὺς πτώσεις διαθέσεις; Καί φαμεν ὅτι διὰ τοῦτο τὰς διαθέσεις οὐ συναριθμοῦμεν τοῖς παρεπομένοις τῷ ὀνόματι, ἐπειδὴ οὐ πάντα τὰ ὀνό-

---

1—7 hab. et. $\Sigma^m \Sigma^1$ ‖ **14—17 hab. et.** Σ^1 ‖ **20—27 hab. et.** Σ^1 ‖ **30—244, 3 hab. et.** Σ^1

1 Ἀριθμ. — ὃ *add* V ‖ 2 τινὰ *add* VΣ^1 ‖ 3 Ἀλλά — τούτῳ] διόπερ μοι δοκεῖ τὸ μὲν τακτικὸν δύνασθαι καὶ ἀριθμητικὸν εἶναι, τὸ δὲ ἀριθμητικὸν οὐκέτι καὶ τακτικόν· καὶ διαφέρουσι Σ^1 | τούτῳ b, τούτου V, τοῦτο C ‖ 4 λόγον *add* VΣ^1 ‖ 6 ὡς — κατατάσσοντες (7) *om* Σ^1 | λέγει *add* V | ἀριθμ. — κατατάσσοντες (7) *add* V ‖ 8 αὐτὸν C ‖ 15 τοῦ ἀφ' ἑτ. b, τὸ ἀφ' ἑτ. CΣ^1 ‖ 21 ἐπισυμβ. b, τί συμβ. CA, συμβ. E ‖ 24 εἰρήκαμεν] *vide p. 245, 29* ‖ 31 οὐ *add* Σ^1 | λέγομεν Σ^1 ‖ 32 ἀριθμοὺς Σ^1, ἀριθμοὶ C

ματα σημαίνει ἐνέργειαν καὶ πάθος· ἰδοὺ γὰρ τὸ Αἴας καὶ τὸ Πηλεύς καὶ τὸ λᾶας καὶ τὸ δρῦς καὶ τὸ σοφός οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσιν.

§ 13 (15b).

Περὶ ῥήματος.

⟨*Stephani.*⟩ — Τὸ ῥῆμα ἀναγκαίως μετὰ τὸ ὄνομα κατετάγη· τῇ 880,30b
φύσει μὲν γὰρ πρωτεύει, διὰ δὲ τὸ δίχα τῆς οὐσίας μὴ φαίνεσθαι συγκεχωρήκαμεν τὸ ὄνομα προτάττεσθαι. Εἴρηται δὲ ῥῆμα παρὰ τὴν ῥύσιν 881,10b
τὴν εἰς τοὺς χρόνους· μεταπηδᾷ γὰρ ἐπὶ τοὺς χρόνους πάντας καὶ τὰ πρόσωπα, μικρόν τι τῆς φωνῆς παρατρέψαν, δίκην ὕδατος.

Ῥῆμά ἐστι λέξις ἄπτωτος ἐπιδεκτικὴ χρόνων καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριστῶσα.] Μὴ ταραττέτω σε τὸ διάφορον τῆς λέξεως, εἰ ποτὲ μὲν μέρη λόγου καλεῖ, ποτὲ δὲ λέξεις· εἴρηται δὲ λέξις παρὰ τὸ λέγειν καὶ ἐξ αὐτοῦ σημαίνεσθαι, ἴδιον γὰρ τῶν μερῶν τοῦ λόγου τὸ λέξεις εἶναι καὶ σημαινόμενον ἔχειν· καὶ εἴ ποτε εἴπῃ λέξιν καί ⟨ποτε⟩ μέρος λόγου, οὐ ξενοφωνεῖ· ταὐτὸν γὰρ μέρος λόγου καὶ λέξις, καὶ εἴ τι λέξις, τοῦτο καὶ μέρος λόγου, διαλλήλως τῆς λέξεως νοουμένης. «Ἄπτωτος» δὲ εἶπεν, ἵνα διαστείλῃ ἀπὸ 20
τῶν πτωτικῶν. Εἰδὼς δὲ ὁ τεχνικός, ὅτι εἰπὼν «ἐπιδεκτικὴ χρόνων» κατὰ τοῦτο καὶ ἑτέροις συνέπιπτεν — ἔστι γὰρ καὶ ἐπιρρήματα χρονικά — τέταχε καὶ τὸ «προσώπων»· ἐπειδὴ δὲ καὶ κατὰ τοῦτο κοινωνεῖ τῇ ἀντωνυμίᾳ, εἶπε «καὶ ἀριθμῶν»· ἐπειδὴ δὲ καὶ κατὰ τοῦτο συνέπιπτεν ἑτέροις, ἀναγκαίως τὸ μόνῳ τῷ ῥήματι ἑπόμενον προσέθηκε, λέγων «ἐνέργειαν ἢ πάθος παριστῶσα»· τοῦτο γὰρ καὶ μόνον ἴδιόν ἐστι τοῦ ῥήματος. Ὃν τρόπον γὰρ ἀναπτύσσοντες τοῦ ὀνόματος τὸν ὅρον τὸ κεφαλαιωδέστατον καὶ μόνον ⟨ἰδίως⟩ παρεπόμενον διεσαφηνίσαμεν, 30
λέγοντες εἶναι σώματος καὶ πράγματος διακριτικόν, οὕτω καὶ ἐνταῦθα τὰ πολλὰ τοῦ ὅρου παραπεμψάμενοι μόνον ἐροῦμεν τὸ ἰδιαζόντως ὑπὸ ῥῆμα ἀναγόμενον.

Παρέπεται δὲ τῷ ῥήματι ὀκτώ, ἐγκλίσεις, διαθέσεις, εἴδη, 884,4b
σχήματα, ἀριθμοί, πρόσωπα, χρόνοι καὶ συζυγίαι.] Ἐνταῦθα δὲ πειρᾶται διεξιέναι τὰ παρεπόμενα τῷ ῥήματι, εἶτα ἐφεξῆς ἕκαστον αὐτῶν σαφηνίζει.

7—23 (παρ.) **hab. et.** A ‖ **11—28 hab. et.** Σ^m

1 καὶ πάθος CΣ^1, ἢ πάθος b ‖ **2** καὶ τὸ λ. — σοφός *om* Σ^1 | δρῦς b, δρύας C ‖ **5—246, 6** *videntur esse Stephani* ‖ **7** προτάττεσθαι b, συντάττεσθαι C ‖ **13** αὐτοῦ VA, αὐτῆς C ‖ **14** καὶ (*ante* σημ.) VAb, *om* C | ἔχειν — ξενοφ. (**15**) *om* A ‖ **14—15** καὶ εἰ — ⟨ποτε⟩] ὥστε εἴ ποτε ἀκούσαις τοῦ τεχνικοῦ λέγοντος ταὐτὸν λέξιν καὶ V ‖ **15** οὐ ξεν.] μὴ ξενοφωνοῦ Cb, μὴ ξενοφώνου V ‖ **16** λόγου (*prius*) VA, *om* C | καὶ (*ante* μέρ.) VA, *om* C ‖ **17** διαστ. A, προδιαστείλῃ C, προσδιαστείλῃ V ‖ **19** καὶ (*post* γὰρ) A, *om* CV ‖ **20** τὸ προσώπων Ab, τὰ πρόσωπα C, τὸ πρόσωπον V | κοινωνεῖ VA, συνέπιπτε C ‖ **21** εἶπε — ἑτέροις (**22**) *om* C ‖ **25** καὶ *om* V | μόνον CV, μόνῳ b ‖ **27** τὰ V, *om* C

Ἐγκλίσεις μὲν οὖν εἰσι πέντε, ὁριστική, προστακτική, εὐκτική, ὑποτακτική, ἀπαρέμφατος.] Πέντε φησὶν εἶναι τὰς ἐγκλίσεις. Ἔγκλισις δέ ἐστι ⟨σχῆμα φωνῆς ποιὰν κίνησιν τῆς⟩ ψυχῆς ἀναφαῖνον ἐπί τι τρεπομένης· προσκλίνεται δὲ ἡ ψυχὴ ἢ ὡς ὁριζομένη τὰ παρ' αὐτῆς δρώμενα, ὡς ὅταν εἴπῃ «τύπτω», ἢ ὡς προστάττουσα, ὡς ὅταν εἴπῃ «τύπτε», ἢ ὡς εὐχομένη, ὡς ὅταν εἴπῃ «τύπτοιμι», ἢ ὡς διστάζουσα, ὡς ὅταν εἴπῃ «ἐὰν τύπτω», ἢ ὡς οὐδὲν τούτων δηλοῦσα, μόνον δὲ τὸ ὄνομα τοῦ πράγματος προβαλλομένη, ὡς ὅταν εἴπῃ «τύπτειν».

Ἀκριβολογεῖται οὖν ὁ τεχνικὸς καὶ λέγει ἐγκλίσεις εἶναι πέντε· ἢ γὰρ ὁριζόμεθα, καὶ καλεῖται ἡ ἔγκλισις ὁριστική, οἷον λέγω τύπτω, ἢ προστάττομεν, καὶ καλεῖται ἡ ἔγκλισις προστακτική, οἷον λέγε τύπτε, ἢ εὐχόμεθα, καὶ καλεῖται ἡ ἔγκλισις εὐκτική, οἷον λέγοιμι τύπτοιμι, ἢ διστάζομεν, καὶ καλεῖται ἡ ἔγκλισις διστακτική, οἷον ἐὰν λέγω, ἐὰν τύπτω, «ἐὰν πλουτήσω δίδωμί σοι πέντε δραχμάς»· ἡ δὲ αὐτὴ λέγεται καὶ ὑποτακτική, ὅτι ὑποτάσσεται μορίοις τῷ ἵνα καὶ τῷ ὄφρα καὶ τῷ ὅπως· λέγεται δὲ καὶ αἰτιολογική, «ἵνα ἀναγνῷ Τρύφων ἐτιμήθη», καὶ ἀποτελεστική, «δὸς τὸ βιβλίον ἵνα ἀναγνῶ», καὶ ἐπηρμένη· μείζων γὰρ κατὰ τὴν φωνὴν τῆς ὁριστικῆς, ποιεῖς, ἐὰν ποιῇς. Ἡ δὲ ἀπαρέμφατος εἴρηται, ὅτι οὐκ ἐμφαίνει ψυχικὴν διάθεσιν· ὅθεν οὐδὲ πρόσωπα ἔχει· ἡ γὰρ ψυχικὴ διάθεσις ἀπαιτεῖ καὶ πρόσωπα· ἐπεὶ δὲ πρόσωπα οὐκ ἔσχεν, οὐδὲ ἀριθμόν, περὶ γὰρ τὸ πρόσωπον καὶ ὁ ἀριθμός.

Διαθέσεις δέ εἰσι τρεῖς, ἐνέργεια, πάθος, μεσότης· ἐνέργεια μέν, οἷον τύπτω, πάθος δέ, οἷον τύπτομαι, μεσότης δὲ ἡ ποτὲ μὲν πάθος ποτὲ δὲ ἐνέργειαν παριστῶσα, οἷον πέπηγα διέφθορα ἐποιησάμην ἐγραψάμην.] Διάθεσίς ἐστι δίαιτα ψυχῆς
885b καὶ διοίκησις· καὶ ἐν τῇ συνηθείᾳ γὰρ διαθεῖναι τὸ οἰκονομῆσαι καὶ διοικῆσαι. Δύο οὖν εἴρηκε τοῦ ῥήματος διαθέσεις ὑπάρχειν, τήν τε ἐνέργειαν καὶ τὸ πάθος· ἢ γὰρ ἐνεργοῦντές τι ποιοῦμεν ἢ ὡς πάσχοντες ⟨ἔχομεν⟩· ἐπειδὴ δὲ κατὰ πάντα ἀκριβὴς οὖσα ἡ γραμματικὴ οὐδὲν ἀνεξέταστον ἐᾷ, ἀναγκαίως καὶ τρίτην τὴν μεσότητα κατηριθμήσατο, ἥτις ἑκατέραν τὴν διάθεσιν δηλοῖ τῇ φωνῇ· ἡ γὰρ τοῦ ἐγραψάμην φωνὴ δύναται σημαίνειν καὶ πάθος καὶ ἐνέργειαν, εἰ τὴν ἁρμόζουσαν σύνταξιν λάβοι· ἐὰν γὰρ εἴπῃς, ὅτι ἐγραψάμην σοι, δῆλον ὡς ἐνέργειαν δηλοῖ, ὡς ἐάν τις εἴπῃ «ἔτυψά σε», ἐὰν δὲ προσθήσω τὸ «ὑπὸ σοῦ», ⟨γράφομαι ὑπὸ σοῦ,⟩

10—22 hab. et. Σ^m ‖ **30—246, 1 hab. et. Σ^m**

3 σχῆμα — ἀναφαῖνον *Egenolff Burs. Ann. 1886 I 127 coll. An. Ep. 319, 21,* ψυχῆς ἀναπαύσεως C, ψυχῆς προαίρεσις *seu* βούλησις *Skrzeczka progr. 1861, p. 7; cfr Schoemann Ann. Phil. 99, 23* ‖ **4** τρεπομένης b, τρεπομένη C ‖ **11** ἡ ἔγκλισις — καλεῖται (13) *add* V ‖ **15** πλουτίσω C ‖ **16** ὅτι — ποιῇς (19) *om* V ‖ **21** *post* δὲ *add* καὶ C | πρόσωπα (*poster.*) C, πρόσωπον V ‖ **25** πέπηγμαι C ‖ **27** διοίκησις b, οἴκησις C ‖ **28** ῥήματος b, σώματος C ‖ **31** τὴν *add* V | ἑκατέραν V, ἑκατέρων C ‖ **32** τῇ — δηλοῖ (34) *add* V ‖ **35** σε *add* V | προσθήσεις V

πάθος σημαίνει, ὡς τὸ «τύπτομαι ὑπὸ σοῦ». Ἐνεργητικὴ μὲν οὖν ἐστι διάθεσις, δι᾽ ἧς τὰ ἐνεργήματα δηλοῦται, οἷον τέμνω δαίρω· παθητικὴ δέ ἐστι, δι᾽ ἧς τὰ πάθη σημαίνεται, οἷον τέμνομαι δαίρομαι· οὐδετέρα δὲ ἡ μήτε ἐνέργειαν μήτε πάθος σημαίνουσα, οἷον ζῶ πλουτῶ δύναμαι βούλομαι· μέση δὲ ἡ πῆ μὲν ἐνέργειαν πῆ δὲ πάθος δηλοῦσα †· τὸ γὰρ ἐποιησάμην δηλοῖ, ὅτι ἐμαυτῷ ἐποίησά τι, τὸ δὲ ἐποιήθη, ὅτι δι᾽ ἐμοῦ ἐποιήθη.

Ἄλλως. — Διαθέσεις δὲ κατὰ τὴν ἀκρίβειαν πέντε εἰσίν, ἐνεργητική, παθητική, οὐδετέρα, μέση, ἐμπεριεκτική· ἐνεργητικὴ μέν, οἷον λέγω φέρω, ἐνέργειαν γὰρ σημαίνει· παθητικὴ δὲ ἡ τὴν ἐξ ἑτέρου εἰς αὐτὴν χωροῦσαν διάθεσιν ὁμολογοῦσα, οἷον γράφομαι τύπτομαι· οὐδετέρα δέ, ὡς τὰ τοιαῦτα, ζῶ πλουτῶ πυρέσσω· μέση δέ ἐστιν, ἧς ὁ τύπος καὶ ἐπὶ ἐνέργειαν καὶ ἐπὶ πάθος προάγεται, οἷον πέπηγα ἐγραψάμην· ἐμπεριεκτικὴ δέ ἐστιν ἡ ἀμφοτέρων τῶν διαθέσεων ἐπιδεικτική, ὡς ἔχει τὸ «βιάζομαι ὑπὸ σοῦ» καὶ τὸ «πορεύομαι διὰ σέ». — Καὶ ἄλλως. — Παθητικόν ἐστι τὸ ἐναντίον τῷ ἐνεργητικῷ, δι᾽ οὗ πάθος τι ἢ πάθει ὅμοιον σημαίνεται, οἷον ⟨Eurip. Alc. 1118; cfr Troad. 564⟩ καρατόμος ἡ Γοργόνη ἡ τὸ κάρα τεμνομένη, ⟨Τ 25⟩ χαλκότυπος ὠτειλὴ ἡ ὑπὸ χαλκοῦ τυπτομένη.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνου. — Θεῖναί ἐστι τὸ ποιῆσαι, ὡς τὸ ⟨Α 2⟩ ἄλγε᾽ ἔθηκεν· ὅ ἐστι παρὰ τὸ θῶ, ἀφ᾽ οὗ θός καὶ θεός ὁ πάντων ποιητής· ὁ δὲ πλεονασμός, ἵνα μὴ μονοσύλλαβον ὄνομα βραχὺ 886
ᾖ, οὐδὲ γὰρ ἔστιν ἕτερον ἢ τὸ τίς καὶ ἕν, δι᾽ ἀνάγκην, ὡς καὶ ἀπὸ τοῦ κλῶ κλός καὶ κύκλος διπλασιασμῷ· γίνεται δὲ θεός καὶ παρὰ τὸ ἑός, ὃ σημαίνει τὸν ἀγαθόν, ἑός καὶ θεός. Τὸ ἑπόμενον τοίνυν εἶπεν ὁ τεχνικὸς ἀπὸ τοῦ προηγουμένου, προηγεῖται γὰρ τὸ ποιεῖν τοῦ πάσχειν. Διάθεσις οὖν τὸ ποιῆσαι καὶ παθεῖν· ἡ μέση δὲ ἀμφότερα ταῦτα ἔχει.

Τρεῖς δέ εἰσιν αἱ διαθέσεις, ἐπειδὴ καὶ τρία γένη ὀνομάτων, καὶ πέντε ἐγκλίσεις, ἐπειδὴ καὶ πέντε πτώσεις. Ὡς οὖν ἐπὶ τῶν γενῶν τὸ

7—14 hab. et. Σ^m ‖ 7—247, 13 hab. et. A ‖ 27—247, 3 hab. et. Σ^m

2 ἐνεργήματα *CEASchmidt*, ἐνεργητικὰ C ‖ **3** οὐδετέρα *An. Ep. 320, 17*, μέση C ‖ **4** δύν. βούλ. *ut medii exempla post* δηλοῦσα (**5**) *transponenda censet Egenolff, sed ibi patet alia eaque plura intercidisse; cfr Skrzeczka progr. 1858, p. 6* ‖ **7** ἐνέργεια πάθος b ‖ **8** ἐμπεριεκτική CVA, ἐμπαρεκτικὴ *dubitanter Steinth.*[2] *2, 297* ‖ **9** ἑτέρου CV, ἑτέρω A[1] ν *add* A[2], ἑτέρας *An. Ep. 320, 9* ‖ **11** πυρέσσω C, ὑπάρχω ὑγιαίνω V, *om* A ‖ **12** ἐπὶ (*ante* πάθος) *add* A | ἐμπαρεκτικὴ *dubitanter Steinth.*[2] *2, 297* ‖ **13** ἐπιδεικτικὴ *An. Ep. (Marc. 531)*, ἐπιδεκτική CVA *An. Ep. (Harl. 5624)* ‖ **14** Καὶ ἄλλως — τυπτομένη (**18**) *om* VA **19—248, 12** *videntur esse Stephani* | Εἰς — Στεφ. *in marg.* C, *om* A ‖ **20** τὸ θῶ b, τῶ θῶ C, τὸ θῶς A ‖ **21** ὁ δὲ — ἀνάγκην (**22**) *om* A ‖ **22** ἀπὸ τοῦ A, ἐπὶ τῶ C ‖ **23** καὶ (*ante* κ.) *add* A | γίνεται — θεός (**24**) *om* A ‖ **25** τοῦ πάσχ. Ab, τὸ πάσχ. C ‖ **26** ἡ — ἔχει *om* A | *ante* ἡ *add* καὶ C | δὲ C, διὰ b ‖ **27** ἐπειδὴ V, ἐπεὶ CA | ὀνομ. *add* V

οὐδέτερον οὐκ ἦν φύσει, ἀλλὰ πρὸς τῶν γραμματικῶν διὰ τὴν φωνὴν ἐπινενοημένον, οὕτω καὶ ἐπὶ τῶν ῥημάτων ἡ μὲν ἐνέργεια καὶ τὸ πάθος διάθεσις, ἡ δὲ μέση ἢ ἑκάτερον ἢ οὐδέτερον. Ἀναλογήσει οὖν ἄρρενι τὸ ἐνεργητικόν, θηλείᾳ δὲ τὸ παθητικόν· ἀρρένων γὰρ ἢ ἀνδρείως πως ἐχόντων τὸ δρᾶν, θηλειῶν δὲ ἢ θηλυδριωδῶς διακειμένων τὸ παθεῖν· ἡ δὲ μέση διάθεσις τοῖς οὐδετέροις εἰκασθήσεται, καὶ τοῖς μὲν ἀμφότερον
20 ἐπιδεχομένοις γένος ὀνόμασι τὰ ἑκατέραν δηλοῦντα διάθεσιν ῥήματα, οἷον τῷ τέκος τὸ βιάζομαι, τοῖς δὲ μηδὲν τὸ μηδεμίαν διάθεσιν προσιέμενον, οἷον τῷ βέλος τὸ πλουτῶ.

Λέγεται δὲ ἡ μὲν ἐνεργητικὴ πρὸς τῶν φιλοσόφων ὀρθή, ἡ δὲ παθητικὴ ὑπτία, ἐκ τῆς τῶν παλαιόντων μεταφορᾶς. Ἡ ἐνεργητικὴ δὲ πρώτη, ἐπεὶ παθητικόν ἐστι πρόσωπον τὸ ὁμολογοῦν τὴν εἰς αὐτὸ χωρήσασαν διάθεσιν.

Εἴδη δὲ δύο, πρωτότυπον καὶ παράγωγον· πρωτότυπον μέν, οἷον ἄρδω, παράγωγον δέ, οἷον ἀρδεύω.] Καὶ τὸ ῥῆμα δὲ εἴδη ἔχει, ὡς καὶ τὸ ὄνομα· καὶ ἐκεῖσε περὶ τούτου ἱκανῶς εἴρηται.

887,16 b Σχήματα τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μέν, οἷον φρονῶ, σύνθετον δέ, οἷον καταφρονῶ, παρασύνθετον δέ, οἷον ἀντιγονίζω φιλιππίζω.] — Στεφάνου. — Τὸ καταφρονῶ σύνθετον, τὸ δὲ εὐφρονῶ παρασύνθετον, φρήν εὔφρων εὔφρονος εὐφρονῶ παρασύνθετον, φρονῶ ἁπλοῦν· κατὰ δὲ Φιλόξενον αὐτόθεν
30 ἁπλοῦν· φρῶ γάρ φησι ῥῆμα δηλωτικὸν τοῦ προϊέναι, παρ' ὃ καὶ φρήν ἡ προϊεμένη ἤγουν προπέμπουσα τὰ νοήματα, καὶ φρέαρ ἀφ' οὗ προΐεται τὸ ὕδωρ, καὶ ἀφρός τοῦ α ἐπίτασιν δηλοῦντος· τί γὰρ τούτου μᾶλλον εἰς τὸ ἄνω προΐεται; τὸ δὲ καταφρονῶ σύνθετον, αἱ γὰρ προθέσεις μετὰ τῶν ῥημάτων ἐν συνθέσει εἰσίν.

Ἀριθμοὶ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός· ἑνικὸς μέν, οἷον τύπτω, δυϊκὸς δέ, οἷον τύπτετον, πληθυντικὸς δέ, οἷον
26 τύπτομεν.] Καὶ περὶ τούτου εἴρηται.

29 Πρόσωπα τρία, πρῶτον, δεύτερον, τρίτον· πρῶτον μὲν ἀφ' οὗ ὁ λόγος, οἷον λέγω, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος, οἷον λέγεις, τρίτον δὲ περὶ οὗ ὁ λόγος, οἷον λέγει.] Τὸ πρόσωπον
30 οὐκ ἔστιν ἴδιον ῥήματος, ἀλλ' ἀντωνυμίας· ἡ γὰρ ἀντωνυμία προσώπων ὡρισμένων ἐστὶ παραστατικὴ ἢ διὰ δείξεως ἢ δι' ἀναφορᾶς, ἐγώ σύ δεῖ-

---

19—26 hab. et. A, simill. Σ^m ‖ 32—248, 4 hab. et. Σ^m ‖ 32—249, 2 hab. et. A

1 πρὸς CA, ἐκ V ‖ 2 τὸ VA, *om* C ‖ 3 ἑκάτερον ἢ οὐδέτερον V, ἑκατέρα ἢ οὐδετέρα CA ‖ 5 παθεῖν] ἐμπαθές CA ‖ 8 τῷ b, τὸ CA ‖ 9 τὸ β. τὸ πλ. C, τὸ β. τῷ πλ. A ‖ 12 χωρήσασαν A, χωρῆσαν C, χωροῦσαν b ‖ 19 ἀντιγωνίζω C | Στεφάνου *in marg.* C, *om* VA ‖ 22 φρῶ VA, φρονῶ C, φρέω b | προΐεμαι V ‖ 23 ἤγουν προπ. *supra lin.* C[1], *om* VA | ἤγουν] ἢ καὶ b | νοήματα VA, ὀνόματα C ‖ 24 τούτου VAb, τοῦτο C ‖ 30 μὲν ἀφ' οὗ] δὲ πρὸς ὃν C ‖ 34 δι' V, *om* CA

ξις, ἵ ἐκεῖνος αὐτός ἀναφορά· λέγω δὲ καὶ λέγεις ὥρισται, λέγει δὲ 888 b ἀόριστον, λείπει γὰρ τὸ τίς. Τοῦτο δὲ τῆς ἀντωνυμίας ἴδιον, ὅτι πᾶσα ἀντωνυμία τρία πρόσωπα ἔχει, οὐ πᾶν δὲ ῥῆμα, ὡς τὰ προστακτικά, πρῶτον γὰρ οὐκ ἔχει πρόσωπον. Πρόσωπον δέ ἐστιν ἡ τῶν ὑποκειμένων διάστασις, ὡς ἡ Ὀππίου Μαξίμου διατριβή· ἢ οὕτως· πρόσωπόν ἐστι τὸ μετειληφὸς τῆς τοῦ ῥήματος διαθέσεως. Πρῶτον δέ ἐστι πρόσωπον τὸ ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενον ἢ μόνου ἢ καὶ σὺν ἄλλοις, λέγω λεγόμεθον ⟨λεγόμεθα⟩ λέγομεν· δεύτερόν ἐστι πρὸς ὃν ἡ ἀπότασις ὑπὲρ αὐτοῦ ἢ μόνου ἢ καὶ σὺν ἄλλοις, οἷον λέγεις λέγεσθον λέγεσθε λέγετε· τρίτον ἐστὶν ὃ μήτε ὑπὲρ ἑαυτοῦ ἀποφαίνεται μήτε πρὸς ὃν ὁ λόγος ἐστίν. Ἀπὸ δὲ ⟨τοῦ⟩ πρώτου προσώπου ἀρχόμεθα, ἐπειδὴ τὸ δεύτερον καὶ ⟨τὸ⟩ τρίτον ἐκ τοῦ πρώτου προφέρονται.

Χρόνοι τρεῖς, ἐνεστώς, παρεληλυθώς, μέλλων.] Ἀνάγκη ἐστὶ τὸ ῥῆμα χρόνους ἔχειν· εἰ γὰρ τὸ ῥῆμα πρᾶγμά ἐστι, τὸ δὲ πρᾶγμα ἐνέργειαν ἢ πάθος ἐπαγγέλλεται, ἀνάγκη τὸ γινόμενον ἢ κατὰ πάθος ἢ κατ' ἐνέργειαν καὶ χρόνους ἔχειν. Εἰσὶ δὲ τρεῖς, κατὰ δὲ τὸν ἀληθῆ λόγον δύο, ὅ τε παρεληλυθὼς καὶ ὁ μέλλων· τὸ γὰρ πραττόμενον ἢ πέπρακται ἢ μέλλει, οὐδέποτε δὲ ἐνίσταται· καὶ γὰρ οἱ φιλόσοφοι δύο ὁρίζονται· φασὶ γάρ, εἰ ὁ πόλος κινούμενος τὸν χρόνον ἀπεργάζεται, ἐν κινήσει δὲ οὗτος ἀεὶ καὶ ἐνίσταται οὐδέποτε, οὐκ ἔστιν ἄρα ἐνεστώς. Ἡ δὲ ἐκ τῆς γραμματικῆς ἀκριβεστάτη κρίσις ὁρίζεταί τινα ἀκαριαῖον χρόνον καὶ ὀνομάζει ἐνεστῶτα, ἵνα τὰς κλίσεις τὰς ῥηματικὰς ἀκολούθως δυνηθῇ μετὰ τῆς ἐχούσης ἀκριβείας παραδιδόναι· ὃν γὰρ τρόπον ἐπὶ τῶν ὀνομάτων ἀπὸ τοῦ ἑνικοῦ ἀριθμοῦ τὴν ἀρχὴν τῆς κλίσεως παραδίδωσι καὶ τῆς ὀρθῆς λεγομένης πτώσεως, οὕτω καὶ ἐπὶ τοῦ ῥήματος ἀπὸ τοῦ ἐνεστῶτος, φημὶ τοῦ ἐπινενοημένου, τὴν ἀρχὴν τῆς κινήσεως 889 b ποιεῖσθαι ἐπιχειρεῖ, ὡς τρεῖς γίνεσθαι χρόνους.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνου. — Χρόνος ἐστὶ καιρῶν

13—249, 8 hab. et. Σ^{m}

1 ἵ — ἀναφ. A, ἀναφ. ἵ (ἡ V) αὐτός ἐκ. CV ‖ **2** Τοῦτο CA, οὕτως V | τῆς *add* VA ‖ **3** τρία *add* V ‖ **4** γὰρ *et* πρός. *add* V ‖ **5** ὡς — ἐστι (**6**) C, ἢ A ‖ **6** Πρῶτον — προφ. (**12**) C, καὶ πρῶτον μέν ἐστι πρόσωπον τὸ περὶ αυτοῦ (*sic*) ἀποφαινόμενον προσυπακουομένης τῆς ἐγώ ἀντωνυμίας, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος προσυπακουομένου τοῦ σοῦ (*sic*), γ' τὸ περὶ ἄλλου προσυπακουομένης τῆς ἐκεῖνος A ‖ **10—11** τρίτον ἐστὶν ⟨ὑπὲρ οὗ τὸ πρῶτον ἀποφαίνεται⟩, ὃ μήτε ὑπὲρ ἑαυτοῦ ἀποφαίνεται μήτε ⟨ὑπὲρ τούτου⟩ πρὸς ὃν ὁ λόγος ἐστίν *Matthias Ann. Phil. Suppl. 15, 600 adn. 2; cfr Prisc. 548, 14 seq* (*H*) ‖ **12** τὸ *add* b ‖ **16** τὸν ἀλ. λόγον CV, φιλοσόφους A ‖ **19** πόλος CA, ἥλιος V ‖ **20** κινήσει A *et An. Ep. 323, 18,* ἀκινησία C, ἀεικινησία V | καὶ ἐν. οὐδ. *om* A ‖ **21** Ἡ — παραδ. (**23**) *om* V | τινα A, τι C ‖ **25** λεγομένης *add* VA ‖ **26** ἐπιν. CV, νενοημένου A ‖ **27** ποιεῖσθαι V, *om* CA ‖ **28—249, 32** *videntur esse Stephani* ‖ **28** Στεφ. εἰς τὸ ἀ. κ. ἄλλως *in marg.* C, *om* VA | καιρῶν — ἤτοι (**249, 1**) CA, καιρὸς κύριος ἢ οὐ κύριος εἴτουν V

κύκλος ἤτοι ὡρισμένος ἢ ἀόριστος, ὡρισμένος μὲν ὡς ὁ ἐνεστώς, ἀόριστος δὲ ὡς ὁ παρῳχημένος· ἢ οὕτως· χρόνος ἐστὶν ἡ τῆς αἰωνίου φύσεως ἐπίνοια· τινὲς δὲ εἶπον ἡμερινὸν καὶ νυκτερινὸν φάντασμα. Οἱ φιλόσοφοι δὲ δύο ἴσασι μόνους, παρῳχημένον καὶ μέλλοντα· ἐνεστὼς γάρ, φασίν, οὐκ ἔστιν, ἐπεὶ ἀεὶ ὁ χρόνος ἐν κινήσει ἐστίν· εἰ γὰρ ὁ χρόνος ἐστὶ κίνησις οὐρανοῦ, ἄστατος δὲ ὁ οὐρανός, οὐκ ἔστιν ἐνεστώς. Εἰ δὲ χρόνον ὁρίζομεν διάστημα τῆς τοῦ κόσμου κινήσεως, ἐν ἀκαριαίῳ νοηθήσεται ὁ ἐνεστώς, περιέχων τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα. Εἰ δέ τις ζητοίη, πῶς μὴ ἀπὸ παρῳχημένου ἀρχόμεθα, ὡς φύσει προτέρου ὄντος τοῦ ἐνεστῶτος, ἴστω ὡς ὁ ἐνεστὼς τὸ θέμα ἐστὶ τοῦ ῥήματος, ἀφ' οὗ πᾶσαι αἱ κινήσεις· διὸ προετάγη· ἄλλως τε καὶ ὁ παρῳχημένος ἦν ποτε ἐνεστώς.

Τούτων ὁ παρεληλυθὼς ἔχει διαφορὰς τέσσαρας, παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον καὶ ἀόριστον.] Παρατατικός ἐστι καθ' ὃν ὁ μὲν χρόνος παρῴχηται, τὸ δὲ ἔργον μετὰ παρατάσεως πέπρακται, οἷον ἔτυπτον ἔπειθον ἐπαίδευον· ὁ δὲ παρακείμενος νοεῖται ἀπὸ τοῦ παρακεῖσθαι καὶ ἐγγὺς εἶναι τοῦ ἐνεστῶτος τὴν πρᾶξιν αὐτοῦ· δηλοῖ γὰρ τὸ μὴ πρὸ πολλοῦ τοῦ χρόνου πεπρᾶχθαι τὸ πρᾶγμα, ἡ δὲ δύναμις αὐτοῦ † τῆς συντελείας θεωρεῖται· ὁ δὲ ἀόριστος οὐδὲν ὡρισμένου χρόνου ἐμφαίνει, ὡς οἱ ὑποκείμενοι, ἀλλὰ σὺν μὲν τῷ ἄρτι ταὐτὸν δύναται τῷ παρακειμένῳ, ⟨οἷον τέτυπα⟩ — ἔτυψα ἄρτι, ⟨σὺν⟩ τῷ δὲ πάλαι ἴσον δύναται τῷ ὑπερσυντελίκῳ, οἷον ἐτετύπειν — ⟨ἔτυψα⟩ πάλαι. Ὁ δὲ μέλλων παρὰ μὲν ἡμῖν ⟨ἁπλῶς⟩ νοητέον, ⟨οἷον⟩ τύψω πείσω παιδεύσω· παρὰ δὲ τοῖς Ἀττικοῖς καὶ ἄλλως λέγεται μετ' ἐννοίας
890b καὶ προσηγορίας τοῦ μετ' ὀλίγον, οἷον τετύψομαι πεπείσομαι ⟨πε⟩παιδεύσομαι.

Ἄξιον δὲ ζητῆσαι, τίνος ἕνεκα τὸν ἐνεστῶτα οὐ τέμνει οὔτε τὸν μέλλοντα. Λέγομεν ὅτι τὸν ἐνεστῶτα τεμεῖν οὐκ ἠδύνατο, ἐπείπερ αὐτῷ τὴν ἀρχὴν ἐκινδύνευε μηδὲ εἶναι, τὸν μέλλοντα δέ, ὅτι ἀγνοοῦντές ἐσμεν περὶ τοῦ μέλλοντος· πῶς οὖν ἐνδέχεται τὸν μηδέπω ἐπιστάντα ἢ γνωσθέντα καταμερίζεσθαι; ὥστε ὁμολογουμένως τὸν ἤδη ἡμῖν προγνωσθέντα μόνον διελεῖν ἠδυνήθη.

Ὧν συγγένειαί εἰσι τρεῖς, ἐνεστῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερσυντέλικον, ἀορίστου πρὸς μέλλοντα.] Τέσσαρά ⟨φησι τοῦ παρεληλυθότος⟩ εἶναι τμήματα, παρατατικόν, παρα-

---

9—12 hab. et. A || 27—32 simillima hab. et. Σ[m]

1 ὁ *add* VA; *item v. 2* || 7 ἐν ἀκαρ. C, ἓν ἀκαριαῖον V *et An. Ep. 323, 16* | 10 ἴστω C, φαμὲν A || 19 *post* αὐτοῦ *nonnulla intercidisse monet* b || 20 ἀλλὰ — ταὐτὸν (21) b, ἀλλ' οὐ τοσοῦτον C || 21 τέτυπα *add* b || 22 ἔτυψα *add* b | 25 πεπαιδεύς. b || 28 αὐτῷ C, αὐτὸς V || 29 μηδὲ V, μήτε C | ἀγνοοῦντες ἐσμὲν περὶ V, ἀγνοῶν δὲ ἐσμὲν C || 32 μόνον V, *om* C

κείμενον, ὑπερσυντέλικον, ἀόριστον. Πρὸς τούτοις δὲ καὶ συγγενείας αὐτοῖς περιτίθησι, λέγων τὸν ἐνεστῶτα συγγενῆ εἶναι τῷ παρατατικῷ καὶ τὸν παρακείμενον τῷ ὑπερσυντελίκῳ καὶ τὸν ἀόριστον τῷ μέλλοντι. Τούτων κατὰ δύο τρόπους ἔστι καταλαβεῖν ἡμᾶς τὴν ἀλήθειαν, κατὰ τὴν φωνὴν καὶ κατὰ τὸ σημαινόμενον· ⟨καὶ⟩ κατὰ μὲν φωνήν ἐστιν ὁ ἐνεστὼς τῷ παρατατικῷ συγγενής, ὅτι μικρὸν τῆς φωνῆς παρατρέψας τοῦ ἐνεστῶτος καὶ προσθεὶς ἢ καὶ μὴ προσθεὶς ἀπεργάσῃ τὸν παρατατικόν· οἷον τύπτω· τὴν ⟨γὰρ⟩ τελευταίαν τρέψας εἰς ον καὶ προσθεὶς ἔξωθεν τὸ ε ἀποτελεῖς τὸν παρατατικόν· «ἢ μὴ προσθείς» εἶπον διὰ τὸ τοιοῦτον· ἠχῶ, καὶ μόνον τὸ τέλος εἰς ουν μετατρέψας εὑρήσεις τὸν παρατατικόν. Τῷ δὲ σημαινομένῳ πάλιν εἰσὶ συγγενεῖς οὕτως· ὁ ἐνεστὼς τὸ προσφάτως πραττόμενον ὑποφαίνει, ὁ δὲ παρατατικὸς τοῦ πράγματος τὸ μὲν ἔχει ἤδη γεγονός, τὸ δὲ ἔτι γινόμενον, καὶ ἐν τῷ ἔτι γίνεσθαι τῷ ἐνεστῶτι κοινωνεῖ. Συγγενὴς δὲ ὁ παρακείμενος τῷ ὑπερσυντελίκῳ· μικρὸν γὰρ παρατρέψας τοῦ τέλους καὶ προσθεὶς ἢ καὶ μὴ προσθεὶς [ὁμοίως] εὑρίσκεις τὸν ὑπερσυντέλικον. Ὁμοίως καὶ ὁ ἀόριστος τῷ μέλλοντι, κατὰ μὲν φωνήν, ὅτι τοῦ αὐτοῦ συμφώνου τὴν χορηγίαν ἔχουσιν· ἐὰν γὰρ ἔχῃ ὁ μέλλων τὸ ψ, καὶ ὁ ἀόριστος, εἰ δὲ ξ, κἀκεῖ- 891 b
νος ὁμοίως· πάλιν κατὰ φυσικὸν λόγον, ὅτι ἀμφότεροι ἀόριστοί εἰσι· καὶ γὰρ εἰ εἴποις «ἔτυψα», οὐχ ὡρίσω τὸν καιρόν, πλὴν ὅτι πέπραχας· καὶ πάλιν ἐὰν εἴπῃς «τύψω», οὐδὲ οὕτως ἐσήμανας τὸν καιρόν, εἰ μὴ μόνον ὅτι τύψεις· τὸ δὲ πότε οὐ δηλοῖς. Ὁ δὲ παρακείμενος καὶ ὁ ὑπερσυντέλικος συγγενεῖς εἰσι διὰ τοῦ ὁρίζειν· ὁρίζουσι γὰρ ἀμφότεροι τὸ πότε, ὁ μὲν τῷ ἄρτι, ὁ παρακείμενος, ὁ δὲ τῷ πάλαι, ὁ ὑπερσυντέλικος.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνου. — Τὸν ἐνεστῶτα οἱ Στωϊκοὶ ἐνεστῶτα παρατατικὸν ὁρίζονται, ὅτι παρατείνεται καὶ εἰς ⟨παρεληλυθότα καὶ εἰς⟩ μέλλοντα· ὁ γὰρ λέγων «ποιῶ» καὶ ὅτι ἐποίησέ τι ἐμφαίνει καὶ ὅτι ποιήσει· τὸν δὲ παρατατικὸν παρῳχημένον παρατατικόν· ὁ γὰρ ⟨λέγων⟩ «ἐποίουν» ὅτι τὸ πλέον ἐποίησεν ἐμφαίνει, οὔπω δὲ πεπλήρωκεν, ἀλλὰ ποιήσει μέν, ἐν ὀλίγῳ δὲ χρόνῳ· εἰ γὰρ τὸ παρῳχημένον πλέον, τὸ λεῖπον ὀλίγον· ὃ καὶ προσληφθὲν ποιήσει τέλειον

5—251, 11 hab. et. A

1 ἀόρ. ὑπερς. C | τούτοις h, τούτους C | συγγένειαν C ‖ **4** καταλαβεῖν *Stadtmüller*, καὶ λαβεῖν C ‖ **7** *ante* ἀπεργ. *add* αὐτῷ b ‖ **9** τοιοῦτον — μέλλοντα (**28**)] ἠχῶ ἤχουν· ὁμοίως δὲ καὶ οἱ λοιποὶ χρόνοι ὡσαύτως ἔχουσι τὴν πρὸς ἀλλήλους συγγένειαν. ἐκ δὲ τοῦ σημαινομένου, ὅτι τὸν ἐνεστῶτα οἱ Στωϊκοὶ ἐνεστῶτα παρατατικὸν καλοῦσιν A ‖ **11** Τῷ δὲ σημαιν.] τῇ δὲ οὐσίᾳ C ‖ **13** ἔτι (*prius*) b, ἔστι C ‖ **17** χορηγίαν b, χωρησίαν C ‖ **20** εἴποις b, εἴπῃς C ‖ **21** εἴπῃς τ. οὐδὲ b, εἴπω τ. οὔτε C ‖ **22** ὅτι μόνον C ‖ **26** Στεφ. εἰς τὸ ἀ. καὶ ἄλλως *in marg.* C, *om* A ‖ **29** *ante* παρῳχ. *add* παρ' ἡμῖν C, *om* A ‖ **30** λέγων *add* b | *post* ἐμφαίνει *add* δὲ C ‖ **32** καὶ *om* A

παρῳχηκότα, τὸν γέγραφα, ὃc καλεῖται παρακείμενος διὰ τὸ πληcίον ἔχειν τὴν cυντέλειαν τῆc ἐνεργείαc· ὁ τοίνυν ἐνεcτὼc καὶ παρατατικὸc ὡc ἀτελεῖc ἄμφω cυγγενεῖc, διὸ καὶ τοῖc αὐτοῖc cυμφώνοιc χρῶνται, οἷον τύπτω ἔτυπτον. Ὁ δὲ παρακείμενος καλεῖται ἐνεcτὼc cυντελικόc, τούτου δὲ παρῳχημένοc ὁ ὑπερcυντέλικοc· ἐπεὶ οὖν ἑκάτεροc τελείωc παρῴχηται, cυγγενεῖc καὶ τοῖc χαρακτηριcτικοῖc cτοιχείοιc χρώμενοι τοῖc αὐτοῖc φαίνονται, οἷον τέτυφα ἐτετύφειν· ὥcπερ δὲ ὁ ἐποίουν πλέον ἔχει [τὸ παρῳχημένον] πρὸc τὸν ποιῶ, οὕτω καὶ ὁ ἐπεποιήκειν πρὸc τὸν πεποίηκα. Ὁ δὲ ἀόριcτοc κατὰ τὴν ἀοριcτίαν τῷ μέλλοντι cυγγενήc· ὡc γὰρ τοῦ ποιήcω τὸ ποcὸν τοῦ μέλλοντοc ἀόριcτον, οὕτω τοῦ ἐποίηcα τὸ τοῦ παρῳχημένου. Τοῦ ἄρτι τοίνυν τῷ ἀορίcτῳ διδομένου γίνεται παρακείμενοc, οἷον ἐποίηcα ἄρτι — πεποίηκα, τοῦ δὲ πάλαι
892b προcνεμομένου ὁ ὑπερcυντέλικοc γίνεται, οἷον ἐποίηcα πάλαι — ἐπεποιήκειν· ἀλλ' ἐπεὶ καὶ τοῦτο τὸ πάλαι ἀόριcτον, δεῖ προcνέμειν αὐτῷ τὸν διοριcμὸν τοῦ ποcοῦ, οἷον πρὸ δύο ἐτῶν, πρὸ πέντε, πρὸ δέκα, καὶ ἐπαναβεβηκότα· τῷ δὲ μέλλοντι διαcάφηcιc τοῦ ποcοῦ τῆc μελλήcεωc ὁ παρὰ τοῖc Ἀττικοῖc μετ' ὀλίγον μέλλων, οἷον βεβρώcεται εὑρήcεται πεπράξεται. Ἀόριcτοc δὲ ἐκλήθη πρὸc ἀντιδιαcτολὴν τοῦ παρακειμένου καὶ ὑπερcυντελίκου ὁριζόντων τοῦ χρόνου τμῆμα, τοῦ μὲν τὸ ἄρτι cυννοούμενον ἔχοντοc, οὐ λεγόμενον, τοῦ δὲ ὑπερcυντελίκου τὸ πάλαι. Εἰ δέ τιc ἀπορήcειε, πῶc ὁ μέλλων ⟨τὴν⟩ τοῦ μέλλοντοc ἀοριcτίαν ἔχων οὐ καλεῖται μέλλων ἀόριcτοc, ἴcτω παρὰ πόδαc ἔχων τὴν λύcιν· ὁ ἀόριcτοc ἐπ' ἀναιρέcει τῶν ὁριζόντων εἴρηται, τοῦ δὲ μέλλοντοc ὡc μέλλοντοc οὐδὲν τέθειται· πῶc οὖν τὸ μὴ τεθὲν ἔμελλεν ἀναιρεῖcθαι διὰ τῆc ἀοριcτίαc;

§ 14 (16. 17. 18b).

892,20b
Περὶ cυζυγίαc.

Cτεφάνου. — Cυζυγία ἐcτὶν ἀκόλουθοc ῥημάτων κλίcιc.] Ἡ cυζυγία οὐκ ἔcτι μέροc λόγου· οὐδὲ γὰρ αὐτὸc ὁ τεχνικὸc ἔταξεν αὐτὴν ἐν τοῖc μέρεcι τοῦ λόγου· ἀλλ' ἔcτι τῶν παρεπομένων τῷ ῥήματι. Ἐπειδὴ δὲ ὁ περὶ ταύτηc λόγοc πλείονοc ἀκριβείαc ἐδεῖτο καὶ παραδόcεωc, πρὸc εἰcαγομένουc διαλεγόμενοc ἀναγκαῖον ἡγήcατο ἐν τῷ

21—25 hab. et. A

1 πληcίον Ab, πληcίαν C ‖ **5** τούτου CA, τέλειοc *RSchmidt, Stoic. gram. p. 70 adn. 94, probante Egenolffo* ‖ **7** δὲ *add* A ‖ **8** τὸ παρῳχημένον A, τὸν παρωχημένον C, τοῦ παρῳχημένου b ‖ **21** ἔχων Ab, ἔχειν C ‖ **24** τέθειται A, ἐτέθειτο C ‖ **25** A *add*: ὥcπερ δὲ ἐν τοῖc ὀνόμαcίν εἰcι ⟨πτώcειc⟩ cυγγενέcιν (*l.* cυγγενεῖc) ἀλλήλαιc, καὶ λέγομεν ὀρθὴ ⟨καὶ⟩ αἰτιατικὴ καὶ πάλιν γενικὴ καὶ δοτική, οὕτω καὶ ἐν ῥήμαcι cυγγένειαι χρόνων, καὶ φαμὲν ἐνεcτῶτα καὶ παρατατικὸν μίαν φωνὴν καὶ μίαν cυγγένειαν εἶναι, ⟨μίαν⟩ δὲ πάλιν παρακείμενον καὶ ὑπερcυντέλικον. Καὶ χρὴ γινώcκειν, ὅτι διὰ τῶν φωνῶν μᾶλλον καταλαμβάνονται αἱ cυγγένειαι ἢ διὰ τῶν cημαινομένων ‖ **27—252, 22** *videntur esse* *Stephani* ‖ **27** Cτεφ. *in marg.* C

μέcῳ cτῆναι τοῦ ῥήματος, φάcκων περὶ cυζυγίας, ὡc ἐκ μεταφορᾶc τῶν
ὁδοιπορούντων καὶ ἐν ὁδῷ εὑρισκόντων οἴκηcιν πρὸc ὀλίγον χρόνον 30
καταλῦcαι, ἕωc ἑξῆc τὴν πορείαν ποιήcονται. Ὅπερ δὲ ἐν τοῖc ὀνό-
μαcιν ὁ χαρακτήρ, τοῦτο ἐν τοῖc ῥήμαcιν ἡ cυζυγία· ἀπὸ γὰρ ταύτηc
μανθάνομεν καὶ τὴν τοῦ ῥήματοc δύναμιν· αὕτη γάρ ἐcτι κανὼν καὶ
ἀναλογία τῆc κλίcεωc αὐτῶν. Εἴρηται δὲ ⟨cυζυγία⟩ μεταφορικῶc ἀπὸ 893b
τῶν ὑποζυγίων, ἃ ὑπὸ τὸν αὐτὸν ζυγὸν ὄντα ἴcον δρόμον ποιεῖται, ὡc
καὶ τούτων ὅcα ὑπὸ τὴν αὐτὴν ἀνάγεται cυζυγίαν μίαν ποιεῖται τὴν
κλίcιν. Ὁρίζονται δὲ αὐτὴν οὕτωc· «cυζυγία ἐcτὶν ἀκόλουθοc ῥημάτων
κλίcιc». Τάξει δὲ cυμφώνων ἐν τῷ πρώτῳ τοῦ θέματοc κανονίζεται,
ὡc ἐπὶ τῶν βαρυτόνων· ἢ διφθόγγῳ ἐν τῷ δευτέρῳ, ὡc ἐπὶ τῶν πε-
ριcπωμένων· ἢ παραφυλακῇ θεματικοῦ φωνήεντοc ἐν παραλήξει παθη-
τικοῦ τύπου, ὡc ἐπὶ τῶν εἰc μι̅, τιθέω τίθεμαι, ἱcτάω ἵcταμαι, διδόω 10
δίδομαι, ζευγνύω ζεύγνυμαι.

Εἰcὶ δὲ cυζυγίαι βαρυτόνων μὲν ῥημάτων ἕξ.] Ἄξιόν ἐcτι 17
ζητῆcαι, τίνοc ἕνεκα προτετίμηται τὰ βαρύτονα. Καὶ ῥητέον ὅτι γνήcιά
ἐcτιν· εἰ γάρ τιc ἀναλύcει τὰ περιcπώμενα καὶ ἀναπτύξει τὸ ὑγιὲc τῆc
φωνῆc, εὑρίcκει καὶ αὐτὰ βαρύτονα· καὶ τὰ εἰc μι̅ ὁμοίωc. 20

Ὧν ἡ μὲν πρώτη ἐκφέρεται διὰ τοῦ β̅ ἢ π̅ ἢ φ̅ ἢ πτ, οἷον
λείβω τέρπω γράφω κόπτω.] «Ἐκφέρεται» οἱονεὶ εἰc φῶc ἔρχεται·
ἀπὸ θέματοc, φηcί, καὶ οἱονεὶ ἀφετηρίαc προέρχεται, ἐκ μεταφορᾶc τῶν
ἁμιλλητηρίων ἵππων.

Αἱ πᾶcαι cυζυγίαι εἰcὶ δεκατρεῖc, ἓξ βαρύτονοι, περιcπώμεναι τρεῖc, 12
τῶν εἰc μι̅ τέccαρεc· τὰ βαρύτονα δὲ πρῶτον θετέον, ἐπεὶ τὰ περιcπώ-
μενα ἐξ αὐτῶν καὶ τὰ εἰc μι̅.

⟨*Stephani.*⟩ — Ἡ πρώτη, φηcί, διὰ τοῦ πρώτου cυμφώνου τοῦ β̅ 24
μέcου καὶ τῶν cυγγενῶν, τοῦ π̅ ψιλοῦ καὶ τοῦ φ̅ δαcέοc· ὁ μέλλων δὲ
διὰ τοῦ ψ̅, ἐπεὶ καὶ τὰ εἰc ψ λήγοντα ὀνόματα διὰ τοῦ β̅ π̅ φ̅ κλίνεται,
οἷον λίψ λιβόc, κλώψ κλωπόc, Κίνυψ Κίνυφοc.

Ἡ δὲ δευτέρα διὰ τοῦ γ̅ ἢ κ̅ ἢ χ̅ ἢ κτ̅, οἷον λέγω πλέκω
τρέχω τίκτω.] Ἡ δευτέρα διὰ τοῦ δευτέρου cυμφώνου τοῦ γ̅ μέcου, 30
κ̅ ψιλοῦ καὶ χ̅ δαcέοc· ὁ μέλλων δὲ διὰ τοῦ ξ̅, ὅτι καὶ τὰ εἰc ξ̅ περα-
τούμενα ⟨ὀνόματα⟩ διὰ τούτων κλίνεται, κῆρυξ κήρυκοc, ὄρτυξ ὄρτυγοc,
ὄνυξ ὄνυχοc.

Ἡ δὲ τρίτη διὰ τοῦ δ̅ ἢ θ̅ ἢ τ̅, οἷον ᾄδω πλήθω ἀνύτω.]

23—25 hab. et. Σ^m || **26—29 hab. et. Σ^m**

3 ἑξῆc] ἐξ ἧc C, τῇ ἑξῆc b || **7** αὐτὸν ζυγὸν b, ζυγὸν αὐτὸν C || **17** ἀνα-
λύcει] ἀναλύοι Cb | ἀναπτύξει C, ἀναπτύξειε b | τὸ b, τῆc C || **20** *ante*
Ἐκφ. *add* καὶ C || **23** περιcπώμενοι C || **25** καὶ τὰ Vb, καὶ τῶν C ||
26—254, 25 *videntur esse* ***Stephani*** || **26** β̅ Vb, δευτέρου C || **27** *post* δὲ *add*
αὐτοῦ C || **28** ἐπεὶ — λήγοντα *add* V || **35** ἀνύττω Cb

94b Διὰ τοῦ ⟨τρίτου συμφώνου τοῦ⟩ δ̄, φησίν, ἡ τρίτη μέσου ὄντος, τ̄ ψιλοῦ καὶ θ̄ δασέος· ὁ μέλλων δὲ διὰ τοῦ c̄· καὶ γὰρ τὰ εἰc c̄ λήγοντα ὀνόματα δι᾽ αὐτῶν τὴν κίνηcιν ποιεῖται, οἷον Πάριc Πάριδοc, ὄρνιc ὄρνιθοc, χάριc χάριτοc.

Ἡ δὲ τετάρτη διὰ τοῦ ζ̄ ἢ δύο c̄c̄, οἷον φράζω νύccω ὀρύccω.] Διὰ τοῦ ζ̄ μὲν ἐκφέρεται αὕτη, ἐπειδὴ τέταρτόν ἐcτι cύμφωνον· διὰ δὲ τῶν δύο c̄c̄ ἐκφέρεται, ἵνα διπλαcιαcθέντοc τοῦ c̄ τὴν ἴcην δύναμιν ἔχῃ τοῦ ζ̄ διπλοῦ ὄντοc.

Ἡ δὲ πέμπτη διὰ τῶν τεccάρων ἀμεταβόλων λ̄ μ̄ ν̄ ρ̄, οἷον πάλλω νέμω κρίνω cπείρω.] Διὰ τῶν τεccάρων ἀμεταβόλων αὕτη ἐκφέρεται· ἐπειδὴ ⟨γὰρ⟩ κατείληπτο τὸ θ̄ ἐν τῇ τρίτῃ cυζυγίᾳ καὶ τὸ κ̄ ἐν τῇ δευτέρᾳ, διὰ τοῦτο προcέλαβε τὸ λ̄ καὶ cὺν αὐτῷ τὰ λοιπὰ ἀμετάβολα.

Ἡ δὲ ἕκτη διὰ καθαροῦ τοῦ ω̄, οἷον ἱππεύω πλέω βαcιλεύω.] Διὰ καθαροῦ τοῦ ω̄ ἐξηνέχθη, ἐπειδὴ προκατηναλώθηcαν ἐν ταῖc λοιπαῖc cυζυγίαιc τὰ cύμφωνα.

Τινὲc δὲ ἑβδόμην cυζυγίαν εἰcάγουcι διὰ τοῦ ξ̄ καὶ ψ̄, οἷον ἀλέξω ἕψω.] Εἰρήκαμεν ὅτι ἐπὰν μὴ ἀρέcκηται δόξῃ ὁ τεχνικόc, προcτίθηcι τὸ «τινέc». Διὰ τί δὲ μὴ ἀρεcκόμενοc τάττει καὶ ἐντίθηcι ζιζάνια; Ἵνα μὴ τοῖc πολλοῖc δοκῇ κατ᾽ ἄγνοιαν παραπέμπεcθαι. Ὅτι δὲ διὰ τοῦ ξ̄ καὶ ψ̄ οὐκ ἔcτι cυζυγία βαρύτονοc, ἐκ τῆc κλίcεωc ἔcτι διδαχθῆναι· τὰ ⟨γὰρ⟩ βαρύτονα ῥήματα κατὰ τὸν μέλλοντα ἰcοcύλλαβά εἰcι τοῖc θέμαcιν, οἷον τύπτω τύψω, λέγω λέξω, ᾄδω ᾄcω, τὰ δὲ περιcπώμενα πλεονάζει μιᾷ cυλλαβῇ κατὰ τὸν μέλλοντα, νοῶ νοήcω, βοῶ βοήcω, ποιῶ ποιήcω· εἰ οὖν εὑρίcκεται ἀλεξήcω καὶ ἑψήcω ὁ μέλλων, ὁμολογουμένωc περιcπώμενά εἰcιν· ὁ δὲ βαρύτονοc τούτων τόνοc Ἀττικῶν ἐcτιν.

Περιcπωμένων δὲ ῥημάτων cυζυγίαι εἰcὶ τρεῖc, ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἐπὶ δευτέρου καὶ τρίτου προcώπου διὰ τῆc ει̅ διφθόγγου, οἷον νοῶ νοεῖc νοεῖ.] Τὰ περιcπώμενα δυνάμει βαρύτονά εἰcιν. Οὐκ ἄπορον οὖν, διὰ τί τῶν περιcπωμένων αἱ cυζυγίαι
895b οὐ κατὰ τάξιν τῶν φωνηέντων προέρχονται, ὡc αἱ τῶν βαρυτόνων κατὰ τάξιν τῶν cυμφώνων ἐτυπώθηcαν· ἐπεὶ γὰρ πάντων τῶν βαρυτόνων τὸ δεύτερον πρόcωπον τὴν ει̅ δίφθογγον εἶχεν, εἰκότωc ἐν τῇ πρώτῃ τῶν περιcπωμένων ἔλαχεν αὕτη· ἀλλὰ καὶ ὅτι ἡ δευτέρα τῶν περιcπωμένων ἐργωδεcτέρα ἦν καὶ πλείονοc τεχνολογίαc δεομένη, ἁπλουcτέρα δὲ ἡ διὰ τῆc ει̅ διφθόγγου· καὶ ὅτι ἡ διὰ τῆc ει̅ πλείοναc ἔχει φωνὰc [παρακειμένων μέcων ἀορίcτων], ἡ δὲ δευτέρα ἐλάττουc, ⟨καὶ⟩ ἡ τρίτη ἔτι ἐcπάνιcεν. Ὅθεν οὕτωc αὐτῶν ἡ τάξιc ἐτέθη, καὶ εὐλόγωc προετέθη ἡ ει̅

17—26 hab. et. A ‖ 36—254, 2 hab. et. A

18 Εἰρήκαμεν] *vide p. 204, 21 et 218, 24* ‖ 19 δὲ *add* A | τάττει — ζιζ. C, ἐντάττει A ‖ 24 μιᾷ cυλλαβῇ b, μίαν cυλλαβὴν C, cυλλαβῇ A ‖ 25 *post* ἑψήcω *in marg. add* C: καὶ αὐξήcω, *om* A ‖ 36 παρ. μέcων ἀορ. *hab.* CA ‖ 37 δὲ *add* A | ἔτι C, *lac. 3 litter.* A

δίφθογγος· κἂν γὰρ μεταχθῶσι βαρύτονα ῥήματα εἰς περισπώμενα, εἰς ταύτην μετάγονται, ῥίπτω ῥιπτῶ ῥιπτεῖς ῥιπτεῖ.

Τῶν δὲ εἰς μι ῥημάτων συζυγίαι εἰσὶ τέσσαρες, ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἀπὸ τῆς πρώτης τῶν περισπωμένων.] Τὰ εἰς μι λήγοντα ῥήματα ἀεί ποτε ἐν παραγωγῇ εἰσιν, οὐδέποτε δὲ ἐν πρωτοτύποις· ἔχει δὲ τὴν παραγωγὴν ἢ ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων ἢ μιᾶς τῶν περισπωμένων. Καὶ λέγει ὁ τεχνικὸς τὴν μὲν πρώτην ἀπὸ τῆς πρώτης, τὴν δὲ δευτέραν ἀπὸ τῆς δευτέρας, τὴν δὲ τρίτην ἀπὸ τῆς τρίτης ⟨τῶν περισπωμένων παρῆχθαι⟩, τὴν δὲ τετάρτην ἀποφαίνεται ἐκ τῆς ἕκτης τῶν βαρυτόνων ἀποτελεῖσθαι. Καὶ τίνος ἕνεκα αἱ μὲν ἄλλαι ἀπὸ τῶν περισπωμένων, ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων; Καὶ λέγομεν ὅτι τὰ περισπώμενα τρεῖς μόνας εἶχε συζυγίας, ὥστε τὰς τρεῖς ἀπὸ τῶν τριῶν γεγενῆσθαι· εἰ γὰρ τέσσαρας εἶχε, καὶ ἡ τετάρτη τῶν εἰς μι ἐκεῖθεν ἐγίνετο. Εἴ τις δὲ ἐθελήσειε τῇ ἀκριβείᾳ ἐπιβαλεῖν, καὶ τὰς ἄλλας τρεῖς εὑρήσει ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων ἀποτελουμένας.

Ἔχουσι δὲ τὴν διάκρισιν οὐκ ἀπὸ συμφώνου παραλήγοντος τοῦ 896b
πρώτου προσώπου, ὥσπερ αἱ συζυγίαι τῶν βαρυτόνων· ἀλλ' οὐδὲ μὴν ἀπὸ τῶν δευτέρων προσώπων, καθάπερ τὰ περισπώμενα· ἀλλὰ καὶ αὐτὰ ἰδιαζούσης ⟨δια⟩κρίσεως τετύχηκεν· ἀπὸ γὰρ τῶν παθητικῶν πρώτων προσώπων τοῦ ἐνεστῶτος χρόνου τὴν διάκρισιν ἔχουσι. Φιλεῖ δὲ τὰ εἰς μι λήγοντα ῥήματα τὸ παθητικὸν πρῶτον πρόσωπον βραχείᾳ παραλήγεσθαι· ⟨καὶ⟩ συστέλλεται μὲν τῆς πρώτης συζυγίας ἡ παραλήγουσα εἰς τὸ ε̄, ὡς τὸ τίθεμαι, τῆς δευτέρας εἰς βραχὺ τὸ ᾱ, ὡς τὸ ἵσταμαι, τῆς τρίτης εἰς τὸ ō, οἷον δίδομαι· ἡ τετάρτη τὸ αὐτὸ δίχρονον φυλάττει.

§ 15 (19b).

Περὶ μετοχῆς.

<*Stephani.*> — Μετοχή ἐστι λέξις μετέχουσα ⟨τῆς⟩ τῶν ῥη- 896,18b
μάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος.] Ἀναγκαίαν ἡ μετοχὴ τὴν τάξιν εἴληχεν· εἰ γὰρ ὀνόματός τε καὶ ῥήματος αὐτήν φαμεν μετέχειν, δίκαιον καὶ αὐτὴν ταγῆναι μετ' ἐκεῖνα τὰ μέρη, ὧν δοκεῖ μετέχειν. Λέγει δὲ εἶναι λέξιν καὶ αὐτήν· ταὐτὸν γάρ ἐστι λέξις καὶ μέρος ⟨λόγου⟩.

Παρέπεται δὲ αὐτῇ ταῦτα ἃ καὶ τῷ ὀνόματι καὶ τῷ ῥή-

10—16 hab. et. Σ^m

6 ἀπὸ τῶν βαρυτόνων τῆς ἕκτης ἢ μόνων τῶν π. Cb ‖ **11** *prius* ἀπὸ *add* Vb ‖ **12** *ante* συζ. *add* τὰς Cb ‖ **15** ἀποτελουμένας] ἀποτελούσας τῶν εἰς μι Cb, γινομένας V ‖ **17** τοῦ πρ. πρ. *post* βαρυτ. (*v. 18*) *transp.* Cb ‖ **21** διάκρισιν] κατάληξιν Cb ‖ **22** βραχείᾳ b, βραχεῖα C ‖ **24** τῆς δευτέρας] ἡ δευτέρα Cb | τῆς τρίτης] ἡ τρίτη Cb ‖ **28—255, 24** *videntur esse* Stephani
28 Ἀναγκαίαν C, ἀναγκαίως b

ματι δίχα προςώπων τε καὶ ἐγκλίςεων.] Ἔχει γὰρ τοῦ μὲν ὀνόματος τὸ γένος καὶ τὰς πτώςεις, τοῦ δὲ ῥήματος τοὺς χρόνους, ⟨τὰς διαθέςεις καὶ τὰς cυζυγίας⟩· ὥςτε αὐτὴν δικαίως μετοχὴν ὀνομάζεςθαι. Καὶ ἐν μὲν τοῖς ἄλλοις μέρεςι τοῦ λόγου ἔςτιν εὑρέςθαι καὶ πρωτότυπα καὶ παράγωγα, ἐπὶ μὲν ὀνόματος, ὡς τὸ λίθος καὶ τὸ λίθινος, ἐπὶ δὲ ῥήματος, ὡς τὸ ὄπτω ὀπτεύω, καὶ ἐπὶ τῶν ἄλλων μερῶν ⟨ὡςαύτως⟩· ἐν δὲ τῇ μετοχῇ οὐκ ἔςτιν εὑρεῖν πρωτότυπον, ἀεὶ γὰρ ἐν παραγωγῇ ἐςτιν· οὐκ ἔςτι γὰρ εὑρεῖν μετοχὴν μὴ προϋπάρχοντος ῥήματος. Διαφέρει δὲ καὶ κατὰ γένος τοῦ ὀνόματος, καθὸ ἐν μὲν τοῖς ὀνόμαςι τινὰ
897b ⟨μέν⟩ ἐςτι μονογενῆ, τινὰ δὲ κοινά, τινὰ δὲ καὶ τριγενῆ, ἡ μέντοι μετοχὴ τὴν τριγένειαν ἠςπάςατο, ⟨ὁ⟩ τύπτων γὰρ καὶ ⟨ἡ⟩ τύπτουςα καὶ τὸ τύπτον· εἰ γὰρ ἀπὸ ῥημάτων τὴν γένεςιν ἔχει, ῥημάτων δὲ τὰ πράγματα ἐπιτρέχει εἰς ἄνδρας καὶ γυναῖκας καὶ παιδία — πᾶν γὰρ πρόςωπον καὶ ἀνὴρ καὶ γυνὴ καὶ παιδίον ποιεῖ τι —, ἔχει οὖν τὴν τριγένειαν, χωρὶς ἐκείνων, ἐφ' ὧν ἡ φύςις ἐναντιοῦται. Τοῦτο δὲ ἔφην διὰ τὸ ἐκτροῦςα· ταύτης γὰρ τῆς μετοχῆς ἡ φωνὴ κατὰ τὸ ἄρρεν οὐ ςυνίςταται, ἡ φύςις γὰρ ἐναντιοῦται· ἐπὶ ἀρρένων γὰρ τὸ τοιοῦτο πάθος οὐ ςυμβέβηκεν.

Παρέπεται δὲ τῇ μετοχῇ πάντα τὰ τοῦ ῥήματος δίχα τῶν προςώπων καὶ ἐγκλίςεων· ὅπου γὰρ γένος, ἐκεῖ πρόςωπον οὐ ςυνίςταται· ἐγκλίςεις δὲ οὐκ ἠδύνατο ἔχειν ἡ μετοχή, ἐπείπερ ἀπὸ τῶν ῥημάτων μετενήνεκται ἐπὶ τὴν τῶν ὀνομάτων κατάληξιν· τὰ γὰρ ῥήματα τὸ πρᾶγμα ςημαίνουςι καὶ τὸ πρόςωπον μετειληφὸς τοῦ πράγματος, ἐνταῦθα ⟨δὲ⟩ πτωτικὸν γενόμενον μόνην τὴν ποιότητα ἐμφαίνει.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Μετοχὴ εἴρηται, ὅτι μετέχει τῶν τοῦ ὀνόματος καὶ ⟨τῶν τοῦ⟩ ῥήματος ἰδιωμάτων. Ῥήματος μὲν οὖν ἔχει χρόνους, οἷον λέγω λέγων, λέξω ⟨λέξων⟩, ἔλεξα λέξας· διαθέςεις, ἐνεργητικὴν μὲν λέγων, παθητικὴν δὲ τυπτόμενος, μέςην δὲ τυψόμενος· εἴδη, πρωτότυπον ⟨μὲν⟩ ἄνων ἀπὸ τοῦ ἄνω, παράγωγον δὲ ἀπὸ τοῦ ἀνύω ἀνύων· ςχήματα, ἁπλοῦν λέγων, ⟨ςύνθετον καταλέγων⟩, παραςύνθετον φιλιππίζων· ἀπὸ γὰρ ςυνθέτου ⟨τοῦ⟩ Φίλιππος γέγονε ῥῆμα τὸ φιλιππίζω, τὰ δὲ ἀπὸ ςυνθέτων γινόμενα λέγονται παραςύνθετα· ἀριθμούς, ἑνικὸν τύπτων, δυϊκὸν τύπτοντε, πληθυντικὸν τύπτοντες· ςυζυγίας ἔχει, πρώτην μὲν οἷον τύπτων, ἐπεὶ τὸ π̄ ἔχει· δευτέραν λέγων, ἐπεὶ τὸ γ̄

19—24 hab. et. Σ^m

6 ὄπτω] ὀπτὸς Cb ‖ **11** ὁ *et* ἡ *add* b ‖ **12** ῥημάτων δὲ] ῥήματα δὲ Cb ‖ **15** ἐκείνων b, ἐκείνου C ‖ **16** ἐκτροῦςα *Choerob.*, ἐκτρώςας C, ἐκτρώςαςα *Lehrs* | κατὰ τοῦ ἄρρενος Cb ‖ **19** Παρέπ. — μετ. V, παραδέχεται δὲ ἡ μετοχὴ C ‖ **20** καὶ ἐγκλ. *om* V | γένος CV, ἔγκλιςις *Skrzeczka progr. 1853, p. 8* | πρός. οὐ V, καὶ πρός. C, καὶ πρός. οὐ N ‖ **23** μετειληφὸς V, μετειληχὸς Cb **24** τὴν *add* V | παρεμφαίνει V ‖ **27** λέξων *add* b ‖ **30** ςύνθ. καταλ. *add* b, *improbante Lerschio, Sprachphil. 2, 132 adn.* ‖ **31** τοῦ *add* b ‖ **32** δὲ] γὰρ Cb

ἔχει· τρίτην δὲ ᾄδων, ἐπεὶ τὸ δ ἔχει· τετάρτην φράζων, διὰ τοῦ ζ, καὶ ⟨πέμπτην⟩ πάλλων, δι' ἀμεταβόλου· βασιλεύων ἕκτην. Καλῶς δὲ εἶπε 898 b «καὶ τῆς τῶν ὀνομάτων»· μετέχει γὰρ καὶ τῶν παρεπομένων τῷ ὀνόματι· γένη γὰρ ἔχει, ὁ νοῶν, ἡ νοοῦσα, τὸ νοοῦν· εἴδη, ἄρδων πρωτότυπον καὶ ἀρδεύων παράγωγον· σχήματα, ἁπλοῦν μὲν φρονῶν, σύνθετον δὲ καταφρονῶν, παρασύνθετον δὲ ἀντιγονίζων· ἀριθμούς, οἷον ⟨ἀγνοῶν ἀγνοοῦντε⟩ ἀγνοοῦντες· πτώσεις, οἷον τύπτων ⟨τύπτοντος⟩ καὶ τὰ ἑξῆς.

§ 16 (20b).

Περὶ ἄρθρου.

⟨*Stephani.*⟩ Πρῶτον ὁ τεχνικὸς εἶπε περὶ ὀνόματος, εἶτα περὶ ῥήμα- 898,13 b τος, εἶθ' οὕτω τρίτον περὶ μετοχῆς ἀναγκαίως, ἐπεὶ μετέχει τοῦ τε ὀνόματος καὶ τοῦ ῥήματος· ὅθεν τὸ ἄρθρον τέταρτον, ἐπειδὴ συναρτᾶται τῷ ὀνόματι. Προτέτακται δὲ τὸ ἄρθρον τῆς ἀντωνυμίας· ἡ μὲν γὰρ ἀντωνυμία ἀντὶ τοῦ ὀνόματός ἐστιν, ὅθεν δικαίως προτέτακται τὸ μετὰ τοῦ ὀνόματος· γνησιώτερον γὰρ τὸ μετά τινος τοῦ ἀντί τινος.

Οὐκ ἐπινενόηται δὲ τὸ ἄρθρον τοῖς τεχνικοῖς, ὥσπερ τινὲς νενο- 899,13 b μίκασιν, ἕνεκα τῆς τῶν γενῶν διακρίσεως· πολλάκις γὰρ ὁρῶμεν καὶ αὐτὰ τὰ ἄρθρα ἀναμένοντα τὴν σύνταξιν τῶν ὀνομάτων πρὸς τὸ διασαφηνίσαι ἡμῖν, ποίου ποτὲ γένους ἐστὶ τὸ ζητούμενον· ἰδοὺ γὰρ τὸ τῶν ἐπὶ γενικῆς πτώσεως πληθυντικῆς ἁρμόττει τοῖς τρισὶ γένεσι, καὶ οὐκ ἔστιν ἀπὸ μόνου τοῦ ἄρθρου καταλαβεῖν, ποίου γένους ἐστίν, εἰ μὴ ἐπενεχθὲν τὸ ὄνομα δείξει ἡμῖν, ποίου γένους ἐστίν. Ἔστι δὲ εἰπεῖν, 20 ὅτι τὸ ἄρθρον ἐπινενόηται πρὸς τὸ ἀναφορὰν σημαίνειν· ἀναφορὰ δέ ἐστιν ἀναπόλησις προεγνωσμένου καὶ ἀπόντος προσώπου· ἄλλο γάρ τί ἐστιν εἰπεῖν «ἄνθρωπος ἦλθε», καὶ ἄλλο μετὰ τοῦ ἄρθρου· τὸ γὰρ ἄρθρον δευτέραν γνῶσιν ἐπαγγέλλεται· ἐὰν γάρ τίς σοι εἴπῃ «ναῦς ἦλθε», δοκεῖς ἀγνοεῖν ποία· ἐὰν δὲ σὺν τῷ ἄρθρῳ, τρόπον τινὰ ὑπομιμνήσκει ⟨τοῦ⟩το τὴν προεγνωσμένην ὑπὸ σοῦ καὶ αὐτοῦ τοῦ λέγοντος.

Ἄρθρον ἐστὶ μέρος λόγου πτωτικόν, προτασσόμενον τῆς 900,2 b κλίσεως τῶν ὀνομάτων καὶ ὑποτασσόμενον.] «Μέρος λόγου» τὸ ἄρθρον, ἓν γὰρ τῶν συμπληρούντων εἰς τὴν τελειότητα τοῦ λόγου· «πτωτικόν» δέ, ὅτι ἕν ἐστι τῶν πτωτικῶν· τῶν γὰρ μερῶν τοῦ λόγου τὰ μὲν πτωτικά ἐστι, τὰ δὲ ἄπτωτα. Ἐνδεῶς δὲ εἶπεν ὁ τεχνικὸς τὸ «προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων»· οὐ μόνων γὰρ τῶν ὀνομάτων προτάσσεται τὰ ἄρθρα, ἀλλὰ καὶ πάντων ὁμοῦ τῶν κλίνεσθαι εἰς

15—258, 24 hab. et. A ‖ **21—25 hab. et.** Σ^m ‖ **32—257, 5 hab. et.** Σ^m

2 πέμπτην *add* b | ἀμεταβόλων C ‖ **9—257, 9** *videntur esse Stephani* **11** ἐπειδὴ b, ἐπεὶ δὲ C ‖ **15** Οὐκ b, καὶ C, *om* A | δὲ τὸ ἄρ. *add* A | τοῖς — νενομ. *om* A ‖ **19** πτ. πληθ. *add* A | τρ. γέν. Ab, τριγενέσι C ‖ **21** δείξει C, δείξῃ A ‖ **24** τὸ — ἄπτωτα (**32**) *om* A ‖ **32** εἶπεν ὁ τεχν. *add* VA ‖ **33** οὐ κατὰ μόνων γ. CVA ‖ **34** ὁμοῦ — προτ. (**257, 1**)] τῶν πτωτικῶν A

πτώσεις δυναμένων· καὶ γὰρ καὶ μετοχῶν καὶ ἀντωνυμιῶν προτάττεται.

Καὶ ἔστι προτακτικὸν μὲν ὁ, ὑποτακτικὸν δὲ ὅς.] Προτακτικὸν μέν ἐστιν ὃ προτάσσεταί τινος πτωτικῆς γραφῆς, τὸ δὲ ὑποτακτικόν, ὅπερ ὑποτάσσεται τῷ ὀνόματι· οἷον προτακτικόν ἐστιν «ὁ Ὅμηρος», ὑποτακτικὸν δὲ «Ὅμηρος ὅς ἦν παῖς Μέλητος [ποταμοῦ]». Ἀεὶ δὲ τὰ ἄρθρα πτωτικοῖς συναρτᾶται τοῖς δυναμένοις δέξασθαι τὴν ἀναφοράν· εἰ δὲ ἀπολέσει τὴν πρὸς τὰ πτωτικὰ συνάρτησιν, ἀντωνυμία γίνεται, ὡς τὸ ⟨Α 12⟩ ὁ γὰρ ἦλθε, ⟨Ε 603⟩ τῷ δ' αἰεὶ πάρα εἷς γε.

899,30 b Ἰστέον δὲ ὅτι τὰ ἄρθρα ἀναφορᾶς ἕνεκα παρελήφθη τῶν ὀνομάτων, ἥτις ἐστὶ προεγνωσμένου προσώπου ἀνάπολησις· ἢ ὑπεροχῆς, ὡς «ὁ ποιητής»· ἢ μοναδικῆς κτήσεως, ὡς «ὁ δοῦλός μου»· ἢ ἐπὶ προλήψεως, ὡς τὸ ⟨Ζ 158⟩ κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος, ⟨ὅς κτλ.⟩.

902,21 b ⟨*Stephani.*⟩ — Παρέπεται δὲ αὐτῷ τρία, γένη, ἀριθμοί, πτώσεις· γένη μὲν οὖν εἰσι τρία, ὁ ποιητής, ἡ ποίησις, τὸ ποίημα· ἀριθμοὶ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός, ἑνικὸς μὲν ὁ ἡ τό, δυϊκὸς δὲ τώ τά, πληθυντικὸς δὲ οἱ αἱ τά· πτώσεις ὁ τοῦ τῷ τόν ὦ.] Τὰ γένη ἐξ ἀκριβείας κατὰ γραμματικοὺς οὐ λαμβάνεται, ἀλλ' ἐκ τῆς συντάξεως καὶ τῆς συμφωνίας τῶν ἄρθρων συνταττομένων διαφόροις τοῖς ὀνόμασιν· ἐκεῖνο γάρ ἐστιν ἀρσενικόν, ᾧ συντάττεται τὸ ὁ ἄρθρον, ἐκεῖνο δὲ θηλυκόν, ᾧ συντάττεται τὸ ἡ, καὶ οὐδέτερον τὸ ἔχον τὸ τό.

Ἐπειδὴ δὲ τὰ ὀνόματα, ἤτοι πάντα τὰ πτωτικά, μετήρχετο εἰς ἀριθμούς, ἀνάγκη καὶ τὸ συνηρτημένον αὐτοῖς μεταβάλλειν· διὸ καὶ ἀριθμοὶ αὐτῷ παρέπονται· ἐπειδὴ δὲ καὶ εἰς πτώσεις μετακλίνεται, καὶ τῶν πτώσεων μεταλαμβάνει. Ἰστέον δὲ ὅτι τῶν ἄρθρων τέσσαρά ἐστι πτωτικά, πάντως τῆς κλητικῆς μὴ δεχομένης ἄρθρον· οὐ γὰρ οἷόν τέ ἐστι κλητικὴν καὶ ἔναρθρον γενέσθαι, ἄλλο γάρ τί ἐστι κλητικὴ καὶ ἄλλο ἄρθρον· τὸ μὲν γὰρ ἄρθρον μνήμην προεγνωσμένου καὶ ἀπόντος προσώπου ποιεῖται, ἡ κλητικὴ δὲ πρὸς δεύτερον καὶ παρὸν πρόσωπον ποιεῖται τὸν λόγον· πῶς οὖν οἷόν τέ ἐστιν ἀπόντος μνημονεύεσθαι ὡς παρόντος καὶ καλεῖν;
903 b

Πτώσεις δὲ ὁ τοῦ τῷ τόν ὦ.] Πρὸς εἰσαγομένους γράφων ὁ τεχνικὸς καὶ τὸ ὦ μετὰ τῶν ἄρθρων κατέταξε, μηδὲν περιεργασάμενος. Ἐν πολλοῖς δὲ ἐλέγχεται μὴ εἶναι ἄρθρον· ἕκαστον γὰρ τῶν ἄρθρων

26—32 hab. et. Σ^m

1 πτῶσιν C | καὶ (*ante* μετ.) *add* V ‖ 4 τινὸς πτωτικῆς (-κοῦ V) γραφῆς VN, τῇ τοῦ ὑποτακτικοῦ γραφῇ CA ‖ 5 οἷον — γε (9) *om* A ‖ 14—26 *om* A ‖ 18—258, 24 *videntur esse Stephani* ‖ 19 συμφωνίας τῶν ἄρθρων *Lobeck,* εὐφωνίας τῶν ἀνθρώπων C | συνταττόμενα C ‖ 27 οὐ — ἄλλο ἄρθρον (29) *add* A ‖ 30 πρόσωπον *add* VA ‖ 33 *lemma om* A

φανερὸν cημαίνει γένος καὶ πρόδηλον ἀριθμόν· τὸ δὲ ὦ οὔτε ἴδιον ἀριθμὸν ἔχει οὔτε γένος φανερόν, ἀλλὰ καὶ τοῖς τριcὶν ἀριθμοῖς καὶ γένεcιν προτάττεται· τὸ γὰρ τῶν ἄρθρον εἰ καὶ τοῖς τριcὶ γένεcι δουλεύει, ἀλλ' οὐ τοῖς τριcὶν ἀριθμοῖς· καὶ ὅτι πᾶν ἄρθρον προτακτικόν ἐcτι καὶ ὑποτακτικόν, τὸ δὲ ὦ προτακτικὸν μόνον· οὐκ ἄρα ἄρθρον· καὶ ⟨ὅτι⟩ πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δαcύνεται, τὸ δὲ ὦ ψιλοῦται· οὐκ ἄρα ἄρθρον· καὶ ὅτι τὰ ἄρθρα ἀναφορικά ἐcτι καὶ ἀπὸν πρόcωπον cημαίνει, τὸ δὲ ὦ παρόν· ἐναντίον δὲ τὸ ἀπὸν τῷ παρόντι· οὐκ ἄρα ἄρθρον· καὶ ὅτι οὐδέποτε πτωτικὸν $\bar{\omega}$ περιcπᾶται, τὸ δὲ ὦ περιcπᾶται· οὐκ ἄρα ἄρθρον· καὶ ὅτι οὐδέποτε κλητικὴ μείζων ἐcτὶ τῆς ἰδίας εὐθείας· ἢ γὰρ ἴcη ἢ ἐλάττων, ἴcη μέν, ὡς ὁ Λάχης ὦ Λάχης, ἥττων δέ, ὡς ὁ Μενέλαος ὦ Μενέλαε· φαcὶ γὰρ ὅτι βραχύτερόν ἐcτι τὸ $\bar{\epsilon}$ τοῦ $\bar{o}$· ἐνταῦθα δὲ μεῖζον τὸ ὦ τοῦ ὀ· οὐκ ἄρα ἄρθρον. Ἔcτι τοίνυν ἐπίρρημα κλητικόν. Οὐδὲν δὲ θαυμαcτόν, εἰ ἐπίρρημα κλητικῇ πτώcει cυντάccεται· καὶ γὰρ τὰ χωριcτικὰ ἐπιρρήματα δουλεύει τῇ γενικῇ πτώcει, ὡς ἔχει τὸ ⟨cfr μ 219⟩ ἐκτὸς τούτου, καὶ ⟨ξ 9. 451⟩ νόcφι⟨ν⟩ δεcποίνης, καὶ ⟨Ο 213⟩ αἴ κεν ἄνευ ἐμέθεν· ἤδη δὲ καὶ cχετλιαcτικὰ ἐπιρρήματα ταύτῃ τῇ πτώcει cυντάccεται, ⟨cfr Arist. Av. 1724⟩ «φεῦ τοῦ κάλλους», καὶ τὰ θαυμαcτικά, «βαβαὶ τῆς ὥρας». Ἔcτι δὲ καὶ ⟨ἡ⟩ Διός γενικὴ καὶ ἡ Διΐ ⟨δοτικὴ⟩ καὶ ἡ αἰτιατικὴ Δία· ἀποκόπτεται ⟨δὲ⟩ πολλάκις τὸ $\bar{\alpha}$, καὶ ἄδηλος ἡ ἑξῆς μετὰ τὴν ἀποκοπήν, ποίας 904 b ἐcτὶ πτώcεως· Ἀττικοὶ οὖν προcάπτουcι τούτῳ ἐπίρρημα τὸ μά καὶ τὸ νή, φάcκοντες «μὰ Δί'» καὶ «νὴ Δί'», καὶ cημαίνουcιν αἰτιατικὴν πτῶcιν. Οὐδὲν οὖν θαυμαcτόν, εἰ καὶ τὸ ὦ, ἐπίρρημα ὄν, κλητικῇ δουλεύει πτώcει.

§ 17 (21 et 22b).

Περὶ ἀντωνυμίας.

⟨*Stephani.*⟩ — Ἀντωνυμία ἐcτὶ λέξις ἀντὶ ὀνόματος παρα- 906, 13 b λαμβανομένη, προcώπων ὡριcμένων δηλωτική.] Ὁρίζεται τὴν ἀντωνυμίαν λέξιν καλῶς, τουτέcτι μέρος λόγου· ἀδιάφορον γὰρ τοῦτο, ὡς προείρηται. Πρὸς εἰcαγομένους ⟨δὲ⟩ διαλεγόμενος ἀδιαcτόλως «ἀντὶ ὀνόματος» εἴρηκε, δέον εἰπεῖν «ἀντὶ μόνου τοῦ κυρίου».

Ζητοῦcι δέ τινες, εἴπερ ἡ ἀντωνυμία ἀντὶ ὀνόματος παραλαμβάνε- 905, 9 b

---

31—259, 29 (τέτ.) **hab. et.** Σ^m ‖ **31—260, 11 hab. et.** A

2 ἀριθμὸν Ab, ἄρθρον C ‖ **3** ὑποτάττεται CA | ἄρθρον Ab, ἄρθρων C ‖ **9** ὅτι *add* A | τὸ δὲ ὦ περιcπ. *add* A ‖ **10** κλητικὴ Ab, πτωτικὸν C ‖ **11** ὡς *add* A ‖ **12** ὁ *add* A | φαcὶ — $\bar{o}$ (13) *om* A ‖ **13** τοῦ $\bar{\epsilon}$ τὸ $\bar{o}$ C | $\bar{\omega}$ τοῦ $\bar{o}$ Ab, $\bar{o}$ τοῦ $\bar{\epsilon}$ C ‖ **15** χωριcτικὰ A, χωριcτὰ C ‖ **16** πτώcει — ἐμέθεν (17) *om* A ‖ **18** ἐπιρρ. — κάλλους (19) *om* A ‖ **19** βαβαὶ — πτῶcιν (23)] τὰ δὲ ἀπωμοτικὰ αἰτιατικῇ καὶ τὰ κατωμοτικά A ‖ **20** *primum* ἡ *add* b | δοτικὴ *om* C, *add* h ‖ **27—260, 11** *videntur esse Stephani* ‖ **29** προείρ.] *p. 244, 11 seqq* ‖ **31** Ζητοῦcι δὲ τὸ εἴπερ ἡ A, διὸ καὶ Ζητοῦcιν ὅτι εἴπερ C, Ζητοῦcι δέ τινες εὐλόγως παραβαλλόμενοι εἴπερ ἡ V

ται, τοῦ ὀνόματος ἤδη προτεταγμένου, τίς ἦν χρεία τῆς ἀντωνυμίας; Καὶ λέγομεν ὅτι εἰ καὶ ἀντὶ ὀνόματος παραλαμβάνεται, ἀλλ' ἔχει διαφοράς τινας πρὸς τὸ ὄνομα· τὸ μὲν γὰρ ὄνομα τρίτου προσώπου ἐστί. Ὅτι δὲ τρίτου προσώπου ἐστὶ τὸ ὄνομα, φυσικῶς ἔστι μαθεῖν· πρῶτον πρόσωπόν ἐστι τὸ περὶ αὐτοῦ ἀποφαινόμενον, ὡς τὸ τύπτω· καὶ ὅτι οὐ πρώτου προσώπου ἐστὶ τὸ ὄνομα, δῆλον· ὁ γὰρ τεχθεὶς παῖς οὐκ ἂν λέξαι περὶ αὑτοῦ, ὅτι «Ἀρίσταρχος λεχθείην»· πάλιν δὲ δεύτερόν ἐστιν, ὅταν πρός τινα λόγον ποιώμεθα περὶ αὐτοῦ μνημονεύοντες, οἷον τύπτεις· καὶ ὅτι οὐδὲ δευτέρου προσώπου ἐστὶ τὸ ὄνομα, προφανές· οὐδὲ γὰρ πρὸς τὸν τεχθέντα παῖδα ἀποτεινόμενοι τὸν λόγον ποιούμεθα, ὅτι «Ἀρίσταρχος λέγει»· τὸ δὲ τρίτον ἐστίν, ὅτε περί τινος ἀπόντος λόγον ποιούμεθα, ὡς τὸ τύπτει· τοῦ οὖν τρίτου προσώπου ἐστὶν ὁμολογουμένως τὸ ὄνομα· καὶ γὰρ ⟨περὶ⟩ τοῦ τεχθέντος λόγον ποιούμενοι λέγομεν, ὅτι «Ἀρίσταρχος λεγέσθω». Ὅθεν πάλιν προβάλλονται, εἰ τὸ ὄνομα σημαίνει τρίτον πρόσωπον, ἡ δὲ ἀντωνυμία πρῶτον καὶ δεύτερον, περιττὸν κεῖται τῆς ἀντωνυμίας τὸ τρίτον πρόσωπον. Ἀλλὰ λέγομεν ὅτι, εἰ καὶ τὸ τρίτον πρόσωπον ἔχει, ἀλλ' ἔστι τις πάλιν διαφορά· τὸ μὲν γὰρ ὄνομα ὀνομάζειν μόνον πέφυκεν, ἡ δὲ ἀντωνυμία μετὰ τοῦ ὀνομάζειν καὶ δεῖξιν ἐπαγγέλλεται· πολλάκις γάρ, ἐάν τις καὶ τὸ ὄνομα εἴπῃ, ἀόριστον αὐτὸ ἐᾷ, ὡς εἰ συμβαίη Ἀριστάρχου παρόντος ἕτερον
9 :b λέγειν ὅτι Ἀρίσταρχος· κἂν μὴ ἐπιβάλῃ τὸ ἀντώνυμον, ἀσαφὴς γίνεται. Ὥστε ἡ ἀντωνυμία ἀναγκαίως παρὰ τῆς φύσεως ἐπινενόηται ἐν τῇ πλοκῇ τῶν μερῶν τοῦ λόγου.

907,7 b «Προσώπων» δέ φησιν «ὡρισμένων δηλωτική»· τοῦτο γὰρ μόνον ἰδίωμα τῆς ἀντωνυμίας ἐστί, τὸ ὁρίζειν, πρὸς ὃν τις λέγει. Εἰ δέ τις λέγοι, ὅτι καὶ τὸ ῥῆμα ὁρίζει πρόσωπα — ὁρίζει γὰρ καὶ πρῶτον καὶ δεύτερον — οὐδὲν δὲ πλέον ἡ ἀντωνυμία εἰ μὴ μόνον τὸ τρίτον· ἀεὶ γὰρ τὰ πρόσωπα τῶν ἀντωνυμιῶν πάνθ' ὡρισμένα ἐστίν, ὥρισται γὰρ τὰ τοιαῦτα, ἐπὶ τίνος τέτακται· φαμὲν ὅτι κατὰ τοῦτο διαφέρει τῶν ῥημάτων ἡ ἀντωνυμία, ὅτι καὶ τὸ τρίτον ὁρίζει καὶ πάντως ἵστησιν ἡμῖν τὰ πρόσωπα ἢ δι' ἀναφορᾶς ἢ διὰ δείξεως, ὅπερ οὐκ ἔλαχε τὸ ῥῆμα·

---

2 ὅτι CVA, *om* b ‖ **4** Ὅτι — ἐστὶ *om* A | ὅτι δὲ V, καὶ ὅτι C | τὸ ὄν. τρ. πρ. ἐ. C ‖ **5** αὑτοῦ b, αὐτοῦ CVA ‖ **6** οὐ πρώτου πρ. b, οὐ πρῶτον πρόσωπον V, τοῦ τρίτου πρ. CA | τὸ *om* C ‖ **7** ἑαυτοῦ A, αὐτοῦ CV | λεχθείην CA, λέγομαι V | δὲ *om* C ‖ **8** περὶ — ποιούμεθα (**10**) *om* V ‖ **9** οὐδὲ Ab, οὔτε C ‖ **10** οὐδὲ b, οὔτε CA | τεχθέντα A, λεχθέντα C ‖ **11** ὅτι — ποιούμεθα (**12**) V, *om* CA ‖ **12** τοῦ — λεγέσθω (**14**) *om* V | προσώπου *add* A ‖ **13** τεχθέντος A, λεχθέντος C | λέγομεν *add* A ‖ **14** λεγέσθω ὁ τεχθεὶς Cb ‖ **15** σημαίνει VA, ἐν μέρει Cb ‖ **17** *prius* τὸ *add* VA ‖ **19** πολλάκις — λόγου (**23**) *om* V ‖ **20** αὐτὸ A, ἑαυτὸ Cb ‖ **21** ἀντώνυμον A, τῆς ἀντωνυμίας Cb | ἀσαφὴς A, ἀσαφὲς Cb ‖ **26** λέγοι b, λέγει CVA ‖ **28** πανθ' ὡρ. Cb, πάντα ὡρ. V, πάντων ὡρ. A | *post* ἐστίν *add* V: ἐπ' ὀλίγον, ὡς τὸ βροντᾷ καὶ ἀστράπτει καὶ ὕει ‖ **29** τῶν *add* A ‖ **30** ὅτι καὶ A, καὶ C, καθὸ b

17*

εἰ γὰρ καὶ ὁρίζει, ἀλλ᾽ οὐ δείκνυϲιν, οἷον εἰπεῖν ἐπὶ τῆϲ ἀντωνυμίαϲ, δι᾽ ἀναφορᾶϲ μέν, ὡϲ ἐπὶ τῆϲ αὐτόϲ, ἀναφορικὴ γὰρ ἡ αὐτόϲ ἀντωνυμία φύϲει, διὰ δὲ δείξεωϲ, ὡϲ ἐπὶ τῆϲ ἐγώ ϲύ οὗτοϲ ἐκεῖνοϲ καὶ τῶν ὁμοίων.

Ζητῆϲαι δὲ ἄξιον, τίνοϲ ἕνεκα, εἰ τὸ ῥῆμα ἐν προϲώποιϲ, ὡϲαύτωϲ 912,26 b δὲ καὶ ἡ ἀντωνυμία, διὰ τί τὸ μὲν ῥῆμα ἔξωθεν κλίνει τὰ πρόϲωπα, ἡ δὲ ἀντωνυμία ἔϲωθεν. Καὶ ῥητέον, ὅτι ἡ μὲν ἀντωνυμία, καθὼϲ ἀντωνυμία κέκληται, ἔδει ἐκείνου τὸν χαρακτῆρα ἔχειν, ἀνθ᾽ οὗ καὶ παραλαμβάνεται, καὶ ⟨ἡ κίνηϲιϲ⟩ ἐν τῷ κυριωτέρῳ τόπῳ εἶναι· ὁ δὲ κυριώ- 30 τεροϲ τόποϲ ἐϲτὶ τὸ τέλοϲ· ὅθεν ἐν μὲν τῷ τέλει τὴν κίνηϲιν ἔχει, ὥϲπερ τὸ ὄνομα, ἐν δὲ τῇ ἀρχῇ τὰ πρόϲωπα, εἴ γε τοῦτο ἴδιον αὐτῆϲ ἐϲτι καὶ τὰ πρόϲωπα ὁρίζεϲθαι.

Λέξιϲ ἡ ἀντωνυμία ἀντὶ ὀνόματοϲ παραλαμβανομένη, ὥϲπερ ἡ με- 906,18 b τοχὴ ἀντὶ ῥήματοϲ. Ὀνόματοϲ δὲ τοῦ κυρίου φημί· φέρε γάρ τινα πυνθάνεϲθαι «τίϲ τοῦτο ἐποίηϲεν;» εἰ μὲν ἐπίϲταϲαι τὸ ὄνομα, κέχρηϲαι τῷ ὀνόματι· εἰ δὲ μή, τῇ ἀντωνυμίᾳ κέχρηϲαι, καὶ ἐρεῖϲ «οὗτοϲ», καὶ ἀντὶ κυρίου τὸ οὗτοϲ παρελήφθη.

«Προϲώπων ὡριϲμένων δηλωτική»· ἵνα μή τιϲ περαιτέρω τῶν τριῶν 907,21 b νομίζῃ ϲημαίνεϲθαι ἢ τέταρτον ἢ πέμπτον· ὡριϲμένα γὰρ τὰ τρία πρόϲωπα, πρῶτον, δεύτερον, τρίτον, ἐγώ ϲύ ἵ, ἐμοῦ ϲοῦ οὗ, καὶ ἑκάϲτηϲ πτώϲεωϲ.

Στεφάνου. — Εἴληπται ἡ ἀντωνυμία ἀντὶ κυρίων μόνων, οὐ προ- 906,25 b ϲηγορικῶν οὐδὲ ἐπιθέτων, ἐπεὶ ταῦτα πλατυκωτέραϲ οὐϲίαϲ, ὑπάρχοντα ἀπεριόριϲτα, ἐὰν ἄρθρων χωρὶϲ ληφθῇ· ἓν δέ τι πρόϲωπον ὁρίζειν ἡ ἀντωνυμία βούλεται.

Παρέπεται δὲ αὐτῇ ἕξ, πρόϲωπα, γένη, ἀριθμοί, πτώϲειϲ, 907,25 b ϲχήματα, εἴδη.] Ἐκ τῶν παρεπομένων τῇ ἀντωνυμίᾳ δῆλόν ἐϲτιν ὅτι ἀντὶ ὀνόματοϲ παραλαμβάνεται· πάντα γὰρ ὅϲα παρέπεται τῷ ὀνόματι παρέπεται καὶ αὐτῇ, πλεοναζόντων μόνων τῶν προϲώπων διὰ τὸν προειρημένον λόγον τὸν λέγοντα, ὅτι διὰ τοῦτο παρελήφθη ἡ ἀντωνυμία, 30 ἵνα ἀναπληρώϲῃ ἀντὶ τοῦ ὀνόματοϲ πρῶτον καὶ δεύτερον πρόϲωπον, καθὸ οὐ δέδοται Θέωνι ἐκ τεχνικοῦ παραγγέλματοϲ λέγειν «Θέων τύπτω», ἀλλ᾽ «ἐγὼ τύπτω», οὐδὲ «Δίων τύπτειϲ», ἀλλὰ «ϲὺ τύπτειϲ», ἐπειδὴ τὰ 908 b ὀνόματα, καθὼϲ ἤδη εἰρήκαμεν, τρίτου προϲώπου ἐϲτίν.

4—11 hab. et. Σ^m ‖ **17—18** (ϲημαίν.) **hab. et.** A ‖ **21—262, 11 hab. et.** A | **21—24 hab. et.** Σ^m *et iterum* C *in marg. fol. 99r* (C^m) ‖ **25—29 hab. et.** Σ^m

1 εἰπεῖν *om* A ‖ **3** καὶ τὰ ὅμοια Cb, *om* A ‖ **6** καθὼϲ ἀντων. V, *om* CA ‖ **7** ἔδει οὖν ἐκ. CA | ἐκείνου VA, ἐκεῖνον C | καὶ παραλ. V, λαμβάνεται CA ‖ **8** ἡ κίνηϲιϲ *add RSchneider* ‖ **9** ἐν *add* VAb ‖ **21—261, 26** ***videntur esse Stephani*** ‖ **21** Στεφ. *in marg.* C, *om* C^mVA | καὶ προϲ. C^m ‖ **22** οὐδὲ V, οὐκ CC^mA ‖ **23** ἄρθρων CC^mA, ἄρθρου V ‖ **26—33** = Σ^h *p. 78, 7—15* ‖ **27** πάντα VA, πάντωϲ C | τῷ CVA, *om* b ‖ **28** διὰ — ἐϲτίν (33) *om* A | προειρημ.] *cfr p. 258, 31—259, 23* ‖ **31** καθὸ οὐ] καθὸ καὶ C, διότι οὐ b

Πρόσωπα πρωτοτύπων ἐγώ σύ ἵ.] Ἰστέον ὅτι τῶν ἀντωνυμιῶν τὰ πρῶτα καὶ δεύτερα πρόσωπα δεῖξιν δηλοῦσι, τὰ ⟨δὲ⟩ τρίτα ἀναφοράν, αἱ δὲ μονοπρόσωποι καὶ δεῖξιν καὶ ἀναφοράν, ἐγώ σύ, ἐμοῦ σοῦ, ἐμοί σοί, ἐμέ σέ δεῖξιν, ἵ οὗ οἷ ἕ ἀναφοράν· ἀντὶ τῆς ἵ ἡ αὐτός μόνως ἀναφορική, καὶ ἡ οὗτος ἐκεῖνος ὅδε καὶ δεικτικαὶ καὶ ἀναφορικαί· ὅθεν τῇ μὲν αὐτός ἄρθρον συναρτᾶται, οἷον ὁ αὐτός, ἀναφορὰν μόνην δηλούσῃ, ἢ μόριον ἀναφορικόν, ταῖς δὲ λοιπαῖς οὐκέτι, ἐπεὶ καὶ δεῖξιν εἶχον, ἥτις ἐπὶ παρόντος λαμβάνεται. Χρειώδης δὲ ἡ ἀντωνυμία καὶ τῷ ῥήματι· τοῖς γὰρ τρίτοις αὐτοῦ προσώποις ἀορίστοις οὖσι προσιοῦσα ὁρίζει αὐτά, οἷον τύπτει· τίς; οὗτος, ἐκεῖνος, κατὰ δεῖξιν καὶ ἀναφοράν· καὶ ὅτι τὰ ὀνόματα πρώτου καὶ δευτέρου προσώπου ἀμοιρεῖ· πᾶν γὰρ ὄνομα τρί-
906,5b του προσώπου προσελθοῦσα ἡ ἀντωνυμία ἀναπληροῖ, ἐγώ, σύ, τὰ δὲ τρίτα καὶ τὰς ὁμωνυμίας διαστέλλει, οἷον Αἴας· ποῖος; οὗτος, ἐκεῖνος.

910,18b Ζητεῖται δὲ διὰ τί τὰ πρῶτα καὶ δεύτερα πρόσωπα τῶν ἀντωνυμιῶν ἀναλόγως οὐ κλίνεται, οἷον ἐγώ ἐμοῦ, σύ σοῦ, τὰ δὲ τρίτα μονοπρόσωπα κλίνεται, ἐκεῖνος αὐτός. Καί φαμεν ὅτι τὰ ὀνόματα, ἐπεὶ δεῖξιν οὐκ ἔχουσι τὴν δηλοῦσαν αὐτῶν τὸ γένος — πάντα γὰρ τρίτου προσώπου ἐστί, τὸ δὲ τρίτον ἄπεστι, τὸ δὲ ἀπὸν ἄδηλον — ἐπεδέξαντο καταλήξεις ἀναλόγους, ἀρσενικὴν τὴν εἰς ο̅ς̅, καὶ θηλυκὴν τὴν εἰς η̅, καὶ οὐδετέραν τὴν εἰς ο̅ν̅· αὗται οὖν αἱ καταλήξεις ἀνάλογοι οὖσαι καὶ κλίσιν ἀνάλογον ἔσχον. Αἱ δὲ ἀντωνυμίαι δεῖξιν ἔχουσαι καὶ δι᾽ αὐτῆς τὸ γένος ἐμφαίνουσαι οὐκ ἔσχον ⟨ἀνάλογον⟩ κατάληξιν, διὸ οὐδὲ ἀνάλογον κλίσιν· αἱ δὲ τοῦ τρίτου, ὡς καὶ ἀναφορικαὶ καὶ ταύτῃ ἀπ⟨ὸν πρόσωπον δηλ⟩οῦσαι, ἐξελέξαντο κατάληξιν τὴν κλιτικήν. Ἄλλως τε πᾶσα φωνὴ τὰ τρία γένη δηλοῦσα ἄκλιτός ἐστιν, οἷον οἱ πέντε καὶ τὰ ὅμοια· ὁμοίως ἄρα καὶ ἡ ἐγώ καὶ ἡ σύ καὶ αἱ παραπλήσιοι.

Καὶ ἄλλως. — Αἱ πρωτότυποι ἀντωνυμίαι θεματικαὶ ἀνακόλουθον ἔχουσι τὴν κλίσιν καὶ τὸ γένος ἀπὸ τῆς φωνῆς οὐκ ἐμφαίνουσιν, ⟨οἷον⟩

1—26 hab. et. Σ^{m} *et iterum* C *in marg. fol. 98*^{v}*, 99*^{r}*, 100*^{v} (C^{m})

2 δὲ *om* CC^{m}VA ‖ **3** αἱ δὲ μον.] τὰ δὲ μονοπρόσωπα CC^{m}VA | ἐμοί σοί *add* C^{m}V ‖ **4** ἵ] ἡ C^{m}VA, ἵνα C ‖ **5** ἡ *post* καὶ *om* C | καὶ *ante* ἀναφ. *om* C ‖ **6** δηλούσῃ ἢ (ἢ *om* C) μόριον ἀναφορικὸν CVA, δεῖται μορίου C^{m} ‖ **10** καὶ ὅτι — ἐκεῖνος (13) *om* A ‖ **11** πρώτου — προσώπου V, πρῶτον καὶ δεύτερον C, πρώτοις καὶ δευτέροις C^{m} ‖ **12** ἡ C^{m}V, *om* C | ἀναπληροῖ V, πληροῖ CC^{m} | τὰ δὲ τρίτα CC^{m}V, τὸ δὲ τρίτον b ‖ **14** Ζητῆσαι δὲ διὰ τί C, Ζητεῖται διὰ τί C^{m}V, διὰ τί δὲ A | πρόσωπα C^{m}b, *om* CVA ‖ **15** ἀναλόγως CVA, ἀνάλογον C^{m}b | μονοπρόσωπα CA, μόνα πρόσωπα V, πρόσωπα C^{m}b ‖ **16** ἐπεὶ δεῖξιν VAb, ἐπίδειξιν CC^{m} ‖ **17** πάντα C^{m}VA, πάντως Cb ‖ **18** τὸ δὲ τρίτον C^{m}Vb, τὰ δὲ τρίτα CA ‖ **21** ἔσχον C^{m}VAb, ἔχουσιν C | δὲ CC^{m}VA, γὰρ b ‖ **22** ἀνάλ. *om* CC^{m}VA ‖ **23** κλίσιν CVA, κλίνονται C^{m}b | τοῦ C^{m}Vb, *om* CA | ὡς καὶ CVA, καὶ ὡς C^{m}, οὖσαι b | ἀπὸν πρόσ. δηλοῦσαι *Stadtmüller* ‖ **24** ἐξελέξαντο C^{m}V, ἐξεδέξαντο Cb, ἐδέξαντο A | τὴν κλητικὴν CVA, κλητικὴν C^{m}, κλιτικὴν b | Ἄλλως — παραπλ. (26) *om* C^{m} ‖ **26** ὁμοίως — παραπλ. *om* V | ἡ *ante* σύ *add* A ‖ **28** οἷον *om* CA

ἡ ἐγώ οὐ διαστέλλει φανερὸν τὸ γένος· ἐπὶ παντὸς γὰρ γένους τὸ ἐγώ· ὅταν μέντοι διακρίνηται τὸ γένος ἀπὸ τῆς φωνῆς, τότε ἀκολουθεῖ καὶ κλίσις ἀκόλουθος, ἐμός ἐμή ἐμόν, ὡς θερμός θερμή θερμόν.

⟨*Stephani.*⟩ — Διὰ τί δὲ αἱ ἀντωνυμίαι τὰ πρόσωπα περὶ τὴν 911,31 b ἀρχὴν κινοῦσιν, καὶ οὐ περὶ τὸ τέλος; Καί φαμεν, ὅτι πᾶσα κλίσις περὶ τὸ τέλος γίνεται ἐπί τε ὀνόματος, καλός καλοῦ, καὶ ἐπὶ ῥήματος, λέγω λέγεις· κινοῦνται δὲ αἱ ἀντωνυμίαι καὶ κατὰ πρόσωπον καὶ κατὰ πτῶσιν· 912 b ἀλλ᾽ οὐκ ἠδύναντο ἑκατέραν κίνησιν ἐν τέλει ποιήσασθαι, ἵνα μὴ σύγχυσις γένηται. Κατεμέρισαν οὖν τῷ μὲν προσώπῳ τὴν ἀρχήν, τῇ δὲ πτώσει τὸ τέλος, οἰκείως τῇ πτώσει τὸ τέλος δοῦσαι, ὡς ἀντὶ ὀνόματος οὖσαι, οὗ ἡ πτωτικὴ κίνησις ἐν τέλει ἦν.

Παραγώγων δὲ ἐμός σός ὅς.] Ἀπὸ κοινοῦ «πρόσωπα» δεῖ προσθεῖναι, ἵν᾽ ᾖ «παραγώγων δὲ πρόσωπα»· πρῶτον μὲν πρόσωπον ἐμός, δεύτερον δὲ πρόσωπον σός, τρίτον δὲ πρόσωπον ὅς.

Γένη τῶν πρωτοτύπων διὰ μὲν τῆς φωνῆς οὐ διακρίνεται, 913,22 b διὰ ⟨δὲ⟩ τῆς ὑπ᾽ αὐτῶν δείξεως, οἷον ἐγώ.] Οὐκ ἔστι, φησίν, ἀπὸ χαρακτῆρος ἢ ἀρσενικὸν ἢ θηλυκὸν ἢ οὐδέτερον καταλαβεῖν ἐπὶ τῆς πρωτοτύπου ἀντωνυμίας, ἀλλὰ τὸν ἔλεγχον ἔχειν ἀπὸ τῶν προσώπων τῶν διαλεγομένων· διὰ γὰρ τῆς ὑπ᾽ αὐτῶν δείξεώς φησι ⟨τὰς πρωτοτύπους ἀντωνυμίας τὰ γένη διαστέλλειν⟩· πρωτότυπος δὲ ἀντωνυμία ἐστὶν ἡ ἐγώ.

Μὴ ζήτει μηδεμίαν ἀκολουθίαν ἐπὶ πρωτοτύπῳ ἀντωνυμίᾳ· οὔτε 910,12 b γὰρ πτώσεις πρὸς πτώσεις ἔχουσιν ἀναλογίαν, οὔτε ἀριθμοὶ πρὸς ἀριθμούς· ἐντεῦθεν καί τινες αὐτὰς θεματικὰς εἰρήκασι, καὶ οὕτως αὐτόθεν θεματίζεσθαι. — Καὶ ἄλλως. Δι᾽ ἣν αἰτίαν ἐν φωνῇ τὸ γένος οὐ σημαίνουσιν, εἴπομεν· δεῖξιν γὰρ ἔχουσιν, ἥτις ἑρμηνεύει τὸ γένος.

⟨*Stephani.*⟩ — Τῶν δὲ παραγώγων, οἷον ὁ ἐμός, ἡ ἐμή, τὸ 913,27 b ἐμόν.] Ἐν ταῖς παραγώγοις ἡ ἀντωνυμία, ἐπειδὴ χαρακτῆρα ἔσχεν ὀνοματικόν, καὶ ⟨τὴν⟩ τῶν ὀνομάτων κίνησιν ἀναδέδεκται. Ταύτας δὲ τὰς παραγώγους καὶ κτητικὰς ἔφασάν τινες καὶ διπροσώπους· ἅμα γὰρ

4—11 hab. et. Σ^m *et iterum* C *in marg. fol. 102*ʳ (C^m)

1 γὰρ *add* A ‖ **3** ἀκόλουθος A, ἀκολούθως C ‖ **4—21** *videntur esse Stephani* ‖ **5** καὶ οὐ V, οὔτε C, καὶ C^m, οὐ A, οὐδὲ b | *prius* περὶ τὸ *om* C^m ‖ **6** ἐπί τε — λέγεις (7) *om* A | ἐπί τε ὀνόμ. *om* CC^m | ἐπὶ ῥήματος V, ἐπιρρημάτων C, ἐπὶ ῥημάτων C^m ‖ **7** πρόσωπον C^mV, πρόσωπα CA ‖ **8** κίνησιν CC^mVA, κλίσιν b ‖ **10** δοῦσαι V, δόντες CC^mA | ἀντὶ] ὄντος C^m ‖ **11** οὖσαι C^mV, οὖσαν CA ‖ **12—14** = Σ^h *p. 82, 8—10* ‖ **12** παράγωγον C ‖ **13** μὲν] δὲ C ‖ **19—20** δείξεως φησίν .·. πρωτότυπος C ‖ **24** αὐτὰ θεματικὰ Cb ‖ **25—26** = Σ^h *p. 86, 18 adn.* ‖ **26** εἴπωμεν Cb ‖ **27—263, 14** *videntur esse Stephani* ‖ **29** τὴν *add* b ‖ **31** ἅμα — περιλαμβ. (263, 1)] ἅπαξ γὰρ ὡς κτῆμα σημαίνουσα καὶ τὸν κτ. περιλαμβάνει Cb

τῷ κτῆμα ϲημαίνειν καὶ τὸν κτήτορα περιλαμβάνουϲιν. Καὶ ὥϲπερ ἐπὶ τῶν ὀνομάτων τὰ κτητικὰ ἐπαγγέλλεται κτῆϲιν, περιλαμβανομένου τοῦ
914b προϲώπου τοῦ κτήτοροϲ, οὕτω καὶ ἐν ταῖϲ παραγώγοιϲ τῶν ἀντωνυμιῶν ἑκάτερα ἔϲτι θεωρῆϲαι, ἐν μὲν τῇ ἀρχῇ τὸ πρόϲωπον τοῦ κτήτοροϲ, ἐν δὲ τῷ τέλει τὸ κτῆμα, ὅπερ ἐϲτὶν ὄνομα· ἐντεῦθεν καὶ ποικιλία τίϲ ἐϲτιν ἐν αὐταῖϲ· ποτὲ γὰρ εὑρήϲειϲ τὸν κτήτορα ἑνικοῦ ἀριθμοῦ ἢ δυϊκοῦ ἢ πληθυντικοῦ, ⟨ποτὲ δὲ τὸ κτῆμα ἑνικοῦ ἀριθμοῦ ἢ δυϊκοῦ ἢ πληθυντικοῦ⟩. Δεῖ οὖν ἀκριβῶϲ κατανοεῖν ἐν ταῖϲ φωναῖϲ τῶν ἀντωνυμιῶν· ὅταν μὲν οὖν ἡ κτητικὴ ἀντωνυμία ἄρχηται ἀπὸ τοῦ ε̄ ⟨ἢ ϲ̄⟩, οἷον ἐμόϲ ϲόϲ, τότε ὁ κτήτωρ ἐϲτὶν ἑνικόϲ, ὅτε δὲ ἀπὸ τοῦ νωϊ ⟨ἢ⟩ ϲφωϊ, οἷον νωΐτεροϲ ϲφωΐτεροϲ, τότε ἐϲτὶ δυϊκόϲ, ὅτε ⟨δὲ⟩ ἀπὸ τοῦ ἡμ ἢ ὑμ, οἷον ἡμέτεροϲ ὑμέτεροϲ, τότε πληθυντικὸϲ πάλιν ὁ κτήτωρ· τὸ δὲ κτῆμα πρὸϲ τὴν κατάληξιν νοεῖται, οἷον εἰ μὲν εἰϲ οϲ καταλήγει, ἑνικόν, εἰ δὲ εἰϲ ω λήγει, δυϊκόν, ⟨εἰ δὲ εἰϲ οι λήγει, πληθυντικόν⟩.

Єἰϲ τὸ αὐτὸ καὶ ἄλλωϲ. — Ψεῦδόϲ ἐϲτι τὸ ἐν ταῖϲ παραγώγοιϲ διὰ φωνῆϲ ⟨τῆϲ τοῦ ἄρθρου⟩ τὸ γένοϲ δηλοῦϲθαι· τὸ γὰρ ἄρθρον οὐ τῆϲ ἀντωνυμίαϲ, ἀλλὰ τοῦ κτήματοϲ· οὐδὲ γὰρ ἐν αὐταῖϲ τὸ γένοϲ τῆϲ ἀντωνυμίαϲ, τουτέϲτι τοῦ κτήτοροϲ, διὰ τῆϲ φωνῆϲ ἑρμηνεύεται, ἀλλὰ τὸ τοῦ κτήματοϲ, ὅπερ ἔξωθέν ἐϲτι τῆϲ ἀντωνυμίαϲ, ἐπεί τοί γε καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ ἐρεῖ ὁ ἐμὸϲ ⟨παῖϲ⟩, καὶ ἄδηλον τὸ γένοϲ τοῦ κτήτοροϲ· ἡ δὲ ἀντωνυμία γενικῆϲ πτώϲεώϲ ἐϲτιν, ὅτι πᾶν κτητικὸν ἐκ γενικῆϲ γίνεται καὶ εἰϲ γενικὴν ἀναλύεται· «ὁ» οὖν «ἐμὸϲ παῖϲ, ἡ ἐμὴ γυνή, τὸ ἐμὸν παιδίον» πρὸϲ τὰ κτήματα τὰ ἄρθρα ⟨ἔχει⟩· ἀμέλει λέξειεν ἂν ἡ γυνὴ «ὁ ἐμὸϲ ἀνήρ»· ἄδηλον οὖν [καὶ] τῶν κτητόρων τὸ γένοϲ διὰ τῆϲ φωνῆϲ.

⟨*Stephani.*⟩ — Єἰϲ τὸ αὐτὸ καὶ ἄλλωϲ. — Ἀπαράδεκτοι ἄρθρων ἀντωνυμίαι αἱ πρωτότυποι, εἴ γε αἱ μὲν πρώτην γνῶϲιν ἐδήλουν, τὰ δὲ δευτέραν· εὐλόγωϲ μέντοι μετὰ τὴν γνῶϲιν ἐπαχθήϲεται, «ἐγὼ ὃϲ ἐτίμηϲά ϲε». Ἀλλ' οὐδὲ αἱ παράγωγοι δέξονται ἄρθρα· τῶν γὰρ ὑπακουο-
915b μένων κτημάτων τὰ ἄρθρα· ὅτι δὲ οὐ τῶν ἀντωνυμιῶν τὰ ἄρθρα, δῆλον ἐκ τοῦ τὴν γυναῖκα λέγειν «ὁ ἐμόϲ» καὶ τὸν ἄνδρα «ἡ ἐμή», ⟨καὶ⟩ «ὁ ἡμέτεροϲ» τέ φαμεν καὶ «οἱ ἡμέτεροι».

14 Ἀριθμοὶ πρωτοτύπων ἑνικὸϲ μὲν ἐγώ ⟨ϲύ ἵ⟩, δυϊκὸϲ δὲ νῶϊ ϲφῶϊ, πληθυντικὸϲ ἡμεῖϲ ὑμεῖϲ ϲφεῖϲ.] Πῶϲ τοῦ ἑνικοῦ καὶ πληθυντικοῦ ἀριθμοῦ τρία πρόϲωπα ἔχοντοϲ ὁ δυϊκὸϲ δύο μόνα ἔχει; Φαμὲν οὖν ὅτι τὸ τρίτον πρόϲωπον τῶν πρωτοτύπων δυϊκῶν ἀντωνυμιῶν ἐπιλέλοιπεν εἰϲ ἀντίϲταϲιν ἐμπεϲόν· πᾶν γὰρ δυϊκὸν ἐγκλίνεται, οἷον ⟨A 338⟩ καί ϲφωϊν, ⟨A 8⟩ τίϲ τ' ἄρ ϲφωε· ἔδει οὖν καὶ τὸ

3 ταῖϲ b, τοῖϲ C ‖ **6** αὐταῖϲ b, αὐτοῖϲ C ‖ **10** ϲόϲ] ἐμή Cb ‖ **11** ἡμεῖϲ ἢ ὑμεῖϲ Cb ‖ **16** τῆϲ τοῦ ἄρθρου *add RSchneider* ‖ **18** τὸ b, διὰ C ‖ **21** γενικὴ πτῶϲιϲ ἐϲτὶν C ‖ **24** κτητόρων *RSchneider*, κτητικῶν C ‖ **25—265, 2** *videntur esse Stephani* ‖ **27** μέντοι b, μὲν C | ὃϲ b, ὡϲ C

τῆς εὐθείας εἶναι τρίτον σφωέ καὶ ἐγκλίνεσθαι. Ἀλλ᾽ ἕτερος ἐκώλυε 20 λόγος· οὐκ ἔστι γὰρ εὐθεῖα ἀντωνυμίας πρωτοτύπων ἐγκλινομένη· ὥστε τοῦ μὲν τρίτου δυϊκοῦ τὴν ἔγκλισιν ἀπαιτοῦντος, τῆς δὲ πτώσεως τῆς ὀρθῆς οὐκ ἀνεχομένης ἔγκλισιν, εἰκότως ἐπιλέλοιπε τὸ τρίτον πρόσωπον τῆς εὐθείας τῶν δυϊκῶν· εὑρέθη μέντοι τὸ τρίτον μόνην σημαῖνον αἰτιατικήν, αὕτη γὰρ οὐ παρῃτεῖτο τὴν ἔγκλισιν, ἐν τῷ ⟨Α 8⟩ τίς τ᾽ ἄρ σφωε θεῶν.

Παραγώγων δὲ ἑνικὸς ἐμός σός ὅς, δυϊκὸς ἐμώ σώ ὥ, πληθυντικὸς ἐμοί σοί οἵ.] Εἰς δύο διαιρῶν τὰς ἀντωνυμίας, πρωτοτύ- 908,7b πους καὶ παραγώγους, ἑκατέρῳ αὐτῶν ἕκαστον τῶν παρεπομένων ἀποδίδωσιν. Ἀπὸ κοινοῦ δὲ τὸ «ἀριθμοί», ἵν᾽ ᾖ «παραγώγων δὲ ἀριθμοί».

Πτώσεις πρωτοτύπων μὲν ὀρθῆς ἐγώ σύ ἵ.] Τοῦ τρίτου προ- 916,12b σώπου ἐστὶ τὸ ἵ, καὶ σημαίνει τὸ οὗτος ἢ ἐκεῖνος· καθ᾽ ἑαυτὸ μὲν κείμενον εὑρέθη οὐδαμοῦ, ἔοικε δὲ ἀπὸ τῆς τῶν Ἀττικῶν χρήσεως εἰρῆσθαι παρὰ τούτῳ τῷ τεχνογράφῳ· ἐκεινοσί γὰρ λέγουσι καὶ οὑτοσί.

Γενικῆς ἐμοῦ σοῦ οὗ.] Ἐπειδὴ ἡ γενικὴ ἔδοξεν ἐπ᾽ ἐνίων ἀμφίβολος εἶναι κατὰ τὴν φωνήν — συνέπεσε γὰρ ἥ τε πρωτότυπος καὶ ἡ παράγωγος — οὐκ ἀλλαχόθεν τὴν διάκρισιν ποιησόμεθα ἢ ἐκ τοῦ ποιητοῦ τοῦ προδιαστείλαντος. Ἡ μὲν γὰρ ἐμοῦ καὶ σοῦ καὶ οὗ καὶ 20 πρωτοτύπου καὶ παραγώγου ἐστὶ κατὰ φωνήν· ἀλλὰ τὴν ἐμοῦ γενικήν, φημὶ τὴν πρωτότυπον, ἄλλως πως παράγει ὁ ποιητής, ἡνίκα τὴν Ἑλένην παρεισφέρει λέγουσαν ⟨Ζ 356⟩ εἵνεκ᾽ ἐμεῖο κυνός, διὰ τῆς $\overline{\text{ει}}$ διφθόγγου, καὶ τὸ δεύτερον πρόσωπον σεῖο, καὶ τὸ τρίτον πρόσωπον ἕο καὶ εἷο, τὴν δὲ παράγωγον διὰ τῆς $\overline{\text{οι}}$ διφθόγγου, ὅταν φῇ ⟨Ξ 118⟩ πατρὸς ἐμοῖο πατήρ.

Δοτικῆς ἐμοί σοί οἷ, αἰτιατικῆς ἐμέ σέ ἕ.] ⟨Δοτικῆς⟩ τὸ πρῶτον καὶ δεύτερον ὀξύνεται, τὸ δὲ τρίτον περισπᾶται· ἐν δὲ τοῖς πληθυντικοῖς τὸ ἀνάπαλιν ἡμῖν μὲν καὶ ὑμῖν ⟨περισπᾶται⟩, σφίσι δὲ ὀξύνεται. 30

Ζητεῖται δὲ διὰ τί ἡ ἐμοί καὶ σοί ὀξύνεται, ἡ δὲ οἷ περισπᾶται· ἔδει γὰρ πάσας περισπᾶσθαι ὡς δοτικάς. Καί φαμεν ὅτι οὐδεμία ἐστὶν 917b ἀκολουθία ἐπὶ τῶν πρωτοτύπων ἀντωνυμιῶν.

Κλητικῆς δὲ σύ.] Διὰ τί ἡ ἀντωνυμία ἐπὶ τῶν πρωτοτύπων δεύτερον μόνον πρόσωπον ἔχει κατὰ τὴν κλητικήν, οὔτε δὲ πρῶτον οὔτε τρίτον; Καὶ ῥητέον, ⟨ὅτι⟩ πρῶτον μὲν πρόσωπον οὐ δύναται ἔχειν ἡ κλητική· οὐδεὶς γὰρ ἑαυτὸν καλεῖ· ἀλλ᾽ οὔτε μὴν τρίτον· τὸ γὰρ τρίτον ἄπεστιν, οὐδεὶς δὲ φρονῶν τὸν ἀπόντα καλεῖ· ἐπειδὴ δὲ ἡ κλητικὴ πρὸς

16—25 hab. et. Σ^m ‖ **21—31 hab. et.** A

1 σφωέ] σφῶϊ Cb ‖ **3** ἀπαιτοῦντος b, ἀπαιτούσης C ‖ **4** ἔγκλισιν] ἐγκλίσεως C ‖ **10** ἑκατέρῳ αὐτῶν C, ἑκατέραις αὐταῖς b ‖ **12** ὀρθὴ C ‖ **16** ἐπ᾽ b, ὑπ᾽ CV ‖ **18** ἡ *add* V ‖ **21** φημὶ CV, λέγω b | *post* ποιητὴς *add* λέγων CAb ‖ **23** καὶ τὸ δ. πρ. σεῖο *add* V ‖ **25** *post* πατήρ *add* C: διὰ τῆς $\overline{\text{οι}}$ διφθόγγου ‖ **26—28** *om* A ‖ **28** σφίσι] σφίν Cb ‖ **29—31** *ante v. 12 transp.* C ‖ **29** Ζητεῖ δὲ διὰ τί C, διὰ τί δὲ A ‖ **30** ἐστιν CA, *om* b ‖ **35** οὔτε C, οὐδὲ b

10 δεύτερον πρόσωπον ποιεῖται τὸν λόγον, ἀναγκαίως δεύτερον πρόσωπον ἔσχηκεν.

Καὶ ἄλλως. — Τὰς πτώσεις τῶν πρωτοτύπων ἐπεὶ μὴ δυνατὸν παριστάναι ⟨δι' ἀκολούθου κλίσεως⟩, χρὴ ⟨ἀπὸ ὀνομάτων ἀντ' αὐτῶν παραλαμβανομένων αὐτὰς ἐπιγινώσκειν⟩· ἀντὶ γὰρ ⟨τοῦ⟩ Τρύφων λέγω ἐγώ· δῆ⟨λον⟩ οὖν ὡς ὀρθῆς λέγω ἐγώ, καθάπερ ἀντὶ τοῦ Τρύφωνος λέγω ἐμοῦ, καὶ εἰσὶν ἀμφότερα γενικαί· ὁμοίως Τρύφωνι ἐμοί, καὶ Τρύφωνα ἐμέ. Κλητικὴν δὲ οὐκ ἐρῶ οὔτε ἐπὶ πρώτου προσώπου, ἐπεὶ οὐδεὶς ἑαυτὸν καλεῖ, οὔτε ἐπὶ τρίτου, οὐδεὶς γὰρ τὸν ἀπόντα καλεῖ. Ἡ δὲ σύ τοῦ δευτέρου προσώπου ἐστίν· εἰ γὰρ δεύτερόν ἐστι πρὸς ὃν ὁ λόγος, καὶ ἡ κλητικὴ πρὸς τὸν παρόντα προσφώνησις, οὐκ ἀτόπως τὸ 20 δεύτερον πρόσωπον ἔσχε κλητικήν.

⟨*Stephani.*⟩ — Παραγώγων ἐμός σός ὅς, ἐμοῦ σοῦ οὗ, ἐμῷ σῷ ᾧ, ἐμόν σόν ὅν.] Ἰστέον ὅτι τὰ παράγωγα ἐπὶ μὲν τοῦ πρώτου προσώπου κλητικὴν ἔχουσιν· ὁ ἐμός γὰρ ὦ ἐμός ἔφη ὁ ποιητὴς ⟨cfr τ 406⟩ ἀττικῶς κλίνας, ἵνα μὴ συνεμπέσῃ τῇ αἰτιατικῇ τοῦ πρωτοτύπου τῇ ἐμέ, καὶ οἱ ἐμοί ὦ ἐμοί, ⟨cfr γ 475⟩ ἐμοὶ παῖδες, καὶ ὁ ἡμέτερος, ⟨ex. gr. Θ 31⟩ ὦ πάτερ ἡμέτερε. Τὰ δὲ δεύτερα κλητικὰς οὐκ ἔχουσιν, ἐπεὶ μὴ δυνατὸν ἦν τὴν μίαν προσφώνησιν τῆς κλητικῆς ἀναμερισθῆναι τῷ τε κτήτορι καὶ τῷ κτήματι, κατ' ἰδίαν ἑκατέρῳ· ὅ τε γὰρ 30 κτήτωρ ἐφείλκετο τὴν προσφώνησιν, καθὸ δευτέρου ἦν προσώπου, δεύτερον δὲ πρὸς ὃν ὁ λόγος· ὁμοίως καὶ τὸ κτῆμα, καθὸ κλητική· ἀδύ-918b νατον δὲ μίαν κλητικὴν δύο διῃρημένας ποιεῖσθαι προσφωνήσεις. Τὰ μέντοι τρίτα ἠδύναντο μὲν ἔχειν κλητικάς, οὐχ εὑρέθησαν δὲ ἐν χρήσει.

12 Σχήματα δύο, ἁπλοῦν, σύνθετον· ἁπλοῦν μέν, ⟨οἷον⟩ ἐμοῦ σοῦ ⟨οὗ⟩, σύνθετον δέ, οἷον ἐμαυτοῦ σαυτοῦ ἑαυτοῦ.] Σχήματα παρέπεται ταῖς ἀντωνυμίαις· σχήματα νῦν αὐτὰς τὰς συνθέσεις λέγει. Καὶ ζητεῖται, διὰ τί τὸ ἐμοῦ αὐτοῦ εἰς τὸ ἐμαυτοῦ καὶ ἐμοὶ αὐτῷ εἰς τὸ ἐμαυτῷ καὶ ἐμὲ αὐτόν εἰς τὸ ἐμαυτόν, ἡ δὲ ἐγὼ αὐτός οὐ συντίθεται. Καὶ ῥητέον ὅτι ἐπεὶ ἀμετάβατός ἐστιν ἡ εὐθεῖα, οἷον οὐ μεταβαίνουσα ἐπὶ ἕτερον πρόσωπον· ἡ ⟨δὲ⟩ σύνθεσις ἐπενοήθη πρὸς διάφορον σημαινόμενον. Ὃ δὲ λέγω τοιοῦτόν ἐστιν· αἱ κατὰ διάλυσιν ἀντωνυ-20 μίαι, ἤτοι κατὰ παράθεσιν, καὶ αὐτοπαθεῖς εἰσι καὶ ἀλλοπαθεῖς, οἷον καὶ τὸ ἴδιον λαβοῦσαι πρόσωπον καὶ [τὸ] ἀλλότριον· δύναμαι γὰρ λέγειν

14—266, 3 hab. et. A; *videntur esse Stephani*

4—5 παριστάναι χρή. ἀντὶ C ‖ **6** δῆλον] δὴ Cb | ἀντὶ τοῦ] γὰρ C, καὶ b ‖ **7** ἀμφότεροι C, ἀμφότεραι b ‖ **11** τὸ παρὸν Cb ‖ **17** ὦ — παῖδες *add* A ‖ **20** ἑκατέρῳ b, ἑκατέραν CA ‖ **21** *post* προσώπου *add* φωνὴ Cb ‖ **24** τρίτα Ab, τρία C ‖ **25** Σχήματα — ἑαυτοῦ (**26**) *om* A ‖ **26** ἑαυτοῦ] αὐτοῦ C ‖ **27** νῦν αὐτὰς Cb, δὲ A | συνθέσεις CA, συνθέτους b ‖ **31** δὲ b, *om* CA ‖ **32** λέγω A, λέγει Cb ‖ **34** τὸ *ante* ἀλλ. *hab.* CAb

«ἐμοῦ αὐτοῦ ἀκούω» καὶ «ἐμοῦ αὐτοῦ ἀκούει»· ἡ δὲ σύνθετος τὸ ἴδιον μόνον ἔχει, «ἐμαυτοῦ ἀκούω», καὶ ἔσχε διαφορὰν πρὸς τὴν κατὰ διάλυσιν.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Αἱ σύνθετοι τῶν ἀντωνυμιῶν ἀντανα-
κλώμεναι καὶ αὐτοπαθεῖς καλοῦνται, ἐπεὶ τὴν ἐνέργειαν ἀφ᾽ ἑαυτῶν εἰς
ἑαυτὰς ἀντανακλῶσιν· οἷον ὅταν λέγω «ἐμοῦ ἀκούεις», ἀπ᾽ ἄλλου εἰς
ἄλλον γίνεται ἡ ἐνέργεια, ἐὰν δὲ «ἐμαυτοῦ ἀκούω», ἀπὸ τοῦ αὐτοῦ εἰς
τὸν αὐτόν. Αὗται αἱ συντάξεις εὐθεῖαν ἔχουσι καὶ πλάγιον· εἰ δὲ ἐν 30
εὐθείᾳ τὴν σύνθεσιν ποιήσαιμεν ἐγαυτός λέγοντες, δύο ἔσονται εὐθεῖαι,
ὅπερ ἀδύνατον. Αἱ δὲ συνθέσεις γίνονται ἐν ⟨ταῖς⟩ ἀντωνυμίαις πρὸς
διάφορον σημαινόμενον, οἷον «ἐμοῦ αὐτοῦ ἀκούει»· ⟨ὁ⟩ ἀκούων ἄδηλος
γίνεται· «ἐμαυτοῦ ἀκούω», καὶ λοιπὸν δῆλον ὅτι ἀκούω αὐτοπαθές, ὡς 919b
ἐπὶ ὀνομάτων [ἱματιοπώλης τοιχωρύχος] ⟨αὐθέντης⟩.

⟨*Stephani.*⟩ — Αἱ σύνθετοι κλητικὴν οὐκ ἔχουσιν, ἐπειδὴ ἀπὸ τῆς 920,23b
αὐτός σύγκεινται μὴ ἐχούσης κλητικήν· ἢ ὅτι αὐτοπαθείας οὔσης καὶ ἀν-
τανακλάσεως οὐδεὶς ἑαυτὸν καλεῖ, εἰ μή πού τις εἴποι· «καὶ τί κωλύει
ἐπὶ δευτέρου εἶναι κλητικήν;» Δυϊκὰ δὲ καὶ πληθυντικὰ οὐκ ἔχουσιν αἱ
σύνθετοι· πᾶν γὰρ δυϊκὸν καὶ πληθυντικὸν ἐκ διαφόρων σύγκειται προ-
σώπων, οἷον νῶϊ — ἐγὼ καὶ σύ, ἡμεῖς — ἐγὼ καὶ ὑμεῖς· αἱ δὲ σύνθετοι
ἀντωνυμίαι μονοπρόσωποι καὶ αὐτοπαθεῖς. — Ἰστέον δὲ ὅτι οὐδέποτε 30
ἄλλο μέρος λόγου μετ᾽ ἀντωνυμίας συντίθεται, εἰ μὴ μετὰ τῆς αὐτός,
οἷον αὐτόσσυτος αὐτόματος αὐτοδίδακτος.

Εἴδη δέ, ὅτι αἱ μέν εἰσι πρωτότυποι, ὡς ἐγώ σύ ἵ, αἱ δὲ 921b
παράγωγοι, ὡς πᾶσαι αἱ κτητικαί, αἳ καὶ διπρόσωποι καλοῦν-
ται.] Παρέπεται καὶ εἴδη ταῖς ἀντωνυμίαις, διότι αἱ μέν εἰσιν αὐτῶν

4—13 hab. et. Σ^m ‖ **14—22 hab. et.** A, **14—20** *iterum* C *in marg. fol. 102^v* (C^m)

1 καὶ ἐμοῦ — ἀκούω (**2**) *add* A ‖ **2** κατὰ *add* A ‖ **3** A *add*: εἶχε δὲ διαφορὰν ἡ ἀντωνυμία πρὸς τὸ ὄνομα ‖ **5** ἀφ᾽ ἑ. εἰς ἑ.] ἐφ᾽ ἑαυτὰς *Matthias, Annal. Phil. Suppl. 15, 628* ‖ **6** ἀντανακλ. b, ἀνακλῶσιν CV | ὅταν b, ὅτε CV ‖ **7** δὲ *add* V ‖ **8** τὸ αὐτὸ CVb | συντάξεις Cb, συνθέσεις V | ἐν *add* V ‖ **9** σύνθεσιν CV, σύνταξιν b | ἐγαυτός b, εἰ αὐτὸς C, ἐγὼ αὐτὸς V | ἔσονται Cb, ἕπονται V ‖ **10** συνθέσεις CV, σύνθετοι b ‖ **11** σημαιν. V, δηλούμενον Cb | ἐμοῦ — γίνεται (**12**) *add* V | ἀκούει] ἀκούω V | ἄδηλον V ‖ **12** ἀκούω (*prius*)] ἀκούεις C, *om* V | καὶ λ. δῆλον V, δῆλον οὖν C | αὐτοπαθὲς V, αὐτοπαθεῖς C ‖ **13** αὐθ. *om* CV, *sed* C² *in super. marg. eiusdem paginae* (104^v): αὐθέντης κυρίως ὁ φονεὺς ὁ ἑαυτὸν κτιννύων. εἴρηται δὲ παρὰ τὸ αὐτόεντις τίς (*sic*) ὤν, ὁ ἑαυτὸν βάλλων τοῖς ἔντεσιν ὅ ἐστι τοῖς βέλεσι. τὸ δὲ ἐν τῇ συνηθείᾳ ἔοικε παρὰ τὸ αὐτὸ καὶ τὸ ἔντις, ὁ ἑαυτὸν ἐπαφιεὶς εἰς πάντα, καὶ ὢν αὐτοεξούσιος, καὶ μὴ ἄλλου ἀλλ᾽ ἑαυτοῦ ὤν (*cfr EtM 169, 2—9*) ‖ **14—267, 24** *videntur esse Stephani* ‖ **14** ἐπειδὴ C^m b, ἐπεὶ CA ‖ **15** ἀντανακλ. CC^m A, ἀνακλάσεως b ‖ **16** πού *add* A ‖ **21** ἄλλο μ. λ. μετ᾽ ἀντων.] ἀντωνυμία μ. λ. μεταβάλλουσα CAb ‖ **23—267, 4** = Σ^h *p. 90, 8—14* ‖ **24** καὶ *om* C

πρωτόθετοι, ὡς ἡ ἐγώ cύ ἵ, αἱ δὲ παράγωγοι, ὅ ἐcτιν ἀπὸ τῶν πρωτοτύπων παρηγμέναι, οἷον ἀπὸ τῆc ἐμοῦ πρωτοτύπου ἡ ἐμόc κτητικὴ ἀντωνυμία, ἣ καὶ διπρόcωποc καλεῖται, καθὸ κτητικὴ οὖcα ἐμφαίνει ἐν ἑαυτῇ τόν τε κτήτορα καὶ τὸ κτῆμα.

Παράγονται δὲ οὕτωc· ἀπὸ μὲν τῶν ἑνικῶν αἱ ἕνα κτήτορα δηλοῦcαι, ὡc ἀπὸ τοῦ ἐμοῦ ὁ ἐμόc· ἀπὸ δὲ δυϊκῶν αἱ δύο, ὡc ἀπὸ τοῦ νῶϊ νωΐτεροc· ἀπὸ δὲ πληθυντικῶν αἱ πολλούc, ὡc ἀπὸ τοῦ ἡμεῖc ἡμέτεροc.] — Cτεφάνου. — Οὕτω γίνονται αἱ παράγωγοι· ἐγώ ἐμοῦ ἐμόc, cύ cοῦ cόc, ἵ οὗ ὅc, ⟨νῶϊ⟩ νῶϊν νωΐτεροc, cφῶϊ ⟨cφῶϊν⟩ cφωΐτεροc· ἀπὸ τοῦ τρίτου ⟨οὐ⟩ γίνεται, ἐπεὶ ἐγκλιτικόν, ⟨A 338⟩ καί cφωϊν δὸc ἄγειν, ἀπὸ δὲ ἐγκλιτικῶν οὐ γίνεταί ποτε πτωτικόν· ἡμεῖc ἡμέων ἡμέτεροc, ⟨ὑμεῖc ὑμέων ὑμέτεροc,⟩ cφεῖc cφέων cφέτεροc. Αὗται αἱ κτητικαὶ κλίνονται ὡc τὰ εἰc ōc̄ ⟨τριγενῆ⟩ ὀνόματα, ἔcωθεν δὲ ἔχουcι τὸν κτήτορα ἀκίνητον. Καλῶc δὲ εἶπεν «αἱ ἕνα κτήτορα δηλοῦcαι»· ἐν ὅλῃ γὰρ τῇ κλίcει αὐτῶν εἷc ἐcτιν ὁ κτήτωρ· ἀλλ' ἐν μὲν τοῖc ἑνικοῖc ἓν τὸ κτῆμα, ἐν δὲ τοῖc δυϊκοῖc δύο τὰ κτήματα, ἐν δὲ τοῖc πληθυντικοῖc πολλὰ τὰ κτήματα· τὸ γὰρ κτῆμά ἐcτι τὸ ἐν τῷ τέλει κινούμενον, ὅπερ ἐπὶ τῶν ἀριθμῶν μεταβάλλεται εἰc δύο καὶ πολλὰ κτήματα.

922,19b Τῶν ἀντωνυμιῶν αἱ μέν εἰcιν ἀcύναρθροι, αἱ δὲ cύναρθροι· ἀcύναρθροι μέν, οἷον ἐγώ, cύναρθροι δέ, οἷον ὁ ἐμόc.] — Cτεφάνου. — Τὸ δόγμα τοῦτο περιττόν· ἰδοὺ γὰρ αἱ ἀcύναρθροι μετὰ ἄρθρων, οἷον «ἐγὼ ὃc ἔπραξα», καὶ αἱ cύναρθροι ἄνευ ἄρθρου, οἷον «ἐμὸc εἶ παῖc».

922,3b Καλοῦcί τινεc τὰc μὲν ἀcυνάρθρουc πρωτοτύπουc καὶ μονοπροcώπουc, ⟨τὰc δὲ cυνάρθρουc παραγώγουc καὶ διπροcώπουc.⟩ Διαφέρουcι δὲ ἀλλήλων, ὅτι αἱ μὲν χωρὶc ἄρθρου λέγονται, οἷον ἐγώ, αἱ δὲ μετὰ ἄρθρου, οἷον ὁ ἐμόc· καὶ ὅτι αἱ μὲν κοιναί εἰcι τῶν τριῶν γενῶν, αἱ δὲ παραcχηματίζονται τοῖc γένεcι· καὶ ⟨ὅτι⟩ αἱ μὲν ἓν ⟨πρόcωπον⟩ cημαίνουcιν, αἱ δὲ δύο· καὶ ὅτι αἱ μὲν ὀρθοτονοῦνται, αἱ δὲ ἐγκλίνονται.

23 Οὐκ ὀρθῶc δὲ ποιῶν ὁ τεχνικὸc ἐκάλεcε τῶν ἀντωνυμιῶν τὰc μὲν cυνάρθρουc, τὰc δὲ ἀcυνάρθρουc. Δεῖ γὰρ εἰδέναι, ὅτι cύναρθροι μὲν οὐκ ὤφειλον κληθῆναι διὰ τὸ ἀπροcδέκτουc εἶναι ἄρθρων κατὰ φύcιν· ἐναντίον γὰρ τὸ ἄρθρον καὶ ἡ ἀντωνυμία· τὸ μὲν γὰρ ἄρθρον δευτέραν γνῶcιν καὶ ἀπουcίαν cημαίνει, ἡ δ' ἀντωνυμία πρώτην γνῶcιν ἐπαγγέλ-

---

22—24 hab. et. A *et iterum* C *in marg. fol. 103*v (Cm) ‖ **32—268, 1 hab. et.** Σm

8 Cτεφ. *in marg.* C ‖ **9** παραγωγαὶ Cb ‖ **10** οὐ b, *om* C ‖ **12** cφεῖc] cφὶν Cb ‖ **14—19** = Σb *p. 90, 17—21* (OV) ‖ **16** τὰ κτήματα *add* OV ‖ **17** τῷ *add* OV ‖ **22** Cτεφ. *in marg.* C, *om* CmA ‖ **23** ἄρθρων C, ἄρθρου CmA | ἄρθρου CmA, ἄρθρον C, ἄρθρων b ‖ **24** εἶ *add* CmA ‖ **25** καλοῦcι τὰc μὲν τινὲc cυνάρθρα (*sic*) πρ. C ‖ **29** πρόcωπον *add* b ‖ **32** μὲν *om* b ‖ **35** ἀπουcίαν V, ἀποῦcαν Cb | πρώτην *add* V

λεται καὶ ἀεὶ δεῖξιν. Πῶς οὖν δύναται προσπλέκεσθαι ταῦτα ἀλλήλοις; 30 Ὁμοίως δὲ ἀσυνάρθρους οὐκ ἐχρῆν αὐτὰς καλέσαι, διὰ τὸ μηδεμίαν ἔχειν πρὸς τὸ ἄρθρον μετουσίαν.

Χρὴ δὲ γινώσκειν, ὅτι τῶν ἀντωνυμιῶν αἱ μὲν ὀρθὸν τόνον κεκλή- 923,20b ρωνται μόνως, αἱ δὲ ἐγκλιτικὴν σύνταξιν, τινὲς δὲ ἄμφω· ὀρθοτονοῦνται μὲν ἅπασαι συλλήβδην αἵ τε τῆς ὀνομα⟨ς⟩τικῆς, αἵ τε τοῦ πρώτου καὶ δευτέρου ⟨προσώπου δυϊκαὶ πάσης⟩ πτώσεως, ⟨καὶ αἱ σύνθετοι,⟩ καὶ ὅσαι ἢ τὸ ⟨ε⟩ ἐπλεόνασαν κατ' ἀρχὴν ἢ τὸ ῑ, ἔτι ἐξαιρέτως ἡ σέθεν ἐπὶ δευτέρου προσώπου, καὶ ὅσαι μονοπρόσωποί εἰσι, τὸ γένος διὰ τῆς φωνῆς παριστᾶσαι.

---

1 ἀεὶ *add* V *et post* δεῖξιν *add* ὡς προείρηται | καὶ ἀεὶ δ. *om* ***Matthias***, *Ann.* ***Phil. Suppl.*** *15, 620* ‖ **4—10** ***in marg. inf. fol.*** ***104^r add*** C, ***praemissis verbis:*** καὶ ποῖαι ὀρθὸν τόνον κεκλήρωνται, καὶ ποῖαι ἐγκλιτικὴν σύνταξιν ‖ **5** μόνως *om* b ‖ **6** αἵ τε τῆς ὀνοματικῆς C^m, αἱ ὀνομαστικαὶ b ‖ **7** προς. δυ. π.] *lac. 20 fere* ***litter.*** C^m | πτώσεως] παρέστησα C^mb | καὶ αἱ σύνθ. ***addidi coll. Apoll. de pron.*** *38, 30* ***Sch*** ‖ **8** τὸ C^m, τῷ b (*bis*) | ε̄ ***add*** b | ἤ] τῆς C^mb ‖ **9** καὶ C^m, *lac.* ***sign.*** b | ***Praeterea haec in marg. add*** C: *(fol. 98^v et 99^r)* Τῶν ἀντωνυμιῶν *etc.* = Σ^v *261, 1—13.* — Εἴληπται *etc.* = Σ^v *260, 21—24.* — *(100^v)* Ζητεῖται *etc.* = Σ^v *261, 14—26.* — Ζητοῦσι *etc.* = Σ^h *76, 34—77, 3; 77, 27—78, 6.* — *(101^r)* Παρέπεται δὲ τῇ ἀντωνυμίᾳ ἕξ, πρόσωπα, γένη, εἴδη, σχήματα, ἀριθμοὶ καὶ πτώσεις. Πρόσωπα πρωτοτύπων ἐγώ σύ ἵ, ἀντὶ τοῦ ἐγὼ Πέτρος, σὺ Παῦλος, ἐκεῖνος Ἰωάννης· παραγώγων δὲ ἐμός σός ὅς, ἀντὶ τοῦ ὁ ἐμὸς δοῦλος, ἡ σὴ γυνή, τὸ ἐκείνου παιδίον. Γένη τῶν πρωτοτύπων διὰ μὲν τῆς φωνῆς οὐ διακρίνεται, φανεροῦνται δὲ διὰ τῆς ἑαυτῶν δείξεως· *(101^v)* αἱ γὰρ πρωτότυποι ἀντωνυμίαι φωνητικῶς μὲν οὐ σημαίνουσι γένος, οὔτε ἄρσεν οὔτε θῆλυ οὔτε οὐδέτερον, δεικτικῶς δὲ σημαίνουσι καὶ τὸ ἄρσεν καὶ θῆλυ καὶ οὐδέτερον· αἱ δὲ παράγωγοι ἀντωνυμίαι διὰ τῶν ἄρθρων σημαίνουσι τὰ γένη, οἷον ὁ ἐμός, ἡ ἐμή, τὸ ἐμόν. — Ἀριθμοὶ πρωτοτύπων, ἑνικῶς μὲν οἷον ἐγώ σύ ἵ, ἀντὶ τοῦ ἐκεῖνος· δυϊκῶς δὲ νῶϊ σφῶϊ, ἀντὶ τοῦ ἡμεῖς οἱ δύο καὶ ὑμεῖς οἱ δύο· πληθυντικῶς δὲ ἡμεῖς ὑμεῖς σφεῖς, τουτέστιν ἐκεῖνοι. Παραγώγων δὲ ἐμός σός ὅς, ἐμώ σώ ὥ· ἐμώ μὲν ἀντὶ τῶν δύο υἱῶν μου, σώ δὲ ἀντὶ τῶν δύο υἱῶν σου, ὥ δὲ ἀντὶ (*102^r*) τῶν δύο υἱῶν αὐτοῦ· πληθυντικὸν ἐμοί σοί οἵ, ἀντὶ τοῦ ἐκεῖνοι. — Καὶ ἄλλως. Διὰ τί αἱ ἀντωνυμίαι *etc.* = Σ^v *262, 4—11.* — (*102^v*) Τῶν μὲν ὀνομάτων *etc.* = Σ^h *79, 25—80, 1.* — Ἀντωνυμία καλεῖται, ὅτι ἀντὶ ὀνόματος παραλαμβάνεται· εἰ τοίνυν ἀντὶ τοῦ εἰπεῖν Θεόδωρος ἐγώ λέγω, δῆλον ὅτι τὸ ἐγώ εὐθείας ἐστὶν ὁμοίως τῷ συντεταγμένῳ ὀνόματι· καὶ πάλιν ἀντὶ τοῦ εἰπεῖν Θεοδώρου ἐμοῦ, γενικῆς ἄρα τὸ ἐμοῦ ὡς τὸ Θεοδώρου· ἐμοὶ Θεοδώρῳ, ἐμὲ Θεόδωρον, καὶ ἑξῆς· ὁμοίως κλίνομεν οὖν αὐτὰς κατ' ὄνομα. — Αἱ ἐν συνθέσει κλητικὴν *etc.* = Σ^v *266, 14—20.* — Τῶν δὲ ἀντωνυμιῶν αἱ μέν εἰσιν ἀσύναρθροι, αἱ δὲ σύναρθροι. Αἱ ἀντωνυμίαι χωρὶς ἄρθρων (*103^r*) πᾶσαι προφέρονται· αἱ δὲ παράγωγοι δοκοῦσι μὲν ἄρθρον λαμβάνειν· τὸ δὲ τοιοῦτον ἄρθρον οὐκ ἔστι τοῦ ἀντωνυμικοῦ προσώπου, ἀλλὰ τοῦ συνεπινοουμένου κτήματος· ἐν γὰρ τῷ λέγειν «ὁ ἐμὸς δοῦλος» καὶ πάλιν «ἐμὸς ὁ δοῦλος» ⟨τὸ αὐτὸ ἄρθρον⟩, ἐπὶ μέντοι ἄλλου καὶ ἄλλου σημαινομένου (= *922, 12—17*b). — Ἔψεύσατο *etc.* = Σ^h *90, 35—91, 11.* — (103^v) Τὸ δόγμα *etc.* = Σ^v *267, 22—24.*

§ 18 (23b).

Περὶ προθέσεως.

926,4 b ⟨*Stephani.*⟩ — Πρόθεσις λέγεται παρὰ τὸ προτίθεσθαι ὀνομάτων τε καὶ ῥημάτων, οἷον ἐπὶ μὲν ὀνομάτων κατάλογος, ἐπὶ δὲ ῥημάτων καταγράφω περιγράφω διακόπτω· προτάσσεται δὲ καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου, οἷον μετοχῆς, καταβάς ἀνατλάς ἀποπλαγχθείς, ἄρθρου, κατὰ τοῦ φίλου, ὑπὲρ τοῦ φίλου, ἀντωνυμίας, πρὸς ἐκεῖνον, ἐπιρρήματος, ὡς τὸ πρόπαλαι, συνδέσμου, ⟨Χ 59⟩ πρὸς δέ· ὁ δὲ ἐπεί παρασυναπτικὸς ἐκ τοῦ εἴ συνδέσμου καὶ τῆς ἐπί προθέσεως σύγκειται.

Προτάσσεται δὲ ἢ ⟨ἐν⟩ συνθέσει ἢ ἐν παραθέσει, ἐν συνθέσει μέν, ἔξοδος παραγράφω, ἐν παραθέσει δέ, κατ' Ἀπολλωνίου, κατ' ἐμοῦ, κατὰ τοῦ φίλου· εἰ δὲ παρὰ τάξιν τεθῶσι, τουτέστιν ὑποταγῶσι, καὶ τὸν τόνον ἀμείβουσιν. Συντίθεται δὲ ἡ πρόθεσις ἐν ⟨ῥήμασι καὶ ἐν⟩ εὐθείαις καὶ ταῖς αὐτῶν πλαγίαις· πᾶσα οὖν πρόθεσις μετὰ ῥήματος ἢ μετ' εὐθείας ὀνόματος ἑνοῦται, μετὰ δὲ πλαγίων οὐχ ἑνοῦται, εἰ μή πού γε ἐξ εὐθείας εἴη ἡ σύνθεσις· οἷον τὸ κατ' Ἀπολλωνίου δύο μέρη λόγου, ἐπειδὴ οὐκ ἔστι τὸ καταπολλώνιος ἓν μέρος λόγου οὔτε δὴ λέγεται, τὸ δὲ κατάλογον ἓν μέρος λόγου, ἐπειδὴ καὶ τὸ κατάλογος ἕν· ὁμοίως δὲ καὶ τὸ καταβαίνω ἓν μέρος, ἐπειδή ἐστι μετὰ ῥήματος λέξις συντιθεμένη. Καὶ ἔστιν εἰπεῖν, ὅτι εἰσὶ μὲν αἱ προθέσεις μετὰ ῥημάτων ἐν συνθέσει, καὶ ἔτι ἐν ἐπιρρήμασιν. Ἐν δὲ μετοχαῖς τὸ αὐτὸ σχῆμα ἔχουσι τοῖς ῥήμασι, χωρὶς εἰ μὴ ⟨ἐν⟩ πλαγίοις πάλιν παράθεσις γίνεται, ὡς ἔχει παρὰ τὸν ἀναγινώσκοντα, παρὰ τὸν ὑποκρινόμενον. Ἐν ἀντωνυμίαις ἀεὶ ἐν παραθέσει εἰσί· καὶ τοῖς ἄρθροις δὲ παρατίθενται· ἑνωθεῖσαι γὰρ μετὰ τῶν πτωτικῶν ἔξωθεν τὸ ἄρθρον προσλαμβάνουσι, καὶ διὰ τοῦτο ἓν μέρος λόγου ἐστὶ τὸ τοῦ παραφέροντος· εἰ δὲ ἔσωθεν τὸ ἄρθρον παρατεθείη, οὐκ ἔστιν ἐν συν-
927b θέσει. Καὶ ἑαυτῶν ἔσθ' ὅτε προτίθενται, ⟨Ν 50. 87⟩ ὑπερκατέβησαν ὁμίλῳ. Ἐν παραθέσει συνδέσμων προηγοῦνται, ὡς ἐν τῷ καθ' ὅτι· πολλάκις δὲ καὶ ἀντὶ συνδέσμων προθέσεις παραλαμβάνονται, ὡς ἐπὶ τοῦ τοιούτου, «ἐκ τῆς ῥαθυμίας» ἀντὶ τοῦ «ἕνεκα τῆς ῥαθυμίας».

Διὰ δὲ τὸ πρὸ τῶν ἄλλων μερῶν τοῦ λόγου θέλειν προτάττεσθαι, διὰ τοῦτο καί τινες αὐτὴν πρώτην θέσιν ὠνόμασαν, διὰ τὸ θέλειν τὸν πρῶτον τόπον ἔχειν. Διὰ τοῦτο καὶ τὰ ῥήματα ἀπὸ προθέσεως ἀρχόμενα οὐ συγχωρεῖ ἔξωθεν αὔξεσθαι· τὰ γὰρ τοιαῦτα ῥήματα ἔσωθεν καὶ

13—29 hab. et. Σ^m ‖ 30—270, 10 hab. et. A

2—271, 5 *videntur esse Stephani* ‖ 7 δὲ] γὰρ C ‖ 9 *primum* ἐν *add* b ‖ 11 παράταξιν τεθῶ C; *corr.* b ‖ 13 ὀνόμ. *add* V ‖ 14 εἴη V, ἢ C ‖ 15 οἷον τὸ V, τὸ γὰρ C ‖ 16 κατὰ λόγου V ‖ 18 λέξις συντιθ. *om* V | συντιθ.] προτιθεμένη C | Καὶ — ἐπιρρήμ. (19) V, *om* C ‖ 21 πλαγίοις V, πλαγί C | γένοιτο V ‖ 25 ἔσωθεν V, ἔξωθεν C ‖ 27 ὁμίλου C, *om* V ‖ 28 τοῦ τοιούτου Vb, τὸ τοιοῦτον C ‖ 29 ἀντὶ τοῦ V, οἷον C ‖ 32 ἐπέχειν A | καὶ τὰ Ab, κατὰ C ‖ 33 αὔξεσθαι A, προσλαμβάνειν C | τὰ — πρόθ. (270, 4) *om* A

οὐκ ἔξωθεν ποιεῖται τὴν κλίσιν, οἷον καταβαίνω· οὐ ⟨γὰρ⟩ λέγω ἐκατάβαινον, ἀλλ᾽ ἔσωθεν τὴν κλίσιν ποιοῦμαι, τῶν ἄλλων ῥημάτων τῶν ἁπλῶν ⟨τῶν ἀπὸ⟩ συμφώνων ἀρχομένων ἔξωθεν λαμβανόντων τὸ ε̅· οὕτω φίλαρκτός ἐστιν ἡ πρόθεσις.

Πᾶσα δὲ πρόθεσις καθ᾽ ἑαυτὴν οὐδὲν δηλοῖ· σημαίνει δὲ ἢ χρόνον, ὡς τὸ προεῖπον, ἢ ἔμφασιν, οἷον καταφαγεῖν, ἢ πλεονασμόν, οἷον ὑποδμώς ἐναλίγκιος ἐναντίος ἐνέπω. Τὸ ⟨δὲ⟩ ⟨π 45⟩ πάρα δ᾽ ἀνήρ καὶ ⟨φ 288⟩ ἔνι τοι φρένες καὶ τὰ ὅμοια προθέσεις εἰσὶ λείπουσαι ῥήμασιν, ἐπεὶ καὶ τοὐναντίον λείπει ῥήματα προθέσει, οἷον ⟨I 649⟩ ἀλλ᾽ ὑμεῖς ἔρχεσθε, ⟨Λ 271⟩ πικρὰς ὠδῖνας ἔχουσαι.

Εἰσὶ δὲ αἱ πᾶσαι προθέσεις ὀκτὼ καὶ δέκα· ὧν μονοσύλλαβοι μὲν ἕξ, ἐν εἰς ἐξ σύν πρός πρό, αἵτινες οὐκ ἀναστρέφονται· δισύλλαβοι δὲ δύο καὶ δέκα, ἀνά κατά διά μετά παρά ἀντί ἐπί περί ἀμφί ἀπό ὑπό ὑπέρ.] Μονοσυλλάβους λέγει μὲν ἓξ τὸν ἀριθμόν, ἅστινας οὐδὲ ἀναστρέφεσθαι· δισυλλάβους δὲ δύο καὶ δέκα, ὧν δισυλλάβων μία διφορεῖται καὶ τὸ αὐτὸ σημαινόμενον ἔχει, ἀμφί περί· ὥστε τῇ μὲν φωνῇ εἶναι ιη΄, τῇ δὲ δυνάμει ιζ΄.

Ἔστι δὲ τῆς προθέσεως τὸ μὲν ἐλάχιστον μέγεθος μονοσύλλαβον, 928,5b τὸ δὲ μέγιστον δισύλλαβον· διὸ καὶ ἐκ δισυλλάβων κατὰ συγκοπὴν μονοσύλλαβοι γίνονται, καὶ ἐκ μονοσυλλάβου δισύλλαβος. Ἐπειδὴ δὲ τοῦτό ἐστι τῶν προθέσεων τὸ μέχρι δισυλλαβίας αὔξεσθαι, εἰ συμβῇ τὰς δισυλλάβους πλεονάσαι τὸ ι̅, ἐπειδὴ ἐπίστανται ἑαυτῶν τοὺς ὅρους, ἔσωθεν ποιοῦνται τοὺς πλεονασμούς· ἡ γὰρ ὑπέρ ἐπὰν πλεονάσῃ τὸ ι̅, ὑπείρ γίνεται, οὐχ ὑπερί, ὡς ἔχει παρὰ τῷ ποιητῇ ⟨Ω 13⟩ ὑπεὶρ ἅλα τ᾽ ἠϊόνας τε· καὶ ἡ ὑπό, δωρικῶς ὑπά εἰρημένη, πλεονασμὸν ὑπομένει τοῦ ι̅, ⟨B 824⟩ ὑπαὶ πόδα νείατον Ἴδης, καὶ ἡ κατά καταί, ⟨Apoll. Rhod. 2, 353. 3, 160⟩ καταιβάτις ἐστὶ κέλευθος, καὶ ἡ παρά παραί.

Αἱ δὲ δισύλλαβοι ἀναστρέφονται χωρὶς δύο τριχρόνων, τῆς ἀντί 930,13b καὶ ἀμφί, καὶ διχρόνων δύο, τῆς διά καὶ ἀνά· ὅθεν ἡ ἐνί μετὰ πλεονασμοῦ τοῦ ι̅ πάλιν ἀναστρέφεται· ἡ διά δὲ καὶ ἀνά ⟨οὐκ⟩ ἀναστρέφονται, ἵνα μὴ συνεμπέσωσι τοῖς ὀνόμασιν, ἡ μὲν διά τῇ αἰτιατικῇ τῇ Δία, ἡ δὲ ἀνά τῇ κλητικῇ τῇ ἀπὸ τοῦ ἄναξ εἰρημένῃ ἰωνικῶς, ⟨Π 233⟩ Ζεῦ

5—7 (ἐναντίος) hab. et. Σ^m ‖ **18—27 hab. et.** A

2 κλίσιν] κσίνησιν C, κίνησιν b | ἁπλῶν C, ἀπὸ b ‖ **6** ὑπόδμως V ‖ **7** ἐννέπω CVA | δὲ *add* b ‖ **8** ῥήμασιν CA, ῥήματι b ‖ **14** μὲν] καὶ C ‖ **16** διφορεῖται b, διαφορεῖται C ‖ **18** δὲ *add* A ‖ **19** μέγιστον Ab, μέσον C | συγκοπὴν A, συγκοπὰς C ‖ **20** μονοσυλλάβου δισύλλαβον A, μονοσυλλάβων δισύλλαβοι C ‖ **21** τῶν A, τὸ C | δισυλλ. αὔξεσθαι A, δισυλλάβων εἶναι τὰς προθέσεις C ‖ **22** τὸ CA, τῷ b; *item v. 23* ‖ **23** γὰρ ὑπὲρ A, ὑπὲρ γὰρ C ‖ **25** τ᾽ *om* C | δωρικῶς A, δωρικώτερον C; *cfr tamen Herod. II 195, 8; 363, 17* ‖ **26** τοῦ Ab, τὸ C | ὑπαί — παραί (**27**)] καὶ ἡ κατά φαίνεται ὁμοίως καὶ αἱ λοιπαί A ‖ **27** καταιβάτης C, καταίβατος b | *post* παραί *Stadtmüller add* παραιβάται ⟨Ψ 132⟩ ‖ **28** ἀναστρέφονται] ἐγκλίνονται Cb; *item v. 30* | *ante* χωρὶς *add* μὲν C ‖ **30** οὐκ *add* b ‖ **31** τῇ Δ. b, τοῦ Δ. C

ἄνα. Ἰστέον δὲ ὅτι μόναι αἱ δίχρονοι ⟨διcύλλαβοι⟩ ἀναcτρέφονται· οὔτε γὰρ αἱ μονοcύλλαβοι ὡc μονοcύλλαβοι ἔχουcί πως τὸν ἴδιον τόνον ἀναβιβάζειν, οὔτε μὴν αἱ τρίχρονοι· ἔνθεν καὶ ἡ κατά, ὅτε γίνεται καταί, οὐκέτι ἀναcτρέφεται, ὡc πλεοναcμὸν χρόνου παθοῦcα καὶ γενομένη λοιπὸν τρίχρονος, καὶ ἡ παρά ⟨ὅτε γίνεται⟩ παραί, καὶ ὁμοίως αἱ ἄλλαι πᾶcαι.

928,22b Πᾶcα δὲ πρόθεcιc μεγεθυνομένη ἔξωθεν μεγεθύνεται, ὡc ἡ κατά γίνεται καταί καὶ ἡ παρά παραί· μόνη δὲ ἡ ὑπέρ ἔcωθεν ἐμεγεθύνθη, ὡc ἐν τῷ ⟨Ω 13⟩ ὑπεὶρ ἅλα· καὶ τὸ αἴτιον, ἵνα μὴ ὑπερβῇ τὴν ποcότητα τῶν cυλλαβῶν· πᾶcα γὰρ πρόθεcιc ἢ μονοcύλλαβόc ἐcτιν ἢ διcύλλαβοc.

931,12b Ἰστέον δὲ ὅτι αἱ προθέcειc ⟨ὅτε⟩ ἀναcτροφὴν ὑπομένουcι καὶ τοῦ ἰδίου πολλάκιc ἐξίcτανται μεριcμοῦ, τουτέcτι τοῦ εἶναι προθέcειc· ἀναcτροφὴ δέ ἐcτιν, ὅταν ὁ ἐπὶ τέλουc τόνοc εἰc τὴν πρὸ τέλουc ἀναβιβάζηται cυλλαβήν· οἷον ἡ ἀνά πρόθεcιc, ὅταν γένηται ἄνα, ἀντὶ προθέcεωc ῥῆμα cημαίνει, οἷον ⟨Ι 247⟩ ἀλλ' ἄνα, εἰ μέμονάc γε· cημαίνει γὰρ ἐνταῦθα ⟨τὸ⟩ ἀνάcτηθι· καὶ ἡ ἀπό, ὅταν γένηται ἄπο, ἐπίρρημα cημαίνει, οἷον ⟨C 64⟩ ἄπο π⟨τ⟩ολέμοιο μένοντα· cημαίνει γὰρ ἐνταῦθα τὸ ἄποθεν.

929,27b ⟨*Stephani.*⟩ — Πᾶcαι δὲ αἱ προθέcειc τόνον ἔχουcι τὸν ὀξύν, χωρὶc εἰ μὴ ἀναcτρέφονται, καὶ χρόνον τὸν βραχύν, χωρὶc εἰ μὴ πλεονάζοιεν τὸ ῑ. Καὶ πᾶcα πρόθεcιc διcύλλαβοc εἰc δίχρονον καταλήγει, μόνη δὲ ἡ ἀπό καὶ ἡ ὑπό παράλογοί εἰcιν εἰc τὸ ō λῆξαcαι. Φιλοῦcι δὲ καὶ ψιλῷ cυμφώνῳ τυποῦcθαι· ἡ ἀμφί μόνη διὰ δαcέοc, ἥτιc ἐν τῇ cυν-930b θέcει ⟨ἔcθ' ὅτε⟩ τὸ ψιλὸν ἀπολαμβάνει· ἀμπεχόνη ⟨γὰρ⟩ καὶ ⟨Arist. Ran. 1063⟩ ἀμπίcχων.

§ 19 (24b).

Περὶ ἐπιρρήματοc.

Διομήδουc. — Ἐπίρρημά ἐcτι *etc.* = Σ^d 59, 2—15.

934,20b Εἰ δὲ καὶ προτάττεται καὶ ὑποτάccεται, πῶc ἀπὸ μιᾶc cυντάξεωc μόνον ὠνομάcθη; Φαμὲν οὖν ὡc ἡ ἐπί πρόθεcιc δύο cυντάξεών ἐcτι cημαντική· καὶ προηγουμένου γὰρ τοῦ ῥήματοc τοῦτο δυνάμεθα καλεῖν ἐπίρρημα, τὸ ἐπὶ τῷ ῥήματι λεγόμενον, ἀντὶ ⟨τοῦ⟩ μετὰ τὸ ῥῆμα, ὥc φαμεν

6—22 (εἰcιν) **hab. et.** A ‖ **29—272, 5** (φέρ.) **hab. et.** A

2 ἀναβιβάζειν] ἀποτελέcειν Cb ‖ **4** χρόνου b, χρόνον C ‖ **13** ὁ *add* Ab ‖ **15** cημ. — τὸ (16)] ἀντὶ τοῦ A ‖ **16** τὸ *add* b | ἀνάcτηθι] ἀνάcτα CAb | ἐπίρρημα Ab, ῥῆμα C ‖ **17** μένοντεc CA ‖ **18** ἄποθεν C, πόρρωθεν A ‖ **19—25** *videntur esse Stephani* ‖ **20** πλεονάζοιεν Ab, πλεονάζειν C ‖ **21** τὸ CA, τῷ b | εἰc δ. καταλ. A, φιλεῖ εἰc δ. λήγειν C ‖ **22** *poster.* ἡ *add* A | λῆξαcαι b, λήξαcθαι C ‖ **24** γὰρ *add* b ‖ **27** Διομ. *in marg.* C ‖ **29** *ante* δύο *add* διὰ (*sic*) CA ‖ **30** προηγουμένου Ab, προηγουμένη C ‖ **31** τοῦ *add* b, *om* CA

«ὅδε ἐπὶ τῷδε ἦλθεν», ἀντὶ τοῦ «μετὰ τόνδε»· καὶ πάλιν ὁμοίως προηγούμενον τοῦ ῥήματος ἐπίρρημα τὸ αὐτὸ καλοῦμεν, οἷον ἐφ᾽ ᾧ ῥῆμά τι τίθεται, ἀντὶ τοῦ μεθ᾽ ὅ.

Ἐκ τῆς συντάξεως δὲ εἴληφε τὸ ἐπίρρημα τὴν ὀνομασίαν· διὰ τοῦτο 933,24 b γὰρ καὶ ἐπίρρημα λέγεται, ἐπειδὴ ἐπί τι ῥῆμα φέρεται· πάντως γὰρ ἐὰν εἴπω «καλῶς», ἐπιφέρεται καὶ ῥῆμα, ἢ «ἔτυψα» ἢ «ἔλεξα» ἤ τι τῶν τοιούτων. Ὅθεν καί τινες τὸ φεῦ καὶ τὸ οἴμοι, διὰ τὸ μὴ ἔχειν ἐπιφερόμενον ῥῆμα, ᾠήθησαν μὴ εἶναι ἐπιρρήματα, ἀλλ᾽ ἕτερα μέρη λόγου. Ὅτι δὲ ἐπιρρήματά ἐστι καὶ οὐδὲν ἄλλο, σαφὲς ἐντεῦθεν· αἱ ἀναφω- 30 νήσεις αὗται ψυχῆς πασχούσης εἰσί, τὸ δὲ πάσχειν ἢ ἐνεργεῖν ῥηματικῆς ἐστι διαθέσεως, ὥστε εἰ καὶ μὴ ἐπαχθῇ τούτοις ῥῆμα, φανερόν ἐστιν ὅτι παθών τίς τι τοῦτο βοᾷ· διὰ δὲ τοῦ πάθους τὴν σύνταξιν ⟨ἔχει πρός τι ῥῆμα τὸ φεῦ καὶ τὸ οἴμοι⟩. Σύνθετον δέ ἐστι τὸ ⟨ἐπίρρημα⟩ παρὰ τὴν ἐπί πρόθεσιν καὶ τὸ ῥῆμα· ἅμα δὲ τῇ συνθέσει πεπλεόνακε τὸ ρ̄, ὡς καὶ ⟨ἐν⟩ τῷ ἄρρωστος.

Τὸ δὲ ἐπίρρημα ποιεῖται πάντως ἀεί ποτε τὴν σύνταξιν πρὸς τὸ 934,28 b ῥῆμα, ἢ καθόλου ἢ μερικῶς, ἢ αἰσθητῶς ἢ νοητῶς· καθόλου μέν, ὡς τὰ τῆς μεσότητος, οἷον καλῶς· δύναμαι γὰρ ταῖς πέντε ἐγκλίσεσι συντάξαι 30 τὸ καλῶς, «καλῶς τύπτω, καλῶς τύπτε, καλῶς τύπτειν, καλῶς τύπτοιμι, καλῶς ἐὰν τύπτω». ⟨Τὰ δὲ μερικῶς·⟩ οὐ γὰρ πάντα τὰ μόρια, φημὶ τὰ ἐπιρρηματικά, εὐθετεῖ πρὸς πάσας τὰς ἐγκλίσεις· ἰδοὺ γὰρ τὸ ἄγε μόνοις προστακτικοῖς συντάσσεται, καὶ τὸ εἴθε μόνοις εὐκτικοῖς συντάσσεται, καὶ τὸ ἐάν μόνοις ὑποτακτικοῖς· καὶ πάλιν τὸ χθές οὐ δύνασαι τάξαι ἐπὶ μέλλοντος, οὔτε τὸ αὔριον ἐπὶ παρῳχηκότος, οὔτε τὸ μή ἐπὶ ὁριστικῶν, οὔτε τὸ οὐ ἐπὶ προστακτικῶν· διὰ τοῦτο ⟨δὲ⟩ εἴρηται «ἢ καθόλου ἢ μερικῶς», ἐπειδὴ ἕκαστον μόριον ἔχει τὴν ἰδίαν σύνταξιν, πῇ 935,30 b μὲν καθόλου, πῇ δὲ ἐν μέρει, πῇ δὲ νοητῶς, ὡς ὅταν εἴπω ἰατταταῖ ἢ ὀττοτοῖ, μηδὲν ἐπαγαγών· δίδωσι γὰρ ἡ ἔννοια τοῦ ἐπιρρήματος, ὅτι μέλλων σχετλιάζειν ταῦτα ἐφθεγξάμην· αἰσθητῶς δέ, ὅταν αὐταῖς ταῖς φωναῖς δείξω καὶ συντάξω τὸ ἐπίρρημα τοῖς ῥήμασιν· ἓν γάρ ἐστι τῶν συντελούντων εἰς τὴν ἀναπλήρωσιν τοῦ λόγου.

⟨*Stephani.*⟩ — Ἄκλιτον δὲ τὸ ἐπίρρημα εἶπε πρὸς ἀντιδιαστολὴν 932,24 b

4—12 (βοᾷ) **hab. et.** **Σ**^m || **16—31 hab. et. Σ**^m A

1 τοῦ *om* A; *item v. 3* | προηγούμενον Ab, προηγουμένου C || **2** τὸ *om* A || **5** καὶ *add* V || **9** ἐντεῦθεν Vb, ἐνταῦθα C || **10** ἢ C, καὶ V || **12** *post* σύνταξιν *nulla lac. in* C, *lac. indic.* b || **13** ἐπίρρημα *add* b || **15** ἐν τῷ] τὸ C **18** δύναμαι VA, δύναται C || **19** καλ. τύπτω — μερικῶς (**20**) *om* A || **20** Τὰ δὲ μερ. *om* CV || **21** ἐπιρρήματα A || **23** καὶ τὸ ἐάν μ. ὑποτ. *add* V | δύνασαι A, δύναται CV || **24** οὔτε τὸ μή — προστ. (**25**) *add* A || **25** διὰ τὸ εἰρῆσθαι V | ἢ καθόλου *add* V || **26** ἢ (*ante* μ.) *om* C | τὴν] τινὰ V || **27** ἰαταταὶ ὀττοτοί C, ἰαταταί ἰώ πόποι V, ἰαττατὰ ἢ ὀττοτοὶ A || **28** ἐπιρρήμ. A, ῥήματος CV || **29** ἐφθεγξάμην VA, ἐφθέγγετο C | αἰσθητῶς — λόγου (**31**) *om* V | ὅταν *add* Ab || **30** καὶ A, *om* C, ὅτι b | ἓν — λόγου (**31**) CA, *om* b || **32—274, 2** *videntur esse Stephani*

τῶν κλιτικῶν ⟨μερῶν τοῦ λόγου⟩· τῶν ⟨γὰρ⟩ μερῶν τοῦ λόγου τὰ μὲν κλιτικά ἐςτι, τὰ δὲ ἄκλιτα. Οὕτω δὲ ἄκλιτόν ἐςτι τὸ ἐπίρρημα, ὅτι καὶ ἐπάν τι κλιτικὸν εἰς τοιαύτην ⟨σύν⟩ταξιν ἐπενεχθῇ, μονοςχημάτιςτον γίνεται, οἷον εἰπεῖν ἔςτιν ὄνομα τὸ κραιπνός τριγενές· τοῦτο κατὰ τὴν οὐδετέραν προφορὰν κατὰ τὸν πληθυντικὸν ἀριθμὸν κραιπνά λέγεται· καὶ ἐπὰν μὲν κραιπνὰ παιδία λέγω, τῶν κραιπνῶν παιδίων κλίνεται καὶ ⟨εἰς⟩ τὰς λοιπὰς πτώςεις, ἐὰν δὲ τοῦτο τὸ ἐπιθετικὸν ὄνομα ςύνταξιν λάβῃ ἐπιρρήματος, ὡς τὸ ⟨Ε 223. Θ 107⟩ κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεςθαι, ἄκλιτον μένει.

933,16b Ταὐτὸν δέ ἐςτι τὸ ἐπίρρημα τοῖς ἐπιθετικοῖς ὀνόμαςιν· ὃν τρόπον γὰρ τὰ ἐπίθετα ἀναμένει ἢ κύριον ἢ προςηγορικόν, οὕτω καὶ τὸ ἐπίρρημα ἐάν τις προτάξῃ, ἀνάγκη ἐςτὶν ἐπάγειν ῥῆμα· ἐπίκειται γὰρ ἀεὶ τῷ ῥήματι, ἄνευ γὰρ ῥημάτων οὐ ςυγκλείει διάνοιαν. Ἰςτέον δὲ ὅτι ὅπου ἐπίρρημά ἐςτι, πάντως καὶ ῥῆμα, ὅπου δὲ ῥῆμα, οὐ πάντως ἐπίρρημα.

934,9b Διὰ τί δὲ τοῦ ῥήματος καὶ προταςςόμενον καὶ ὑποταςςόμενον μόνον ἐπίρρημα ἐκλήθη; Καί φαμεν ὅτι ἀπὸ τῆς μιᾶς ςυντάξεως τῆς κυριωτέρας· εἰ γὰρ καὶ ὑποτάττεται τοῖς ῥήμαςιν, ἀλλ' ὅμως ἡ γνηςία αὐτῶν ςύνταξις προτέρα, ὥςπερ καὶ τὰ ἐπίθετα πρότερά ἐςτι τῶν ὀνομάτων, καθ' ὧν ἐπίκειται. Ἐντεῦθεν καὶ τὸ ἄρθρον ἀναδέδεκται ἀεὶ τὸ ἐπιθετικόν· οὕτω γοῦν γινόμενοι ἐν τοῖς Ὁμηρικοῖς ἐν τῇ πρώτῃ τῆς Ἰλιάδος ῥαψῳδίᾳ κατεμεμψάμεθα τὸν ποιητὴν ἐπιτάξαντα τὸ ἄρθρον τῷ ὀνόματι ἐν τῷ ⟨Α 11⟩ οὕνεκα τὸν Χρύςην ἠτίμαςεν ἀρητῆρα.

936,26b Πεποίηται δὲ τὰ ἐπιρρήματα παρὰ μὲν ὄνομα, ⟨ὡς τὸ⟩ καλῶς [ςυριςτί] θύραζε· παρὰ δὲ ῥῆμα, ὡς παρὰ τὸ κλέπτω κλέβδην, ⟨αἰολίζω⟩ αἰολιςτί· παρὰ δὲ μετοχήν, ὡς τὸ ἐπιςταμένως· παρὰ δὲ ἀντωνυμίαν, ὡς τὸ οὕτως· παρὰ δὲ πρόθεςιν, ὡς τὸ ἔςω ἔξω. Ἔςτι δὲ καὶ ὀνοματικὴ κατάληξις ςύνταξιν ἐπιρρηματικὴν ἀναδεξαμένη καὶ ἐπίρρημά ἐςτιν, ὡς τὸ «ταχὺ ἐλθέ» ⟨ἀντὶ τοῦ ταχέως⟩, «καλὰ ποίηςον» ἀντὶ τοῦ καλῶς· ἄπειρος δὲ ἡ εἰς τοῦτο παράθεςις· καὶ ἔςτιν ἐν τούτοις ἀναλογία κεχωριςμένη τῆς τῶν ἐπιρρημάτων φωνῆς.

936,7b Τῶν δὲ ἐπιρρημάτων τὰ μέν ἐςτιν ἁπλᾶ, τὰ δὲ ςύνθετα· ἁπλᾶ μέν, ὡς πάλαι, ςύνθετα δέ, ὡς πρόπαλαι.] Οὐ μέχρι τῶν ςυνθέτων μόνων εὑρίςκεται, ἀλλ' ἔςτι καὶ παραςύνθετα, ὡς τὸ παγκά-

---

2—9 hab. et. Σ^m ‖ 16—23 hab. et. A

1 μερῶν τ. λ. τ. γὰρ b, τῶν C ‖ 3 ἐπάν τι κλιτικὸν V, ἐν τοῖς κλιτικοῖς ἐὰν C | ςύνταξιν b, τάξιν CV ‖ 5 οὐδετέραν Vb, δευτέραν C ‖ 6 κραιπνὰ *add* V ‖ 7 εἰς *om* CV ‖ 8 καὶ ἔνθα *om* C ‖ 10 δὲ] γάρ C ‖ 12 τις προτάξῃ b, τι προςτάξῃ C ‖ 16 προταςςομένου καὶ ὑποταςςομένου C, *corr.* b ‖ 18 ὑποτ. b, ςυντάττεται CA | αὐτῶν Ab, αὐτῷ C ‖ 21 οὕτω — ῥαψ. (22) C, ὅθεν A | πρώτῃ] ἄλφα C ‖ 22 ῥαψωδίας C, *corr.* b | ἐπιτ. b, ἐπιπροτ. C, προτ. A ‖ 23 ἠτίμωςεν C, ἠτίμηςαι (*an* -ςας?) A ‖ 25 κλέβδην — αἰολιςτί (26) b, κλεβδηναίω ληςτῆ C ‖ 26 ἐπιςτάμενος C, *corr.* b

λων παγκάλως· ἀπὸ γὰρ cυνθέτου ὀνόματος γενόμενον ἐγένετο παραcύνθετον.

Διομήδους. — Τὰ δὲ χρόνου δηλωτικά *etc.* = Σ^d 59, 14—26.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνου. — Διαφέρει χρόνος και- 938,4 b
ροῦ, ὅτι τὰ μὲν ⟨χρονικὰ ὄντα⟩ γενικὰ ἁπλούστερον καὶ μόνον τὸν χρόνον δηλοῖ, τὰ δὲ ἐπὶ καιροῦ μετὰ τοῦ χρόνον δηλοῦν καὶ ὡς πρός τι λέγεται· τὸ γὰρ σήμερον πρὸς τὸ αὔριον, τὸ δὲ τόφρα πρὸς τὸ ὄφρα· ἐν ἀναφορᾷ δὲ καὶ ἀνταποδόσει χρόνον δηλοῖ ταῦτα, ὅτε τότε πότε ὁπότε, ἡνίκα τηνίκα πηνίκα ὁπηνίκα.

Ἕνα τρόπον καλεῖ εἶναι χρόνου δηλωτικόν, καὶ παρατίθεται τὸ 938,11 b
νῦν, τὸ τότε, τὸ αὖθις· παράτασιν δὲ χρόνου ἔχουσι ταῦτα, καὶ τρόπον τινὰ ἀόριστον χρόνον δηλοῦσιν. Ἐντεῦθεν καὶ παρὰ τῷ ποιητῇ εὑρόντες τὸν διὰ τοῦ ὕπνου λόγον τοῦ Διὸς πρὸς Ἀγαμέμνονα λεγόμενον, ⟨Β 29⟩ νῦν γάρ κεν ἕλοις πόλιν εὐρυάγυιαν, ⟨οὐ⟩ λέγομεν ψευδῆ εἶναι· ἀλλὰ τὸ νῦν λαμβάνεται ἐπὶ ἡμέρας καὶ μηνὸς καὶ ἐνιαυτοῦ, ἀόριστον γάρ, ἤμελλε δὲ κατ' ἐκεῖνον τὸν ἐνιαυτόν — δέκατος γὰρ ἦν — 20
πορθεῖν τὴν Ἴλιον· ὥστε οὐκ ἐψεύσατο Ζεύς, ⟨ἀλλ'⟩ Ἀγαμέμνων ἥμαρτε μὴ ἀκριβῶς συμβαλὼν τὸ ὄναρ· καὶ διὰ τοῦτο καταμέμφεται δικαίως παρὰ τοῦ ποιητοῦ· ἐπάγει γὰρ αὐτῷ εὐθέως τὸ ⟨Β 38⟩ νήπιος, οὐδὲ τὰ ἤδη ἅ ῥα Ζεὺς μήδετο ἔργα· χρονικὸν οὖν ἐπίρρημά ἐστι τὸ νῦν. † Ὑποτομὴν δὲ χρόνου ποιεῖται, ὡς ἔχει τὸ χθές αὔριον αὐτίκα ἔνθεν αὖθις. Καὶ δοκεῖ τι διάφορον εἶναι· οὐ γὰρ ταὐτόν ἐστι χρόνος καὶ καιρός, ἔστι γὰρ διαφορὰ τῶν τε χρονικῶν καὶ τῶν καιροῦ παρα- 30
στατικῶν· τὰ μὲν ⟨γὰρ⟩ χρονικὰ παράτασιν χρόνου καὶ ἀοριστίαν ἐπαγγέλλεται, τὰ δὲ καιρόν τινα ὡρισμένον παρίστησι· τὸ γὰρ χθές ἐπὶ τῆς παρελθούσης ἡμέρας τέτακται, καὶ τὸ σήμερον ἐπὶ τῆς ἐνεστώσης, καὶ 939 b
τὸ αὔριον ἐπὶ τῆς μελλούσης.

Στεφάνου. — Τὰ δὲ μεσότητος, οἷον καλῶς σοφῶς δυνα- 939,29 b
τῶς.] Μεσότητος λέγεται, ἐπεὶ μέσα ἐστὶν ἀρσενικῶν καὶ θηλυκῶν καὶ οὐδετέρων, ἢ καὶ [τῶν] δύο γενῶν, οἷον καλοί καλαί καλά καλῶν καλῶς, ⟨πάντες πάντα πάντων πάντως⟩· πάντα δὲ παράγωγα τὰ εἰς $\overline{\omega\varsigma}$, πλὴν τοῦ ἕως τέως, ⟨καὶ⟩ πάντα ἀπὸ γενικῶν, πλὴν τοῦ οὕτως ὥς· ἀπὸ δὲ τοῦ σημαινομένου δύναται ποιότητος εἶναι τὸ καλῶς καὶ 940 b

---

4—9 hab. et. A ‖ 24—27 hab. et. A ‖ 31—275, 2 hab. et. Σ^m

3 Διομ. *in marg.* C ‖ **4** Εἰς — Στεφ. *om* A | Στεφ. *in marg.* C ‖ **6** τοῦ Ab, τὸ C ‖ **8** πότε ὁπότε *add* A ‖ **11** τότε *Uhlig,* ὕστερον C ‖ **14** οὐ *add* b ‖ **16** δὲ b, γὰρ C ‖ **17** τὴν b, τὸν C ‖ **20** τὰ εἴδη ἄρα C ‖ **21** *post* νῦν *nulla lac.* C, *lac. ind.* b ‖ **23** τε χρονικῶν b, τεχνικῶν C ‖ **25** χθές Ab, *om* C ‖ **30** τῶν *seclusit Uhlig* ‖ **31** πάντες — πάντως *add Stadtmüller* ‖ **33** ποιότητος V, ποιότης C

σοφῶς· ἔστι καὶ ἀπὸ δύο γενῶν, οἷον πάντως ἀρσενικοῦ καὶ οὐδετέρου, καὶ ἀφ' ἑνός, οὕτως ὥς.

940,23b Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Γεωργίου. — Ταῦτα σημαντικὰ μέν ἐστι ποιότητος, ⟨οἷον⟩ τὸ καλῶς ἢ ψυχῆς ἢ σώματος ἢ ἄλλου τινὸς ποιότητα δηλοῖ [καὶ τὸ σοφῶς]· τῇ φωνῇ γε ⟨μὴν⟩ καλεῖται μεσότητος, μέσα γὰρ τρόπον τινὰ ὀνομάτων τε καὶ ἐπιρρημάτων· τὰς μὲν γὰρ ὑπάρξεις ἐξ ὀνομάτων ἔχουσι, τὰς δὲ καταλήξεις καὶ συντάξεις ἐξ ἐπιρρημάτων.

30 Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Τὰ τῆς μεσότητος ἐπιρρήματα ⟨τὰ μὲν⟩
κατὰ ἐπαίνου λέγονται, ὡς τὸ καλῶς σοφῶς σωφρόνως· ἃ δὲ διστακτι-
κῶς, οὕτως ἐκείνως ἄλλως· ἃ δὲ ἐν ἐπιτηδεύμασι, μουσικῶς γραμματικῶς
911b ἀθλητικῶς· ἃ δὲ κατὰ μετουσίαν, σαρκίνως ἀνθρωπίνως· ἃ δὲ κατὰ
μείωσιν, ὡς τὸ κακῶς ἀδρανῶς ἀφρόνως.

940,5b Μεσότητος λέγονται οὐκ εἰκῇ, ἀλλὰ διά τινα αἰτίαν· ἀεὶ γὰρ τὰ
τῆς μεσότητος ἀπὸ ὀνομάτων ἔχει τὴν γένεσιν, ὀνομάτων δὲ λέγω τρι-
γενῶν, ἀπὸ γενικῆς ⟨πληθυντικῆς⟩, τοῦ ν̄ εἰς ς̄ μεταβαλλομένου. Ἐν-
τεῦθεν καὶ τὰ τοιαῦτα κατὰ τόνον οὐδεμιᾶς ἔχεται ἀμφιβολίας, δεῖ δὲ
10 πρότερον ἀποβλέπειν εἰς τὴν γενικὴν ⟨πληθυντικὴν⟩ τοῦ ὀνόματος καὶ
ἰδεῖν, ὁποῖον ἔχει τόνον ἴδιον, καὶ εἶθ' οὕτως ἀποφαίνεσθαι κατὰ τοῦ
ἐπιρρήματος· εἰ γὰρ βαρύνοιτο ἡ γενικὴ τοῦ ὀνόματος, συμβαρύνεται
καὶ τὸ ἐπίρρημα, εἰ δὲ περισπῷτο, συνακολουθεῖ καὶ τὸ ἐπίρρημα. Με-
σότητος οὖν εἴρηται, ἐπειδὴ ἐκ μέσου τῆς κλίσεως τῶν ὀνομάτων λαμ-
βάνεται· ἀπὸ γὰρ τῶν τριῶν γενῶν ἐκπίπτει γενικὴ ⟨πληθυντικὴ⟩ εἰς
ῶν̄· διὰ τοῦτο μεσότητος εἴρηται. Οὐ μόνον δὲ ἀπὸ ὀνομάτων γίνεται,
ἀλλὰ καὶ ἀπὸ μετοχῶν, ὡς τὸ ἐχομένως ἐσπουδασμένως, καὶ ἀπὸ ἀν-
τωνυμιῶν, ὡς τὸ οὕτως καὶ ἐκείνως· μόνον τὸ ὥς εὑρίσκομεν ἀπὸ εὐ-
20 θείας ἑνικῆς κατ' ἔκτασιν γεγονὸς τοῦ ο̄ εἰς ω̄, καὶ φυλάξαν τὸν τόνον
τῆς εὐθείας, τουτέστι τὸν ὀξύν.

941,18b ⟨*Stephani.*⟩ — Τὰ δὲ ποιότητος, οἷον πύξ λάξ βοτρυδόν ἀγεληδόν.] Ποιότητός εἰσιν ἐπιρρήματα ἃ διὰ τῆς φωνῆς τὸ γινό-

---

6—8 hab. et. A ‖ **14—28 hab. et. A** ‖ **18—28 hab. et. Σ^m** ‖ **29—276, 11 hab. et. Σ^m**; ***videntur esse Stephani***

1 ἀπὸ *et* **2** ἀφ' *KEASchmidt, Beitr. p. 503,* ἐπὶ *et* ἐφ' C ‖ **3** Γεωργίου *in marg.* C | σημ. μέν b, σημαινόμενα C ‖ **4** οἷον *add* b ‖ **5** καὶ τὸ σ. *del. KEASchmidt, Beitr. p. 505 adn.* | μὴν *add* b ‖ **7** ἐξ *ante* ὀν. *del. Schoemann, Opp. acc. 4, 232* **14** γὰρ *add* A ‖ **15** λέγω *Uhlig,* λέγεται A, *om* C ‖ **16** μεταβαλλομένου Ab, μεταβαλλομένης C | Ἐντεῦθεν — ἐπίρρημα (**21**) *om* A ‖ **20** *post* γὰρ *add* καὶ C ‖ **21** μεσότητος VA, μεσότης C ‖ **22** μέσου VA, μέτρου C ‖ **23** ἀπὸ — εἴρηται (**24**) *om* A ‖ **24** μόνον VA, μόνων C ‖ **25** μετοχῶν — ἀπὸ *add* V ‖ **27** ἑνικῆς *add* V ‖ **28** V *add*: ὀξύνεται γὰρ ἐν ὅλῳ τῷ κανόνι τοῦτο τὸ ὥς

μενον πρᾶγμα μιμεῖται, οἷον πύξ, ἐπειδὴ πτύξαντες τὴν χεῖρα πλήττο- 20 μεν· γεγένηται δὲ οὕτως· πτύσσω πτύξω πτύξ, καὶ ἐλλείψει τοῦ τ̄ πύξ. Τὸ δὲ λάξ τὸ ὑπόμνημα οὕτω σχηματίζει· λακτίζω λακτίσω, δωρικῶς λακτίξω, λάκτιξ καὶ συγκοπῇ λάξ· ἄμεινον δὲ οὕτως, λήγω λήξω λήξ καὶ λάξ, τὸ διὰ τοῦ λήγοντος μέρους τοῦ σώματος γινόμενον. Τὸ δὲ βοτρυδόν ἀγεληδόν παρ' ὄνομα· τὸ μέντοι βοτρυδόν καὶ μονῆρες· οὐδὲν γὰρ εἰς δον ἀπὸ ὀνόματος γίνεται περιττοσυλλάβως κλινομένου εἰς c̄ ληγούσης τῆς εὐθείας· ⟨πρόσκειται δὲ «εἰς c̄ ληγούσης τῆς εὐθείας»⟩ διὰ τὸ κλιμακηδόν φαλαγγηδόν ἑλικηδόν πινακηδόν· ὅμως ἐστὶ καὶ τὸ 330, 18c νεκυηδόν ⟨Mein. Euphor. 157⟩ ἀπὸ τῆς νέκυος καὶ τὸ κτηνηδόν ἀπὸ τῆς κτήνεος, εἰ μὴ ἀπὸ τῆς κτήνους γενικῆς παρῆκται.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδους. — Τὰ *etc.* = Σ^{d} 60, 3—5.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — «Ποιότητός» ἐστι γενέσεως πραγματι- 941,32b κῆς, ὅπως ἐγένετο διαφορὰ τῆς γενέσεως τοῦ πράγματος. Ἔστι δὲ τὰ τοιαῦτα ἀπὸ ῥήματος γεγονότα, καθὸ καὶ ἡ γένεσις τῶν πραγμάτων 942b τὰ ῥήματα· ἰδοὺ γὰρ παρὰ τὸ κλέπτω κλέβδην· διδάσκει σε τὸ β̄ στοιχεῖον, ἔστι γὰρ μέσον τῶν στοιχείων τῆς πρώτης συζυγίας τῶν βαρυτόνων· ἔστι πάλιν ⟨ἀπὸ τοῦ⟩ ὄπτω, ὃ σημαίνει τὸ θεῶμαι, τὸ ἐπίρρημα ὄβδην, ὡς καὶ ⟨παρὰ⟩ Καλλιμάχῳ ⟨fr. 522 Sch⟩ ἤλθες ἐσόβδην· καὶ τὸ πύξ ἀπὸ τοῦ πτύσσω, τὸ γὰρ πτύσσειν καὶ ἀσφαλίζειν τοὺς δακτύλους καὶ τούτοις πλήττειν εἴρηται πύξ, ἐκ μεταφορᾶς τῶν πυκτῶν ⟨τῶν⟩ οὕτω 10 κατ' ἀλλήλων φερομένων. Γίνεται δὲ καὶ ἀπὸ ὀνόματος τὰ τοιαῦτα· τὸ γὰρ βοτρυδόν ἀπὸ τοῦ βότρυς γίνεται, καὶ τὸ ἀγεληδόν ἀπὸ τοῦ ἀγέλη· τὸ βύζην ἐπίρρημα σεσημείωται πρωτότυπον ὂν καὶ οὕτως ἐφευρεθέν, ὡς ἐάν τις ἔρηται «πῶς ἦλθον οἱ φίλοι;» καὶ θέλῃς δεῖξαι, εἴποις «βύζην», ἀντὶ τοῦ ἀθρόως, πυκνῶς· ὡς καὶ τὸ ἀγεληδόν ἀντὶ τοῦ «ὁμοῦ πάντες ἦλθον».

⟨*Stephani.*⟩ — Τὰ δὲ ποσότητος, οἷον πολλάκις ὀλιγάκις.] Ταῦτα ἀόριστον ποσότητα δηλοῖ, τὸ δὲ δίς τρίς ὡρισμένην ποσότητα.

Τὰ δὲ ἀριθμοῦ δηλωτικά, οἷον δίς τρίς τετράκις.] Ταῦτα 20 ἀριθμὸν ἐμφαίνει μὴ ὄντα ἀριθμητικά· τὸ δὲ δίς καὶ τρίς πέπονθε, τὸ γὰρ δυάκις καὶ τριάκις παρὰ Ἀριστοφάνει ⟨fr. 769 K⟩.

---

2 καὶ — τ̄ V, ἐνδείᾳ CA | *post* πύξ V *add v. 20—22* (τὸ γὰρ — φερ.) || **3** δὲ *add* V | τὸ ὑπ. — σχημ. C, οὕτως V, *om* A || **4** καὶ *add* V | ἄμ. δὲ οὕτ. C, ἤ· οὕτως V, ἢ A || **5** καὶ *om* C | Τὸ δὲ *add* V || **6** μέντοι *add* V || **10** νεκυηδὸν VA, νεκυδὸν C || **11** V *add*: τὸ πολλάκις ὀλιγάκις. ταῦτα καὶ ἀποβάλλει τὸ c̄. γίνεται δὲ καὶ ἀπὸ τοῦ κλέπτω κλέβδην καὶ ἀπὸ τοῦ ὄπτω ὄπτην (*l.* ὄβδην) || **16** β̄ C, δεύτερον b || **19** παρὰ *add* b | ἐσόβδην b, εἰς ὄβδην C || **20** ἀσφαλίζειν *Stadtmüller (coll. Et M. 695, 53)*, ἀκοντίζειν C || **21** πτύξ C | *poster.* τῶν *add* b || **23** ἀπὸ τῆς ἀγέλης C || **28—33** *videntur esse Stephani*

942,29b Τὰ δὲ τοπικά, οἷον ἄνω κάτω· ὧν σχέσεις εἰσὶ τρεῖς, ἡ ἐν τόπῳ, ἡ εἰς τόπον, ἡ ἐκ τόπου, οἷον οἴκοι οἴκαδε οἴκοθεν.] Τὰ εἰς ω̄ παράγωγα κοινὰ βαρύνεται, ἄνω κάτω· πρόσκειται «κοινά» διὰ τὰ Δωρικά, οἷον τουτῶ αὐτῶ τηνῶ· σεσημείωται τὸ ἰώ ἐπισχερώ· καὶ πάντα φεύγει τὴν πρὸ τοῦ τέλους μακρὰν ἔχειν· τὸ εἴσω ἐκ πάθους, 943b ἀναλογώτερον τὸ ἔσω· τὸ ἔξω τῆς ἐξ ἔχει τὴν ἀναλογίαν· τὸ πόρρω ἀττικῶς ἐκτέταται καὶ διπλασιασμὸν ἔχει τοῦ ρ̄· τὸ οὕτω παραφθορὰ τοῦ οὕτως· τὸ δεύρω ⟨Γ 240⟩ ἔκτασις ποιητικὴ ἐκ τοῦ δεῦρο.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνου. — Τοπικὰ *etc.* = Σ^d 60, 6—10.

943,19b Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Σχέσις ἐστὶν ἡ πρός τινα οἰκείωσις. Κατὰ πέντε δὲ τρόπους γίνεται ἡ σχέσις· ἢ γὰρ φύσει, ὡς ἀδελφοῦ πρὸς ἀδελφὸν ἢ υἱοῦ πρὸς πατέρα· ἢ τύχῃ, ὡς δούλου πρὸς δεσπότην· ἢ τέχνῃ, ὡς μαθητοῦ πρὸς διδάσκαλον· ἢ προαιρέσει, ὡς φίλου πρὸς φίλον· ἢ τόπῳ, ὡς τὰ τοπικὰ τῶν ἐπιρρημάτων.

943,12b Τὰ μὲν γὰρ αὐτῶν πρὸς τὴν ἐν τόπῳ ὕπαρξιν ἔχει τὴν σχέσιν, ἃ δὲ πρὸς τὴν εἰς τόπον ⟨μετάστασιν⟩, ἃ δὲ πρὸς τὴν ἐκ τόπου· πάντων δὲ προτερεύει τὰ ἐν τόπῳ· εἰ γὰρ μή τις εἴη ἐν τόπῳ, οὔτε εἰς ἕτερον μεταστῆναι δύναται. Ὠικείωται δὲ τὰ μὲν ἐν τόπῳ τὴν ἐν πρόθεσιν, οἷον 944b «οἴκοι εἰμί», τουτέστιν ἐν τῷ οἴκῳ· τὰ δὲ εἰς τόπον τὴν εἰς, οἷον «οἴκαδε ἄπειμι», τουτέστιν εἰς οἶκον· τὰ δὲ ἐκ τόπου τὴν ἐξ, οἷον «οἴκοθεν ἔρχομαι», τουτέστιν ἐξ οἴκου. Ὥσπερ δὲ ἐν τοῖς ὀνόμασιν ἔστι τινὰ μονογενῆ, ὡς τὸ οὐρανός, εἰσὶ ⟨δὲ⟩ καὶ διγενῆ, ὡς τὸ ἵππος, καὶ ἄλλα τριγενῆ, ὡς τὸ καλός, οὕτω καὶ ἐν τοῖς τοπικοῖς τὰ μὲν μίαν σχέσιν δηλοῖ, ὡς τὸ ποῖ τὴν εἰς τόπον μόνον· τινὰ δὲ δύο, τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον, ὡς τὰ εἰς ω̄ παρὰ πρόθεσιν γεγονότα, ὡς τὸ ἄνω κάτω ἔσω ἔξω· τινὰ ⟨δὲ⟩ καὶ εἰς τὰς τρεῖς μετασχηματίζεται, ὡς τὸ οἴκοι οἴκαδε οἴκοθεν.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Στεφάνου. — Πρώτη ἡ ἐν τόπῳ ἐστί, δευτέρα ἡ εἰς τόπον, ⟨τρίτη ἡ⟩ ἐκ τόπου. Τούτων δὲ τῶν τοπικῶν τὰ ⟨εἰς ω̄⟩ παρὰ πρόθεσιν ⟨γεγονότα⟩ τὰς δύο σχέσεις ἐδήλουν, τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον, ἀνά «ἄνω εἰμί», ἐν τόπῳ, «ἄνω ἀνέρχομαι», εἰς τόπον, ἐξ ἔξω, ἐς ἔσω, πρός πρόσω, κατά κάτω.

2—8 hab. et. Σ^m A ‖ 11—17 hab. et. A

4 τουτώ αὐτώ τηνώ CA, τοῦτοτοι αὐτόθι τηνεῖ V ‖ 5 τοῦ *om* V ‖ 7 ἐκτέταται A, τέταται V, τέτακται C | τοῦ ρ̄ *add* V ‖ 8 δεύρω Vb, δευτέρω CA | ἐκ τ. δ. *add* V ‖ 9 Στεφ. *in marg.* C ‖ 11 ἐστὶν *add* A ‖ 12 ἢ γὰρ — τόπῳ (15) C, φύσει τύχῃ τέχνῃ καὶ προαιρέσει καὶ τόπῳ A ‖ 16 ἃ δὲ πρ. τ. εἰς τ. *add* Ab ‖ 22 οἴκων C, οἴκων *in* οἴκου *corr.* h ‖ 23 δὲ *add* b ‖ 24 τὸ κ.] ὁ κ. C ‖ 25 ποῖ τὴν εἰς b, πῆ τὴν περὶ εἰς C ‖ 27 δὲ *add* b ‖ 29—278, 32 *videntur esse Stephani* ‖ 29 Εἰς — Στεφ. *in marg.* C ‖ 30 εἰς — τόπου b, ἐκ τόπου εἰς τόπον C

Τὰ δὲ εἰc ο̅ι̅ ὑπὲρ δύο cυλλαβάc, τῶν πρωτοτύπων οἱονδήποτε τὸν τόνον ἐχόντων, περιcπῶνται, Μεγαροῖ Ἰκαροῖ ἐνταυθοῖ· τὰ δὲ διcύλλαβα πρὸc τὰ πρωτότυπα τονοῦνται· ὀξυνομένων γὰρ περιcπᾶται, βαρυνομένων δὲ βαρύνεται, οἷον Ἰcθμόc Ἰcθμοῖ, Πυθώ Πυθοῖ, ἔνδον ἔνδοι ⟨Theocr. 945 b 15, 1. 77⟩ πέδον πέδοι, μέcον μέcοι.

Τὰ ⟨εἰc ο̅ι̅⟩ cχετλιαcτικὰ περιcπᾶται τῶν εἰc α̅ι̅ περιcπωμένων, οἷον 946,33 b ἀτταταῖ ὀττοτοῖ, αἰαῖ οἰοῖ [ὤμοι οἴμοι]· τὸ ὤ πόποι cημειῶδεc, παπαῖ 947 b γὰρ περιcπᾶται· ἐνομίcθη γὰρ ὡc ὄνομα εἶναι, διὸ καὶ ὀνοματικὴν ἔλαβε τάcιν· ὡc γὰρ ὦ φίλοι, ὦ θεοί, οὕτωc ὤ πόποι· ἔcτι δὲ δύο cχετλιαcτικὰ ἐπιρρήματα.

Τὰ δὲ εἰc ε̅ παράγωγα βαρύνεται, οἷον οἴκαδε ἄλλοτε. 945,3 b

Τὰ εἰc δ̅ε̅, εἰc ζ̅ε̅, εἰc c̅ε̅ τὴν εἰc τόπον δηλοῖ cχέcιν, οἷον οἴκαδε Ἀθήναζε πάντοcε· cεcημείωται τὸ μέταζε χρονικὸν ὄν· Ἡcίοδοc ⟨Opp. 394⟩ μή πωc τὰ μέταζε χατίζων.

Τὰ εἰc θ̅ε̅ν̅ τὴν ἐκ τόπου ⟨cχέcιν⟩ δηλοῖ, οἷον οὐρανόθεν· καὶ εἰ μὲν τῷ ο̅ παραλήγοι⟨το⟩, ποιεῖ τὴν ἐν τόπῳ τροπῇ τῆc θ̅ε̅ν̅ εἰc θ̅ι̅, οἷον ⟨οἴκοθεν⟩ οἴκοθι, εἰ δὲ ἑτέρῳ φωνήεντι παραλήγοιτο, εἰc c̅ι̅, οἷον Ἀθήνηθεν Ἀθήνηcιν· ἡμάρτηται τὸ ἐγγύθεν ἐγγύθι. Τὰ δὲ παρὰ πρόθεcιν γινόμενα τὰc τρεῖc cχέcειc δηλοῖ, καὶ ἑρμηνεύεται διὰ τῶν ἁρμοζουcῶν ἑκάcτῃ cχέcει προθέcεων, οἷον ἡ ἔκ τὴν ἐκ τόπου δηλοῖ, «ἐκ τοῦ ἔμπροcθεν», ἡ ἔν τὴν ἐν τόπῳ, «ἐν τῷ ἔμπροcθεν», ἡ εἴc τὴν εἰc τόπον, «εἰc τὸ ἔμπροcθεν». Ἡ ἔνθεν τὴν ἐκ τόπου μόνην· μεταπεcοῦcα δὲ εἰc τὸ ἔνθα διὰ τούτου τὰc ἄλλαc δύο cχέcειc ἔcχεν, ⟨γ 109⟩ ἔνθα μὲν Αἴαc κεῖται, ⟨ι 142⟩ ἔνθα κατεπλέομεν.

Τὰ εἰc θ̅ε̅ν̅ τῷ ο̅ παραληγόμενα παροξύνεται, οἷον οὐρανόθεν Ἰλιόθεν, εἰ μὴ παρὰ πρόθεcιν γένοιτο, οἷον παρά πάροθεν καὶ πλεοναcμῷ τοῦ ι̅ πάροιθεν· ἢ ἀπὸ ἐπιρρήματοc ἐκ προθέcεωc γενομένου, οἷον ἔνδοθεν, ἔξοθεν παρὰ Cτηcιχόρῳ ⟨fr. 81 B[4]⟩, πρόccοθεν παρ' Ὁμήρῳ ⟨Ψ 533⟩· τούτων δὲ τῶν δύο τὰ ἀνάλογα διὰ τοῦ ω̅· ἔκτοθεν ἔντοθεν, ἃ καὶ cὺν τῷ c̅ λέγεται· ἢ ἀπὸ ὀνομάτων ἐπιμεριζομένων, ἄλλοθεν ἑκάcτοθεν. Cεcημείωται τὸ οἴκοθεν πάντοθεν, ὅτι μηδεμίαν τοιαύτην ἔχει παρατήρηcιν.

1—11 hab. et. Σ^{vl} A ‖ 25—32 hab. et. Σ^{m} A

1 *ante* οἱονδ. *add* τὸν CV, τῶν A | τὸν *om* VA ‖ **2** τόνον ἐχόντων A, χρόνον ἔχοντα C, τόνον ἔχοντα V | δὲ *add* A ‖ **5** μ. μ. *om* V ‖ **6** εἰc ο̅ι̅ *add Uhlig* ‖ **7** αἶ αἶ VA, *om* C | οἶ οἶ CVA | ὤμοι A, ἀοίμοι C | ὤμοι οἴμοι *om* V, *secl. Uhlig* | ὦ πόποι V ‖ **8** γὰρ π.] δὲ π. V ‖ **9** ὡc — πόποι] ὡc τὸ ὦ φίλοι A | ὦ θεοί *post* πόποι *transp.* C | δύο — ἐπιρρ. (10)] καὶ cχετλιαcτικὸν ἐπίρρημα V ‖ **13** cεcημ. — χατίζων (14) *in marg. add* C | μετάζε C; *item v. 14* ‖ **15** ἐκ τόπου b, εἰc τόπον C ‖ **16** τῷ *R Schneider*, τὸ C ‖ **23** τούτου] τοῦτο C ‖ **27** γενομένου VAb, γινομένου C ‖ **28** ἔξοθεν b, ἔξωθεν CVA | παρὰ Cτηc. *et* παρ' Ὁμ. *om* V | πρόcωθεν CV, πρόcοθεν A ‖ **29** ω̅] ο̅ V | ἔντοθεν CAb, ἔνδοθεν V ‖ **30** ἑκάcτ.] οἷον ἕκαθεν V

943,24 b Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Σχέσις ἐστὶν ἡ συνάφεια ἢ συγγένεια· ἢ γὰρ εἰς τόπον βουλόμενος ἀπελθεῖν σημαίνεις δι' ἐπιρρήματος, ἢ ἐκ τόπου ἐρχόμενος, ἢ ὡς ἐν τόπῳ διαιτώμενος. Καὶ δεῖ προσέχειν ταῖς σχέσεσιν, ἵνα διὰ τοῦ ὁμολογουμένου σύνταξιν προσαγάγῃς· εἰσὶ γὰρ αὐτῶν τινα, ἅπερ δέχεται καὶ δύο σχέσεις, ⟨καθὼς τὸ⟩ ἔνθα σημαίνει καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον.

945,31 b Γνωστέον δὲ ὅτι πολλάκις συνεμπτώσεις γίνονται, καὶ σημαίνουσι τὰ τοιαῦτα ἐπιρρήματα καὶ τόπον ἔσθ' ὅτε καὶ χρόνον.

946,5 b ⟨*Stephani.*⟩ — Τὰ δὲ εὐχῆς σημαντικά, οἷον εἴθε αἴθε ἄβαλε.] Τὸ εἴθε κοινόν, τὸ δὲ αἴθε Δώριον. Διαφέρει δὲ τὸ ὄφελε τοῦ εἴθε, ὅτι τὸ μὲν ὄφελε ἀπαρεμφάτοις συντάττεται ἐν τοῖς τρισὶ προσώποις, τὸ δὲ εἴθε εὐκτικοῖς, οἷον ⟨ex. gr. Η 157⟩ εἴθ' ὣς ἡβώοιμι. Τὸ δὲ
10 ἃ βάλε δύο μέρη λόγου ἐστὶν ἐκ παραλλήλου κείμενα· εὑρίσκεται δὲ καὶ βάλε λεγόμενον, βάλε δὴ βάλε κηρύλος εἴην, Ἀλκμάν ⟨fr. 26, 2 B[4]⟩· τινὲς δὲ ἓν μέρος λόγου καὶ ὑφ' ἓν ἀναγινώσκουσιν.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδους. — Τὸ ἃ *etc.* = Σ^d 60, 11—13.

946,1 b Εὐχῆς λέγονται σημαντικὰ ταῦτα, οὐχ ὅτι αὐτὰ λέγων τις εὐχὴν ποιεῖται, ἀλλ' ἐπειδὴ εὐχόμενοί τι γενέσθαι ἡμῖν τούτοις χρώμεθα τοῖς μορίοις. Τούτοις δὲ καὶ τὸ ὄφελες ⟨συγ⟩κατέταξάν τινες.

19 ⟨*Stephani.*⟩ — Τὰ δὲ σχετλιαστικά, οἷον παπαί ἰού φεῦ.] Σχετλιαστικὰ τὰ λυπηρά, σχέτλιος γὰρ ὁ ἄθλιος· τὰ οὖν λυπηρὰ καὶ ἄθλια [οἷον παπαί ἰού φεῦ]· σχετλιασμοῦ δὲ λέγεται ἐπιφθέγματα, ὅταν τις ὑπὸ μείζονος προσώπου κακὰ πεπονθὼς προσαναφωνῇ, ὡς τὸ ἀτταταῖ φεῦ ἰού καὶ τὸ ὀττοτοῖ καὶ τὸ ὤμοι.

Τὰ δὲ ἀρνήσεως ἢ ἀποφάσεως, οἷον οὔ οὐχί οὐδῆτα οὐδαμῶς.] — Διομήδους. — Ἡ ἀπόφασις *etc.* = Σ^d 60, 20—30.

947,20 b ⟨*Stephani.*⟩ — Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Τοῖς ἀρνήσεως ἐπιρρήμασι χρώμεθα, ὅταν ἑλκόμενοι ἐπὶ μαρτυρίᾳ παραιτώμεθα, ὡς ἐν τῷ οὐδῆτα· ἅμα γὰρ ἐν τῷ ἀποφαίνειν καὶ ἄρνησιν σημαίνει.

Τὰ δὲ συγκαταθέσεως, οἷον ναί ναίχι.] Πάλιν τούτοις κεχρή-

7—8 hab. et. A ‖ **10—15 hab. et. A**; ***videntur esse Stephani*** ‖ **18—20 hab. et. A** ‖ **31—280, 15 hab. et. A**

1 συνάφεια ἢ *Stadtmüller*, σαφήνεια ἡ C ‖ 5 καθὼς τὸ *add* b ‖ 9 αἴθε ἄβ. *om* A | ἀβάλε C ‖ 10 *poster*. δὲ *add* A ‖ 11 τὸ μὲν ὄφελε *add* A | ἐν] καὶ CA ‖ 13 ἃ βάλε] ἀβάλε CA | ἐκ π. κείμ. *om* A ‖ 15 καὶ *add* A ‖ 16 Διομ. *in marg.* C ‖ 20 ὄφελες *Uhlig*, ὀφειλες CA ‖ 22—25 *videntur esse Stephani* ‖ 23 δὲ] δεῖ εἰδέναι C ‖ 27 Διομ. *in marg.* C ‖ 28—281, 29 *videntur esse Stephani*

μεθα, ὅταν τι συμβουλεύουσι συγκατατιθώμεθα, οἷον ναί ναίχι· τοῦτο παραγωγὴν ὑπομένει διὰ τῆς χι συλλαβῆς, οὐδὲν πλέον σημαῖνον.

Τὰ δὲ ἀπαγορεύσεως, οἷον μή μηδῆτα μηδαμῶς.] Ἀπαγορευτικὰ ἐπιρρήματα πρὸς ἀνθρώπων λέγεται μὴ συγχωρούντων τοῖς ὑπηκόοις ποιεῖν τι. Τούτων τὸ μὲν μή πρωτότυπον, τὰ δὲ δοκεῖ παρῆχθαι ἀπὸ τοῦ μή, ⟨τὸ μὲν⟩ διὰ τοῦ δητα, τὸ δὲ ἕτερον καὶ διάφορα μέρη λόγου σημαῖνον, τὸ μηδαμῶς, τουτέστι κατὰ μηδένα τρόπον· τὸ γὰρ ἀμῶς ἀπό τινος τ⟨ρ⟩όπου, ὡς καὶ παρὰ τῷ ποιητῇ ⟨α 10⟩ τῶν ἀμόθεν 948b
γε, θεά, θύγατερ Διός· τῷ οὖν μηδαμῶς ἀπαγορεύει τίς τινι κατὰ μηδένα τρόπον ἐργάζεσθαί τι.

Τὰ δὲ παραβολῆς ἢ ὁμοιώσεως, οἷον ὡς ὥσπερ ἠΰ ἠΰτε καθά καθάπερ.] Παραβολὴ λέγεται ἡ τὰ ἐοικότα τοῖς ἐοικόσι παραβάλλουσα, τουτέστι παρατιθεμένη.

Τὰ δὲ θαυμαστικά, οἷον βαβαί·] ἡνίκα γὰρ θαυμάζομεν, τούτῳ κεχρήμεθα τῷ φθέγματι.

Τὰ δὲ εἰκασμοῦ, οἷον ἴσως τάχα τυχόν.] Τὸ μὴ εἰδέναι ἀκριβῶς εἰκασμόν φαμεν.

Τὰ δὲ τάξεως, οἷον ⟨ἑξῆς⟩ ἐφεξῆς χωρίς.] Ταῦτα τάξιν ἐπαγγέλλεται· τῷ γὰρ λέγειν ἡμᾶς «τὴν ἑξῆς ἡμέραν» καὶ «ἐφεξῆς προσῆλθον οἱ φίλοι» τάξιν δηλοῦμεν.

Τὰ δὲ ἀθροίσεως, οἷον ἄρδην ἅμα ἤλιθα.] — Στεφάνου. — Ἀθροίσεως τὰ συναγωγῆς ἐμφαντικά. — Τὰ δὲ διὰ τοῦ δην βαρύνεται, οἷον σποράδην χύδην· δεῖγμα τούτου· ῥυδόν ὀξύνεται διὰ τὸν τύπον, ῥύδην βαρύνεται, σταδόν στάδην καὶ συστάδην. — Τὸ δὲ ἅμα διαφέρει τοῦ ὁμοῦ· τὸ μὲν γὰρ ⟨ἅμα⟩ χρονικόν, τὸ δὲ ὁμοῦ τοπικόν, οἷον ⟨ex. gr. Α 592⟩ ἅμα δ' ἠελίῳ καταδύντι, ⟨καὶ⟩ «ἅμα ἤλθομεν», τουτέστιν ὑφ' ἕνα καιρόν· ⟨Ψ 84⟩ ἀλλ' ὁμοῦ, ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισι, καὶ «ὁμοῦ οἰκοῦμεν», οἷον ἐν ἑνὶ τόπῳ. — Τὸ ἤλιθα ἀπὸ τοῦ ἅλις ἄλιθα ⟨καὶ⟩ ἤλιθα· βαρύνεται δέ· τὰ γὰρ εἰς α βραχυκατάληκτα, μὴ διὰ τοῦ χθα ἢ δα, μὴ ὀνοματικὰ ὄντα, βαρύνονται, οἷον αἶψα μέσφα

5—10 hab. et. Σ^m ‖ 18—22 hab. et. A ‖ 22—281, 2 hab. et. Σ^m

1 συγκατατιθώμεθα b, συγκατατιθέμεθα CA ‖ 5 ποιεῖν τι A, ποιοῦσί τι C | τὰ V, τὸ CA | παρῆχθαι b, παρηνέχθαι CA, παρενηνέχθαι V ‖ 6 ἀπὸ τοῦ μή *add* V | τοῦ δὲ ἑτέρου CVA ‖ 7 σημαίνοντα μηδ. CVA | τουτ. *om* A ‖ 8 ἀμῶς CA, ἀμὸς V, ἀμώς N ‖ 9 θύγ. — τι (10) *om* A | τῷ V, τὸ C | τινὶ κατὰ V, τηνικαῦτα C ‖ 10 A *add*: χρὴ δὲ εἰδέναι, ὅτι τὰ τῆς ἀπαγορεύσεως ἐπιρρήματα εὐκτικοῖς συντάττεται ‖ 11—13 = Σ^d *61, 1—3* ‖ 11 ἢ — καθάπερ (12) *om* A | ἠΰ ἠΰτε] ἢν ἤντε (*et in marg. alia manu* ὡσεὶ) C ‖ 14 γὰρ *add* OA ‖ 14 seq = Σ^h *100, 19 seq* 18 οἷον — χωρίς *om* A ‖ 19 τῷ b, τὸ CA ‖ 20 A *add*: τὸ χωρίς ὀξύνεται καὶ σεσημείωται, ὡς τὸ ἀμφίς· ταῦτα γὰρ μόνα ἐν τοῖς δισυλλάβοις ὀξύνεται· μόλις· λέγεται δὲ καὶ χῶρι (*Callim. fr. 48*) καὶ βαρύνεται εὐθέως ‖ 21 οἷον — Στεφ. *om* A | *post* ἤλιθα *add* ἐκ τοῦ ἀλίζω, τὸ συναθροίζω C | Στεφ. *in marg.* C ‖ 24 *post* συστάδην *add* αἴρω ἄρδην V ‖ 26 καὶ — καιρόν (27) *om* V ‖ 27 ἐτράφην περ ἐν CV ‖ 28 δόμ. *om* C ‖ 29 ἤλιθα *om* C ‖ 30 ὄντα βαρύνονται V, τοιαῦτα ἐστὶν C

τάχα· τὸ διχθά καὶ τὰ ὅμοια καὶ τὸ ἀναφανδά ὑπεστειλάμεθα· τὸ καλά ὀνοματικόν, τὸ δηθά τῷ δήν ὁμόσημον.

949b Τὰ δὲ παρακελεύσεως, οἷον εἶα ἄγε φέρε.] Καὶ τὸ εἶεν δηλοῖ τὸ πορεύου· ἔω γὰρ τὸ περιπατῶ, ἐξ οὗ καὶ ὁδός· παρακελευστικὸν καὶ παραγραφικὸν λόγον δηλοῖ· ἔστι δὲ δύο μέρη λόγου, εἶ κέν, καὶ συγκοπῇ τοῦ $\bar{κ}$ ὡς ἐφ' ἑνὸς εἶἕν· καὶ δύο τόνοι· πεπλανημένως δὲ ⟨μόνον τὸ $\overline{ει}$⟩ περισπᾶται. Καὶ τὸ φέρε δὲ ὁμοίως ἐκ ῥήματος.

Τὰ δὲ συγκρίσεως, οἷον μᾶλλον ἧττον.] Διὰ τούτων τὰς συγκρίσεις ποιούμεθα, οἷον «καὶ οὗτος καὶ οὗτος ταχύς, ἀλλ' οὗτος μᾶλλον, οὗτος δὲ ἧττον ταχύς».

Τὰ δὲ ἐρωτήσεως, οἷον πόθεν ποῦ πηνίκα πῶς.] Ἐκ τοῦ πῶς ζητεῖται τρόπος, τοῦ πηνίκα χρόνος, τοῦ πόθεν τόπος καὶ τοῦ ποῦ καὶ πόσε· ἡ δὲ ἐρώτησις ἐν πᾶσι τοῖς μέρεσι τοῦ λόγου. Πᾶν δὲ ἐρωτηματικὸν ἀπὸ τοῦ $\bar{π}$ ἄρχεται, πλὴν τοῦ τίς.

Τὰ δὲ ἐπιτάσεως, οἷον λίαν σφόδρα πάνυ ἄγαν μάλιστα.] Ἐπιτάσεώς ἐστιν οἷς ἐπιτείνοντες τὰ πράγματα χρώμεθα· ταῦτα δὲ ἐνείληπται τοῖς ὑπερθετικοῖς τὴν κατὰ πάντων ἐπίτασιν ἔχουσιν, οἷον ταχύτατος — ἄγαν ταχύς. — Τὰ δὲ εἰς $\overline{αν}$ βαρύνεται, λίαν ἄγαν πέραν ⟨πάμπαν, τάλαν⟩ ὀνοματικόν, εὔάν βακχικόν· τὸ ὅτ' ἄν δύο μέρη λόγου· τὸ δοάν παρ' Ἀλκμᾶνι ⟨fr. 135 B[4]⟩ δωρικῶς ὀξύνεται γεγονὸς οὕτως, δήν δάν ⟨καὶ κατὰ πλεονασμὸν⟩ δοάν· τὸ ὦτᾶν δύο μέρη λόγου ἐστὶ καὶ [κατὰ πλεονασμὸν] ἀντὶ τῆς ἐπὶ τέλους ὀξείας περισπωμένην ἔσχε· γέγονε δὲ οὕτως, ἔτης ὁ φίλος, ἐτάν, ὦ ἐτάν, καὶ κατὰ κρᾶσιν ὦτᾶν.

Τὰ δὲ συλλήψεως, οἷον ἅμα ὁμοῦ ἄμυδις.] Τὸ ἄμυδις Αἰολικόν ἐστιν, ἅμα ἄμαδις καὶ ἄμυδις, κατὰ τροπήν, ὡς σάρκες σύρκες, καὶ μεταβολῇ πνεύματος.

Τὰ δὲ ἀπωμοτικά, οἷον μά.] Ταῦτα ἐπὶ τῶν ἀπομνυμένων μὴ ποιεῖν τι ἀπωμοτικὰ ὀνομάζονται· τὸ δὲ μά εὑρίσκεται καὶ ἐπὶ συγκαταθέσεως.

3—26 hab. et. A ‖ 4—7 (περισπ.) **hab. et. $Σ^m$ ‖ 11—14 hab. et. $Σ^m$ ‖ 24—26 hab. et. $Σ^m$**

3 οἷον — φέρε *om* A | εἶα C | εἶεν C, εἶἕν A ‖ **5** παραγρ. CVA, περιγρ. b | εἶ κέν *Uhlig,* εἶκεν b, εἴηεν C, εἴη ἐν̄ V, ἡ $\overline{εν}$ N, εἴη ἓν A ‖ **6** $\bar{κ}$] $\bar{η}$ CVAb ‖ **7** μ. τὸ $\overline{ει}$ *add Uhlig* | ὁμοίως] ὅμοιον CA | A *add*: εὕρηται τὰ τοιαῦτα ἐπιρρήματα εἰς πρόσωπα κινούμενα προστακτικά. Τὰ εἰς $\overline{σε}$ (*l.* $\bar{ε}$) λήγοντα μὴ ἔχοντα τὸ $\bar{τ}$ βαρύνεται, τῆλε ἐκεῖσε ἄγε· τὸ $\bar{τ}$ δὲ παρῃτησάμην διὰ τὸ θρεττέ· ὀξύνεται δὲ τὸ ἠέ αἰέ τοτέ. Τὸ δὲ $\bar{ε}$ ἐν (*l.* εἶεν) συγκατάθεσιν δηλοῖ τῶν εἰρημένων καὶ συναφὴν πρὸς τὰ μέλλοντα ῥηθήσεσθαι· εἰσὶ δὲ οἵ φασιν αὐτὸ εἶναι ἐκ τοῦ εἶα (*l.* εἶα) κατὰ μετάθεσιν τοῦ πνεύματος, οὕτω μετατυπωθείσης τῆς φωνῆς, ὡς καὶ ἐπὶ τοῦ ἕνεκα καὶ ἕνεκεν, ἔπειτα ἔπειτεν· οἱ δὲ ἐκ τοῦ εἴη ἕν ‖ **8—10** = $Σ^h$ *101, 13—15* ‖ **11** οἷον — πῶς *om* A ‖ **12** τόπος VAb, τὸ πῶς C | τοῦ ποῦ VA, τὸ ποῦ C ‖ **13** πόσε] πότε CVA ‖ **14** A *add*: τὸ πόθεν βαρύνεται ‖ **15** οἷον — χρώμεθα (16)] ἐπιτάσεως καὶ παρατάσεως ταὐτόν ἐστιν, ἐπεὶ δι' αὐτῶν ἐπιτείνομεν καὶ αὐξάνομεν τὰ πράγματα A ‖ **16** πράγματα *Stadtmüller,* πάντα C ‖ **19** τάλαν *add Uhlig* | εὔάν *Uhlig,* εὐὰν C, εὖ ἂν A

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ἀπωμοτικόν, ᾧ τις χρήσαιτο ἀρνούμε-
νος, «μὰ τὸν Δία, οὐκ ἐποίησα»· ἔστι δὲ εὑρεῖν αὐτὰ καὶ ἐπὶ ἐναντίας 950b
σημασίας, ὥστε δεῖ ὀμοτικὰ μόνον αὐτὰ καλεῖν.

⟨*Stephani.*⟩ — Τὰ δὲ κατωμοτικά, οἷον νή.] Ταῦτα ἐπὶ τῶν 13
συγκατατιθεμένων ποιεῖν τι.

Τὰ δὲ βεβαιώσεως, οἷον δηλαδή.] Βεβαιῶν γάρ τις πρᾶγμα
τούτῳ κέχρηται τῷ ἐπιρρήματι, οἷον «ποῖ βαδίζεις; δηλαδὴ εἴσω», ἀντὶ
τοῦ «φανερὸν καὶ βέβαιον ὅτι ἔσω».

Τὰ δὲ θετικά, οἷον ἀναγνωστέον γραπτέον πλευστέον.] 24
Θεῖναί ἐστι τὸ ποιῆσαι, θετικὰ οὖν τὰ πρακτικά· θετικὸν οὖν ἐστιν ὃ
θέσιν πράγματος σημαίνει· ἐὰν γὰρ εἴπω «πλευστέον», τέθεικα καὶ ὡρι-
σάμην ὅτι δεῖ πλεῦσαι. Ταῦτα δὲ οὐκ ἂν εἴη κατὰ πλεονασμὸν τοῦ ε̄·
ὁ γὰρ τόνος ἐλέγχει, βαρὺς ὤν· ἀλλ' ἔστιν ἀρσενικὰ τυπωθέντα διὰ τοῦ
ε̄ο̄ς̄, ὧν οὐδέτερα ταῦτα, καὶ ἐξ οὐδετέρων ἐπιρρήματα ὀνοματικά· οὐδὲ 30
τὸ αὐτὸ δηλούμενον ἔχουσι· ποιητός γάρ ἐστιν ὁ πεποιημένος, ποιητέος
δὲ ὁ ὀφείλων ποιηθῆναι· ἰδοὺ γοῦν ἐτός ἐτεός πλεονασμός, καὶ ἡ ση-
μασία γὰρ ἔμεινε καὶ ὁ τόνος.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Θετικὰ εἴρηται παρὰ τὸ θεῖναι, θεῖναι 951b
δὲ τὸ ποιῆσαι· ἡνίκα οὖν ἑαυτοῖς ὁριζόμεθα ποιῆσαί τι, τούτοις κεχρή-
μεθα, ὡς ὅτε ἀναχωρεῖν θέλομεν, λέγομεν «ἀναχωρητέον» ἀντὶ τοῦ
«ἀναχωρῆσαι ὀφείλομεν»· «ζητητέον» ὁμοίως.

⟨*Stephani.*⟩ — Τὰ δὲ θειασμοῦ, οἷον εὐοῖ εὐάν.] Τὸ εὐοῖ 19
εὐάν ἀλόγως δασεῖαν ἔχουσιν ἐν τῷ τέλει ἁπλᾶ ὄντα, εἰ μή τις εἴποι
τὸ σφοδρὸν πνεῦμα τοῖς βακχιάζουσιν ἁρμόζειν.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδους. — Τὸ ἐνθεοῦσθαι *etc.*
= Σ^d 61, 6—8.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Πορφυρίου. — Θειάζοντες γὰρ τῷ 13
Διονύσῳ, τουτέστιν ἐξιλεούμενοι, ταῦτα ἐπᾴδουσιν. Ταῦτα οὖν τοῦ
Διονύσου ἐστίν, ἐπειδὴ καὶ αὐτὸς μανίας ἐστὶ ποιητής· κάτοχοι γάρ

6—17 hab. et. A ‖ **6—8 hab. et.** $\Sigma^m = \Sigma^h$ *101, 29—31* ‖ **18—21 hab. et.** Σ^m ‖ **22—24 hab. et.** Σ^m; *videntur esse Stephani* ‖ **22—283, 2 hab. et.** A

1—3 *Heliodoro tribuit et corrupta iudicat Matthias, Stud. Lips. VI, 8 et adn. 2* ‖ **4—17** *videntur esse Stephani* ‖ **6** τις VAO, τι C ‖ **7** ποῖ AO, πῇ CV ‖ **9** οἷον — πλευστ. *om* A ‖ **10** θετικὸν — ὃ] ἃ A ‖ **12** ὅτι A, ὃ C | πλεῦσαι] ποιῆσαι CA ‖ **13** ὁ — ὤν] ἀπὸ τῶν εἰς τὸ ς̄ (*l.* ο̄ς̄) ῥηματικῶν, ὡς τὸ ποιητός ποιητέος A ‖ **14** ἐπιρρήματα Ab, ἐπιρρημάτων C ‖ **17** ἔμεινε *add* A ‖ **19** *post* ποιῆσαι *add* V: ὡς καὶ παρὰ τοῖς παλαιοῖς | ἑαυτοῖς V, αὐτοῖς C ‖ **22** οἷον — εὐάν *om* A | εὖ οἷ εὖ ἂν (*in lemm.*) C | εὖ οἷ. εὖ αν C, εὐοῖ εὐάν A ‖ **23** εἴποι A, εἴπῃ C ‖ **25** Εἰς — Διομ. *om* A | Διομ. *in marg.* C ‖ **27** Εἰς — ποιητής (29) *om* A

τινες γινόμενοι καὶ θειάζοντες τῷ Διονύσῳ, τουτέστιν ἐμφορούμενοι ὑπὸ ⟨σφοδροῦ⟩ τινος πνεύματος, ταῦτα ἐπιφθέγγονται.

§ 20 (25b).

Περὶ συνδέσμου.

953,23 b ⟨*Stephani.*⟩ — Εὐλόγως τελευταῖος ὁ σύνδεσμος τέτακται· δεῖ γὰρ προευτρεπίσθαι τὰ συνδεθησόμενα. Σύνδεσμος ⟨δὲ⟩ εἴρηται καὶ οὐ δεσμός, ἐπεὶ δεσμὸς καὶ ἐφ' ἑνός, σύνδεσμος δὲ ἐπὶ δύο καὶ πλειόνων.

954,12 b Παρέπεται δὲ τῷ συνδέσμῳ σχῆμα, ἁπλοῦν εἴ, σύνθετον ἐπεί, ἀπὸ τῆς ἐπί καὶ τοῦ εἴ μονήρης σύνθεσις· οὐδέποτε γὰρ πρόθεσις συνδέσμῳ συντίθεται· καὶ τὸ δηλούμενον δείκνυσιν ὅτι σύνθετον· ὡς γὰρ ὁ εἴ τάξιν ἀπαιτεῖ, οὕτω καὶ ὁ ἐπεί. Ὁ ἐάν σύνθετος ἀπὸ τοῦ εἴ καὶ ἄν, καὶ ἐν ὑπερθέσει χρόνου ἐάν· τοῦτο διαλύων ποιητικῷ νόμῳ φησὶν ὁ Ὅμηρος ⟨Γ 288⟩ εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος.

953,26 b Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ἀναγκαίως μετὰ τὰ ἄλλα μέρη τοῦ λόγου τέτακται [καὶ] ὁ σύνδεσμος· ὕλης ⟨γὰρ⟩ μὴ ὑποκειμένης πῶς ἂν εἴη σύνδεσμος; Καλῶς δὲ οὐκ ἐκλήθη δεσμός· δεσμὸς γὰρ ⟨καὶ⟩ ἓν σῶμά τι δεσμεῖ, ὁ μέντοι σύνδεσμος διαφόρων λέξεών ἐστι συνδετικὸς καὶ οὐ 954 b μιᾶς, τῆς φράσεως γὰρ τὸ χαῦνον συνδεῖ· ἐὰν γὰρ εἴπωμεν «Βοιωτῶν Πηνέλεως Λήϊτος ἦρχον» ⟨Β 494⟩, χαῦνός ἐστιν ὁ λόγος, εἰ δὲ προσθῶμεν τὸν ⟨καί⟩ σύνδεσμον, οὐκέτι.

953,32 b Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ἄλλο ἐστὶ δεσμὸς καὶ ἄλλο σύνδεσμος· δεσμὸς μὲν γάρ ἐστι καὶ ὁ ἕν τι πρᾶγμα δεσμεύων, ὅθεν ἐπὶ τοῦ προ- 954,32 b κειμένου συνδέσμου οὐκ ἐνδέχεται εὑρεῖν μίαν μόνην λέξιν· οὐ γὰρ λέγομεν «ἐποίησα καί», «σιωπῶ μέν», ἀλλ' ἐπιφέρομεν καὶ ἕτερόν τι πάντως. Τελευταῖος δὲ ὁ σύνδεσμος, δεῖ γὰρ πρὸ τῶν δεσμῶν τὰ δεσμευόμενα προευτρεπίζεσθαι.

952,20 b ⟨*Stephani.*⟩ — Σύνδεσμός ἐστι λέξις συνδέουσα διάνοιαν μετὰ τάξεως καὶ τὸ τῆς ἑρμηνείας κεχηνὸς δηλοῦσα.] Δεῖ προστιθέναι τῷ ὅρῳ, ἐσφαλμένῳ ὄντι καὶ ἐλλιπεῖ, ἵν' ᾖ οὕτως· «σύνδεσμός ἐστι λέξις ἄκλιτος συνδέουσα διάνοιαν καὶ συσσημαίνουσα τῇ διανοίᾳ μετὰ τάξεως ἢ δυνάμεως»· καὶ γὰρ συσσημαίνει, τάξιν ἢ δύναμιν παριστάνουσα, τάξιν μέν, «εἰ περιπατῶ κινοῦμαι», ⟨δύναμιν δέ, «κινοῦμαι⟩ καὶ περιπατῶ»· εἰπὼν γὰρ τὸ καί τὸ πρᾶγμα ὑπέθηκα εἶναι· δύναμις γὰρ ἡ ὕπαρξις· ἐνταῦθα τάξεως οὐ χρεία· ἐν δὲ τῷ προκειμένῳ λόγῳ ὕπαρξις οὐκ ἦν,

7—12 hab. et. Σ^mA

1 τουτ. — πνεύμ. (2) *om* A ‖ 2 ἐπιφθ. A, φθέγγονται C ‖ 4—12 *videntur esse Stephani* ‖ 7 ἀπὸ VA, καὶ ἀπὸ C ‖ 11 ἐν ὑπερθ. χρόνου CA, ἐκθλίψει τοῦ ῑ V ‖ 14 καὶ *del. Egenolff Ann. Ph. 1879, 697* | ὕλης *Stadtmüller*, συλλαβῆς C ‖ 15 ἓν σώματι C ‖ 26—284, 3 *videntur esse Stephani* ‖ 30 ἢ (*prius*)] καὶ C ‖ 31 δύναμιν δέ *add* b

ἐπεὶ διςταγμός· τάξις δὲ καὶ θέςις ἐν τούτοις, «ἐπεὶ περιπατῶ κινοῦμαι». Συςςημαίνει δὲ οὕτως· «γράφω» ὁριςμός, «ἐὰν γράφω» διςταγμός, «ἵνα γράφω» ἀποτελεςμός, «ὅτι γράφω» αἰτιολογία, «καὶ γράφω» βεβαίωςις.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδους. — Cύνδεςμος *etc.* = Σ[d] 61, 10—16.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ὁ ςύνδεςμος τῶν ςυςςημαινουςῶν ἐςτι 952,31b λέξεων· οὐ γὰρ καθ' ἑαυτόν τι ςημαίνει, ςυνδεῖ δὲ διάνοιαν κεχηνυῖαν· διὰ τοῦτο γὰρ καὶ ςύνδεςμος ὠνομάςθη· καθ' ἑαυτὸν γὰρ ὁ ςύνδεςμος οὐδὲν ςημαίνει, ςυνταςςόμενος δὲ τὰ ἐλλείποντα ἢ κεχηνότα ἢ διαλελυμένα ςφίγγει.

⟨*Stephani.*⟩ — Τῶν δὲ ςυνδέςμων οἱ μέν εἰςι ςυμπλεκτικοί, 954,30b οἱ δὲ διαζευκτικοί, οἱ δὲ ςυναπτικοί, ⟨οἱ δὲ παραςυναπτικοί⟩, οἱ δὲ αἰτιολογικοί, οἱ δὲ ἀπορηματικοί, οἱ δὲ ςυλλογιςτικοί, οἱ δὲ παραπληρωματικοί.] Τρόποι τῶν ςυνδέςμων διάφοροι, ὀκτὼ δὲ τὸν ἀριθμόν· ἐπινοῆςαι γάρ ἐςτι τινὰς μὲν ἀπαιτοῦντας ἐπιφορὰν φράςεως, τινὰς δὲ πρὸς προειρημένην φράςιν παραλαμβανομένους· ὁ γὰρ λέγων «πρῶτον μὲν γράφωμεν» ἀπαιτεῖ τὸ ἐπαχθηςόμενον, ὁ δὲ λέγων «ἠπαιδεύτηςας γάρ» ἢ «ἡμέρα γάρ ἐςτι» τὴν ςύνδεςιν ποιεῖται πρὸς προειρημένην φράςιν. Καὶ ςυμπλεκτικοὶ μὲν διὰ τὸ ςυμπλέκειν 961,6b τὰς διανοίας ἐπαλλήλους, διαζευκτικοὶ δὲ διὰ τὸ διαζευγνύναι. Δοκεῖ δέ πως ἐναντίον εἶναι τὸ διαζευγνύναι τῷ ςυνδεςμεῖν· τὸ γὰρ ςυμπλέκειν καὶ ⟨ςυν⟩δεςμεῖν οὐκ ἀπῳδόν, τὸ δὲ ςυνδεςμεῖν καὶ διαζευγνύειν ἀπῳδόν. Φαμὲν οὖν, ὡς ςυνδέουςι μὲν τὴν φράςιν, διαζευγνύουςι δὲ τὸ δηλούμενον, «ἤτοι κάθημαι ἢ ἕςτηκα»· εἰςὶ δὲ καὶ ἄλλα τοιαῦτα, μάχομαι ὀφθαλμιῶ, καὶ ἐν ἀριθμῷ δέ, οἷον χορός Ἀθῆναι, πτῶςις ὀρθή. Διαζευγνύουςι μὲν οὖν τὰς διανοίας, τὸν δὲ λόγον ςυνδέουςιν· ἐὰν γὰρ εἴπω «ἤτοι ζῇ ἢ τέθνηκεν», ἓν μέν τι τῶν νοημάτων τίθημι, ἓν δὲ ἀναιρῶ, καὶ οὕτω τὴν διάζευξιν ποιοῦμαι, ὁ μέντοι λόγος ςυνδεῖται· οὐδὲ γὰρ ἐὰν εἴπω «ἤτοι ζῇ», τέλειόν ἐςτι τὸ «ζῇ» νόημα, ἀλλὰ δεῖται τῆς ἐπαγωγῆς τοῦ «ἢ τέθνηκεν». Οἱ ςυναπτικοὶ δὲ τῶν παραςυναπτι- 966,8b κῶν διαφέρουςιν οὕτως, ὅτι ὁ μὲν ςυναπτικὸς μόνην ςυνάπτει διάνοιαν, μὴ πάντως τοῦ πράγματος ὑφεςτῶτος· ἐὰν γὰρ εἴπω «εἴπερ ὁ ἥλιος ὑπὲρ γῆς», ἄδηλον εἰ ὑπὲρ γῆς ἐςτιν· ὁ δὲ παραςυναπτικὸς πρὸς τῷ

6—10 hab. et. A ‖ 14—286, 4 hab. et. A; *videntur esse Stephani*

7 *supra* κεχηνυῖαν *alia manu habet* C: ἤγουν χένουςαν (*sic*) ῥέπουςαν ‖ 13 αἰτιολ.] ἀπολογικοί C ‖ 16 παραλαμβανομένη C ‖ 17 ἐπαχθηςόμενον CA, ἐπενεχθηςόμενον b ‖ 19 ςυμπλεκοὶ C ‖ 20 τὸ ζευγνύναι C ‖ 21 ἐναντίον δὲ εἶναι C | ςυνδεςμεῖν b, ςυμπλέκειν CA ‖ 26 ςυνδέουςιν A, ςυνδεῖ C ‖ 27 μέν τι C, μέν τοι A ‖ 31 μόνην C, μόνον A ‖ 32 ὑφεςτῶτος Ab, ἐφεςτῶτος C | γὰρ Ab, *om* C | ὁ A, *om* C; *item p. 285, 2* ‖ 33 παραςυναπτ. Ab, ςυναπτ. C | τῷ ἀκ. b, τὸ ἀκ. C, τὴν ἐνάκολουθ÷ A

ἀκολουθίαν σημαίνειν καὶ συνάπτειν πρὸς ἕτερον νόημα καὶ ὑφίστησι τὸ πρᾶγμα, οἷον «ἐπείπερ ὁ ἥλιος ὑπὲρ γῆς ἐστιν, ἡμέρα ἐστίν».

956,4b Συμπλεκτικοὶ οὖν εἰσιν ὅσοι τὴν ἑρμηνείαν ἐπ' ἄπειρον ἐκφερομένην συνδέουσιν· εἰσὶ δὲ οἵδε, μέν δέ τέ καί ἀλλά ἠμέν ἠδέ αὐτάρ ἀτάρ ἤτοι κέν ἄν.] Τῶν συμπλεκτικῶν αἱ φωναὶ πλείους, τὰ δηλούμενα δὲ ἐλάττονα· ἰδοὺ γὰρ ὁ δέ, ὁ ἀλλά, ὁ αὐτάρ καὶ ἀτάρ ⟨ἰσοδυναμοῦσιν, ὁ δὲ τέ⟩ καὶ ἠμέν καὶ ἠδέ καὶ ἰδέ ἀντὶ τοῦ καί παραλαμβάνονται. Πολλῶν δὲ πραγμάτων συνδετικοί εἰσιν οὗτοι οἱ σύνδεσμοι, μᾶλλον δὲ ἀπείρων, «καὶ θεὸς ἔστι καὶ δίκη καὶ νόμοι καὶ βασιλεὺς καὶ σωφροσύνη καὶ πολιτεία». Τούτοις δέ, ὡς προέφθημεν εἰπόντες, δυνάμεως λόγος, τάξεως δὲ οὐδείς· διὸ τὰ παρὰ τῷ ποιητῇ ⟨μ 134⟩ τὰς μὲν ἄρα θρέψασα τεκοῦσά ⟨τε⟩ πότνια μήτηρ καὶ ⟨π 41⟩ αὐτὰρ ὅ ⟨γ'⟩ εἴσω ἴεν καὶ ὑπέρβη λάϊνον οὐδόν οὐ χρὴ 957b καθ' ὑπερβατὸν εἰρῆσθαι νομίζειν. Γίνεται δὲ ἡ συμπλοκὴ ἐν δυναμέναις συνυπάρχειν φωναῖς, ἐν δὲ μαχομέναις ἀδύνατον γενέσθαι συμπλοκήν, οἷον «κάθημαι καὶ ἕστηκα» οὐδεὶς ἂν φαίη· ὅθεν τὸ ⟨Ο 634⟩ πρώτῃσι καὶ ὑστατίῃσι βόεσσι καὶ τὸ ⟨Φ 339⟩ μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ τὸν καί νομιστέον ἔχειν ἀντὶ τοῦ ἤ διαζευκτικοῦ· ἐναντίον γὰρ πρῶτον ὑστάτῳ καὶ προσηνεῖ ⟨ἔπει⟩ ἀπειλή.

959,17b Τινὲς ἐνόμισαν τὸν ἠμέν καὶ ἠδέ καὶ ἰδέ κατὰ πλεονασμὸν τοῦ η̄ καὶ τοῦ ῑ γενέσθαι ἀπὸ τοῦ μέν καὶ δέ, καί φασιν, ὡς τὸ μύει ἠμύει, οὕτως τὸ μέν ἠμέν καὶ τὸ δέ ἠδέ, καὶ ὡς τὸ αὔω ἰαύω, οὕτως ⟨τὸ⟩ δέ ἰδέ· καὶ εὐλόγως· ἐπεὶ γὰρ ἰσοδυναμοῦσι τῷ καί, οὗτος δέ ἐστιν ἀρκτικός, οὐκ ἐδύναντο δὲ αὐτοὶ ἀρκτικοὶ εἶναι, προσέλαβον ἄνωθεν ἑαυτῶν συλλαβήν. Πρὸς τούτους φαμὲν ἁπλοῦν λόγον· τὰ πάθη τὸ δηλούμενον οὐκ ἀλλοιοῦσιν, οἷον μύει ἠμύει ταὐτόν, αὔω ἰαύω· τοῦτο δὲ ⟨γίνεσθαι⟩ δύναται καὶ παρὰ τὸ ἶον ἰαύω, τὸ μονάζω δηλούμενον, καὶ νῦν γάρ φησιν ἡσυχάζειν τὸν καθεύδοντα ὁ βίος· ⟨καὶ⟩ ὁ ⟨μὲν⟩ δέ σύνδεσμος μεταβατικός ἐστιν, οἷον «ἐγὼ μὲν ἀνέγνων, οὗτος δὲ διελέξατο», καὶ ἀναιρετικός, οἷον «σὺ μὲν παρεγένου, ἐγὼ δὲ οὔ»· ὁ ⟨δὲ⟩ ἰδέ ἀθροιστικός ἐστιν, οὐ μεταβατικὸς ⟨οὐδὲ ἀναιρετικός⟩· οὐκ ἄρα πλεονασμός. Οὐδέποτε δὲ γίνεται πλεονασμὸς μείζων τῆς δεχομένης τὸν πλεονασμὸν λέξεως· πῶς οὖν μέν ἠμέν,

---

5—10 hab. et. Σ^m ‖ 14—16 (φαίη) hab. et. Σ^m ‖ 20—286, 4 hab. et. Σ^m

1 σημαίνει A | συνάπτειν b, συνάπτει CA ‖ **6** ὁ αὐτάρ *add* A ‖ **8** Πολλῶν — εἰσιν CA, καὶ δηλωτικοὶ πολλῶν πραγμάτων εἰσιν V | οἱ N, *om* CVA ‖ **10** προέφθ. εἰπ.] *vide p. 283, 32 seq* ‖ **16** κάθημαι VA, καὶ κάθημαι C | οὐδεὶς VA, καὶ οὐδεὶς C ‖ **19** ὑστάτῳ *Stadtmüller*, ὑστέρῳ C, ὕστερων A | προσηνεῖ b, προήνει *ex* προείνη *factum* C, προσηνύει A | ἔπει *add Stadtmüller* ‖ **22** καὶ ὡς τὸ ἂν̄ ἴαν̄ οὐδε̄ ἰδὲ A | ἰδέ V, καὶ ἰδὲ C ‖ **23** τῷ V, τὸ CA ‖ **24** δὲ A, *om* CV | ἄν. ἑ. VA, ἑ. ἄν. C ‖ **25** λόγον VA, *om* C ‖ **26** τοῦτο — βίος (**28**) *om* V ‖ **27** τὸν ἶον ἰαύω C, τὸν ἶον ἰάνω A | τοῦ μ. δηλουμένου CA | καὶ νῦν — βίος (**28**) *om* A ‖ **29** οὗτος V, αὐτὸς CA ‖ **31** οὐδὲ ἀναιρ. *add Stadtmüller* | Οὐδ. — πλεονασμὸς *om* A | δὲ] γὰρ V, *om* CN

δέ ἠδέ; Ὁ μέν πρὸς τὸν δέ ἐν μεταβάσει τίθεται, οἷον «ἐγὼ μὲν ἔγραψα, 960 b
cὺ δὲ ἀνέγνωc», ὁ δὲ ἠμέν πρὸς τὸν ἠδέ ἐν cυμπλοκῇ. — Ὁ ἤτοι 18
παρ' Ὁμήρῳ μόνῳ cυμπλεκτικός, παρὰ δὲ τοῖc πεζοῖc καὶ ⟨ἐν⟩ τῇ cυνηθείᾳ
διαζευκτικός· διὸ καὶ βαρύνεται, τῶν cυμπλεκτικῶν πάντων ὀξυνομένων.

Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. Τῶν cυνδέcμων οἱ μὲν ὕπαρξιν δηλοῦcιν, 954,27 b
οἱ δὲ τάξιν, οἱ δὲ ἀμφότερα· ὕπαρξιν μὲν ὅcοι cυμπλεκτικοί· ἐὰν γὰρ
εἴπω «καὶ θεὸc ἔcτι καὶ ἡμέρα καὶ δίκη», πάντα ἐνυπόcτατα· τάξιν δὲ
ὅcοι cυναπτικοί· οἷον ἐὰν εἴπω «εἰ περιπατῶ κινοῦμαι», ἀκολουθίαν μὲν 955 b
ἔχει ὁ λόγοc, οὐ πάντωc δὲ καὶ ἐνυπόcτατόc ἐcτι· καὶ καθήμενοc γὰρ
τοῦτό φημι· εἰ μέντοι ἀναcτρέφει, καὶ τὴν ἀλήθειαν ἀπολέcει· τὸ γὰρ
«ὅταν κινῶμαι περιπατῶ» οὐκ ἔcτιν ἀληθέc, δυνατὸν γὰρ καὶ καθήμενόν
τινα κινεῖcθαι. Οἱ μέντοι παραcυναπτικοὶ καὶ ⟨τὴν⟩ ὕπαρξιν ἔχουcι
τῶν cυμπλεκτικῶν καὶ τὴν τάξιν τῶν cυναπτικῶν· τὸ γὰρ «ἐπεὶ περιπατῶ κινοῦμαι» καὶ ἐνυπάρχον ἐcτὶ καὶ τὴν τάξιν ἔχει, καθὸ καὶ αὐτὸ
ἀναcτρεφόμενον οὐκέτι ἀληθεύει.

Ἔξεcτι δὲ διὰ τούτων εἰc ἀπέραντον προάγειν τὸν λόγον, οἷον 32
«ἐγὼ μὲν τόδε ἐποίηcα, cὺ δὲ τόδε, ὁ δεῖνα δὲ τόδε»· καὶ ὡc ἄπειρα 956 b
cυνδέουcιν, εἰcὶ μὲν τὰc φωνὰc πολλοί, τὰc δὲ δυνάμειc ὀλίγοι, μέν δέ
τέ καί· οἱ γὰρ ἄλλοι πέντε τούτοιc ἰcοδυναμοῦcιν.

Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. — Διομήδουc. — Ὀρθῶc τιc cκοπῶν *etc.* = Σ^{d} 61, 20—63, 16.

Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. — Ἀπαριθμηcάμενοc ὁ τεχνικὸc τὰc ποιό- 955,11 b
τηταc τοῦ cυνδέcμου, περὶ τὴν διδαcκαλίαν τὴν καθ' ἕκαcτον γίνεται.
Καὶ ὄντωc οἱ cυμπλεκτικοὶ cύνδεcμοι λέγονται· εἰ γὰρ ἔργον τοῦ cυνδέcμου τὸ cυνδεῖν, ταὐτὸν δὲ τῷ cυνδεcμεῖν τὸ cυμπλέκειν, γνηcίωc
καλοῖντο ἂν ⟨cύνδεcμοι οἱ⟩ cυμπλεκτικοί. Ἐκείνουc δὲ λέγει cυμπλεκτικούc, «ὅcοι τὴν ἑρμηνείαν ἐπ' ἄπειρον ἐκφερομένην cυνδέουcιν»· ἑρμηνεία δὲ λέγεται ὁ κατὰ τὴν ἐξήγηcιν κατάλληλοc λόγοc· τὸ δὲ «ἐπ' ἄπει-
ρον» ἀντὶ τοῦ ἔcτ' ἂν ἐκτεταμένοc ᾖ ὁ τῆc ἐξηγήcεωc λόγοc· «cυνδέου- 20
cιν» ἐκ μεταφορᾶc τῶν ἡμετέρων μελῶν ἢ τῶν νεῶν· ὃν τρόπον γὰρ τὰ ἡμέτερα cώματα κατὰ τὰc cυμπλοκὰc cυνδεcμεύεται τῇ ἁρμονίᾳ καὶ οὐ cυγχωρεῖ χαυνοῦcθαι, καὶ πάλιν ἐπὶ τῶν νεῶν ἔcτ' ἄν τιc ὕλη πίττηc [καὶ] τοῦ δεcμοῦ ἐν μέcῳ τῶν ἁρμονιῶν ἐπικειμένη οὐκ ἐᾷ διαχαίνειν, οὕτω καὶ ἐν τῇ cυντάξει τοῦ λόγου ἐμπαραλαμβανόμενοι οἱ cύνδεcμοι οὐκ ἐῶcι χαῦνον καὶ ἀνώμαλον φέρεcθαι τὴν προφοράν. Καὶ τόνον ἔχουcιν οὗτοι ἕνα τὸν ὀξύν, χωρὶc μόνου τοῦ ἤτοι, ὃc καὶ παρὰ

24—26 hab. et. Σ^{m}

3 μόνῳ V, μόνον CA ‖ **6** ἀμφότερα] ἀναφοράν C ‖ **12** τὴν *add* b ‖ **16** δὲ] γὰρ C ‖ **18** cυνδέουcιν *Stadtmüller,* εἰcὶν C | εἰcὶ *Lehrs,* ἴcαcι C ‖ **25** δὲ b, γὰρ CV ‖ **26** cύνδ. οἱ b, *om* CV ‖ **29** ἐκτετ. C, *om* b ‖ **31** cυμπλοκὰc *Stadtmüller,* ἄνω κοπὰc C

τοῖc ποιηταῖc μόνοις ἀντὶ τοῦ μέν παραλαμβάνεται, καθ' ἑαυτὸν δὲ διαζευκτικός ⟨ἐστιν⟩.

Διαζευκτικοὶ δέ εἰcιν ὅcοι τὴν μὲν φράcιν ἐπιcυνδέουcιν, ἀπὸ δὲ πράγματος εἰc πρᾶγμα διιcτᾶcιν· εἰcὶ δὲ οἵδε, ἤ ἤτοι ἠέ.] Οὐ τῆc φράcεώc εἰcι διαζ. *etc.* = Σ^d 63, 19—27.

961,27b Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. — Γεωργίου. — Ζητεῖται, εἰ cύνδεcμοι,
πῶc διαζευκτικοί; Ἔcτι καὶ αὐτὸc τῶν μαχομένην ἐχόντων τὴν φωνὴν
πρὸc τὸ cημαινόμενον. Cύνδεcμοc γάρ ἐcτι τῇ φωνῇ· φωνὰc γὰρ δια-
30 φόρουc cυνδεῖ, καὶ οὐκ ἐᾷ ἐπὶ μιᾶc ἑcτάναι διανοίαc τὸν λόγον· ἐὰν
γὰρ εἴπω «ἡμέρα ἐcτί», τέλειοc λόγοc ἐcτὶ καὶ ἑτέρου ἀπροcδεήc· ἐὰν
δὲ προcθῶ καὶ εἴπω «ἢ ἡμέρα ἐcτί», πάντωc δεήcει ἐπαγαγεῖν «ἢ νύξ
962b ἐcτι»· κατὰ τοῦτο οὖν cύνδεcμοc. Διαζευκτικὸc δέ, διότι κυρίωc ἐπὶ
διεcτηκότων πραγμάτων παραλαμβάνεται· ἐναντίον γὰρ ἡ ἡμέρα τῇ
νυκτί· διαζευκτικοὶ οὖν εἰcιν οἱ διιcτῶντεc ἀπ' ἀλλήλων τὰ πράγματα
ἐν μαχομένοιc καταγινόμενα, «ἢ νύξ ἐcτιν ἢ ἡμέρα»· ἔcτι δὲ καὶ μὴ ἐν
μαχομένοιc εὑρεῖν καταγινόμενα, οἷον «Αἴαc ὁ Τελαμώνιοc ἤτοι εἰc
Ἴλιον ἐcτράτευcεν ἢ ἀνεχώρηcεν οἴκαδε»· τούτων γὰρ θάτερον μὲν
ἀληθέc, τὸ δὲ λοιπὸν ψεῦδοc, οὐ μὴν ἐν μαχομένῳ. Τινὲc δὲ ⟨παρα⟩-
10 διαζευκτικοὺc καλοῦcιν, ὅταν μάχηc μὴ οὔcηc τὸ ἕτερον κατ' ἐκλογὴν
διαφόρωc προκρίνωcιν, οἷον «βούλομαι Πλατωνικὸν ἀναγνῶναι βιβλίον
ἢ Ὁμηρικόν»· ἐγχωρεῖ γὰρ ἀμφότερα καὶ οὐ μάχεται, τὸ δὲ ἕτερον
προκρίνεται· πολλάκιc δὲ ἀμφότερα cημαίνουcιν ἀληθῆ, «Αἴαc ὁ Λοκρὸc
ἤτοι Καcάνδραν ἐβιάcατο ἢ ἐναυάγηcεν»· ἀμφότερα γὰρ ἀληθῆ.

960,33b ⟨*Stephani.*⟩ — Εἰc τὸ αὐτὸ καὶ ἄλλωc. — Οἱ διαζευκτικοὶ cύνδε-
961b cμοι τὴν ἐναντίαν ποιοῦνται τάξιν τοῖc cυμπλεκτικοῖc. Cκόπει δὲ τὴν
τάξιν τοῦ τεχνικοῦ, πῶc παρατίθηcι τὰ ἐναντία τοῖc ἐναντίοιc· οἱ γὰρ
cυμπλεκτικοὶ cυνάγουcι καὶ cυνδεcμεύουcιν, οἱ δὲ διαζευκτικοί, ἐναντίωc
962,18b ἔχοντεc πρὸc τοῦτο, διιcτῶcιν. Καὶ ζητεῖται, τί δή ποτε, εἰ cύνδεcμοι,
διαζευκτικοί, καὶ εἰ διαζευκτικοί, πῶc cύνδεcμοι; Καὶ λεκτέον, ὅτι κατά
20 τι λέγονται οὗτοι cύνδεcμοι, καὶ κατά τι διαζευκτικοί· καὶ cύνδεcμοι
μέν, καθὸ τὴν φράcιν ἐναρμονίωc κοcμοῦcιν· διαζευκτικοὶ δέ, καθὸ τὰ
δι' αὐτῶν φραζόμενα ἐναντίωc ἔχει, οἷον νύξ, ἡμέρα, «ἢ νύξ ἐcτιν ἢ
ἡμέρα»· ἐναντία γὰρ ταῦτα, καὶ οὐ δυνατὸν τὰ δύο ἐν ταὐτῷ εἶναι·
963,14b διάζευξιc γάρ ἐcτιν ἐν τῷ μεταξύ, ἤτοι φῶc ἐcτιν ἤτοι cκότοc. Τού-

---

6—23 hab. et. A ‖ **25—28 hab. et.** A ‖ **28—34** (μεταξύ) **hab. et.** Σ^m

6 Εἰc — Γεωργίου *om* A | εἰ Ab, οἱ C ‖ **9** cυνδεῖ Ab, cυνᾴδει C ‖ **10** γὰρ A, *om* C ‖ **13** ἐναντία A ‖ **16** καταγινόμενα Ab, καταγινόμενοι C ‖ **17** τούτων Ab, τοῦτο C ‖ **19** διαζευκτικοὺc CA ‖ **21** ἀμφότερα Ab, ἀμφοτέροιc C ‖ **22** οὐ προκρίν. A ‖ **23** γὰρ b, δὲ CA ‖ **24—288, 17** *videntur esse Stephani* ‖ **28** εἰ cύνδ. V, οἱ cύνδ. C ‖ **32** ἢ νύξ — ἢ ἡμέρα V, *om* C

των δὲ οἱ μὲν ποιητικοί, οἱ δὲ πεζοί, οἱ δὲ κοινοί· πάντες δὲ διὰ τὴν διάζευξιν ὁμολογοῦσιν.

Συναπτικοὶ δέ εἰσιν ὅσοι ὕπαρξιν μὲν ⟨οὐ⟩ δηλοῦσι, ση- 964,26 b μαίνουσι δὲ ἀκολουθίαν· εἰσὶ δὲ οἵδε, εἴ εἴπερ εἰδή εἰδήπερ.] Οὗτοι τάξιν σημαίνουσιν ἡγουμένου πρὸς ἑπόμενον· ἡ γοῦν ἀντιστροφὴ ψεῦδος εἰσάγει· «εἰ φῶς ἐστιν, ἡμέρα ἐστίν, εἰ νύξ ἐστιν, σκότος ἐστίν»· οὐ πάντως· ἐν νυκτὶ γὰρ ὄντος σεληναίου φωτὸς ἢ πυρείου, οὔτε ἡμέρα ἐστὶ διὰ τὸ φῶς, οὔτε σκότος, καίτοι νυκτὸς οὔσης. Τί οὖν; «εἰ ἥλιος 30 ὑπὲρ γῆς ἐστιν, ἡμέρα ἐστίν, εἰ ἡμέρα ἐστίν, ἥλιος ὑπὲρ γῆς ἐστιν»· πῶς ἀληθεύει; Ὅτι ταῦτα φυσικὴν εἶχον ἀκολουθίαν. — Ὁ εἴ τίθεται ἐν 965,23 b προτάσει οὕτως· «εἰ Πηνελόπη φίλανδρος ⟨ἦν⟩ καὶ Ὀδυσσεὺς ἐπλανήθη κατὰ Σικελίαν»· λείπει τὸ «εἰπέ», «μελέτησον»· καὶ ἀντὶ τοῦ ὡς ὁμοιωματικοῦ, «εἰ ζῷον ἵππος, καὶ ὄνος ζῷον»· καὶ ἀντὶ τοῦ ἐπεί παρασυναπτικοῦ, ⟨cfr Soph. fr. 877 N²⟩ εἰ δεινὰ δέδρακας, δεινὰ καὶ παθεῖν σε δεῖ, ἀντὶ τοῦ «ἐπεὶ δεινὰ δέδρακας». — Ὁ εἴπερ οὐδὲν πλέον 30 δηλοῖ τοῦ εἴ· ἔστι δὲ κατὰ σύνθεσιν, ἐπεὶ καὶ μεσοσυλλαβεῖται τὸ δή, εἰδήπερ· δηλοῖ καὶ ὁ τόνος· παροξύνεται ⟨γὰρ⟩ τὸ εἴπερ, οὐ προπερισπᾶται.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδους. — Οὗτοι *etc.* = Σ^d 63, 30—64, 12.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Οὗτοι ἀκολουθίαν μὲν πραγμάτων ση- 964,17 b μαίνουσιν, οὐ μέντοι πάντως καὶ ὑπαρχόντων· δύναμαι γὰρ ἡμέρας οὔσης εἰπεῖν «εἰ νὺξ ἦν, ἄστρα ἐφαίνετο». Ἐπιζητοῦσι [μὲν] οὖν ⟨οὐ⟩ τὴν 20 ὕπαρξιν οἱ συναπτικοί, τηροῦσι δὲ τῷ λόγῳ τὸ ἀκόλουθον, «εἰ ἦλθεν ὁ ἄρχων, ἐσέσωστο ἂν ἡ πόλις». Δοκεῖ δὲ καὶ αὐτὸς συμπλεκτικὸς εἶναι, καθὸ συνάπτει· ἀλλ᾽ ὁ μὲν συμπλεκτικὸς ἄπειρα ἐπάγει, ⟨ὁ δὲ συναπτικὸς ἓν μόνον ἐπάγει⟩ καὶ πληροῖ τὴν διάνοιαν.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Συναπτικοὶ λέγονται ὅσοι τὴν ἑρμηνείαν 965,1 b καὶ τὸ ὡς ὄντως ἔχον οὐ σημαίνουσιν, ἀλλὰ τάξιν μόνον· ἴδιον γάρ ἐστι συνδέσμου τὸ τάξιν ἢ δύναμιν σημαίνειν, ἔσθ᾽ ὅτε δὲ καὶ τὰ δύο· οἱ μέντοι συναπτικοὶ τάξιν μόνον ἐπαγγέλλονται, οὐ μέντοι ⟨καὶ⟩ ὕπαρξιν, ὡς ἐὰν εἴπωμεν «εἰ φιλομαθὴς ⟨εἶ⟩, ἔσῃ πάντως καὶ πολυμαθής».

⟨*Stephani.*⟩ — Παρασυναπτικοὶ δέ εἰσιν ὅσοι μεθ᾽ ὑπάρξεως 966,31 b

---

5—16 (εἰδήπερ) **hab. et.** A

5 τάξιν CA, ἀκολουθίαν *Th Matthias Annal. Phil. Suppl. 15, 602 adn. 16* | ἡ γοῦν Ab, ἤγουν C ‖ **6** ἢ νὺξ ἐστὶ C ‖ **7** γὰρ A, *om* C ‖ **9** γῆς (*prius*) A, γῆν C | ἡμέρα (*prius*) — ἐστιν *om* A | γῆν C ‖ **10** Ὁ A, ὅτι C ‖ **15** σε δεῖ] εἶν ἔδει C, *om* A ‖ **16** σύνθεσιν Ab, σύνταξιν C | τὸ δή, εἰδήπερ] ὑπὸ τοῦ δα ἐπειδήπερ C, ὑπὸ τοῦ δη ἐπειδήπερ A ‖ **23** ὕπαρξιν b, ὕπηξιν C ‖ **25** συμπλεκτικὸς] συναπτικὸς C ‖ **31** εἶ *add* b

καὶ τάξιν δηλοῦςιν· εἰςὶ δὲ οἵδε, ἐπεί ἐπείπερ ἐπειδή ἐπειδήπερ.] Οὗτοι καὶ ὕπαρξιν καὶ τάξιν δηλοῦςιν· ὥςπερ δὲ ἐν τοῖς συναπτικοῖς τὰ φύςει ⟨ἔχοντα ἀκολουθίαν⟩ ἀντιςτροφὴν ἐδέχοντο, τὰ δὲ
967b κατάχρηςιν ἔχοντα ςυναφείας οὐκέτι, οὕτω κἀν τούτοις, οἷον «ἐπεὶ περιπατῶ κινοῦμαι», «ἐπείπερ τρέχω κινοῦμαι» οὐκ ἀναςτραφήςεται, κατάχρηςις γάρ· «ἐπείπερ ζῶ ἀναπνέω». — Εἰρήκαμεν ἄνω περὶ τῆς τοῦ ἐπεί ςυνθέςεως· ἐπάγεται οὖν αὐτῷ ὁ εἴ, οἷον «ἐπεί, εἰ ἀνέγνως, ἔκμαθε», ὥςπερ καὶ τῷ ἐάν ὁ ἄν, «ἐὰν θέλῃς, ἀναγνοίην ἄν»· καὶ οὐδὲν ἄτοπον, ἐν τῇ ςυνθέςει κειμένων τῶν ἁπλῶν, ἐπάγεςθαι αὐτά· ἰδοὺ γὰρ «φιλάνθρωπος ἄνθρωπος», «φιλόςοφος φίλος». Ὥςπερ δὲ ἀπὸ τοῦ εἰ ἄν ἐγένετο ἐάν, οὕτως ἀπὸ τοῦ ἐπεί ἄν ἐγένετο ἐπεάν· γίνεται δὲ ἐν ςυναλοιφῇ τὸ ἐάν ἤν, καὶ τὸ ἐπεάν ἐπήν, ὡς κυνέα κυνῆ· οὐ γὰρ τοὐναντίον, ἐπεὶ τὸ η̄ πρὸ τοῦ ν̄ εἰς ε̄ᾱ διαιρούμενον ἀποβάλλει τὸ ν̄, οἷον Ξέρξην Ξέρξεα.

966,17b Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Γεωργίου. — Οἱ παραςυναπτικοὶ τὸ ἡγούμενον ἀναμφιςβήτητον ἔχοντες τὸ πάντως ἀκόλουθον αὐτοῖς παριςτῶςιν, οἷον «ἐπειδὴ ἡμέρα ἐςτί, φῶς ἐςτιν». Δεῖ δὲ ἡμᾶς εἰδέναι τὰς ςυντάξεις τὰς εὑριςκομένας· πολλάκις γὰρ παρὰ τοῖς ποιηταῖς ἀναγινώςκοντες ἢ παρὰ τῷ ποιητῇ εὑρίςκομεν τοὺς ςυναπτικοὺς ἀντὶ παραςυναπτικῶν, ὡς καὶ παρὰ τῷ Εὐριπίδῃ ἐν Φοινίςςαις τὸ ⟨86 seq⟩ εἰ ςοφὸς πέφυκας, οὐκ ἐᾶν βροτῶν Τὸν αὐτὸν ἀεὶ δυςτυχῆ καθεςτάναι· ἐνταῦθα ὁ εἴ οὐκ ἀνύπαρκτός ἐςτιν, ἄτοπον γὰρ περὶ θεοῦ ἀπιςτεῖν ὅτι ςοφός ἐςτιν, ἀλλὰ δεῖ πάντως παραλαμβάνειν τὴν ὕπαρξιν· ἔςτιν οὖν ἐνταῦθα ὁ ςυναπτικὸς ἀντὶ παραςυναπτικοῦ, ὡς ςημαίνειν τὴν εἴ λέξιν ἀντὶ τοῦ ἐπεί.

Αἰτιολογικοὶ δέ εἰςιν ὅςοι ἐπ' ἀποδόςει αἰτίας ἕνεκεν παραλαμβάνονται· εἰςὶ δὲ οἵδε, ἵνα ὄφρα ὅπως ἕνεκα οὕνεκα δι' ὅ δι' ὅτι καθ' ὅ καθ' ὅτι καθ' ὅςον.] — Διομήδους. Καλῶς *etc.* = Σ^d 64, 20—65, 12.

968,9b ⟨*Stephani.*⟩ — Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Αἰτιολογικοὶ ςύνδεςμοι

2—14 hab. et. Σ^mA; *videntur esse Stephani* ‖ 15—25 hab. et. A

5 ἐπείπερ — κινοῦμαι VA, *om* C | *post* ἀναςτραφήςεται *add* N: οὐ γὰρ ἂν φαίη τις «ἐπείπερ κινοῦμαι περιπατῶ»· εἴ τι⟨ς⟩ γὰρ περιπατεῖ, καὶ κινεῖται, καὶ οὐ μὴν εἴ τι⟨ς⟩ κινεῖται, καὶ περιπατεῖ· καθολικώτερον γὰρ ἐςτι τὸ κινεῖςθαι τοῦ περιπατεῖν ‖ 6 Εἰρήκ. — φίλος (10) *om* V | ἄνω] *vide p. 283, 8* ‖ 8 τῷ b, τὸ CA ‖ 11 ἄν (*post* ἐπεί) VAb, *om* C ‖ 13 οἷον V, *om* CA ‖ 15 Εἰς — Γεωργίου *om* A ‖ 16 παριςτῶςιν — ἡμᾶς (17) A, *om* C ‖ 21 πέφυκας A, γέγονας C | βροτῶν A, βροτὸν C | αἰεὶ A ‖ 22 περὶ Ab, παρὰ C ‖ 24 ὡς — λέξιν (25) *om* A ‖ 25 A *add*: Παραςυναπτικοὶ δὲ ἐκλήθηςαν, ἐπεὶ παρὰ τούτους γεγόναςιν, ὁ ἐπεί ἀπὸ τοῦ εἴ, ὁ ἐπείπερ ἀπὸ τοῦ εἴπερ καὶ ἑξῆς ‖ 26 ἕνεκ (*sic*) C ‖ 30—290, 27 *videntur esse Stephani*

λέγονται ὅσοι αἰτίας ἕνεκα παραλαμβάνονται ἐν τῇ φράσει· εἴ που γάρ τις ἐρωτήσειε «τίνος ἕνεκα πεποίηκας τόδε τὸ πρᾶγμα»; ἀκούσεται πάντως «διότι τόδε». Εἰσὶ δὲ καὶ ἐνταῦθα φωναὶ ποιητικαί, εἰσὶ καὶ μέσαι· ταῖς μὲν οὖν ποιητικαῖς μόνοι ποιηταὶ χρῶνται, ταῖς δὲ μέσαις καὶ πεζολόγοι καὶ ποιηταί. Εὐθὺς οὖν παρὰ τῷ ποιητῇ ⟨Α 11⟩ οὕνεκα τὸν Χρύσην· πάλιν τῇ μέσῃ ἐν προσθήκῃ στοιχείου ἐχρήσατο ὁ ποιητής, μετάγων εἰς ποιητικήν· τὸ γὰρ ἕνεκα λέγουσι καὶ πεζολόγοι, ἀλλὰ καὶ ⟨ὁ⟩ ποιητής· ἐπειδὴ δὲ μακρᾶς ἐδεῖτο, προσέθηκε τὸ ῑ ἐνταῦθα ⟨Ζ 356⟩ εἵνεκ' ἐμεῖο κυνός· τὸ δὲ δι' ὃ καὶ δι' ὅτι πεζολόγοι.

Ἀπορηματικοὶ δέ εἰσιν ὅσοι ἐπαποροῦντες εἰώθασι συνδεῖν· εἰσὶ δὲ οἵδε, ἆρα κᾶτα μῶν.] Ὁ ἆρα ἐρωτηματικὸς ὢν μηκύνει τὸ ᾱ, συλλογιστικὸς δὲ βραχύνει· τρέπεται δὲ ἑκατέρου τὸ ᾱ εἰς η̄, τὸ μὲν μακρὸν παρ' Αἰολεῦσιν οὕτως, ⟨Sappho fr. 102 B[4]⟩ ἦρ' ἔτι παρθενικὰς ἐπιβάλλομαι; Σαπφώ· ἦρ' ἔσθ' ὕδωρ σῶφρον; παρὰ Δωριεῦσι, καὶ παρ' Ἴωσιν ⟨ubi?⟩ ἦρά τοι ὧδ' αἰεὶ ταχινοὶ πόδες; τὸ δὲ βραχὺ οὕτως, ⟨Κ 401⟩ ἦρά νύ τοι μεγάλων δώρων, ἀντὶ τοῦ «μεγάλων ἄρα δώρων ἡ ψυχή σου ἐπιθυμεῖ». — Καὶ ὁ ἢ δὲ διαπορητικὸς καὶ ὁ ἠέ· ⟨Γ 239 seq⟩ ἢ οὐχ ἑσπέσθην — ἢ δεῦρο μὲν 969b ἕποντο, ⟨Α 192⟩ ἠὲ χόλον παύσειεν. — Ὁ κᾶτα εὑρίσκεται ἀντὶ τοῦ καί, οἷον ⟨Aristoph. Ran. 203—205⟩ κᾶτα πῶς δυνήσομαι, Ἄπειρος, ἀθαλάττωτος, ἀσαλαμίνιος Ὤν, εἶτ' ἐλαύνειν; Ἡγοῦντο δέ τινες τοῦτον σύνθετον ἐκ τοῦ καί καὶ εἶτα, ⟨ἐκ⟩θλίψεως γενομένης καὶ κράσεως. Καὶ ποῦ τὸ ῑ τὸ τῆς ε̄ῑ; ἄλλως τε ὁ καί τοῦ ε̄ μόνου ἐπαγομένου τὴν εἰς ᾱ πάσχει κρᾶσιν, τῆς δὲ ε̄ῑ, εἰς τὴν ε̄ῑ, οἷον καὶ ἐγώ κἀγώ, καὶ εἶπον κεἶπον, καὶ εἶχον κεἶχον. — Ὁ μῶν ἠξιοῦτο ἀπὸ τοῦ μή καὶ ὤν, τραπέντος ἐκ τοῦ οὖν δωρικῶς, κράσει γενέσθαι, ὡς μηωρός μωρός, ὁ φροντίδα μὴ ἔχων.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Ἀπορηματικοὶ λέγονται *etc.* = Σ^{d} 65, 13—66, 25.

⟨*Stephani.*⟩ — Παραπληρωματικοὶ δέ εἰσιν ὅσοι μέτρου ἢ 971,24b κόσμου ἕνεκεν παραλαμβάνονται· εἰσὶ δὲ οἵδε, δή ῥά νύ ποῦ τοί θήν ἄρ δῆτα πέρ πώ μήν ἄν αὖ οὖν κέν γέ.] Τούτων τινὲς

1—9 hab. et. A ‖ 3—6 (Χρύσην) hab. et. Σ^{m} ‖ 11—27 hab. et. Σ^{m}A ‖ 32—291, 13 hab. et. A; ***videntur esse Stephani***

7 εἰς A, ὡς C | καὶ πεζ. — ποιητής (8)] καὶ ποιηταὶ καὶ πεζολόγοι A ‖ 8 ὁ *add* b ‖ 9 τὸ δὲ — πεζολόγοι *om* A ‖ 14 Σαπφώ — Δωριεῦσι (15) V, *om* CA; *cfr fragm. poet. lyr. 3, 740 B*[4] ‖ 16 τοι VA, τὸ C ‖ 17 ἀντὶ — διαπορητικὸς (18)] ἦρά νύ μοι ξεῖνος ⟨Ζ 215⟩ V | σου A, *om* C | ἢ δὲ A, ἡ δε̄ C ‖ 18 ἠέ] ἠε̄ C; *item v. 19* | ἢ] ἡ C | ἑπέσθην C, ἐπέσθην A, ἕπεσθέ μοι V ‖ 20 καί CA, καὶ εἶτα V ‖ 21 Ὤν — τε (23) *om* V ‖ 22 εἶτα Ab, ἦτα C | γενομένης b, γινομένης CA ‖ 23 τὸ τῆς] τὸ C, τοῦ A, τῆς b

ἐδείχθηcαν cημαινόμενον ἔχοντες· ὁ γέ ἐν τῷ ⟨Γ 178⟩ οὗτός γ' Ἀτρείδης περιττός, ἀλλ' ἐν τῷ «καλῶς γε» cημαίνει τὴν ἐπίταcιν τῆς τοῦ κάλλους ἐκπλήξεως· τοῦτό γέ μοι χάριcαι ⟨fr. poet. lyr. 3, 737 B[4]⟩, ἔμφαcιν ὑποcημαίνει μειότητος κἀν τούτῳ. Ὁ μήν παραπληρωματικός, τῷ δὲ ἀλλά cυντεθεὶς προcληπτικὸς γίνεται, οἷον «εἰ ἀναγινώcκεις, ἐπαινῇ· ἀλλαμὴν ἀναγινώcκεις· ἐπαινῇ ἄρα». Ὁ γάρ παρέλκων πολύς,
972b μετὰ δὲ τοῦ ἀλλά προcληπτικός, οἷον «εἰ ἥλιος φαίνει, ἡμέρα ἐcτίν· ἀλλὰ γὰρ ἥλιος φαίνει· ἡμέρα ἄρα ἐcτίν». Ὁ πέρ ἐναντιωματικός, οἷον ⟨Α 131⟩ ἀγαθός περ ἐών, μετά τε τοῦ καί, οἷον «μὴ θυμοῦ, καίπερ καρτερικὸς ὤν»· ὁ καί μετὰ τοῦ μήν ἀποδεικτικὸς μετὰ ἐναντιώcεως, οἷον «οὐ βλέπω, καὶ μὴν ἡμέρα ἐcτίν». Ἐπεὶ οὖν διάφορα τὰ δηλούμενα, ἐκ cημαcίας μὴ δυνάμενα καλεῖcθαι, τὴν κλῆcιν ἔcχον ἀπὸ τοῦ πλεονάζοντος.

Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Διομήδους. — Οἱ μέτρον *etc.* = Σ^d 66, 26—28.

972,10b Εἰς τὸ αὐτὸ καὶ ἄλλως. — Γεωργίου. — Ἐπεὶ δὲ πολλὰ ἐcήμαινον οἱ παραπληρωματικοί, καὶ ἐναντίωcιν, ὡς ὁ πέρ, καὶ παραγραφήν, ὡς ὁ δή, οἷον ⟨Ο 3⟩ οἱ μὲν δὴ παρ' ὄχεcφιν, καὶ αὔξηcιν καὶ μείωcιν, ὡς ὁ γέ, τούτου χάριν οὐκ ἠδυνήθηcαν ἀπὸ cημαινομένου ὀνομαcθῆναι, ἀλλ' ἐκ τοῦ πλεονάζοντος.

970,29b Παραπληρωματικοὶ δέ εἰcι cύνδεcμοι, ὅcοι πρὸς τὸ μὴ κεχηνέναι τὴν φράcιν παραλαμβάνονται· οἱ δὲ ποιηταὶ ἐνηλλαγμένως τιθέαcιν, καθάπερ ὁ Ὅμηρος τὸν μέν ἀντὶ τοῦ μήν, καὶ τὸν δέ ἀντὶ τοῦ δή, καὶ τὸν δή ⟨ἀντὶ⟩ τοῦ ῥά· καὶ ἐπὶ τῶν παραπληcίων τηρητέον ὁμοίως. —
970,24b Παραπληρωματικοὶ δὲ οὗτοι λέγονται, ὅcοι παρόντες οὐδὲν ὠφελεῖν δύνανται, οὔτε μὴν χωριcθέντες λυμαίνονται· οὗτοι δὲ παραλαμβάνονται τοῖς ποιηταῖς ἢ διὰ τὴν ⟨τοῦ μέτρου⟩ cτενότητα, ἢ διὰ καλλωπιcμὸν τῆς φράcεως.

972,17b ⟨*Stephani.*⟩ — Τινὲς δὲ προcτιθέαcι καὶ ἐναντιωματικούς, οἷον ἔμπης ὅμως.] Οὗτοι ἐναντιότητα δηλοῦcι τοῦ εἰκότος, ὡς εἴ τις εἴποι «ὅμως μακρὰν ἑcτὼς ἤκουον». — Παρέλειψε δὲ τοὺς διαcαφητικούς· τίθενται δὲ οὗτοι μεταξὺ δύο λόγων, καὶ τὴν ἐκλογὴν τοῦ

21—28 hab. et. A ‖ **31—292, 8 hab. et. A**

4 ὑποcημαίνει A, ὑπαγορεύει C | μειότητος *R Schneider CGG I 1, 250,* ποιότητος CA ‖ **5** cυντεθεὶς A, cυνταχθεὶς C | προληπτικὸς CA, *corr.* b; *item v. 7* ‖ **6** ἐπ. ἀλλ. αναγ. Ab, *om* C ‖ **7** εἰ Ab, *om* C ‖ **9** τε A, *om* C ‖ **11** βλέπω A, βλέπεις C ‖ **13** *post* πλεονάζοντος *add* τοῦ παραπληροῦντος A ‖ **17** παραγραφήν C, περιγραφήν b ‖ **23** τὸ μεν C | καὶ ὁ δη τὸ ρα C, ἰcοδυναμεῖ δὲ ὁ ρα τὸν δὴ καὶ ὁ δὴ τὸ ρα A ‖ **24** καὶ ἐπὶ — ὁμοίως *om* A ‖ **26** οὗτοι — φράcεως (**28**) *om* A ‖ **30—292, 8** *videntur esse Stephani*

ἑνὸς ποιοῦνται, οἷον «πλουτεῖν βούλομαι ἢ πένεσθαι»· εἰς ἐπίτασιν δὲ λαμβάνουσι τὰ τῆς ἐπιτάσεως ἐπιρρήματα, «μᾶλλον ἡμέρα ἐστὶν ἤπερ νύξ». Παρῆκε καὶ τοὺς ἀναιρετικούς, τὸν κέν ⟨καὶ⟩ τὸν ἄν, οἳ τοῖς παρῳχημένοις συντασσόμενοι τὰ δηλούμενα τῶν ἐγκλίσεων ἀναιροῦσι· τὸ γὰρ ἔγραψα σημασία τοῦ πράγματος, τὸ δὲ ἔγραψα ἄν ἀναίρεσις. Τούτους ⟨καὶ⟩ δυνητικοὺς καλοῦσιν, ὅτι τὴν τοῦ δύνασθαι ἔννοιαν δηλοῦσιν, οἷον «ὠφελήθην ἂν εἰ ἀνέγνων», ἀντὶ τοῦ «ἠδυνάμην ἀναγνοὺς ὠφεληθῆναι». — Τὸ δὲ ἔμπης καὶ σύνδεσμός ἐστιν ἐναντιωματικὸς καὶ ἐπίρρημα.

SCHOLIA MARCIANA.

⟨Περὶ προσῳδιῶν.⟩

. . . . . ᾱ θηλυκὰ τῷ ῑ μόνῳ παραληγόμενα ἐκτείνει τὸ ᾱ καὶ συ⟨στέλ⟩λει τὸ ῑ· σεσημείωται τὸ ἴα καὶ μία· τὸ δὲ δῖα, ἡ ἐνδοξοτάτη, ⟨ἐπιθε⟩τικόν ἐστι κατ' ἐναντιότητα γραφόμενον. Διὰ τί εἶπε «τῷ ῑ μόνῳ παραληγόμενα»; Διότι ἐὰν ἔχῃ δίφθογγον, συστέλλει τὸ ᾱ, οἷον ὀξεῖα ταχεῖα εὐθεῖα καί τινα ⟨ὅμοια⟩· λέγει γὰρ ὁ κανών, ὅτι τὰ εἰς ᾱ λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικοῖς ὁμόχρονον ἔχουσι τὸ ᾱ τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ, οἷον θεός θεοῦ θεά, ῥάθυμος ῥαθύμου ῥαθυμία, ὀξύς ὀξέος ὀξεῖα καί τινα ὅμοια· χωρὶς τῶν ἀπὸ τοῦ ευω, οἷον χορεύω χορεία, ῥητορεύω ῥητορεία· ταῦτα γὰρ ἐκτείνουσι τὸ ᾱ.

Πόσαι προσῳδίαι; Καταχρηστικῶς μὲν δέκα, ὀξεῖα, βαρεῖα, περισπωμένη, μα- 108 v
κρά, βραχεῖα, δασεῖα, ψιλή, ἀπόστροφος, ὑφὲν καὶ ὑποδιαστολή· κυρίως δὲ ἑπτά, ὀξεῖα, βαρεῖα, περισπωμένη, μακρά, βραχεῖα, δασεῖα καὶ ψιλή. Ἡ γὰρ ἀπόστροφος, ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστικῶς, ἐπειδὴ αἱ μὲν ἄλλαι συμπλεκόμεναι πρὸς ἀλλήλας χαρακτῆρα στοιχείων ἀποτελοῦσιν, ἀλλὰ καὶ αὗται ἐκ τῶν στοιχείων γίνονται· τὸ γὰρ Λ διαιρούμενον εἰς δύο ποιεῖ ὀξεῖαν καὶ βαρεῖαν, τὸ δὲ Η καὶ αὐτὸ διαιρούμενον ὁμοίως εἰς δύο ποιεῖ ψιλὴν καὶ δασεῖαν, τὸ δὲ Θ κοπτόμενον εἰς τρία ποιεῖ περισπωμένην, μακράν τε καὶ βραχεῖαν· καὶ αὗται μόναι ἐπάνω τῶν λέξεων τίθενται· τὰ δὲ πάθη, ἤγουν ἡ ἀπόστροφος, ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ μὴ δυνάμεναι χαρακτῆρα στοιχείων ἀποτελέσαι καταχρηστικῶς εἰσι προσῳδίαι καὶ οὐ κυρίως· διὸ καὶ κάτωθεν τῶν λέξεων τίθενται.

Καὶ διὰ τί εἰσι προσῳδίαι καταχρηστικῶς δέκα; Διότι καὶ ὁ δέκατος ἀριθμὸς τέλειός ἐστιν. Εἰς πόσα διαιροῦνται αἱ δέκα προσῳδίαι; Εἰς τέσσαρα· εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα καὶ εἰς πάθη. Καὶ διὰ τί διαιροῦνται εἰς τέσσαρα; Διότι καὶ ὁ τέταρτος ἀριθμὸς γεννητικός ἐστι τοῦ δεκάτου, καὶ ὅτι ἡ τετρὰς πηγή ἐστι τῆς ἀϊδίου διακοσμήσεως, ὡς οἱ Πυθαγορικοὶ ἀποφαίνονται, καὶ ἡ αὐτὴ οὖσα τῷ δημιουργῷ, ἤγουν ὁ δημιουργός. Πῶς δὲ τετρὰς ὁ θεὸς αὐτός; Ἐκ τοῦ εἰς Πυθαγόραν ἀναφερομένου ἱεροῦ λόγου σαφῶς εὑρήσεις, ἐν ᾧ ἀριθμὸς ἀριθμῶν ὁ θεὸς οὗτος ὑμνεῖται· ⟨ἐπειδὴ γὰρ⟩ τὰ ὄντα πάντα ταῖς ἀϊδίοις αὐτοῦ βουλήσεσιν ὑφέστηκε, δῆλον ὡς καὶ ὁ ἀριθμὸς ἐν ἑκάστῳ εἴδει τῶν ὄντων τῆς ἐν ἐκείνῳ αἰτίας ἤρτηται· καὶ ὁ πρῶτος ἀριθμὸς ἐκεῖ, ἐκεῖθεν γὰρ κἀνταῦθα. Τοῦ δὲ ἀριθμοῦ τὸ πεπερασμένον

---

1 *post* πένεσθαι *add* ἤπερ πένεσθαι C, *om* A | εἰς A, ὡς C ‖ 3 τὸ κεν C | *poster.* καὶ *add Uhlig; item v. 6* ‖ 8 ἐστιν Ab, ἐστὶ καὶ C

10—294, 2 *om* N ‖ 10 *sic incipit* V *fol. 1: primum et ultimum (vide p. 298, 39) folium primae ternionis interierunt.* | συ ... λει V ‖ 11 .... τικόν V ‖ 16 χωρὶς] καὶ V ‖ 24 Η] ζῆτα V ‖ 34 αὐτός] οὗτος V ‖ 36 ἐπειδὴ γὰρ] *lac. 8 fere litter.* V

διάστημα ἡ δεκάς· ὁ γὰρ ἐπὶ πλέον ἀριθμεῖν ἐθέλων ἀνακάμπτει πάλιν ἐπὶ τὸ ἓν καὶ δύο καὶ τρία ⟨καὶ τέσσαρα⟩ καὶ δευτέραν ἀριθμεῖ δεκάδα.

Καὶ πῶς ὁ τέταρτος ἀριθμὸς ἤγουν ἡ τετρὰς γεννᾷ τὸν δέκατον ἀριθμόν; Ἐν τῷ μετρεῖν ἀπὸ τοῦ πρώτου ἕως τοῦ τετάρτου καὶ τελειοῦσθαι τὸν δέκατον ἀριθμόν. Καὶ ἄλλως· ὅτι μόνον ἐκ μονάδων ἀπήρτισται καὶ ὑπὲρ αὐτὸν ἕτερος ἀριθμὸς οὐκ ἔστι· πάντες γὰρ οἱ ὑπερβεβηκότες ἀριθμοὶ ἐκ πολυπλασιασμοῦ τούτου γίνονται. Καὶ πῶς μετρεῖς; πλάτυνον. Ἓν δύο τρία τέσσαρα, καὶ ἰδοὺ δέκα. Ποίησον σαφέστερον. Τὸ ἄλφα ἕν, τὸ βῆτα δύο, τὸ γάμμα τρία, τὸ δέλτα τέσσαρα, ἓν δὲ καὶ δύο καὶ τρία καὶ τέσσαρα εἰς δέκα ἀναβιβάζονται· ἓν γὰρ καὶ δύο τρία, καὶ τρία ἤτοι δὶς τρία ἕξ, μεθ' ὧν τέσσαρα, καὶ ἰδοὺ δέκα· καὶ λοιπὸς ὑπὲρ τὸν δέκατον ἀριθμὸν οὐκ ἔστιν· ὁ γὰρ ἐπὶ πλέον, ὡς προέφημεν, ἀριθμεῖν ἐθέλων ἀνακάμπτει πάλιν ἐπὶ τὸ ἓν καὶ δύο καὶ τρία καὶ τέσσαρα καὶ δευτέραν ἀριθμεῖ δεκάδα πρὸς τὴν τῆς εἰκοσάδος συμπλήρωσιν· καὶ τρίτην ὁμοίως, ἵνα τριακοντάδα εἴπῃ, καὶ τοῦτο ἑξῆς, ἕως ἂν δεκάτην ἀριθμήσας δεκάδα εἰς ἑκατὸν προέλθῃ· καὶ πάλιν ἑκατὸν ⟨κατὰ τὸν⟩ αὐτὸν τρόπον ἀριθμεῖ, καὶ οὕτω μέχρις ἀπείρου τῷ τῆς δεκάδος διαστήματι ἀνακυκλουμένῳ προχωρεῖν δύναται.

Τίς δὲ ἡ τῆς δεκάδος δύναμις; Ἡ τετράς· πρὸ γὰρ τῆς κατὰ διέξοδον τελειότητος ἐν τῇ δεκάδι τις τελειότης ἐν τῇ τετράδι θεωρεῖται, ὅτι κατὰ σύνθεσιν ἀπὸ μονάδος ἕως τετράδος δεκὰς τὸ πᾶν ἄθροισμα γίνεται· ἓν γὰρ καὶ δύο καὶ τρία καὶ τέσσαρα τὴν δεκάδα πληροῖ. Καὶ ἔστι μεσότης ἀριθμητικὴ μονάδος καὶ ἑβδομάδος ἡ τετράς· τῷ ἴσῳ γὰρ ἀριθμῷ ὑπερέχει καὶ ὑπερέχεται, τριάδι μὲν ἑβδομάδος λειπομένη, τριάδι δὲ μονάδα ὑπερβάλλουσα. Μονάδος δὲ καὶ ἑβδομάδος ἰδιώματα κάλλιστά εἰσι καὶ ἄριστα· ἡ μὲν γὰρ μονὰς ὡς ἀρχὴ παντὸς ἀριθμοῦ τὰς πάντων δυνάμεις ἐν ἑαυτῇ συνέχει, ἡ δὲ ἑβδομὰς ὡς ἀμήτωρ καὶ παρθένος τὴν τῆς μονάδος ἀξίαν δευτέρως ἔχει· οὔτε γὰρ γεννᾶται ἐξ ἀριθμοῦ τινος τῶν ἐντὸς δεκάδος, ὡς ὁ τέσσαρα ἐκ τοῦ δὶς δύο, καὶ ὁ ἓξ ἐκ τοῦ δὶς τρία, καὶ ὁ ὀκτὼ ἐκ τοῦ δὶς τέσσαρα, καὶ ὁ ἐννέα ἐκ τοῦ τρὶς τρία, καὶ ὁ δέκα ἐκ τοῦ δὶς πέντε, οὔτε γεννᾷ τινα τῶν ἐντὸς δεκάδος, ὡς ὁ δύο τὸν τέσσαρα, καὶ ὁ τρεῖς τὸν ἐννέα, καὶ ὁ πέντε τὸν δέκα. Τῆς δὴ ἀγεννήτου μονάδος καὶ τῆς ἀμήτορος ἑβδομάδος ἡ τετρὰς μέση κειμένη τὰς τῶν γεννών⟨των καὶ τῶν⟩ γεννωμένων δυνάμεις ἅμα συνείληφε, μόνη τῶν ἐντὸς δεκάδος καὶ γεννωμένη ὑπό τινος ἀριθμοῦ καὶ γεννῶσά τινα· ἡ γὰρ δυὰς ἑαυτὴν διπλασιάσασα τὴν τετράδα γεννᾷ, ἡ δὲ τετρὰς δὶς γενομένη τὸν ὀκτὼ ἀποτελεῖ. Καὶ στερεὰ πρώτη ἔμφασις ἐν τῇ τετράδι εὑρίσκεται· τὸ γὰρ σημεῖον ἀνάλογόν ἐστι μονάδι, ἡ δὲ γραμμὴ δυάδι, ἀπό τινος γὰρ ἐπί τι· καὶ τριάδι προσήκει ἡ ἐπιφάνεια, στοιχειωδέστερον γὰρ τῶν εὐθυγράμμων τὸ τρίγωνον· τὸ στερεὸν δὲ οἰκεῖον τῇ τετράδι· ἡ γὰρ πρώτη πυραμὶς ἐν τῇ τετράδι θεωρεῖται, τριγώνου μὲν βάσεως ὑποτεθείσης τοῦ τρία, κορυφῆς δὲ αὐτῇ ἐπιτεθείσης τοῦ ἑνός. Καὶ κριτικαὶ δυνάμεις ἐν τοῖς οὖσι τέσσαρες, νοῦς, ἐπιστήμη, δόξα, αἴσθησις· κρίνεται γὰρ τὰ ὄντα πάντα νῷ ἢ ἐπιστήμῃ ἢ δόξῃ ἢ αἰσθήσει. Καὶ ἁπλῶς πάντα τὰ ὄντα ἡ τετρὰς ἀνεδήσατο, ⟨τὰ τῶν⟩ στοιχείων, ἀριθμῶν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν, συνοικισμῶν, καὶ οὐκ ἔστιν εἰπεῖν, ὃ μὴ τῆς τετρακτύος ὡς ῥίζης καὶ ἀρχῆς ἤρτηται· ἔστι γάρ, ὡς ἔφαμεν, δημιουργὸς τῶν ὅλων καὶ αἰτία ἡ τετράς, θεὸς νοητός, αἴτιος τοῦ οὐρανίου καὶ αἰσθητοῦ κόσμου, ὥσπερ Ἱεροκλῆς τίς φησι φιλόσοφος τὴν γνῶσιν ἀπὸ τῶν Πυθαγορείων λαβών.

Τί ἐστι τέλειος ἀριθμός; Οὗ τὰ μέρη διαιρούμενα καὶ συντιθέμενα ἀναπληροῦσι

---

1 δεκάς] τετράς V ‖ 7 Ἓν] μία V; *item v. 8 (prius) et 9* | τρεῖς τέσσαρες V ‖ 8 τρεῖς, τὸ δέλτα τέσσαρες V ‖ 9 τρεῖς καὶ τρεῖς V ‖ 10 τέσσαρες V ‖ 14 προέλθοι V ‖ 22 δὲ] γὰρ V ‖ 29 των καὶ τῶν] *lac. 7 fere litter.* V ‖ 31 δὶς] δύο V ‖ 36 ἐπιτεθείσης] ὑποτεθείσης V ‖ 42 κόσμου] θεοῦ V[1] *et supra* κόσμου V[2]

τὸν ὅλον, ὡϲ ὁ ἕξ· ἥμιϲυ γάρ, ἤτοι τὰ τρία, καὶ δύο, τουτέϲτι τὸ τρίτον, καὶ ἕκτον, ἤτοι ἕν, γίνονται ἕξ.

Πόϲα εἴδη τῶν δέκα καταχρηϲτικῶϲ προϲῳδιῶν; Τέϲϲαρα· τόνοι, χρόνοι, πνεύματα καὶ πάθη. Πόϲοι τόνοι; Καταχρηϲτικῶϲ μὲν τρεῖϲ, ὀξεῖα, βαρεῖα, περιϲπωμένη· 111 v κυρίωϲ δὲ δύο, ἡ ὀξεῖα καὶ ἡ περιϲπωμένη· ἡ γὰρ βαρεῖα ϲυλλαβικὸϲ τόνοϲ ἐϲτὶ καὶ οὐ κύριοϲ· διὰ τοῦτο οὐδὲ τόπον ἴδιον ἔχει, τουτέϲτιν εἰϲ τὴν ϲυλλαβὴν τὴν μὴ ἔχουϲαν τὸν κύριον τόνον ἐτίθετο· ἀλλ' ἵνα μὴ καταχαράϲϲωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται, ἀλλ' εἰϲ τὸν τόπον τῆϲ ὀξείαϲ ἐν τῇ ϲυνεπείᾳ τίθεται. — Διὰ τί εἰϲι καταχρηϲτικῶϲ τρεῖϲ τόνοι; Διότι καὶ τρεῖϲ τρόποι εἰϲὶ τῶν τεινόντων ἑαυτοὺϲ πρὸϲ δρόμον· εἰ γὰρ ὀρθόϲ τιϲ τρέχει, μιμεῖται τὴν ὀξεῖαν, εἰ δὲ ϲυγκεκυφώϲ, μιμεῖται τὴν βαρεῖαν, εἰ δὲ ἡνιοχευτικόϲ, μιμεῖται τὴν περιϲπωμένην. Καὶ ἄλλωϲ· ἐπειδὴ καὶ ἡ καθ' ἡμᾶϲ κίνηϲιϲ ἑξαχῶϲ γίνεται, ἄνω, κάτω, δεξιά, ἀριϲτερά, πρόϲω, ὀπίϲω· καὶ τὴν μὲν ἄνω κίνηϲιν ἡ ὀξεῖα μιμεῖται, τὴν δὲ κάτω ἡ βαρεῖα, τὴν δὲ δεξιὰ ἀριϲτερὰ πρόϲω ὀπίϲω μιμεῖται ἡ περιϲπωμένη. — Διὰ τί λέγονται τόνοι; Διότι πρὸϲ αὐτοὺϲ τείνομεν τὰϲ φωνὰϲ καὶ εὐρυτέραϲ ποιοῦμεν. Τί ἐϲτι τόνοϲ; Ἐπίταϲιϲ ἢ ἄνεϲιϲ ἢ μεϲότηϲ ϲυλλαβῶν εὐφωνίαν ἔχουϲα. Καὶ ἄλλωϲ· τόνοϲ ἐϲτὶν ἀπήχηϲιϲ φωνῆϲ ἐναρμονίου ἢ κατὰ ἀνάταϲιν ἐν τῇ ὀξείᾳ, ἢ καθ' ὁμαλιϲμὸν ἐν τῇ βαρείᾳ, ἢ κατὰ περίκλαϲιν ἐν τῇ περιϲπωμένῃ. Πόθεν τόνοϲ; Ἀπὸ τοῦ τείνειν τὴν φωνήν.

Τί ἐϲτιν ὀξεῖα; Ποιότηϲ ϲυλλαβῆϲ τεταμένον ἔχουϲα φθόγγον. Πόθεν ὀξεῖα; Ἀπὸ τοῦ ὀξύϲ ὀξεῖα· τοῦτο ἀπὸ τοῦ ἔχω, ὃ δηλοῖ τὸ ϲπεύδω, παρ' οὗ καὶ τὸ τρέχω. Πόθεν ὠνόμαϲται ὀξεῖα; Ἀπὸ μεταφορᾶϲ τῶν ὀξέων δοράτων· ἢ διὰ τὸ τοὺϲ ὀξεῖϲ ἥλουϲ μιμεῖϲθαι. Πόϲουϲ τόπουϲ ἔχει ἡ ὀξεῖα; Τρεῖϲ, ὀξύτονον, παροξύτονον καὶ προπαροξύτονον. Τί ἐϲτιν ὀξύτονον; Τὸ ἐπὶ τέλουϲ ἔχον τὴν ὀξεῖαν, οἷον καλόϲ ϲοφόϲ. Τί ἐϲτι παροξύτονον τὸ καὶ βαρύτονον; Τὸ πρὸ μιᾶϲ ϲυλλαβῆϲ τοῦ τέλουϲ ἔχον τὴν ὀξεῖαν, οἷον λέων Πέτροϲ Ἰωάννηϲ. Τί ἐϲτι προπαροξύτονον; Τὸ πρὸ δύο ϲυλλαβῶν τοῦ τέλουϲ ἔχον τὴν ὀξεῖαν, οἷον Γεώργιοϲ Θεόδωροϲ Προκόπιοϲ. Διὰ τί τρεῖϲ τόπουϲ ἔχει ἡ ὀξεῖα καὶ οὐ τέϲϲαραϲ; Ἐπειδὴ πᾶϲα λέξιϲ Ἑλληνικὴ ἁπλῆ οὐδέποτε ὑπερβαίνειν θέλει τὴν τριϲυλλαβίαν.

Τί ἐϲτι βαρεῖα; Ποιότηϲ ϲυλλαβῆϲ ὑφειμένον ἔχουϲα φθόγγον. Πόθεν βαρεῖα; Ἀπὸ τοῦ μετὰ βίαϲ αἴρεϲθαι τουτέϲτι κουφίζεϲθαι ἤτοι μετακινεῖϲθαι· ἐκ τούτου γίνεται βαρύϲ, καὶ ἀπὸ τούτου βαρεῖα. Πόθεν ὠνόμαϲται βαρεῖα; Ἐκ μεταφορᾶϲ 180 v τῶν τὰ φορτία βαϲταζόντων καὶ εὐθεῖαν τρίβον ἀνυόντων, οἱονεὶ ϲυγκεκυφυῖα καὶ μαλθακώτερον προϲαγομένη καὶ ἐκλύτωϲ. Διὰ τί ἴδιον τόπον οὐκ ἔχει ἡ βαρεῖα; Διότι ἡ βαρεῖα ϲυλλαβικὸϲ τόνοϲ ἐϲτὶ καὶ οὐ κύριοϲ, τουτέϲτιν εἰϲ τὴν ϲυλλαβὴν τὴν μὴ ἔχουϲαν τὸν κύριον τόνον ἐτίθετο· ἀλλ' ἵνα μὴ καταχαράϲϲωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται, ἀλλ' εἰϲ τὸν τόπον τῆϲ ὀξείαϲ ἐν τῇ ϲυνεπείᾳ ἐπὶ τέλουϲ τίθεται. Τί ἐϲτι ϲυνέπεια; Ἡ ϲύμφραϲιϲ καὶ ἡ ϲυνακολούθηϲιϲ τοῦ λόγου. Πῶϲ τίθεται ἡ βαρεῖα ἐν τῇ ϲυνεπείᾳ; Οἷον «καλὸϲ ἄνθρωποϲ»· εἰ γὰρ ἦν ἐπὶ τέλουϲ τὸ καλόϲ, ἡ ὀξεῖα ἂν ἐπετέθη τῇ λοϲ ϲυλλαβῇ· ὅτι δὲ μετὰ ταῦτα εὑρέθη τὸ ἄνθρωποϲ, ἡ ὀξεῖα εἰϲ βαρεῖαν τέτραπται.

Τί ἐϲτι περιϲπωμένη; Ποιότηϲ ϲυλλαβῆϲ ἀνειμένον ⟨καὶ ὑφειμένον⟩ ἢ κεκλαϲμένον ἔχουϲα φθόγγον. Πόθεν περιϲπωμένη; Ἐκ τῆϲ περὶ προθέϲεωϲ καὶ τοῦ ϲπάομαι ϲπῶμαι· ὅθεν καὶ τὸ ϲπω μέγα γράφεται. Πόθεν ὠνόμαϲται περιϲπωμένη;

3—297, 14 ***horum loco*** N ***eadem fere habent quae Σ*^v^ *p. 124, 27—128, 26 tacito auctoris nomine*** ‖ **7** καταχαράϲϲωνται ***sed supra*** κατα ***scr.*** παρα V[1] ‖ **16** ***supra*** Ἐπίταϲιϲ ***add*** διὰ τὴν ὀξεῖαν, ***supra*** ἄνεϲιϲ ***add*** διὰ τὴν βαρεῖαν, ***supra*** μεϲότηϲ ***add*** διὰ τὴν περιϲπωμένην V[2] ‖ **17—18** ***ter*** ἢ ***in*** ἡ ***mutavit*** V[1] | ***supra*** ἐν *ter add* ὡϲ V[2] ‖ **37** ἐπὶ τέλουϲ ***post*** τόνον (*v. 36*) ***transp.*** V ‖ **39 βαρεῖα]** ὀξεῖα V

Ἐκ τοῦ περικεκλάσθαι καὶ οἱονεὶ συνηρῆσθαι διὰ τὴν ἐξ ὀξείας καὶ βαρείας συναίρεσιν. Πόσους τόπους ἔχει ἡ περισπωμένη; Δύο, περισπώμενον καὶ προπερισπώμενον. Τί ἐστι περισπώμενον; Τὸ ἐπὶ τέλους ἔχον τὴν περισπωμένην, οἷον Μηνᾶς Λουκᾶς Θωμᾶς καί τινα τούτοις ὅμοια. Τί ἐστι προπερισπώμενον; Τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν περισπωμένην, οἷον κῆπος δῆμος. Διὰ τί ἡ περισπωμένη δύο τόπους ἔχει καὶ οὐ τρεῖς; Διότι εἰ εἶχεν ἡ περισπωμένη τρεῖς τόπους, ὤφειλεν ἡ ὀξεῖα τόπους ἔχειν τέσσαρας, ὅπερ ἄτοπον· πρὸ γὰρ τριῶν συλλαβῶν τόνος οὐκ ἔστιν· ἄλλως τε δὲ ἀκριβῶς σκοποῦντι καὶ ἡ περισπωμένη τρεῖς τοὺς τόπους ἔχει τῆς ὀξείας· καὶ ἀναπληροῖ ὁ μὲν περισπώμενος τόπος ⟨ὁ⟩ μὴ ἀπὸ συναιρέσεως τὸν τόπον τοῦ ὀξυτόνου, οἷον Θωμᾶς Λουκᾶς, ὁ δὲ ἐκ συναιρέσεως τὸν τοῦ παροξυτόνου, οἷον Ἑρμέας Ἑρμῆς, ὁ δὲ προπερισπώμενος τόπος ὁ ἐκ συναιρέσεως ὀξείας καὶ δύο βαρειῶν τὸν τοῦ ⟨προ⟩παροξυτόνου, οἷον ῥέεθρον ῥεῖθρον. Οὐδέποτε δὲ *etc.* = **Σ**[v] 127, 29—128, 10 et 126, 15—24. — Ἔστιν οὖν εἰπεῖν, ὅτι διὰ τοῦτο ἡ περισπωμένη σύνθετος τόνος ἐστίν· ἐκ δύο γὰρ σύγκειται, ὡς τὸ Λ· τοῦτο γὰρ κοπτόμενον, ὡς προείρηται, ποιεῖ ὀξεῖαν καὶ βαρεῖαν, ὥσπερ τὸ Η κοπτόμενον ποιεῖ δασεῖαν καὶ ψιλήν, καὶ τὸ Θ κοπτόμενον ποιεῖ μακράν, βραχεῖαν καὶ περισπωμένην· ἐφ' ᾧ καὶ τὴν ἀπόστροφον, τὴν ὑφὲν καὶ τὴν ὑποδιαστολὴν ὡς μὴ ἀπὸ στοιχείων γινομένας οὐ καλοῦσι κυρίως προσῳδίας, ἀλλὰ καταχρηστικῶς.

Πόσοι χρόνοι ἐν ταῖς προσῳδίαις; Δύο, ἡ μακρὰ καὶ ἡ βραχεῖα. Καὶ διὰ τί ἐν ταῖς προσῳδίαις εἰρήκαμεν δύο χρόνους, ἐν δὲ τοῖς ῥήμασι τρεῖς; Ἐπειδὴ ἐκεῖ μὲν τὰς καιρικὰς διαστάσεις χρόνους φησίν, ἐνταῦθα δὲ μίμησιν ἔχει χρόνου κατά τε μακρότητα καὶ βραχύτητα· διὰ τοῦτο καὶ χρόνοι λέγονται, διὰ τὸ ἐν ἐκτάσει καὶ συστολῇ παραλαμβάνεσθαι. Καὶ διὰ τί εἰσι δύο χρόνοι; Διότι καὶ τῷ ἀνθρώπῳ δύο χρόνοι παρέπονται, ὁ παρὼν καὶ βλεπόμενος καὶ τέλος δὴ ἔχων, καὶ ὁ αἰώνιος, ἤγουν ὁ μέλλων καὶ ἀτελεύτητος· ὁ μὲν εἷς πολυχρόνιος, ὁ δὲ ἕτερος ὀλιγοχρόνιος· οὐ μὴν ἀλλὰ καὶ παρὰ τοῖς φιλοσόφοις δύο χρόνοι πρεσβεύονται· ὁ γὰρ ἐνεστὼς παρ' αὐτοῖς σεσιώπηται διὰ τὸ ἄστατον καὶ ἀνεπίμονον τῆς αὐτοῦ ῥεύσεως. — Τί ἐστι χρόνος; Σημείωσις ἐκτεινομένου ἢ συστελλομένου φωνήεντος, ἐκτάσεως μὲν μακρά, συστολῆς δὲ βραχεῖα· ταῦτα γὰρ ἐτίθουν ἐπάνω τῶν φωνηέντων οἱ παλαιοὶ ἐπὶ δηλώσει συστολῆς καὶ ἐκτάσεως. Πόθεν χρόνος; Ἀπὸ τοῦ ῥέω ῥόνος καὶ προσθέσει τοῦ χ̅ χρόνος· ἢ ἀπὸ τοῦ χεῖν καὶ ῥεῖν καὶ νάειν ἐκ τριῶν ταὐτοσημάντων λέξεων. — Τί ἐστι μακρὸς χρόνος; Σημείωσις ἐκτεινομένου φωνήεντος. Πόθεν μακρά; Ἀπὸ τοῦ μᾶκος (τὸ μῆκος) μακερὸς καὶ ἐκθλίψει τοῦ ε̅ μακρός μακροῦ, καὶ τὸ θηλυκὸν μακρά. Ποῦ τίθεται ἡ μακρά; Εἰς δίχρονον ἐκτεταμένον. — Τί ἐστι βραχὺς χρόνος; Σημείωσις συστελλομένου φωνήεντος. Πόθεν βραχεῖα; Ἀπὸ τοῦ βραχύς· τοῦτο ἀπὸ τοῦ ῥᾷον, ὃ δηλοῖ τὸ εὔκολον, καὶ τοῦ χέω κατὰ πλεονασμὸν Αἰολικὸν τοῦ β̅, ὅτι οἱ Αἰολεῖς τὸ ῥᾷον βρᾷον λέγουσι καὶ τὸ ῥάκος βράκος. Ποῦ τίθεται ἡ βραχεῖα; Εἰς δίχρονον συνεσταλμένον, οἷον ἁγϊώτατος ἀνδρϊκώτατος.

Πόσα πνεύματα; Δύο, ἡ δασεῖα καὶ ἡ ψιλή. Διὰ τί εἰσι δύο πνεύματα; Διότι ἡ μὲν δασεῖα ἐκ τοῦ θώρακος ἐξέρχεται, ἡ δὲ ψιλὴ ἐξ ἄκρων τῶν χειλέων προφέρεται· καὶ διὰ τοῦτο οὐ προσέσχεν ὁ ποιητὴς τρίτῳ πνεύματι, τῆς φύσεως μὴ ἀπαιτούσης. Τί ἐστι πνεῦμα; Παρὰ μὲν τοῖς γραμματικοῖς σημείωσις δασυνομένου ἢ ψιλουμένου φωνήεντος, παρὰ δὲ τοῖς ῥήτορσι σύνθεσις λόγου διάνοιαν ἀπαρτίζοντος ἐν κώλοις καὶ κόμμασι μετρουμένου πρὸς τὴν διάρκειαν τοῦ πνεύματος κατὰ τὴν

---

1 συναιρεῖσθαι V ‖ 15 προείρ.] *p. 292, 23 seqq* | Η] ζῆτα V ‖ 17 ἐφ' ᾧ] ἐφῶ V ‖ 28 Σημ. — ἐκτάσεως (30) *in ras.* V[1] *et in marg.* V[2]: τί ἐστιν ἐνεστὼς χρόνος; ὁ ἐνισταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν ‖ 30 ἐπὶ δηλ. οἱ παλ. V ‖ 33 μάκος V ‖ 42 σημ. — φων. (43) *in ras.* V[1] *et in marg.* V[2]: τί ἐστι πνεῦμα; ἐκφορὰ λέξεως ἀθρόως ἢ μετρίως παραλαμβανομένη ‖ 43 ἀπαρτίζον V ‖ 44 μετρούμενον V

φωνὴν τοῦ λέγοντος. Πόθεν πνεῦμα; Ἀπὸ τοῦ πνέω πνεύσω πέπνευκα πέπνευμαι πνεῦμα. Διὰ τί λέγονται πνεύματα; Διὰ τὸ τοῖς πνεύμασιν αὐτὰ παρεικασθῆναι. — Τί ἐστι δασεῖα; Ποιότης συλλαβῆς καθ᾽ ἣν ἐκ τοῦ θώρακος τὸ πνεῦμα ἐξέρχεται. Πόθεν δασεῖα; Ἀπὸ τοῦ δα ἐπιτατικοῦ μορίου καὶ τοῦ σεύω, ὃ δηλοῖ τὸ ὁρμῶ, τὸ πνεῦμα τὸ λίαν ὁρμητικόν. Ποῦ τίθεται ἡ δασεῖα; Εἰς φωνῆεν γράμμα δασυνόμενον, οἷον ἅλυσις Ἅιδης. — Τί ἐστι ψιλή; Ποιότης συλλαβῆς καθ᾽ ἣν ἄκροις τοῖς χείλεσι τὸ πνεῦμα προφέρεται. Ποῦ τίθεται ἡ ψιλή; Εἰς φωνῆεν γράμμα ψιλούμενον, οἷον εὐσεβὴς ἀσεβής. Πόθεν εἴρηται ψιλή; Ἀπὸ τοῦ ψῶ, ὃ δηλοῖ τὸ λεπτύνω, λεπτῶς γὰρ ἠχεῖ καὶ ἀμυδρῶς, ὅτι ἀσθενής ἐστιν. — Πόσα σημαίνει τὸ ψῶ; Πέντε· ψῶ τὸ λεπτύνω, ἀφ᾽ οὗ καὶ ψιλὸν στρατιώτην λέγομεν τὸν ἄοπλον καὶ γυμνὸν ἤτοι τὸν ἀσθενῆ καὶ ἀδύνατον· ψῶ τὸ προσεγγίζω καὶ ψαύω, ὅθεν καὶ ψώρα ἀπὸ τοῦ ἅπτεσθαι ἐν τῷ κνήθειν τὰ πεπονθότα μέρη τοῦ σώματος· ψῶ τὸ κόπτω, ἀφ᾽ οὗ καὶ ψωμός, ὁ εἰς μικρὰ μέρη κοπτόμενος ἄρτος· ψῶ τὸ τρίβω, ὅθεν καὶ τὸ ⟨Ev. Luc. 6, 1⟩ ψώχοντες τοὺς στάχυας, ἤγουν τρίβοντες· ψῶ τὸ καίω, ἀφ᾽ οὗ καὶ ψωλὸς ὁ κεραυνὸς ἢ ὁ δαλὸς ὁ κεκαυμένος. — Ἰστέον δὲ ὅτι δασυνομένου *etc.* = Σ^v 125, 24 — 33 (ὑποδ.).

Τί ἐστι πάθος; Φωνῆς πεπονθυίας σημεῖον τὰ ἡνωμένα καὶ διακεχωρισμένα 108 v διακρῖνον. Πόθεν εἴρηται πάθος; Ἀπὸ τοῦ ἔπαθον δευτέρου ἀορίστου. Πόσα πάθη; Τρία, ἃ προειρήκαμεν· ἀπόστροφος, ὑφὲν καὶ ὑποδιαστολή. Διὰ τί λέγεται πάθη; Διὰ τὸ ἐν ταῖς παθούσαις λέξεσι τίθεσθαι καὶ τοῦτο αὐτὸ δηλοῦν, ὅτι πέπονθέ τι ἡ λέξις.

Τί ἐστιν ἀπόστροφος; Σημεῖον ἐκθλίψεως φωνήεντος ἢ φωνηέντων. Πόθεν ἀπόστροφος; Ἐκ τῆς ἀπό προθέσεως καὶ τοῦ στρέφω. Πόθεν ὠνόμασται ἀπόστροφος; Ἐξ αὐτῆς τῆς θέσεως, ἐπειδὴ ἐπὶ τὰ ἄνω ἀπέστραπται καὶ νεύει· ἢ ἐπὶ τὰ ἔσω νεύει καὶ ἐπὶ ἀποστρεφομένας λέξεις τίθεται τὴν ἐπαλληλίαν τῶν φωνηέντων, οἷον κατὰ ἡμῶν καθ᾽ ἡμῶν. Ποῦ τίθεται ἡ ἀπόστροφος; Ἐν τῇ ἐκθλίψει τοῦ ἑνὸς φωνήεντος τοῦ ἀπεκθλιβομένου διὰ τὴν καλλιφωνίαν, οἷον οὔτε αὐτός οὔτ᾽ αὐτός. Ἀντὶ ποίων φωνηέντων τίθεται ἡ ἀπόστροφος καὶ ἀντὶ πόσων; Ἀντὶ τεσσάρων τουτωνί, φημὶ δὴ ἀντὶ βραχέος α, ἀντὶ τοῦ ε, ἀντὶ βραχέος ι καὶ ἀντὶ τοῦ ο· ἀντὶ τοῦ α, ὡς ἄρα οὗτος ἄρ᾽ οὗτος, ἀντὶ τοῦ ε, οἷον οὔτε εἶδον οὔτ᾽ εἶδον, ἀντὶ τοῦ ι, οἷον ἀμφὶ ἀγαθόν, ⟨Π 165. Ρ 388⟩ ἀμφ᾽ ἀγαθὸν θεράποντα, ἀντὶ τοῦ ο, ὡς τοῦτο ὅπερ ἐστὶ τοῦθ᾽ ὅπερ ἐστί, καὶ τοῦτο ἐκεῖνο τοῦτ᾽ ἐκεῖνο, καὶ τοῦτο οὕτως τοῦθ᾽ οὕτως.

Τί ἐστιν ὑφέν; Σημεῖον συναφείας δύο λέξεων συγκειμένων ἢ παρακειμένων. Πόθεν εἴρηται ὑφέν; Ἐκ τῆς ὑπό προθέσεως καὶ τοῦ ἕν καὶ ἐκθλίψει τοῦ ο καὶ τροπῇ τοῦ π εἰς φ ὑφέν. Ποῦ τίθεται ἡ ὑφέν; Ἐν ταῖς συνθέσεσι τῶν λέξεων, ὅτε δύο λέξεις ἐν τῷ ἅμα ὀφείλουσι λέγεσθαι, οἷον ἀρχιστράτηγος φιλολόγος.

Τί ἐστιν ὑποδιαστολή; Σημεῖον διαστάσεως γράμματος ἀμφιβαλλομένου περὶ τὴν σύνταξιν, οἷον ΕСΤΙΝ,ΟΥС, ἤγουν ὑπάρχει ὠτίον· εἰς γὰρ τὸ ἔστιν ὑποδιαστολὴ τίθεται, ἵνα μὴ συντεθῇ μετὰ τοῦ οὖς τὸ ν καὶ νοηθῇ ὅτι νοῦς ἐστιν· οὕτως καὶ τὸ ΕСΤΙ,ΝΑΞΙΟС, ἀπὸ τῆς νήσου Νάξου. Καὶ ἄλλως· τί ἐστιν ὑποδιαστολή; Διάστασις λέξεων περὶ τὴν σύνταξιν ἀμφιβαλλομένων. Ποῦ τίθεται ἡ ὑποδιαστολή; Ἐν οἷς ὀφείλει λέγεσθαι νοήματα ⟨μετὰ⟩ διαστολῆς, ὥστε διαστεῖλαι καὶ χωρίσαι λέξεις ἀπ᾽ ἀλλήλων, οἷον ΕСΤΙΝ,ΑΞΙΟС, οὐκ ἀπὸ τῆς Νάξου νήσου, ἀλλὰ ἄξιος. Πόθεν ὑποδιαστολή; Ἐκ τῆς ὑπό καὶ διά προθέσεως καὶ τοῦ στέλλω, ὃ δηλοῖ τὸ χωρίζω. —

---

4 σεύω *in* σεύομαι *mut.* V[1] ‖ **9—15** *cfr Choerob. epim. in psalm. 1, 15—22; Et M 819, 52—57* ‖ **11** ψῶρα V ‖ **20** παθούσαις] παθητικαῖς V ‖ **22** *supra lin. add.* V[2]: οἷον ⟨ex gr. Α 43⟩ ὣς ἔφατ᾽ εὐχόμενος ‖ **30** *in marg.* V[2]: καὶ ἀλλὰ εἰκός ἀλλ᾽ εἰκός ‖ **35** *in marg.* V[2]: παρὰ τὸ ἑνοῦν τὰς λέξεις καὶ ἐν τῷ ἅμα ποιεῖν αὐτὰς ἀναγινώσκεσθαι ‖ **42** ἀμφιβαλλομένη V

Πόσα σημαίνει τὸ στέλλω; Τέσσαρα· στέλλω τὸ πέμπω, ὅθεν καὶ ἐπιστολή· στέλλω τὸ καλλωπίζω καὶ στολίζω, ὅθεν καὶ πυγοστόλος γυνὴ ἡ πόρνη ἡ τὴν πυγὴν στολίζουσα· στέλλω τὸ πλέω, ἀφ' οὗ καὶ στόλος ἡ τῶν νεῶν ἔκπλοια· στέλλω τὸ κρύπτω, ἀφ' οὗ καὶ συστολὴ καὶ ὑποστολή. — Πόθεν ὠνόμασται ὑποδιαστολή; Ἀπὸ τοῦ ὑποδιαστέλλειν καὶ διαχωρίζειν τὰς λέξεις ἀπ' ἀλλήλων· τὴν γὰρ ὑπό πρόθεσιν ἔχει καὶ οὐκ ἄλλην διὰ τὸ κάτωθεν τοῦ γράμματος τίθεσθαι, ὑφ' ὃ τίθεται. — Τί διαφέρει ἡ ὑποδιαστολὴ τῆς ὑφέν; Διαφέρει κατὰ τοῦτο, ὅτι ἡ μὲν ⟨ὑπο⟩διαστολὴ διαιρεῖ τὰ δοκοῦντα ἡνῶσθαι, ἡ δὲ ὑφὲν συνάπτει τὰ δοκοῦντα διῃρῆσθαι.

Διὰ τί εἰσι τρία πάθη; Κατὰ μίμησιν τῶν τριῶν τόνων. Διὰ τί εἰσιν ἐν ταῖς προσῳδίαις δύο χρόνοι; Διότι πᾶν φωνῆεν ἢ ἕνα χρόνον ἐπιδέχεται ἢ δύο, οὐδέποτε δὲ πλείονας. Καὶ ταῦτα μὲν περὶ τούτων.

Ἔνιοι δέ φασι περὶ τούτων οὕτως, ὅτι ὡς δέδεικται κυρίως προσῳδίαι εἰσὶν ἑπτά. Καὶ ἡ μὲν ὀξεῖα *etc.* = **Σ^v 125, 4—21; 126, 27—127, 24; 125, 33—126, 7; 128, 11—24** (ἁπλῶν).

Ἑρμηνεία εἰς τὸ περὶ τέχνης.

Νόμον ἴδιον ἐνόμισαν *etc.* = Proll. Voss. 4, 32—5, 17 (καλ.).

Περὶ τέχνης. Ὅρος τέχνης.

Τί ἐστι τέχνη; Μέθοδος ἐνεργοῦσα τῷ βίῳ τὸ συμφέρον. Καὶ ἄλλως· κτῆμα τιμιώτατον καὶ κατὰ πολὺ χρησιμώτατον πᾶσιν ἀνθρώποις τῶν ἐν τῷ βίῳ. Καὶ ἄλλως· κατὰ τοὺς Στωϊκοὺς σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. — Τί ἐστι σύστημα; Τὸ πλῆθος, οἱονεὶ ἑκάστου τεχνίτου τὸ ἐργαλεῖον· πλήθους γὰρ θεωρημάτων καὶ οὐχ ἑνὸς ἡ τέχνη μόνου δεῖται· ἀλλὰ μὴν καὶ ὕλης καὶ ὀργάνων, ἐπεὶ ὥσπερ πλῆθος ἐργαλείων ἐφευρεθέντων καὶ δοκιμασθέντων εἰς ἀποτέλεσμά τινος ἀναγκαίου καὶ χρησίμου [οὕτω καὶ] ἡμῖν. Τί ἐστιν «ἐκ καταλήψεων ἐγγεγυμνασμένων»; Ἐξ ἐφευρέσεων δεδοκιμασμένων καὶ ἐγνωσμένων· γυμνάσαι γάρ ἐστι τὸ εἰς φῶς ἀγαγεῖν. Διὰ τί εἶπε «πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ»; Διότι πᾶσα τέχνη νενόηται διὰ τὸ συμφέρον. Καὶ οἱονεὶ ὁ ὅρος τῆς τέχνης ἐστὶν οὗτος· «τέχνη ἐστὶ πλῆθος ἐργαλείων ἐξ ἐφευρέσεων δεδοκιμασμένων ἀφορῶσα εἰς ὠφέλειαν τῶν ἀνθρώπων εἰς ἀποτέλεσμά τινος ἀναγκαίου καὶ χρησίμου ἡμῖν·» οὐ γὰρ ἀθρόως αἱ τέχναι εὕρηνται, ἀλλ' ἄλλος ἄλλο τι εὗρεν, ὁ μὲν τρυπάνιον, ὁ δὲ τὸ εἰς κάλλος ἀποξέειν τὰ ξύλα, ὁ δὲ σκέπαρνον, ὁ δὲ σμῖλαν ἢ ἄλλο τι· καὶ ταῦτα πάντα ὁμοῦ συνελόντες ἀπετέλεσαν τὴν τέχνην.

Ποσαχῶς ἡ καθόλου τέχνη; Διχῶς, λογικὴ καὶ πρακτική. [Ποία λέγεται λογικὴ τέχνη; Ἡ διὰ τοῦ νοὸς μόνου παραλαμβανομένη, ὡς ἡ γραμματική]. Τί τὸ ἴδιον τῆς λογικῆς τέχνης; Τὸ πάντα μετὰ λόγου ποιεῖν καὶ λόγον ὑπὲρ ὧν ποιεῖ ἀποδιδόναι. Ποία λέγεται λογικὴ τέχνη; Ἡ διὰ τοῦ νοὸς μόνου παραλαμβανομένη, ὡς ἡ γραμματική, ῥητορική, ἰατρική. Ποία λέγεται πρακτικὴ τέχνη; Ἡ δι' ὀργάνου ἐνεργουμένη, ὡς ἡ τεκτονική, χαλκευτικὴ καὶ πᾶσαι αἱ χειρωνακτικαὶ καὶ βάναυσοι. Τί διαφέρει ἡ λογικὴ τῆς πρακτικῆς; Ὅτι τὴν μὲν λογικὴν μόνος ὁ ἄνθρωπος ἐπίσταται, τὴν δὲ πρακτικὴν καί τινα τῶν ἀλόγων ζῴων. Τίς καλεῖται λογικός; Ὅστις μετὰ λόγου πράττει, οἷον γραμματικός, ῥητορικός. Τίς καλεῖται πρακτικός; Ὅστις μετὰ τῶν λοιπῶν ὀργάνων τοῦ σώματος καὶ τῆς χειρὸς πράττει, οἷον χαλκεύς,

---

1—4 *cfr Choerob. epim. in psalm. 154, 6—8; EtM 726, 10—12* ‖ **1** ἐπιστολὴ *Choer. EtM*, ἀποστολὴ V ‖ **3** νηῶν V ‖ **8** διαιρεῖσθαι V ‖ **17—298, 39** *om* N ‖ **19** τῶν] τοῖς V ‖ **32** σμίλαν V ‖ **34** μόνου] μόνη V; *item v. 36*

τέκτων. — Πόcαι διαφοραὶ τῆc καθόλου τέχνηc; Τέccαρεc· θεωρητική, πρακτική, ποιητικὴ καὶ μικτή. Τί ἐcτι θεωρητική; Ὁποία διανοίᾳ θεωρεῖται καὶ λόγῳ μόνῳ κατορθοῦται, ὡc ἡ ἀcτρονομία καὶ ἡ γεωμετρία. Τί ἐcτι πρακτική; Ὅcη δι' ὀργάνου ἐνεργεῖται, ὡc ἡ κιθαριcτική, ἡ αὐλητικὴ καὶ ἡ ὀρχηcτική. Ποῖαι λέγονται πρακτικαί; Ὅcαι μέχρι τοῦ γεγονέναι ὁρῶνται καὶ μετὰ ταῦτα ἀπόλλυνται οὐδὲν ἴχνοc ἑαυτῶν καταλιμπάνουcαι, ὡc ἡ αὐλητικὴ καὶ ἡ ὀρχηcτική. Τί ἐcτι ποιητική; Ἡ τῷ cυμβουλεύειν διδάcκουcα εἰδέναι τὸ χρειῶδεc. Ποῖαι λέγονται ποιητικαί; Ὅcαι ὕλην ἀδιατύπωτον λαβοῦcαι ἐποίηcάν τι, ὃ καὶ μετὰ ταῦτα ὁρᾶται πρὸc μνήμην τοῦ δημιουργήcαντοc, ὡc ἡ τεκτονική, ἡ ἀνδριαντοπλαcτική, ἡ λαξευτική. — Αἱ δὲ ἐκ τούτων μικταί, αἳ θεωρητικῆc καὶ πρακτικῆc καὶ ποιητικῆc μετέχουcιν, ὡc ἡ ἰατρική, γραμματικὴ καὶ αἱ λοιπαί· αὕτη γὰρ ἡ ἰατρικὴ μετέχει τοῦ ποιητικοῦ ⟨καὶ τοῦ θεωρητικοῦ⟩· καὶ ποιητικὸν μὲν τὸ χειρουργικόν, θεωρητικὸν δὲ αὐτῆc τὸ διαγινώcκειν τὰ πάθη ⟨διὰ⟩ τῶν cφυγμῶν καὶ τῶν ἄλλων. — Cκοπήcωμεν οὖν τὴν γραμματικὴν ὑπὸ ποῖον τούτων ἀνάγεται. Φαμὲν καὶ αὐτὴν εἶναι μικτήν· ἐν μὲν γὰρ τῷ cτίζειν ἀποτελῶ τι καὶ πράττω, τὸ δὲ τεχνολογεῖν θεωρητικὸν καὶ ⟨τὸ⟩ τῆc μεθόδου τῶν κανόνων· διὰ τοῦτο αὐτὴν ἀπεφήνα⟨ν⟩το τέχνην θεωρητικήν τε καὶ ποιητικήν. — Τί ἐcτι μικτή; Ἡ ἐκ θεωρητικοῦ καὶ πρακτικοῦ cυγκειμένη, καθὰ προέφημεν.

Πόcα παρέπεται τῇ τέχνῃ; Ἑπτά· τεχνοειδέc, ἡμιτέχνιον, μικροτεχνία, κακοτεχνία, ματαιοτεχνία, ψευδοτεχνία καὶ ἀτεχνία. Τί ἐcτι τεχνοειδέc; Ἀλόγου ζῴου τέχνη μιμουμένη φύcει ⟨τεχνι⟩κὰc ἐργαcίαc, ὡc ἡ τῶν ἀραχνῶν ὑφαντικὴ καὶ τῶν μελιccῶν ἡ κηροπλαcτική. Τί ἐcτιν ἡμιτέχνιον; Τὸ δι' ὀλίγου cυνιcτάμενον τεχνίδιον, ὡc ἡ κουρευτικὴ καὶ ἐξονυχιcτική. Τί ἐcτι μικροτεχνία; Ἡ ὑποκρινομένη μείζονοc τέχνηc ἐργαcίαν, ὡc ἡ τῶν μυρεψῶν· οὗτοι γὰρ διὰ τὸ εἰδέναι cκευάcαι ἔμπλαcτρα τὴν τῶν ἰατρῶν cχηματίζονται τέχνην. Τί ἐcτι κακοτεχνία; Ἡ ἐπὶ κακῷ ὡc ἀληθῶc εὑρεθεῖcα, ὡc ἡ κυβευτική. Τί ἐcτι ψευδοτεχνία; Ἡ ἀπατῶcα τὴν αἴcθηcιν, ὡc ἡ τῶν ψηφίδων καὶ τῶν νευροβατῶν ἤτοι τῶν λωράδων. Τί ἐcτι ματαιοτεχνία; Ἧc μὲν ὁ πόνοc πολύc, τὸ δὲ ἀποτέλεcμα οὐδέν, ὡc τὸ εἰδέναι πολλὰc τρύπαc ποιεῖν ἐν κυάμῳ κέγχρου, καὶ τὸ ποιεῖν ἀνδριάνταc κηρίνουc. Τί ἐcτιν ἀτεχνία; Ἡ τῆc τέχνηc ἀταξία, δι' ἣν καὶ πταιcτὴν νομίζουcιν οἱ πολλοί.

Τί διαφέρει τέχνη ἐπιcτήμηc, πείραc καὶ ἐμπειρίαc; Διαφέρει κατὰ τούcδε τοὺc τρόπουc, κατά τε τὸ καθολικώτερον καὶ μερικώτερον, καὶ ἄπταιcτον καὶ πταιcτόν· ἕπεται γὰρ τῷ μὲν καθόλου τὸ ἄπταιcτον, τῷ δὲ μερικῷ τὸ πταιcτόν· καὶ ὅτι ἡ μὲν τέχνη κατά τι ἀτελεcτέρα καθέcτηκε τῆc ἐπιcτήμηc, ὡc ἡ ἰατρική, ῥητορική, γραμματική, ἡ δὲ ἐπιcτήμη τελειοτάτη, ὡc ἡ τῶν φιλοcόφων καὶ τῶν γεωμετρῶν. Τί ἐcτιν ἐπιcτήμη; Κατάληψιc ἄπταιcτοc ἀπὸ ὀρθοῦ λόγου κατεcκευαcμένη. Καὶ ἄλλωc· cύcτημα ἀcφαλὲc ἀπὸ τοῦ ἑcτηκότοc τι μεθοδεύουcα. Καὶ ἄλλωc· ἕξιc ἀμετάπτωτοc λογική. Τί ἐcτιν ἕξιc; Οἱονεὶ γνῶcιc. Τί ἐcτιν ἀμετάπτωτοc· ἡ ἄπταιcτοc καὶ τελεία. Τί διαφέρει τέχνη ἐπιcτήμηc; Διαφέρει κατὰ τοῦτο, ὅτι ἡ μὲν τέχνη κατά τι πταιcτή ἐcτιν, ἡ δὲ ἐπιcτήμη παντελῶc ἄπταιcτοc . . . .

. . . τέλοc εὔχρηcτον τῶν ἐν τῷ βίῳ *etc.* = Proll. Voss. 9, 13—10, 19.

Ἰcτέον ὅτι αἱ τέχναι τετραχῶc· αἱ μὲν γάρ εἰcι λογικαί, ὡc ἐπὶ τῆc ἀcτρονομίαc, αἱ δὲ πρακτικαί, ὡc ἐπὶ τῆc κιθαριcτικῆc· αὕτη γὰρ ἐν

1—16 *vide Proll. Voss. 7, 8—22*

1 *supra* θεωρητική *scr.* λογική V[1] ‖ **11** μετέχει] μέχρι V ‖ **15** τὸ δὲ] τῷ δὲ V | τοῦ κανόνοc V ‖ **20** φύcει τεχνικὰc *Stadtmüller,* φυcικὰc V ‖ **21** δι' ὀλίγου *Stadtmüller,* διόλου V ‖ **39** *inter* ἄπταιcτοc, *quod in* V *in fine folii 5*ᵛ *legitur, et* τέλοc, *quo vocabulo incipit fol. 6*ʳ, *unum videtur intercidisse folium; vide p. 292, 10* ‖ **41** εἰcι N, *om* V

τῷ πράττεσθαι ἔχει τὴν ὕπαρξιν, μετὰ δὲ τὸ πρᾶγμα, ἤτοι τὴν πρᾶξιν, οὐκ ἔστιν· αἱ δὲ ποιητικαί, ὡς ἐπὶ τῆς χαλκευτικῆς· αὕτη γὰρ καὶ μετὰ τὸ ἀποτέλεσμα ἔχει τὰ ἀποτελούμενα †.

Τί ἐστι τέχνη; Σύστημα ἐκ καταλήψεων· «σύστημα» μὲν ἤτοι πλῆθος· λέγομεν γὰρ τὸ σύστημα τῶν παιδευτῶν· «ἐκ καταλήψεων» δέ, τουτέστιν ἐξ ἐφευρέσεων· πρῶτον γάρ τις εὑρίσκει, καὶ οὕτω προσάγει τῇ τέχνῃ· ἴδιον δὲ τῆς τέχνης τὸ πάντα μετὰ λόγου ποιεῖν καὶ λόγον ὑπὲρ ὧν ποιεῖ ἀποδιδόναι. — Πάλιν· τέχνη ἐστὶ σύστημα· «σύστημα» μὲν οὖν εἴρηται ἡ τέχνη, ὅτι οὐκ ἔστιν ἡ τέχνη μονοειδής, ἀλλ' ἐκ διαφόρων πολλῶν, ὡς εἰρήκαμεν· σύστημα μὲν γὰρ σημαίνει τὸ ἄθροισμα. «Ἐκ καταλήψεων» δέ, ὡς εἴπομεν, ἐξ ἐφευρέσεων· «ἐγγεγυμνασμένων» δέ, οἱονεὶ δεδοκιμασμένων· οὐ γὰρ ἀθρόως καὶ ὑφ' ἑνὸς αἱ τέχναι εὕρηνται, ἀλλὰ κατὰ βραχὺ ἐφευρέθησαν ὑπὸ πλειόνων· ἢ ὑφ' ἑνὸς τῆς πολυπραγμοσύνης τοῦ νοῦ συνιστάμενον καὶ συναθροιζόμενον πρᾶγμα· ἀπὸ τοῦ συνίστασθαι γὰρ καὶ εἶναι λέγεται σύστημα· αἱ γὰρ τέχναι διὰ πλειόνων τινῶν ἀποτελεῖσθαι πεφύκασι, καὶ μάλιστα ἐξ ὕλης καὶ ὀργάνων, δι' ὧν κατασκευάσει τὴν ὕλην εἰς εὐπρεπὲς σχῆμα. Ἔτι «ἐγγεγυμνασμένων» πρόσκειται, διότι οὐχ ἅπαξ ἢ δὶς οἱ ἀρχαῖοι τὰς τέχνας δοκιμάσαντες ἐκδεδώκασιν, ἀλλὰ πολλάκις τὰ περὶ τὴν τέχνην γυμνάσαντες ἐκδεδώκασι, τὸ καλῶς ἔχον σκοπήσαντες. Τὸ δὲ «πρός τι τέλος» πρὸς ἀόριστον τέλος· τὸ γὰρ τί σημαίνει τέσσαρα· ἀόριστόν τι πρᾶγμα, καὶ ὡρισμένον, καὶ τὸ ἐνιαῖον, καὶ προσδιωρισμένον· ἔστι καὶ πρὸς τούτοις πέμπτον, ἐπίρρημα, ὃ δηλοῖ τὸ λίαν, ὡς τὸ ⟨Psalm. 3, 2⟩ κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με, ἀντὶ τοῦ λίαν ἐπληθύνθησαν. — Ἀλλὰ καὶ τὸ τέλος σημαίνει ἕξ· τὴν πρόσοδον, τὸ ἀξίωμα, τὸ δαπάνημα, τὴν ἑορτήν, τὸ πεπληρωμένον ἔργον καὶ δημόσιον καὶ τὸν θάνατον· καὶ ὁ βίος ἑπτά· τὴν ἑκάστου ζωήν, τὴν κοινὴν ἁπάντων ζωήν, τὸ ἐπιτήδευμα, τὴν περιουσίαν τουτέστι τὸν πλοῦτον, τὴν ἐνθένδε τῆς ψυχῆς μετάστασιν, τὸ εἶδος τῆς ἑκάστου ζωῆς καὶ τὴν διατριβήν, ὧν τὰς χρήσεις ἐν τῷ μεγάλῳ λεξικῷ, εἰ θεῷ βουλητόν, μαθησόμεθα. Ὃ γοῦν λέγω τοιοῦτόν ἐστι· πᾶσα τέχνη ἐπινοεῖ πρός τι συμφέρον· εἰ γοῦν τέχνη ἐστὶν ἐπὶ βλάβῃ, κακοτεχνία καὶ οὐ τέχνη, οἵα ἐστὶν ἡ λῃστρικὴ ⟨καὶ⟩ ἡ τυμβωρυχική· δοκοῦσι γὰρ καὶ οἱ ταύτην ἐπιτηδεύοντες τέχνην ἐργάζεσθαι, ἀλλ' ἔστιν ἀπηγορευμένη τῷ νόμῳ, ἧς τὸ τέλος θάνατος. Εἰ γὰρ ἐπὶ τῷ συμφέροντι καὶ τῇ συστάσει τοῦ βίου ἐπινενόηται τέχνη, αὗται δὲ τὸ τέλος ὀλέθριον ἔχουσιν, ὁμολογουμένως οὐ τέχναι μᾶλλον ἢ κακοτεχνίαι εἰσί. Καὶ ταῦτα μὲν περὶ τῆς τέχνης λέγειν ἐπεχειρήσαμεν.

Ἄξιον δὲ καὶ περὶ τῆς γραμματικῆς διαλαβεῖν. Καὶ πρότερον μάθωμεν περὶ ὅρου, τί ἐστιν ὅρος *etc.* = Proll. Voss. 8, 8—24. Μαθόντες τοίνυν τί ἐστιν ὅρος, καὶ τί ὑγίεια ὅρου, ὁρισώμεθα τὴν γραμματικήν. — Περὶ γραμματικῆς. — Γραμματική ἐστι τέχνη ἕξις θεωρητικὴ καὶ πρακτικὴ *etc.* = Proll. Voss. 3, 11—4, 30.

⟨*Heliodori.*⟩ — Ἄμεινον δὲ ἦν ἄρξασθαι ἀπὸ στοιχείων, ὡς ἀρχετύπων καὶ πρώτων αἰτίων τῆς φωνῆς, ὅτι ταῦτα ἡ πρώτη φωνὴ καὶ

33—300, 6 *videntur esse* Σ^h

1 πρᾶξιν N, ὕπαρξιν V ‖ **3** *nullum lacunae signum* VN ‖ **4—32** *similia hab.* N ‖ **11** εὕρηνται V, συνέστησαν N ‖ **19** ἔστι — ἐπληθύνθησαν (**20**) *om* N ‖ **22** ἑορτὴν N, ἀρετὴν V | *in marg. infer. add* V^2: τέλος σημαίνει ἕξ· ἡ ἐπιφοιτῶσα πρόσοδος ταῖς πόλεσιν, ἡ συνάθροισις, τὸ ἀξίωμα, ἡ μυστικὴ ἑορτή, τὸ πέρας τῶν πραγμάτων καὶ τὸ δαπάνημα ‖ **23** καὶ τ. θάν. *om* N ‖ **25** ὧν — μαθησόμ. (**26**) *om* N ‖ **26** λέγων VN ‖ **33** δὲ] γὰρ V, *om* N

ἄτομος ὑπάρχει, καὶ ἐξ αὐτῶν αἱ cυλλαβαὶ cυνέcτηcαν, καὶ ἐκ τῶν cυλλαβῶν αἱ λέξειc, ἐκ δὲ τῶν λέξεων ὅλη ἡ γραμματική. Ἐπεὶ γοῦν οὕτωc ἔδοξε τῷ Διονυcίῳ τὴν ἀρχὴν ἀπὸ τῆc γραμματικῆc ποιήcαcθαι, λεκτέον περὶ αὐτῆc. Γραμματική ἐcτιν ἕξιc θεωρητικὴ καὶ πρακτικὴ τῶν παρὰ ποιηταῖc τε καὶ cυγγραφεῦcι, δι' ἧc ἑκάcτῳ τὸ οἰκεῖον ἀποδιδόντεc ἐξ ἀπείρου καταληπτὸν ποιούμεθα.

Καὶ ἄλλωc. — Τί ἐcτι γραμματικὴ τέχνη; Ἕξιc θεωρητικὴ καὶ πρακτική, τὸ εὖ λέγειν καὶ τὸ εὖ γράφειν διδάcκουcα ἡμᾶc· οὐ γὰρ πᾶc ὁ γράφων ἢ ὁ ἀναγινώcκων λέγεται γραμματικόc, ἀλλ' ὁ τὸν κανόνα καὶ τὸν ὅρον ἀποδιδούc. Καὶ ἄλλωc· τέχνη περὶ τὰ ὀκτὼ μέρη τοῦ λόγου καταγινομένη. Ἄλλωc· τέχνη διδάcκουcα ἡμᾶc τὰ νοούμενα γράφειν καὶ τὰ ὡc πρόc τινα εὐρύθμωc ἢ ἐμμέτρωc πραγματευθέντα μετὰ κρίcεωc διηγουμένη. Ὁ δέ γε Διονύcιοc ὁ Θρᾷξ ὡρίcατο οὕτωc· «γραμματική ἐcτιν ἐμπειρία τῶν παρὰ ποιηταῖc τε καὶ cυγγραφεῦcιν ὡc ἐπὶ τὸ πολὺ λεγομένων».

⟨*Heliodori.*⟩ — Μέμφονται δέ τινεc τὸν τεχνογράφον τὴν λογιωτάτην γραμματικὴν ἐμπειρίαν εἰρηκότα, ἥτιc ἐcτὶν ἡ τῶν ὡcαύτωc ἐχόντων πραγμάτων ἄλογοc τήρηcίc τε καὶ μνήμη· ὡc εἴ τιc ἄγροικοc βοτάνην ἕλκει προcαγαγὼν τύχοι τε τὸ πάθοc ἰάcαcθαι, καὶ μήτε λόγον μήτε αἰτίαν ἀποδοῦναι δυνάμενοc. Λοιπὸν οὕτω τινὲc ἀπολύονται τὴν κατηγορίαν, ὡc ἔν τιcι ζητήμαcι καὶ ἄλογον εὑρίcκοντεc τὴν γραμματικήν, οἷον ὡc ἐν ταῖc ψιλῇ παραδόcει εἰρημέναιc λέξεcιν, ἤγουν ὡc ἐν ταῖc cεcημειωμέναιc. Ἐμπειρία δέ ἐcτιν ἡ ἄλογοc τριβὴ ἡ ἐκ παρατηρήcεωc γινομένη· ὁ γὰρ ἐμπειρικὸc οὐδὲν μετὰ λόγου ποιεῖ, ἀλλ' ὅπερ τηρεῖ τὸν τεχνίτην μετὰ λόγου διαπραττόμενον, τοῦτο καὶ αὐτὸc ποιῶν ἀλόγωc μιμεῖται.

Γραμματική ἐcτιν ἐμπειρία.] ⟨Ἐμπειρία⟩ ἀντὶ τοῦ τέχνη· τὴν γὰρ ἐμπειρίαν ἐνταῦθα ὁ Διονύcιοc ἀντὶ τῆc τέχνηc ἐξελάβετο, καθὰ μετὰ ταῦτά φηcιν «ὃ δὴ κάλλιcτόν ἐcτι πάντων τῶν ἐν τῇ τέχνῃ»· καὶ δείκνυcι διὰ τούτου, ὅτι ἐμπειρίαν τὴν τέχνην λέγει, καὶ οὐ τὴν ἄλογον τριβήν [τῆc γραμματικῆc].

Γραμματική ἐcτιν ἐμπειρία.] Πρότερον *etc.* = Σ^{d} 10,24—11,2. Ὅτι μὲν γὰρ *etc.* Σ^{v} 166,27—167,4.

Γραμματική ἐcτιν ἐμπειρία.] Πολλοὶ *etc.* = Σ^{v} 167,6—25.

Τῶν παρὰ ποιηταῖc τε καὶ cυγγραφεῦcιν.] Εἰδέναι χρὴ ὅτι ταῦτα χαρακτηρίζει ποιητὴν κυρίωc, μέτρον, μῦθοc ἤτοι πλάcμα, ⟨γλῶccα⟩, ἱcτορία καὶ ποιὰ λέξιc. Διαφέρει δὲ ποιητὴc cυγγραφέωc, ῥήτοροc καὶ ἱcτοριογράφου· καὶ ποιητὴc μὲν λέγεται ὁ μέτρῳ cυγγραψάμενοc, ὡc Ὅμηροc· cυγγραφεὺc δὲ ὁ τὰ ἐφ' ἑαυτοῦ γεγονότα cυγγραψάμενοc, ὡc

---

15—25 *videntur esse* Σ^{h}

7—14 *om* N ‖ **13** ἐπιτοπολὺ V; *item p. 301, 10 et 16* ‖ **15** δέ N, *om* V ‖ **24** ποιῶν] ποιεῖν VN ‖ **30** τῆc γραμματικῆc V, τῆc γραφῆc N ‖ **31** *in marg.* Διομήδουc cχολαcτικοῦ N ‖ **33** *in marg.* Cτεφάνου N

ὁ Θουκυδίδης τὸν Πελοποννησιακὸν πόλεμον συνέγραψεν ἐπὶ τῶν αὐτοῦ γεγονότα χρόνων· ῥήτωρ δὲ ὁ περὶ τὰ πολιτικὰ ζητήματα καταγινόμενος, ὡς ὁ Δημοσθένης· ἱστοριογράφος δὲ ὁ παλαιῶν ἱστοριῶν μεμνημένος, ὡς Ἡρόδοτος.

Τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν.] Ποιηταὶ μὲν λέγονται *etc.* = Σ^d 11, 4—8. — Οὐκ ἔστι μόνον *etc.* = Σ^v 167, 26 — 168, 13.

Εἰς τὸ «γραμματική ἐστιν ἐμπειρία». — Μέμφονταί τινες *etc.* = Proll. Voss. 6, 31 — 7, 29.

Ὡς ἐπὶ τὸ πολὺ λεγομένων.] Καλῶς ἔφη «ὡς ἐπὶ τὸ πολὺ
172 v λεγομένων»· τῶν γὰρ πολιτευομένων λέξεων ἐπιστήμων ἔσται ὁ γραμματικός, οὐ μὴν τῶν καθάπαξ καὶ κατὰ μίαν χρῆσιν εἰρημένων· ὡς παρά τισι λέγεται σκέπαρνον ⟨Artemid. 4, 24⟩ τὸ ἔριον διὰ τὸ σκέπειν τὸν ἄρνα, καὶ ποτήριον τὸ ἐξ ἐρίων ἔνδυμα, ὅτι ποτὲ ἔριον ἦν, καὶ ἐπὶ τῶν τοιούτων.

Ἄλλως. — «Ὡς ἐπὶ τὸ πολύ» ἤγουν ὡς ἐπὶ τὸ πλεῖστον λεγομένων· οὐ γὰρ ἐπιζητήσει ὁ γραμματικὸς ζητημάτων Δημοσθενικῶν ἢ δογμάτων Πλατωνικῶν ἀκρίβειαν· εἰ δὲ λέξεων ἐπιστήμων ὁ γραμματικός — τοῦτο γὰρ προσυπακούεται — εἴσεται καὶ τὴν τούτων ἐξήγησιν.

Διομήδους. — Ὡς ἐπὶ τὸ πολὺ λεγομένων, τουτέστι τῶν ὑπὸ πολλῶν ἀρχαίων διὰ μνήμης ἀξίως ἐνεχθέντων καὶ ὡς ἐπὶ τὸ πλεῖστον εὑρισκομένων. Λείπει δὲ τὸ «λέξεων». Διὰ τί δὲ εἶπεν *etc.* = Σ^d 11, 12 — 12, 2.

Πόσα θεωρούμενα περὶ τὴν γραμματικήν; *etc.* = Σ^v 170, 11 — 25.

174 v Πόσα μέρη τῆς γραμματικῆς; Ἕξ· πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν, δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους, τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις, τέταρτον ἐτυμολογίας εὕρεσις, πέμπτον ἀναλογίας ἐκλογισμός, ἕκτον κρίσις ποιημάτων, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ.

Διὰ τί δὲ μέρη τῆς γραμματικῆς καὶ οὐχὶ εἴδη, καὶ τί διαφέρει μέρος εἴδους; Καὶ λεκτέον ὅτι τὰ μὲν εἴδη ἐκ τῶν γενῶν διαιροῦνται καὶ αὐτοτελῆ εἰσιν, οἷον ἐκ τοῦ ζῴου γένους διαιροῦμεν τὸν ἄνθρωπον· τὸ δὲ μέρος ἀπόσπασμά ἐστι τοῦ εἴδους, ἀτελὲς γὰρ ἀνθρώπου μέρος ἡ κεφαλή. Ὅθεν ῥητορικῆς λέγομεν εἴδη τρία, συμβουλευτικόν, δικανικόν, πανηγυρικόν· καὶ [ὅτι] τὸν μὲν ἐπιστάμενον ἓν τῶν τριῶν τούτων εἰδῶν ῥήτορα τέλειον λέγομεν, τὸν δὲ μὴ ἐπιστάμενον πάντα τὰ τῆς γραμμα-

---

20—22 *cfr* Σ^v *168, 14 seq*

5 *in marg.* Διομήδους N ‖ **10** Καλῶς — λεγομένων (11) N, *om* V ‖ **13** ἔριον N, ὄρνεον V ‖ **17** ἐπιζητήσεις τὸν γραμματικὸν VN ‖ **20** Διομ. *in contextu* V, *om* N ‖ **24** *similia hab.* N, *sed post p. 304, 17* ‖ **25—29** *om* N ‖ **30** δὲ N, *om* V | οὐχὶ N, οὐκ V ‖ **35** ἓν V, περὶ N

τικῆς μέρη γραμματικὸν οὐ λέγομεν· ἐκ πάντων γὰρ αὕτη τούτων τῶν μερῶν ἀναπληροῦται.

Στεφάνου. — Μέρη δὲ ἕξ.] Τί δήποτε *etc.* = Σ^v 168, 19—169, 2. Ἰστέον ὅτι τὸ παλαιὸν μέρη *etc.* = Σ^d 12, 3 — 13, 10.

Πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν.] Ἰστέον ὅτι τὸ διορθωτικὸν παρεσιώπησε μέρος, τὴν ἐτυμολογίαν ἀντ' αὐτοῦ καταλέξας ὡς μέρος· ὅπερ οὐκ ἔστι μέρος, ἀλλὰ μόριον τοῦ ἐξηγητικοῦ, ὡς καὶ τὸ ὀρθογραφικὸν τοῦ διορθωτικοῦ· μερῶν δὲ μέρη τὰ μόρια, ὡς κεφαλῆς ὀφθαλμοὶ καὶ ποδῶν δάκτυλοι.

Διομήδους. — Πρῶτον ἀνάγνωσις ἐντριβὴς *etc.* = Σ^d 13, 11—18.

Δεύτερον ἐξήγησις.] Τὸ δεύτερον μέρος τῆς γραμματικῆς ἐξήγησις· ἐξήγησις δέ ἐστιν ἡ τοῦ ἑξῆς ὁδήγησις, τουτέστι τοῦ νοήματος καὶ τῆς διανοίας ἀκολουθία τε καὶ τάξις. — Κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους,] ἤτοι κατὰ τοὺς ἐγκειμένους τῶν ποιητῶν τρόπους. Ἰστέον δὲ ὅτι ἐν τοῖς ποιητικοῖς τρόποις εἰς ἀπορίαν περιίσταται ὁ ἐξηγούμενος, εἰ μὴ μάθοι τὸν τρόπον τοῦ νοήματος· πολλάκις γὰρ ὁ ποιητὴς περὶ πολέμου διαλεγόμενος ἐτράπη ὡς εἰς θερισμοῦ ἐξήγησιν. Ἰστέον δὲ ὅτι οἱ ποιητικοὶ τρόποι ῥητορικῆς εἰσιν ἀλλότριοι· ἀρετὴ γὰρ τῆς ῥητορικῆς ἡ σαφήνεια, οἱ δὲ τρόποι τὸ ἀσαφὲς παράγουσιν.

Στεφάνου. — Δεύτερον ἐξήγησις.] Μετὰ τὸ διδ. *etc.* = Σ^v 169, 8—10.

«Ποιητικούς» τοὺς μάλιστα ποιηταῖς ἁρμόζ. *etc.* = Σ^d 13, 20—14, 12.

Τρύφωνος περὶ τρόπων.

Hac praemissa inscriptione habet V fol. 10^v—12^r quae sub Gregorii Corinthii nomine leguntur apud Spengelium III 215, 3—17 et quae sub Georgii Choerobosci nomine III 244, 4—10; sequuntur excerpta ex 244, 14—255, 18. Tum sic pergit: Ὅτι τὸ φιλεῖ νοεῖ λέγει φέρει φίλησι νόησι λέγησι φέρησι λέγουσι Ῥηγῖνοι· καλεῖται δὲ καὶ σχῆμα Ἰβύκειον ὑπὸ τῶν γραμματικῶν, διὰ τὸν μελοποιὸν δηλαδὴ Ἴβυκον φιλῳδήσαντα τοιαύτῃ γλώσσῃ· τὸ δὲ λάβῃ λάχῃ τὰ αὐθυπότακτα, ἐξ ὧν λάβησι καὶ λάχησιν οὐ τῶν Ῥηγίνων εἰσίν, ἀλλὰ τῶν Ἰώνων. — Καὶ οὗτοι μὲν οἱ τρόποι. Ἐπεὶ δὲ ὁ τρόπος λέξεών ἐστι φράσις, εἴπωμεν καὶ τί ἐστι φράσις. Φράσις ἐστὶ λόγος *etc.* = *Tryphonis de tropis apud Spengelium III 191, 3—13* (ἀναγκαῖον).

Τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν.] Τὸ τρίτον μέρος τῆς γραμματικῆς ἐστιν ἡ σύντομος ἀπόδοσις ἤγουν ἀπόκρισις τῶν τε γλωσσῶν καὶ ἱστοριῶν. Ἰστέον δὲ ὅτι διαφέρει διάλεκτος γλώττης, ὅτι ἡ μὲν διάλεκτος ἐμπεριεκτική ἐστι γλωσσῶν [τε καὶ ἱστοριῶν]· Δωρὶς γὰρ διάλεκτος μία, ὑφ' ἣν εἰσι γλῶσσαι πολλαί, Ἀργείων, Λακώνων, Συρακουσίων, Μεσ⟨σ⟩ηνίων, Κοριν-

---

1 τούτων N, *om* V | 3 Στεφάνου *in contextu* V, Διομήδους καὶ Στεφάνου *in marg.* N | 12 ἐστιν N, *om* V ‖ 14 *post poster.* τρόπους *add* N: ποιητικοὶ δὲ τρόποι εἰσὶ κϛ', οὓς οὐκ ἀναγκαῖον λέγειν ‖ 20 Στεφάνου *in contextu* V, *in marg.* N ‖ 23—32 *om* N ‖ 27 Ῥηγῖνοι] ῥιγῆνες V ‖ 30 ῥιγίνων V ‖ 36 τε *om* N

θίων· καὶ Αἰολὶς μία, ὑφ' ἥν εἰσι γλῶσσαι πολλαί, Βοιωτῶν καὶ Λεσβίων καὶ ἄλλων. Καὶ ἁπλῶς εἰπεῖν διάλεκτοι μέν εἰσι πέντε, Ἰάς, Ἀτθίς, Δωρίς, Αἰολίς, κοινή, γλῶσσαι δὲ πολλαί. Συμβάλλεται δὲ ἡ γλῶσσα πρὸς ὀρθογραφίαν καὶ ἐτυμολογίαν. Ἱστορία δέ ἐστι παλαιῶν πράξεων ἀφήγησις.

Διομήδους. — Τρίτον γλωσσῶν τε καὶ ἱστ. *etc.* = Σ^d 14, 13—22.

Τέταρτον ἐτυμολογίας εὕρεσις.] Τὸ τέταρτον μέρος τῆς γραμματικῆς ἡ τοῦ ἐτύμου, τουτέστι τοῦ ἐν τῇ λέξει ἀληθοῦς, ἀνάπτυξις· ἔτυμον γὰρ τὸ ἀληθές, καὶ ἡ ἐτυμολογία ἐν τῷ σημαινομένῳ τὸ ἀληθὲς καταλαμβάνει, ὡς ἐν τῷ οὐρανός λέγομεν, οὐρανὸς γὰρ ὅρος τίς ἐστιν. Ἰστέον δὲ ὅτι οὐ μέρος τῆς γραμματικῆς τὸ ἐτυμολογικόν, ἀλλὰ μέρους μόριον τοῦ ἐξηγητικοῦ.

174 v Τοῦ αὐτοῦ εἰς τὸ αὐτό. — Τέταρτον ἐτυμολογίας εὕρεσις.] Πρῶτον ὁ εἰσαγόμενος μανθάνει, ὅτι μῆνιν βαρυτόνως δεῖ ἀναγινώσκειν· διδαχθεὶς δὲ καὶ τοῦ ἀναγνωσθέντος ἀπαιτεῖ τὴν ἐξήγησιν, ὅ ἐστι τὴν
175 v ἑρμηνείαν· μαθὼν δὲ ὅτι ὀργὴν ἐπίμονον σημαίνει, ἀπαιτεῖ τὴν διάλεκτον, τίνες λέγουσι μῆνιν τὴν ὀργήν, καὶ ἀκούει ὅτι οἱ Ἴωνες. Μαθὼν δὲ καὶ τὴν διάλεκτον ζητεῖ καὶ τὴν τῆς ἐτυμολογίας εὕρεσιν. Ἐτυμολογία δέ ἐστιν ἡ ἀνάπτυξις τῶν λέξεων κατὰ τὸ δυνατόν, δι' ἧς *etc.* = Σ^d 14, 24—15, 7.

⟨*Heliodori.*⟩ — Πέμπτον ἀναλογίας ἐκλογισμός.] Τὸ πέμπτον μέρος τῆς γραμματικῆς ἡ ἐκζήτησις καὶ ἀκριβολογία τῆς τοῦ ὁμοίου
175 v παραθέσεως. Ἀναλογία γάρ ἐστι λόγος ἀποδεικτικὸς καθ' ὁμοίου παράθεσιν τῆς καθ' ἕκαστον μέρος φυσικῆς ἀκολουθίας· «ὁμοίου» δὲ κατὰ τὸν τύπον, ὡς ὅμοιόν φαμεν εἶναι τὸ Δημοφῶν τῷ Ξενοφῶν.

Στεφάνου. — Πέμπτον ἀναλογίας ἐκλογισμός.] — Μαθὼν *etc.* = Σ^v 169, 23—29. Τὸ οὖν πέμπτον μέρος *etc.* = Σ^d 15, 12—25.

175 v Ἕκτον κρίσις ποιημάτων.] Τὸ ἕκτον μέρος τῆς γραμματικῆς ἐστιν ἡ κρίσις, τουτέστιν ἡ βάσανος καὶ ἐξέτασις τῶν ποιημάτων. Διαφέρει δὲ κρίσις συγκρίσεως· καὶ πρῶτον μὲν κρίσις, δεύτερον δὲ σύγκρισις· κρίνει μὲν γάρ τις ἕκαστον ἐκ τῶν ἰδίων, συγκρίνει δὲ ἕτερον ἐφ' ἑτέρῳ· ὥστε ἡ σύγκρισις ἐν αὑτῇ προτέραν τὴν κρίσιν ἔχει. Ζητητέον δὲ ⟨εἰ⟩ ἄρα ὁ γραμματικὸς καλλίων ὢν τῶν ποιητῶν κρίνει αὐτῶν τὰ ποιήματα, ἢ ἥττων· καὶ εἰ μὲν καλλίων, δῶμεν καὶ αὐτὸν εἶναι ποιητήν, ὅπερ ἀλλότριον γραμματικῆς· οὔτε γὰρ μέρος οὔτε ὄργανον τῆς γραμματικῆς τὸ ποιητικόν· εἰ δὲ ἥττων ὤν, κρίνει οὐχ ὡς ποιητὴς ἀλλ' ὡς τεχνίτης τῆς ἐκείνων ὕλης ὁ γραμματικός· ὕλη γὰρ ποιητικῆς μῦθος,

---

13—16 = *Σ^v 169, 12—15* ‖ **22—24 hab. et.** Σ^1

1 αἰολικὴ N ‖ **3** δὲ ἡ] γὰρ ἡ V, *om* N ‖ **5** Διομ. *in contextu* V, *in marg.* N ‖ **10** ὅτι N, *om* V ‖ **12** Τοῦ — αὐτό V, *om, sed in marg. rubro* Διομήδους N *(nomen pertinet ad v. 17)* ‖ **18** ἡ N, *om* V ‖ **22** ὁμοίου Σ^1N, ὁμοίαν V ‖ **25** Στεφ. *in contextu* V, *in marg.* N ‖ **27** *in marg.* ἀντι^ων N ‖ **28** ἡ κρ. τουτ. N, *om* V ‖ **31** ἐφ' *om* N | αὐτῇ πρότερον VN ‖ **32** ἆρα N

μέτρον, λέξις, ἱστορία, γλῶσσα, καὶ τούτων τεχνίτης ὁ γραμματικός. Κρίνει δὲ [ὡς] οὐ, πότερον αὐτοῖς καλῶς γέγραπται ἢ οὔ, ἀλλὰ ποῖα ἀνόμοια καὶ ποῖα ὅμοια, καὶ ποῖα νόθα τῶν ποιημάτων καὶ ποῖα γνήσια. Κρίνεται δὲ ἡ ποίησις χρόνῳ, λέξει, ἱστορίᾳ, πλάσματι, συνθέσει, κυριολογίᾳ, οἰκονομίᾳ, τάξει, ἤθει, προσώπῳ.

Ὃ δὴ κάλλιστόν ἐστι.] Κάλλιστον τοῦτο τὸ μέρος εἶπε, παρόσον ἤδη τελευτησάντων τὴν τέχνην ἔργον τὸ κρίνειν· καὶ πολλοὶ δὲ τῶν παλαιῶν γραμματικῶν κριτικοὶ ὀνομάζονται.

Σαφῶς δὲ εἰρηκὼς περὶ γραμματικῆς καὶ τῶν ταύτης μερῶν ὁ τεχνικὸς μετέρχεται ἐπὶ τὸ ἀναγνωστικόν, ὅπερ μέρος πρῶτον τῆς γραμματικῆς, καί φησι περὶ μόνης ἀναγνώσεως. Καὶ ζητητέον, διὰ τί καὶ περὶ ἐξηγήσεως καὶ τῶν ἄλλων μερῶν οὐκ εἶπε. Καὶ ἰστέον ὅτι τοῖς εἰσαγομένοις συνήθης ἡ ἀνάγνωσις, ὁ δὲ περὶ ἐξηγήσεως λόγος καὶ τῶν ἄλλων δυσχερὴς καὶ πολλῆς ἀσκήσεως καὶ παρασκευῆς δεόμενος· καὶ διὰ τοῦτο τὸν περὶ αὐτῶν ὁ τεχνικὸς ἀπεσιώπησε λόγον.

Ἕκτον κρίσις ποιημάτων.] Ὅταν τις *etc.* = Σ^v 169, 30 — 170, 10.

Περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ.

Paucis additis interrogationibus et adnotationibus eadem fere praebet hic tractatus quae edita sunt a Valckenario post Ammonium de differ., sed hoc ordine: p. 178, 8—15; 176, 8 — 177, 13; 179, 4 — 181, 18; 177, 13 — 17; 181, 22 — 187, 4.

Πόσα παρέπεται τῇ γραμματικῇ; Δεκαδύο· ἡ διαίρεσις τῶν εἰκοσιεπτὰ γραμμάτων, ἡ ἐπίγνωσις πάντων τῶν τόνων, οἱ κανόνες ἅπαντες τῶν τε μακρῶν καὶ τῶν βραχειῶν συλλαβῶν, οἱ κανόνες τῶν πνευμάτων, οἱ κανόνες τῶν παθῶν, ἡ ὀρθογραφία τῶν συλλαβῶν ἁπάσης ἀρχῆς τῶν λέξεων μονοσυλλάβων, δισυλλάβων καὶ τῶν ἐχουσῶν πλείονας συλλαβάς, ἀλλὰ καὶ ἡ ὀρθογραφία πᾶσα, ἥ τε ἐν αὐξήσει καὶ τῷ ἀναδιπλασιασμῷ καὶ τῇ κατ' ἀρχὴν ἐπεκτάσει πάντων τῶν παρῳχημένων χρόνων, ἤγουν παρατατικοῦ, παρακειμένου, ἀορίστου πρώτου, ἀορίστου δευτέρου, μέσου ἀορίστου πρώτου τε καὶ δευτέρου, ὑπερσυντελίκου καὶ τῶν ἄλλων, οἱ κανόνες τῶν ληγουσῶν λέξεων, οἱ κανόνες τῶν παραληγουσῶν λέξεων, περὶ τῶν αὐθυποτάκτων, ἀνυποτάκτων τε καὶ ὑποτασσομένων, περὶ τῆς συντάξεως τῶν δεκαεπτὰ προθέσεων καὶ τῶν ποδῶν τῶν στίχων, περὶ τῶν προπαραληγουσῶν λέξεων, καὶ οἱ κανόνες τῆς τετάρτης συλλαβῆς τῶν λέξεων, περὶ ὧν πάντων ἀκριβῶς ὁ λόγος προϊὼν διδάξει.

Πότερον ἡ γραμματικὴ τέχνη ἐστὶν ἢ ἐπιστήμη; Τέχνη. Διὰ τί; Διότι ἡ μὲν ἐπιστήμη ἄπταιστός ἐστιν, ἡ δὲ τέχνη πταιστή· καὶ γὰρ ἡ γραμματικὴ τέχνη οὖσα ἐν πολλοῖς πταιστὴ εὑρίσκεται· διά τοι τοῦτο τέχνη ἐστίν, οὐκ ἐπιστήμη. — Τί ὑπόκειται τῇ γραμματικῇ; Ἑλληνίδος γλώττης φωναί. — Πόθεν εἴρηται γραμματική; Ἀπὸ τοῦ γράμμα, ὃ δηλοῖ τὸ ποίημα, γίνεται γραμματικὸς καὶ γραμματική. — Τί ἐστι γράμμα; Σημεῖον στοιχείου ἐν σχήματι γραμμῆς ποιῷ ἢ ποσῷ παραλαμβανόμενον. Πόθεν γράμμα; Ἀπὸ τοῦ γλάπτω, ὃ σημαίνει τὸ κοιλαίνω· οἱ γὰρ παλαιοὶ τὰ γράμματα τοῖς λίθοις ἐνεκόλαπτον. Πόσα σημαίνει γράμμα; Ἑπτά· γράμμα ὁ τόνος,

---

3 ποιημάτων] ποιητῶν VN ‖ 7 τελεσάντων N ‖ 13 λόγος] ὅρος VN | τῶν ἄλλων N, τοῖς ἄλλοις V ‖ 16 *in marg.* Διομήδους N ‖ **18—21** *om* N ‖ **22 — 305, 5** *om* N ‖ **26** πλείονας *Stadtmüller*, πλείστας V

γράμμα ὁ χαρακτήρ, γράμμα ἡ ἐπιστολή, γράμμα ἡ γραμμή, γράμμα τὸ σύγγραμμα, γράμμα τὸ ζωγράφημα, γράμμα καὶ τὸ ψήφισμα. — Τί διαφέρει γράμμα γραμματικῆς; Γράμμα μὲν γὰρ λέγεται ἡ προπαιδεία, ἤγουν ἡ κατ᾽ ἀρχὴν τῶν παίδων διδασκαλία, ἥτις περὶ τοὺς ψόφους καὶ χαρακτῆρας τῶν στοιχείων γίνεται· γραμματικὴ δὲ ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων.

§ 2.

Περὶ ἀναγνώσεως.

Τί ἐστιν ἀνάγνωσις; Κατὰ μὲν φιλοσόφους ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις [καὶ ἀναγνῶναι τὸ ἐπιγνῶναι], ὥς φασι φιλοσόφων παῖδες μετεμψύχωσιν εἶναι καὶ ἐρχομένην εἰς ἀνθρώπειον σῶμα τὴν ψυχὴν [καὶ ἀναγνωρίζειν τὸ ἐπιγινώσκειν]· κατὰ δὲ γραμματικοὺς ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά. Τί ἐστιν ἀδιάπτωτος προφορά; Τουτέστιν ἀδιάπταιστος προένεξις ἤγουν ἀδιαίρετος ⟨ἀνά⟩γνωσις· προφορὰ γὰρ ἡ διὰ τῆς τοῦ λόγου φωνῆς ἐκφορὰ καὶ προένεξις. — Ἄλλως. Τί ἐστιν ἀνάγνωσις; Ἡ δευτέρα γνῶσις· πρώτη γὰρ ἡ διὰ τῶν συλλαβῶν γνῶσις· εὑρίσκομεν οὖν τὴν ἀνά πρόθεσιν πολλάκις τὸ ἐκ δευτέρου σημαίνουσαν, οἷον ἀναλαβεῖν ἀναδοῦναι ἀναγνῶναι καὶ τὰ ὅμοια, καὶ διὰ τοῦτο ἀνάγνωσις. Ἀνάγνωσις δὲ ἐντριβής, ἤγουν τετριμμένη καὶ πεπατημένη· τρίβος γὰρ ἡ πεπατημένη ὁδός· δεῖ οὖν ἐκείνην ποιεῖσθαι τὴν ἀνάγνωσιν, ἣν οἱ παλαιοὶ τῷ λόγῳ διώδευσαν.

Περὶ ἀναγνώσεως μὲν εἴρηται ἐν τοῖς προλαβοῦσιν. Ὁ δὲ ἤ παραδιαζευκτικὸς ἐν τῷ «ἢ συγγραμμάτων» ἀντὶ τοῦ «καί» παραλαμβάνεται, ὡς εἶναι καὶ συγγραμμάτων ἀδιάπτωτος καὶ ἄπταιστος προφορὰ ἤγουν προένεξις· ἀθάνατος γὰρ ἡ ψυχὴ καὶ πάντων ἔμπειρος.

Ἀναγνωστέον δὲ καθ᾽ ὑπόκρισιν, κατὰ προσῳδίαν καὶ κατὰ 180v διαστολήν.] Τῆς ἀναγνώσεως μέρη εἰσὶ τρία, ὑπόκρισις, προσῳδία καὶ διαστολή. Ὑπόκρισις μὲν οὖν ἐστιν ἡ τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων μίμησις ἢ διὰ σωματικῆς ἢ φωνητικῆς ἐμμέτρου κινήσεως γινομένη· προσῳδία δὲ πάλιν τόνος φωνῆς κατὰ διάλεκτον ἢ κατὰ ἀναλογίαν κατορθούμενος, ὥσπερ ἐπὶ τοῦ ὅμοιος, ὅπερ τῆς ἀναλογίας προπερισπώσης οἱ Ἀττικοὶ προπαροξύνουσι. Λέγεται δὲ προσῳδία ἀπὸ τοῦ πρὸς αὐτὴν ᾄδεσθαι τὴν φωνήν· ᾠδὰς δὲ ἔλεγον οἱ ἀρχαῖοι τὰ ποιήματα, καὶ ἀοιδοὺς τοὺς ποιητάς. Διαστολὴ δέ ἐστι διάστασις γράμματος περὶ τὴν σύνταξιν ἀμφιβαλλομένου [ἢ ἀμφιβόλου]· διαστολὴ δὲ εἴρηται, ὅτι διαστέλλει τὸν ἐγκείμενον νοῦν κατὰ στιγμήν. [ἡ γὰρ παρὰ τέχνην οὐκ ἀνάγνωσις ἀλλ᾽ ἀγνωσία.]

Ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετήν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην, ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν.] Ἀπὸ κοινοῦ κατὰ τῶν τριῶν τὸ «ὁρῶμεν»· ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετὴν τοῦ ποιητοῦ ὁρῶμεν, ἐκ δὲ τῆς προσῳδίας τὴν

8—19 *similia habet etiam* N, *sed post p. 302, 9* ‖ 20 ἐν. τ. προλ. N, *om* V ‖ 24 καὶ *om* N ‖ 25 καὶ *om* N ‖ 28 πάλιν N, *om* V ‖ 33 ἀμφιβαλλομένου] ἀμφιβάλλουσα VN ‖ 34 ἡ — ἀγνωσία (35) *om* N

τέχνην τοῦ ἀναγινώϲκοντοϲ ὁρῶμεν, ἐκ δὲ τῆϲ διαϲτολῆϲ, τουτέϲτι τῆϲ ϲτιγμῆϲ, τὴν διάνοιαν καὶ τὴν ϲαφήνειαν τοῦ ποιήματοϲ διακρίνομεν.

Στεφάνου ἑρμηνεία εἰϲ τὸ περὶ ἀναγνώϲεωϲ. Ἀνάγνωϲίϲ ἐϲτι *etc.* = Σ^{v} 171, 8 — 172, 16.

Τί δὲ ἐξ ἑκάϲτου τούτων ὠφελούμεθα; Αὐτὸϲ ἐπιφέρει. Ἔκ *etc.* = *excerpta ex* Σ^{d} 16, 17 — 17, 8.

Ἵνα τὴν μὲν τραγῳδίαν ἀναγνῶμεν ἡρωϊκῶϲ.] Τραγῳδία ἐϲτὶ βίων καὶ λόγων ἡρωϊκῶν καὶ παθῶν μίμηϲιϲ ἔχουϲα μυϲτήρια καὶ ϲεμνότητα πλοκήν τέ τινα τῶν κατὰ μέροϲ· [ἄρξαϲθαι δὲ αὐτῆϲ Ἀριϲτοτέληϲ Coυϲαρίωνά φηϲι]. Τραγῳδία δὲ εἴρηται καθὸ τράγουϲ ὑπὲρ μιϲθοῦ ἐλάμβανον οἱ ἀγωνιζόμενοι.

Ἄλλωϲ. — Ἵνα τὴν τραγῳδίαν ἡρωϊκῶϲ ἀναγνῶμεν·] μετὰ ὄγκου τινὸϲ μιμούμενοι τὰ μεγέθη τῶν ϲωμάτων τῶν ἡρώων τῇ τῶν λόγων ὑπερβολῇ.

⟨*Heliodori.*⟩ — Τὴν δὲ κωμῳδίαν βιωτικῶϲ.] Κωμῳδία ἐϲτὶν ἡ ἐν μέϲῳ λαοῦ κατηγορία καὶ δημοϲίευϲιϲ· εἴρηται δὲ κωμῳδία ἀπὸ τοῦ ἐν ταῖϲ κώμαιϲ καὶ ἐν τοῖϲ δήμοιϲ ᾄδεϲθαι. Ἡρωϊκῶϲ οὖν μετὰ πολλῆϲ ϲεμνότητοϲ καὶ ἐπηρμένηϲ φωνῆϲ μιμουμένουϲ τοὺϲ ἥρωαϲ, βιωτικῶϲ δὲ μετὰ γέλωτοϲ καὶ πολλῆϲ ἀϲτειότητοϲ καὶ ἱλαρότητοϲ ὑποκρινομένουϲ τὰ βιωτικὰ καὶ τὰ παρειϲαγόμενα πρόϲωπα. Δεῖ δὲ γινώϲκειν, ὅτι πολλὴ διαφορὰ τῆϲ τραγῳδίαϲ καὶ τῆϲ κωμῳδίαϲ, ὅτι ἡ μὲν τραγῳδία περὶ ἡρωϊκῶν πραγμάτων καὶ προϲώπων λέγει, ἡ δὲ κωμῳδία ἀπήλλακται τούτων· καὶ ὅτι ἡ μὲν τραγῳδία τὰ τέλη περὶ ϲφαγῶν καὶ φόνων ἔχει, ἡ δὲ κωμῳδία περὶ ἀναγνωριϲμοῦ· καὶ ὅτι ἡ μὲν τραγῳδία ἱϲτορίαν καὶ ἀπαγγελίαν ἔχει πράξεων γενομένων, ἡ δὲ κωμῳδία διάπλαϲμα βιωτικῶν πραγμάτων· καὶ ὅτι πάλιν ἡ μὲν τραγῳδία διαλύει τὸν βίον, ἡ δὲ κωμῳδία ϲυνίϲτηϲι. Καὶ εἴρηται μὲν τραγῳδία, ὅτι περὶ τράγων ἠγωνίζοντο· ἢ καὶ τραγῳδία λέγεται ἀπὸ τοῦ τὰϲ ὄψειϲ περιχρίειν τρυγίᾳ, τροπῇ τοῦ ῠ εἰϲ ᾰ· κωμῳδία δέ, ὅτι ἐν κώμαιϲ ᾖδετο.

Ἵνα τὴν μὲν τραγῳδίαν.] Τραγῳδία ποίηϲίϲ ἐϲτιν ἐπιτάφιοϲ τῶν τραγικῶν, [τοῦ τε Μενάνδρου,] τοῦ Σοφοκλέουϲ, τοῦ Αἰϲχύλου, τοῦ Εὐριπίδου καὶ ἑτέρων τοιούτων. Γεγόναϲι *etc.* = *eadem fere quae* Σ^{d} 17, 16 — 20, 12.

«Βιωτικόϲ» οὖν ὁ μετὰ ἀϲτειότητοϲ καὶ ἱλαρότητοϲ καὶ ἡδονῆϲ καὶ γέλωτοϲ· ἢ «βιωτικόϲ» ὁ κατὰ μίμηϲιν τοῦ βίου, τουτέϲτιν ὁ μιμούμενοϲ τὸ παρειϲαγόμενον πρόϲωπον καὶ τὴν ἐκείνου ἀποματτόμενοϲ ϲχέϲιν, ἵνα ἂν μὲν ὑπόκειται γέρων, μιμηϲώμεθα τὴν φωνὴν τοῦ γέροντοϲ, εἰ

15—30 ***videntur esse*** Σ^{h}

3 Στεφ. — ἀναγνώϲ. V, Στεφάνου *in marg.* N || **9** τῶν κατὰ μ. πλ. τέ τινα VN, *corr. Uhlig* || **10** Coυϲαρίωνα φηϲὶ V, Μουϲαρίωνα φηϲὶ N || **19** καὶ ἱλαρ. N, *om* V || **20** τὰ βιωτικὰ V, τοὺϲ βιωτικοὺϲ N || **26** διαλύει V, ἀναλύει N || **37** ὑπόκειται N, ὑποκέοιτο V

δὲ γυνή, τὴν γυναικός. — Διαφέρει κωμῳδία τραγῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν καὶ ἀπαγγελίαν ἔχει πράξεων γεγονυιῶν, ἡ δὲ κωμῳδία διαπλάσματα ἔχει βιωτικῶν πραγμάτων· καὶ ὅτι ἡ μὲν τραγῳδία περὶ ἡρωϊκῶν προσώπων καὶ πραγμάτων λέγει, ἡ δὲ κωμῳδία ἀπήλλακται τούτων· καὶ ὅτι ἡ μὲν τραγῳδία τὰ τέλη περὶ σφαγῶν καὶ φόνων ἔχει, ἡ δὲ κωμῳδία περὶ ἀναγνωρισμοῦ. — Καὶ ἄλλως· βιωτικῶς κατὰ τὴν ὑφὴν τῶν πραγμάτων.

Τὰ δὲ ἐλεγεῖα λιγυρῶς.] Τὸ ἐλεγεῖον μέτρον ἐστὶν ἐκ δύο πενθημιμερῶν συγκείμενον· ἐνενόητο δὲ ἐν τοῖς θρήνοις· ἐλέγους δὲ ἐκάλουν τοὺς θρήνους ἀπὸ τοῦ ἒ ἒ λέγειν ἐν τοῖς τάφοις· ὕστερον δὲ ἐπιθαλαμίοις ἐχρήσαντο τούτοις τοῖς μέτροις. Λιγυρῶς δὲ καὶ ὀξέως δεῖ ἀναγινώσκειν τὰ ἐλεγεῖα, ὡς λίαν ἐκπεπληγμένους τῷ πλήθει τῶν κακῶν.

Διομήδους καὶ Στεφάνου. — Τὰ δὲ ἐλεγεῖα λιγυρῶς.] Τὸ ἐλεγεῖον ἔμμετρός ἐστι στίχος, ἐλλείπων ἑνὶ ποδὶ τοῦ ἡρωϊκοῦ στίχου, εἰς δύο πενθημιμερῆ τεμνόμενος, οἷον ⟨Callim. fr. 488 Sch⟩ νήϊδες, οἳ Μούσης οὐκ ἐγένοντο φίλοι· οὗ τὸ μὲν πρῶτον τμῆμα ἀδιαφόρως καὶ σπονδεῖον καὶ δάκτυλον ἐπιδέχεται, τὸ δὲ δεύτερον ἀεὶ δακτύλους. Ἔλεγοι δὲ λέγονται οἱ θρῆνοι· Ἔλεγος γάρ τις ἐγένετο υἱὸς Κλειοῦς τῆς Μούσης· ἢ ἀπὸ Ἐλέγου τινός· τούτου γοῦν ὡς ἔμελλον οἱ γάμοι γίνεσθαι, αἴφνης ἐξέπνευσε· καὶ λοιπὸν πᾶσα ἡ μουσικὴ ἡ προσελθοῦσα τῷ γάμῳ, ἀντὶ τοῦ ᾄδειν καὶ χαίρειν καὶ ὀρχεῖσθαι, ἐθρήνουν πάντες μετὰ μέλους, καὶ αὐληταὶ καὶ κιθαρισταὶ καὶ ἀοιδοί, ἐκπλαγέντες ἐπὶ τῷ συμβεβηκότι τῷ Ἐλέγῳ. Ἢ ἐλεγεῖόν ἐστι θρῆνος ἐπιτάφιος, οἱονεὶ ἐλεεῖόν τι ὄν, ἐλλειφθέντος τοῦ γ̄, ἀπὸ τοῦ ἐλεεῖν τὸν τετελευτηκότα· ἢ ἐλεγεῖον ἀπὸ τοῦ ἒ λέγειν τὸν ἀποβιώσαντα. Ἐπειδὴ δὲ οἱ τεθνηκότες ἔλλειψίν τινα ἔχουσιν, ἤτοι τοῦ ζῆν, τούτου χάριν καὶ τὰ ἐλεγεῖα, ὡς ἐπὶ τοῖς θνῄσκουσι λεγόμενα, ἐλλείπει πόδα πρὸς τὸν δακτυλικὸν στίχον. Ἰστέον δὲ ὅτι ἐλεγεῖον καὶ ἐλεγεία διαφέρουσιν ἀλλήλων· ἐλεγεῖον γάρ ἐστιν, ὅταν εἷς στίχος ὑπάρχῃ καὶ πεντάμετρος, ἐλεγεία δέ, ὅταν ὅλον ⟨τὸ⟩ ποίημα ἀμοιβαῖα ἔχῃ τὰ μέτρα, ἑξάμετρα καὶ πεντάμετρα. — «Λιγυρῶς» δὲ οἷον ὀξέως ἀναγινώσκειν ἡμᾶς δεῖ τὰ ἐλεγεῖα, ὡς ἂν ἐκπεπληγμένους τῷ πλήθει τῶν κακῶν· ἢ «λιγυρῶς» ἤτοι γλυκερῶς, λιγὺς γὰρ ὁ γλυκύς· ἢ οὐχ ἡδύτητί τινι, ἀλλὰ λυπηρῶς καὶ ὀξέως. Τὰ δὲ ἐλεγεῖα ἐπὶ κηδείαις ἁρμόζει θρηνεῖν, τουτέστιν ἐπὶ κηδευομένοις. Τῆς δὲ μετὰ *etc.* = Σ^{d} 20, 17—22.

Τὸ δὲ ἔπος εὐτόνως.] Ἔπος κυρίως ὁ ἔμμετρος στίχος, καταχρηστικῶς δὲ καὶ πᾶς λόγος· ἔπος λέγεται καὶ τόνος παρά τισιν, «ἐξα-

---

1—3 = Σ^{v} *173, 2—4* ‖ **1—6** *cfr* Σ^{m} *306, 20—27* ‖ **14—19** = Σ^{d} 20, *13—22* ‖ **24—26** *cfr* Σ^{d} *20, 25—21, 3*; Σ^{v} *173, 8—10* ‖ **26—34** = Σ^{v} *173, 10—18*

1 τὴν γυν. V, τῆς γυν. N ‖ **14** Διομ. καὶ Στεφ. *in marg.* VN ‖ **23** ἀοιδοί *R Schneider*, τραγῳδοὶ VN ‖ **38** καὶ τόνος] ὁ τόνος καὶ V

μέτροις τοῖς τόνοις κεχρῆσθαι». Δεῖ γοῦν τὸν τόνον, ὅ ἐστιν ἔπος, εὐτόνως προφέρειν καὶ ἐν τούτῳ τῆς φωνῆς τοὺς λόγους καὶ τὰς πράξεις μιμεῖσθαι τῶν ἡρώων· ἡρωϊκὰς γὰρ πράξεις ἐν τῷ ἔπει ἐπῆλθεν ὁ ποιητής, ἃς οὐ χρὴ καταμαλάττειν τῇ μαλακίᾳ τῆς φωνῆς.

Διομήδους. — Τὸ δὲ ἔπος εὐτόνως.] Ἔπος κυρίως ὁ ἔμμετρος λόγος λέγεται, κατ' ἐξοχὴν δὲ τὸ ἡρωϊκὸν μέτρον ἔπος ἐκάλεσεν· ὅπερ διδάσκει ἡμᾶς «εὐτόνως» ἀναγινώσκειν, τουτέστι συντόνῳ τῇ φωνῇ, καταλιμπάνον δὲ τὴν ἐκλελυμένην, ὡς καὶ ἡρώων ἀνδρῶν περιέχον ἱστορίας· καταχρηστικῶς δὲ καὶ πᾶς λόγος ἔπος λέγεται. Ἢ ἔπος ἐστὶ τὸ ἑξάμετρον· ἐκείνη δὲ ἡ ποίησις λέγεται ἔπος, ὅταν τὸ σωμάτιον ὅλον ἐκ τοῦ ἡρωϊκοῦ στίχου σύγκειται. Ἔπος δὲ ἀπὸ τοῦ ἕπεσθαι τῷ μέτρῳ.

Τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς.] Ἡ λυρικὴ ποίησις καὶ πρὸς βάρβιτον καὶ αὐλὸν καὶ κιθάραν ᾄδεται, ἀπὸ τοῦ καλλιστεύοντος δὲ λυρικὴ ὠνόμασται. Λύρα δὲ ἐλέχθη λύτρα τις οὖσα· ὁ γὰρ Ἑρμῆς σοφισάμενος χελώνην ἐκδεῖραι καὶ κατασκευάσαι τῷ Ἀπόλλωνι κιθάραν λύτρον ἀντὶ τῆς κλεψίας τῶν βοῶν ἐποίησεν.

Τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς.] = Σ^{d} 21, 12—13; Σ^{v} 173, 28—174, 4; Σ^{d} 21, 17—21.

Τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς·] τουτέστι τοὺς θρήνους ταπεινῶς καὶ κατανυκτικῶς. Καὶ τοὺς μὲν οἴκτους οὐκ ἐν ὡρισμένῳ εὑρήσεις μέτρῳ, ἀλλ' ἐν παντὶ λόγῳ καὶ ποιήματι ὀλοφυρμὸν καὶ ἐλεεινολογίαν. Δεῖ γοῦν ἐν ἑκάστῳ ποιήματι τὸν τόπον τῆς ἐλεεινολογίας παραφυλάττειν καὶ παρ' αὐτὰ ἀναπαύειν, ὡς ἂν κεκμηκότας τῷ πάθει.

Τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς·] τουτέστι τοὺς θρήνους ταπεινῶς καὶ κατανυκτικῶς. Εἶδος *etc.* = Σ^{v} 174, 5—13.

Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν.] Εἰρηκὼς *etc.* = Σ^{d} 22, 1—13.

Καὶ τὰς ἕξεις τῶν ἀναγινωσκόντων καταγελάστους παρίστησι.] Τοῦ ἀναγνωστικοῦ μέρους διαιρουμένου εἰς τρία, εἴς τε ὑπόκρισιν καὶ διαστολὴν καὶ προσῳδίαν, ἐδίδαξεν ἡμᾶς ὁ τεχνικὸς πῶς δεῖ προβάλλεσθαι τὴν ὑπόκρισιν ἐν τραγῳδίᾳ καὶ κωμῳδίᾳ καὶ λυρικῇ καὶ τοῖς λοιποῖς ποιήμασι. Δεῖ γοῦν ἡμᾶς γνῶναι καὶ τὸ τέλειον κατὰ προσῳδίαν ⟨καὶ⟩ κατὰ διαστολήν· ⟨καὶ⟩ προσῳδία μὲν ὁ τόνος, διαστολὴ δὲ ἡ στιγμή.

Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν.] Ἡ παρά ἐνταῦθα ἐπὶ πλησιασμοῦ εἴρηται· ἡ γὰρ παρά πρόθεσις σημαίνει

5—9 cfr Σ^{d} 21, 6—11; Σ^{v} 173, 19—27 ‖ *13—17 cfr Σ^{v} 173, 28—174, 4* ‖ *37—309, 5 cfr Σ^{v} 174, 15—18*

5 Διομ. *in marg.* VN ‖ 18 *in marg.* Διομήδους N ‖ 37 *in marg. add* Στεφάνου N

καὶ ἐγγύτητα, τουτέστι τὰ μὴ ἐγγὺς τούτων καὶ κατὰ τὴν αὐτῶν παρατήρησιν γινόμενα ἀναγνώσματα· σημαίνει καὶ χωρισμόν, ὡς ἐὰν εἴπῃ τις ἐπὶ χωρισμοῦ «πάντες συνήχθησαν ἐν τῇ διατριβῇ παρὰ τόνδε», τουτέστι χωρὶς τοῦδε· καὶ πάλιν ἐπὶ πλησιασμοῦ «πάντες συνήχθησαν παρὰ τόνδε», ἀντὶ τοῦ ἐγγὺς τοῦδε. Ἐνταῦθα *etc.* = **Σ**[v] 174, 18—24.

Πόσοι τρόποι τῆς ἀναγνώσεως; Δυοκαίδεκα· ἀναλογία, ἐτυμολογία, συναλοιφή, διάλεκτος, ἱστορία, γραφή, σημαινόμενον, φράσις, μετάληψις στοιχείου, ἀδιάφορος τρόπος, μέτρον καὶ συνήθεια.

Τί ἐστιν ἀναλογία; Ἡ τῶν ὁμοίων παράθεσις, δι᾽ ἧς συνίστανται οἱ τῶν ὀνομάτων καὶ ῥημάτων κανόνες. Ἄλλως· ἡ τὸ πολυσχιδὲς τῶν ἀνθρώπων φθέγμα συντόμως παραδιδοῦσα.

Τί ἐστιν ἐτυμολογία; Ἀνάπτυξις τῶν λέξεων ἁρμόζουσα τῇ φωνῇ, δι᾽ ἧς καὶ τὸ ἀληθὲς σαφηνίζεται. Πόθεν ἐτυμολογία; Παρὰ τὸ ἐτύμως λέγειν ἤγουν ἀληθῶς, ἐξ οὗ καὶ κατὰ ἀναδιπλασιασμὸν ἐτήτυμον.

Τί ἐστι συναλοιφή; Συνέλευσις καὶ συμφωνία δύο συλλαβῶν εἰς μίαν συλλαβήν. Ἄλλως· δύο συλλαβῶν κατὰ φωνήεντος ἕνωσις καταβολῇ τόνων. Κατὰ πόσους τρόπους γίνεται ἡ συναλοιφή; Κατὰ ἑπτά, ἁπλοῦς μὲν τρεῖς· κατὰ θλῖψιν, ὡς τὸ ἐπ᾽ ἐμέ ἀντὶ τοῦ ἐπὶ ἐμέ, κατὰ κρᾶσιν, οἷον τἀμά ἀντὶ τοῦ τὰ ἐμά, καὶ κατὰ συναίρεσιν, οἷον Νηρῇδες ἀντὶ τοῦ Νηρηΐδες· συνθέτους δὲ τέσσαρας· κατὰ θλῖψιν καὶ κρᾶσιν, οἷον κἀγώ ἀντὶ τοῦ καὶ ἐγώ, κατὰ θλῖψιν καὶ συναίρεσιν, οἷον ὡπόλος ἀντὶ τοῦ ὁ αἰπόλος, κατὰ κρᾶσιν καὶ συναίρεσιν, οἷον τοὐμόν ἀντὶ τοῦ τὸ ἐμόν, καὶ κατὰ θλῖψιν καὶ κρᾶσιν καὶ συναίρεσιν, οἷον ἐν τᾀθιοπίᾳ ἀντὶ τοῦ ἐν τῇ Αἰθιοπίᾳ.

Τί ἐστι διάλεκτος; Ἰδίωμα γλώττης. Τί ἐστι γλῶσσα; Εἶδος διαλέκτου. Πόθεν γλῶσσα; Ἀπὸ τοῦ κλώθω κλώσω κλῶσα καὶ γλῶσσα διπλασιασμῷ τοῦ σ̄ καὶ τροπῇ τοῦ κ̄ εἰς γ̄· ἢ ἀπὸ τοῦ γνώσω γνῶσα καὶ γλῶσσα τροπῇ τοῦ ν̄ εἰς λ̄ καὶ διπλασιασμῷ τοῦ σ̄, ἡ τὰ τῆς γνώσεως ἐξαγγέλλουσα. Πόσα σημαίνει γλῶσσα; Τρία· τὸ σῶμα, τὴν διάλεκτον καὶ τὸ ἀπεξενωμένον τῶν λέξεων. Πόσαι γλῶσσαι; Πολλαί. Πόσαι διάλεκτοι; Πέντε· Ἰάς, ἤγουν ἡ τῶν Ἰώνων, Ἀτθὶς ἡ τῶν Ἀθηναίων, Δωρὶς ἡ τῶν Λακεδαιμονίων, Αἰολὶς ἡ τῶν Βοιωτῶν, ἤγουν τῶν Θηβαίων, καὶ κοινή, ᾗτινι πάντες χρώμεθα κοινῶς. Πόθεν ἐκλήθη Ἰάς; Ἀπὸ Ἴωνος τοῦ υἱοῦ Κρεούσης τῆς Ἐρεχθέως θυγατρός. Πόθεν ἐκλήθη Αἰολίς; Ἀπὸ Αἰόλου υἱοῦ Ἕλληνος. Πόθεν ἐκλήθη Ἀτθίς; Ἀπὸ Ἀτθίδος τῆς Κραναοῦ θυγατρός. Πόθεν ἐκλήθη Δωρίς; Ἀπὸ Δώρου παιδὸς Ἕλληνος· περὶ ὧν προϊόντες πλατύτερον διδάξομεν. Ἰστέον ⟨δὲ⟩ ὅτι Ἰάδι μὲν ἔγραψεν Ὅμηρος, Ἀτθίδι Ἀριστοφάνης, Δωρίδι Θεόκριτος, Αἰολίδι Ἀλκαῖος καὶ κοινῇ Πίνδαρος. Σημείωσαι ὅτι Ἴωνες μέν εἰσιν οἱ περὶ Ἀσίαν, Ἀττικοὶ δὲ Ἀθηναῖοι, Δωριεῖς δὲ οἱ περὶ Ὀροβήν (*sic*), Αἰολεῖς δὲ οἱ περὶ Σικελίαν.†

Περὶ διαλέκτων παρεκβληθεισῶν ἀπὸ τοῦ μητροπολίτου Κορίνθου = *Gregorius Corinthius ed. Schaefer p. 1, 1 — 612, 2.*

§ 3.

Περὶ τόνου.

Τί ἐστι τόνος; Ἀπήχησις φωνῆς ἐναρμονίου, τουτέστιν ἐκφώνησις ἔναρθρος καὶ ἐγγράμματος, ἢ κατὰ ἀνάτασιν, ὡς ἐν τῇ ὀξείᾳ, ἢ κατὰ ὁμαλισμόν, ὡς ἐν τῇ βαρείᾳ, ἢ κατὰ περίκλασιν, ὡς ἐν τῇ περισπωμένῃ. Τί ἐστιν ἀπήχησις; Ὁ ἦχος καὶ

6—36 *om* N ‖ **6** συναλιφὴ V; *item v. 15 et 17* ‖ **20** ὡπόλος V ‖ **36** *nullum lacunae signum* V ‖ **37—38** *om* N ‖ **41—310, 10** *om* N

ἡ προφορὰ καὶ ἡ ἐκφώνηcιc. Τί ἐcτιν ἀνάταcιc; Ὁ ὀξὺc τόνοc, ἤγουν ὁ φθόγγοc ὁ ἐπιτεταμένοc. Τί ἐcτιν ὁμαλιcμόc; Ἡ κατένεξιc καὶ ὁ ὑπτιαcμόc. Τί ἐcτι περίκλαcιc; Ὁ περιcπώμενοc τόνοc, ὁ κεκλαcμένον ἔχων τὸν φθόγγον. — Πόcαι ἀπηχήcειc φωνῶν; Τρεῖc· ἡ κατὰ ἀνάταcιν ἐν τῇ ὀξείᾳ, ἡ κατὰ ὁμαλιcμὸν ἐν τῇ βαρείᾳ, ἡ κατὰ περίκλαcιν ἐν τῇ περιcπωμένῃ. — Πόcαι διαφοραὶ φωνῶν; Τέccαρεc· ἀναρμόνιοc ἀγράμματοc, ὡc ἡ τοῦ ψιττάκου φωνή· ἀναρμόνιοc ἐγγράμματοc, ὡc ὁ τῶν ἀνθρώπων cτεναγμόc· ἐναρμόνιοc ἀγράμματοc, ὡc ἡ τῶν προβάτων βληχή· ἐναρμόνιοc ἐγγράμματοc, ὡc ἡ τοῦ ἀνθρώπου φωνή. Τί ἐcτιν ἐναρμόνιοc φωνή; Ἡ cυγκειμένη ἐξ ὀξείαc καὶ βαρείαc καὶ περιcπωμένηc, ὡc ἡ τοῦ ἀνθρώπου φωνὴ καὶ πᾶcα [ἡ] μιμουμένη τὴν ἀνθρωπίνην φωνήν, οἷον κιθάρα, ὄργανον, cύριγξ.

⟨*Heliodori.*⟩ — Τόνοc ἐcτὶν ἀπήχηcιc φωνῆc ἐναρμονίου.] Ὁ μέcοc τόνοc παρὰ μὲν τοῖc μουcικοῖc ἐcτιν ὁ μέcοc ὢν ὑπάτηc καὶ νήτηc καὶ παρυπάτηc καὶ παρανήτηc· λέγεται δὲ ὁ μέcοc τόνοc καὶ cυνῃρημένοc καὶ κοινόc, ὅταν γὰρ τοῦ μὲν βαρέοc τόνου εὑρεθῇ ὀξύτεροc, τοῦ δὲ ὀξέοc βαρύτεροc· ὑπάτη μὲν οὖν ἡ παρὰ τελευτὴν τὸν βαρὺν τόνον ἔχουcα, ἤγουν ἡ παροξύτονοc, παρυπάτη δὲ ἡ προπαροξύτονοc. Παρὰ δὲ τοῖc γραμματικοῖc μέcοc τόνοc ὁ περιcπώμενοc· ⟨παρ⟩έχουcι δὲ τοῦτον ὁ βαρὺc τόνοc καὶ ⟨ὁ⟩ ὀξὺc cυναπτόμενοι ἀλλήλοιc· διὸ καὶ cυνεχῆ καὶ cυνημμένον ἑκατέρου φαῖεν ἂν ⟨αὐτὸν⟩ οἱ cοφοί, ὥcπερ τινὰ κοινὸν ὅρον cυναπτικὸν αὐτῶν ὄντα. Τὸ μὲν οὖν τονικὸν βαρὺ τῶν φθόγγων διάcτημα ὑπάτην ἐπέχει τάξιν καὶ τάcιν δέχεται πρώτην· χρὴ γὰρ ἀπὸ βαρείαc ἄρχεcθαι τὸν μουcικὸν καὶ διὰ μέcηc εἰc ὀξεῖαν καταντᾶν.

Τῶν φωνῶν αἱ μέν εἰcιν ἐγγράμματοι καὶ ἔναρθροι, αἱ δὲ ἀγράμ- 104 v
ματοι καὶ ἄναρθροι, αἱ δὲ ἐγγράμματοι καὶ ἄναρθροι, αἱ δὲ ἀγράμματοι καὶ ἔναρθροι. Καὶ εἰcὶ μὲν ἐγγράμματοι καὶ ἔναρθροι αἱ ἀπὸ νοῦ καὶ διανοίαc ἀνθρώπου προφερόμεναι καὶ κεκραμέναι φωνῇ καὶ γραφῇ καὶ cημαcίᾳ, οἷον «Ἀρίcταρχοc βιβλίον γράφει»· ἀγράμματοι δὲ καὶ ἄναρθροι αἱ μήτε γραφόμεναι μήτε cημαίνουcαί τι, ὡc οἱ ψόφοι καὶ οἱ βόμβοι ἐν πυρὶ καὶ ὕδατι καὶ ⟨οἱ⟩ ἦχοι ἀνέμων· οὗτοι γὰρ μήτε γραφομέναc μήτε cημαινούcαc τι φωνὰc ἀποτελοῦcιν· αἱ δὲ ἐγγράμματοι καὶ ἄναρθροι, αἱ γραφόμεναι μὲν μηδὲν δὲ cημαίνουcαι, ὡc τὸ ⟨Arist. Ran. 209⟩ βρεκεκεκὲξ κοάξ καὶ πάλιν τὸ ⟨Arist. Ran. 1285⟩ φλαττόθρατ· αἱ δὲ ἀγράμματοι καὶ ἔναρθροι, αἱ ἀπὸ νοῦ καὶ διανοίαc προφερόμεναι, καὶ μὴ γραφόμεναι μὲν cημαίνουcαι δέ τι, ὡc οἱ cυριγμοὶ καὶ ποππυcμοὶ τοῖc οἰκέταιc ἢ καὶ τοῖc κτήνεcι προcφωνούμενοι καὶ cημαίνοντέc τι.

11—36 *videntur esse* Σ^h ‖ **24—36** *cfr* Σ^v *181, 18—27*

5 ἀναρμόνιοc] ἐναρμόνιοc V; *item v. 6* ‖ **12** Ὁ μέcοc — καταντᾶν (**23**) N, *om* V; *ed. CWachsmuth Mus. Rhen. 1865 p. 380 seq.* ‖ **17** γραμματικοῖc] μουcικοῖc N ‖ **18** παρέχουcι] ἔχουcι N | ὁ *post* καὶ *add Wachsm.* | cυναπτόμενοι] cυνάπτονται τούτουc N ‖ **19** αὐτὸν *add Wachsm.* ‖ **21** τάξιν καὶ τάcιν N, τὰ μὲν καὶ τὰ δὲ *Wachsm.* ‖ **24** ἀγράμματοι N, ἐγγράμματοι V ‖ **25** αἱ δὲ ἐγγράμμ. — (*prius*) ἔναρθροι (**26**) N, *om* V ‖ **27** κεκραμέναι V, κρεμάμεναι N ‖ **33** βρεκεκεὲξ V, βρεκέκεξ N | φλατόθρα VN ‖ **36** ἢ N, δὲ V

Τόνος ἐστίν.] Ἐκεῖνα πειρᾶται παραβάλλειν *etc.* = Σ^v 174, 28 — 175, 20.

Τόνος ἐστίν.] Τὴν ὑπόκρισιν ἡμῖν *etc.* = Σ^d 22, 15—22.

Στεφάνου. — Καὶ ἀμήχανόν ἐστι *etc.* = Σ^v 175, 22—33.

Τῶν τόνων γνήσιοι μέν εἰσι δύο *etc.* = Σ^v 175, 34 — 176, 13.

⟨*Heliodori.*⟩ — Ἡ κατὰ ἀνάτασιν ἐν τῇ ὀξείᾳ.] Οὐκ ἔστιν ἐνταῦθα τὸ ῆ διαζευκτικὸς σύνδεσμος, ἀλλὰ ἄρθρον. Τῶν δὲ τόνων τρεῖς ἀπηχήσεις εἰσί· καὶ πρώτη μὲν ἡ κατὰ τὸν τεταμένον φθόγγον καὶ ὀξεῖαν φωνὴν ἀναπεμπομένη· ὀξεῖα δέ ἐστι ποιότης συλλαβῆς τεταμένον ἔχουσα φθόγγον· δευτέρα ἡ κατὰ τὸν δυσκίνητον φθόγγον προερχομένη καὶ λεγομένη· ἀπήχησις δὲ τρίτη ἡ κατὰ τὴν περικεκλασμένην φωνὴν λεγομένη.

Ἡ κατὰ ἀνάτασιν.] — Διομήδους. — Ἀνάτασις ἡ ἄνω τάσις τῆς φωνῆς ἀπὸ τοῦ ἐπὶ τὰ ἄνω φέρεσθαι τὴν τῆς ὀξείας τάσιν· ὅθεν καὶ τὸ σημεῖον αὐτῆς τὴν ἐπὶ τὰ ἄνω φορὰν ἔχει. Ὀξεῖα δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῶν δρομέων τῶν εὐκινήτως καὶ ὀξέως τρεχόντων· οὗτοι γὰρ ὄντες ὀξεῖς ἐπὶ τὰ ἄνω νεύουσιν.

⟨*Heliodori.*⟩ — Ἡ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ.] Κἀνταῦθα τὸ ῆ ἄρθρον, ἀλλ' οὐ διαζευκτικὸς σύνδεσμος. Ὁμαλισμός ἐστιν ἡ κατένεξις καὶ ὁ κοιμισμός, ἤγουν ἡ ἠρεμαία καταφορὰ τῆς φωνῆς· ὁ γοῦν βαρὺς τόνος τὴν ἐναντίαν φορὰν ἔχει τοῦ προλεχθέντος ὀξέος τόνου. Βαρεῖα τοίνυν ἐστὶ ποιότης συλλαβῆς ὑφειμένον ἔχουσα φθόγγον.

Διομήδους. — Ἡ κατὰ ὁμαλισμόν.] Ὁμαλισμὸς *etc.* = Σ^d 23, 8—12; 23, 5—8; 23, 14—17 (ἄνεισι).

⟨*Heliodori.*⟩ — Περισπωμένη δέ ἐστι ποιότης συλλαβῆς ἀνειμένον ⟨καὶ ὑφειμένον⟩ ἢ κεκλασμένον ἔχουσα φθόγγον, οἷον νόος νοῦς· εἴρηται δὲ περισπωμένη, ἐπεὶ περισπᾶται καὶ περιλαμβάνεται τῇ φωνῇ. Τὰς δὲ ἀπηχήσεις ποιεῖται κατά τε τὴν ὀξεῖαν καὶ τὴν βαρεῖαν· ἀμφοτέρων γὰρ καὶ τὴν σύνθεσιν ἔχει· καὶ δῆλον ὡς μικτὴ οὖσα καὶ φύσιν λαβοῦσα ἐπιτίθεσθαι μακραῖς ἐκπέφευγε τὸ ἐπικεῖσθαι ταῖς βραχείαις. Τῆς οὖν περισπωμένης τόποι δύο, ὁ ἐπὶ τέλους καὶ ὁ πρὸ ⟨μιᾶς τοῦ⟩ τέλους, οἷον Ἑρμῆς Μοῦσα· πρὸ δύο δὲ οὐ πίπτει, ἐπεὶ διαιρουμένη εἰς ὀξεῖαν καὶ βαρεῖαν ἔμελλεν ἔχειν τετάρτην ἀπὸ τέλους τὴν ὀξεῖαν, ὅπερ ἀδύνατον· οὐκ ἔστι γὰρ τάσις πρὸ τριῶν συλλαβῶν. — Σ^d 23, 18 — 24, 7.

Ἡ κατὰ περίκλασιν ἐν τῇ περισπωμένῃ.] — Διομήδους. — Περίκλασις *etc.* = Σ^d 23, 14—24 (αὐταῖς).

13—22 *cfr* Σ^d *22, 23 — 23, 8*

4 Στεφ. *in marg.* N, *om* V ‖ **13** Διομ. *in marg.* N, *om* V ‖ **18** κἀνταῦθα — σύνδεσμος (**19**) N, *om* V ‖ **20** καταφορὰ V, μεταφορὰ N ‖ **23** Διομήδους VN ‖ **25 — 34** (συλλ.) *om* N ‖ **29** φύσιν] φύσει V ‖ **35** Διομ. *in marg.* N, ἄλλως V

῞Ορος φωνῆς. — Τί ἐστι φωνή; Πλῆξις ἀέρος, ἢ ἀὴρ πεπληγμένος, ἢ φῶς νοῦ· εἰς φῶς γὰρ ἄγει καὶ δεικνύει τὰ ἐν τῷ νῷ ἀθέατα *etc.* (*hariolatur scholasticellus de* φωνῇ ἀσήμῳ *et* σημαντικῇ *earumque speciebus*).

§ 4 (4 et 5b).

Περὶ στιγμῆς.

Τί ἐστι στιγμή; Διανοίας ἀπηρτισμένης σημεῖον· καὶ ἄλλως· διάστημα σιωπῆς. Τί ἐστι διανοίας; Τουτέστι νοῦ, ἐννοίας. Τί ἐστιν ἀπηρτισμένης; Πεπληρωμένης. Τί ἐστι σημεῖον; Σύμβολον. — Πόσαι στιγμαί; Τρεῖς· τελεία, μέση, ὑποστιγμή. Τί 139 ▾ ἐστι τελεία στιγμή; Ἡ ἔχουσα ἀπηρτισμένην καὶ τετελειωμένην τὴν διάνοιαν, ἤγουν ἡ μετὰ τὴν ἀπόδοσιν τῆς ἐννοίας καὶ τὴν ὅλην σύνταξιν τιθεμένη, οἷον παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἀναστάσεως ἡμέρα καὶ ἡ ἀρχὴ δεξιά. — Τί ἐστι μέση στιγμή; Σημεῖον πνεύματος ἕνεκεν παραλαμβανόμενον· καὶ ἄλλως· σημεῖον μεσαζούσης τῆς διανοίας μήτε τελείας οὔσης μήτε ἐκκρεμαμένης, ἤγουν ἡ ἐκκρεμῆ δηλοῦσα τὴν ἔννοιαν, οἷον μικροῦ Κυπριανὸς διέφυγεν ἡμᾶς. Τί ἐστι πνεύματος ἕνεκεν; Ἀναπνοῆς χάριν. — Τί ἐστιν ὑποστιγμή; Διανοίας μηδέπω ἀπηρτισμένης 143 ▾ ἀλλ' ἔτι ἐνδεούσης σημεῖον, ἤγουν ἡ πρὸ τῆς ἀποδόσεως τιθεμένη, οἷον παρὰ τῷ Δημοσθένει <in Phil. III § 17> ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην τοιαῦτα πράττων καὶ κατασκευαζόμενος· ἐνταῦθα γὰρ ὑποστιγμὴ τίθεται, καὶ οὕτως ἕπεται ἡ ἀπόδοσις· οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλῃ μηδὲ τοξεύῃ. — Ἄλλως. Τί ἐστιν ὑποστιγμή; Ἡ ἔχουσα ἐκκρεμαμένην τὴν διάνοιαν καὶ ἐπιζητοῦσα τὸ λεῖπον. — Τί διαφέρει στιγμὴ ὑποστιγμῆς; Χρόνῳ· ἐν μὲν γὰρ τῇ στιγμῇ πολὺ τὸ διάστημα, ἐν δὲ τῇ ὑποστιγμῇ παντελῶς ὀλίγον. — Πόθεν στιγμή; Ἀπὸ τοῦ ἵστημι στήσω ἔστιγμαι στιγμή· ἵστησι γὰρ τὴν φωνήν.

<*Heliodori.*> — Στιγμαί εἰσι τρεῖς, τελεία, μέση, ὑποστιγμή.] Περὶ τῶν στιγμῶν, τουτέστι περὶ διαστολῆς, διαλαμβάνει ὁ τεχνογράφος· ἔφθη γὰρ εἰπὼν ἐν τῷ περὶ ἀναγνώσεως· «ἐκ δὲ τῆς διαστολῆς τὸν 142 ▾ περιεχόμενον νοῦν ὁρῶμεν»· διαστολὴ δέ ἐστιν ἡ στιγμή. Διαλλάσσει δὲ στιγμὴ διαστολῆς τούτῳ τῷ τρόπῳ, ὅτι ἡ μὲν στιγμὴ τὴν φωνὴν καὶ τὰ πνεύματα διίστησιν, ἡ δὲ διαστολὴ ἅμα τῇ φωνῇ καὶ τοῖς πνεύμασι καὶ τὰς διανοίας· ἀπὸ γὰρ τοῦ διαστέλλειν τὰ νοήματα διαστολὴ εἴρηται. Τῶν δὲ στιγμῶν διαφοραί εἰσι τρεῖς, τελεία, μέση, ὑποστιγμή, κατὰ τὸν Διονύσιον· κατὰ δὲ τὸν Νικάνορα ὀκτώ εἰσι στιγμαί· τελεία, ὑποτελεία, πρώτη ἄνω, δευτέρα ἄνω, τρίτη ἄνω, ὑποστιγμὴ ἐνυπόκριτος, ὑποστιγμὴ ἀνυπόκριτος, ὑποδιαστολή. Ὑποδιαστολὴ δέ ἐστι διάστασις γράμματος περὶ τὴν σύνταξιν ἀμφιβόλου.

Στιγμαί εἰσι τρεῖς.] Σκοπὸν ἔχων *etc.* = Σ^{v} 176, 18 — 177, 5.

Στεφάνου. — Οὐ τρεῖς εἰσι στιγμαί *etc.* = Σ^{v} 177, 6 — 32.

Διομήδους. — Περὶ τοῦ ἀναγκαιοτάτου *etc.* = Σ^{d} 24, 9 — 18 *et* 26, 8 — 28, 8.

---

24 — 35 *videntur esse* Σ^{h}

1—3 *om* N ‖ **1** *in marg.* V²: φωνή ἐστι σκιὰ ψυχῆς, ὥς τις ῥήτωρ Ἀχι<λ>λεύς φησιν ὁ Ἀλεξανδρεύς ‖ **6—23** *om* N ‖ **26** τὸν περιεχ. N, *om* V ‖ **35** ἀμφίβολος V, ἀμφιβάλλουσα N ‖ **37** Στεφ. VN ‖ **38** Διομ. V, *om* N

Στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖον.] — ⟨*Heliodori.*⟩ — Ἰστέον ὅτι τὸ «στιγμὴ» κατὰ κοινοῦ ἐπὶ τῶν τριῶν λαμβάνεται. Ἡ δὲ στιγμὴ διανοίας ἐστὶν ἀπηρτισμένης σημεῖον, καθ' ἣν τελεῖται ἡ διάνοια, οἷον ⟨ex gr. A 84⟩ τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· τέλειον γὰρ ἄχρι τούτου τὸ νόημα· ἡ γὰρ τελεία τότε τίθεται, ὅτε λήγει καὶ ἀπηρτισμένον ἐστὶ τὸ ἐνθύμημα· οὐδὲ γὰρ ὁ στίχος ἐλλιπὲς ἔχει τι τῆς διανοίας, ἀλλὰ τέλειός ἐστιν.

Διομήδους. — «Διανοίας» δὲ ἀντὶ τοῦ νοῦ καὶ ἐννοίας, «ἀπηρτισμένης» τουτέστι πεπερασμένης καὶ πεπληρωμένης, «σημεῖον» ἤγουν σύμβολον, ἵν' ᾖ· «στιγμὴ τελεία ἐστὶν ἐννοίας πεπληρωμένης σύμβολον».

Στιγμή ἐστι διανοίας ἀπηρτισμένης σημεῖον, ὡς ἄν τις εἴποι *etc.* = Σ^d 24, 20—28 (παραλαμβ.).

139 v ⟨*Heliodori.*⟩ — Ἡ μέση στιγμὴ σημεῖόν ἐστι, φησίν, ἀναπαύσεως καὶ ἀνακωχῆς χάριν τοῦ πνεύματος· ἡ γὰρ μέση καὶ ἀπὸ τῆς προσηγορίας φανερά· σημεῖον γάρ ἐστι μεσούσης διανοίας, μήτε λίαν οὔσης πρὸς τέλος μήτε κρεμαμένης καὶ πρὸς συμπλήρωσιν ὀλίγου δεομένης· μέσως γάρ πως ἔχει ὁ νοῦς, ὡς ἂν εἴπωμεν ⟨A 36⟩ Ἀπόλλωνι ἄνακτι, τὸν ἠύκομος τέκε Λητώ, καὶ πάλιν ⟨H 93⟩ αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι· οὐ πάνυ γὰρ κρέμαται τὸ νόημα, οὐδὲ μὴν πεπλήρωται, ἀλλὰ μέσως πως ἔχει. Δεῖ γοῦν ἐν τῇ μέσῃ στιγμῇ παρατεῖναι τὸ πνεῦμα τὸν ἀναγινώσκοντα, καὶ μὴ διακόπτειν, τῆς διανοίας ἔτι μετεώρου οὔσης.

Τὴν μέσην οὖν στιγμήν φησιν *etc.* = Σ^d 24, 29—25, 22.

140 v ⟨*Heliodori.*⟩ Ὡς γὰρ εἴρηται, κρεμαμένην ἔχει τὴν διάνοιαν καὶ ἐπιζητεῖ τὸ λεῖπον· διὸ καὶ καταβιβάζοντες ἐμφαντικώτατα τὴν φωνὴν ζητητικὴν αὐτὴν κατασκευάζομεν τῶν ἑξῆς, οἷον ⟨A 81 seq.⟩

εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ.

Ὥστε γοῦν μετὰ τὴν μέσην ἔσονται πάμπολλαι μέσαι, μετὰ δὲ τὴν ὑποστιγμὴν εὐθὺς ἡ τελεία· διὸ καὶ ὑποκάτω τοῦ γράμματος κεῖται ἡ ὑποστιγμή, τοῦ πράγματος ἐμφαίνουσα τὴν δύναμιν, καὶ ἡ τελεία ἄνω, ὥσπερ ἀναπαύουσα τὸ πνεῦμα.

Τίνι διαφέρει στιγμὴ ὑποστιγμῆς;] Αὐτὸς ζητήσας καὶ τὴν λύσιν ἐπήνεγκε· καί φησιν, ὅτι χρόνῳ, τουτέστι τῷ διαστήματι. Τίνος δὲ χρόνῳ; Τῆς σιωπῆς, ὡς αὐτὸς ἐπιφέρει. Ζητητέον δὲ ποίῳ χρόνῳ· χρόνον μὲν γὰρ ἴσμεν τόν τε μακρὸν καὶ τὸν βραχύν, οἵπερ εἰσὶ συστολὴ καὶ ἔκτασις· τοῦτο δὲ οὐκ ἔστιν ἐν ταῖς στιγμαῖς· ἄδηλον οὖν, ποίῳ

13—22 *videntur esse* Σ^h ‖ **24—32** *videntur esse* Σ^h ‖ **30—32 hab. et.** Σ^l

8 Διομ. *in marg.* N, *om* V; *cfr* Σ^d *24, 19 seq.* ‖ **10** ἵν ᾖ — σύμβολον *om* N ‖ **16** ὀλίγου V, ὀλίγον N ‖ **18** αἴδεσθεν N, αἴδεσθαι V ‖ **25** καὶ N, *om* V ‖ **28** γε VN ‖ **31** τοῦ πράγματος V, τοῦ γράμματος N, *om* Σ^l

χρόνῳ διαφέρουσι. Καὶ λεκτέον πρὸς τοῦτο, ὅτι χρόνον νῦν λέγει τὸ διάστημα τῆς σιωπῆς, ἵν' ᾖ ὁ νοῦς οὕτω κατὰ ἀντίθεσιν καὶ λύσιν· Ἐν τίνι διενήνοχεν ἡ στιγμὴ τῆς ὑποστιγμῆς; Ἐν χρόνῳ, τουτέστιν ἐν διαστήματι τῆς σιωπῆς· ἡ μὲν γὰρ τελεία τέσσαρας ἔχει χρόνους σιωπῆς, ἡ δὲ μέση ἕνα, ἡ δὲ ὑποστιγμὴ ἥμισυν.

Διομήδους καὶ Στεφάνου. — Ἰδοὺ τῶν δύο μέμνηται τῆς διαφορᾶς, τὴν μέσην παρωσάμενος. Τῷ χρόνῳ, φησί *etc.* = Σ^v 178, 13 — 179, 2.

Ἡλιοδώρου εἰς τὸ αὐτό. — Ποίαν ἄρα στιγμὴν τῆς ὑποστιγμῆς φησι διαφέρειν ὁ τεχνικός; Δῆλον ὅτι τὴν μέσην· ἡ γὰρ τελεία ἤδη τελεία εἴρηται. Ζητητέον δὲ κατὰ τί διαφέρει ἡ μέση στιγμὴ τῆς ὑποστιγμῆς, ἐπειδὴ ταὐτὸν νομίζεται εἶναι. Χρόνῳ, φησί. Χρόνῳ δὲ ἐνταῦθα τῷ διαστήματι τῆς φωνῆς φησιν, ἤγουν καιρῷ, ὥρᾳ· ἡ γὰρ τελεία τέσσαρας ἔχει χρόνους σιωπῆς, ἡ δὲ μέση ἕνα, ἡ δὲ ὑποστιγμὴ ἥμισυν.

§ 5 (6b).

Περὶ ῥαψῳδίας.

Erotemata amplissima eademque admodum confusa.

⟨*Heliodori.*⟩ — Οὐ προσηκόντως ἐνταῦθα κεῖται ὁ περὶ ῥαψῳδίας λόγος· εἰ δ' ἄρα ἔδει περὶ αὐτῆς διαλαμβάνειν, ἐν τῷ περὶ ποιητικῆς ἐχρῆν λόγῳ διαλήψεσθαι. Εἰ γὰρ ἡ ῥαψῳδία μέρος ἐστὶ ποιήματος, ἤγουν ποιήσεως, ὁ δὲ περὶ ποιήματος λόγος προσήκει τῷ περὶ ποιητικῆς λέγοντι, ἐν ἐκείνῳ ἔδει περὶ ῥαψῳδίας λέγειν· ἐνταῦθα δὲ οὐκ εὔκαιρον· ἡ γὰρ προκειμένη τέχνη τῶν μερῶν τοῦ λόγου ἐστί, τὰ δὲ μέρη τοῦ λόγου οὐκ ἔστιν ὅπερ ἡ ῥαψῳδία· εἰκότως οὖν ἄκαιροί μοι δοκοῦσιν εἶναι οἱ ἐνταῦθα περὶ ῥαψῳδίας διαλαμβάνοντες. Τὸ μὲν γὰρ διαλαμβάνειν περὶ στιγμῆς ἢ προσῳδίας ἢ ἀναγνώσεως οὐκ ἄτοπον· ταῦτα γὰρ μέρη καὶ μόρια τῆς γραμματικῆς εἴποι τις ἄν. Ἀλλ' ἐπειδὴ τὴν ἀνάγνωσιν ἔφασκεν εἶναι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτον προφοράν, μέρος δὲ ποιήματός ἐστιν ἡ ῥαψῳδία καὶ μάλιστα νέοις ἐγνωσμένον, τούτου χάριν περὶ ῥαψῳδίας διέλαβε. Ῥαψῳδίας δὲ ἐκάλουν οἱ παλαιοὶ τὰ Ὁμηρικὰ ἔπη, παρόσον ἅμα ῥάβδῳ περιιόντες ἐμελῴδουν αὐτά.

18—31 hab. et. Σ^1; **18 — 315, 20** ***videntur esse*** Σ^h

4 τῆς N, *om* V ‖ **6** Διομ. καὶ Στεφ. *in contextu* V, Διομήδους·· Στεφάνου *in marg.* N | Ἰδοὺ — παρωσ. (7) = Σ^d *25, 23 seq.* ‖ **17** *Erotemata om* N ‖ **20** λόγῳ διαλ. *om* Σ^1 ‖ **21** ἤγ. ποι. *om* Σ^1 ‖ **23** εὔκαιρον Σ^1, εὐκαίρως VN ‖ **25** εἶναι *add* Σ^1 | γὰρ V, οὖν E, *om* NA ‖ **26** προσῳδίας Σ^1, ὑποστιγμῆς VN ‖ **27** εἴποι — ἐπειδὴ VN, τάχα δὲ ἐπεὶ Σ^1 ‖ **29** ἐστιν ἡ ῥαψ. Σ^1, ἡ ῥαψῳδία N, τὴν ῥαψῳδίαν V | καὶ — αὐτά (31) VN, τούτου χάριν ἀναγκαίως περὶ αὐτῆς διαλαμβάνει, ἐπεὶ ὡς πρὸς εἰσαγομένους ποιεῖται τὸν λόγον ἐν τῷ παρόντι βιβλίῳ. Καὶ ἡ ῥαψῳδία δὲ ἁρμόζει τοῖς εἰσαγομένοις· καὶ γὰρ πᾶσα ἡ ποίησις Ὁμήρου εἰς ῥαψῳδίας τέμνεται, ὧν εὐθέως οἱ εἰσαγόμενοι ἄρχονται. Ῥαψῳδίαι δὲ λέγονται τὰ Ὁμηρικὰ ἔπη, ἐπειδὴ τὰ τῶν ἄλλων λόγοι καλοῦνται Σ^1

Ῥαψῳδία ἐστὶ μέρος ποιήματος ἐμπεριειληφός τινα ὑπόθεσιν.] Φασί τινες ὅτι ἔπταισεν εἰπὼν τὴν ῥαψῳδίαν μέρος ποιήματος· ἡ ῥαψῳδία γὰρ μέρος ἐστὶ ποιήσεως, οὐ ποιήματος· ποίησις μὲν γὰρ καλεῖται πᾶσα ἡ πραγματεία, τουτέστι πᾶσα ἡ βίβλος, ὡς ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια, ποίημα δὲ ἡ ῥαψῳδία· τὰ γὰρ ποιήματα, ἤγουν τὰ τῆς ὅλης ποιήσεως μέρη, ῥαψῳδίαι καλοῦνται, ὡς ἡ Α, ἡ Β καὶ αἱ ἑξῆς. Φαμὲν ⟨δὲ⟩ ἡμεῖς, ὅτι ὡς πρὸς τὴν γενικωτάτην ποίησιν ποίημα ἂν εἴη πᾶσα ἡ Ἰλιάς, μέρος δὲ ποιήματος ἡ ῥαψῳδία· καλῶς οὖν εἶπε μέρος εἶναι ποιήματος καὶ οὐ τῆς ὅλης ποιήσεως ἑκάστην ῥαψῳδίαν· καὶ ἔστιν ὁ νοῦς οὕτως· ῥαψῳδία ἐστὶν ἀπόκομμα ποιήματος περιλαβὸν καὶ ἔχον ἐν ἑαυτῷ ὀλίγην καὶ μικρὰν καὶ λεπτήν τινα περιπέτειαν, τουτέστι καὶ αὐτὸ τὸ μέρος περιέχει τινὰ ἰδικὴν ὑπόθεσιν μὴ ἐμφερομένην ἐν τοῖς ἄλλοις μέρεσιν, ἀντὶ τοῦ συνεκτικήν. Ἡ μὲν γὰρ συνεκτικὴ καὶ ὁλοσχερὴς φέρε εἰπεῖν τῆς Ἰλιάδος ἡ τῆς Ἑλένης ἐστὶν ἁρπαγή, ἡ δὲ κατὰ μέρος κατὰ ῥαψῳδίαν, ὡς ἡ μὲν Α Ὁμήρου περιέχει μάχην Ἀχιλλέως καὶ Ἀγαμέμνονος, εἶτα καὶ τὸν Χρύσην ἀφικόμενον εἰς τὸν ναύσταθμον τῶν Ἑλλήνων καὶ δεόμενον αὐτῶν διὰ τὴν θυγατέρα· ὁμοίως καὶ ἡ Β τὴν ἀπάτην τοῦ ὀνείρου, ἡ δὲ Γ τὴν μονομαχίαν Μενελάου καὶ Ἀλεξάνδρου, καὶ τὰ ἑξῆς· καὶ ἑκάστης λοιπὸν ῥαψῳδίας ἡ ὑπόθεσις μέρος καλεῖται.

Διομήδους. — Ἐπειδὴ οἱ ἀρχόμενοι *etc.* = Σ^{d} 28, 11—18.

⟨*Heliodori.*⟩ — Εἴρηται δὲ ῥαψῳδία.] Βούλεται ἐτυμολογῆσαι ὁ τεχνικός, τίνος ἕνεκεν ῥαψῳδία εἴρηται· καί φησιν «οἱονεὶ ῥαβδῳδία τις οὖσα»· ὕστερον δὲ ῥαψῳδία ἐκλήθη κατὰ μεταβολὴν τοῦ βδ εἰς ψ· συγγενῆ γὰρ ἀλλήλοις τὰ στοιχεῖα.

Ἀπὸ τοῦ δαφνίνῃ ῥάβδῳ περιερχομένους.] Ῥαψῳδία εἴρηται ἀπὸ τοῦ συνερράφθαι ἐκ διαφόρων λέξεων καὶ νοημάτων τὰ ἔπη, ἐξ ὧν ὑφαίνεται ἡ ὑπόθεσις· ἐρράφθαι δέ ἐστιν, ὡς ἴσμεν, τὸ κατεσκευάσθαι· ἐπειδὴ τὰ ἔπη συρράπτεται καὶ κατασκευάζεται ἐκ διαφόρων λέ-
182 v ξεων καὶ νοημάτων, καὶ οὕτως ἐξυφαίνεται τὰ τῆς ὑποθέσεως. Ῥαβδῳδία δὲ εἴρηται ἡ ἐπὶ ῥάβδῳ ᾠδή· οἱ γὰρ μεθ' Ὅμηρον τὰ αὐτοῦ ποιήματα περιερχόμενοι ᾖδον, ῥάβδον δαφνίνην κατέχοντες, σύμβολον Ἀπολλωνιακόν, ἤγουν ἀπό τε τῆς ῥάβδου καὶ τῆς ᾠδῆς ἐτυμολογεῖται ἡ ῥαψῳδία. Ἦν δέ, ὥς φασιν *etc.* = Σ^{v} 179, 11—19.

Στεφάνου. — Ποιήσεως ἐρχὴν εἰπεῖν *etc.* = Σ^{v} 179, 26—180, 7.

Τοῦ αὐτοῦ. — Ὁ ἐμπεριεχόμενος νοῦς *etc.* = Σ^{v} 180, 9—17.

2—20 *cfr* Σ^{l} | **7—20** *cfr* Σ^{d} *28, 16—23* ‖ **22—25** *cfr* Σ^{l}; *videntur esse* Σ^{h} ‖ **30—34** *cfr* Σ^{d} *28, 25—28*

5 ἤγουν — μέρη (**6**)] τῆς ὅλης ποιήσεως ἤγουν τὰ μέρη αὐτῆς VN ‖ **7** Φαμὲν — ῥαψῳδία (**8**) N, *om* V ‖ **9** εἶναι τοῦ ὅλου ποιήματος V ‖ **12** ἐμφερομένην V, ἐκφερομένην N ‖ **19** ἡ *om* N ‖ **21** Διομ. *in marg.* VN ‖ **34** ἡ ῥαψ. N, *om* V | δὲ N, γὰρ V ‖ **35** Στεφ. *in marg.* VN

Διομήδους. — Βούλεται ἐτυμολογῆσαι *etc.* = Σ^d 28, 24—29, 15.

⟨*Heliodori.*⟩ — Ἢ διὰ τὸ ἀειθαλὲς τοῦ φυτοῦ καὶ τὸ ἀειθαλὲς 186v τῆς Ὁμήρου ποιήσεως· ἢ ὅτι μαντικὴ ἡ δάφνη, οἱ γὰρ μαντευόμενοι ἐδαφνηφάγουν, μαντικὴ δὲ καὶ ἡ ποιητική· οὐκ ἂν γὰρ εἴη τις τέλειος ποιητής, εἰ μὴ ἱστορήσει καὶ διηγήσεται καὶ μαντεύσεται· ὡς καὶ ὁ ποιητὴς φαίνεται μαντευσάμενος, ἐν οἷς φησιν ἐκ προσώπου τοῦ Ποσειδῶνος ⟨Υ 307 seq.).

νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει,
καὶ παῖδες παίδων, τοί κεν μετόπισθεν ἔσονται·

ὅτι δὲ ἀληθῆ ἐμαντεύσατο, δηλοῦσι καὶ μαρτυροῦσι τὰ Ῥωμαϊκὰ πράγματα, ἐξ Αἰνείου τοῦ Ἀγχίσου τὴν βασιλείαν διαδεξάμενα καὶ ἕως τοῦ νῦν τῶν ἔτι οἰκούντων τὴν Τροίαν βασιλεύοντα. Ἢ ὅτι ἐνθουσιαστικὸν τὸ φυτόν, ἐνθουσιαστικὴ δὲ καὶ ἡ ποιητικὴ κατὰ τὸν Πλάτωνα· φησὶ γὰρ ὁ φιλόσοφος ⟨cfr Phaedr. 245 A⟩ «ὅστις δὲ ἄνευ μανίας ἐπὶ ποιητικὰς ἔρχεται θύρας, ἀτελής τε αὐτὸς καὶ ἡ ποίησις αὐτοῦ». Ἐπιστητέον δὲ ὅτι εἰ μὲν ἀπὸ τῆς Ἰλιάδος ᾖδον οἱ Ὁμηρίδαι, φοινικοῦν ἐφόρουν στέφανον διὰ τὸ περὶ ἐκχύσεως αἱμάτων λέγειν αὐτοὺς τὴν ὑπόθεσιν, εἰ δὲ ἀπὸ τῆς Ὀδυσσείας, κυάνεον, διὰ τὸ τοιοῦτον εἶναι τὸ θαλάττης χρῶμα, περὶ ἣν ἐγένετο τοῦ Ὀδυσσέως ἡ πλάνη.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἔν τινι χρόνῳ *etc.* = Σ^d 29, 17—30, 22.

§ 6 (7b).

Περὶ στοιχείου.

Διδάξας ἡμᾶς *etc.* = Σ^v 182, 5—12 (σώματα).

⟨*Heliodori.*⟩ — Ὁρίζεται δὲ τὸ στοιχεῖον ὁ μὲν Κράτης οὕτω, «φωνῆς μέρος [τὸ] ἐλάχιστον»· «μέρος ἐλάχιστον» εἶπεν ὡς πρὸς τὸ ὅλον σύστημα τῆς ἐγγραμμάτου φωνῆς· ὁ δὲ Ἀριστοτέλης οὕτως, «ἁπλῆ καὶ ἀδιαίρετος φωνὴ τῆς κατὰ σύνταξιν»· ἄλλοι οὕτως, «ἐκφώνησις ἀμερής»· οἱ δὲ οὕτως, «ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή», ἢ «φωνῆς Ἑλληνίδος φθόγγος ἐλάχιστος». Οἱ δὲ πάλιν, «φωνὴ ἐγγράμματος ἀμερής»· καὶ «ἐγγράμματος» μὲν διὰ τοὺς βόμβους καὶ συριγμούς, «ἀμερής» δέ, ἐπειδὴ ἑκάστη μὲν λέξις καὶ συλλαβὴ δύναται

2—19 hab. et. Σ^l; *videntur esse* Σ^h ‖ **5—12** *cfr* Σ^v *180, 24—29* ‖ **24—317, 5** *videntur esse* Σ^h

1 Διομ. *in marg.* VN ‖ **3** οἱ — ἐδαφνηφ. (4) *om* Σ^l ‖ **4** τις *add* Σ^l ‖ **6** ἐκ — Ποσειδ. *om* Σ^l ‖ **8** δὲ N, *om* V ‖ **10** ἀληθῆ Σ^l, ἀλήθειαν VN ‖ **11** ἐξ Αἰν. τοῦ Ἀγχ. Σ^l, ἐκ τοῦ Ἀγχίσου Αἰνείου VN | καὶ — βασιλ. (12) *om* Σ^l ‖ **13** τὸν *add* Σ^l ‖ **14** δὲ E, καὶ A, *om* VN | μανίας] μαντείας V Σ^l, μαντίας N ‖ **15** θύρας VN, πύλας Σ^l | ἀτελής — αὐτοῦ A, ἀτελὴς τε ἡ ποί. αὐτοῦ καὶ αὐτός E, ἀτελὴς αὐτοῦ ἡ ποί. VN ‖ **16** ᾖδον Σ^l, *om* VN ‖ **17** ἐκχύσεως VN, συγχύσεως Σ^l | αὐτ. τ. ὑπόθ. *om* Σ^l ‖ **19** περὶ — πλάνη *add* Σ^l ‖ **25** μέρος ἐλ. εἶπεν — φωνῆς (26) *post* σύνταξιν (27) *transp.* VN ‖ **27** τῆς κατὰ σύνταξιν VN, τῶν κατὰ σύνεσιν *Uhlig, coll. Arist. Poet. 1456ᵇ 22*

μερισθῆναι, ἡ μὲν λέξις εἰς συλλαβάς, ἡ δὲ συλλαβὴ εἰς στοιχεῖα· τὸ δὲ στοιχεῖον ἀμερές ἐστι, καθὼς ἤδη εἰρήκαμεν. Εἰ δέ τις εἴποι, ὅτι τὸ Τ στοιχεῖον δύναται μερισθῆναι εἴς τε Ι καὶ μακράν, ἴστω ὅτι τῆς μὲν γραμμῆς δυνατὸν γενέσθαι διαίρεσιν, τῆς δὲ φωνῆς ἀδύνατον· ὁ δὲ στοιχείου λόγος οὐδὲν προσήκει τῷ γράμματι.

Ἄλλως τε πάλιν· στοιχεῖόν ἐστιν *etc.* = Σ^d 31, 10—18.

⟨*Heliodori.*⟩ — Τούτῳ γοῦν τῷ στοιχείῳ παρέπεται τέσσαρα, ὄνομα, χαρακτὴρ ἤτοι σχῆμα, θέσις καὶ δύναμις. Καὶ ὄνομα μὲν ὃ ὀνομάζεται ἕκαστον, ὡς ὅταν εἴπωμεν ἄλφα βῆτα· σχῆμα δὲ ὁ ὑποκείμενος ἑκάστου τύπος, οἷον τοῦ μὲν Α τρεῖς εἰσι γραμμαί, καὶ λέγεται τρίγραμμον, τοῦ δὲ Ι μία, καὶ ἔστι μονόγραμμον· θέσις δέ, ὅτι τὰ μὲν προτάσσεται, τὰ δὲ ὑποτάσσεται· δύναμις δὲ ἡ ἐξ αὐτῶν ἀποτελουμένη φωνή, οἷον ὅτι τὰ μέν ἐστι μακρὰ τὰ δὲ βραχέα, τὰ δὲ ψιλὰ τὰ δὲ δασέα, τὰ δὲ διπλᾶ τὰ δὲ ἁπλᾶ, τὰ δὲ μεταβολικὰ τὰ δὲ ἀμετάβολα, τὰ δὲ φωνήεντα τὰ δὲ σύμφωνα. Αἰτίαν δὲ τῆς τάξεως οἶδεν οὐδὲ εἷς· φύσεως γάρ εἰσιν εὑρήματα· ἐν μὲν γὰρ τοῖς πρώτοις τὸ ἰῶτα τρισύλλαβον, ἐν δὲ τοῖς τελευταίοις τὸ ψῖ μονοσύλλαβον· καὶ τὸ μῦ δὲ ἐν τοῖς πρώτοις εἰς ῡ λήγει, τὸ δὲ ψῖ ἐν τοῖς ἐσχάτοις εἰς ῑ. — Στοιχεῖα δὲ εἴρηνται ἐκ τοῦ στιχηδὸν γράφεσθαι στιχεῖον, καὶ πλεονασμῷ τοῦ ο̅ στοιχεῖον· οἱ δὲ πλεονασμῷ τοῦ ς̅ στοιχεῖόν φασιν, ἐν γὰρ τοῖς τοίχοις ἐγράφοντο πρότερον. Πάλιν οὖν λέγουσιν ἄλλοι ὀνομασθῆναι αὐτὰ ἀπὸ τοῦ στείχω, ἐξ οὗ γίνεται στοῖχος· καὶ ὥσπερ ἀπὸ τοῦ πρῶτος γίνεται πρωτεῖον, καὶ ἀπὸ τοῦ κάλλιστος καλλιστεῖον, καὶ ἀπὸ τοῦ ἄριστος ἀριστεῖον, οὕτω καὶ ἀπὸ τοῦ στοῖχος στοιχεῖον. Τινὲς δέ φασι στοιχεῖα αὐτὰ ὀνομασθῆναι ἐκ μεταφορᾶς τῶν κοσμικῶν στοιχείων· ὃν τρόπον γὰρ ἐκεῖνα τῇ μίξει τῇ πρὸς ἄλληλα τὰ ἡμέτερα σώματα καθίστησί τε καὶ ἀποτελεῖ, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τούτων τῶν στοιχείων τῇ πρὸς ἄλληλα κοινωνίᾳ ἀποτελοῦνται αἱ συλλαβαί, καὶ ἀπὸ συλλαβῶν ἡ τῶν λέξεων σύστασις.

Τί ἐστι στοιχεῖον; Φωνῆς Ἑλληνίδος φθόγγος ἐλάχιστος· καὶ ἄλλως· ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή. Διὰ τί εἶπεν «ἀμερής»; Διότι οὐ μερίζεται, ὡς ἡ συλλαβή· τὴν γὰρ μ̅η̅ συλλαβὴν δύναμαι μερίσαι εἰς τὰ ἐξ ὧν συνέστηκεν, ἤγουν εἰς τὸ μ̅ καὶ εἰς τὸ η̅· τὸ δὲ στοιχεῖον ἀμερές ἐστιν. — Ποσαχῶς τὸ στοιχεῖον; Τριχῶς· στοιχεῖον ἡ ἐκφώνησις, στοιχεῖον ὁ χαρακτήρ, στοιχεῖον καὶ τὸ ὄνομα. Καὶ διὰ τί λέγεται τριχῶς; Διότι καὶ τῷ ἀνθρώπῳ τρία παρέπεται, τὰ τῆς ψυχῆς, τὰ τοῦ σώματος καὶ τὰ ⟨τῶν⟩ ἐκτός· τὰ τῆς ψυχῆς μέν, ὡς οἱ μὲν τῶν ἀνθρώπων εἰσὶν ἔμφρονες, οἱ δὲ ἄφρονες· τὰ τοῦ σώματος δέ, ὡς οἱ μέν εἰσιν ἰσχυροί, οἱ δὲ ἀδύνατοι· τὰ τῶν ἐκτὸς δέ, ὡς οἱ μέν εἰσι πλούσιοι, οἱ δὲ πένητες. — Πόσα παρέπεται τῷ στοιχείῳ; Ἕξ· ὄνομα, σχῆμα, θέσις, χαρακτήρ, ἐκφώνησις καὶ δύναμις· ὄνομα μέν, ὡς ὅταν λέγωμεν ἄλφα βῆτα γάμμα· σχῆμα δέ, ὡς ὅτε τὰ μὲν μίαν γραμμὴν ἔχουσιν, ὡς

7—28 *videntur esse* Σ^h

4 ὁ δὲ] ὁ γὰρ VN ‖ **11** καὶ ἔστι μονόγρ. N, *om* V ‖ **20** στοιχεῖον N, *om* V ‖ **27** τῆς πρὸς ἀλλ. κοινωνίας VN ‖ **28** συλλαβῶν] συλλαβῆς VN ‖ **29—318, 16** *om* N

τὸ ι, τὰ δὲ πλείω, ὡϲ αἱ δίφθογγοι· θέϲιϲ δέ, ὡϲ τὸ μὲν ᾱ πρῶτον, τὸ δὲ β̄ δεύτερον, ἢ ὅτι τὰ μὲν προηγοῦνται, τὰ δὲ ὑποτάϲϲονται· χαρακτὴρ δέ, ὡϲ τὸ μὲν τρίγωνον, τὸ δὲ ἡμικύκλιον, ἄλλο ϲτρογγύλον καὶ ἄλλο ἄλλωϲ ϲχηματιϲθέν· ἢ ὡϲ τὸ μὲν Α τρίγραμμον, τὸ δὲ Γ δίγραμμον, τὸ δὲ Δ τρίγωνον, τὸ δὲ Ο ϲτρογγύλον· ἐκφώνηϲιϲ δέ, καθὸ τὰ μὲν φωνήεντα φωνὴν ἀφ' ἑαυτῶν ἀποτελοῦϲι, τὰ δὲ ἡμίφωνα παρ' ὅϲον ἧττον τῶν φωνηέντων εὔφωνα καθέϲτηκεν ἔν τε τοῖϲ μυγμοῖϲ καὶ ϲιγμοῖϲ, τὰ δὲ ἄφωνα παντελῶϲ ἀμοιροῦϲι φωνῆϲ ἰδίαϲ· δύναμιϲ δέ, ὡϲ τὸ μὲν μακρόν, τὸ δὲ βραχύ, ἢ δαϲὺ ἢ ψιλόν, ἢ φωνῆεν ἢ ϲύμφωνον. — Πόθεν εἴρηται ϲτοιχεῖον; Ἀπὸ τοῦ ϲτείχω, ὃ δηλοῖ τὸ ἐν τάξει πορεύομαι, ⟨ἐξ οὗ γίνεται ϲτοῖχοϲ⟩· τάξιν γὰρ ἔχουϲί τινα, ὅτι τὰ φθάϲαντα προταγῆναι οὐδέποτε ὑποτάϲϲονται· οὐ γὰρ ἀτάκτωϲ καὶ ὡϲ ἔτυχεν ἐπιπλέκονται ἀλλήλοιϲ τὰ ϲτοιχεῖα, ἀλλ' ἁρμονίᾳ τινὶ φυϲικῇ, ὡϲ ἐν τῷ πρῶτοϲ τὸ π̄ προετάγη τοῦ ρ̄ ἐν μιᾷ ϲυλλαβῇ, καὶ οὐδέποτε εὕρηται τὸ ρ̄ του π̄ προταττόμενον ἐν μιᾷ ϲυλλαβῇ· ὁμοίωϲ καὶ τὸ κ̄ τοῦ λ̄ ἐν τῷ κλέοϲ, καὶ τὸ ϲ̄ τοῦ θ̄ ἐν τῷ ϲθένοϲ, καὶ οὐδέποτε τὸ ἀνάπαλιν· καὶ ὡϲ ἀπὸ τοῦ κάλλιϲτοϲ γίνεται καλλιϲτεῖον, καὶ ἀπὸ τοῦ πρῶτοϲ πρωτεῖον, οὕτω καὶ ἀπὸ τοῦ ϲτοῖχοϲ ϲτοιχεῖον· ἁρμονίᾳ γάρ τινι ἐπιπλέκονται ἀλλήλοιϲ τὰ ϲτοιχεῖα.

Διομήδουϲ. — Ἀναγκαῖόν ἐϲτιν ἡμᾶϲ πρῶτον γνῶναι *etc.* = Σ^d 31, 4—32, 9 et 35, 24—36, 13.

Στεφάνου εἰϲ τὸ αὐτὸ καὶ περὶ γραμμάτων. — Στοιχεῖον εἴρηται *etc.* = Σ^v 192, 12—23 *et* 182, 15—28.

Πόϲα ϲτοιχεῖα; Εἰκοϲιτέϲϲαρα. Καὶ πόϲα γράμματα; Εἰκοϲιεπτά· τὰ γὰρ ϲτοιχεῖα καὶ γράμματα καλοῦνται, οὐ μὴν καὶ τὰ γράμματα ϲτοιχεῖα. Πότε λέγονται γράμματα καὶ πότε ϲτοιχεῖα; Ὅτε μὲν γράφονται, λέγονται γράμματα, ὅτε δὲ ἀναγινώϲκονται, λέγονται ϲτοιχεῖα. Διὰ τί λέγονται γράμματα; Διὰ τὸ γραμμαῖϲ καὶ ξυϲμαῖϲ αὐτὰ τυποῦϲθαι· γράψαι γὰρ τὸ ξύϲαι παρὰ τοῖϲ παλαιοῖϲ, ὡϲ καὶ παρ' Ὁμήρῳ ⟨Λ 388⟩ νῦν δέ μ' ἐπιγράψαϲ ταρϲὸν ποδὸϲ εὔχεαι αὔτωϲ. Τίϲ ἐϲτιν ὁ ταρϲόϲ; Τὸ πλατὺ τοῦ ποδόϲ, ὅ ἐϲτι πέλμα. Τί ἐϲτιν εὔχεαι; Καυχᾷ. Τί ἐϲτιν αὔτωϲ; Ματαίωϲ. Διὰ τί λέγονται ϲτοιχεῖα; Διὰ τὸ ϲτοῖχόν τινα καὶ τάξιν ἔχειν.

⟨*Heliodori.*⟩ — Γράμματα εἰπὼν εἰκοϲιτέϲϲαρα ἐξέφυγε τὰϲ προϲῳδίαϲ, ϲὺν αὐταῖϲ δὲ καὶ τὰ παράϲημα, τό τε ϛ̄, τὸ ϙ̄ καὶ τὸ ϡ̄· γράμματα μὲν γάρ εἰϲι, καθὰ τυποῦνται καὶ γράφονται τὰ τοιαῦτα παράϲημα καὶ αἱ προϲῳδίαι, ϲτοιχεῖα δὲ οὐκ εἰϲίν, ὅτι ϲυμφυρόμενα ἀλλήλοιϲ οὐ δύνανται ϲυλλαβὴν ἀποτελεῖν, τὰ δὲ ϲτοιχεῖα ϲυμπλεκόμενα ἀλλήλοιϲ ⟨ϲυλλαβὴν⟩ ἀποτελεῖ· καὶ ὅτι τὰ μὲν παράϲημα φωνὴν καὶ ἀριθμὸν ἔχουϲιν, αἱ δὲ προϲῳδίαι οὔτε ἰδίᾳ ἐκφωνεῖϲθαι χωρὶϲ τῶν ϲτοιχείων δύνανται, οὔτε ἀριθμοῦ ὅρον ἐπιδέχονται· τοίνυν ἄρα οὔτε παράϲημα οὔτε προϲῳδίαι ϲτοιχεῖα.

Ἀπὸ ἄλλου εἰϲ τὸ αὐτό. — Φαϲί τινεϲ ὅτι ἀνακολούθωϲ καὶ οὐχ ὑγιῶϲ ἐνταῦθα ὁ τεχνογράφοϲ τὸν περὶ ϲτοιχείου διδάϲκει ἡμᾶϲ

29—37 *videntur esse* Σ^h ‖ 38—319, 6 *cfr* Σ^d *30, 26—31, 1*

14 καὶ ὡϲ] ὡϲ γὰρ V ‖ 15 ϲτοῖχοϲ] ϲτείχω V ‖ 17 Διομ. V, *om* N ‖ 19 Στεφ. — γραμμ. V, *om* N ‖ 21—28 *om* N ‖ 26 αὔτωϲ V; *item v. 28* ‖ 28 ϲτίχον τινὰ V

λόγον· προθέμενος γὰρ καὶ ἐπιγράψας «περὶ στοιχείου» οὐκ ἐπήγαγε «στοιχεῖόν ἐστιν», ὥςπερ εἰπὼν «περὶ ἀναγνώςεως», ἐπιφέρει «ἀνάγνωςίς ἐστι», καὶ «περὶ τόνου» «τόνος ἐστί», καὶ ἐφεξῆς ὁμοίως· ἐνταῦθα δὲ ἐπιγράψας «περὶ στοιχείου» οὐκ ἐπήγαγε «στοιχεῖόν ἐστιν», ἀλλὰ «γράμματά ἐστι», τὸν περὶ γραμμάτων λόγον ἐπαγαγών· ἔδει δὲ περὶ στοιχείων διαλαβεῖν καὶ οὐ περὶ γραμμάτων. Λέγομεν οὖν πρὸς τοῦτο, ὅτι σκοπὸν ἔχει εἰςαγωγικὴν τέχνην γράφειν, εἰςαγωγικὴ δὲ ἡ παροῦςα τέχνη καὶ νέοις πεποιημένη· δεῖ δὲ τὸν οὕτω συγγραφόμενον τῶν γλαφυρωτέρων ἀφίςταςθαι. Ἐπειδὴ γοῦν καὶ ὁ περὶ στοιχείου λόγος πολὺς ἦν καὶ πλέων ἢ κατὰ νέον, καὶ φιλοσοφικώτερος καὶ πολλῆς διδασκαλίας ἐδεῖτο, διὰ τοῦτο παρῆκεν αὐτόν, ἄκαιρον ἡγούμενος ἐν εἰςαγωγῇ τὴν διδασκαλίαν μεγίστην ποιήςαςθαι, τῶν νέων ἀήθων ὄντων πρὸς τὴν τοιάνδε πρότασιν· μετέρχεται δὲ λοιπὸν ἐπὶ τὰ γράμματα, εἰδὼς ὅτι καὶ αὐτὰ στοιχεῖά ἐστιν, ὁπότε δύνανται τὴν ἐγγράμματον φωνὴν ἀποτελέςαι. Ὅτι δὲ οὐ διαφέρεται ὁ τεχνογράφος περὶ τῆς ὀνομαςίας ταύτης, δῆλον· μικρὸν γὰρ προελθὼν τὰ αὐτὰ καὶ στοιχεῖα ἔφη κεκλῆςθαι διὰ τὸ στοίχῳ καὶ ἀκολουθίᾳ συντετάχθαι ἀλλήλοις· ὅταν γὰρ κατὰ τάξιν καὶ δεόντως γραφῇ, τότε τὴν ἐναρμόνιον φωνὴν ἀποτελεῖ, ἥτις ἐστὶ στοιχεῖον· στοιχεῖον γάρ ἐστιν ἡ ἀπὸ τῶν γραμμάτων καὶ τῶν λέξεων ἀποτελουμένη ἐκφώνηςις.

Τίνος ἕνεκεν εἰκοςιτέςςαρα τὰ γράμματα ἔφη; εἰ γὰρ γράμματά εἰςιν οἱ χαρακτῆρες καὶ αἱ ξυςμαί, γράμματα δὲ καὶ τὰ παρὰ Χαλδαίοις καὶ Ῥωμαίοις καὶ αἱ προςῳδίαι καὶ τὰ παράςημα ταῦτα ϛ ϙ ϡ, πῶς φηςι γράμματα εἰκοςιτέςςαρα εἶναι; Ἔςτιν οὖν εἰπεῖν, ὅτι περὶ τῶν ἐν χρήςει τοῖς Ἕλληςι διαλαμβάνει γραμμάτων, ταῦτα δὲ εἰκοςιτέςςαρα· ἢ ὅτι τοῖς στοιχείοις παρέπεται ἢ ἰδίᾳ ἢ ςὺν ἄλλοις φωνὴν ἐγγράμματον ἀποτελεῖν, ὡς τὰ φωνήεντα καὶ τὰ σύμφωνα· ὃ οὐ συμβαίνει ταῖς προςῳδίαις καὶ τοῖς παραςήμοις. Καὶ τὰ μὲν στοιχεῖα τῇ κοινωνίᾳ τῇ πρὸς ἄλληλα συλλαβὴν ἀποτελεῖ, τὰ δὲ παράςημα μιςγόμενα συλλαβὴν οὐκ ἔχει ἀποτελουμένην· ἀλλ' οὐδὲ αἱ προςῳδίαι [οὔτε] ἐκφωνεῖςθαι χωρὶς τῶν στοιχείων δύνανται ἰδίᾳ.

Τί ἐστι γράμμα; Σημεῖον στοιχείου, ὃ δὴ ἐν σχήματι γραφῆς ποςῷ ἢ ποιῷ καταλαμβάνεται· «ποςῷ ἢ ποιῷ» ἀντὶ τοῦ ἐν τοιῷδε σχήματι. Τί ἐστι γραμμή; Μῆκος ἀπλατές. Τί ἐστι ξυςμή; Σχῆμα καμπυλοειδές. Πόθεν εἴρηται γράμμα; Ἀπὸ τοῦ γλάφω, ὃ σημαίνει τὸ κοιλαίνω, ἐξ οὗ γλαφυρός, [καὶ] ὡς ἔχω ἐχυρός, κάπω καπυρός, ὁ ἡδὺς καὶ εὔβρωτος, διὰ τὸ ἀναπνεῖςθαι, ἀφ' οὗ καπητὸν παρὰ τοῖς Ἰτα-

---

6—20 *cfr Σ^v 197, 1—11*

10 καὶ φιλος. N, *om* V ‖ **15** διαφέρεται V, διαφέρει N ‖ **27** οὐ N, μὴ V ‖ **32** γραφῆς V, γραμμῆς N ‖ **33** ποςῷ ἢ ποιῷ N, *om* V ‖ **34** Τί — καμπυλ. *om* N ‖ **35** κάππω VN ‖ **36** ἀναπνεῖςθαι] ἀπτῆςθαι V, ὀπτεῖςθαι N | καππητὸν N

λοῖς τὸ εἰς τροφὴν ἵππου διδόμενον· ἀπὸ γοῦν τοῦ γέγλαμμαι παθητικοῦ παρακειμένου γλάμμα, ὡς γλύφω γλύμμα, καὶ τροπῇ τοῦ λ̄ εἰς ρ̄ γράμμα.

Ζητητέον δέ, τίνος ἕνεκεν εἰπὼν «περὶ στοιχείου» *etc.* = Σ^d 32, 15—22. — Καὶ ἐπὶ μὲν *etc.* = Σ^d 33, 15—20. — Εὑρίσκομεν οὖν *etc.* = Σ^d 32, 24—30 (διαφοραί), ὡς εἶναι πάσας ὁμοῦ διαφορὰς τοῦ ᾱ δέκα. Περισπωμένης δὲ μνήμην ἐπὶ τῶν βραχέων οὐκ ἐποιήσαμεν· οὐ γὰρ οἷόν τε ἦν τι τῶν βραχέων περισπᾶσθαι. Καὶ ταῦτα μὲν περὶ τοῦ ᾱ.

Πῶς δὲ συνέστη ὁ ἀλφάβητος; Πρῶτον μὲν τῶν παρὰ τοῖς Ἕλλησι στοιχείων 187 v
ἦν ἐξ ἐτυμολογίας τοῦ ἄλεφ, Ἑβραίων πρώτου στοιχείου, ὃ ἑρμηνεύεται μάθησις, ἐντελλόμενον τῷ εἰσαγομένῳ παιδίῳ «μάθε»· ἀφ' οὗ ἄλεφ καὶ αὐτοὶ ὁμοίως μιμησάμενοι τὸ πρῶτον στοιχεῖον ἄλφα κεκλήκασι, καὶ συνεξεφωνήθη ἡ φράσις τῆς ἑρμηνείας τῆς Ἑβραΐδος τῇ Ἑλληνικῇ διαλέκτῳ, ἵνα εἴπῃ τῷ παιδίῳ ἄλφα, τουτέστι μάθε, ζήτει· τὸ ἀλφεῖν γὰρ ζητεῖν λέγεται ἐν τῇ Ἑλληνικῇ διαλέκτῳ. Ἀλλὰ καὶ ὡς πρώτου ὄντος στοιχείου τοῦ ἄλφα καὶ ἐκ θεοῦ δοθέντος τῷ γένει τῶν ἀνθρώπων, τοῦ ἀνοίξαντος τὸ στόμα εἰς σύνεσιν τῶν τὰ γράμματα μανθανόντων, διὰ μεγάλου ἀνοίγματος τοῦ στόματος ἐκφωνεῖται καὶ ἀπαγγέλλεται· τὰ δὲ ἄλλα τῶν στοιχείων διὰ βραχείας ἀνοίξεως τοῦ στόματος ἐκφωνεῖται. Οὔτε δὲ γράμματα εἶχον οἱ Ἕλληνες ἐξ ἀρχῆς, ἀλλὰ διὰ Φοινικείων γραμμάτων ἔγραφον τὰ ἑαυτῶν· καὶ γὰρ αὐτὰ τὰ Φοινίκεια τοῖς ὀνόμασιν, ὡς καὶ τὰ Ἑβραϊκά, κατὰ μίμησιν τῶν Ἑβραίων τοῖς Φοίνιξιν εὑρέθη. Παλαμήδης δ' ὕστερον ἐλθών, ἀρξάμενος ἀπὸ τοῦ ἄλφα, δεκαὲξ μόνα τοῖς Ἕλλησιν εὗρε στοιχεῖα, ᾱ β̄ γ̄ δ̄ ε̄ ῑ κ̄ λ̄ μ̄ ν̄ ο̄ π̄ ρ̄ σ̄ τ̄ ῡ· προσέθηκε δὲ αὐτοῖς Κάδμος ὁ Μιλήσιος γράμματα τρία, θ̄ φ̄ χ̄, διὸ καὶ πολλῷ τῷ χρόνῳ 122 v
τοῖς δεκαεννέα ἐχρῶντο· ὅθεν οἱ ἀρχαῖοι μὴ ἔχοντες τὸ ψ̄ τὴν ψαλίδα σπαλίδα ἔγραφον καὶ ἔλεγον, ἀλλὰ καὶ πολλὰ ῥήματα ἄλλως ἐξεφώνουν καὶ ἔγραφον. Μετὰ ταῦτα Σιμωνίδης ὁ Κεῖος εὑρὼν προσέθηκε δύο, η̄ καὶ ω̄, Ἐπίχαρμος δὲ ὁ Συρακούσιος τρία, ζ̄ ξ̄ ψ̄, καὶ οὕτως ἐπληρώθησαν τὰ εἰκοσιτέσσαρα. Ὅθεν μιμησάμενος ὁ Ὅμηρος τὸν ἀριθμὸν τῶν εἰκοσιδύο βιβλίων τῶν παρ' Ἑβραίοις, εἰς τὸν τῶν εἰκοσιδύο στοιχείων τυπωθέντα ἀριθμόν, καὶ αὐτὸς τὴν ἰδίαν ποίησιν τῆς Ἰλιάδος τῶν 188 v
εἰκοσιτεσσάρων ῥαψῳδιῶν διὰ τῶν εἰκοσιτεσσάρων στοιχείων ἐποίησεν· οὕτως δὲ καὶ τὴν Ὀδύσσειαν.

Τί ἐστιν ἄλφα; Φωνῆεν δίχρονον μεταβολικὸν προτακτικὸν τοῦ ῑ καὶ τοῦ ῡ.

8—30 *de codicibus huius commentatiunculae vide praef. cap. II sub f.* ‖ **9** τοῦ — πρώτου στοιχείου ΟΣ^{ϑ}, τὸ — πρῶτον στοιχεῖον VN ‖ **10** ὁμοίως Σ^{ϑ}, σφᾶς VN, *om* O ‖ **11** πρῶτον στοιχ.] τοιοῦτον στοιχ. VN, *om* OΣ^{ϑ} ‖ **12** ἵνα — διαλ. (**13**) *om* O | εἴπῃ Σ^{ϑ}, εἴπῃς VN ‖ **15** ἀνοίξαντος στ. Σ^{ϑ}, ἀνοῖξαι τὸ στ. VNO | τὰ γρ. μανθ. VNO, γραμμάτων Σ^{ϑ} ‖ **16** καὶ ἀπαγγ. — ἐκφων. (**17**) *om* VN | τῶν στοιχ. Σ^{ϑ}, *om* O ‖ **17** δὲ Σ^{ϑ}, γὰρ VNO ‖ **18** ἐξ ἀρχῆς Σ^{ϑ}, *om* VNO | ἑαυτῶν Σ^{ϑ}, αὐτῶν ἑλληνικὰ γράμματα VNO | καὶ γὰρ — εὑρέθη (**20**) VNO, *om* Σ^{ϑ} ‖ **23** σπαλίδα ΟΣ^{ϑ}, πσαλίδα VN ‖ **24** ἔγραφον καὶ Σ^{ϑ}, *om* VNO ‖ **25** Κεῖος *Goettling,* Χῖος VOΣ^{ϑ}, Χῖος ἢ Κεῖος N | εὑρὼν ΟΣ^{ϑ}, ἐλθὼν VN ‖ **26** Ὅθεν — Ὀδύσσ. (**30**) VNO, ὅθεν ὁ Ὅμηρος οὐκ ἐξηκολούθησε τῷ ἀριθμῷ τῶν εἰκοσιδύο γραμμάτων τῶν παρ' Ἑβραίοις, ἀλλὰ διὰ τῶν εἰκοσιτεσσάρων γραμμάτων τε καὶ στοιχείων τῶν Ἑλληνικῶν ἐτύπωσε καὶ αὐτὸς τὴν ἰδίαν ποίησιν τῆς Ἰλιάδος, ὡσαύτως καὶ τὴν Ὀδύσσειαν, αἵτινες ῥαψῳδίαι προσαγορεύονται Σ^{ϑ} ‖ **31—323, 15** *om* N. *Praeter* Σ^1 *confer ea quae e codd. Matritensibus 83 et 114 edidit Iriarte, Biblioth. Matrit. cod. gr. p. 315 seq et 448 seq, et quae Etymologica praebent de etymologiis singularum litterarum*

Πόθεν ἄλφα; Ἀπὸ τοῦ ἀλφῶ, ὃ δηλοῖ τὸ ζητῶ καὶ τὸ εὑρίσκω, ἀφ' οὗ καὶ ἀλφησταὶ οἱ ἐφευρεταί· πρῶτον γὰρ τῶν ἄλλων εὑρέθη στοιχείων, καὶ ἀπὸ τούτου τὰ λοιπά· καὶ ὅτι ἀπ' αὐτοῦ ἄρχεται καὶ εἰς ἑαυτὸ καταλήγει, τὰ δὲ λοιπὰ ἀφ' ἑαυτῶν μὲν ἄρχονται, εἰς ἑαυτὰ δὲ οὐ καταλήγουσιν [ἡ πεῖρα μὲν γὰρ εἰς ἐμπειρίαν προκόπτει, ἡ δὲ ἐμπειρία εἰς τέχνην, ἡ δὲ τέχνη εἰς ἐπιστήμην, ἡ δὲ ἐπιστήμη εἰς τὴν καθόλου]· ἢ ἀπὸ τοῦ κατὰ ἀμοιβὰς πολιτεύεσθαι, ἄλφειν γὰρ τὸ ἀμείβειν· καὶ ὅτι τὸ ἄλφα πρῶτον εὑρέθη τῶν ἄλλων, διὸ καὶ τῷ ὀνόματι τῆς εὑρέσεως προσηγορεύθη· τὸ γὰρ ἀλφῶ τὸ εὑρίσκω σημαίνει· ἄλλως· διότι ἐν τοῖς δισυλλάβως προφερομένοις στοιχείοις ἀφ' ἑαυτοῦ ἄρχεται καὶ εἰς ἑαυτό, ὡς εἴπομεν, καταλήγει.

Τί ἐστι βῆτα; Σύμφωνον ἄφωνον μέσον τοῦ π̄ καὶ φ̄. Πόθεν εἴρηται βῆτα; Ἀπὸ τοῦ βαίνω [χρησίμου], τὸ γὰρ βῶ ὑποτακτικόν ἐστιν· ὁ μέλλων βήσομαι, ὁ παρακείμενος βέβηκα, ὁ παθητικὸς βέβημαι βέβηται, καὶ ἐξ αὐτοῦ βῆτα, τὸ δευτέραν ἔχον τάξιν· ἐπιβέβηκε δὲ τῶν λοιπῶν.

Τί ἐστι γάμμα; Σύμφωνον ἄφωνον μέσον τοῦ κ̄ καὶ χ̄. Πόθεν γάμμα; Ἀπὸ τοῦ τὴν γῆν ἀμᾶν ἤτοι θερίζειν, δρεπανοειδὲς γάρ· ᾧ καὶ ὁ τύπος τοῦ γράμματος ὅμοιος.

Τί ἐστι δέλτα; Σύμφωνον ἄφωνον μέσον τοῦ θ̄ καὶ τ̄. Πόθεν εἴρηται δέλτα; Ἀπὸ τοῦ διάρτιόν τι εἶναι, ἤγουν τὸ μὴ ὂν ἐλλιπὲς τῇ ἐπάρσει, ἰσόπλευρον γάρ, οὗ οὐκ ἀφαιρούμεθά τι τῶν ἴσων, ἵνα ἴσα γένηται, ἐπεὶ οὕτως ἔτυχεν ἐκ τῆς κατ' ἀρχὴν ἐκτυπώσεως· ἄλλοι δὲ ἀπὸ τοῦ δέλτα τοῦ ἐξ ἀστέρων συγκειμένου ἐν τῷ οὐρανῷ, ὃ καὶ δελτωτὸν παρὰ τοῖς ἀστρονόμοις καλεῖται.

Τί ἐστιν ε̄; Φωνῆεν βραχὺ μεταβολικὸν προτακτικὸν τοῦ ῑ καὶ τοῦ ῡ. Πόθεν ἐκλήθη ε̄; Ἀπὸ τῆς τοῦ στόματος ὁμοιώσεως, ἐπεὶ τὸ μὲν πέριξ καὶ κυκλοτερὲς τὸ στόμα μιμεῖται, τὸ δὲ μέσον τὴν γλῶσσαν· ἢ ἀπὸ τῆς ἐπεκτάσεως τῆς ἐς μέσον καὶ τοῦ κυκλοτεροῦς· τὸ μὲν γὰρ κυκλοτερὲς καὶ πέριξ τοῦ ὄντος αἰῶνος μιμεῖται τὰ πέριξ, τὸ δὲ εἰς μέσον μακρὸν τὴν ἔκτασιν τοῦ αἰῶνος. Πόσαι ἐκφωνήσεις τοῦ ε̄; Τέσσαρες, ὅσαι καὶ τοῦ ο̄ μικροῦ· ε̄ δασὺ ὀξυνόμενον, ε̄ δασὺ βαρυνόμενον, ε̄ ψιλὸν ὀξυνόμενον, ε̄ ψιλὸν βαρυνόμενον.

Τί ἐστι ζῆτα; Σύμφωνον ἡμίφωνον διπλοῦν ἀρκτικὸν καὶ ἐν ἑαυτῷ ἔχον τὴν τοῦ σ̄ ⟨καὶ δ̄⟩ δύναμιν. Πόθεν ἐκλήθη ζῆτα; Ἀπὸ Ζήτου τοῦ Βορέου, οὗ μέμνηται Ἀπολλώνιος ⟨1, 211⟩.

Τί ἐστιν ἦτα; Φωνῆεν μακρὸν ἀμετάβολον προτακτικὸν τοῦ ῑ καὶ τοῦ ῡ. Πόθεν ἐκλήθη ἦτα; Ἀπὸ τοῦ ⟨τοῦ⟩ ῑ καὶ τοῦ τ̄ ἔχειν τὸν χαρακτῆρα τὸ στοιχεῖον· ἡνίκα γὰρ πλαγίως τεθῇ, εὕρηται τὸ τ̄. Πόσαι ἐκφωνήσεις τοῦ η̄; Ἕξ· η̄ δασὺ ὀξυνόμενον, η̄ δασὺ βαρυνόμενον, η̄ δασὺ περισπώμενον· ἰδοὺ τρεῖς διαφοραί· καὶ ἀνάπαλιν τοσαχῶς ψιλούμενον, η̄ ψιλὸν ὀξυνόμενον, η̄ ψιλὸν βαρυνόμενον, η̄ ψιλὸν περισπώμενον.

Τί ἐστι θῆτα; Σύμφωνον ἄφωνον δασὺ ἀντιστοιχοῦν τῷ τ̄. Πόθεν ἐκλήθη θῆτα; Ἐκ τῆς θέσεως τοῦ παντός· μιμεῖται γὰρ τὴν θέσιν τοῦ οὐρανοῦ καὶ τὸν ἐν μέσῳ ἄξονα, τὴν κατὰ τὸ μέσον μακρὰν ἔχον καὶ τὸ κυκλοτερές.

Τί ἐστιν ἰῶτα; Φωνῆεν δίχρονον ἀμετάβολον ὑποτακτικὸν ⟨καὶ⟩ τοῦ ῡ. Πόθεν ἰῶτα; Ἀπὸ τοῦ ἰοῦ τῶν ἰοβόλων ζῴων· ὥσπερ γὰρ ὁ ἰὸς εἰς ὀρθὸν βαδίζει ᾧ πέπρωται, οὕτω καὶ ἡ τούτου γραφὴ ὀρθὴ οὖσα ἰῶτα καλεῖσθαι τέτακται· ἢ ἀπὸ τοῦ ἰοῦ, ὃ δηλοῖ τὸ βέλος. Πόσαι ἐκφωνήσεις τοῦ ἰῶτα; Δέκα, ὅσαι καὶ τοῦ ᾱ· ῑ μακρὸν δασὺ ὀξυνόμενον, ῑ μακρὸν δασὺ βαρυνόμενον, ῑ μακρὸν δασὺ περισπώμενον· ἰδοὺ τρεῖς ἐκφωνήσεων διαφοραί· ῑ μακρὸν ψιλὸν ὀξυνόμενον, ῑ μακρὸν ψιλὸν βαρυνόμενον, ῑ μακρὸν ψιλὸν περισπώμενον· ἰδοὺ ἄλλαι τρεῖς διαφοραὶ ἐκφωνήσεων· ῑ βραχὺ δασὺ

---

8 ἄλλον V | δισυλλάβοις V ‖ **21** δελτωτὸν] δέλτω V ‖ **31** Ἀπολλώνιος] ἥλιος V ‖ **33** τοῦ στοιχείου V ‖ **40** ἔχον] ἔχειν V ‖ **42** ᾧ] οὗ V ‖ **43** καλεῖσθαι τέτακτο V, καλεῖν ἠνίξατο Σ^1 *Matr. 114 EtM 462, 32*

ὀξυνόμενον, ι̅ βραχὺ δαϲὺ βαρυνόμενον, ι̅ βραχὺ ψιλὸν ὀξυνόμενον, ι̅ βραχὺ ψιλὸν βαρυνόμενον· ἰδοὺ ἄλλαι τέϲϲαρες διαφοραὶ ἐκφωνήϲεων, ὡς εἶναι πάϲας ὁμοῦ διαφορὰς τοῦ ι̅ δέκα.

Τί ἐϲτι κάππα; Σύμφωνον ἄφωνον ψιλὸν ἀντιϲτοιχοῦν τῷ χ̅. Πόθεν εἴρηται κάππα; Ἀπὸ Κάππυός τινος, τούτου γὰρ εὕρημα· ἢ χόπα τι ὂν τὸ ἔχον ὄπα, τουτέϲτι φωνήν· τὰ γὰρ ψιλὰ ὑποκάτω τῆς γλώϲϲης ἔχει τὴν προφορὰν τῆς φωνῆς.

Τί ἐϲτι λάμδα; Σύμφωνον ἡμίφωνον ἀμετάβολον ὑγρὸν [λεῖον]. Πόθεν εἴρηται λάμδα; Οἱονεὶ λειόβα τι ὄν, ἀπὸ τοῦ λείως βαίνειν ἐν τοῖς μέτροις καὶ ἀϲθενὲς εἶναι πρὸς τὸ μηκύνειν τὰς ϲυλλαβάς.

Τί ἐϲτι μῦ; Σύμφωνον ἡμίφωνον ἀμετάβολον ὑγρόν, ἐκφωνούμενον μυγμὸν ἐκπέμπον. Πόθεν μῦ; Ἀπὸ τοῦ μυγμόν τινα ἔχειν τὴν τούτου ἐκφώνηϲιν· μυγμὸς γὰρ ὁ τοῦ μῦ ἦχος διὰ τῶν μυκτήρων ἐξερχόμενος.

Τί ἐϲτι νῦ; Σύμφωνον ἡμίφωνον ἀμετάβολον ὑγρόν, ἐκφωνούμενον ⟨νυγμὸν ἐκπέμπον⟩. Πόθεν νῦ; Ἀπὸ τοῦ νυγμόν τινα ἔχειν τὴν τούτου ἐκφώνηϲιν.

Τί ἐϲτι ξῖ; Σύμφωνον ἡμίφωνον διπλοῦν ἀρκτικὸν ἐν ἑαυτῷ ἔχον τὴν τοῦ κ̅ ⟨καὶ ϲ̅⟩ δύναμιν. Πόθεν εἴρηται ξῖ; Ἀπὸ τοῦ ξύεϲθαι τῶν ἄλλων πλέον· ξύϲματα γὰρ αὐτὰ τὰ ϲτοιχεῖα.

Τί ἐϲτιν ο̅; Φωνῆεν βραχὺ μεταβολικὸν προτακτικὸν τοῦ ι̅ καὶ τοῦ υ̅ ἀντιϲτοιχοῦν τῷ ω̅ μεγάλῳ. Πόθεν ἐκλήθη ὄ; Ἀπὸ τοῦ ἐμφερές τι εἶναι τῇ ἐκφωνήϲει· κατὰ γὰρ περίκλαϲιν φωνῆς ἐκφωνεῖται τὸ ὄνομα τοῦ ϲτοιχείου. Πόϲαι ἐκφωνήϲεις τοῦ ο̅; Τέϲϲαρες, ὅϲαι καὶ τοῦ ε̅· ο̅ δαϲὺ ὀξυνόμενον, ο̅ δαϲὺ βαρυνόμενον· ἰδοὺ δύο διαφοραὶ ἐκφωνήϲεων· καὶ ἀνάπαλιν τοϲαχῶς ψιλούμενον· ο̅ ψιλὸν ὀξυνόμενον, ο̅ ψιλὸν βαρυνόμενον· ἰδοὺ ἄλλαι δύο διαφοραὶ ἐκφωνήϲεων.

Τί ἐϲτι πῖ; Σύμφωνον ἄφωνον ψιλὸν ἀντιϲτοιχοῦν τῷ φ̅. Πόθεν εἴρηται πῖ; Ἀπὸ τοῦ παίω· ὡϲεὶ παίοντος γὰρ καὶ κρούοντος ἦχός ἐϲτιν ὁ τούτου φθόγγος.

Τί ἐϲτι ῥῶ; Σύμφωνον ἡμίφωνον ἀμετάβολον ὑγρὸν ἐκφωνούμενον ῥοῖζον ἐκπέμπον. Πόθεν εἴρηται ῥῶ; Ἀπὸ τοῦ ῥέω· ὑγρὰ γὰρ καὶ εὐμάλακτα καὶ ὡϲεὶ ἔλαιον ῥεῖ ἐν τοῖς μέτροις τὰ ἀμετάβολα.

Τί ἐϲτι ϲίγμα; Σύμφωνον ἡμίφωνον μοναδικόν. Πόθεν εἴρηται ϲίγμα; Ἀπὸ τοῦ ϲίζω, ὃ δηλοῖ τὸ ἠχῶ· ϲίζει γὰρ ἀπὸ τῆς τοῦ φθόγγου δυνάμεως.

Τί ἐϲτι ταῦ; Σύμφωνον ἄφωνον ψιλὸν ἀντιϲτοιχοῦν τῷ θ̅. Πόθεν εἴρηται ταῦ; ⟨Ἀπὸ τοῦ⟩ τάγηνον· τοῦτο Ἰώνων τινὲς λέγουϲι τήγανον. Ἡρωδιανὸς ἀπὸ τοῦ τήκω ⟨τήκανον καὶ μεταθέϲει τοῦ κ εἰς γ̅⟩ τήγανον καὶ καθ' ὑπέρθεϲιν τάγηνον, οἷον ⟨ubi?⟩ ἐμοῦ δὲ ὥϲπερ ἐπὶ ταγήνου ἔϲιζεν ἡ καρδία, καὶ κατετήκοντο αἱ ϲάρκες, καὶ αὐτόματα ἐχώρει κατὰ τῶν γνάθων τὰ δάκρυα. Ἢ ὅτι ἐντεταμένας ἔχει τοῦ χαρακτῆρος τοῦ ϲτοιχείου τὰς ἐντυπώϲεις· ἀπὸ γὰρ μακρᾶς τῆς ἄνω καὶ τοῦ Ι τὸ γράμμα ἐϲτίν· ἐντεῦθεν καὶ ταῶς, ὁ τεταμένα ἔχων τὰ πτερά. Τὸν δὲ τοῦ Ἁλιρ⟨ρ⟩οθίου πέλεκυν, φηϲί, μιμηϲάμενον ἐνετυπώϲατο τὸ γράμμα.

Τί ἐϲτιν ὖ; Φωνῆεν δίχρονον ἀμετάβολον ὑποτακτικὸν καὶ τοῦ ι̅ προταϲϲόμενον. Πόθεν ὖ; Ὅτι παρεοικός ἐϲτι τῷ τῶν ὑάδων προϲώπῳ. Πόϲαι ἐκφωνήϲεις τοῦ υ̅; Πέντε, διὰ τὸ μὴ ψιλοῦϲθαι αὐτό· υ̅ μακρὸν δαϲὺ ὀξυνόμενον, υ̅ μακρὸν δαϲὺ βαρυνόμενον, υ̅ μακρὸν δαϲὺ περιϲπώμενον, υ̅ βραχὺ δαϲὺ ὀξυνόμενον, υ̅ βραχὺ δαϲὺ βαρυνόμενον· ἰδοὺ πέντε διαφοραὶ ἐκφωνήϲεων.

Τί ἐϲτι φῖ; Σύμφωνον ἄφωνον δαϲὺ ἀντιϲτοιχοῦν τῷ π̅. Πόθεν εἴρηται φῖ; Ἀπὸ τοῦ φαιόν, ὃ δηλοῖ τὸ μέϲον λευκοῦ καὶ μέλανος· τοιοῦτος γὰρ ὁ τούτου

---

5 κάππυος τινὸς V | χόπα Σ^1, κόπα V ‖ **8** λειόβα Σ^1, λάβα V ‖ **15** διπλοῦν] ἁπλοῦν V ‖ **27** εὐμάλλακτα V ‖ **30** τῶν φθόγγων V ‖ **32** Ἰώνων *EtM 743, 49,* ἰῶτα V ‖ **33** τήκανον — γ̅ *EtM 756, 27* ‖ **37** ταῶς ὁ τετ. *EtM 743, 47,* ταὼς ἐντεταμένα V ‖ **41** ὑάδων] ὑδάτων V

χαρακτήρ· ἢ ἀπὸ τοῦ φαιοῦ, ὃ δηλοῖ τὸ σκοτεινόν· οὕτω γὰρ καὶ τοῦτο περὶ τὴν ἐκφώνησιν κακόφωνόν ἐστι.

Τί ἐστι χῖ; Σύμφωνον ἄφωνον ⟨δασὺ⟩ ἀντιστοιχοῦν τῷ κ̄. Πόθεν χῖ; Ἀπὸ τοῦ χεομένην ἔχειν τὴν ἐκφώνησιν· ἄλλοι δὲ αὐτὸ σχῖ εἶπον, ὅτι ἔχει ὀξεῖαν καὶ βαρεῖαν ⟨ἀλλήλας⟩ διὰ μέσου σχιζούσας.

Τί ἐστι ψῖ; Σύμφωνον ἡμίφωνον διπλοῦν ἀρκτικὸν ἔχον ἐν ἑαυτῷ τὴν τοῦ π̄ ⟨καὶ σ̄⟩ δύναμιν. Πόθεν ψῖ; Ἀπὸ τοῦ συριγμὸν ἔχειν τὴν τούτου ἐκφώνησιν, καὶ ὅτι συριγμός ἐστι μόνον· ἄλλοι δὲ ὅτι ἑνὸς ψαύει χρόνου διπλοῦν ὄν.

Τί ἐστιν ω̄ μέγα; Φωνῆεν μακρὸν ἀμετάβολον προτακτικὸν ἀντιστοιχοῦν τῷ ο̄ μικρῷ. Πόθεν ὦ; Ἀπὸ τοῦ ἔω [ὦ], ὃ δηλοῖ τὸ ὑπάρχω· ἐπειδὴ δὲ τοῦτο μακρὸν ὑπάρχον καὶ μακρὸν ἔχει χαρακτῆρα, διὰ τοῦτο ὁμοίαν τῷ χαρακτῆρι τὴν ἐκφώνησιν ἀπηνέγκατο. Πόσαι ἐκφωνήσεις τοῦ ω̄ μεγάλου; Ἕξ· ω̄ δασὺ ὀξυνόμενον, ω̄ δασὺ βαρυνόμενον, ω̄ δασὺ περισπώμενον· καὶ ἀνάπαλιν τοσαχῶς ⟨ψιλούμενον⟩· ω̄ ψιλὸν ὀξυνόμενον, ω̄ ψιλὸν βαρυνόμενον, ω̄ ψιλὸν περισπώμενον. Ἰδοὺ *etc.* = **Σ^d 34, 6—16** *et* **24—26.**

Διὰ τί εἰσιν εἰκοσιτέσσαρα γράμματα; Κατὰ μίμησιν τῶν εἰκοσιτεσσάρων ὡρῶν τοῦ νυχθημέρου· τὰ γὰρ φωνήεντα τὴν ἡμέραν μιμοῦνται, τὰ δὲ σύμφωνα τὴν νύκτα.

⟨*Heliodori.*⟩ — Εἰκοσιτέσσαρα λέγει αὐτὰ εἶναι ἀπὸ τοῦ ᾱβ̄ μέχρι τοῦ ω̄ μεγάλου. Καλῶς τὴν ἀπαρίθμησιν καὶ τὴν ἑκάστου ὀνομασίαν τῶν στοιχείων περιέτεμεν, εἰπὼν ἀπὸ τοῦ ᾱβ̄ μέχρι τοῦ ω̄. Διὰ τί δέ, φασί, μηδὲ ἓν τῶν ἄλλων ὠνόμασε; Ῥητέον ὅτι εἰδὼς ὡς προεπαιδεύθη παρὰ τῷ γραμματιστῇ τὴν τούτων ἐξαρίθμησιν· εἰ γὰρ κατέλεξε τῶν εἰκοσιτεσσάρων στοιχείων τὰ ὀνόματα, ἐδόκει γραμματιστὴς εἶναι καὶ οὐ τεχνογράφος.

Τί διαφέρει στοιχεῖον γράμματος; Ὅτι τὸ μὲν στοιχεῖον πάντως καὶ γράμμα ἐστί, τὸ δὲ γράμμα οὐ πάντως στοιχεῖον.

⟨*Heliodori.*⟩ — Διαφέρει στοιχεῖον γράμματος κατὰ τὸ ἐπὶ πλέον καὶ ἔλαττον· πᾶσα γὰρ γραμμὴ γράμμα ἐστίν, οὐ πᾶν δὲ γράμμα στοιχεῖον· οὐ γὰρ συμπλεκόμενα ἀλλήλοις φωνὴν ἐγγράμματον ἀποτελεῖ τὰ παράσημα καὶ αἱ προσῳδίαι· ἀλλὰ μόνα τὰ ἅπερ τῇ πρὸς ἄλληλα συμπλοκῇ ἐκφώνησιν ἀποτελεῖ· καὶ ἐξ ὧν σύγκειται τὰ σώματα, στοιχεῖα μὲν λέγονται, γράμματα δὲ οὔ. Διαφέρει δὲ πάλιν στοιχεῖον γράμματος, ὅτι τὸ μὲν στοιχεῖον ὄνομά ἐστι τῆς ἐκφωνήσεως, τὸ δὲ γράμμα ὄνομά ἐστι τοῦ χαρακτῆρος, ὡς ἔστι καὶ ἐκ τῶν ὅρων μαθεῖν· ὁριζόμεθα γὰρ τὸ στοιχεῖον λέγοντες οὕτω, «στοιχεῖόν ἐστι φωνὴ ἐγγράμματος ἀμερής»· τὸ δὲ γράμμα οὕτω, «γράμμα ἐστὶ σημεῖον στοιχείου ἐν σχήματι γραμμῆς ποιῷ ἢ ποσῷ καταλαμβανόμενον». Διαφέρει πάλιν στοιχεῖον γράμματος, ὅτι τὸ μὲν στοιχεῖον πάντως καὶ γράμμα, διαστελ-

---

19—25 *videntur esse* Σ^h ‖ **28—324, 7** *videntur esse* Σ^h

4 σχῖ *Iriarte p. 449,* οὐχὶ V ‖ **5** ἀλλήλας *add* Σ^l *Matrit. 114 EtM 804, 45* ‖ **11** ἔχει] ἔχον V ‖ **19** λέγουσιν VN ‖ **22** φησι VN ‖ **26** *seq om* N

λομένων τῶν ἐξ ὧν σύγκειται τὸ πᾶν, τὸ δὲ γράμμα οὐ πάντως στοιχεῖον· καὶ γὰρ ὅτε γράφομεν τὴν π̅ρ̅ο̅, φαμὲν ὅτι ταῦτα καὶ γράμματα καὶ στοιχεῖα, διότι καὶ γράφεται καὶ στοιχεῖ καὶ ἀκολουθεῖ ἀλλήλοις κατὰ τὴν γραφὴν καὶ τὴν ἐκφώνησιν καὶ ἀποτελεῖ στοιχηδὸν τὴν π̅ρ̅ο̅ συλλαβήν· εἰ δὲ γράψομεν ἐναλλὰξ ρ̅π̅ο̅, λέγομεν ταῦτα γράμματα εἶναι μόνον, καθὸ γράφονται, στοιχεῖα δὲ οὔ, καθὸ οὔτε στοιχεῖ οὔτε ἀκολουθεῖ ἀλλήλοις κατὰ τὴν ἐκφώνησιν.

Ἀρχὴ δέ ἐστι στοιχείων *etc.* = Σ^v 196, 21—25.

Ἀπὸ τοῦ α̅β̅ μέχρι τοῦ ω̅.] Διὰ τί οὐκ εἶπεν «ἀπὸ τοῦ α̅ μέχρι τοῦ ω̅», ἀλλ' «ἀπὸ τοῦ α̅β̅»; «Ἀπὸ τοῦ α̅β̅» εἶπεν, ὅτι τὸ μὲν α̅ τὸ γένος δηλοῖ, τὸ δὲ β̅ τὸ εἶδος· ἢ ὅτι τὸ μὲν α̅ οὐσίας σημαντικόν, τὸ δὲ β̅ συμβεβηκότος· ἢ ὅτι [καὶ γὰρ] τὸ α̅ ἓν πρόσωπον δηλοῖ, τὸ δὲ β̅ δύο.

Τινές φασι τοὺς χαρακτῆρας *etc.* = Σ^d 32, 9—13.

Τίνος δὲ ἕνεκεν εἰπὼν «περὶ στοιχείου» οὐκ ἐπήγαγε «στοιχεῖον», ἀλλὰ «γράμμα»; *etc.* = Σ^d 32, 16—21 (πλείους), ἑξηκονταέξ, τῶν μὲν φωνηέντων με', τῶν δὲ συμφώνων κα'. Τὸ γὰρ εὑρισκόμενον *etc.* = Σ^d 34, 16—23.

⟨*Heliodori.*⟩ — Γράμματα δὲ λέγεται διὰ τὸ γραμμαῖς καὶ ξυσμαῖς τυποῦσθαι.] Εἴρηται γράμμα ἀπὸ τοῦ γλάπτω, ὃ σημαίνει τὸ κοιλαίνω· γίνεται γὰρ ὁ μέλλων γλάψω, ὁ παρακείμενος γέγλαφα, ὁ παθητικὸς γέγλαμμαι, ἀφ' οὗ ῥηματικὸν ὄνομα γλάμμα, καὶ κατὰ ἐναλλαγὴν τοῦ λ̅ εἰς ρ̅ γράμμα, οὗ τὸ πληθυντικὸν γράμματα, οἱονεὶ γλάμματά τινα ὄντα καὶ κοιλώματα· οἱ γὰρ παλαιοὶ τοῖς λίθοις ἐνεκόλαπτον τὰ γράμματα. Ἶσον δέ ἐστι τῷ ξύσαι τὸ γράψαι ἐν ταῖς χρήσεσι τῶν παλαιῶν, ὡς καὶ παρ' Ὁμήρῳ τὸ ⟨Δ 139⟩ ἐπέγραψε χρόα φωτός ἐν ἴσῳ ἐστὶ τῷ ἐπέξυσε, καὶ τὸ ⟨Λ 388⟩ νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδός ἐν ἴσῳ τῷ ἐπιξύσας. Ἔνθεν καὶ γράβδις ἡ διεσχισμένη λαμπάς, καὶ γραῦς ἡ διεσχισμένη τὸ σῶμα διὰ γῆρας, καὶ ζωγράφος ὁ τῇ γραφίδι πρόσ⟨ωπα⟩ καταξύων.

Τὴν ἐτυμολογίαν, τίνος χάριν εἴρηται γρ. *etc.* = Σ^d 35, 14—21.

Δεῖ δὲ εἰδέναι, ὅτι τὸ παλαιὸν *etc.* = Σ^d 34, 27—35, 13.

Τὰ δὲ αὐτὰ καὶ στοιχεῖα καλεῖται διὰ τὸ ἔχειν αὐτὰ στοῖχόν τινα καὶ τάξιν.] Ἰδοὺ παρακατιὼν *etc.* = Σ^v 197, 15—23.

⟨*Heliodori.*⟩ — Φαίη δ' ἄν τις στοιχεῖα αὐτὰ εἰρῆσθαι κατὰ μίμησιν τῶν κοσμικῶν τεσσάρων στοιχείων· ὃν γὰρ τρόπον ταῦτα μετ' ἀλλήλων συμπεπλεγμένα τὰ ἡμέτερα σώματα ὑγιᾶ τε καὶ τέλεια καθίστησι, τὸν αὐτὸν τρόπον καὶ τὰ στοιχεῖα ὁμωνύμως ἐκάλεσεν· ὅτε

19—30 ***videntur esse*** Σ^h ‖ **28—30** = Σ^v *197, 13 seq* ‖ **35—325, 2** ***videntur esse*** Σ^h

9 ***in marg. add*** Διομήδους V ‖ **11** ἢ ὅτι — δύο (**13**) N, ***om*** V ‖ **26** χρόα] χρῶτα VN ‖ **28** γράβδις] γραύδης VN ‖ **30** προσκαταξύων VN

γὰρ κατὰ τάξιν καὶ δεόντως γράφεται, τότε τὴν ἐναρμόνιον φωνὴν ἀποτελεῖ.

[Τί ἐστι δύναμις; Φυσικῆς ἕξεως ἰσχύς.] Εἰς πόσα διαιροῦνται τὰ εἰκοσιεπτὰ γράμματα; Εἰς τρία· εἰς φωνήεντα, εἰς σύμφωνα καὶ εἰς ψήφους. Ἰστέον ὅτι τὸ ϛ̅, ἤτοι τὰ ἕξ, καὶ τὸ ϙ, ἤτοι τὰ ἐνενήκοντα, καὶ τὸ ϡ, ἤτοι τὰ ἐννακόσια, οὐ λέγονται στοιχεῖα, ἀλλὰ γράμματα, ὅτι πᾶν στοιχεῖον ἀφ' ἑαυτοῦ ἄρχεται, ταῦτα δὲ οὐκ ἀφ' ἑαυτῶν ἄρχονται. — Πόσα φωνήεντα; Ἑπτά, α̅ ε̅ η̅ ι̅ ο̅ υ̅ ω̅. — Διὰ τί «ἀπὸ τοῦ α̅ μέχρι τοῦ ω̅ μεγάλου»; Διὰ τὸ σύντομον, ὡς πρὸς εἰσαγομένους. — Διὰ τί τὸ ι̅ κεῖται μέσον τῶν ἑπτὰ φωνηέντων, καὶ οὐκ εἰς ἀρχὴν ἢ τέλος; Διότι ἀσθενές ἐστι· καὶ Ὅμηρος ⟨Δ 299 seq⟩ κακοὺς δ' ἐς μέσ⟨σ⟩ον ἔλασσεν, Ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι· ἢ διὰ τὴν τρισυλλαβίαν τοῦ ἰῶτα.

⟨*Heliodori.*⟩ — Τούτων φωνήεντα μέν εἰσιν ἑπτά.] Πρώτην διαίρεσιν ποιεῖταί σοι ὁ τεχνικὸς τῶν στοιχείων τὴν εἰς φωνήεντα ⟨καὶ σύμφωνα⟩. Διαίρεσις δέ ἐστιν ἡ πρώτη τομὴ τῶν μηδέπω τετμημένων, ἐπιδιαίρεσις δὲ δευτέρα τομὴ τῶν ἅπαξ ἤδη τμηθέντων, ὑποδιαίρεσις δὲ τρίτη τομὴ τῶν δὶς ἤδη τμηθέντων. Ἰστέον γε μήν, ὡς ὅταν περὶ ἓν παρεπόμενον πρώτην καὶ δευτέραν καὶ τρίτην ποιησώμεθα διαίρεσιν, ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ βραχύτερον τὴν διαίρεσιν μεταφέρομεν, ὅ ἐστιν ἐκ τῶν ἤδη τετμημένων μερῶν ἐπιτέμνομεν ἓν μέρος ἐπὶ τὸ αὐτὸ παρεπόμενον. Εἰσὶ γάρ, ὡς εἴπομεν, τρεῖς διαιρέσεις· καὶ τὴν μὲν πρώτην διαίρεσιν καλοῦμεν, τὴν δὲ δευτέραν ἐπιδιαίρεσιν, τὴν δὲ τρίτην ὑποδιαίρεσιν, οἷον ὡς ὅταν εἴπωμεν, περὶ ἓν παρεπόμενον τὸ κατὰ φωνὴν διαιροῦντες καὶ ἐπιδιαιροῦντες καὶ ὑποδιαιροῦντες, διαιροῦντες μὲν οὕτω, «τῶν στοιχείων τὰ μέν ἐστι φωνήεντα, τὰ δὲ σύμφωνα», ἐπιδιαιροῦντες δὲ οὕτω τὸ μέρος τὸ ἤδη τμηθὲν περὶ τὸ αὐτὸ παρεπόμενον ἅπαξ, «τῶν συμφώνων τὰ μέν ἐστι ἡμίφωνα, τὰ δὲ ἄφωνα», εἶτα ὑποδιαιροῦντες πάλιν οὕτω τὸ μέρος τὸ δὶς ἤδη τμηθὲν περὶ τὸ αὐτὸ παρεπόμενον τὸ περὶ φωνῆς, «τῶν ἀφώνων τὰ μέν ἐστι ψιλά, τὰ δὲ δασέα, τὰ δὲ μέσα», ταύτας τὰς τρεῖς διαιρέσεις εἰκότως διαίρεσιν καὶ ἐπιδιαίρεσιν καὶ ὑποδιαίρεσιν καλοῦμεν· αἱ γὰρ τρεῖς περὶ ἓν παρεπόμενον τὸ κατὰ φωνὴν γεγόνασιν, ὧν τὰς δύο ἐπιδιαίρεσιν ⟨καὶ ὑποδιαίρεσιν⟩ λέγω, ἐπειδὴ ἐκ μέρους τῶν ἤδη τμηθέντων τὴν διαίρεσιν ἐποιήσατο περὶ τὸ αὐτὸ παρεπόμενον.

Ἡλιοδώρου. — Ἰστέον δὲ ὅτι ἀδύνατον ἐκ διαφόρων παρεπομένων γίνεσθαι διαίρεσιν· ὥσπερ γὰρ τῷ ἀνθρώπῳ παρέπεται τρία, τὰ τῆς ψυχῆς, τὰ τοῦ σώματος, τὰ ⟨ἀπὸ⟩ τῶν ἐκτός, καὶ διαιροῦντες αὐτὰ οὐ

12—33 *videntur esse* Σ^h

3—11 *om* N ‖ **10** ἤλασαν, ὄφρα κοὐκ ἐθέλωσι μάχεσθαι· ἢ V ‖ **13** εἰς φων.] περὶ φωνηέντων VN ‖ **16** ὡς N, καὶ V ‖ **17** τὴν διαίρ. V ‖ **19** ἓν N, *om* V ‖ **25** περὶ N, παρὰ V; *item v. 27* ‖ **27** δὶς N, *om* V ‖ **31** καὶ ὑποδιαίρ. *add Wachsmuth* ‖ **34** Ἡλιοδώρου *in contextu* V, *in marg.* N | δὲ *om* N ‖ **35** γὰρ] δὲ VN ‖ **36** ἀπὸ *om* VN

λέγομεν, ὅτι τῶν ἀνθρώπων οἱ μὲν ἔμφρονες, οἱ δὲ ἀσθενεῖς, οὐδὲ πάλιν τῶν ἀνθρώπων οἱ μὲν πλούσιοι, οἱ δὲ ἄφρονες, οὐδὲ τῶν ἀνθρώπων οἱ μὲν ταχεῖς, οἱ δὲ πένητες, ἀλλὰ διαιροῦντες τὰ τῆς ψυχῆς λέγομεν, ὅτι τῶν ἀνθρώπων οἱ μὲν ἔμφρονες, οἱ δὲ ἄφρονες, καὶ τὰ περὶ τὸ σῶμα διαιροῦντες λέγομεν, ὅτι τῶν ἀνθρώπων οἱ μὲν ἰσχυροί, οἱ δὲ ἀσθενεῖς, καὶ τὰ ἀπὸ τῶν ἐκτὸς διαιροῦντες λέγομεν, ὅτι τῶν ἀνθρώπων οἱ μὲν πλούσιοι, οἱ δὲ πένητες, οὕτω δὴ καὶ τῷ στοιχείῳ παρέπεται τρία, φωνή, δύναμις καὶ θέσις· καὶ δεῖ ποιεῖσθαι τὴν διαίρεσιν αὐτῶν περὶ ἓν παρεπόμενον, καὶ τὸ μὲν περὶ φωνὴν διαιροῦντας λέγειν, «τῶν στοιχείων τὰ μέν ἐστι φωνήεντα, τὰ δὲ σύμφωνα», τὸ δὲ περὶ δύναμιν, «τῶν στοιχείων τὰ μέν ἐστι μακρά, τὰ δὲ βραχέα», τὸ δὲ περὶ θέσιν, «τῶν στοιχείων τὰ μέν ἐστι προτακτικά, τὰ δὲ ὑποτακτικά». — Προτάσσονται μὲν τὰ φωνήεντα τῶν συμφώνων εὐλόγως διὰ τὴν εὐφωνίαν, ἣν ἡ φύσις αὐτοῖς ἐχαρίσατο· προτάσσεται δὲ τῶν φωνηέντων τὸ ᾱ ὡς πρῶτον εὑρεθέν, ἀπὸ τούτου γὰρ ἄλφα ὠνόμασται παρὰ τὸ ἀλφῶ, ὃ δηλοῖ τὸ εὑρίσκω, ὡς καὶ παρὰ τῷ ποιητῇ ⟨α 349⟩ ἀνδράσιν ἀλφηστῇσιν· καὶ κατὰ τοῦτο πάλιν προκέκριται τῶν ἄλλων τὸ ᾱ, καθὸ ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἄρχεται καὶ εἰς αὐτὸ καταλήγει, ὅπερ τοῖς ἄλλοις οὐ παρέπεται. Τὸ δὲ ῑ εἰς τὸ μέσον αὐτῶν τέτακται κατὰ τὸν ποιητήν, ⟨Δ 299⟩ κακοὺς δ' ἐς μέσσον ἔλασσεν· ἀσθενέστερον γὰρ τῶν ἄλλων τὸ ῑ, καὶ διὰ τὴν ἀσθένειαν παντὶ μακρῷ ὑποτασσόμενον κατὰ σύλληψιν ἀνεκφώνητον μένει νικώμενον τῷ φθόγγῳ τῷ τῆς μακρᾶς· ὅμως διὰ τὸ ἀσθενὲς ἐχαρίσατο αὐτῷ ἡ φύσις τὴν τρισυλλαβίαν· ὅλων γὰρ τῶν ἄλλων στοιχείων ἢ μονοσυλλαβούντων ἢ δισυλλαβούντων τοῦτο μόνον ἔσχε τρεῖς συλλαβάς, λεγόμενον ἰῶτα. — Φασὶ δὲ τῶν Ἑλλήνων οἱ παῖδες, ταῦτα τὰ ἑπτὰ φωνήεντα δύναμιν ἔχειν κατὰ μίμησιν τοῦ οὐρανοῦ· κἀκεῖ γὰρ ἑπτά τινας εἶναι πλανωμένους ἀστέρας, ὧν ἡ ἐν οὐρανοῖς δύναμις μεγίστη, καὶ χωρὶς αὐτῶν οὐδὲν ἐπὶ γῆς ἐστι τικτόμενον, ὡς οὐδὲ χωρὶς τούτων συλλαβὴν ἀποτελουμένην ἔστιν ἰδεῖν.

Διὰ τί εἰσιν ἑπτὰ φωνήεντα; Κατὰ μίμησιν τῶν ἑπτὰ ἀστέρων τῶν πλανήτων τοῦ οὐρανοῦ, ὧν τὰ ὀνόματα Κρόνος, Ζεύς, Ἄρης, Ἥλιος, Ἀφροδίτη, Ἑρμῆς καὶ Σελήνη. — Διὰ τί λέγονται φωνήεντα; Διότι φωνὴν ἀφ' ἑαυτῶν ἀποτελοῦσιν. Εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; Εἰς τρία· εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα.

Στεφάνου εἰς τὸ αὐτό. — Ζητεῖται τί δήποτε *etc.* = Σ^{v} 197, 33 — 198, 22.

19—25 hab. et. Σ^{1}

6 ἀπὸ N, *om* V ‖ **8** δεῖ N, δὴ V ‖ **9** τὸ N, τοὺς V ‖ **12** θέσιν] σύνθεσιν VN ‖ **15** ἀπὸ — γὰρ V, διὰ γὰρ τοῦτο N | παρὰ τὸ N, ἀπὸ τοῦ V ‖ **17** κατὰ τοῦτο N, ἀπὸ τούτου V ‖ **20** *post* ποιητήν *add* σημείωσαι ὅτι τὸ ῑ τρισύλλαβον N | μέσον ἤλασαν V, μέσον ἤλασεν N, μέσον ἔλασεν Σ^{1} ‖ **22** *ante* ἀνεκφ. *add* οὐκέτι V | νικώμενον *add* Σ^{1} ‖ **24** ὅλων γὰρ τῶν NΣ^{1}, τῶν γὰρ V ‖ **29** ἐστι N, *om* V ‖ **31—34** *om* N ‖ **35** εἰς τὸ αὐτό N, *om* V

Εἰϲ πόϲα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; Εἰϲ τρία· εἰϲ μακρά, εἰϲ βραχέα καὶ εἰϲ δίχρονα. Πόϲα μακρά; Δύο, η̄ καὶ ω̄. Καὶ ποῖόν ἐϲτι μακρότερον; Τὸ η̄. Διὰ τί; Διότι τὸ η̄ κείμενον ἐπὶ τέλουϲ κωλύει τρίτην ἀπὸ τέλουϲ διδόναι τὴν ὀξεῖαν, οἷον ἁγιωϲύνη δικαιοϲύνη καὶ ἕτερα ὅμοια· τὸ δὲ ω̄ κείμενον ἐπὶ τέλουϲ οὐ κωλύει τρίτην ἀπὸ τέλουϲ διδόναι τὴν ὀξεῖαν, οἷον ἔμπλεωϲ Νικόλεωϲ Μενέλεωϲ καὶ ἕτερα. Διὰ τί λέγονται μακρά; Διότι ἐκ δύο φωνηέντων ϲύγκειται καὶ εἰϲ δύο φωνήεντα ἀναλύεται, οἷον φάοϲ φῶϲ, Δημοϲθένεα Δημοϲθένη. Καὶ διὰ τί τὸ η̄ καὶ τὸ ω̄ μόνα εἰϲὶ μακρά, καὶ οὐκ ἄλλο φωνῆεν; Ἐπειδὴ τὰ μὲν ἄλλα φωνήεντα ἐκφωνούμενα μηκύνει τὰ χείλη ὡϲ ἐπὶ ῥῖνα καὶ τὸν πώγωνα, τὸ δὲ η̄ ἐκφωνούμενον μηκύνει μὲν ⟨ὡϲ ἐπὶ τὰ ὦτα ἑκατέρωθεν τὸ⟩ ϲτόμα, τὸ δὲ ω̄ ἐκφωνούμενον μηκύνει τὴν ἐπιφάνειαν τῶν φωνητικῶν ὀργάνων ὑπὲρ τὰ ἄλλα φωνήεντα.

⟨*Heliodori.*⟩ — Τῶν δὲ φωνηέντων μακρὰ μέν ἐϲτι δύο, η̄ καὶ ω̄.] Διελὼν τὰ κδʹ γράμματα εἰϲ φωνήεντα καὶ εἰϲ ϲύμφωνα, ἑκάϲτου ἐπιδιαίρεϲιν ἐπιφέρει. Καὶ πρώτη μὲν ἐπιδιαίρεϲιϲ τῶν φωνηέντων αὕτη ἐϲτὶν ἡ περὶ δύναμιν· λέγει γὰρ τὰ μὲν εἶναι αὐτῶν μακρά, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα. Ἐπιδιαίρεϲιϲ δέ ἐϲτιν, ὅταν τῶν ἤδη μεριϲθέντων διαίρεϲιν δευτέραν ποιηϲώμεθα· καὶ λέγει τῶν φωνηέντων τὴν ⟨ἐπι⟩διαίρεϲιν τέμνεϲθαι εἰϲ τρία. Φαϲὶ ⟨δέ⟩ τινεϲ, ὅτι τὰ μέν ἐϲτι μακρὰ τῇ δυνάμει τῆϲ φωνῆϲ, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα· καὶ μακρὰ μέν, ὡϲ παρὰ τοῖϲ παλαιοῖϲ ἐν διπλαϲίονι χρόνῳ τῶν βραχέων ἐκφωνούμενα. Καὶ λέγομεν ὅτι τοῦτο φανερὸν ἐγένετο τοῖϲ μουϲικοῖϲ ἀπὸ τῶν ἐν τῇ μουϲικῇ ἁρμονιῶν, καὶ ἔϲτι ταῦτα εἰρημένα κατὰ μουϲικὸν λόγον· ἐκεῖνοι γὰρ κατέμαθον ἀπὸ τῆϲ μουϲικῆϲ ἁρμονίαϲ, ὅτι γεγωνότερον μὲν τὰ μακρά, ἀϲθενέϲτερον δὲ τὰ βραχέα ἐκφωνεῖται· ὅθεν καὶ ἐν τοῖϲ μέτροιϲ τὰϲ μὲν μακρὰϲ ποιοῦμεν ϲυλλαβάϲ, τὰϲ δὲ βραχείαϲ. Ἢ ὅτι ἐκ δύο φωνηέντων ϲυνίϲτανται καὶ εἰϲ αὐτὰ ἀναλύονται.

Ζητηϲάντων δέ τινων *etc.* = Σ^d 36, 28—37, 3.

Εἰϲ τὸ αὐτό. — Μακρὰ εἶπε *etc.* = Σ^v 198, 27—199, 5.

Διομήδουϲ. — Μακρὰ λέγεται *etc.* = Σ^d 36, 25 seq.; 37, 3—7.

125 v Ἡλιοδώρου. — Μακρὰ λέγεται τὸ η̄ καὶ τὸ ω̄ οὐ τῷ τύπῳ τοῦ ϲχήματοϲ καὶ τοῦ χαρακτῆροϲ, ἀλλὰ τῇ δυνάμει τῆϲ φωνῆϲ· ἐκ δύο γὰρ φωνηέντων ϲυνίϲταται καὶ εἰϲ δύο ἀναλύεται, οἷον τὸ φάοϲ φῶϲ λέγομεν καὶ τὸ φῶϲ πάλιν εἰϲ φάοϲ ἀναλύομεν· ὁμοίωϲ τὸ δῆλον δέελον λέγομεν καὶ τὸ βέλεα βέλη· τὰ δὲ βραχέα οὔτε ἐκ δύο ϲυνίϲταται οὔτε εἰϲ δύο ἀναλύεται.

Πόϲα βραχέα; Δύο, ε̄ καὶ ο̄. Καὶ ποῖόν ἐϲτι βραχύτερον; Τὸ ο̄, διότι τὸ ε̄ προϲλαμβάνον τὸ ῑ καὶ γινόμενον ε̅ι̅ δίφθογγον καὶ ἐπὶ τέλουϲ κείμενον οὐ παρέχει

2—11 *cfr* Σ^d *36, 28—37, 7* ‖ 12—26 *videntur esse* Σ^h ‖ 16—18 *cfr* Σ^v *198, 24—27* ‖ 19—21 *cfr* Σ^d *36, 25 seq*

1—11 *om* N ‖ 10 ὡϲ — τὸ] *lac. 25 fere litt.* V ‖ 19 τὰ δὲ δίχρ. *om* N ‖ 20 παρὰ N, ἐπὶ V ‖ 25 ποιοῦμεν V, ποιοῦϲι N ‖ 26 ὅτι καθὸ ἐκ VN ‖ 28 Εἰϲ τὸ αὐτὸ *om* N ‖ 29 Διομ. V, *om* N ‖ 30 Ἡλιοδ. V, *om* N ‖ 36—328, 10 *om* N

τρίτην ἀπὸ τέλους διδόναι τὴν ὀξεῖαν, οἷον ἀναγινώσκει ῥητορεύει καὶ τὰ τούτοις ὅμοια· τὸ δὲ ō προςλαμβάνον τὸ ῑ καὶ γινόμενον ο̄ῑ δίφθογγον καὶ ἐπὶ τέλους κείμενον οὐ κωλύει τρίτην ἀπὸ τέλους διδόναι τὴν ὀξεῖαν, οἷον ἄνθρωποι φιλάνθρωποι φιλόσοφοι καὶ τὰ τούτοις ὅμοια. Ἕτερος δὲ κανὼν λέγει, ὅτι πᾶσα συλλαβὴ πλεονάζουσα βραχυτέρα θέλει εἶναι τῆς μὴ πλεοναζούσης. Καὶ ἄλλως· πᾶσα κλητικὴ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα· καὶ ἡνίκα τραπῇ φωνῆεν τῆς εὐθείας ἐπὶ τῆς κλητικῆς, εἰς βραχύ⟨τερον τρέπεται⟩· ἐπεὶ γοῦν καὶ τὸ ō τῆς εὐθείας ἐπὶ τῆς κλητικῆς εἰς ε̄ τρέπεται, ὡς τὸ ⟨ὁ πλόος⟩ ὦ πλόε, βραχύτερόν ἐστι τὸ ε̄ τοῦ ō· οὐ γὰρ ἂν εἰς ε̄ ἐτρέπετο, εἰ μὴ ἦν βραχύτερον.

Βραχέα δύο, ε̄ καὶ ō.] Δῆλον ὡς οἱ π. *etc.* = Σ^d 37, 8—38, 14.

Πόσα δίχρονα; Τρία, ᾱ ῑ ῡ. Διὰ τί λέγονται δίχρονα; Διότι ποτὲ μὲν ἐκτείνονται, ποτὲ δὲ συστέλλονται. Πότε ἐκτείνονται καὶ πότε συστέλλονται; Ὅτε μὲν ἐκτείνονται, ἀνὰ δύο βραχεῖς ἔχουσι χρόνους, ὅτε δὲ συστέλλονται, ἀνὰ ἕνα βραχὺν χρόνον. — Καὶ διὰ τί δίχρονα καλοῦνται, καὶ οὐχὶ τρίχρονα; Διότι καὶ γενικοὶ δύο χρόνοι εἰσί, μακρὸς καὶ βραχύς, καὶ πρὸς τὴν σχέσιν τῶν δύο χρόνων ἐκλήθησαν δίχρονα. — Τί διαφέρει μακρὸν ἐκτεινομένου καὶ βραχὺ συστελλομένου; Διαφέρει ἐπειδὴ ἄλλο ἐστὶ λευκὸν καὶ ἄλλο λευκαινόμενον· καὶ λευκὸν μέν ἐστι τὸ ὂν φύσει λευκόν, λευκαινόμενον δὲ τὸ μὴ ὂν φύσει λευκόν. Καὶ ἄλλως· ἐπειδὴ ἄλλο μέν ἐστι μακρὸν καὶ ἄλλο ἐκτεινόμενον, καὶ ἄλλο ἐστὶ ⟨βραχὺ⟩ καὶ ἄλλο βραχυνόμενον ἤτοι συστελλόμενον· καὶ μακρὸν μέν ἐστι τὸ ὂν φύσει μακρόν, οἷον ἥρως, ἐκτεινόμενον δὲ τὸ μὴ ὂν φύσει μακρόν, οἷον ἁγνός· ⟨βραχὺ δέ ἐστι τὸ ὂν φύσει βραχύ, οἷον βρέφος, συστελλόμενον δὲ τὸ μὴ ὂν φύσει βραχύ, οἷον οὔ τί μοι αἰτίη ἐσσί.⟩

Δίχρονα τρία, ᾱ ῑ ῡ.] Τὰ δίχρονα δύναμιν ἔχει δεκτικὴν ἀμφοῖν τοῖν χρόνοιν. Καί φασιν οἱ λογομαχοῦντες, εἰ ποτὲ μὲν μακρὰν δηλοῦσιν, ἥτις ἐστὶ δίχρονος, ποτὲ δὲ βραχεῖαν, ἥτις ἐστὶ μονόχρονος, διὰ τί μὴ τρίχρονα καλοῦνται; Πρὸς οὓς λέγομεν, ὅτι οὐχὶ ὁμοῦ ἐπιδέχονται τοὺς τρεῖς χρόνους, ἐπεὶ ἔμελλον τοῦ η̄ καὶ τοῦ ω̄ μακρότερα εἶναι.

Ἡλιοδώρου εἰς τὸ αὐτό. — Τὰ δίχρονα δύναμιν ἔχει δεκτικὴν ἀμφοῖν τοῖν χρόνοιν. Φασὶ δέ ⟨τινες⟩, εἰ ποτὲ μὲν μακρὰν δηλοῦσιν, ἥτις ἐστὶ δίχρονος, ποτὲ δὲ βραχεῖαν, ἥτις ἐστὶ μονόχρονος, διὰ τί μὴ λέγεται τρίχρονα; Πρὸς οὓς λέγομεν, ὅτι γενικοὶ χρόνοι καλοῦνται ὅ τε μακρὸς καὶ ὁ βραχύς, οἵτινες τέμνονται εἰς εἰδικοὺς χρόνους· καὶ ὁ μὲν γενικὸς μακρὸς χρόνος δύο χρόνους ἔχει, ὁ δὲ γενικὸς βραχὺς χρόνος ἕνα χρόνον ἔχει· πρὸς τὴν σχέσιν οὖν τῶν δύο γενικῶν χρόνων δίχρονα ταῦτα καλεῖται. Οἵ γε μὴν ῥυθμικοὶ δίσημα αὐτὰ καλοῦσι, σημεῖον λέγοντες τὸν χρόνον· ἔνιοι δὲ ὑγρὰ ὀνομάζουσιν αὐτά, παρ᾽ ὅσον τὰ ὑγρὰ πέφυκεν ἐκτείνεσθαί τε εἰς πολὺ καὶ εἰς ὀλίγον συστέλλεσθαι, ἢ ὅτι

25—28 *cfr* Σ^d *38, 19—22* ‖ **29—329, 16 hab. et.** Σ^1

1 τὰ] τινὰ V; *item v. 4* ‖ 12—23 *om* N ‖ 28 τὸ η̄ καὶ τὸ ω̄ VN ‖ 29 Ἡλιοδ. — αὐτό V, *om* N Σ^1 | Τὰ — ὅτι (32) *add* Σ^1 ‖ 32 γενικοὶ VN, χρονικῶς Σ^1 ‖ 35 γενικῶν *add* Σ^1 ‖ 36 ταῦτα *add* Σ^1 ‖ 37 ἔνιοι — προσαγορ. (329, 3) *om* E | ὀνομ. αὐτά *add* A | τὰ — χρόνους (329, 1) A, ἐκτείνεσθαι πεφύκασι τὰ ὑγρά VN

εὐόλισθά εἰσι πρὸς ἀμφοτέρους χρόνους· ἄλλοι δὲ ἀμφίβολα, ὡς ἀμφιβαλλόμενα πότε μακρά ἐστι ⟨καὶ⟩ πότε βραχέα· τινὲς δὲ αὐτὰ κοινὰ προσαγορεύουσιν. Ἀμφισβητοῦσι δὲ πάλιν τινὲς λέγοντες, «καὶ πῶς δυνατόν ἐστι τὸ αὐτὸ ἐκτείνεσθαι καὶ συστέλλεσθαι»; ἀγνοοῦντες ὅτι κατὰ μίμησιν τῶν κοσμικῶν στοιχείων καὶ ταῦτα εἰκονίζεται· ὁρᾶται γὰρ κἀκεῖνα ἐν ἑαυτοῖς ἔχοντα ἐναντιότητά τινα, ὥσπερ ὁ ἥλιος τὰ μὲν τῶν σωμάτων διαλύει, τὰ δὲ ἑνοῖ, ὁμοίως καὶ τὸ πῦρ τὰ μὲν ἐκτείνει, τὰ δὲ συστέλλει τῶν σωμάτων. Πρὸς οὕς φαμεν, εἰ τὰ κοσμικὰ στοιχεῖα φαίνεται ἐκτείνοντά τε καὶ συστέλλοντα οὐ μόνον ἕτερα ἀλλὰ καὶ ἴδια σώματα, τί ἄτοπον καὶ ταῦτα στοιχεῖα καλούμενα ποτὲ μὲν ἐκτείνειν, ποτὲ δὲ συστέλλειν τὰς συλλαβάς, ποτὲ δὲ καὶ αὐτὰ καθ' ἑαυτὰ κατὰ τὴν ἰδίαν φύσιν ἐκτείνεσθαί τε καὶ συστέλλεσθαι; Ἰστέον δὲ ὅτι ἐν μὲν τῷ περὶ στιγμῆς χρόνους εἰρήκαμεν σιωπῆς, ἐνταῦθα δὲ χρόνους λέγομεν ἐκφωνήσεως. Καί φαμεν ὅτι ἐκτεινόμενον ⟨μὲν τὸ⟩ δίχρονον δύο ἔχει χρόνους τοὺς τοῦ μακροῦ φωνήεντος, συστελλόμενον δὲ ἕνα τὸν τοῦ βραχέος φωνήεντος.

Εἰς πόσα ἐπιδιαιροῦνται τὰ ἑπτὰ φωνήεντα; Εἰς δύο, εἰς ἀμετάβολα καὶ μεταβολικά. Πόσα ἀμετάβολα; Τέσσαρα, η̅ ι̅ υ̅ ω̅. Διὰ τί λέγονται ἀμετάβολα; Διότι οὐ μεταβάλλονται ἐν τοῖς παρῳχημένοις ἤτοι ταῖς κλίσεσι τῶν ῥημάτων, οἷον ἡβῶ ἥβων, ἰξεύω ἴξευον, ὑδρεύω ὕδρευον, ὠθῶ ὤθουν. Πόσα μεταβολικά; Τρία, α̅ ε̅ ο̅. Διὰ τί λέγονται μεταβολικά; Διότι μεταβάλλονται ἐν τοῖς παρῳχημένοις, τὸ μὲν α̅ εἰς η̅, οἷον ἀγαπῶ ἠγάπων, ἀρύω (τὸ ἀντλῶ) ἤρυον, τὸ δὲ ο̅ εἰς ω̅, οἷον ὀμνύω ὤμνυον· τὸ δὲ ε̅ ποτὲ μὲν εἰς η̅ τρέπεται, οἷον ἐλέγχω ἤλεγχον, ἐσθίω ἤσθιον, ποτὲ δὲ καὶ τὸ ι̅ προσλαμβάνει· καὶ πάντοτε μὲν εἰς η̅ τρέπεται πλὴν τῶν δεκαπέντε, τοῦ ἔχω εἶχον, ἔπω εἶπον (τὸ λέγω καὶ τὸ ἀκολουθῶ), ἕλω εἷλον (τὸ λαμβάνω καὶ τὸ φονεύω, ὅθεν καὶ τὸ εἱλόμην τὸ προέκρινα, ἱλώμην δὲ ἀντὶ τοῦ ἐλιτάνευον, ι̅ καὶ ⟨ω̅⟩ μέγα, ἠλώμην δὲ ἀντὶ τοῦ ἐπλανώμην, η̅ καὶ ⟨ω̅⟩ μέγα), ἕλκω εἷλκον (τὸ σύρω, ἑλκῶ δὲ ἥλκουν τὸ ἐπὶ ἕλκους διὰ τοῦ η̅, ἐξ οὗ καὶ τὸ ἡλκωμένος), ἐρῶ εἴρουν (τὸ λέγω, εἴρω, τὸ πλέκω, εἶρον, ἐξ οὗ καὶ τὸ συνεῖρον καὶ εἱρμός, ἡ ἀκολουθία, καὶ εἱρκτή, ἡ φυλακή), ἕρπω (τὸ βαδίζω) εἷρπον, ἐῶ (τὸ συγχωρῶ) εἴων, ἕω (τὸ ἐνδύομαι καὶ τὸ καθέζομαι) εἷον, ἔθω (τὸ ἐξ ἔθους τι διαπράττομαι) εἶθον, ἀφ' οὗ καὶ ὁ μέσος παρακείμενος εἶθα καὶ παρενθέσει τοῦ ω̅ εἴωθα, καὶ ὁ ὑπερσυντέλικος εἰώθειν· ταῦτα μέν εἰσι δισύλλαβα· τὰ δὲ ὑπὲρ δύο συλλαβὰς ταῦτα· ἑλκύω εἵλκυον, ἐρύω (τὸ αὐτὸ) εἴρυον, ἤρυον δὲ ἀντὶ τοῦ ἤντλουν η̅, ἑρπύζω εἵρπυζον, ἐθίζω εἴθιζον, ἑστιῶ (τὸ εὐωχῶ) εἱστίων καὶ ἐργάζομαι εἰργαζόμην.

⟨*Heliodori.*⟩ — Ἰδοὺ αὕτη δευτέρα ⟨ἐπι⟩διαίρεσις τῶν φωνηέντων, ἥτις ἐστὶ περὶ δύναμιν, καταγινομένη περὶ τὸ αὐτὸ παρεπόμενον.

---

1 ὡς — βραχέα (**2**) *om* A ‖ **3** πάλιν *add* Σ^1 ‖ **5** ὁρᾶται — σωμάτων (**8**) *om* E ‖ **6** ἐν *add* A ‖ **11** ποτὲ δὲ συστ. VN, καὶ συστ. A, *om* E | ποτὲ δὲ καὶ — συστέλλ. (**12**) *add* Σ^1 ‖ **12** δὲ *add.* Σ^1 ‖ **13** εἰρήκαμεν] *p. 314, 14* ‖ **14** Καί — φωνήεντος (**16**) VN, οὐ λέγονται δὲ τρίχρονα, ἐπεὶ οὐχ ἅμα τοὺς τρεῖς ἐπιδέχονται χρόνους· οὐ γὰρ ἅμα τὸ αὐτό ἐστι καὶ μακρὸν καὶ βραχύ, ἀλλ' ἢ μακρόν ἐστιν ἢ βραχύ Σ^1 ‖ **17—35** *om* N ‖ **20** ἥβουν V ‖ **24** δεκαπέντε] δεκατεσσάρων V ‖ **36** διαίρεσις VN; *cfr p. 327, 14*

Λέγομεν γὰρ πάλιν τῶν φωνηέντων τὰ μὲν ἀμετάβολα, τὰ δὲ μεταβολικά· καὶ ἀμετάβολα μὲν τέσσαρα, η̅ ι̅ υ̅ ω̅, μεταβολικὰ δὲ τρία, α̅ ε̅ ο̅. Ἔχουσι δὲ πάλιν ταῦτα καὶ ὑποδιαίρεσιν περὶ τὸ αὐτὸ παρεπόμενον, ὡς ὅταν λέγωμεν, ὅτι τὸ η̅ μακρότερόν ἐστι τοῦ ω̅· τὸ δ' ὅθεν δῆλον· ὁμοίως ὅταν λέγωμεν, ὅτι τὸ ε̅ βραχύτερόν ἐστι τοῦ ο̅.

Εἰς πόσα ὑποδιαιροῦνται τὰ ἑπτὰ φωνήεντα; Εἰς δύο, εἰς προτακτικὰ καὶ ὑποτακτικά. Πόσα προτακτικὰ φωνήεντα; Πέντε, α̅ ε̅ η̅ ο̅ καὶ ω̅. Διὰ τί λέγονται προτακτικὰ φωνήεντα; Διότι προτασσόμενα τοῦ ι̅ καὶ τοῦ υ̅ συλλαβὴν ἀποτελοῦσιν ⟨ἤγουν⟩ δίφθογγον. Τί ἐστι δίφθογγος; Δύο φωνηέντων μῖξις. Πόθεν δίφθογγος; Ἀπὸ τοῦ δύο φθόγγους ἔχειν, οἱονεὶ δυόφθογγος, καὶ ἐκθλίψει τοῦ ο̅ καὶ τροπῇ τοῦ υ̅ εἰς ι̅ δίφθογγος. Πόσαι δίφθογγοι; Εὔφωνοι μὲν καὶ ὁμαλαὶ ἕξ, α̅ι̅ α̅υ̅ ε̅ι̅ ε̅υ̅ ο̅ι̅ ο̅υ̅, δυσχερεῖς δὲ καὶ τραχεῖαι πέντε, ῃ̅ η̅υ̅ ῳ̅ ω̅υ̅ υ̅ι̅. Διὰ τί λέγονται δίφθογγοι; Διότι ἐκ δύο φθόγγων ἤτοι φωνηέντων σύγκεινται. — Πόσα ὑποτακτικὰ φωνήεντα; Δύο, ι̅ καὶ [τὸ] υ̅· καὶ τὸ υ̅ δὲ ἐνίοτε προτακτικόν ἐστι τοῦ ι̅, ὡς ἐν τῷ μυῖα [καὶ] ἅρπυια υἱός καὶ ἐν τοῖς ὁμοίοις· ἡ γὰρ υ̅ι̅ δίφθογγός ἐστι, καὶ οὐκ ἔστι διάστασις τοῦ υ̅ καὶ τοῦ ι̅. — Πόσαι διαιρέσεις; Τρεῖς, διαίρεσις, ἐπιδιαίρεσις καὶ ὑποδιαίρεσις. Πόσαι τρόποι διαιρέσεως; Τρεῖς· τοῦ γένους εἰς τὰ εἴδη, τοῦ ὅλου εἰς τὰ μέρη καὶ τῆς ὁμωνύμου φωνῆς εἰς τὰ διάφορα σημαινόμενα. — Τί ἐστι διαίρεσις; Ἡ πρώτη τομὴ τοῦ πράγματος, οἷον τὸ ζῷον διαιρεῖται εἰς δύο, εἴς τε λογικὸν καὶ ἄλογον· ὁμοίως καὶ τὰ φωνήεντα διαιροῦνται κατὰ πρώτην διαίρεσιν εἰς τρία, εἰς μακρά, εἰς βραχέα καὶ εἰς δίχρονα. — Τί ἐστιν ἐπιδιαίρεσις; Ἡ δευτέρα τομὴ τοῦ διαιρεθέντος αὐτοῦ πράγματος, οἷον τὸ ζῷον ἐπιδιαιρεῖται εἰς ἄπουν, δίπουν, τετράπουν· ὁμοίως καὶ τὰ φωνήεντα ἐπιδιαιρεῖται εἰς δύο, εἰς ἀμετάβολα καὶ μεταβολικά. — Τί ἐστιν ὑποδιαίρεσις; Ἡ τοῦ ἑνὸς σκέλους τῶν τμημάτων τομή, οἷον τὸ λογικὸν διαιρεῖται εἴς τε θνητὸν καὶ ἀθάνατον· ὁμοίως καὶ τὰ φωνήεντα ὑποδιαιροῦνται εἰς δύο, εἰς προτακτικὰ καὶ ὑποτακτικά. Οὐκ ἐπὶ πάντων δὲ λέγεται διαίρεσις, ἐπιδιαίρεσις καὶ ὑποδιαίρεσις, ἀλλ' ὅτε μὴ πάντα περιέχεται ὑπὸ τὴν πρώτην διαίρεσιν, οἷον τοῦ ζῴου διαιρουμένου εἰς λογικὸν καὶ ἄλογον, καὶ ἐν τοῖς λογικοῖς καὶ ἐν τοῖς ἀλόγοις θεωρεῖται τὸ δίπουν· ἀναγκαίως οὖν ἐπιδιαιροῦμεν, ἤτοι δευτέραν διαίρεσιν τοῦ αὐτοῦ πράγματος ποιούμεθα, ἤγουν τοῦ ζῴου, καί φαμεν τὸ ζῷον διαιρεῖται εἰς ἄπουν, δίπουν καὶ τετράπουν, ἄπουν μὲν οἷον ἰχθύς, δίπουν δὲ οἷον ἄνθρωπος καὶ ὄρνεον, τετράπουν δὲ οἷον βοῦς, ἵππος, κύων καὶ τὰ τούτοις ὅμοια. — Ἡ φωνὴ ἐκ τῶν στοιχείων ἐγένετο ἢ τὰ στοιχεῖα ἐκ τῆς φωνῆς; Τὰ στοιχεῖα ἐκ τῆς φωνῆς. Πόθεν δῆλον; Ὅτι οὐδὲν ἂν τῶν κτηνῶν προσηγορίαν ἐδέξατο οὐδὲ αὐτὰ τὰ στοιχεῖα, εἰ μὴ ἡ φωνὴ ἦν προτέρα τῶν στοιχείων· καὶ ὅτι ὁ Ἀδὰμ μήπω στοιχείων ὄντων ἔσχε φωνήν, ἀφ' ἧς καὶ τὰ ζῷα προσηγόρευσεν, ἃ οὐκ ἄν ποτε τὴν ἰδίαν προσηγορίαν ἐπλούτησαν, εἰ μὴ φωνητικὸς πρὸ αὐτῶν ἦν ὁ ἄνθρωπος.

⟨*Heliodori.*⟩ — Προτακτικὰ φωνήεντα πέντε, α̅ ε̅ η̅ ο̅ ω̅.] Αὕτη ἡ πρώτη ὑποδιαίρεσις· ὑποδιαίρεσις δέ ἐστιν, ὅτε ἅπαξ καὶ δεύτερον μερισθὲν εἰς τρίτην ἔλθῃ μερίδα. Ὑποδιαιρεῖται δὲ εἰς δύο, εἰς προτακτικὰ καὶ ὑποτακτικά· φησὶ δὲ προτακτικὰ ταῦτα λέγεσθαι, διότι προτάττονται τοῦ ι̅ καὶ τοῦ υ̅ καὶ ἀποτελοῦσι συλλαβήν. Ποίαν συλλαβήν; Λέγω δὴ τὴν [ε̅ι̅] δίφθογγον.

38—43 *videntur esse* Σ^h

4 ὅτι — λέγωμεν (5) *om* N ‖ **18—37** *om* N ‖ **9** μίξις V ‖ **29** ἀναγκαῖον V ‖ **39** ἡ *om* N ‖ **40** ἔλθῃ V, ἔχει N ‖ **41** δὲ] γὰρ VN

«Προτακτικά» εἰπὼν οὐ διέϲτειλεν *etc.* = Σ^{v} 200, 5—17.

⟨*Heliodori.*⟩ — Καὶ τὸ ῡ δὲ ἐνίοτε προτακτικόν ἐϲτι τοῦ ῑ, ὡϲ ἐν τῷ μυῖα καὶ ἅρπυια.] Αὕτη ἐπιδιαίρεϲίϲ ἐϲτι· τομὴ γὰρ τῶν ἤδη τετμημένων ἐϲτὶ περὶ τὸ αὐτὸ παρεπόμενον, τὸ περὶ θέϲιν· λέγομεν γάρ, τῶν ὑποτακτικῶν τὸ ῡ πάλιν προτακτικόν ἐϲτι τοῦ ῑ, ὥϲτε τῶν δύο τὸ μὲν εἶναι τούτου προτακτικόν, τὸ δὲ τούτου ὑποτακτικόν.

Διομήδουϲ. — Εἰ δέ τιϲ εἴποι, «πῶϲ δύναται τὸ αὐτὸ ϲτοιχεῖον κατὰ ϲύλληψιν καὶ προτακτικὸν εἶναι καὶ ὑποτακτικόν»; εἴπωμεν, «καὶ πῶϲ ἐν τοῖϲ ϲυμφώνοιϲ τὸ ϲ̄ καὶ προτακτικόν ἐϲτι καὶ ὑποτακτικόν; προτακτικὸν μέν, ὡϲ ἐν τῷ ϲθένοϲ, ὑποτακτικὸν δέ, ὡϲ ἐν τῷ ἅλϲ»; Εἶπεν δὲ τὸ «ἐνίοτε» *etc.* = Σ^{d} 39, 1—23.

Δίφθογγοι δέ εἰϲιν ἕξ, αι αυ ει ευ οι ου.

Ἡλιοδώρου. — Μετὰ δὲ τὰϲ διαιρέϲειϲ τε καὶ ἐπιδιαιρέϲειϲ καὶ ὑποδιαιρέϲειϲ τῶν φωνηέντων παρέπεται αὐτοῖϲ τοῖϲ φωνήεϲιν ἐπιπλέκεϲθαι ἀλλήλοιϲ καὶ τὰϲ διφθόγγουϲ ἀποτελεῖν, ὡϲ τοῖϲ ϲυμφώνοιϲ μετὰ τῶν φωνηέντων τὰϲ ϲυλλαβάϲ. Γίνονται δὲ πᾶϲαι αἱ δίφθογγοι ἕνδεκα, δυϲχερεῖϲ μὲν καὶ τραχεῖαι πέντε, ῃ ηυ ῳ ωυ υι, αἳ δέονται ἀκριβείαϲ τῆϲ ἐξ ἀναλογίαϲ, ὁμαλαὶ δὲ καὶ εὐμαρεῖϲ ἕξ, αι αυ ει ευ οι ου. Ὑπομένουϲι δὲ αὐτῶν πολλαὶ καὶ τὰϲ καλουμέναϲ διαιρέϲειϲ, οἷον παῖϲ πάϊϲ, θειώϲω θεϊώϲω ⟨χ 482⟩. Ἀττικοὶ δὲ πολλάκιϲ αὐτῶν τὸ δεύτερον ὑφαιροῦνται τῶν φωνηέντων, τὸ κλαίειν κλάειν καὶ τὸ ποιεῖν ποεῖν καὶ τὸ τετοκυῖα τετοκῦα λέγοντεϲ. Εἰϲὶ δὲ αὐτῶν αἱ μὲν κατὰ κρᾶϲιν, ὡϲ ἡ οι καὶ ου καὶ αυ καὶ ευ, αἱ δὲ κατ' ἐπικράτειαν, ὡϲ ἡ ει καὶ ῃ καὶ ῳ καὶ αι, αἱ δὲ κατὰ διέξοδον, ὡϲ ἡ ηυ καὶ ωυ· καὶ ἡ μὲν αι κατ' ἐπικράτειαν καὶ κατὰ κρᾶϲιν· καὶ κατ' ἐπικράτειαν μέν, ὡϲ ἐν τῷ ᾄδω, κατὰ κρᾶϲιν δέ, ὡϲ ἐν τῷ Αἴαϲ. Καὶ ὅϲαι μὲν αὐτῶν ἐκ δύο βραχέων ϲυνετέθηϲαν φωνηέντων, εὔηχοι καὶ λεῖαί εἰϲιν, ὅϲαι δὲ ἐκ μακρῶν καὶ βραχέων, τραχεῖαι καὶ δυϲχερεῖϲ. Ἄλογοι δὲ λέγονται ἤτοι παράλογοι ἡ αι καὶ ἡ οι, ὡϲ μὴ ἔχουϲαι δοῦναι λόγον ϲυϲτολῆϲ. Εἰ δέ τιϲ εἴποι, διὰ τί μὴ καὶ τὰϲ ϲυλλαβὰϲ ἐκ δύο ϲυνεϲτώϲαϲ, ἔκ τε φωνήεντοϲ καὶ ϲυμφώνου, δίφθογγα λέγομεν, ἴϲτω ὅτι ⟨ἔχει τὴν διὰ τοῦ δι ϲύνθεϲιν μόνα⟩ ὅϲα διαιρεθέντα δύναται ποιῆϲαι δύο ὅμοια· ⟨οἷον⟩ ὥϲπερ ὁ Παρναϲὸϲ δικόρυφοϲ καλεῖται, ἐπεὶ ὁρᾶται δύο κορυφὰϲ ἔχων, οὕτω καὶ αὗται δίφθογγοι, ἐπειδὴ φαίνονται δύο φθόγγουϲ ἔχουϲαι· τὰ δὲ ϲύμφωνα ἴδιον φθόγγον οὐκ ἔχουϲιν ὡϲ τὰ φωνήεντα, ἵνα τὰϲ ϲυλλαβὰϲ δίφθογγα εἴπωμεν.

2—6 *videntur esse* Σ^{h} ‖ 13—36 *sunt* Σ^{h}

3 καὶ ἅρπ. *add* N ‖ 6 τούτῳ (*bis*) VN ‖ 7 Διομ. *in marg.* V, *om* N ‖ 11 εἶπον VN ‖ 13 Ἡλιοδ. V, *om* N | δὲ *om* N ‖ 14 ἐπιϲυμπλέκεϲθαι N ‖ 21 ποιεῖν ποιέν N, πιεῖν πιέν V ‖ 25 κατὰ κρᾶϲιν δὲ N, καὶ κατὰ ϲυναίρεϲιν V ‖ 26 ὅϲαι N, ὅϲα V; *item v. 27* ‖ 30 μὴ *ante* δίφθογγα (31) *transp.* VN ‖ 31 δίφθογγα N, δίφθογγον V

Διφθόγγους αὐτὰς εἶπεν, ἐπειδὴ ἐκ δύο φθόγγων συνίστανται· φθόγγους δὲ ἐκάλεσε κατὰ μουσικὸν λόγον τὰ γράμματα. Λείπεται γοῦν τὸ «εὔφωνοι» *etc.* = Σ^d 39, 24—40, 5.

Ζητεῖται δέ, εἰ προτακτικὰ μὲν πέντε, ὑποτακτικὰ δὲ δύο, καὶ ἕκαστον τῶν πέντε ἑκατέρου τῶν δύο προταττόμενον διφθόγγους ποιεῖ δέκα, καὶ πάλιν τὸ υ̅ τοῦ ι̅ προταττόμενον δίφθογγον ἀποτελεῖ, συμβήσεται διφθόγγους εἶναι ἕνδεκα, καὶ διὰ τί ἓξ διφθόγγους αὐτὰς εἶπεν εἶναι. Καὶ λεκτέον, ὅτι ἐπειδὴ σκοπὸς ἦν αὐτῷ, ὡς πολλάκις εἴρηται, πρὸς εἰσαγομένους γράφειν, διὰ τοῦτο ἃς μὲν ᾔδει διφθόγγους ὁ τεχνικὸς δυσχερεῖς καὶ ἀναλογίας τῆς ἐξ ἀκριβείας δεομένας, ταύτας παρέλειψεν, ἃς δὲ ᾔδει ξυνήθεις καὶ καθημαξευμένας, περὶ ταύτας κατεγένετο· καὶ ἁπλούστερον εἶπεν ἕξ, εἰδὼς ὅτι δυσχερὴς ἦν ἡ τῶν ἄλλων πέντε παράδοσις. — Διὰ τί γοῦν αἱ συλλαβαὶ μὴ ⟨λέγονται⟩ δίφθογγοι, καὶ αἱ δίφθογγοι τί μὴ συλλαβαί; Φαμὲν οὖν, ὅτι ἡ συλλαβὴ οὐκ ἐκ δύο φθόγγων συνέστηκεν· οὐ γὰρ τὸ σύμφωνον δίχα φωνήεντος φθόγγον ἔχει· ὅθεν καὶ συλλαβή, ὅτι βούλεται πάντως σύλληψις εἶναι, οὐδέποτε δὲ διάστασις· ἡ δὲ δίφθογγος ἐκ δύο ἰδίᾳ ῥητῶν συνίσταται καὶ διαίρεσιν εἰς αὐτὰ ἔχει.

Δίφθογγοι δέ εἰσιν ἕξ.] Λείπει τὸ «εὔφωνοι»· ἕνδεκα γάρ εἰσιν, ὧν αἱ μὲν ἓξ εὔφωνοί εἰσιν, ἃς καὶ αὐτός φησιν, αἱ δὲ τρεῖς κακόφωνοι, ἡ η̅υ̅, ἡ ω̅υ̅, ἡ υ̅ι, αἱ δὲ τρεῖς ἄφωνοι, ἡ ῳ̅, ἡ ῃ̅, ἡ ᾳ̅ μετὰ τοῦ μακροῦ α̅ καὶ ἀνεκφωνήτου ι̅ (cfr Σ^d 39, 24—40, 5).

Τὴν τρίτην ὑποδιαίρεσιν τῶν φων. *etc.* = Σ^d 40, 6—41, 15.

25 Τί ἐστι σύμφωνον; Φωνὴ ἄσημος, ἥτις συμπλεκομένη μετὰ φωνηέντων φωνὴν ἐγγράμματον ἀποτελεῖ. Πόθεν σύμφωνον; Ἀπὸ τοῦ συμφωνεῖν ἤγουν σὺν ἑτέροις φωνὴν ἔχειν. Πόσα σύμφωνα; Ἑπτακαίδεκα, β̅ γ̅ δ̅ ζ̅ θ̅ κ̅ λ̅ μ̅ ν̅ ξ̅ π̅ ρ̅ σ̅ τ̅ φ̅ χ̅ ψ̅. Διὰ τί λέγονται σύμφωνα; Ὅτι αὐτὰ μὲν καθ' ἑαυτὰ φωνὴν οὐκ ἔχει, συμπλεκόμενα δὲ μετὰ τῶν φωνηέντων φωνὴν ἀποτελοῦσιν.

30 ⟨*Heliodori.*⟩ — Τίνος μὲν ἕνεκεν εἴρηται σύμφωνα, αὐτὸς ἐπιφέρει, ὅτι αὐτὰ μὲν καθ' ἑαυτὰ φωνὴν οὐκ ἔχει. Λείπει τὸ «τελείαν»· τελείαν γὰρ φωνὴν οὐκ ἔχει, ἐπεὶ μικρὰν ἔχει. Ὁριστέον οὖν οὕτω ταῦτα· «σύμφωνά ἐστιν ὅσα μετὰ φωνήεντος ἢ φωνηέντων συμπλεκόμενα φωνὴν ἐγγράμματον ἀποτελεῖ»· οὗτός ἐστιν ὅρος· ὁ δὲ τοῦ Διονυσίου εἰς ἐτυμολογίαν μᾶλλον μεταπίπτει.

Ἄλλως εἰς τὸ αὐτό. — Τίνος δὲ ἕνεκεν *etc.* = Σ^d 41, 17—26.

Εἰς πόσα διαιροῦνται τὰ δεκαεπτὰ σύμφωνα; Εἰς δύο, εἰς ἡμίφωνα καὶ ἄφωνα. Πόσα ἡμίφωνα; Ὀκτώ, ζ̅ ξ̅ ψ̅ λ̅ μ̅ ν̅ ρ̅ σ̅. Διὰ τί λέγονται ἡμίφωνα; Διότι παρ' ὅσον

30—35 *videntur esse* Σ^h

2 φθόγγους N, φθόγγον V ‖ **7** διὰ τί V, κατὰ N ‖ **12** καὶ — ἕξ *ante* ἃς (11) *transp.* V ‖ **25—35** *om* N ‖ **34** *ante* ὅρος *add* ὁ V ‖ **36** Ἄλλως — αὐτὸ *om* N ‖ **37—333, 37** *om* N

ἧττω τῶν φωνηέντων εὔφωνα καθέϲτηκεν ἔν τε τοῖϲ μυγμοῖϲ καὶ ϲιγμοῖϲ. Τί ἐϲτι παρ' ὅϲον ἧττω; Τουτέϲτιν ὅϲον ἐλάττονά εἰϲι τῶν φωνηέντων τῶν τελείαν ἐχόντων φωνήν, τόϲον εὐφωνότερά εἰϲι τῶν καλουμένων ἀφώνων. — Τί ἐϲτι μυγμόϲ; Ὁ τοῦ μῦ ἦχοϲ. Τί ἐϲτι νυγμόϲ; Ὁ τοῦ νῦ ἦχοϲ. Τί ἐϲτι ϲιγμόϲ; Ἡ τῆϲ φωνῆϲ ἀρχή, ἤγουν ἡ μήπω τελειωθεῖϲα φωνή· ἐν γὰρ τῷ θέλειν ἐκφωνεῖν τὰ ἡμίφωνα ἄνευ τῶν φωνηέντων οὐ δυνάμεθα τελείαν ἀφιέναι φωνήν, ἀλλὰ τὸ ἥμιϲυ τῆϲ φωνῆϲ· καὶ ϲιγμὸϲ λέγεται ἡ τῶν διπλῶν, τοῦ ζ̅ ξ̅ ψ̅, ϲυριγμὸϲ δὲ ἡ τοῦ ϲίγματοϲ, ῥοῖζοϲ δὲ ὁ τοῦ ρ̅ ἦχοϲ· τὸ δὲ λ̅ οὐδὲν τούτων ἔχει ὡϲ λεῖον.

Εἰϲ πόϲα διαιροῦνται τὰ ὀκτὼ ἡμίφωνα; Εἰϲ τρία· εἰϲ διπλᾶ, εἰϲ ἀμετάβολα καὶ εἰϲ ϲ̅ ἄϲημον. — Πόϲα διπλᾶ; Τρία, ζ̅ ξ̅ ψ̅. Διὰ τί λέγονται διπλᾶ; Διότι ἓν ἕκαϲτον αὐτῶν ἐκ δύο ϲυμφώνων ϲύγκειται, τὸ μὲν ζ̅ ἐκ τοῦ ϲ̅ καὶ δ̅, οἷον ϲδυγόϲ ζυγόϲ, τὸ δὲ ξ̅ ἐκ τοῦ κ̅ καὶ ϲ̅, οἷον κϲένοϲ ξένοϲ, τὸ δὲ ψ̅ ἐκ τοῦ π̅ καὶ ϲ̅, ⟨οἷον⟩ πϲαλμόϲ ψαλμόϲ. Καὶ λοιπὸν κινδυνεύει μὴ εἶναι ταῦτα ϲτοιχεῖα· τὸ γὰρ ϲτοιχεῖον ἁπλοῦν ἐϲτιν, ὡϲ καὶ ὁ ὁριϲμὸϲ αὐτοῦ δείκνυϲι· ϲτοιχεῖον γάρ ἐϲτιν ἡ πρώτη καὶ ἀμερὴϲ τοῦ ἀνθρώπου φωνή, ταῦτα δὲ διπλᾶ καὶ ἐκ δύο ϲυμφώνων· τὸ δὲ διπλοῦν πάντωϲ καὶ μεριϲτόν ἐϲτι, καὶ οὐκ ἄρα ταῦτα ϲτοιχεῖα, εἴπερ ἁπλοῦν καὶ ἀμερέϲ ἐϲτι τὸ ϲτοιχεῖον. Ἀλλ' οὐκ ἐκ δύο ϲυμφώνων ἁπλῶϲ ταῦτα, ὡϲ καὶ μεριϲθῆναι δυνάμενα, ἀλλ' ὡϲ δύο ϲυμφώνων δύναμιν ἔχοντα ταῦτα διπλᾶ λέγονται.

Διὰ τί τὸ μὲν ξ̅ καὶ ψ̅ ληκτικά εἰϲιν ὀνομάτων, τὸ δὲ ζ̅ οὐκέτι; Ὅτι τὸ μὲν ϲ̅ ληκτικόν ἐϲτιν ὀνομάτων, ὅπερ ἐϲτὶ δυνάμει κατὰ τὸ τέλοϲ ἐν τῷ ξ̅ καὶ τῷ ψ̅, τὸ δὲ ζ̅ τελευταῖον ἔχει τὸ δ̅ ἐν τῇ ἐκφωνήϲει, ὅπερ οὐδέποτε ληκτικὸν εὑρέθη τινόϲ, καὶ διὰ τοῦτο ἀδύνατον ληκτικὸν εἶναι ὀνομάτων τὸ ζ̅.

Πόϲα ἀμετάβολα; Τέϲϲαρα, λ̅ μ̅ ν̅ ρ̅. Διὰ τί λέγονται ἀμετάβολα; Διότι οὐ μεταβάλλονται οὔτε ἐν ταῖϲ κλίϲεϲι τῶν ὀνομάτων οὔτε ἐν τοῖϲ μέλλουϲι τῶν ῥημάτων. Πῶϲ ἐν ταῖϲ κλίϲεϲι τῶν ὀνομάτων; Οἷον Νέϲτωρ Νέϲτοροϲ, Θέων Θέωνοϲ, πέλωρ πέλωροϲ· τὸ δὲ ὕδωρ ὕδατοϲ καὶ ἧπαρ ἥπατοϲ ἑτερόπτωτά εἰϲι καὶ οὐκ ἰδιόπτωτα. Πῶϲ ἐν τοῖϲ μέλλουϲι τῶν ῥημάτων; Οἷον χαίρω χαρῶ, κρίνω κρινῶ, πάλλω παλῶ, νέμω νεμῶ, ϲπείρω ϲπερῶ· ἅτινα λέγονται καὶ ὑγρά, διότι εὐόλιϲθά εἰϲι καὶ λανθάνειν ποιοῦϲι τὴν ἀκοήν. Διὰ τί λανθάνειν ποιοῦϲι τὴν ἀκοήν; Ὅτι ποτὲ μὲν παρὰ τῷ ποιητῇ ἀντὶ δύο ϲυμφώνων κεῖνται, ποτὲ δὲ ἀνθ' ἑνόϲ· ὡϲ καὶ μετὰ ἄλλου ϲυμφώνου προηγηϲαμένου ἐν ἐπιπλοκῇ ὄντα μὴ πάντωϲ τὴν προηγηϲαμένην βραχεῖαν ποιεῖν μακράν, ὡϲ ἐπὶ τοῦ ⟨Τ 287⟩ Πάτροκλε καὶ τῶν ὁμοίων. Ἄϲημον δέ ἐϲτι τὸ ϲ̅· λέγεται δὲ ἄϲημον, ὅτι οὔτε μετὰ τῶν ἡμιφώνων ἐϲτὶν ἡμίφωνον, οὔτε μετὰ τῶν ἀφώνων ἄφωνον· τὸ γὰρ ξ̅ καὶ διπλοῦν καλεῖται ὡϲ τὸ ψ̅ καὶ τὸ ζ̅, καὶ τὸ λ̅ ἀμετάβολον ὡϲ τἆλλα, τὸ δὲ ϲ̅ μόνῳ τῷ ὀνόματι τούτῳ ἐξηχεῖται. [Διὰ τί λέγεται τὸ ϲ̅ ἄϲημον; Διότι ⟨οὐ μετὰ τῶν⟩ ἡμιφώνων ἐϲτὶν ἡμίφωνον καὶ οὐ μετὰ τῶν ἀφώνων ἄφωνον· διότι ϲημαϲίαν οὐκ ἔχει ἤγουν ἑρμηνείαν.]

Τούτων ἡμίφωνα μέν ἐϲτιν ὀκτώ.] Ἐπιδιαιρεῖ ἐνταῦθα τὰ ϲύμφωνα εἰϲ ἡμίφωνα ὀκτὼ καὶ ἄφωνα ἐννέα περὶ τὸ αὐτὸ παρεπόμενον τὸ κατὰ φωνήν· ὑποκατιὼν δὲ καὶ ὑποδιαιρέϲειϲ δίδωϲιν, ὅταν τὸ μέροϲ τῶν ἀφώνων περὶ τὸ αὐτὸ παρεπόμενον τὸ κατὰ φωνὴν ὑποδιελὼν εἴπῃ, ὅτι τῶν ἀφώνων ψιλά ἐϲτι τρία, καὶ δαϲέα τρία, καὶ μέϲα τρία. Ἤρξατο ⟨δὲ⟩ λέγειν τὰϲ ἐπιδιαιρέϲειϲ τῶν ϲυμφώνων, καί φηϲι

43—334, 11 *cfr* Σ^d *41, 27—42, 5*

3 εὔφωνα εἰϲὶ V ‖ **19** ὀνόματα V ‖ **30** κεῖνται] κείμενα V | ὡϲ καὶ] καὶ ὡϲ V ‖ **33** ἄϲημα δέ εἰϲι τὸ ϲ̅ καὶ τὸ ψ̅· λέγονται δὲ ἄϲημα V | ἡμίφωνον] ἡμίφωνα V ‖ **34** ἄφωνον] ἄφωνα V ‖ **40** ὑποκατ. — φωνὴν (41) *om* N

πρώτην ταύτην ⟨εἰς⟩ ἡμίφωνα καὶ ἄφωνα. Ἐπειδὴ γὰρ ἐπάνω εἰρήκαμεν, ⟨ὅτι⟩ ὅσας ἔχει διαιρέσεις τὰ φωνήεντα (τρεῖς δὲ ἔχει ἐκεῖνα, μακρὰ βραχέα δίχρονα, προτακτικὰ ὑποτακτικά, μεταβολικὰ ἀμετάβολα) τοσαύτας ἔχει καὶ ταῦτα — μακρά, ἅπερ ἐστὶ τὰ διπλᾶ, δίχρονα, ἅπερ ἐστὶ τὰ ἀμετάβολα, βραχέα, ἅπερ ἐστὶ τὰ λοιπὰ σύμφωνα· προτακτικὰ καὶ ὑποτακτικά· τὰ γὰρ προηγησάμενά τινων ἐν συλλήψει οὐκέτι εὕροις ὑποταχθέντα ἐν ἐπιπλοκῇ τούτοις· μεταβολικὰ ἀμετάβολα, ἀμετάβολα μὲν τὸ λ̄ μ̄ ν̄ ρ̄, μεταβολικὰ δὲ τὰ λοιπά — διαιρεῖται [δὲ] τὰ σύμφωνα εἰς ἡμίφωνα καὶ ἄφωνα, καὶ οὐ τὰ φωνήεντα· οὐ γὰρ ἠδύναντο τὰ φωνήεντα οὕτω διαιρεῖσθαι εἰς ἡμίφωνα καὶ ἄφωνα, αὐτόθεν τελείαν φωνὴν ἔχοντα. Ἡμίφωνα δὲ λέγονται κατά τι, οὐ γὰρ ὡς ἔτυχε· σημαίνει γὰρ ⟨τὸ ἡμι̅⟩ καὶ τὸ ἥμισυ τὸ ἐξ ἰσομοιρίας· σημαίνει καὶ τὸ παρ' ὀλίγον, ὡς ἂν εἴποι τις, ὡς παρὰ εἴκοσι στίχους ἔχον ἡμιτελές ἐστι τὸ βιβλίον, ὥσπερ ἡμιτελῆ οἶκόν φαμεν, κἂν ᾖ παρὰ τὴν στέγην, καὶ ἡμίξηρον χόρτον, κἂν παρ' ὀλίγον εἴη κατάξηρος, καὶ ἡμιτελὲς ἔργον τὸ λεῖπον ὀλίγον πρὸς συμπλήρωσιν· καὶ τὸ ἐγγύς, ὡς ἡμίθεος ὁ ἐγγὺς θεοῦ· οὕτως οὖν καὶ ἐνταῦθα ἡμίφωνα καλοῦμεν, εἰ καὶ πρὸς συμπλήρωσιν τῆς τελείας φωνῆς τῶν φωνηέντων ἐνδεῆ καθέστηκε ταῦτα, ὡς ἐγγὺς τῶν φωνηέντων ὄντα καὶ παρ' ὀλίγον φωνὴν ἔχοντα, καὶ εὑρίσκεται τῶν πρός τι.

⟨*Heliodori.*⟩ — Οὐκ ἀγνοεῖν δὲ χρή, ὅτι πρός τι τὰ ἡμίφωνα λέγεται, ὡς πρὸς τὴν σχέσιν τῆς τελείας φθογγῆς τῶν φωνηέντων, τουτέστι παρ' ὀλίγον φωνήεντα· καὶ εὑρίσκεται ἀσθενέστερα, πρὸς δὲ τὰ ἄφωνα φωνήεντα, ὡς καὶ αὐτὸς ὁ τεχνικὸς πείθει λέγων, ὅτι παρ' ὀλίγον εὔφωνά ἐστιν ὡς τὰ φωνήεντα, ὅτι παρ' ὀλίγον, φησί, [τῆς τελείας ἐκφωνήσεως] τῶν φωνηέντων καὶ ταῦτα σχεδὸν ἔχουσι τέλειον φθόγγον. Ἡμίφωνα δὲ λέγονται, ὡς ἥμισυ φωνῆς ἔχοντα· ὅθεν ἐπιφέρει καὶ αὐτός, ὅτι ὅσον ἐλάττονά ἐστι τῶν φωνηέντων ἐν τῇ ἐκφωνήσει τῶν τελείαν φωνὴν ἐχόντων, τοσοῦτον εὐφωνότερά ἐστι τῶν ἄλλων ἐννέα στοιχείων τῶν καλουμένων ἀφώνων· [ἐπιδιαίρεσιν ἐνταῦθα ποιεῖται ὁ τεχνικός· καὶ εἴρηται ἐπιδιαίρεσις, καθὸ μέρος τῶν τετμημένων ἐστίν·] ὥσπερ δὲ ἡμιτελῆ οἶκόν φαμεν, κἂν ᾖ παρὰ τὴν στέγην, οὕτω καὶ ταῦτα ἡμίφωνα καλοῦμεν, εἰ καὶ πρὸς τὴν συμπλήρωσιν τῆς τελείας τῶν φωνηέντων φωνῆς ἐνδεῆ καθεστήκασι· παρ' ὀλίγον γὰρ τελείαν τὴν ἐκφώνησιν ἔχουσι. Καὶ δῆλον ἐκ τοῦ συριγμόν τινα καὶ νυγμὸν καὶ ῥοῖζον καὶ ποιότητα φωνῆς ἔχειν αὐτά· καὶ συριγμὸν μὲν ἔχει τὸ ζ̄ ξ̄ ψ̄, μυγμὸν δὲ τὸ μ̄, νυγμὸν δὲ τὸ ν̄, ῥοῖζον δὲ τὸ ρ̄· τὸ δὲ λ οὐδὲν τούτων ἔχει, εὐφωνότερον δὲ τῶν ἀφώνων καθέστηκε· τὸ δὲ

11—20 *cfr* **Σ**[v] *201, 2—6* ‖ **21—335, 2** *videntur esse* **Σ**[h] ‖ **21—30** *cfr* **Σ**[v] *201, 6—13*

4 ταῦτα] αὕτη VN ‖ **7** εὕροις N, εὕρῃς V | ἐν ἐπιπλοκῇ V, καὶ ἐπὶ πλοκῆς N ‖ **8** δὲ *hab.* VN ‖ **28** ὅτι N, *om* V ‖ **29** εὔφωνά ἐστι VN ‖ **38** εὐφωνότερον N, ἀφωνότερον V | τὸ δὲ — ἐκφωνήσει (335, 1) N, *om* V

αὐτὸ καὶ λεῖόν ἐστιν ἐν τῇ ἐκφωνήσει, καθὸ ἡδύτερον μεμελέτηκε πλήττειν τὸν ἀέρα.

Εἰς τὸ αὐτό. — Ἡμίφωνα δὲ λέγεται, παρ' ὅσον ἧττον τῶν φωνηέντων.] Ἰστέον τοίνυν ⟨ὅτι ταῦ⟩τα εὐφωνότερα τῶν συμφώνων ὑποβεβηκέναι φησὶ τῆς τελείας ἐκφωνήσεως τῶν φωνηέντων· ἡμίφωνα γὰρ λέγεται, ὅτι ἥμισυ φωνῆς κατ' ἀρχὴν ἐν συριγμοῖς καὶ νυγμοῖς ἀποτελεῖ [πρὸ] τῆς οἰκείας ὀνομασίας αὐτῶν. Μυγμοὶ μέν εἰσιν οἱ διὰ τῶν μυκτήρων ἦχοι *etc.* = Σ[v] 201, 14—21.

Εἰς τὸ αὐτό. — Ἡμίφωνα δὲ λέγεται, παρ' ὅσον ἧττον τῶν φωνηέντων.] Ἐκ τούτου δῆλον *etc.* = Σ[d] 42, 7—16.

Πόσα ἄφωνα; Ἐννέα, β̄ γ̄ δ̄ κ̄ π̄ τ̄ θ̄ φ̄ χ̄. Διὰ τί λέγονται ἄφωνα; Διὰ τὰ σύμφωνα, καὶ διότι μᾶλλον τῶν ἄλλων εἰσὶ κακόφωνα, καὶ οὐχ ὡς τελείως φωνῆς ἐστερημένα, ἀλλ' ὡς τελείαν ἀπήχησιν μὴ ἔχοντα, ὡς τὰ φωνήεντα, οὔτε ἡμιτελῆ, ὡς τὰ ἡμίφωνα· εἰ γὰρ τὸ β̄ καὶ γ̄ καὶ τὰ ἑξῆς μὴ ὅλως τὴν τυχοῦσαν εἶχε φωνὴν μετὰ τοῦ ᾱ ἢ μετὰ τῶν ἄλλων φωνηέντων συμπλεκόμενα, οὐκ ἂν ἐνήλλασσε τὴν ἐκείνων ἐκφώνησιν· ὥσπερ γὰρ ἄφωνον τραγῳδὸν λέγομεν τὸν κακόφωνον, οὕτω καὶ τὰ ἄφωνα. Χρὴ δὲ γινώσκειν, ὅτι ὁ φιλόσοφος τὸ ἄφωνον ἀντὶ συμφώνου παραλαμβάνει πρὸς ἀντιδιαστολὴν τῶν φωνηέντων· φύσει γοῦν συμπλέκεται σύμφωνον φωνήεντι, οἷον βε̄, ἢ φωνήεσιν, οἷον βου̅, ἢ σύμφωνον συμφώνῳ, οἷον φθω̅· εἰ γὰρ μὴ οὕτως ἡγησόμεθα τὸν φιλόσοφον λέγειν, εὑρεθήσεται τῷ ὅρῳ τὰ φωνήεντα μαχόμενα. — Εἰς πόσα διαιροῦνται τὰ ἐννέα ἄφωνα; Εἰς τρία, εἰς ψιλά, εἰς δασέα καὶ εἰς μέσα. — Πόσα ψιλά; Τρία, κ̄ π̄ τ̄. Διὰ τί λέγεται ψιλά; Διότι ἀσθενέστερά εἰσι τῶν δασέων κατὰ τὴν ἐκφώνησιν καὶ γυμνὰ δυνάμεως. Πόθεν δῆλον; Ἐπειδὴ δασυνομένου φωνήεντος ἐπιφερομένου εἰς δασὺ τρέπονται, οἷον ⟨ε 229⟩ αὐτίχ' ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ' Ὀδυσσεύς. — Πόσα δασέα; Τρία, θ̄ φ̄ χ̄. Διὰ τί λέγονται δασέα; Διότι τῶν ψιλῶν εἰσιν ἰσχυρότερα. Πόθεν δῆλον; Ἐπειδὴ ψιλουμένου φωνήεντος ἐπιφερομένου οὐ τρέπονται, οἷον ⟨Α 69. Ζ 76⟩ οἰωνοπόλων ὄχ' ἄριστος, καὶ ⟨Lycophr. Alex. 30⟩ τοιῶνδ' ἀπ' ἀρχῆς ἦρχ' Ἀλεξάνδρα λόγων· χωρὶς εἰ μὴ κατὰ διάλεκτον, οἷον ἀμφέχεσθαι ἀμπέχεσθαι. — Καὶ ἄλλως· ἐπειδὴ δασυνομένου φωνήεντος ἐπιφερομένου εἰς δασὺ τρέπονται· λέγει γὰρ ὁ τεχνικός, «ἀντιστοιχεῖ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν π̄ τῷ φ̄ οὕτως· [οἷον] ⟨ι 279⟩ ἀλλά μοι εἴφ' ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα· τὸ δὲ κ̄ τῷ χ̄, οἷον ⟨ε 229⟩ αὐτίχ' ὁ μὲν χλαῖνάν τε καὶ τὰ ἑξῆς· πολλάκις δὲ καὶ εἰς δύο δασέα, οἷον ⟨Δ 243⟩ τίφθ' οὕτως ἕστητε· τὸ δὲ θ̄ τῷ τ̄ οὕτως· ⟨Γ 95⟩ ⟨ὣς⟩ ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. — Διὰ τί «ἀντιστοιχεῖ τὰ δασέα τοῖς ψιλοῖς»; Ἵνα δείξῃ ὅτι οὐ μόνον δασέα ἀντὶ ψιλῶν παραλαμβάνεται, ἀλλὰ καὶ ψιλὰ ἀντὶ δασέων, ὡς τὸ πεφίληκα κεχειροτόνηκα πέφρακα. — Πόσα μέσα; Τρία, β̄ γ̄ δ̄. Διὰ τί λέγονται μέσα; Διότι τῶν μὲν ψιλῶν εἰσι δασύτερα, τῶν δὲ δασέων ψιλότερα. Καὶ ἔστι τὸ μὲν β̄ μέσον τοῦ π̄ καὶ φ̄, τὸ δὲ γ̄ μέσον τοῦ κ̄ καὶ χ̄, τὸ δὲ δ̄ μέσον τοῦ θ̄ καὶ τ̄. Πῶς; πλάτυνον. Ὅτι τὰ δασέα μετὰ τοῦ μὴ παρά τινος ἐκβάλλεσθαι ἐκβάλλουσιν, ὡς εἴρηται, τὰ ψιλά, ἐκβάλλονται δὲ τὰ ψιλὰ παρὰ τῶν δασέων, τὰ δὲ μέσα οὔτε ἐκβάλλουσιν οὔτε ἐκβάλλονται.

---

1 ἡδύτερον *Uhlig,* δεύτερον VN ‖ 3 Εἰς τὸ αὐτὸ *om* N ‖ 4 ὅτι ταῦτα] τὰ N, *om* V ‖ 7 πρὸ V, πρὸς N ‖ 9 Εἰς τὸ αὐτὸ *om* N ‖ 11—42 *om* N ‖ 12 τελείας V ‖ 18 προσλαμβάνει V ‖ 25 τ' ἕνυτ' V ‖ 32 ὅποι V ‖ 36 μόνα ψιλὰ ἀντὶ δασέων παραλ. ἀλλὰ καὶ δασέα ἀντὶ ψιλῶν V

⟨*Heliodori.*⟩ — Ἄφωνα ἐννέα.] Τὸ ᾱ πολλὰ cημαίνει· τὴν παντελῆ cτέρηcιν, ὡc ἂν εἴποιμεν ἄποινα ἢ ἀφανήc ἢ ἄφιλοc ἢ ἄλλο τι τῶν τοιούτων· τὸ ὁμοῦ, οἷον ἄλοχοc ἡ ὁμόλοχοc· τὸ ὀπίcω, ὡc ἀκόλουθοc ὁ ὀπίcω τὴν κέλευθον ποιούμενοc, ὀπίcω γὰρ τὴν ὁδὸν ποιεῖται, ἑπόμενοc τῷ δεcπότῃ· τὸ κακόν, οἷον ἄμορφοc γυνή, οὐχ ὅτι παντελῶc ἐcτέρηται μορφῆc, ἀλλ' ἔχουcα κακήν· τὸ πολύ, οἷον ἀχανέc τὸ πολυχανέc, ἄξυλοc ὕλη ἡ πολύξυλοc· τὸν πλεοναcμόν, οἷον cτάχυc ἄcταχυc, cταφίc ἀcταφίc· τὸ ἕν, οἷον Ἀπόλλων ὁ εἷc πέλων· τὸ ἴcον, οἷον ἀτάλαντοc ὁ ἰcοτάλαντοc· τὸ ὀλίγον, οἷον ἀδρανήc ὁ ὀλιγοδύναμοc· τὴν ἄθροιcιν, οἷον ἄλυcιc ἡ πολλοὺc κρίκουc ἔχουcα, καὶ ἔcτιν ὁμοῦ cημαινόμενα δέκα. Ἀπὸ γοῦν τοῦ ᾱ τοῦ cημαίνοντοc τὸ κακὸν γίνονται καὶ τὰ ἄφωνα, ἤτοι δύcφωνα, ἤγουν κακόφωνα, καὶ οὐχ ὡc τελείωc φωνῆc ἐcτερημένα, ἀλλ' ὡc τελείαν ἀπήχηcιν μὴ ἔχοντα, ὡc τὰ φωνήεντα, οὔτε ἡμιτελῆ, ὡc τὰ ἡμίφωνα, ἀλλ' ἔcτι παντελῶc ἄηχα, τουτέcτι κακόηχα· εἰ γὰρ τὸ β̄ καὶ τὸ γ̄ καὶ τὰ ἑξῆc μὴ ὅλωc τὴν τυχοῦcαν εἶχε φωνὴν μετὰ τοῦ ᾱ ἢ μετὰ τῶν ἄλλων φωνηέντων cυμπλεκόμενα, οὐκ ἂν ἐνήλλαccε τὴν ἐκείνων ἐκφώνηcιν· ἐπεὶ δὲ ἐναλλάccει, καὶ αὐτὰ δῆλον ὡc μετρίαν τινὰ cυνήγαγον φωνὴν ἐν τῷ cυλλαμβάνεcθαι.

Τούτων ψιλά ἐcτι τρία.] Μετὰ τὴν διαίρεcίν τε καὶ ἐπιδιαίρεcιν πάλιν ὑποδιαίρεcιc. Τῶν ἀφώνων τὰ μὲν ψιλά, τὰ δὲ δαcέα, τὰ δὲ μέcα· καὶ ψιλὰ μέν ἐcτι τὰ ὀλίγῳ πνεύματι ἐκφωνούμενα, ἤγουν τὰ ἀcθενῆ κατὰ τὴν ἐκφώνηcιν, καὶ ψιλὸν λέγεται τὸ λεπτόν. Εἴρηται δὲ ἀπὸ τοῦ ψῶ ῥήματοc, ὃ cημαίνει τὸ λεπτύνω, καθὼc καὶ Cοφοκλῆc φηcι ⟨Trach. 678⟩ ψῇ κατ' ἄκραc cπήλυγγοc· ἐξ οὗ καὶ ψιλὸc cτρατιώτηc ὁ λεπτὸc καὶ ἀcθενὴc καὶ γυμνὸc καὶ ἄοπλοc.

Ψιλὰ λέγεται τὰ ὀλίγῳ πνεύματι *etc.* = **Σ**[d] 43, 5—9.

⟨*Heliodori.*⟩ — Δαcέα τρία.] Δαcέα εἰcὶ τὰ ἀθρόῳ καὶ πολλῷ τῷ πνεύματι προοιcτὰ ἤτοι ἐκφωνούμενα. Καὶ εἴρηται δαcέα ὡc ἰcχυρά, ἀπὸ τοῦ δα̅, ὅ ἐcτιν ἐπιτατικὸν μόριον, καὶ τοῦ cεύω ῥήματοc, ὃ δηλοῖ τὸ ὁρμῶ, ἐξ οὗ καὶ cεύεcθαι τὸ ὁρμᾶcθαι, ἵνα δηλῶται ἐξ ἀμφοτέρων τὰ δαcέα κατὰ ἐτυμολογίαν τὰ πάνυ cεύοντα καὶ ὁρμῶντα τῷ πνεύματι τῆc φωνῆc· οὕτω δὲ ἰcχυρὸν τὸ δαcύ, ὅτι φίλαρχοc ἡ δαcεῖα. Ὅροc αὐτῆc οὗτοc, «ποιότηc cυλλαβῆc, καθ' ἣν ἀθρόον τὸ πνεῦμα προφέρεται»· τῆc δὲ ψιλῆc, «ποιότηc cυλλαβῆc, καθ' ἣν μέτριον τὸ πνεῦμα προφέρεται»·

1—6 = **Σ**[v] *201, 23—28* ‖ **1—25** *videntur esse* **Σ**[h] ‖ **11—18** *cfr* **Σ**[d] *42, 25—43, 2* ‖ **27—337, 14** *videntur esse* **Σ**[h]

1 Ἄφωνα — ᾱ N, τὰ ἄφωνα ἐννέα, ὡc προείρηται· τὸ ᾱ γὰρ V ‖ **5** οἷον V, ὡc ἐνταῦθα, ὡc καὶ N ‖ **6** τὸ πολύ — δέκα (**10**) *om* N ‖ **9** τὸ ἰcοτάλαντον V ‖ **10** καὶ ἔcτιν *Uhlig,* καὶ τινὰ V ‖ **19** ἐcτι N, *om* V | ἐπιδιαίρ. V, ὑποδιαίρ. N ‖ **22** λεπτόν] ἄκρον VN ‖ **24** cπήλυγγοc VN, cπιλάδοc *Soph.* ‖ **30** ὁρμᾶcθαι] ὁρμᾶν VN | δηλῶται V, δηλοῦται N ‖ **33** καθ' ἣν — cυλλαβῆc (**34**) N, *om* V ‖ **35** προφέρεται N, ἐκφέρεται V

Μέcα τούτων τρία.] Μέcα ἐcτὶ τὰ μήτε πολλῷ μήτε ὀλίγῳ πνεύματι ἐκφωνούμενα, ἀλλὰ τῶν μὲν ὀλίγον πνεῦμα ἐχόντων ὑπερβεβηκότα τῷ πνεύματι, τῶν δὲ πολὺ ὑποβεβηκότα τῷ πνεύματι. Καὶ γὰρ δὴ τοῦτο caφέc, ὅτι τὰ δαcέα ἰcχυρότερά ἐcτι τῶν ψιλῶν, ἀφ' ὧν δείκνυται τὰ μὲν δαcέα ἀτρέπτωc καὶ ἀκινήτωc καὶ ἀμεταθέτωc ἔχοντα δαcείαc αὐτοῖc ἐπαγομένηc, οἷον ⟨Δ 509. Μ 440⟩ ὄρνυcθ', ἱππόδαμοι Τρῶεc, ⟨Α 409⟩ ἀμφ' ἅλα ἔλcαι Ἀχαιούc, ⟨Ε 230⟩ cὺ μὲν αὐτὸc ἔχ' ἡνία· τὰ δὲ ψιλὰ πάντωc τρεπόμενα δείκνυται τῆc δαcείαc αὐτοῖc ἐπιφερομένηc, οἷον ⟨Γ 95⟩ ὣc ἔφαθ', οἱ δ' ἄρα πάντεc ἀκὴν ἐγένοντο cιωπῇ, ⟨ι 279⟩ ἀλλά μοι εἴφ' ὅπῃ ἔcχεc ἰὼν εὐεργέα νῆα, ⟨ε 229⟩ αὐτίχ' ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ' Ὀδυccεύc· πολλάκιc δὲ καὶ δύο ὄντα ἐν ταὐτῷ δαcείαc αὐτοῖc ἐπιφερομένηc τρέπεται, ὡc ἐν τῷ ⟨Δ 243⟩ τίφθ' οὕτωc ἔcτητε τεθηπότεc ἠύτε νεβροί;

Τὰ μέcα μέcην εἴληφε δύναμιν τῶν ψιλῶν καὶ τῶν δαcέων· μέcα γάρ ἐcτι τὰ ἐπ' ἴcηc ἀμφοτέρων ἀπέχοντα, τῶν μὲν ψιλῶν δυνάμει, τῶν δὲ δαcέων ἀcθενείᾳ· ἰcχυρότερα γὰρ τῶν ψιλῶν τὰ δαcέα· καὶ γὰρ τὰ δαcέα ψιλοῦcι τὰ πρὸ αὐτῶν φωνήεντα, ὡc ἰcχυρότερα τῶν ψιλῶν τυγχάνοντα, ἵνα μὴ ἐπάλληλοc ἡ δαcεῖα φθάcῃ, τὰ δὲ ψιλά, ὡc ἀcθενέcτερα ὄντα τῶν δαcέων, οὐ ψιλοῦcι τὰ πρὸ αὐτῶν φωνήεντα.

⟨*Heliodori.*⟩ — Καὶ ἔcτι τὸ μὲν β̄ μέcον τοῦ π̄ καὶ φ̄, τὸ δὲ γ̄ μέcον τοῦ κ̄ καὶ χ̄, τὸ δὲ δ̄ μέcον τοῦ θ̄ καὶ τ̄.] Τρεῖc ἡμῖν δίδωcι θέcειc ὁ τεχνικόc, ψιλῶν, δαcέων καὶ μέcων, καὶ ὡc τὸ μὲν β̄ μέcον τοῦ π̄ καὶ φ̄, τὸ δὲ γ̄ μέcον τοῦ κ̄ καὶ χ̄, τὸ δὲ δ̄ μέcον τοῦ θ̄ καὶ τ̄· μέcα δὲ εἴρηται, ὅτι τῶν μὲν ψιλῶν εἰcι δαcύτερα, τῶν δὲ δαcέων ψιλότερα. Ζητεῖται ⟨δέ⟩, πῶc τῶν μὲν ψιλῶν ἐcτιν ἰcχυρότερα, τῶν δὲ δαcέων ἀcθενέcτερα. Ὅτι τὰ μὲν ψιλὰ cύμφωνα εἰc δαcέα μετατρέπεταί τε καὶ μεταβάλλεται, ὅταν cυναλοιφὴ γένηται καὶ δαcὺ φωνῆεν αὐτοῖc ἐπενεχθῇ· εἰ δὲ τὰ μέcα ταύτην οὐ πάcχει τὴν μεταβολὴν δαcείαc αὐτοῖc ἐπιφερομένηc, ὁμολογούμενόν ἐcτιν ὅτι ἰcχυρότερά ἐcτι τῶν ψιλῶν, ὡc δῆλον ἐκ τούτων τῶν ὑποδειγμάτων· ⟨Ε 328⟩ ἔλαβ' ἡνία cιγαλόεντα, ⟨ex gr. Α 68⟩ ἦτοι ὅ γ' ὣc εἰπὼν κατ' ἄρ ἕζετο, ⟨κ 214⟩ οὐδ' οἵ γ' ὡρμήθηcαν· δαcέων δὲ κατὰ τοῦτον τὸν λόγον ἀcθενέcτερά ἐcτι τὰ μέcα, ὅτι τὰ μὲν δαcέα, ἅτε δὴ ἰcχυρότερα τυγχάνοντα, ψιλοῦcι τὰ πρὸ αὐτῶν φωνήεντα, ἵνα μὴ ἐπάλληλοc ἡ δαcεῖα γένηται, οἷον ὀφρύc Ὄθρυc, τὰ δὲ μέcα, ἅτε δὴ ἀcθενέcτερα ὄντα, ⟨οὐ⟩ ψιλοῦcι τὰ πρὸ αὐτῶν φωνήεντα, οἷον ἥβη ἡγεμὼν Ἅιδηc.

21—338, 36 *videntur esse* Σ^h

1 τούτων N, ἐcτὶ V | ἐcτὶ N, *om* V ‖ **5** ἔχοντα V, μένοντα N ‖ **7** ἀμφ' ἅλ' ἔcαι V, ἀμφ' ἅλ' ἔλcαι N ‖ **13** ἐν τῷ N, τὸ V ‖ **28** μετατρ. τε καὶ *om* N ‖ **29** εἰ V, μὴ N ‖ **34** ἰcχυρ. ἅτε δὴ τυγχ. VN ‖ **37** Ἅιδηc] ἄδωνιc VN

Καὶ ὡϲ ἄν τιϲ ϲύγκριϲιν ποιούμενοϲ θερμοτάτου καὶ ψυχροτάτου μέϲον τι καλέϲειεν ὡϲ πρὸϲ ϲύγκριϲιν ἀμφοτέρων τῶν ἀκροτάτων — ϲυγκρινόμενον γὰρ πρὸϲ τὸ θερμὸν ψυχρὸν ἂν νομιϲθείη, πρὸϲ δὲ τὸ ψυχρὸν θερμόν —, τοῦτον τὸν τρόπον καὶ τὰ μέϲα πρὸϲ ⟨μὲν⟩ τὰ δαϲέα ψιλά ἐϲτι, πρὸϲ δὲ τὰ ψιλὰ δαϲέα.

Καὶ ἔϲτι τὸ μὲν β̄ μέϲον τοῦ π̄ καὶ φ̄.] Μέϲον δὲ πῶϲ; Ὅτι ὅϲῳ ἰϲχυροτέραν εἴληφε δύναμιν τοῦ π̄ ψιλοῦ ὄντοϲ, τοϲούτῳ ἀϲθενεϲτέραν ἔχει ἰϲχὺν τοῦ φ̄ δαϲέοϲ ὄντοϲ· καὶ τὸν αὐτὸν λόγον δίδωϲι καὶ ἐπὶ τῶν ἄλλων. Ζητεῖται ⟨δέ⟩, πῶϲ μὴ ἀδιαφόρωϲ ἕκαϲτον τῶν μέϲων ἐϲτὶ καὶ ὡϲ ἔτυχε μεϲάζεται ψιλοῦ τε καὶ δαϲέοϲ, ἵνα ἕκαϲτον μέϲον πάντων τῶν ψιλῶν καὶ τῶν δαϲέων ᾖ, καί, ἅτε δὴ μέϲον πάντων ἕκαϲτον μέϲον ὑπάρχον, ὡϲ ἔτυχε μέϲον γένηται ψιλοῦ τε καὶ δαϲέοϲ. Καὶ ἔϲτιν εἰπεῖν, ὅτι κατὰ ϲυγγένειαν καὶ ἰϲοϲτοιχίαν κανονίζεται ταῦτα· ἔϲτι δὲ αὐτῶν τὴν ϲυγγένειαν ϲτοχάζεϲθαι ἔκ τε τῆϲ κλίϲεωϲ τῶν ῥημάτων ὁμοίωϲ καὶ τῶν ὀνομάτων, ὅτι [γὰρ] τὰ ῥήματα τὰ διὰ τοῦ β̄ ἢ π ἢ φ̄ ἐκφερόμενα διὰ τοῦ ψ̄ ποιοῦϲι τὸν μέλλοντα, οἷον λείβω λείψω, τέρπω τέρψω, γράφω γράψω· ἰδοὺ μία ϲυγγένεια τῶν τριῶν ἐκ τοῦ μέλλοντοϲ ἐδείχθη. Καὶ ἐροῦμεν πάλιν, ὅτι τὰ ὀνόματα τὰ εἰϲ ψ̄ λήγοντα τὴν γενικὴν δι' ἑνὸϲ τούτων ἐκφέρει, ἢ διὰ τοῦ β̄ ἢ διὰ τοῦ π̄ ἢ διὰ τοὺ φ̄, οἷον λίψ λιβόϲ, Πέλοψ Πέλοποϲ, Κίνυψ Κίνυφοϲ· ἰδοὺ πάλιν τῶν τριῶν ἡ ϲυγγένεια ἐκ τῆϲ γενικῆϲ τῶν ὀνομάτων ἐδείχθη. Τὸ αὐτὸ καὶ ἐπὶ τοῦ γ̄ κ̄ χ̄ λέγομεν, ὅτι τῶν τριῶν μία ἐϲτὶ ϲυγγένεια, καθότι τὸ κ̄ τῷ χ̄ ἀντιϲτοιχεῖ μόνῳ, καὶ ὅτι μέϲον αὐτῶν μόνον ἐϲτὶ τὸ γ̄ καὶ οὐκ ἄλλων, ὡϲ ἔϲτι φῆναι ἐκ ⟨τῆϲ⟩ κλίϲεωϲ ⟨τῶν⟩ ῥημάτων τε καὶ ὀνομάτων· πᾶν γὰρ ῥῆμα διὰ τούτων ἐκφερόμενον, τοῦ γ̄ κ̄ χ̄, διὰ τοῦ ξ̄ ποιεῖ τὸν μέλλοντα, οἷον λέγω λέξω, πλέκω πλέξω, ἔχω ἕξω, καὶ πᾶν ὄνομα εἰϲ ξ̄ λῆγον δι' ἑνὸϲ τούτων ἐκφέρει τὴν γενικήν, ⟨οἷον⟩ τέττιξ τέττιγοϲ, πέρδιξ πέρδικοϲ, ὄνυξ ὄνυχοϲ. Τὸν αὐτὸν δὴ λόγον φαμὲν καὶ ἐπὶ τοῦ δ̄ θ̄ τ̄, ὅτι τῶν τριῶν μία ἐϲτὶν ἡ ϲυγγένεια, διότι τὸ θ̄ τῷ τ̄ ἀντιϲτοιχεῖ μόνῳ, καὶ ὅτι αὐτῶν μόνων μέϲον ἐϲτὶ καὶ οὐκ ἄλλων τὸ δ̄, ὡϲ ἔϲτι δηλῶϲαι ἔκ τε τῶν ῥημάτων καὶ τῶν ὀνομάτων· πᾶν γὰρ ῥῆμα διὰ τούτων ἐκφερόμενον, τοῦ δ̄ θ̄ τ̄, διὰ τοῦ ϲ̄ ποιεῖ τὸν μέλλοντα, οἷον ᾄδω ᾄϲω, πλήθω πλήϲω, ἀνύτω ἀνύϲω, καὶ πᾶν ὄνομα εἰϲ ϲ̄ λῆγον δι' ἑνὸϲ τούτων ἐκφέρει τὴν γενικήν, ⟨οἷον⟩ Ἄδωνιϲ Ἀδώνιδοϲ, ὄρνιϲ ὄρνιθοϲ, ἔρωϲ ἔρωτοϲ. Καὶ ἔϲτιν εἰπεῖν ἀναγκαϲτικῷ λόγῳ, ὅτι ταύτην αὐτοῖϲ ἡ φύϲιϲ ἐδωρήϲατο τὴν ϲυγγένειαν.

Καὶ ἔϲτι τὸ μὲν β̄ μέϲον τοῦ π̄ καὶ φ̄ καὶ τὰ ἑξῆϲ.] Οὐχ ὡϲ ἔτυχεν *etc.* = **Σ**[d] 43, 10—44, 14.

1—5 = **Σ**[v] *202, 4—8*

2 καλέϲη V, καλέϲει N ‖ **3** νομιϲθῇ VN ‖ **7** ὅϲῳ] ὅϲην N, *om* V | τοϲούτῳ] τοϲαύτην VN ‖ **9** ἀδιαφόρωϲ N, διαφόρωϲ V ‖ **15** γὰρ *hab.* VN | **23** ὅτι] διότι VN ‖ **24** ἄλλων N, ἄλλο V | φῆναι] φθᾶναι V, φάναι N ‖ **30** ὅτι] διατὶ VN

⟨*Heliodori.*⟩ Ἀντιcτοιχεῖ δὲ τὰ δαcέα τοῖc ψιλοῖc.] Ἡ ἀντί πρόθεcιc δύο cημαίνει· ποτὲ μὲν τὸ ἐναντιούμενον, ὡc τὸ ⟨cfr α 70⟩ ἀντίθεον Κύκλωπα, τουτέcτιν ἐναντίον θεοῖc· οἱ μὲν γὰρ θεοὶ «δωτῆρεc ἐάων», ὁ δὲ Κύκλωψ δοτὴρ τῶν κακῶν· τοὺc γὰρ Ὀδυccέωc ἑταίρουc οὐκ ἐλεῶν κατήcθιε· καὶ ἀντίθεον δόγμα· cημαίνει δὲ καὶ τὸ ἴcον, ὡc τὸ ⟨cfr Κ 112⟩ ἀντίθεον Αἴαντα, ἀντὶ τοῦ ἰcόθεον κατ' ἀρετήν. Οὕτω καὶ ἐνταῦθα ἀντίcτοιχα λέγομεν τὰ ἰcόcτοιχα, ἐπεὶ ἰcοcτοιχεῖ καὶ τὴν ἴcην καὶ τὴν αὐτὴν ἀναδέχεται τάξιν τε καὶ θέcιν τὰ δαcέα τοῖc ψιλοῖc, καὶ ἀντιμεταβάλλεται καὶ ἀντιπαραχωρεῖ τοῖc δαcέcι τὰ ψιλά· πολλάκιc γὰρ εἰc τὸν τόπον τῶν ψιλῶν τὰ δαcέα τίθεται, ἀλλ' οὐχ οἱαδήποτε οἱωνδήποτε, ἀλλὰ τὰ κατὰ τὸν αὐτὸν τόπον τῶν φωνητικῶν ὀργάνων ἐκφωνούμενα· καὶ ὡc ἐλάccονα τῇ δυνάμει τοῦ πνεύματοc τὴν τοῦ μείζονοc πνεύματοc ἐπιφορὰν ὑποcτέλλεται, ὡc ἐπὶ ἀνθρώπων ὁ ἐλάccων μεταcχηματίζεται μείζονοc ἐπερχομένου.

Ζητεῖται δέ, διὰ τί ἄρα ὁ τεχνικὸc ἐνθυμηθεὶc οὐκ εἶπεν «ἀντιcτοιχεῖ δὲ τὰ δαcέα τοῖc ψιλοῖc, τὸ μὲν φ̄ τῷ π̄», ἀλλὰ τοὐναντίον τὸ ψιλὸν τοῦ δαcέοc προέταξεν, εἶτα πάλιν ὑποκατιὼν εἶπε «τὸ δὲ θ̄ τῷ τ̄», ⟨καὶ⟩ ὥcπερ γνοὺc τὸ ἴδιον πταῖcμα τὸ δαcὺ τοῦ ψιλοῦ προέταξε. Καὶ τινὲc μὲν λέγουcιν, ὅτι ἄνω πρὸc τὸ δεύτερον ἀπήντηcεν· ἐγὼ δὲ λέγω, ἐννοίᾳ καλλίcτῃ οὕτωc εἶπε, βουλόμενοc αἰνιγματωδῶc δεῖξαι, ὡc οὐ μόνον δαcέα ἀντὶ ψιλῶν παραλαμβάνεται, ἀλλὰ καὶ ψιλὰ ἀντὶ δαcέων. Ἀλλ' ἴcωc ἂν φήcειέ τιc· «καὶ πῶc ἔcτι δεῖξαι ὅτι ψιλὰ ἀντὶ δαcέων παραλαμβάνεται;» Πρὸc ὃν ἐροῦμεν, ὅτι τοῦτο ἔcτιν εὑρεῖν ἔν τε ὀνόμαcι καὶ ῥήμαcιν· ἂν μὲν γὰρ ἐν ῥήμαcι διπλαcιαζόμενον cύμφωνον εὑρεθῇ δαcύ, μεταβάλλεται τὸ ἓν δαcὺ εἰc ψιλόν, ἵνα μὴ δύο δαcέων ἐκφωνουμένων τραχυτέρα γένηται ἡ φωνή, οἷον ἐν τῷ θραύω ἀναδιπλαcιάζοντεc τὸν παρακείμενον οὐ λέγομεν θέθραυκα, ἀλλὰ τέθραυκα· ὁμοίωc καὶ ἐν τῷ φιλῶ οὔ φαμεν φεφίληκα, ἀλλὰ πεφίληκα, καὶ ἐν τῷ χρυcῶ ὡcαύτωc οὐ λέγομεν χεχρύcωκα, ἀλλὰ κεχρύcωκα. Ἐν δὲ ὀνόμαcι πάλιν ὅτε χρεία μεταβάλλεται τὸ δαcὺ εἰc ψιλόν, οἷον ἀπὸ τοῦ θρύπτω ῥήματοc, ὃ cημαίνει τὸ διακλῶ καὶ μαλθάccω, γίνεται ὄνομα τρυφή, ἡ διακλῶcα καὶ μαλθάccουcα ἡμῶν τὰ cώματα, καὶ οὐ θρυφή, καὶ ἀπὸ τοῦ θρίξ ὀνόματοc γίνεται γενικὴ τριχόc, καὶ οὐ θριχόc, ⟨καὶ⟩ ἀπὸ τῆc ἀμφί προθέcεωc γίνεται ὄνομα ἀμπεχόνη, καὶ οὐκ ἀμφεχόνη· καὶ πάλιν ἐκ τοῦ ἔχω ῥήματοc γίνεται ὄνομα ἐκεχειρία, καὶ οὐκ ἐχεχειρία. Cαφῶc τοίνυν δέδεικται, ὅτι δι' αἰνίγματοc εἶπεν ὁ τεχνικόc, ὡc παρα-

---

1—340, 3 *videntur esse* Σ^h ‖ **10—12** = Σ^d *44, 23—25* ‖ **12—14** = Σ^d *44, 28—31*

1 δὲ *om* N ‖ **3** Κύκλωπα VN (*et EtM 111, 33*), Πολύφημον *edd. Hom.* | δοτῆρεc VN ‖ **6** κατ' ἀρ.] καὶ ἀρ. VN ‖ **8** θέcιν N, διάθεcιν V ‖ **9** τοῖc δαc. τὰ ψιλά *Uhlig*, τοῖc ψιλοῖc τὰ δαcέα VN ‖ **11** τὰ *om* N ‖ **25** εὑρεθῇ N, εὑρεθείη V ‖ **26** τραχυτέρα N, ταχύτερον V ‖ **31** μαλάccω N ‖ **32** μαλάccουcα N

λαμβάνεται ψιλὰ ἀντὶ δασέων, ἐν οἷς φησι «τῷ π̄ τὸ φ̄ ἀντιστοιχεῖ», καὶ πάλιν τὰ δασέα ἀντὶ ψιλῶν, ἐν οἷς φησι «τὸ θ τῷ τ̄ ἀντιστοιχεῖ», καὶ ὅτι ἐκ ῥημάτων καὶ ὀνομάτων τῷ τεχνογράφῳ ἡ μαρτυρία προέρχεται.

Πάλιν οὖν ζητητέον, ὥσπερ *etc.* = Σ^v 202, 31—33.

⟨*Heliodori.*⟩ — Ἔτι δὲ τῶν συμφώνων διπλᾶ μέν ἐστι τρία, ζ̄ ξ̄ ψ̄.] Καλῶς εἶπε «τῶν συμφώνων» καὶ οὐ «τῶν ἡμιφώνων»· διαίρεσις γάρ ἐστιν αὕτη δευτέρα τῶν συμφώνων ἡ περὶ δύναμιν· καὶ μιμεῖται ἡ διαίρεσις αὕτη τὴν τῶν φωνηέντων διαίρεσιν· ὥσπερ γὰρ λέγομεν, ὅτι τῶν φωνηέντων τὰ μέν ἐστι μακρά, τὰ δὲ βραχέα, οὕτω καὶ τῶν συμφώνων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ διπλᾶ· καὶ ὥσπερ ἐκεῖ τὰ μακρὰ μείζονα δύναμιν ἔχει τῶν βραχέων, καθὸ τὸ μὲν μακρὸν δύο χρόνους ἔχει, τὸ δὲ βραχὺ ἕνα, οὕτω καὶ ἐνταῦθα τὰ διπλᾶ μείζονα δύναμιν ἔχει τῶν ἁπλῶν, διότι τὸ μὲν διπλοῦν τέλειον χρόνον ἔχει, τὸ δὲ ἁπλοῦν ἡμιχρόνιον ἔχει, τουτέστιν ἥμισυ χρόνου· καὶ ὥσπερ ἐκεῖ τὰ μὲν μακρὰ μακρὰς ποιοῦσι τὰς συλλαβάς, τὰ δὲ βραχέα βραχείας, οὕτω καὶ ἐνταῦθα τὰ μὲν διπλᾶ βραχέος ἢ βραχυνομένου φωνήεντος αὐτοῖς συμπλεκομένου μακρὰς ποιοῦσι τὰς συλλαβάς, τὰ δὲ ἁπλᾶ βραχέος ἢ βραχυνομένου φωνήεντος αὐτοῖς συμπλεκομένου πάντως βραχείας· καὶ ὥσπερ ἐκεῖ τὰ δίχρονα ποτὲ μὲν μακρὰς ποτὲ δὲ βραχείας ποιοῦσι τὰς συλλαβάς, οὕτω καὶ ἐνταῦθα τὰ ἀμετάβολα τῶν ἀφώνων ὑποταττόμενα κατὰ σύλληψιν ποτὲ μὲν μακρὰς ποτὲ δὲ βραχείας ποιοῦσι τὰς συλλαβάς· καὶ ὥσπερ τὰ φωνήεντα ἐπιπλεκόμενα ἀλλήλοις μακρὰς ποιοῦσι τὰς συλλαβάς, οὕτω καὶ τὰ σύμφωνα συνερχόμενα καὶ ἐπιφερόμενα μακρὰς ποιοῦσι τὰς συλλαβάς.

Τινὲς δὲ λέγουσι, διὰ τί οὐκ εἶπε «τῶν ἡμιφώνων διπλᾶ μέν ἐστι τρία», ἀλλὰ «τῶν συμφώνων»; Πρὸς οὓς λέγομεν, ὅτι ἐνταῦθα ἐπιδιαίρεσίς ἐστι τῶν συμφώνων, καὶ οὐ τῶν ἡμιφώνων· οὐδὲ λέγομεν ὅτι τῶν ἡμιφώνων τὰ μὲν διπλᾶ, τὰ δὲ ἀμετάβολα, ἀλλὰ τῶν συμφώνων διπλᾶ μέν ἐστι τρία, ἁπλᾶ δὲ ιδʹ· ὁμοίως τὰ μέν ἐστιν ἀμετάβολα, τὰ δὲ μεταβολικά, ὥσπερ τῶν ἀνθρώπων οἱ μὲν ἔμφρονες, οἱ δὲ ἄφρονες, οἱ μὲν ἰσχυροί, οἱ δὲ ἀσθενεῖς, καὶ οὐχὶ οἱ μὲν ἔμφρονες, οἱ δὲ ἀσθενεῖς, ἢ οἱ μὲν ἰσχυροί, οἱ δὲ ἄφρονες.

Διπλᾶ δὲ εἴρηται, ὅτι ἓν ἕκαστον αὐτῶν ἐκ δύο συμφώνων σύγκειται.] Ἔδει σύνθετα ὀνομάζεσθαι, καὶ οὐ διπλᾶ· τὰ γὰρ ἐκ δύο συνεστῶτα διαφόρων σύνθετα καλοῦμεν, ὥσπερ τὸ Φιλοκτήτης

5—24 hab. et. A; *videntur esse* Σ^h

3 καὶ ὀνομ. N, *om* V ‖ **5** δὲ *add* A ‖ **7** περὶ N, παρὰ V | καὶ μιμ. — γὰρ (**8**) A, καὶ ὥσπερ VN ‖ **13** μὲν *add* A ‖ **14** ἡμιχρόνιον A, ἡμίχρονον V, ἥμισυ χρόνον N | τουτ. ἡμ. χρ. *om* N ‖ **16** βραχέος — συμπλεκ. *om* A ‖ **17** βραχέος — πάντως (**18**) *om* A ‖ **22** ἐπισυμπλεκόμενα A ‖ **23** ποιοῦσι τὰς συλλ. A, ποιεῖ VN ‖ **24** A *add:* Ἔστι τοίνυν ἡ διαίρεσις αὕτη τῶν συμφώνων· διπλᾶ μέν ἐστι τρία, ἁπλᾶ δὲ ιδʹ ‖ **25** διατί V, ὅτι N ‖ **30** ἔμφρονες V, εὔφρονες N; *item v. 31* ‖ **31** οὐχὶ N, οὐχ V ‖ **33** δὲ V, μὲν N

καὶ τὸ Περικλῆς καὶ τὸ Χειρίςοφος ςύνθετα καλοῦμεν ὀνόματα· τὰ δὲ ἐκ τοῦ αὐτοῦ ἀναδεδιπλωμένα διπλᾶ ὀνομάζομεν, ὥςπερ φαμὲν δεδιπλῶςθαι τὸν χιτῶνα, καὶ ἐν τῷ ἔρραγκα δεδιπλαςιάςθαι τὸ ρ̄. Οὕτω καὶ ταῦτα διπλᾶ εἴρηται, διότι ἓν ἕκαςτον αὐτῶν ςύγκειται ἐκ δύο ςυμφώνων· ἢ [ὅτι] καὶ διπλᾶ εἴρηται οὐχ ὡς ἐκ δύο ςυμφώνων ςυγκείμενα, ἀλλ' ὡς δύο ςυμφώνων δύναμιν ἔχοντα *etc.* = Σ^d 45, 30—46, 3.

⟨*Heliodori.*⟩ — Ζητητέον δὲ διὰ τί τριῶν ὄντων διπλῶν, ζ̄ ξ̄ ψ̄, τὸ μὲν ξ̄ καὶ ψ̄ ληκτικά ἐςτιν ὀνομάτων, τὸ δὲ ζ̄ οὐκέτι. Καί φαμεν καλῶς πρὸς τοῦτο ἀπολογούμενοι, ὅτι οὐ πάντως τὰ ὁμογενῆ καὶ ὁμοειδῆ τοῖς αὐτοῖς ὑποπίπτει πάθεςιν· ἰδοὺ γὰρ τριῶν ὄντων διχρόνων τὰ μὲν προτακτικὰ φαίνεται, τὰ δὲ ὑποτακτικά, καὶ πάλιν τεςςάρων ὄντων ἀμεταβόλων τὰ μέν ἐςτιν αὐτῶν ὀνομάτων ληκτικά, ὡς τὸ ν̄ καὶ τὸ ρ̄, τὰ δὲ ῥημάτων μόνον τυπωτικά, ὡς τὸ λ̄ καὶ τὸ μ̄· δῆλον οὖν ὡς οὐκ ἀνάγκη τὰ ὁμοειδῆ καὶ ὁμογενῆ ςτοιχεῖα τὰ αὐτὰ ἀναδέχεςθαι πάθη. Καὶ ἄλλως φαμέν, ὅτι τὸ ς̄ ληκτικόν ἐςτιν ὀνομάτων· καὶ ἐπεὶ πέφυκε ληκτικὸν ὑπάρχειν ὀνομάτων τὸ ς̄, ὅπερ ἐςτὶ δυνάμει κατὰ τὸ τέλος ἐν τῷ ξ̄ καὶ ψ̄ — λέγομεν γὰρ τὸ ξ̄ ἐκ τοῦ κ̄ καὶ ς̄ καὶ τὸ ψ̄ ἐκ τοῦ π̄ καὶ ς̄ —, οὐδὲν τὸ κωλύον ληκτικὸν εἶναι ὀνομάτων τὸ ξ̄ καὶ ψ̄· τὸ δὲ ζ̄ ἐν τῇ ἐκφωνήςει τελευταῖον ἔχει τὸ δ̄, ὅπερ οὐδέποτε ληκτικὸν εὑρέθη τινός· διὰ τοῦτο ⟨οὖν⟩ ἀδύνατον καταληκτικὸν εἶναι ὀνομάτων τὸ ζ̄.

Ἀμετάβολα τέςςαρα.] Τρίτη διαίρεςις αὕτη περὶ δύναμιν τῶν ςυμφώνων, ὅτι τὰ μέν ἐςτιν ἀμετάβολα, τὰ δὲ μεταβολικά· καὶ ἀμετάβολα μὲν τέςςαρα, λ̄ μ̄ ν̄ ρ̄, μεταβολικὰ δὲ ιγ'. Ταῦτα τὰ ἀμετάβολα τῆς ὀνομαςίας ἔτυχεν ἀπὸ τῆς χρήςεως, ἐπείπερ οὔτε ἐν ταῖς κλίςεςι τῶν ὀνομάτων οὔτε ἐν ταῖς κινήςεςι τῶν ῥημάτων εὑρίςκομεν ταῦτα μεταβαλλόμενα. Καὶ τελικὰ μὲν ὀνομάτων εἰςὶν ἐξ αὐτῶν δύο, ν̄ ρ̄, ἅτινα οὐ μεταβάλλεται κατὰ κλίςιν, ⟨οἷον⟩ Δίων Δίωνος, Νέςτωρ Νέςτορος. Εἰ δέ τις εἴποι, ὅτι ἐν τοῖς οὐδετέροις μεταβάλλεται τὸ ρ̄, ὡς ἐν τῷ ὕδωρ ὕδατος, ἧπαρ ἥπατος, ἴςτω ὅτι τὰ τοιαῦτα οὐδέτερα ἑτερόπτωτά εἰςι καὶ οὐκ ἰδιόπτωτα· ἑτέραν γὰρ κλίςιν ποιοῦνται· ἡ γὰρ γενικὴ αὐτῶν ἐπαγγέλλεται ἑτέραν εὐθεῖαν, καὶ ἡ εὐθεῖα ἑτέραν γενικήν· ἡ γὰρ εἰς τος̄ λήγουςα γενικὴ ἀπὸ τῶν εἰς ς̄ εὐθειῶν θέλει εἶναι, ὡς κρέας κρέατος, καὶ τῆς εἰς ρ̄ ληγούςης εὐθείας εἰς ρος̄ θέλει εἶναι ἡ γενική, ⟨ὡς⟩ πέλωρ πέλωρος. Ἐν δὲ τοῖς ῥήμαςι τὰ τέςςαρα εὑρίςκεται μὴ μεταβαλλόμενα, ὡς πάλλω παλῶ, νέμω νεμῶ, κρίνω κρινῶ, ςπείρω

7—21 hab. et. A (*cfr* Σ^ϑ *38, 1—22*) ‖ **7—342, 8** *videntur esse* Σ^h

3 ἔρραγκα V, ἔρραγα N ‖ **5** ὅτι *hab.* VN ‖ **7** δὲ *om* V ‖ **9** καὶ A, καὶ τὰ VN ‖ **13** μόνον NA, μόνων V | οὖν *add* A ‖ **14** ἀνάγκη NA, ἀνάγειν V ‖ **15** *post* ἄλλως *add* A: ὅτι ἵνα φυςικώτερον τὸ τοιοῦτον παραςτήςομεν ‖ **19** ἔχει NA, ἔχειν V | ὅπερ — τὸ ζ̄ (**21**)] οὐδέποτε δὲ λέξις ἑλληνικὴ εἰς ἄφωνα καταλήγει A ‖ **24** ιγ'] δεκατρία N, τρία V ‖ **28** κατὰ — μεταβάλλ. (**29**) *om* N ‖ **33** ς̄ ας̄ VN

cπερῶ· μεταβάλλεται δὲ τὰ ἄλλα, λείβω λείψω, λέγω λέξω, ᾄδω ᾄcω, νήθω νήcω, πλέκω πλέξω, Φοῖνιξ Φοίνικος, Πάρις Πάριδος, ἀνύτω ἀνύcω, ἀλείφω ἀλείψω, λείχω λείξω, Ἄραψ Ἄραβος· τὸ δὲ πωλῶ πωλήcω καὶ τὰ ὅμοια ὡc περιcπώμενα περιττοcυλλάβωc κλίνεται. Τί γοῦν ἂν εἴποιμεν περὶ τοῦ ἑτέρου; εἶπε γὰρ ἡμῖν περὶ τῶν τριῶν διπλῶν καὶ περὶ τῶν τεccάρων ἀμεταβόλων, τὰ πάντα ἡμίφωνα εἰρηκὼc εἶναι ὀκτώ, ὥcτε ζητεῖcθαι τὸ c̄· διὰ τί μηδὲν περὶ τούτου εἴρηκε; Φαμὲν ὅτι ἐν ταῖc κλίcεcι τῶν ὀνομάτων ὥριcται ⟨καὶ⟩ κοινόν ἐcτι τῶν τριῶν γενῶν.

Τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖται.] Λέγει δὲ αὐτὰ καλεῖcθαι καὶ ὑγρὰ ἢ διὰ τὸ ἀμετάπτωτα καὶ ἀμετάθετα εἶναι ταῦτα καὶ δυcεξάλειπτα διὰ τὸ μὴ μεταβάλλεcθαι, ἵνα εἴπω ἀμετάβολα ἀπὸ μεταφορᾶc τῶν ὑγρῶν χρωμάτων καὶ ταῦτα καλεῖcθαι, ἐπειδὴ κἀκεῖνα δυcεξάλειπτά ἐcτι καὶ ταῦτα δυcμετάθετα. Ἕτεροι δὲ αὐτὰ ὑγρὰ ἐκάλεcαν ὡc εὐόλιcθα, τουτέcτιν ὀλιcθηρά, ἐπί τε τὸν τῆc μακρᾶc χρόνον καὶ ἐπὶ τὸν τῆc βραχείαc· cυμπλεκόμενα γὰρ τοῖc ἀφώνοιc κοινὴν ἀποτελεῖ cυλλαβήν· οὕτωc οὖν καὶ ταῦτα ὑγρὰ καλεῖται, ὡc ποτὲ μὲν παρὰ τῷ ποιητῇ ἀντὶ δύο cυμφώνων κείμενα, ποτὲ δὲ ἀντὶ ἑνόc.

Ὥcπερ τῶν φωνηέντων τὰ μέν ἐcτι μακρά, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα, οὕτω καὶ τῶν cυμφώνων τὰ μέν ἐcτι μακρά, ἅ φηcιν αὐτὸc διπλᾶ, ζ̄ ξ̄ ψ̄, τὰ δὲ δίχρονα, λ̄ μ̄ ν̄ ρ̄, τὰ δὲ ἐπίλοιπα βραχέα· καὶ ὥcπερ τῶν φωνηέντων τὰ μέν ἐcτιν ἀμετάβολα, τὰ δὲ μεταβολικά, οὕτω καὶ ἐπὶ τῶν cυμφώνων τὰ μὲν τέccαρα ταῦτά εἰcιν ἀμετάβολα, τὰ δὲ ἄλλα μεταβολικά· καὶ ὥcπερ τὰ δίχρονα ἐν τοῖc φωνήεcιν ἕτεροι καὶ ὑγρὰ ἐκάλεcαν *etc.* = **Σ**[d] 46, 24—47, 11.

Πόcα τελικὰ τῶν ἀρcενικῶν ἑνικῶν ἀνεπεκτάτων κοινῶν ὀνομάτων κατ᾽ εὐθεῖαν καὶ ἑνικὴν πτῶcιν cτοιχεῖα; Πέντε, ν̄ ξ̄ ρ c̄ ψ̄, οἷον Δίων Φοῖνιξ Νέcτωρ Πάριc Πέλοψ. Διὰ τί λέγεται τελικά; Διότι αἱ ἑνικαὶ τῶν ὀνομάτων εὐθεῖαι τελευτῶcιν εἰc αὐτά.

⟨*Heliodori.*⟩ — Τελικὰ ἀρcενικῶν ὀνομάτων cτοιχεῖά εἰcι ε', ν̄ ξ̄ ρ̄ c̄ ψ̄.] Ἀναγκαῖον προcθεῖναί ⟨τινα⟩ τῷ λόγῳ, ἵν᾽ ᾖ ὁ λόγοc οὕτωc· «τελικὰ ἀρcενικῶν ἑνικῶν ἀνεπεκτάτων κοινῶν ὀνομάτων κατ᾽ εὐθεῖαν [καὶ ἑνικὴν] πτῶcιν cτοιχεῖά εἰcι πέντε». Καὶ «ἀρcενικῶν» μὲν πρόcκειται διὰ τὰ ἄλλα γένη, «ἑνικῶν» δὲ διὰ τὰ δυϊκὰ καὶ πληθυντικά, «κατ᾽ εὐθεῖαν πτῶcιν» διὰ τὰc πλαγίουc, «ἀνεπεκτάτων» δὲ διὰ τὸ τοcόcδε καὶ τοιόcδε καὶ τὰ ὅμοια, «κοινῶν» δέ, ὅπωc μὴ τὰc παρὰ βαρβάροιc καταλήξειc ἐπιφέρωμεν, ὁ Φλέγρα λέγοντεc καὶ ὁ Ἀνδρούβαλ καὶ τὰ λοιπά.

5—8 = ***Σ***[v] *204, 1—5* ‖ **29—343, 11** *videntur esse* **Σ**[h]

1 τὰ ἄλλα] ταῦτα VN ‖ **8** ἐcτι] ἐπὶ VN ‖ **9** δὲ (*poster.*) V, γὰρ N ‖ **10** ταῦτα] τινὰ VN | δυcεξάλειπτα V, cυνεξάλειπτα N ‖ **18** *post* Ὥcπερ *in contextu add* διομήδουc N ‖ **25—28** *om* N ‖ **29** Τελικὰ — ψ̄ (30) N, *om* V ‖ **34** τοcόcδε καὶ N, *om* V ‖ **36** φλέγρα V, φρέγρα N | ὁ ἀνδρουκάλε V, ὁ ἀνδροκάλε N; *cfr Sophron. in CGG IV 2 p. 379, 22*

Πέντε δὲ εἶπε μόνον εἶναι τελικὰ ἀρcενικῶν ὀνομάτων cτοιχεῖα, ἐπεὶ οὔτε τὸ ᾱ προcαπτέον διὰ τὸ ἱππότα καὶ μητίετα· οὐδὲν γὰρ τῶν τῆc πρώτηc δυοδεκάδοc cτοιχείων τελικὸν ἀρcενικῶν ὀνομάτων ὑπάρχει· ὅθεν καὶ τὰ παρὰ τῷ ποιητῇ ⟨ex. gr. B 336⟩ ἱππότα Νέcτωρ καὶ ⟨ex. gr. A 511⟩ νεφεληγερέτα Ζεύc φαμὲν καταλήξειc ἔχειν ποιητικῆc ἐξουcίαc· οὔτε πάλιν τὸ λ̄ διὰ τὸ Βάκαλ· τὰ γὰρ φθάcαντα τελικὰ ὀνομάτων ⟨τελικὰ⟩ καὶ ἑτέρων γίνεται μερῶν λόγου· οὔτε γοῦν τὸ ε̄ διὰ τὸ τοιόcδε, ἐπέκταcιc γάρ ἐcτι. Τελικὰ δέ ἐcτι τὰ τοῦ τέλουc χαρακτηριcτικά· φαμὲν γὰρ ἐν τῷ Δίων χαρακτηρι⟨cτι⟩κὸν εἶναι τοῦ τέλουc τὸ ν̄, καὶ ἐν τῷ Φοῖνιξ τὸ ξ̄, καὶ ἐν τῷ Νέcτωρ τὸ ρ̄, καὶ ἐν τῷ Πέλοψ τὸ ψ̄.

Πόcα τελικὰ τῶν θηλυκῶν ὀνομάτων; Ὀκτώ· φωνηέντων μὲν τρία, ᾱ η̄ ω̄, τῶν δὲ cυμφώνων πέντε, ν̄ ξ̄ ρ̄ c̄ ψ̄, οἷον Μοῦcα Ἑλένη Κλειώ χελιδών ἕλιξ μήτηρ Θέτιc λαῖλαψ. — Πόcα τελικὰ τῶν οὐδετέρων ὀνομάτων; Ἕξ· τρία μὲν τῶν φωνηέντων, ᾱ ῑ ῡ, τρία δὲ τῶν ἡμιφώνων, ν̄ ρ̄ c̄, οἷον ἅρμα μέλι δόρυ ξύλον ὕδωρ δέπαc· τινὲc δὲ προcτιθέαcι καὶ τὸ ο̄, οἷον ἄλλο.

⟨*Heliodori.*⟩ — Θηλυκῶν δὲ ὀκτώ, ᾱ η̄ ω̄ ν̄ ξ̄ ρ̄ c̄ ψ̄· οὐδετέρων δὲ ἕξ, ᾱ ῑ ῡ ν̄ ρ̄ c̄· τινὲc δὲ προcτιθέαcι καὶ τὸ ο̄, οἷον ἄλλο.] Τοῦτο οὐκ ἀρέcκει τῷ τεχνικῷ· διὰ τοῦτο εἶπε τὸ «τινέc»· φαμὲν γάρ, πᾶν οὐδέτερον ἐξ ἀρcενικοῦ γεγονὸc εἰ μὲν ἰcοcυλλάβωc κλίνοιτο, τῇ αἰτιατικῇ τοῦ ἀρcενικοῦ ὁμοφωνεῖ, εἰ δὲ περιττοcυλλάβωc, τῇ κλητικῇ, οἷον ὁ καλόc τοῦ καλοῦ τῷ καλῷ τὸν καλόν καὶ τὸ οὐδέτερον τὸ καλόν, ὁ cώφρων τοῦ cώφρονοc τῷ cώφρονι τὸν cώφρονα ὦ cῶφρον καὶ τὸ οὐδέτερον τὸ cῶφρον· εἰ τοίνυν τὸ ἄλλο ἰcοcυλλάβωc κλίνεται, τὸ ν̄ ἐχέτω τὸ οὐδέτερον, ἵνα τῇ αἰτιατικῇ τοῦ ἀρcενικοῦ ὁμοφωνήcῃ· εἰ δὲ οὐκ ἔχει τὸ ν̄, ἔλλειψιν ἄρα πέπονθε τοῦ ν̄, ὅπερ κατὰ τὴν cύνθεcιν φαίνεται ἔχον· ἔξαλλον γὰρ καὶ ἄνταλλον καὶ περίαλλον καὶ πάραλλον φαμὲν παιδίον· εἰ δὲ ἄλλοc ἄλλου, ὡc τὸν ἄλλον οὕτωc ἐχρῆν τὸ ἄλλον. Τὸ δὲ ἄλλο πέπονθεν· ἐν γὰρ τῇ cυνθέcει τὸ ἀνάλογον δέδοται, καθὼc προείρηται, οἷον ἔξαλλον ἄνταλλον· οὐ γὰρ τῷ λόγῳ τῆc cυνθέcεωc ἐcτι· τὰ γὰρ οὐδέτερα cυντιθέμενα ἐὰν φυλάξῃ τὸ γένοc, τηρεῖ τὴν κατάληξιν, οἷον γράμμα διάγραμμα· εἰ δ' ἦν ἄλλο καὶ φυλάττει τὸ γένοc, ἐν τῷ ἄνταλλον ἐχρῆν τηρεῖcθαι καὶ τὸ τέλοc.

Δυϊκῶν δὲ τρία, ᾱ ε̄ ω̄.] Ἰcτέον ὅτι τὰ τελικὰ τῶν δυϊκῶν ἀπὸ τῆc δοτικῆc τῶν ἑνικῶν κανονίζεται· καὶ τὸ μὲν ᾱ τὸ ἐν τοῖc δυϊκοῖc διχῶc ἀποτελεῖται· πᾶcα γὰρ δοτικὴ ἑνικῶν εἰc η̄ ἢ εἰc ᾱ λήγουcα τὸ

---

17 — 344, 10 *videntur esse* Σ^h

1 εἶναι N, *om* V ‖ **2** μητιέτα VN ‖ **6** βάκαλ V, βάβαλ N ‖ **7** ὀνομάτων τελικὰ] εἶναι VN | μερῶν λόγου] μέρη λόγων VN ‖ **12—16** *om* N ‖ **17** Θηλυκῶν — ἄλλο (18) N, *om* V ‖ **20** ἀρcενικοῦ N, ἀρcενικῶν V ‖ **28** ἄλλοc N, ἄλλο V | τὸν ἄλλον] τὸ ἄλλο V, τὸ ἄλλοc N | τὸ ἄλλον V, τὸν ἄλλον N ‖ **29** δέδοται *om* N

μὲν η̄ εἰς ᾱ τρέπουσα, τὸ δὲ ᾱ ἄτρεπτον διαφυλάττουσα, τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ· τὸ δὲ ε̄ οὕτω· πᾶσα δοτικὴ ἑνικῶν εἰς ῑ ἐκφωνούμενον λήγουσα τροπῇ τοῦ ῑ εἰς ε̄ τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ· τὸ δὲ ω̄ οὕτω· πᾶσα δοτικὴ ἑνικῶν εἰς ῳ̄ λήγουσα ἐκβολῇ τοῦ ἀνεκφωνήτου ῑ τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ.

Πληθυντικῶν δὲ τέσσαρα, ῑ σ̄ ᾱ η̄.] Τεσσάρων ὄντων τῶν τελικῶν ἐν τοῖς πληθυντικοῖς τὸ μὲν ῑ καὶ σ̄ ἐκ τῆς εὐθείας τῶν δυϊκῶν γίνεται, τὰ Μούσα αἱ Μοῦσαι, τὼ ἀνθρώπω οἱ ἄνθρωποι, τὼ ἔρωτε οἱ ἔρωτες· τὸ δὲ ᾱ φυσικῶς προέρχεται, τὰ παιδία, τὰ βιβλία· τὸ δὲ η̄ κατὰ συναίρεσιν, ⟨τὰ βέλεα, τὰ βέλη⟩.

Διὰ τί μετὰ τὰς διαιρέσεις τῶν στοιχείων περὶ τελικῶν ὁ τεχνικὸς διαλαμβάνει; Ὅπως γνῶμεν τὴν τῶν τελικῶν ⟨τῶν⟩ ὀνομάτων χρῆσιν· ὅσα γὰρ μὴ φαίνονται τὴν τούτων κατάληξιν ἔχοντα, πάντα βάρβαρα δείκνυται, ὡς τὰ ὀνόματα τῶν παρ' Αἰγυπτίοις ⟨μηνῶν⟩· πλὴν τοῦ νεφεληγερέτα· τοῦτο γὰρ κατὰ ποιητικὴν ἐξουσίαν ἐγένετο. — Ποῖα στοιχεῖα ποίων προηγοῦνται; Ψιλὰ ψιλῶν ἡγοῦνται καὶ δασέα δασέων καὶ μέσα μέσων· ψιλὰ μὲν ψιλῶν, οἷον κτύπος, δασέα δὲ δασέων, οἷον ἰχθύς, μέσα δὲ μέσων, οἷον ἕβδομος ὄγδοος.

§ 7 (8b).

Περὶ συλλαβῆς.

Erotemata amplissima praebet V, *quorum loco* N *habet artis verba* Συλλαβή — ὑποβέβληται (*16, 7—23, 3 Uhl.*).

Φασί τινες οὐ καλῶς *etc.* = Σ^{v} 204, 25—205, 4.

⟨*Heliodori.*⟩ — Συλλαβή ἐστι κατὰ Ἀριστοτέλην φωνὴ ἄσημος συγκειμένη ἀπὸ φωνήεντος καὶ ἀφώνου, ἢ φωνηέντων καὶ ἀφώνου, ἢ φωνήεντος καὶ ἀφώνων. Ὁ δὲ Διονύσιος λέγει τὸν ὅρον τοῦτον τῆς συλλαβῆς τὸν δηλοῦντα κυρίως εἶναι συλλαβὴν τὴν συλλαμβάνουσαν σύμφωνα καὶ φωνήεντα, καὶ λέγει συλλαβὴν εἶναι σύλληψιν συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων (ἡ γὰρ σύν πρόθεσις δυάδος ἐστὶ κατήγορος), ἀπὸ τῆς λήψεως [ἤτοι τῆς συλλαβῆς] καὶ συλλήψεως καὶ κράσεως δηλονότι ⟨τῶν συμφώνων καὶ⟩ τῶν φωνηέντων· διὰ γὰρ τούτων συνίσταται πᾶσα συλλαβή. Ἡ δὲ ἐξ ἑνὸς φωνήεντος οὐκ ἂν εἴη κυρίως συλλαβή, ἀλλὰ καταχρηστικῶς, τουτέστι καταχρηστικώτερον εἴρηται καὶ ἡ ἐξ ἑνὸς φωνήεντος ⟨συλλαβή⟩.

Εἰ δὲ ἀκριβῶς τις ἐπισκέψαιτο *etc.* = Σ^{d} 48, 7—49, 8.

Εἰ δὲ εἴποις, ὡς οὐχ ὑποπίπτουσιν αἱ μονογράμματοι συλλαβαὶ τῷ ὅρῳ — σύλληψιν γὰρ οὐκ ἔχουσιν — μάνθανε ὡς ἀπὸ τοῦ πλεονά-

23—33 *videntur esse* Σ^{h} ‖ **35—345, 5 simillima hab. et.** Σ^{l}

1 διαφυλ. V, φυλάττουσα N ‖ **8** αἱ N, ὦ V ‖ **11—17** *om* N ‖ **11** διαιρέσεις] εὑρέσεις V ‖ **23** κατὰ Ἀριστοτ.] *cfr Aristot. Poet. 1456*[b] *34, qui locus his verbis emendatur* ‖ **27** σύμφωνον καὶ φωνῆεν VN ‖ **29** ἀπὸ — κράσεως V, παρὰ τὴν λῆψιν καὶ σύλληψιν καὶ κρᾶσιν N ‖ **31** Ἡ V, εἰ N

Ζοντός ἐστιν ὁ ὅρος· ἄπειροι γὰρ αἱ σύλληψιν ἔχουσαι, ὀλίγαι δὲ καὶ ἑπτὰ μόναι αἱ μονογράμματοι, ὅσα καὶ τὰ φωνήεντα· καὶ εἴωθε τὸ πλέον ἐπικρατεῖν πάντοτε· καὶ δεῖ τὴν μὲν κυρίως, τὴν δὲ καταχρηστικῶς καλεῖν συλλαβήν. Καλῶς οὖν ἠτυμολόγησε τὴν συλλαβὴν εἰπὼν σύλληψιν.

Χρὴ γινώσκειν, ὅτι ἡ συλλαβὴ ἀπὸ μονογραμμάτων ἕως ἑξαγραμμάτων προκόπτει, καὶ περαιτέρω οὐδαμῶς, οἷον α̅ β̅α̅ c̅τ̅α̅ c̅τ̅ρ̅α̅ c̅τ̅ρ̅ο̅υ̅ cτράγξ· καὶ γὰρ τέλειος ἀριθμὸς ὁ ἕξ, ὡς ἔχων ἀπηρτισμένα καὶ ὑγιῆ ἑαυτοῦ τὰ μέρη ἐξ ὧν συνέστηκε· τὸ γὰρ ἥμισυ τῶν ἓξ τρία, καὶ τὸ τρίτον δύο, ἰδοὺ πέντε, καὶ τὸ ἕκτον ἕν· τῶν τοίνυν μερῶν αὐτοῦ ὑγιῶν ὄντων εἰκότως προτετίμηται τοῖς ἀριθμηταῖς καὶ τέλειος ἐκλήθη· ταύτῃ τοι καὶ τὸ ἡρωικὸν μέτρον προτετίμηται τῶν ἄλλων, ἐπειδὴ ἑξάμετρόν ἐστιν. Ὅσοι γοῦν ἑπταγράμματόν φασιν εἶναι συλλαβήν, βιαζόμενοι τὸ στράγξ πταίουσιν, ἐπειδὴ καὶ χρῆσιν οὐκ ἔχουσι καὶ ὑπὸ λόγου κωλύονται· οὐδέποτε γὰρ συλλαβὴ εἰς δύο σύμφωνα λήγουσα διφθόγγῳ παραλήγεται· καὶ ὅτι ἑξαγράμματον μὲν εὑρίσκομεν συλλαβὴν ἐν μέσῳ λέξεως, ὡς ἐν τῷ αἰσχρουργός, ἑπταγράμματον δὲ οὐδέποτε. — Πάλιν τε ἰστέον, ὡς πᾶσα συλλαβὴ εἰς δύο σύμφωνα λήγουσα τελικὸν ἔχει ἢ τὸ ξ̅ ἢ τὸ c̅, παρατέλευτον δὲ ἓν τῶν ἀμεταβόλων· καὶ κατὰ τοῦτον τὸν λόγον οὐκ ἂν εἴποις τῆς ἀρνός γενικῆς εὐθεῖαν εἶναι τὴν ἄρν, ἀλλὰ τὴν ἄρην, εἶτα ἄρενος τὴν γενικήν, καὶ κατὰ συγκοπὴν ἀρνός. Πῶς οὖν ἐν τῷ Cφίγξ καὶ στράγξ, εἰ τελικὸν τὸ ξ̅, οὐ παραλήγεταί τι ἀμετάβολον; Ῥητέον ὅτι τὸ ξ̅ ἐπενεχθὲν ἔτρεψε τὸ ν̅ εἰς τὸ γ̅. — Ἰστέον δὲ καὶ ὅτι πᾶσα συλλαβὴ ἀπὸ τριῶν ἀρχομένη συμφώνων τὸ μὲν δεύτερον ἄφωνον ἔχει, τὸ δὲ τρίτον ἀμετάβολον, οἷον σκῆπτρον ἰσχνός. Εὐλόγως οὖν ἐν τῷ τέτυπται διὰ μετοχῆς ἐκφέρομεν τὸ πληθυντικὸν τρίτον πρόσωπον, μὴ δυνάμενοι πρὸ τοῦ τ̅ θεῖναι τὸ ν̅, ὡς ἐπὶ τοῦ νενόηται νενόηνται, διὰ τὸν προειρημένον κανόνα, ᾧ πειθόμενοι οὐκ ἂν Ζητήσαιμέν ποτε ἐν τῷ τέτυπται προσθέσει τοῦ ν̅ ποιῆσαι τὸ πληθυντικὸν τρίτον πρόσωπον, καὶ ἀποτελέσαι συλλαβὴν διὰ τοῦ π̅ν̅τ̅ ἐκφερομένην, ὅπερ ἄτοπον. — Πάλιν ἰστέον ὡς πᾶσα συλλαβὴ ἀπὸ φωνήεντος ἀρχομένη καὶ τὴν πρὸ αὐτῆς ἔχει εἰς φωνῆεν λήγουσαν, οἷον θεός· καὶ κατὰ τοῦτον τὸν λόγον οὐ δύναται τοῦ χηναλώπηξ τὸ ν̅ τῆς πρώτης συλλαβῆς εἶναι καταληκτικόν, ἀλλὰ τῆς δευτέρας ἀρκτικόν. Καὶ τοῦτο δὲ ἰστέον ὅτι πᾶσα συλλαβὴ εἰς σύμφωνον λήγουσα καὶ τὴν ἑξῆς ἔχει ἀπὸ συμφώνου ἀρχομένην. — Γνωστέον δὲ καὶ τοῦτο, ὅτι συλλαβὴ μὲν

6—346, 3 hab. et. Σ^1

6 μονογραμμάτου ἕως ἑξαγραμμάτου Σ^1 ‖ **9** αὐτοῦ VNA ‖ **14** ἐπειδὴ — **346, 3** *om* E | χρῆσιν] πτώσεις VN, πτῶσιν A | ὑπὸ A, ἀπὸ VN ‖ **19** *post* ξ̅ *add* ἢ τὸ ψ̅ V, *om* N ‖ **20** ἄρν] ἄρς VN, ἄρνα A ‖ **21** ἄρην εἶτα ἄρενος N, ἄρρην εἶτα ἄρρηνος V, ἄρην τῆς ἄρηνος A | Πῶς — γ̅ (**23**) A, *om* VN ‖ **22** τι] τὸ A ‖ **26** Εὐλόγως — ἀρχομένην (**36**) A, *om* VN ‖ **28** τῶν προειρημένων κανόνων A ‖ **36** δὲ NA, οὖν V

ἡ μεγίστη γραμμάτων ἕξ, ὡς τὸ στράγξ, ὄνομα δὲ τὸ μέγιστον συλλαβῶν ἕξ, οἷον Ἀγαμεμνονίδης· τούτου γὰρ μεῖζον οὐκ ἔστι, πλὴν εἰ μὴ ἐκ διαφόρων εἴη συντεθέν· μέτρον δὲ τὸ τέλειον ποδῶν ἕξ· τέλειος γὰρ ὁ ϛ̄ ἀριθμός, καθὼς καὶ Εὐκλείδης ἐν τοῖς ἀριθμητικοῖς ὡρίσατο εἰπών ⟨VII ὅρος κγ′; Prot. IX 36⟩ «τέλειος ἀριθμὸς ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος»· ἐξ ὧν καὶ ὁ ϛ̄ συμπλέκεται. Ἔστι δὲ τὸ τέλειον μέγεθος τῆς συλλαβῆς, ὡς προείρηται, μέχρις ϛ̄ γραμμάτων, τὸ δὲ ἐλάχιστον ἕως ἑνός, οἷον στράγξ στρου στρα βους καρ βα α̅· ἔστι δὲ Κάρ *etc.* = **Σ**[v] 205, 7—11.

⟨*Heliodori.*⟩ — Οἱ δὲ ὡρίσαντο οὕτως· «συλλαβή ἐστι συμπλοκὴ στοιχείων κατάλληλος ὑφ᾽ ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη». Ἄλλοι δὲ ὧδε· «συλλαβή ἐστι συμπλοκή στοιχείων κατάλληλος μετὰ φωνήεντος ἢ φωνηέντων χηρεύουσα νοῦ». Πάλιν δέ, ὡς προείπομεν, μέγεθος συλλαβῆς ἀπὸ μονογραμμάτου ἕως ἑξαγραμμάτου, ὡς ὁ στίχος ἕως ϛ̄ ποδῶν διὰ τὸν χρησμόν· «ἑξαμέτρων ἐπέων μέτρα μείζονα μηδένα τίκτειν». Τρύφων δὲ ἐβούλετο καὶ ἑπταγράμματον λέξιν δεῖξαι ἤγουν συλλαβήν, τὴν στράγξ διὰ τῆς ᾱͅ διφθόγγου γράφων· ᾧ μάχεται καὶ ἡ χρῆσις καὶ ἡ ἀναλογία· οὐδὲν γὰρ ὄνομα εἰς δύο σύμφωνα λῆγον δίφθογγον ἔχει πρὸ αὐτῶν, οἷον ἅλς Τίρυνς σάρξ ζόρξ, οὐδὲ συγκοπέν, οἷον μάκαρς περίηρς παρὰ Ἀλκμᾶνι ⟨fragm. 149 B[4]⟩· πίστις δὲ τοῦ λόγου τὸ Αἰολικὸν χέρς, ὃ χείρ γεγονὸς ἐξέβαλε μὲν τὸ ς̄, προσέλαβε δὲ τὸ ῑ. Οὐδέποτε δὲ συλλαβὴ εἰς τρία σύμφωνα λήγει, ἀλλ᾽ εἰς δύο, ἄρχεται δὲ ἔσθ᾽ ὅτε ἀπὸ τριῶν. Οὐδεμία δὲ συλλαβὴ ἐκ τριῶν φωνηέντων συνίσταται· διὸ ⟨ἐν τῷ⟩ Σιμόεις Σιμοῦς τὸ ῑ ἀποπίπτει. Ἐὰν εἰς σύμφωνον λήγῃ συλλαβή, τὸ ζ̄ τῆς ἑξῆς ἀρκτικὸν οὐκ ἔσται, εἰ μὴ βάρβαρος εἴη λέξις, οἷον Ἀριοβαρζάνης, ἢ σύνθετος, ὡς τὸ μελάνζοφος παρὰ Σιμωνίδῃ ⟨ubi?⟩. Ἰστέον ὅτι τῶν συλλαβῶν αἱ μέν εἰσι μακραί, αἱ δὲ βραχεῖαι, αἱ δὲ κοιναί. Καὶ χρὴ γινώσκειν, ὅτι τὴν πρὸς ἄλληλα δέχονται σχέσιν· καὶ τὸ μὲν μακρὸν πρὸς τὸ βραχὺ ἔχει τὴν σχέσιν, τὸ δὲ βραχὺ πρὸς τὸ μακρόν, ἡ δὲ κοινὴ τῶν πρός τί ἐστι καὶ πρὸς τὰς ἄλλας δύο ἔχει τὴν σχέσιν· μακρᾶς γὰρ καὶ βραχείας μετέχουσα εἴρηται ⟨κοινή⟩, ὥσπερ φαμὲν οἶκον κοινὸν δύο ἀδελφῶν.

§ 8 (9b).

Περὶ μακρᾶς συλλαβῆς.

Τί ἐστι μακρὰ συλλαβή; Ἡ ἔχουσα μακρὸν φωνῆεν ἢ μηκυνόμενον, ἢ μίαν τῶν διφθόγγων, ἢ δίχρονον ἐκτεταμένον, ἢ φωνῆεν βραχὺ ἢ βραχυνόμενον διπλοῦ ἐπερχομένου ἢ δύο συμφώνων. Ποῖόν ἐστι τὸ βραχὺ καὶ ποῖον τὸ βραχυνόμενον;

10—32 *videntur esse* **Σ**[h] || **27—32 similia hab. et. Σ**[l]

11 ὑφ᾽ ἕνα — κατάλληλος (**12**) V, *om* N || **16** καὶ ἑπταγράμματον] ἑξάμετρον V, καὶ ἑξαγράμματον N || **22** δὲ συλλ.] γὰρ συλλ. VN || **25** λήγῃ N, *om* V || **32** μετέχουσα — κοινή] εἴρηται μέση VN || **35—347, 6** *om* N

Τὸ ε καὶ τὸ ο βραχέα, βραχυνόμενον δὲ λέγεται τὸ ᾱ ῑ ῡ τὰ cυcτελλόμενα δίχρονα. Κατὰ πόcουc τρόπουc γίνεται ἡ μακρὰ cυλλαβή; Κατὰ ὀκτώ, φύcει μὲν τρεῖc, θέcει δὲ πέντε· καὶ φύcει μὲν ἤτοι ὅταν διὰ τῶν μακρῶν cτοιχείων ἐκφέρηται, οἷον ἥρωc, ἢ ὅταν ἔχῃ μίαν τῶν διφθόγγων, οἷον Αἴαc, ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ ἔκταcιν παραλαμβανόμενον, οἷον Ἄρηc, ὡc τὸ ⟨Ε 31. 455⟩ Ἆρεc Ἄρεc, βροτολοιγέ, μιαιφόνε, τειχεcιπλῆτα.

⟨*Heliodori.*⟩ — Μακρὰ cυλλαβὴ γίνεται κατὰ τρόπουc ὀκτώ.] Ἡ μακρὰ cυλλαβὴ γίνεται κατὰ ὀκτὼ μεταcχηματιcμοὺc καὶ τρόπουc ῥυθμῶν. Φαίνεται δὲ ὁ τεχνικὸc ὡc ἐκ τοῦ πλεονάζοντοc εἰπὼν τὸ «γίνεται»· ὀλιγάκιc μὲν γὰρ ἔcτιν ἡ μακρὰ cυλλαβή, πολλαχῶc δὲ γίνεται. Καὶ «φύcει μὲν τρεῖc, θέcει δὲ πέντε». Ἀπὸ κοινοῦ δεῖ λαμβάνειν ⟨τὸ «κατὰ⟩ τρόπουc», ἵν' ᾖ ὁ λόγοc οὕτω· φύcει μὲν καὶ ἀληθείᾳ κατὰ τρόπουc τρεῖc, θέcει δὲ καὶ ἐπιτεχνήcει κατὰ τρόπουc πέντε μακρὰ cυλλαβὴ γίνεται. «Καὶ φύcει μὲν ἤτοι ὅταν» ἕωc τοῦ «οἷον Αἴαc.» Τρεῖc εἰcι τρόποι τῆc φύcει μακρᾶc, πρῶτοc μὲν ὁ διὰ τῶν μακρῶν, δεύτεροc δὲ ὁ διὰ τῶν διχρόνων, τρίτοc ὁ διὰ τῶν διφθόγγων.

Οὐχ ὡc ἔτυχε δὲ ὁ τεχνικόc *etc.* = Σ^v 205, 16—206, 9.

⟨*Heliodori.*⟩ — Ἐζήτηcαν δέ τινεc λέγοντεc, εἰ τὰ δίχρονα ἀμφίβολον ἔχουcι τὸν χρόνον πότερον αὐτὸν ἐκτεταμένον ἔχουcιν ἢ οὔ, αἱ δὲ δίφθογγοι ἀναμφιβόλωc μακραὶ τυγχάνουcι, πῶc καὶ διὰ τί προέταξεν ὁ τεχνικὸc τὰ ἀμφίβολα τῶν ἀναμφιβόλων; Πρὸc οὓc ἀπολογούμενοί τινεc εἰρήκαcιν, ὅτι διὰ τοῦτο προετάγηcαν τὰ δίχρονα τῶν διφθόγγων, καθὸ τὰ μὲν δίχρονα οὐκ ἐκ cυνθέcεωc ἀλλ' ἐκ φύcεωc ἔχουcι τὸ μακρόν, αἱ δὲ δίφθογγοι οὐκ ἐκ φύcεωc ἀλλ' ἐκ cυνθέcεωc· πολὺ δὲ κρείττω τὰ ἐκ φύcεωc τὸ μακρὸν ἔχοντα τῶν ἐκ cυνθέcεωc. Καὶ πάλιν εἰ τὰ δίχρονα ποτὲ μὲν ἐκτείνεται, ποτὲ δὲ cυcτέλλεται, πῶc φύcει μακρὰ αὐτὰ εἶπε; Πρὸc οὓc πάλιν οἱ αὐτοὶ οὕτωc ἀπελογήcαντο, ὡc ἐξ ἀρχῆc μὲν ἔcχον ἐκ φύcεωc τὸ ἐκτείνεcθαι καὶ cυcτέλλεcθαι, οὐ κατὰ ταὐτὸν δέ, ἀλλὰ ποτὲ μὲν ἐκτείνεcθαι, ποτὲ δὲ cυcτέλλεcθαι· καὶ οὐκ ἄτοπον ἐν μὲν τῇ ἐκτάcει ⟨φύcει⟩ μακρὰ αὐτὰ λέγειν, ἐν δὲ τῇ cυcτολῇ φύcει βραχέα, ὥc που καὶ τὸν Ἀπόλλωνα ποτὲ μὲν Πύθιον ἀπὸ τοῦ πύθειν ἤγουν cήπειν λέγομεν, ποτὲ δὲ κουροτρόφον· ἀλλὰ κουροτρόφον μὲν προcαγορεύομεν, ἐφ' ὅcον τὴν θρεπτικὴν αὐτοῦ δύναμιν ἐνδεικνύμενον περὶ τὴν ἡλικίαν τῶν παίδων θεώμεθα, ὅταν δὲ τὴν φθαρτικὴν ἔχοντα καὶ μηκέτι τὴν ἑτέραν ἐνδεικνύμενον, Πύθιον αὐτόν φαcιν εἶναι.

7—16 *videntur esse* Σ^h ‖ 9—11 hab. et. Σ^l ‖ 18—35 hab. et. A, *sed partim decurtata; videntur esse* Σ^h

7 Μακρὰ — ὀκτώ N, *om* V ‖ 9 τοῦ *add* Σ^l ‖ 13 τρ. πέντε N, πέντε τρ. V ‖ 14 Αἴαc N, ἄρηc V (*omnia artis verba dat* N) ‖ 19 αἱ δὲ A, εἰ δὲ αἱ VN ‖ 20 ἀναμφιβόλωc NA, ἀμφιβόλωc V ‖ 22 ὅτι *add* A ‖ 26 πῶc — ἀπελογ. (27) VN, φύcει μακρὰ αὐτὰ εἴπωμεν. φαμὲν οὖν A ‖ 35 A *add*: ὁρῶμεν δὲ ἐπὶ τῶν ἄλλων τὸ αὐτό· καὶ γὰρ ἥλιοc τὰ μὲν λύει, τὰ δὲ ξηραίνει

Ζητεῖται δέ, εἰ ἔξεστι τὰ δίχρονα διὰ παντὸς ἐκτείνειν, ὡς καὶ τὰς διφθόγγους. Καὶ λεκτέον *etc.* = Σ^v 206, 15—207, 2.

Καὶ εἴποι ἂν τις χαριέντως καταν. *etc.* = Σ^d 49, 15—50, 10.

⟨*Heliodori.*⟩ — Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο σύμφωνα, οἷον ἀγρός.] Ὁ δεύτερος, φησί, τρόπος τῆς θέσει μακρᾶς συλλαβῆς δείκνυται, ὅταν βραχεῖ ἢ βραχυνομένῳ διχρόνῳ — τοῦτο γὰρ λείπει — ἐπιφέρηται τῆς ἑξῆς συλλαβῆς δύο σύμφωνα, οἷον ἀγρός Ἕκτωρ· «βραχεῖ» δὲ εἶπεν ἢ τῷ ε̄ ἢ τῷ ο̄, «βραχυνομένῳ» δὲ ἑνὶ τῶν διχρόνων. Ἀντιλέγουσι δέ τινες ἐνταῦθα λέγοντες, ὅτι οὐκ ἔστιν αὕτη ἐπιφορὰ δύο συμφώνων, ἀλλὰ κατάληξίς τε καὶ ἐπιφορά· διὰ τί γὰρ μὴ ἐν τῷ ἀγρός ἡ πρώτη συλλαβὴ εἰς γ̄ λήγει, καὶ τὸ ρ̄ τῆς ἑτέρας ἀρκτικόν; Πρὸς οὓς λέγομεν, ὅτι τεχνικὸς λόγος κωλύει ἐν τῷ Ἕκτωρ καὶ ἐν τῷ ἀγρός ἐπιφέρεσθαι τὰ σύμφωνα κατὰ λῆξιν καὶ ἐπιφοράν· φησὶ γὰρ οὗτος· τὰ τινῶν προηγούμενα κατὰ σύλληψιν οὐκέτι τῶν αὐτῶν προηγεῖται κατὰ διάστασιν· οἷον προηγήσατο τὸ κ̄ τοῦ ρ̄ ἐν τῷ «κρῖ λευκόν» καὶ ἐν τῷ κρήδεμνον κατὰ σύλληψιν, καὶ οὐκέτι προηγεῖται αὐτοῦ κατὰ διάστασιν ἐν τῷ ἄκρος Τεῦκρος· καὶ ⟨ἐν⟩ τῷ γρυπός καὶ ἐν τῷ γραῦς προηγεῖται τὸ γ̄ τοῦ ρ̄ κατὰ σύλληψιν, καὶ οὐκέτι προηγεῖται αὐτοῦ κατὰ διάστασιν ἐν τῷ ἀγρός λυγρός· καὶ πάλιν τὰ προηγούμενα τινῶν κατὰ σύλληψιν τούτοις οὐδέποτε ὑποτάσσεται κατὰ σύλληψιν, ἀλλὰ κατὰ λῆξίν τε καὶ ἐπιφοράν· οἷον ἐν τῷ τρόπος προηγήσατο τὸ τ̄ τοῦ ρ̄ κατὰ σύλληψιν, καὶ οὐκέτι ὑποτάσσεται αὐτῷ κατὰ σύλληψιν, ἀλλὰ κατὰ λῆξιν καὶ ἐπιφοράν, ὡς ἐν τῷ ἄρτος κέκαρται. Σαφῶς τοίνυν ἐν οἷς ὁρᾶται τὸ γ̄ τοῦ ρ̄ προηγούμενον κατὰ σύλληψιν ἐν τῷ Γραικός καὶ τῷ γραφεύς, ἐν τούτοις οὐκέτι αὐτοῦ τοῦ ρ̄ προηγεῖται τὸ γ̄ κατὰ διάστασιν, ὡς ἐν τῷ ἀγρός καὶ τοῖς ὁμοίοις· καὶ ἅπαξ προηγήσατο τὸ γ̄ τοῦ ρ̄ κατὰ σύλληψιν, καὶ οὐκέτι τούτῳ ὑποτάσσεται κατὰ σύλληψιν, ἀλλὰ κατὰ λῆξίν τε καὶ ἐπιφοράν, ὡς ἐν τῷ ἀργός Ἀργειφόντης.

Ἢ ὅταν εἰς ἁπλοῦν σύμφωνον λήγῃ *etc.* = Σ^v 207, 10—208, 6.

§ 9 (10b).

Περὶ βραχείας συλλαβῆς.

Τί ἐστι βραχεῖα συλλαβή; Ἡ ἔχουσα βραχὺ φωνῆεν μὴ ἐκτεινόμενον κατὰ κοινὴν συλλαβήν. Κατὰ πόσους τρόπους γίνεται ἡ βραχεῖα συλλαβή; Κατὰ δύο· κατὰ βραχεῖαν συλλαβὴν τὴν ἔχουσαν φύσει βραχὺ φωνῆεν, οἷον βρέφος λόγος· ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ συστολὴν παραλαμβανόμενον, οἷον Ἄρης. Πόθεν συλλαβή; Ἐκ τῆς σύν προθέσεως καὶ τοῦ λήβω, ὃ δηλοῖ τὸ λαμβάνω· καὶ ὤφειλε γρά-

---

4—29 *videntur esse* Σ^h

14 τῶν N, *om* V || **22** καὶ N, *om* V || **29** ἀργός N, ἀγρὸς V || **33—349, 3** *om* N || **37** *ad* λήβω *cfr CGG IV 2 p. 20, 7 et 77, 27*

φεcθαι διὰ τοῦ ν̄, ἀλλὰ πᾶcα cυλλαβὴ εἰc ν̄ λήγουcα, ἐὰν cυντεθῇ μεθ' ἑτέρας cυλλαβῆς ἀρχομένης ἀπὸ τοῦ λ̄ ἢ ρ̄ ἢ c̄, εἰc αὐτὸ τρέπει τὸ ν̄, οἷον cυλλαβὴ cυρράπτω cύccωμοc.

⟨*Heliodori.*⟩ — Βραχεῖά ἐcτι cυλλαβὴ ἡ ἔχουcα βραχὺ φωνῆεν ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλουc λέξεωc, οὕτωc ὡc μεταξὺ αὐτῆc καὶ τοῦ ἑξῆc φωνήεντοc μὴ ὑπάρχειν πλείονα cύμφωνα ἢ ἓν ἁπλοῦν, ἀλλ' ἤτοι ἓν ⟨ἁπλοῦν⟩ ἢ μηδὲ ἕν· πρόcκειται «μὴ ἐπὶ τέλουc λέξεωc» διὰ τὰc κοινὰc cυλλαβὰc καὶ θέcει μακράc· ἐν γὰρ τῷ ⟨Ξ 1⟩ Νέcτορα δ' οὐκ ἔλαθεν καὶ ἐν τῷ ⟨Φ 352⟩ τὰ περὶ καλὰ ῥέεθρα ἐπὶ τέλουc οὖcαι ἡ θ̅ε̅ν̅ καὶ ἡ τά κοιναὶ προcηγορεύθηcαν. Ἁπλῆ γοῦν τίc ἐcτιν ἡ βραχεῖα cυλλαβή, καὶ οὐ πολλῶν δεῖται λόγων περιπλοκῆc, καθάπερ ἡ μακρὰ cυλλαβή. Γίνεται γὰρ κατὰ τρόπουc δύο· ἢ γὰρ φύcει βραχέα ὄντα τὰ φωνήεντα τὰc cυλλαβὰc βραχύνει, ἢ βραχυνόμενα τὰ δίχρονα, οὐ χύδην, ἀλλά, καθάπερ καὶ ἐν τῷ περὶ μακρᾶc cυλλαβῆc εἰρήκαμεν, τῇ χρήcει προcανέχοντεc τῶν ποιητῶν.

§ 10 (11b).

Περὶ κοινῆc cυλλαβῆc.

Τί ἐcτι κοινὴ cυλλαβή; Ἡ ὑποκειμένη ταῖc δύο cυλλαβαῖc, τῇ τε μακρᾷ καὶ τῇ βραχείᾳ. Ἄλλωc· κοινή ἐcτι cυλλαβὴ ἡ ποτὲ μὲν μακρὰ ποτὲ δὲ βραχεῖα λογιζομένη. Διὰ τί οὐχ ὡρίcατο τὴν κοινὴν cυλλαβήν ὁ τεχνικόc; Ἐπειδὴ οὐκ ἔcτι κοινὴ cυλλαβή, ἀλλὰ γίνεται· τῶν γὰρ ὄντων εἰcὶν οἱ ὅροι, οὐ τῶν μὴ ὄντων, ἐπειδὴ ὅροc ἐcτὶν ὁ τὸ ὂν cημαίνων τί ἐcτιν.

⟨*Heliodori.*⟩ — Κοινή ἐcτι cυλλαβὴ δυνάμει ἀμφίδοξοc, ποτὲ μὲν ἀντὶ μακρᾶc ποτὲ δὲ ἀντὶ βραχείαc παραλαμβανομένη. Οὐ καλῶc δὲ ὅρον αὐτῆc διδόαcι, τῶν γὰρ ὄντων οἱ ὅροι, οὐ τῶν γινομένων· ὅροc γάρ ἐcτιν ὁ τὸ ὂν τί ἐcτι cημαίνων. Ὅτι δὲ οὐκ ἔcτιν ἡ κοινὴ cυλλαβή, ἀλλὰ γίνεται, δῆλον ἐντεῦθεν· πυνθάνεταί τιc τῶν νέων γραμματικοῦ λέγων οὕτωc· «πῶc ἂν εἴποι τιc, ὦ cοφώτατε, μακρὰν cυλλαβήν;» Καί φηcιν ἐκεῖνοc· «ὧc». «Πῶc δὲ βραχεῖαν;» Καὶ πάλιν ἐρεῖ· «ὅc». Εἰ δὲ ἐπαγάγοι· «κοινὴν δὲ πῶc εἴποι τιc ἄν;» οὐκ ἂν τολμήcειεν ὁ γραμματικὸc εἰπεῖν «ἢ α̅ι̅ ἢ ο̅ι̅ ἢ η̅», μακραὶ γάρ εἰcιν αὗται, καὶ κατεχρηcάμεθα αὐταῖc ἀντὶ βραχειῶν κατὰ τὸν δέοντα καὶ κατεπείγοντα καιρόν. Οὐ δεῖ τοίνυν τῶν μὴ ὄντων παρέχειν ὅρουc ὡc ὄντων.

Ἡ γοῦν κοινὴ cυλλαβὴ τῶν πρόc τι *etc.* = Σ^{v} 208, 18—23.

4—10 similia hab. et. Σ^{l} ‖ **4—15** ***videntur esse*** Σ^{h} ‖ **12—15** = Σ^{v} *208, 11—14* ‖ **23—33 hab. et.** A; ***videntur esse*** Σ^{h}

5 ὡc NΣ^{l}, καὶ V ‖ **6** ἢ ἓν διπλοῦν V, ἑνὸc ἁπλοῦ Σ^{l} | ἀλλ' ἤτοι — λέξεωc (7) *add* Σ^{l} ‖ **7** ἁπλοῦν *om* Σ^{l} ‖ **18—22** *om* N ‖ **27** τῶν — λέγων (28) *om* A | γραμματικῶν VN ‖ **29** ὅc] ο̅c̅ A, ὧc VN ‖ **30** δὲ (*ante* πῶc) NA, *om* V ‖ **32** βραχειῶν] βραχείαc VN, βραχέων A | καὶ κατεπ. *om* A | κατεπείγοντα N, ἐπείγοντα V

Κοινὴ cυλλαβὴ γίνεται κατὰ τρόπους τρεῖc *etc.* = Σ^d 50, 20—51, 13.

⟨*Heliodori.*⟩ — Ῥᾷον μέντοι γίνεται ἡ τοιαύτη κοινή, ἐὰν εἰc μέρος λόγου ᾖ πεπερατωμένη ἡ μακρά· ἡ γὰρ ἀνάπαυcιc διαχωρίζουcα τὰc cυλλαβὰc τρόπον τινὰ μακρᾷ εὐεπέcτερον προcιζάνει. Ἧττον δὲ γενήcεται κοινή, ἐὰν κατὰ τὸ μέcον τῆc λέξεωc ἡ μακρὰ πέcῃ, ὡc ⟨Theocr. 11, 18⟩ παρὰ πόντον ὁρῶν ἄειδε τοιαῦτα· cπανίωc δὲ παρὰ τῷ ποιητῇ, ⟨N 275⟩ οἶδ' ἀρετὴν οἷόc ἐccι· τί cε χρὴ ταῦτα λέγεcθαι; καὶ ⟨Π 235⟩ ἀνιπτόποδεc χαμαιεῦναι, καὶ ⟨ξ 15⟩ cύεc χαμαιευνάδεc ἐρχατόωντο· καὶ ἴcωc διὰ τὸ φαντααcίαν τινὰ παρέχειν ἀπηρτίcθαι τὴν λέξιν ἐν τῷ χαμαί ἐχρήcατο τῇ τοιαύτῃ κοινῇ. Ἐὰν δὲ ἐν τῇ $\overline{\upsilon\iota}$ διφθόγγῳ κοινὴ πέcῃ, τελέωc τραχὺν ποιήcει τὸν cτίχον ἤγουν τὸν ῥυθμὸν τῶν φθόγγων cυνιcτῶcα, ὡc ἐν τῷ ⟨ex. gr. H 47⟩ Ἕκτορ, υἱὲ Πριάμοιο, καὶ ⟨Δ 473⟩ ἔνθ' ἔβαλ' Ἀνθεμίωνοc υἱὸν Τελαμώνιοc Αἴαc.

Τῇ γοῦν κοινῇ cυλλαβῇ κέχρηνται *etc.* = Σ^v 208, 26—209, 4.

Erotemata: de altera ratione communis syllabae; quid sit βραχύ, *quid* βραχυνόμενον.

Ὅταν, φηcίν, ἑνὶ τῶν βραχέων *etc.* = Σ^d 51, 18—31.

⟨*Heliodori.*⟩ — Ἰcτέον δὲ ὡc εἰ μὴ ἔcτι τό τε ἡγούμενον ἄφωνον καὶ τὸ ἑπόμενον ὑγρὸν καθ' ἕν, ὅ ἐcτι κατὰ cύλληψιν καὶ ἐπιπλοκήν, ἀλλὰ τὸ μὲν λήγοιτο, τὸ δὲ ἐπάγοιτο, μακρὰν ποιεῖ καὶ οὐ κοινήν, οἷον ⟨γ 468. ψ 163⟩ ἔκ ῥ' ἀcαμίνθου βῆ δέμαc. Χρὴ τοίνυν ἄμφω ἀρκτικὰ εἶναι τῆc ἑξῆc· cπεύδουcα γὰρ ἐπὶ τὰ φωνήεντα ἡ προφορὰ ὥcπερ ὑφ' ἕνα τόνον τὴν δύναμιν τῶν δύο cυμφώνων ἐκδίδωcιν. «Διὰ τί δὲ δύο ἄφωνα», φαcί τινεc, «ἢ δύο ὑγρὰ οὐ ποιοῦcι κοινήν;» Φαμὲν πρὸc ταῦτα, ὅτι πάντα τὰ ἴcα κἂν ἐλάccονα ᾖ τῶν ἀνίcων λίαν εἰcὶν ἰcχυρότερα, ὡc ἐπὶ ζεύγουc ἡμιόνου καὶ βοὸc καὶ ζεύγουc ἡμιόνων ἀcθενῶν. «Πῶc οὖν», φαcί, «τὸ $\overline{\mu}$ καὶ $\overline{\nu}$ κοινὴν ἐποίηcαν ἐν τῷ ⟨Callim. fr. 27 Sch⟩ τὼc μὲν ὁ Μνηcάρχειοc ἔφη ξένοc;» Πρὸc ὅ φαμεν, ὅτι ἄφωνον πρὸ ὑγροῦ τουτέcτιν ἀμεταβόλου εὑρίcκομεν κατὰ cύλληψιν, οὐδέποτε δὲ πρὸ ὑγροῦ ὑγρόν, εἰ μὴ μόνον τὸ $\overline{\mu}$ ⟨πρὸ⟩ τοῦ $\overline{\nu}$, ὅπερ ὡc ἀφώνου τάξιν ἐπέχον κοινὴν ποιεῖ, τὼc μὲν ὁ Μνηcάρχειοc

---

2—14 hab. et. Σ^l (*seu* A); *videntur esse* Σ^h ‖ **19—351, 13 hab. et.** A; *videntur esse* Σ^h

2—10 (**κοινῇ**) *add* Σ^l (*seu* A) ‖ **2** ῥᾶον E, ῥάων A ‖ **4** μακρᾷ — προcίζ. A, μακρὰ γίνεται E | Ἧττον — Αἴαc (**14**) *om* E | ἥττων A ‖ **5** μακρὰ] κοινὴ A ‖ **6** παραιπόντον A, ἐc πόντον *Theocr.* ‖ **9** χαμαιευνάδαι A ‖ **11** τελέωc A, πέλεθροc VN ‖ **12** cτίχον VN, λόγον A | ἤγουν — cυνιcτ. *om* A | cυνιcτῶντα V ‖ **14** VN *add*: καὶ οἷόc ἐcτι κἀκεῖνοc ⟨Γ 363⟩ τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεcε χειρόc ‖ **16** *seq*: *Erotemata om* N ‖ **22** βῆ — ἐκδίδωcιν (**24**) *add* A ‖ **25** *ante* ἄφ. *add* cύμφωνα VN ‖ **31** πρὸ — ὑγρόν VN, ἀμετάβολον ἀμεταβόλου A | μόνον *add* A | τὸ $\overline{\mu}$ τοῦ $\overline{\nu}$ VN, τὸ $\overline{\mu\nu}$ A ‖ **32** τὼc — Καλλ. (**351, 1**) *om* A | τὼc] οὕτω VN

ἔφη ξένος, ⟨ὥς⟩ φησιν ὁ Καλλίμαχος. Πῶς οὖν πάλιν καὶ τοὐναντίον τὸ π̄τ̄ κοινὴν ἐργάζεται, ὡς ἐν τῷ ⟨δ 229⟩ Αἰγυπτίη, τῇ πλεῖστα φέρει;» Πρὸς ὃ πάλιν φαμέν, ἐπειδὴ ἄμφω ἄγαν εἰσὶν ἀσθενῆ· οὐ μόνον γὰρ ἄφωνα τυγχάνουσιν, ἀλλὰ καὶ ψιλά, ἅπερ πάντων τῶν στοιχείων ὑπάρχουσιν ἀσθενέστερα· εὑρίσκονται γὰρ ἐν συμφώνοις, ἅπερ ἥττονά ἐστι τῶν φωνηέντων, συναριθμούμενα, καὶ ἄφωνα, ἅπερ ἀσθενέστερά εἰσι τῶν ἡμιφώνων· ὁρῶνται καὶ ἐν ψιλοῖς, ἅπερ ἰσχνότερά εἰσι τῶν δασέων καὶ τῶν μέσων. «Πῶς οὖν», ἐπάγουσι, «πάλιν τὸ σ̄κ̄ κοινὴν εἰργάσατο, ὡς ἐν τῷ ⟨Φ 305⟩ οὐδὲ Σκάμανδρος ἔληγεν, καὶ τὸ ζ̄ διπλοῦν ὂν ἐν τῷ ⟨Β 634⟩ οἵ τε Ζάκυνθον ἔναιον;» Πρὸς οὕς φαμεν, ἐπειδὴ ἀνάγκη ἦν πάντως τὰ ὀνόματα ἐντεθῆναι τῇ ποιήσει, ἃ πάντως ἐντιθέμενα χωλὸν εἰργάζετο τὸν στίχον· καὶ διὰ τὸ χρειῶδες μέτρου κατεφρόνησεν ὁ ποιητής.

Τῶν δὲ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφ. *etc.* = Σ^d 52, 1—56, 14.

Ἢ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ *etc.* = Σ^v 209, 19—30.

⟨*Heliodori.*⟩ — Ὁ γὰρ τρίτος τρόπος τῆς κοινῆς συλλαβῆς οὗτος, ὅταν βραχεῖα οὖσα ἀπαρτίζῃ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην· ὑπόδειγμα δὲ τούτου τὸ ⟨Ξ 1⟩ Νέστορα δ᾽ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης· τὸ γὰρ θ̄ε̄ν̄ ῑᾱ δάκτυλος οὕτω γίνεται, ὅτι βραχεῖα οὖσα ἡ θ̄ε̄ν̄ συλλαβὴ ἀπήρτισεν εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην τοῦ ῑ, καὶ κατὰ μὲν τὸν λόγον τοῦτον μακρά· βραχεῖα δέ, ὅτι τὸ ε̄ βραχύ ἐστι φύσει. Ἡρωδιανῷ δὲ καὶ Ἡλιοδώρῳ ἀρκέσει οὐ μόνον οὗτος ὁ τρόπος· ἀλλὰ κἂν ἀπὸ ἀμεταβόλου ἄρχηται ἡ ἑξῆς συλλαβή, ὡς τὸ ⟨Π 358⟩ Αἴας δ᾽ ὁ μέγας αἰὲν ἐφ᾽ Ἕκτορι χαλκοκορυστῇ· καὶ γὰρ ο̄ μ̄ε̄γ̄ᾱς̄ ἔχει μὲν τὸ ο̄ ἀπαρτίσαν εἰς μέρος λόγου, ἄρθρον γάρ ἐστι τὸ ὁ, τὴν δὲ ἑξῆς ἀπὸ ἀμεταβόλου ἀρχομένην τοῦ μ̄. Ἄλλοι δέ φασιν, ὅτι ἐν τοῖς τοιούτοις ἔπεσιν, ἐν οἷς ἀμετάβολον εὑρίσκεται, ἀναδιπλασιάζειν τὸ ἀμετάβολον δεῖ, ὡς τὸ ⟨ex. gr. Γ 424⟩ φιλομμειδής. Πρὸς δὲ τοῦτο ἐκεῖνο ῥητέον, ὅτι τοῦτο αὐτὸς ὁ ποιητὴς ἀνεδιπλασίασε καθ᾽ ἕτερον λόγον, δηλονότι ἀνεδιπλασίασεν αὐτό, καθὸ οὐκ ἀπήρτισεν εἰς μέρος λόγου, διὰ τὸ μέτρον· καὶ πάλιν τοῦ ⟨ex. gr. Θ 440⟩ ἐννοσίγαιος ἀνεδιπλασίασε τὸ ν̄, ἐνοσίγαιος γὰρ ἦν δι᾽ ἑνὸς ν̄, ἔνοσις γὰρ ἡ κίνησις, καὶ ἐνοσίγαιος ὁ τὴν γῆν κινῶν. Καὶ πάντα γοῦν τὰ τοιαῦτα ὅσα

16—352, 4 *videntur esse* Σ^h ‖ **27—352, 4 similia hab. et.** A

1 φησὶν ὁ Καλλ. *post* πάλιν *trsp.* VN | καὶ τοὐν. π̄τ̄ VN, τὸ π̄ A ‖ **3** *post* φέρει *add* ἴσως VN ‖ **5** ὑπάρχουσιν A, τυγχάνουσιν V, εἰσὶν N ‖ **6** φωνηέντων NA, συμφώνων V | συναριθμούμενα VN, συναριθμοῦνται A ‖ **9** ὡς *add* A | *ante* καὶ *add* ὡς δὲ VN ‖ **10** οἱ δὲ Ζ. VN | ἔναιον VNA ‖ **11** ὅτι ἐπειδὴ VN, ὅτι A | πάντως (*ante* τὰ) *om* A ‖ **17** ὅταν — οὖσα] τὴν βραχεῖαν οὖσαν VN | ἀπαρτίζει VN | ἔχει VN ‖ **23** δὲ N, *om* V ‖ **26** ἀπαρτίσαι V, ἀπηρτισμένον N ‖ **28** ἐν (*ante* οἷς) *add* A ‖ **34** κινῶν N, *om* V

οὐκ ἔχει ἀπηρτιςμένην εἰς μέρος λόγου τὴν βραχεῖαν, τὴν δὲ ἑξῆς ςυλλαβὴν ἀπὸ ἀμεταβόλου ἀρχομένην, ὁ ποιητὴς ἀνεδιπλαςίαςεν, ὡς ⟨ex. gr. Є 83⟩ ἔλ⟨λ⟩αβε πορφύρεος θάνατος· καὶ τὰ ἄλλα δὲ ςύμφωνα ἀναδιπλαςιάζει πρὸς τὸ μέτρον.

Στεφάνου. — Δεῖ γινώςκειν ὅτι *etc.* = Σ^v 211, 8—16.

Διὰ τί λέγεται κοινὴ ςυλλαβή; Ἐκ μεταφορᾶς τῶν κοινῶν πραγμάτων· ὡς γὰρ κοινὸς οἶκος λέγεται οὗ μετέχουςι δύο τινὰ πρόςωπα, οὕτω καὶ ἡ κοινὴ ςυλλαβὴ [ἣ] διὰ τὸ τοῖς χρόνοις ἀμφοτέροις ὑπηρετεῖν, τῷ τε μακρῷ καὶ τῷ βραχεῖ, ἐπειδὴ πᾶςα ςυλλαβὴ ἢ μακρά ἐςτιν ἢ βραχεῖα· καὶ διὰ τοῦτο τῇ κοινῇ ςυλλαβῇ παρεχώρηςεν.

Τί ἐςτι ςυνεκφώνηςις; Συνεκφώνηςίς ἐςτιν ὅταν δύο ςυλλαβαὶ μὴ ςύμφωνον μεταξὺ ἀλλήλων ἔχουςαι ἀντὶ μιᾶς παραλαμβάνωνται. Τί διαφέρει ςυνεκφώνηςις ςυναλ⟨ο⟩ιφῆς καὶ ςυναιρέςεως; Ὅτι ἡ μὲν ςυναλ⟨ο⟩ιφὴ καὶ ἡ ςυναίρεςις ὡς λέγεται καὶ φαίνεται, ἡ δὲ ςυνεκφώνηςις ἐντελῶς μὲν λέγεται, κατὰ κρᾶςιν δὲ φαίνεται.

Ὅταν φωνηέντων γένηται ἐπάλληλος προφορά *etc.* = Σ^v 210, 9—211, 3.

§ 11 (12. 13b).

Περὶ λέξεως.

Τί ἐςτι λέξις; Μέρος ἐλάχιςτον τοῦ κατὰ ςύνταξιν λόγου. Ποίου λόγου; Τοῦ ςυντεταγμένου καὶ παρατιθεμένου διανοίαις πολλαῖς καὶ πλείςτοις νοήμαςιν. — Καὶ ἄλλως. Τί ἐςτι λέξις; Φωνὴ ἐλαχίςτη μέρος λόγου παριςτῶςα. — Ποςαχῶς αἱ λέξεις; Τριχῶς· αἱ μὲν γὰρ αὐτῶν εἰςι κοιναί, αἱ δὲ ποιητικαί, αἱ δὲ κατὰ διάλεκτον· ὁ δὲ τὴν γραμματικὴν ἠκριβωκὼς ἐξελληνίζειν ςαφηνίζει τὰ τοιαῦτα γλωττημα[ν]τικὰ καὶ διακρίνει μίαν ἑκάςτην διάλεκτόν τε καὶ γλῶςςαν ἀπὸ τῶν λοιπῶν, καὶ ἀνάγει ταύτην τὴν γλῶτταν εἰς τὴν οἰκείαν καὶ ἰδίαν ἑκάςτην αὐτῶν διάλεκτον. — Διὰ τί μετὰ τὰς ςυλλαβὰς περὶ λέξεως ἤρξατο ὁ τεχνικός; Ἐπειδὴ ⟨ἔςθ' ὅτε⟩ τὸ ςτοιχεῖον ςυνεμπίπτει τῇ ςυλλαβῇ, ἡ δὲ ςυλλαβὴ τῇ λέξει, ἡ δὲ λέξις τῷ λόγῳ. — Ποῖαι καλοῦνται κυρίως λέξεις; Αἱ ἔχουςαί τι λεκτὸν ἐν αὐταῖς ἤτοι ςημαντικόν. — Διὰ τί περὶ ςτοιχείου πρῶτον ὁ τεχνικὸς ἔγραψεν, εἶτα περὶ ςυλλαβῆς, εἶτα περὶ λέξεως; Ὅτι κατὰ τὸν ἀναλυτικὸν τῆς διδαςκαλίας τρόπον τὴν τέχνην ἐξέθετο τῆς γραμματικῆς· ὁ δὲ ἀναλυτικὸς τὰ τῇ φύςει πρῶτα προεκτίθηςι, καὶ οὕτως ἀνίηςι πρὸς τὰ τῇ φύςει ὕςτερα. — Πόςοι τρόποι διδαςκαλικοί; Τέςςαρες, ὁριςτικός, διαιρετικός, ἀποδεικτικὸς καὶ ἀναλυτικός.

Διεξελθὼν ὁ τεχν. περὶ τῶν ςτοιχ. *etc.* = Σ^v 211, 25—212, 1.

⟨*Heliodori.*⟩ — Λέξις ἐςτὶ φωνὴ ἐγγράμματος ἀμερὴς ἰδίᾳ ῥητὴ καὶ ἰδίᾳ νοητόν τι ἀποτελοῦςα, καθ' ἕνα τόνον καὶ ἓν πνεῦμα λεγομένη. Προςθείημεν δ' ἂν ἡμεῖς τῷ ὅρῳ τὸ «ἐλαχίςτη», ἵν' ᾖ οὕτω· «λέξις ἐςτὶν ἐλαχίςτη φωνὴ ἐγγράμματος ἀμερὴς ἰδίᾳ ῥητὴ καὶ ἰδίᾳ νοητή, ὑφ' ἕνα τόνον καὶ πνεῦμα ἀγομένη» ἢ λεγομένη ἢ προφερομένη, ἀδιαφόρως γὰρ λεκτέον.

Εἰ δέ τις εἴποι, ὡς *etc.* = Σ^v 212, 24—213, 1.

35—40 *videntur esse* Σ^h

1 οὐκ N, *om* V ‖ **5** Στεφ. *in marg. add* V, *in fine* N ‖ **6—14** *om* N ‖ **19—33** *om* N ‖ **21** λέξις] λόγος V | ἐλάχιςτος V ‖ **23** δὲ τὴν] γὰρ τὴν V

Εἴρηται δὲ λέξις ἀπὸ μέλλοντος τοῦ λέξω, ὡς ἕξω ἕξις. Δηλοῖ δὲ τὸ λέγω ἐνταῦθα τρία, τὸ ἀπαγγέλλω, τὸ ἀριθμῶ, τὸ ἐκλέγομαι· λέξις οὖν ἐστιν ἡ σημασίας ἀπαγγελτική, ἢ ἡ πρὸς λόγου σύνταξιν καταριθμουμένη, ἢ ἣν πᾶς ὁστισοῦν ἐκλέγεται μᾶλλον τῆς ἀσήμου φωνῆς. Ἐγγράμματος δὲ φωνή ἐστιν ἀποτέλεσμα τοῦ ἐν ἡμῖν ἐντεθησαυρισμένου πνεύματος.

Διαφέρει δὲ σύνταξις συνθέσεως *etc.* = Σ^{v} 212, 13—23 (ἀποτελ.).

Λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου.] Τῷ ὅρῳ τούτῳ λείπει τι· εἰ γὰρ ὡς τέλειον αὐτὸν παραλάβοιμεν, εὑρίσκεται καὶ τὸ ἓν γράμμα καὶ ἡ μία συλλαβὴ λέξις οὖσα· μέρος γάρ ἐστιν ἐλάχιστον τοῦ λόγου καὶ ἑκάστη συλλαβὴ καὶ ἕκαστον γράμμα. Δῆλον οὖν ὡς κακῶς ὡρίσατο, ταὐτὸν γάρ ἐστι τῷ στοιχείῳ· ἀλλ' ἔδει αὐτὸν ἀνελλιπῶς ὁρίσασθαι καὶ εἰπεῖν «μέρος ἐλάχιστον διανοίας τοῦ κατὰ σύνταξιν λόγου». Καὶ λέγομεν ὅτι ὡς ἐν εἰσαγωγῇ τὰ ποικίλα ἐκφεύγει· τῷ γὰρ εἰσαγομένῳ ζητήματα μυρία ἀπήντα περὶ διακρίσεως καὶ συντάξεως λόγου καὶ διανοίας. Ἢ οὕτως· «μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου νοητόν τι σημαῖνον·» ἰδοὺ ἡ προσθήκη οὐκέτι συγχωρεῖ ὑπονοεῖσθαι τὴν συλλαβὴν ἢ τὸ γράμμα ὡς λέξιν· οὐδὲ γὰρ νοητόν τι σημαίνουσιν, ὑπεξαιρουμένων τῶν μονοσυλλάβων καὶ μονογραμμάτων λέξεων· ἐκεῖναι δὲ οὐ διὰ τὸ μονογράμματοι εἶναι νοητόν τι σημαίνουσιν, ἀλλὰ διὰ τὸ ἐν ταῖς λέξεσι κατατετάχθαι τοῦ κατὰ σύνταξιν ⟨ἤτοι⟩ τοῦ ἐν δεούσῃ καὶ πρεπούσῃ τάξει προφερομένου λόγου.

Περὶ παθῶν λέξεων Τρύφωνος.

Tractatus simillimus est ei, quem R Schneider edidit in libello scholastico gymnasii Duisburgiensis a. 1895, p. 4—13, 4.

Περὶ λόγου.

Λόγος ἐστὶ πεζῆς λέξεως σύνθεσις διάνοιαν αὐτοτελῆ δηλοῦσα.] Ἵνα μή τις ἐπιλάβηται *etc.* = Σ^{d} 57, 1—5.

⟨*Heliodori.*⟩ — Ὁ δὲ λόγος πολλαχῶς εἴρηται· ἔστι γὰρ ὁμώνυμος φωνὴ κατὰ πολλῶν σημαινομένων φερομένη. Λέγεται λόγος ὁ ἐνδιάθετος λογισμός, καθ' ὃν λογικοὶ καὶ διανοητικοί ἐσμεν. Λέγεται λόγος καὶ ἡ φροντίς, ὡς ὅταν λέγωμεν «οὐκ ἔστι λόγου ἄξιος», «οὐ ποιοῦμαι αὐτοῦ λόγον»· καὶ παρὰ Μενάνδρῳ ⟨fr. 836 K⟩ οὔτε λόγον ὑμῶν οὔτ' ἐπιστροφὴν ἔχω. Λέγεται λόγος καὶ ὁ λογαριασμός, ὡς ὅταν

1—4 *cfr* Σ^{v} *212, 7—12* ‖ 4—6 = Σ^{v} *212, 23 seq* ‖ 9—22 *cfr* Σ^{d} *56, 16—31* ‖ 12—16 = Σ^{v} *212, 2—6* ‖ 29—355, 32 *videntur esse* Σ^{h}

2 ἐνταῦθα V, *om* N | ἐπιλέγομαι VN ‖ 4 ἢ *add* C | μᾶλλον *add* C ‖ 10 καὶ (*ante* τὸ) N, *om* V ‖ 16 καὶ (*ante* συντ.) *add* C ‖ 19 ὑπεξαιρ. — σημαίν. (21) *om* V | ὑπεξαιρ. C, ὑπεξερχομένων N ‖ 20 δὲ C, γὰρ N ‖ 23—25 *hunc tractatum om* N ‖ 29—354, 21 *om* N ‖ 34 οὔτε ἐπιστρ. V

λέγωμεν «ὁ ἡγεμὼν πρὸς τοὺς ἑαυτοῦ ἐπιτρόπους λόγον ἔχει». Λέγεται λόγος καὶ ἡ ἀπολογία, ὃν τρόπον λέγομεν «ἔδωκε περὶ τούτου λόγον». Λέγεται λόγος ⟨καὶ⟩ ὁ καθόλου, ὁ περιέχων ἐν ἑαυτῷ πᾶσαν λέξιν, καθὸ σημαινόμενον πᾶν μέρος λόγου, ἤτοι ὄνομα, ῥῆμα, μετοχήν, ἄρθρον, ἀντωνυμίαν, πρόθεσιν, ἐπίρρημα, σύνδεσμον. Λέγεται λόγος καὶ ὁ ὅρος, ὡς ὅταν λέγωμεν «ἀπόδος τὸν τοῦ ζῴου λόγον», οἷον «οὐσία ἔμψυχος αἰσθητική». Λέγεται λόγος καὶ ἡ αὐτοτελῆ διάνοιαν τῶν λέξεων δηλοῦσα παράθεσις, τουτέστιν ὁ κατὰ σύνταξιν λόγος, ὡς τὸ «τελείωσον τὸν λόγον», ὃς μερικὸς γίνεται, τουτέστι μονομερὴς καὶ διμερὴς καὶ τριμερὴς καὶ τετραμερὴς καὶ πενταμερὴς καὶ ἑξαμερὴς καὶ ἑπταμερής, ἔστι δ' ὅτε καὶ ἀπὸ τῶν ὀκτὼ μερῶν συνιστάμενος· μονομερὴς μέν, ὡς τὸ «περιπατῶ, τρέχω, ἔρχομαι, καθέζομαι»· διμερὴς δέ, ὡς τὸ «Σωκράτης διαλέγεται, Πλάτων φιλοσοφεῖ»· τριμερὴς δέ, ὡς τὸ «Δίων δουλεύοντας τύπτει, Θέων μαθητευομένους διδάσκει»· τετραμερὴς δέ, οἷον «Ἀχι⟨λ⟩λεὺς μὲν ἐμαχέσατο βασιλεύοντι»· πενταμερὴς δέ, ὡς τὸ «Μενέλαος δὲ τῷ ἠδικηκότι ἐμονομάχησεν»· ἑξαμερὴς δέ, οἷον «ἐγὼ μὲν ἔμφοβος τοῖς καθεύδουσι συνηγέρθην»· ἑπταμερὴς δέ, οἷον «ἐκεῖνος δὲ πρὸς τοὺς ἠθροισμένους ἄνδρας διηνέχθη»· ὀκταμερὴς δέ, ὡς ὁ Ὁμήρειος στίχος ⟨X 59⟩ πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρε· ἕκαστος δὲ τούτων ἐστὶ λόγος [σύνθετος] τέλειος ἔχων σύνθεσιν διάνοιαν αὐτοτελῆ δηλοῦσαν. Λέγεται λόγος καὶ ὁ ἐξ ἀναλωμάτων, ὃς λέγεται καὶ τραπεζιτικός, οὗ μέμνηται καὶ ὁ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς ⟨De Chers. § 47⟩, τὸν μὲν ⟨τῶν⟩ χρημάτων λόγον λέγων παρὰ τούτου λαμβάνει⟨ν⟩, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ. Λόγος λέγεται ⟨καὶ⟩ ὁ γεωμετρικός, οἷον «ὃν ἔχει λόγον τὸ ἡμίπηχυ πρὸς τὸν πῆχυν, τοῦτον ἔχει τὸν λόγον καὶ τὸ δίπηχυ πρὸς τὸ τετράπηχυ». Λόγος καὶ ἡ ἀναλογία, οἷον «ὁ τέτταρα ἀριθμὸς πρὸς τὸν τρία τὸν ἐπίτριτον ἔχει λόγον». Λόγος καὶ τὸ εὔλογον, οἷον «οὐκ ἔξω λόγου τόδε ἐποίησεν», ἀντὶ τοῦ «εὐλόγως». Λόγος καὶ ἡ τῷ προειλημμένῳ ἐπαγομένη ἐπιφορά, τουτέστιν ἐκ λημμάτων καὶ ἐπιφορᾶς, οἷον «ἀνάγκη νυκτὸς οὔσης σκότος εἶναι καὶ ἡμέρας οὔσης φῶς εἶναι»· καὶ ἔστι τοῦτο λῆμμα· «ἀλλαμὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστί»· τοῦτο ἐπιφορά, τῷ γὰρ προειλημμένῳ ἐπηνέχθη. Λόγος λέγεται καὶ ἡ λογικὴ κατασκευή, καθό φαμεν τοὺς μὲν ἀνθρώπους ἔχειν λόγον, τὰ δὲ ἄλογα οὔ. Λόγος λέγεται καὶ ἡ δύναμις, ὡς λέγομεν κατὰ φυσικὸν λόγον ὀδοντοφυεῖν τὰ ζῷα καὶ γένεια φέρειν, ἤτοι κατὰ τὰς φυσικὰς καὶ σπερματικὰς δυνάμεις. Λόγος λέγεται καὶ ἡ συμπαρεκτεινομένη φωνὴ τῷ διανοήματι, οἷον τὸ «ἄπελθε»· τοῦτο γὰρ καὶ λέξις, ὅτι τετύχηκε νοῦ,

---

21—355, 9 (δράματος) = Σ^{v} *213, 6—214, 2*

15 ἐμαχήσατο V ‖ **22** τραπεζικὸς VN ‖ **25** ὃν] ὡς VN ‖ **26** τοῦτον — τετράπηχυ (**27**) *add* C ‖ **27** Λόγος — εὐλόγως (**29**) ***in marg. add*** V[1]

καὶ λόγος, διὰ τὸ ἐντελὲς τοῦ νοήματος τοῦ δηλουμένου. Ἔςτι λόγος καὶ ὃ δηλοῖ τὸ αὐτοτελές, καθὸ τινος εἰπόντος ἐλλιπῶς φαμεν «τελείωςον τὸν λόγον». Λόγος ⟨λέγεται⟩ καὶ ὁ ἔκταςιν ἔχων ποιοῦ ἀπαρτιςμοῦ, οἷον «καλὸς ὁ κατὰ Μειδίου λόγος Δημοςθένους». Λόγος λέγεται ⟨καὶ⟩ τὸ βιβλίον, ὡς τὸ «χρῆςόν μοι τὸν κατ' Ἀνδροτίωνος λόγον». Λόγος λέγεται καὶ ἡ ςχέςις τῶν μεγεθῶν, ὡς ὅταν λέγωμεν ὅτι ὃν λόγον ἔχει τόδε τὸ μέγεθος πρὸς τόδε, τοιόνδε ἔχει τόδε πρὸς ἄλλο. Λόγος λέγεται καὶ ἡ ὑπόθεςις, οἷον ⟨fr. com. 4, 654 p. 1224 M⟩ ἤδη δὲ λέξω τὸν λόγον τοῦ δράματος Καὶ τὴν διδαςκαλίαν. Λόγος λέγεται καὶ ἡ αἰτία, καθὰ καὶ ὁ Πλάτων φηςὶ ⟨ubi?⟩ «τέχνην δὲ ἐγὼ οὐ καλῶ ὃ ἂν ᾖ ἄλογον πρᾶγμα». Λόγος λέγεται κατ' ἐξοχὴν καὶ ὁ θεός, οἷον ⟨Ev. Joh. 1, 1⟩ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, ἤτοι ὁ υἱὸς τοῦ θεοῦ ἐν ἀρχῇ ἦν ἀπαράλλακτος καὶ ἴςος τῷ πατρί. Λόγον δὲ ἐκάλεςεν ἐνταῦθα τὸν διεξοδικόν, τὸν ἀναπληρούμενον ἐκ τῶν μερῶν ⟨τοῦ λόγου⟩.

Λόγος ἐςτὶ πεζῆς λέξεως καὶ τἆλλα.] Μεμπτέος ἄγαν ὁ τεχνικός, καθὸ τὸν λόγον πεζῆς λέξεως ςύνθεςιν εἶπεν· εἰ γὰρ οὕτω δεξόμεθα, ἐκβάλλομεν καὶ ἀθετοῦμεν τοὺς ἐμμέτρους λόγους, καὶ τὴν ἐν τούτοις λέξιν οὐ λέγομεν μέρος λόγου ἐλάχιςτον. Δεῖ γοῦν οὕτως ὁρίζειν· «λόγος ἐςτὶ ςύνθεςις λέξεων κατάλληλος διάνοιαν ἀπαρτίζουςα», ἵν' ὑγιῶς ἔχῃ ὁ ὅρος καὶ χωριςθῇ εἴς τε τὸν πεζὸν καὶ τὸν ἔμμετρον λόγον. «Πεζῆς» οὖν εἶπε τῆς καταλογάδην, τουτέςτι τῆς οὔπω ἐμμέτρου· ἡ γὰρ ἔμμετρος ςύνθεςις τῶν λέξεων τελείαν ἔννοιαν ςημαίνουςα περίοδος καλεῖται· «αὐτοτελῆ» δὲ ἀντὶ τοῦ τελείαν. Πάλιν μέμψεως ἄξιός ἐςτιν εἰπὼν ςύνθεςιν· ἐχρεώςτει γὰρ παράθεςιν εἰπεῖν, καὶ οὐ ςύνθεςιν, ἐπειδὴ διαφέρει παράθεςις ςυνθέςεως· παράθεςις μὲν γάρ ἐςτι ςυλλογὴ λέξεων ἰδίᾳ ῥητῶν καὶ ἰδίᾳ νοητῶν, ςύνθεςις δὲ ςυνάφεια λέξεων καθ' ἕνα τόνον καὶ ἓν πνεῦμα γινομένη· ὤφειλε τοίνυν κυριώτερον παράθεςιν καὶ οὐ ςύνθεςιν εἰπεῖν. Ἀλλ' ἴςως κατεχρήςατο τῇ λέξει, πολλάκις γὰρ ςύνθεςις ἀντὶ παραθέςεως παρείληπται· καὶ γάρ φαμεν «καλῶς ςυντέθειται Δημοςθένει ὁ περὶ τοῦ ςτεφάνου», καὶ «καλῇ ςυνθέςει φράςεως κέχρηται Πλάτων».

Λόγος ἐςτὶ πεζῆς λέξεως ςύνθεςις.] Ὁ γὰρ λόγος *etc.* = Σ[v] 214, 5—12.

Τοῦ δὲ λόγου μέρη ἐςτὶν ὀκτώ, ὄνομα, ῥῆμα, μετοχή, ἄρ-

16—32 hab. et. A

1 Ἔςτι λ. καὶ *add* C ‖ **2** φαμεν C, *om* VN ‖ **8** ἤδη δὲ λέξω] ἡδέως δέδεξο V ‖ **9** Καὶ τὴν διδαςκ. *post* πρᾶγμα (*v. 11*) *transp.* VN, *corr. Uhlig* | Λόγος — αἰτία (**10**) V, ςημαίνει καὶ τὴν αἰτίαν N ‖ **10** Πλάτων] *cfr Symp. p. 202 A* | δ' ἐγὼ N ‖ **11** Λόγος — πατρί (**14**) *om* N ‖ **16** τἆλλα V, τὰ ἑξῆς N ‖ **19** οὕτως *add* A ‖ **20** λέξεως A ‖ **21** χωριςθῇ A, χωριςθείη VN ‖ **22** Πεζῆς — τελείαν (**24**) *om* A ‖ **23** ςημαίνουςα] ςημαίνει καὶ VN ‖ **25** ςύνθεςις A; *item v. 26 et 29* | παράθεςις A; *item v. 29*

θρον, ἀντωνυμία, πρόθεσις, ἐπίρρημα, σύνδεσμος.] Ἰστέον ὅτι τὰ παρ' ἡμῖν μέρη τοῦ λόγου φιλοσόφων παῖδες στοιχεῖα καλοῦσιν· ὥσπερ γὰρ τὰ στοιχεῖα ἀποτελεῖ τὰς συλλαβάς, καὶ τὰ κοσμικὰ στοιχεῖα τὰ σώματα, οὕτω καὶ ταῦτα συνερχόμενα ἀπαρτίζει τοὺς λόγους.

Ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται.] Τινὲς τὸ προσηγορικὸν *etc.* = Σ^{d} 58, 21—26.

⟨*Heliodori.*⟩ — Οἱ γὰρ Στωϊκοὶ φιλόσοφοι λόγοις τισὶν ἐπερειδόμενοι χωρίζουσι τοῦ ὀνόματος τὴν προσηγορίαν, ἴδιον μέρος λόγου αὐτὴν λέγοντες εἶναι· καὶ καταλέγουσιν οὕτω τὰ μέρη τοῦ λόγου· πρῶτον ὄνομα, δεύτερον προσηγορία, τρίτον ὑφ' ἓν ῥῆμα ⟨καὶ⟩ μετοχή, τὸ μὲν ῥῆμα κατηγόρημα λέγοντες, τὴν δὲ μετοχὴν ἔγκλιμα ῥήματος, ὅ ἐστι ῥήματος παραγωγή· τέταρτον ὑφ' ἓν ἄρθρον καὶ ἀντωνυμία, τὸ μὲν φάσκοντες ἀόριστον ἄρθρον, τὸ δὲ ὡρισμένον ἄρθρον· καὶ πέμπτον ὑφ' ἓν πρόθεσις ⟨καὶ⟩ σύνδεσμος, τὴν μὲν προθετικὸν σύνδεσμον προσαγορεύοντες, τὸν δὲ ὑποτακτικὸν σύνδεσμον· τὰ γὰρ ἐπιρρήματα οὔτε λόγου οὔτε ἀριθμοῦ ἠξίωσαν, παραφυάδι καὶ ἐπιφυλλίδι αὐτὰ παρεικάσαντες. Οἱ ⟨δὲ⟩ Στωϊκοὶ ὀνόματα μὲν τὰ κύρια ἔλεγον, τὰ δὲ προσηγορικὰ οὐκ ὀνόματα· μεθ' οὓς ἄλλοι γραμματικοὶ δέκα εἶναι τὰ μέρη εἰσηγήσαντο, ἰδιάζειν λέγοντες τὴν ἀπαρέμφατον ἔγκλισιν· μεθ' οὓς ἄλλοι εἰς ἕνδεκα μέρη τὸν μερισμὸν ἐποιήσαντο τῶν τοῦ λόγου μερῶν, ἀπονέμοντες ἴδιον τόπον ταῖς συνάρθροις ἀντωνυμίαις. Ἡμῖν δὲ νόμος ἀνὴρ ἄριστος ἐν ἀκριβείᾳ καὶ τέχνῃ Τρύφων, ὃς καὶ διδάσκαλος Ἀπολλωνίου τοῦ τεχνογράφου πρῶτος κατέστη, ὃς ὑπέθηκε τῷ ὀνόματι τὴν προσηγορίαν.

⟨Τρεῖς δὲ ἀποφάσεις ἔλεγον οἱ Στωϊκοί, μὴ ἓν μέρος λόγου εἶναι τὸ ὄνομα καὶ τὴν προσηγορίαν,⟩ αἵτινές εἰσιν αὗται· πρώτη μὲν ἡ λέγουσα οὕτως, ὡς ἀναγκαίως δεῖ χωρίζειν τό τε ὄνομα καὶ τὴν προσηγορίαν, ἐπεὶ διάφορος ἡ κλίσις κυρίων καὶ προσηγορικῶν· ἰδοὺ γὰρ Πάρις μὲν Πάριδος, ὅτι κύριον, μάντις ⟨δὲ⟩ μάντιος καὶ μάντεως καὶ ὄφις ὄφιος καὶ ὄφεως, ὅτι προσηγορικά. Πρὸς οὓς ἦν ἀντιλέγων Τρύφων· εἰ κλίσις ἐστὶν ἡ ἑνοῦσα καὶ χωρίζουσα τὰ μέρη τοῦ λόγου, εἴπωμεν τὸ μῆνις θηλυκὸν ὄνομα καὶ τὸ Πάρις ἀρσενικὸν ἑνὸς εἶναι γένους, ἐπειδὴ ἄμφω τὴν αὐτὴν ἐποιήσαντο κλίσιν, μήνιδος γὰρ καὶ Πάριδος φαμέν· ὁμοίως δὲ καὶ τὸ λέων ὄνομα καὶ τὴν λέγων μετοχὴν εἴπωμεν τοῦ αὐτοῦ μέρους καὶ τοῦ αὐτοῦ εἴδους εἶναι, ἐπειδὴ ἄμφω τὰς γενικὰς ὁμοίας εὑρίσκομεν, λέοντος γὰρ καὶ λέγοντος φαμέν· καὶ ἔμπαλιν τὸ ποιῶ καὶ βοῶ — ἰδοὺ ⟨γὰρ⟩ διάφορον ἐποιήσαντο κλίσιν, ποιῶ γὰρ ποιεῖς καὶ βοῶ βοᾷς — λέγομεν μὴ τοῦ αὐτοῦ μέρους εἶναι. Δευτέρα

7—358, 26 *videntur esse* Σ^{h} ‖ **7—357, 18** *ex his excerpta sunt* Σ^{v} *214, 17—29*

4 ταῦτα] ἐνταῦθα VN ‖ **12** ῥήματος παραγωγή] ῥῆμα μετοχῆς VN ‖ **14** πρόθεσις] ἄρθρον VN | τὴν] τὸ VN | *post* μὲν *add* ἤγουν τὸ ἄρθρον V ‖ **25** αἵτινες ἦσαν αὗται VN ‖ **26** ὡς N, *om* V ‖ **28** μὲν N, *om* V ‖ **29** ἦν N, *om* V ‖ **35** ὁμοίας V, ὁμοίως N

δὲ ἀπόφαςις ὁμοίως, ὡς ἀναγκαίως κατὰ τοῦτο δεῖ χωρίζειν τό τε ὄνομα καὶ τὴν προςηγορίαν, ἐπειδὴ ἀπὸ μὲν κυρίων παράγονται πατρωνυμικά, ἀπὸ δὲ προςηγορικῶν οὐ παράγονται πατρωνυμικά [ἀλλὰ ςυγκριτικά]· ἰδοὺ γὰρ ἀπὸ μὲν τοῦ Τάνταλος φαμὲν Τανταλίδης, ἀπὸ δὲ τοῦ ἄνθρωπος οὐ λέγομεν ἀνθρωπίδης. Πρὸς ἣν ἀντεῖπε Τρύφων οὕτω λέγων· εἰ παραγωγή ἐςτιν ἡ ἑνοῦςα καὶ χωρίζουςα τὰ μέρη τοῦ λόγου, μηδὲν ἡμᾶς ἰςχέτω τὸ εὐςεβής ὄνομα καὶ τὴν ἐρρωμένος μετοχὴν ὑπὸ τὸ αὐτὸ εἶδος ἀνάγειν, ἐπειδὴ τὰ δύο τὴν αὐτὴν ἐποιήςαντο παραγωγήν, εὐςεβέςτερος καὶ ἐρρωμενέςτερος. Καὶ τρίτη ἀπόφαςις πάλιν, ὡς κατὰ πολὺ χρὴ χωρίζειν τοῦ ὀνόματος τὴν προςηγορίαν, ἐπειδὴ τὰ μὲν κύρια οὐκ ἔχει θηλυκά, ἀλλὰ τὰ προςηγορικά. Πρὸς ἣν πάλιν ὁ Τρύφων ἀντεῖπε λέγων, εἰ παραςχηματιςμὸς μερίζει, χωριζέςθω ὁ ἄνθρωπος ἀπὸ τοῦ χρυςός καὶ τοῦ ἄργυρος, καὶ μὴ εἴη τοῦ αὐτοῦ μέρους, ἐπειδὴ ὁ μὲν ἄνθρωπος παραςχηματίζει θηλυκόν, ὁ δὲ χρυςός καὶ ὁ ἄργυρος τὸ μονογενὲς ἔχουςιν· ἄλλως τε πάλιν τὰ κύρια λέγουςι μὴ ἔχειν θηλυκά, τὰ δὲ προςηγορικὰ ἔχειν· οὐκοῦν τὸ ςώφρων ὡς κοινόν, τὸ ἄργυρος ὡς μονογενές, τὸ φίλος ὡς τριγενὲς οὐ τῆς αὐτῆς ἔςονται καταλογῆς. — Λεκτέον οὖν ὡς παντὸς μέρους τὰ ἴδια δεῖ ςκοπεῖν καὶ οὐ τὰ παρεπόμενα, καὶ οὕτω ποιεῖςθαι τὸν μεριςμόν· ἴδιον δέ ἐςτι τὸ ἑνὶ μόνῳ ἀνῆκον, ἑτέρῳ δὲ μὴ ἐπικοινωνοῦν, ὡς ἀνθρώπῳ τὸ γελαςτικόν, ἵππῳ δὲ τὸ χρεμετιςτικόν, παρεπόμενα δὲ λευκὸν ἢ μέλαν, ταχὺ ἢ βραδύ. Οὕτω δὴ καὶ ὀνόματος ἴδιον μὲν τὸ δηλοῦν τὴν τῶν ὑποκειμένων ςωμάτων ἢ πραγμάτων ποιότητα, παρεπόμενον δὲ τὸ κύριον ἢ προςηγορικὸν εἶναι· ὥςτε καθὸ ποιότητα δηλοῖ τὸ κύριον, ὄνομά ἐςτι, κἂν μὴ προςηγορικὸν ᾖ, καὶ καθὸ ποιότητα δηλοῖ τὸ προςηγορικόν, ὄνομά ἐςτι, κἂν μὴ ᾖ κύριον.

Ἰςτέον ὅτι τὸ ὄνομα καὶ τὸ ῥῆμα προτερεύει τῶν λοιπῶν λέξεων ἐκ τοῦ μηδέποτε λόγον δίχα τούτων ςυγκεῖςθαι. Καὶ πόθεν δῆλον; εἴποι τις ἄν. Καί φαμεν, ὡς ἔςτι ςτίχος Ὁμηρικὸς ἔχων τὰ ὀκτὼ μέρη τοῦ λόγου οὕτω λέγων· ⟨Χ 59⟩ πρὸς δ' ἐμὲ τὸν δύςτηνον ἔτι φρονέοντ' ἐλέηςον· οὗπερ ἂν ἀφέλῃς πρώτην καὶ δευτέραν καὶ τρίτην λέξιν ἢ καὶ πλέον, πάλιν ςυςτήςεται, τὸ δὲ ὄνομα ἂν ἐκβάλῃς καὶ τὸ ῥῆμα ἀςυςτατήςει, οἷον ςυςτήςεται δίχα τῆς πρός προθέςεως καὶ τοῦ δέ ςυνδέςμου καὶ τῆς ἐμέ ἀντωνυμίας καὶ τοῦ τόν ἄρθρου ⟨τὸ⟩ «δύςτηνον ἔτι φρονέοντ' ἐλέηςον»· δίχα δὲ ὀνόματος καὶ ῥήματος εἰ λεχθείη, εὐθὺς ἀςυςτατήςει, καθὼς ἤδη εἰρήκαμεν. Ὥςτε τοίνυν μεμαθήκαμεν, ὡς τῶν ἄλλων προύχουςι ταῦτα τὰ δύο μέρη, τό τε ὄνομα καὶ τὸ

18—26 = *Σ*ᵛ *214, 29—215, 3* ‖ **36—358, 9** *cfr Σ*ᵛ *216, 13—24*

3 προςηγορικῶν V, προςηγοριῶν N ‖ **7** *in marg.* εἶχεν ἰςχυέτω V¹ | ἐρρωμένως V, ἐρωμένος N ‖ **11** τὰ (*ante* προςηγ.) N, *om* V ‖ **13** χρυςός καὶ τοῦ] χρυςοῦ καὶ ὁ VN ‖ **21** παρεπόμενον N ‖ **25** ᾖ] εἴη VN ‖ **30** δέ με VN ‖ **35** καὶ ῥήματος N, *om* V

ῥῆμα, κύρια γὰρ καὶ γνησιώτερα μέρη λόγου τὰ δύο ταῦτα, πάντα δὲ τὰ ἄλλα πρὸς τὴν τελείαν σύνταξιν ἐπινενόηται. Οὐδὲ γὰρ ἰδίοις ὀνόμασι κέχρηνται, ἀλλ' ὡς ἀπὸ τῆς χρείας· μετοχὴ γὰρ διὰ τὸ μετέχειν τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος καὶ μεταξὺ εἶναι ὀνόματος καὶ ῥήματος· καὶ ἄρθρον διὰ τὸ συναρτᾶσθαι πτωτικοῖς, τουτέστι συνδεσμεῖσθαι· ἀντωνυμία δὲ διὰ τὸ ἀντὶ ὀνόματος παραλαμβάνεσθαι· πρόθεσις δὲ διὰ τὸ προτίθεσθαι τῶν προειρημένων δύο μερῶν τοῦ λόγου, ὀνόματος καὶ ῥήματος· ἐπίρρημα δὲ διὰ τὸ ἐπὶ ῥήματα φέρεσθαι· σύνδεσμος δέ, ἐπειδὴ συνδεσμεύει.

Σκοπήσωμεν λοιπόν, εἰ εὐλόγως τὴν πρώτην ⟨τάξιν⟩ ἐκληρώσατο τοὔνομα· τῶν γὰρ δύο μερῶν ἡ λέξις αὕτη, τὸ ὄνομα, πρόκειται, ἐπεὶ ἐξ αὐτοῦ πάντα ὀνομάζεται· οὐ πιθανὸν γὰρ προτάττειν τοῦ ὀνόματος τὸ ῥῆμα, ἐπειδὴ καὶ πᾶσαι λέξεις ἐπικοίνως τῇ αὐτοῦ προσηγορίᾳ ὀνόματα καλοῦνται. Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι εὐλόγως τὸ ὄνομα τοῦ ῥήματος προτακτέον, εἰ καὶ προτέτακται τῇ φύσει τὸ ῥῆμα, ὅτι τὰ μὲν ὀνόματα κατὰ οὐσιῶν τίθεται, τὰ δὲ ῥήματα κατὰ πραγμάτων· τὸ γὰρ ὄνομα οὐσίας ἐστὶ δηλωτικόν, τὸ δὲ ῥῆμα πράγματος· κυριώτεραι δὲ αἱ οὐσίαι τῶν πραγμάτων· ἀσύστατον γὰρ τὸ φιλοσοφεῖν δίχα τοῦ μετιόντος, ὁμοίως δὲ καὶ τὸ ἀναγινώσκειν, εἰ μὴ εἴη ὁ μετιὼν τὴν ἀνάγνωσιν Σωκράτης· προτερευέτω τοίνυν τὸ ὄνομα τοῦ ῥήματος, ὅσον καὶ ἡ οὐσία προτερεύει τοῦ πράγματος. Ἐτυμολογεῖται δὲ αὐτὸ οὕτως· νέμω ἐστὶ τὸ διαμερίζω, ἀπὸ δὲ τούτου ῥηματικὸν ὄνομα νόμα, καὶ προσθέσει τοῦ ō ὄνομα, ὡς κρυόεις ὀκρυόεις, σταφίς ὀσταφίς, τὸ νέμον οἱονεὶ καὶ διαμερίζον ἑκάστῳ τὴν ἰδίαν προσηγορίαν· ἐν γὰρ τῷ ἄνθρωπος ὀνόματι διαχωριζόμεθα μὲν τῶν ἄλλων, κοινωνοῦμεν δὲ ἑαυτοῖς πάντες, ἐν δὲ τῷ Ὅμηρος Σωκράτης ἐπιμερίζεται ἡ γνῶσις.

Χρὴ γινώσκειν ὡς πᾶν διδακτὸν ἐξ ὅρου καὶ παρεπομένων καταλαμβάνεται. Διδακτέον οὖν τοῦ ὀνόματος τὸν ὅρον οὕτως· ὄνομά ἐστι μέρος λόγου πτωτικόν, ἑκάστῳ τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων κοινὴν ἢ ἰδίαν ποιότητα ἀπονέμον, κοινὴν μέν, οἷον ἄνθρωπος ἵππος, ἰδικὴν δέ, οἷον γραμματική Σωκράτης. Ἰστέον ⟨δὲ⟩ ὅτι ἴδιον τοῦ ὀνόματος τυγχάνει *etc.* = Σ^v 215, 26—216, 7.

Ὄνομά ἐστι λέξις ἐπὶ σώματος καὶ πράγματος τεταγμένη, καὶ ἤτοι κοινῶς ἢ ἰδίως τι δηλοῦσα· κοινῶς μέν, οἷον ἄνθρωπος, ἰδίως δέ, οἷον Σωκράτης.

21—26 *cfr* Σ^v *216, 25—28*

1 γνησιώτερα V, γνησιώτατα N ‖ **5** πτωτικῶς VN ‖ **8** ῥήματα] ῥήματι VN ‖ **13** πᾶσα λέξις VN ‖ **20** προτερευέτω V, προτερεύεται N ‖ **22** προσθέσει V, πλεονασμῷ N ‖ **23** ὄσταφις *RSchneider,* ἄσταφις VN | οἱονεὶ V, *om* N

§ 12 (14b).

Περὶ ὀνόματος.

Ὄνομά ἐστι μέρος λόγου πτωτικόν, σῶμα ἢ πρᾶγμα σημαῖνον, σῶμα μέν, οἷον λίθος, πρᾶγμα δέ, οἷον παιδεία, κοινῶς τε καὶ ἰδίως λεγόμενον, κοινῶς μέν, οἷον ἄνθρωπος ἵππος, ἰδίως δέ, οἷον Σωκράτης Πλάτων.] «Πτωτικόν», ἐπειδὴ κοινωνεῖ ἑτέροις *etc.* = Σ^v 216, 30—217, 21.

Διὰ τί εἶπε «σῶμα ἢ πρᾶγμα σημαῖνον»; Διὰ τὰ ἄλλα πτωτικά, τό τε ἄρθρον καὶ τὴν ἀντωνυμίαν· ἐκεῖνα γὰρ οὐκ εἰσὶ σημαντικὰ καθ' ὧν ἐπιφέρονται, ἀλλὰ τὸ μέν, ἤγουν ἡ ἀντωνυμία, δεικτικόν, τὸ δέ, ἤγουν τὸ ἄρθρον, παρεπόμενον τοῖς ὀνόμασι καὶ ταῖς μετοχαῖς καὶ ἀντωνυμίαις, οὐ πάσαις, ἀλλὰ πολλαῖς τισιν. — Ἐν πόσοις καὶ ποίοις τὸ ὄνομα; Ἐν δυσίν, ἤτοι σώμασι καὶ πράγμασιν. — Διὰ τί εἶπε «κοινῶς τε καὶ ἰδίως λεγόμενον»; Διότι ἐν τῇ λέξει οὐ διαφέρει, ὡς ὄνομα, τὸ κοινῇ καὶ κατ' εἶδος ἢ γένος λεγόμενον ὄνομα τοῦ ἰδίως λεγομένου καὶ πρὸς ἓν ἄτομον. Πῶς; πλάτυνον. Ὄνομά ἐστι [μέρος τοῦ λόγου] ἐπ' ἴσης τὸ ἄνθρωπος ἵππος ζῷον, τὰ κοινῶς ἐπιλεγόμενα τῷ παντὶ εἴδει τοῦ ἀνθρώπου καὶ παντὶ εἴδει ⟨τοῦ⟩ ἵππου καὶ παντὶ γένει τοῦ ζῴου, τῷ Σωκράτης καὶ Πλάτων, ἅτινα ἕνα Πλάτωνά τινα ἐν ἑνὶ ἀτόμῳ τῶν ἐν ὅλῳ τῷ εἴδει ἀνθρώπων καὶ ἕνα Σωκράτη δηλοῦσιν. Ἡ γὰρ προσηγορία, φησὶν ὁ τεχνικός, ἤγουν τὸ ὄνομα τῆς κοινῆς οὐσίας, ὡς εἶδος τῷ ὀνόματι ὑποβέβληται. Κοινῶς μέν, ὡς ἄνθρωπος, ἰδίως δέ, οἷον Σωκράτης Πλάτων· κοινὸν γάρ ἐστιν καὶ ἴδιον, ὡς εἴρηται, τῆς οὐσίας τὸ ὄνομα. — Ἐπειδὴ τὸ μὲν ὄνομα συναναιρεῖ, τὸ δὲ ῥῆμα συναναιρεῖται, διὰ τοῦτο καὶ προτερεύει τὸ ὄνομα τοῦ ῥήματος, ὡς οὐσία καὶ συμβεβηκός.

Τί ἐστι μέρος; Πᾶν τὸ ἥμισυ τοῦ σώματος, ἢ καὶ ἓν μέλος, ἤτοι χεὶρ ἢ ποὺς ἢ κεφαλὴ ἢ ἄλλο τι τῶν μελῶν τοῦ σώματος. Διὰ τί εἶπε «μέρος»; Ἐπειδὴ ἐκ τῶν ὀκτὼ μερῶν τοῦ λόγου ἓν μέρος ἐστὶ τὸ ὄνομα καὶ πρῶτον, ἐξ ὧν ὁ λόγος ἁρμόζεται. — Διὰ τί εἶπε «πτωτικόν»; Ἐπειδὴ πτώσεις ἐπιδέχεται, καὶ διὰ τὰ ἄπτωτα. Ἀπὸ τῶν ὀκτὼ μερῶν τοῦ λόγου πόσα πτωτικὰ καὶ πόσα ἄπτωτα; Πτωτικὰ μὲν τέσσαρα, ὄνομα, μετοχή, ἄρθρον, ἀντωνυμία, ἄπτωτα δὲ τέσσαρα, ῥῆμα, πρόθεσις, ἐπίρρημα καὶ σύνδεσμος. Διὰ τί καλοῦνται τὰ μὲν πτωτικά, τὰ δὲ ἄπτωτα; Διότι μεταπίπτει ἐν τοῖς πτωτικοῖς τὸ τέλος τῆς εὐθείας ἐν τῇ γενικῇ· καὶ γὰρ ἐν ταῖς κλίσεσιν εἰς διαφόρους καταλήξεις μεταπίπτουσιν, οἷον λόγος λόγου λόγῳ λόγον ὄνομα, τύπτων τύπτοντος μετοχή, ὁ τοῦ τῷ ἄρθρον, αὐτός αὐτοῦ ἀντωνυμία· ἐν δὲ τοῖς ἀπτώτοις ἀεὶ τὸ τέλος ἕν ἐστιν. Τὸ δέ γε ῥῆμα ἀμφιβάλλεται. Καὶ μὴν τὸ ῥῆμα μεταπίπτειν δοκεῖ· τύπτω γάρ ἐστιν, τὸ δεύτερον τύπτεις, τὸ τρίτον τύπτει. Καί φασιν· ἀλλὰ δοκεῖ, οὐ μεταπίπτει δέ· ἄλλο γάρ ἐστι τὸ ὄνομα τῆς αὐτῆς οὐσίας, καὶ ἄλλο τὸ ἐν ἄλλῃ καὶ ἄλλῃ οὐσίᾳ, ἤγουν ἐν ἄλλῳ καὶ ἄλλῳ προσώπῳ, τὸ ῥῆμα ἀλλοίως καὶ ἀλλοίως ἐκφωνεῖσθαι. Πῶς φασιν — ἢ φής; κρεῖττον γάρ ἐστι τὸ δεύτερον τὸ φής· καὶ πλάτυνον. Φημὶ ὅτι πᾶν ὄνομα κλινόμενον τρίτον πρόσωπον δηλοῖ ἐπὶ τῶν πέντε πτώσεων· δοκεῖ γὰρ ὁ κλίνων μήτε ἑαυτὸν κλίνειν μήτε τὸν ἀκούοντα, περὶ δὲ [τοῦ] ἑτέρου διαλαμβάνειν, δηλαδὴ τρίτου προσώπου, ὅπερ οὔτε λέγει, ὡς ὁ λέγων τὸ πρῶτον πρόσωπον, οὔτε ἀκούει, ὡς ὁ ἀκούων τὸ δεύτερον· τὸ μέντοι τύπτω πρώτου προσώπου ἐστίν, τὸ δὲ τύπτεις δευτέρου, τὸ δὲ τύπτει τρίτου, ὥστε οὐδὲν τούτων ἀλλάσσει τὴν τελευταίαν εἰς τὴν τῆς ἰδίας οὐσίας μετάπτωσιν. Διὰ τὴν αἰτίαν οὖν ταύτην οὐ καλεῖται τὸ ῥῆμα πτωτικόν, ἀλλὰ τοῖς

8—360, 44 *om* N ‖ **15** τὸ] τῷ V ‖ **18** ἀνθρώπων] ἀτόμων V ‖ **36** φασιν] φησὶν V; *item v.* 38

ἀκλίτοις τούτων καὶ ἀπτώτοις συντάσσεται, τῇ προθέσει, τῷ ἐπιρρήματι καὶ τῷ συνδέσμῳ.

Ποσαχῶς τὸ ὄνομα; Διχῶς· τὸ μὲν πρὸς ἀντιδιαστολὴν τοῦ ῥήματος, τὸ δὲ κοινῶς λεγόμενον ἐπὶ πάσης λέξεως, καθ' ὃ σημαινόμενον πᾶσα φωνὴ σημαντικὴ ὄνομα λέγεται. — Πόσα σημαίνει τὸ ὄνομα; Δύο, σῶμα καὶ πρᾶγμα, σῶμα μέν, οἷον οὐσία, πρᾶγμα δέ, οἷον συμβεβηκός. — Τί ἐστι σῶμα; Ἡ αἰσθητὴ οὐσία· ἄλλως· πᾶν τὸ θεωρούμενον καὶ κρατούμενον ὑπὸ τῆς ἁφῆς τοῦ ἀνθρώπου λέγεται σῶμα, οἷον λίθος ξύλον. — Τί ἐστι πρᾶγμα; Ἡ ἐννοηματικὴ οὐσία, οἷον παιδεία ῥητορικὴ φιλοσοφία· καὶ ἄλλως· πᾶν τὸ μήτε θεωρούμενον μήτε κρατούμενον ὑπὸ τῆς ἁφῆς τοῦ ἀνθρώπου λέγεται πρᾶγμα· ἄλλως· ὃ μηδενὶ τῶν εἰρημένων, ἤγουν ὁράσεως ἢ ψηλαφήσεως, νῷ δὲ μόνῳ θεωρεῖται, οἷον θεὸς λόγος. Καὶ ὁ κάπνος σῶμά ἐστιν ἢ πρᾶγμα; Καὶ σῶμα καὶ πρᾶγμα· σῶμα μέν, ὅτι θεωρεῖται, πρᾶγμα δέ, ὅτι οὐ κρατεῖται. — Διὰ τί προτερεύει τὸ ὄνομα τοῦ ῥήματος; Ἐπειδὴ τὸ μὲν ὄνομα οὐσίαν σημαίνει, τὸ δὲ ῥῆμα συμβεβηκός, προτέρα δὲ ἡ οὐσία τοῦ συμβεβηκότος.

Πόθεν ὄνομα; Ἀπὸ τοῦ νέμω, ὃ δηλοῖ τὸ μερίζω, γίνεται νόμα, καὶ προσθέσει τοῦ ō ὄνομα. Σημείωσαι ὅτι τοῦτο μονῆρές ἐστιν· οὐδὲν γὰρ εἰς ᾱ λῆγον ὄνομα οὐδέτερον παραλήγεται ἑνὶ ō καὶ προπαραλήγεται ἑτέρῳ ō, εἰ μὴ μόνον τὸ ὄνομα· ὅθεν οἱ Αἰολεῖς ἀναλογώτεροί εἰσιν ὄνυμα λέγοντες, ὡς μήνυμα καὶ κώλυμα καὶ ἔρυμα, ἐξ οὗ καὶ τὸ φερώνυμον καὶ διώνυμον καὶ ὁμώνυμον. Ἄλλως· πόθεν ὄνομα; Ἐκ τοῦ ὀνῶ, ὃ δηλοῖ τὸ μέμφομαι· τούτου ὁ μέλλων ὀνόσω, ἐξ οὗ καὶ τὸ ὄνομα. Καὶ τί μετέχει; Ὅτι πρῶτον ἡ τοιαύτη λέξις τὸ ὄνομα ἐπὶ σκώμματι ἐπετρίβη τινὶ τῶν παλαιτάτων, ὃς ἐπεκλήθη Ὄνομα, ἤτοι σκῶμμα καὶ μέμψις τῆς Ἑλλάδος· ἐκ τούτου δὲ ἐκράτησεν ἡ λέξις κατὰ παντὸς οὐσίαν σημαίνοντος. — Πόσα σημαίνει τὸ νέμω; Ἕξ· τὸ παρέχω, παρ' οὗ καὶ νεμέτωρ ὁ βραβευτής· νέμω τὸ μερίζω, παρ' οὗ καὶ νόμος καὶ ὄνομα, τὸ μεμερισμένον πᾶσιν· νέμω τὸ βόσκω, ἐξ οὗ καὶ νομεύς ὁ βοσκός, καὶ νομὴ ἡ βοσκή· νέμω τὸ πορεύομαι, ἐξ οὗ καὶ νέμεται τὸ ἐπιπορεύεται· νέμω τὸ φθονῶ, ἐξ οὗ καὶ νέμεσις ἡ μέμψις, καὶ νεμεσῶ τὸ μέμφομαι· νέμω τὸ οἰκῶ, οἷον ⟨B 496⟩ οἵ θ' Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσαν. — Ὄνομα· τὸ ō μικρόν, διὰ τί; Τὰ κατὰ πλεονασμὸν τοῦ ō γινόμενα μικρογραφεῖται· καὶ ἄλλως· ἐκ τοῦ ὀνῶ, ὃ δηλοῖ τὸ μέμφομαι· τὰ ἀπὸ τοῦ ō ἀρχόμενα μικρογραφεῖται, οἷον ὀνῶ τὸ ὠφελῶ, ὀνῶ τὸ μέμφομαι, ὁρῶ τὸ βλέπω καὶ ἕτερα· ὠδίνω δὲ (τὸ ἐπὶ τοκετοῦ) ὠθῶ ὤθω ὠφελῶ ὠχριῶ ὠρακιῶ ὠστίζω ὠνῶ (τὸ ἀγοράζω) καὶ ὠρῶ (τὸ φυλάττω) μεγάλα. — Εἰς τὸ ō τί πνεῦμα; Ψιλόν. Διὰ τί; Τὸ ō πρὸ τοῦ ν̄ ψιλοῦται, ὀνῶ τὸ μέμφομαι, ὀνοστόν τὸ μεμπτόν· εἰ μή τις ἕτερος κωλύει λόγος, διὰ τὸ ὑποτακτικὸν ἄρθρον τῆς αἰτιατικῆς τῶν ἑνικῶν τοῦ ἀρσενικοῦ γένους τὸ ὅν· πᾶν γὰρ ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται. — Τίνα τόνον; Ὀξεῖαν. Διὰ τί; Πρὸ δύο συλλαβῶν περισπωμένη οὐ τίθεται. — Τὸ νο̄ μικρόν, διὰ τί; Ἐκ τοῦ νέμω· τὰ ἔχοντα τὸ ε̄ ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ō μικρὸν ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασιν, οἷον φέρω φόρος, νέμω νόμος, καὶ ἕτερα πλεῖστα. Καὶ ἄλλως· τὰ εἰς μᾱ λήγοντα οὐδέτερα φύσει μακρᾷ παραλήγεται, χῶμα χρῶμα καὶ ἄλλα πολλά, πλὴν τοῦ στόμα ὄμμα ὄνομα καὶ ἑτέρων. Καὶ ἄλλως· ἐκ τοῦ ὀνόσω, ὃ δηλοῖ τὸ μέμψομαι· ἡ γὰρ τρίτη συζυγία τῶν περισπωμένων ἐπὶ τοῦ μέλλοντος θέλει ἔχειν τὸ ω̄ τὸ μέγα ἢ τὸ ō τὸ μικρόν· καὶ πάντοτε μὲν τὸ ω̄ τὸ μέγα, πλὴν ὀνόσω, ὃ δηλοῖ τὸ μέμψομαι, βόσω (τὸ θρέψω), ἐνόσω, ὃ δηλοῖ τὸ κινήσω, καὶ ἑτέρων.

Παρέπεται τῷ ὀνόματι πέντε, γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις.] Παρεπόμενόν ἐστι *etc.* = Σ^{v} 217, 23—218, 7.

⟨*Heliodori.*⟩ — Ἄξιον οὖν ἐνταῦθα ζητῆσαι, διὰ τί μὴ ἴδια ταῦτα

---

47 — 361, 11 *videntur esse* Σ^{h}

10 ὃ μηδενὶ] ᾧ μηδὲν V ‖ **45** Πόσα παρέπεται τῷ ὀνόματι. πέντε V

λέγει εἶναι τοῦ ὀνόματος τὰ πέντε, ἀλλὰ παρεπόμενα, καὶ τί διαφέρει ἴδιον παρεπομένου. Καὶ ἔστιν εἰπεῖν· ἴδιον μὲν λέγεται τὸ ἀναστρεφόμενον καὶ τοῦ αὐτοῦ γένους καὶ αὐτοῦ μόνου ὑπάρχον, ὡς ἴδιόν φαμεν τοῦ ἀνθρώπου τὸ γελαστικόν, αὐτοῦ γὰρ μόνου, καὶ εἴ τι γελαστικόν, τοῦτο ἄνθρωπος, καὶ ἵππου τὸ χρεμετιστικόν, καὶ εἴ τι χρεμετιστικόν, τοῦτο ἵππος· οὕτως ὀνόματος ἴδιον λέγομεν τὸ καθ' ὑποκειμένου καὶ οὐσιώδους τάττεσθαι, τοῦτο γὰρ αὐτῷ μόνῳ παρέπεται παρὰ τὰς ἄλλας λέξεις· παρεπόμενον δὲ ἐκεῖνο τὸ φύσει συμβεβηκὸς ἀχώριστον ἢ χωρισθῆναι δυνάμενον, ἀχώριστον μέν, ὡς Αἰθίοπι τὸ μέλαν, χωρισθῆναι δὲ δυνάμενον, ὡς τὸ καθέζεσθαι τῷ ἀνθρώπῳ, ὅπερ οὐχ ἑνὸς μόνου, ἀλλὰ καὶ ἄλλου γένους φαίνεται εἶναι.

Τί ἐστι γένος; Ποιότης ὀνόματος ὑπὸ τῶν ἄρθρων διαιρουμένη. Καὶ ἄλλως· πτωτικῆς λέξεως χαρακτὴρ σημαίνων τὸ ἐν φωνῇ ἄρσεν ἢ θῆλυ ἢ οὐδέτερον. Καὶ σημειωτέον ὅτι ἔγκειται τῷ ὅρῳ τὸ «ἐν φωνῇ», ἐπεὶ οἱ φιλόσοφοι οὐκ ἀπὸ φωνῆς νοοῦσι τὰ γένη, ἀλλ' ἀπὸ τῆς σημασίας, οἱ δὲ γραμματικοὶ ἄρσεν γένος ἐκεῖνο λέγουσιν, οὗ προηγεῖται τὸ ὁ ἄρθρον, θῆλυ δέ, οὗ προηγεῖται τὸ ἡ, οὐδέτερον δέ, οὗ προηγεῖται τὸ τό.

Ἰστέον οὖν ὅτι τὸ γένος λέγεται τετραχῶς· καὶ γένος μὲν λέγεται ἡ πατρίς, ὡς οἱ ἀπὸ Νικαίας Νικαεῖς· γένος δὲ λέγεται καὶ τοῦ τεκόντος, ὡς οἱ ἐξ Ἰσραὴλ Ἰσραηλῖται· γένος δὲ λέγεται καί, περὶ οὗ παρὰ τοῖς φιλοσόφοις ὁ λόγος, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον· καὶ τὸ παρὰ τοῖς γραμματικοῖς τέταρτον, πτωτικῆς λέξεως χαρακτὴρ σημαίνων τὸ ἐν φωνῇ ἄρσεν ἢ θῆλυ ἢ οὐδέτερόν τι διακρίνων.

Διὰ τί παρέπεται τῷ ὀνόματι πέντε; Διότι καὶ τῷ ἀνθρώπῳ πέντε αἰσθήσεις εἰσίν, ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις καὶ ἁφή· διακρίνομεν δὲ ἐν μὲν τῇ ὁράσει τὸ λευκὸν καὶ τὸ μέλαν, ἐν δὲ τῇ ὀσφρήσει τὸ εὐῶδες καὶ τὸ δυσῶδες, ἐν δὲ τῇ ἀκοῇ τὸ ὀξὺ καὶ τὸ βαρύ, ἐν δὲ τῇ γεύσει τὸ γλυκὺ καὶ τὸ πικρόν, ἐν δὲ τῇ ἁφῇ τὸ ψυχρὸν καὶ τὸ θερμόν.

Πόθεν γένος; Ἀπὸ τοῦ γείνω, ὃ δηλοῖ τὸ γεννῶ. Πόσα γένη; Τρία, ἀρσενικόν, θηλυκὸν καὶ οὐδέτερον· ἔνιοι δὲ προστιθέασι τούτοις καὶ ἕτερα δύο, κοινόν τε καὶ ἐπίκοινον· διὸ ἐξ ἀρχῆς ἐν μόνοις τοῖς ἀψύχοις ἐτίθετο ἡ τοιάδε φωνή, ἅτε μήτε ἀρσενικὰ μήτε θήλεα εἰκὸς νοεῖσθαι ⟨καὶ⟩ λέγεσθαι· μετέπειτα δὲ κατεχρήσαντο οἱ μεταγενέστεροι καὶ ἐπὶ ἐμψύχων· ἐφ' ᾧ καὶ οὐκ ἐκ σημασίας ἔσχε τὴν ἐπωνυμίαν, ἀλλ' ἐξ ἀποφάσεως τῶν δύο γενῶν.

⟨*Heliodori.*⟩ — Πρόσκειται δὲ τῷ ὅρῳ τοῦ γένους τὸ «ἐν φωνῇ», ἐπεὶ οἱ φιλόσοφοι οὐκ ἀπὸ τῆς φωνῆς νοοῦσι τὰ γένη, ἀλλ' ἐκ τῆς σημασίας· καὶ ἄρσεν μὲν καλοῦσι τὸ σπέρματος ἀποβλητικόν, θῆλυ δὲ τὸ σπέρματος δεκτικόν, οὐδέτερον δὲ τὸ μηδενὸς τούτων μετέχον. Ἐὰν γὰρ ἐρωτηθῶσι τὸ βρέφος ἢ τὸ παιδίον ποίου γένους ἐστίν, ἐροῦσιν ἀρσενικοῦ πρὸς τὴν σημασίαν ἀποβλέποντες· καὶ πάλιν ἐὰν εἴπῃς αὐτοῖς τὸ γύναιον ποίου γένους, ἐροῦσι θηλυκοῦ πρὸς τὴν σημασίαν ἀποβλέ-

35 — 362, 24 ***videntur esse*** **Σ^{h}**

10 τῷ ἀνθρ. τὸ καθ. N ‖ 12 ὀνόματος N, *om* V | διαιρουμένη] διαιρούμενον VN ‖ 13 πτωτικῆς V, πτωτικὸς N | Καὶ N, *om* V ‖ 18 — 362, 7 *om* N ‖ 18 τετραχῶς] τριχῶς V ‖ 23 διακρῖνον V ‖ 33 ἐπὶ ἐμψύχων] παράγωγον V

ποντες· καὶ πάλιν ἐὰν εἴπῃς αὐτοῖς ἡ πέτρα καὶ ὁ πύργος ποίου γένους, ἐροῦσιν οὐδετέρου· τὸ γὰρ οὐδέτερον οὐκ ἐκ σημασίας ἔχει τὴν ὀνομασίαν, ἀλλ' ἐκ τῆς τῶν δύο γενῶν ἀποφάσεως. Οἱ δὲ γραμματικοὶ λέγουσιν ἄρσεν γένος οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ὁ, ὡς ὁ Αἴας, καὶ θηλυκὸν οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ἡ, οἷον ἡ Μοῦσα, οὐδέτερον δὲ οὗ προτάσσεται ⟨κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον⟩ τὸ τό, ὡς τὸ βῆμα.

Ἰστέον δὲ ὅτι τὸ οὐδέτερον οὐκ ἐκ σημασίας τινὸς ἔχει τὴν ὀνομασίαν, ἀλλ' ἐξ ἀποφάσεως τῶν δύο γενῶν· ὡς γὰρ ἐπὶ τῶν χρόνων ἐνεστῶτά φαμεν τὸν ἐνιστάμενον, καὶ παρατατικὸν τὸν ἔχοντα παράτασιν πολλὴν ὡς ἐκ πολλοῦ γενομένην καὶ οὔπω τετελεσμένην, καὶ παρακείμενον τὸν δηλοῦντα τὴν ἄρτι γενομένην συντέλειαν, καὶ ὑπερσυντέλικον τὸν δηλοῦντα πρᾶγμα πρὸ πολλοῦ συντετελεσμένον καὶ γενόμενον, καὶ μέλλοντα τὸν πρᾶγμα δηλοῦντα μέλλον γενέσθαι, ἀόριστον δὲ τὸν μηδὲν τούτων δηλοῦντα, καὶ ὡς ἐπὶ τῶν ἐγκλίσεων ὁμοίως ὁριστικήν φαμεν τὴν ὁρίζουσαν τὸ πρᾶγμα, καὶ προστακτικὴν τὴν πρόσταξιν σημαίνουσαν, καὶ εὐκτικὴν τὴν τὸ εὔχεσθαι ⟨σημαίνουσαν⟩, εἶτα τὴν ἀπαρέμφατον οὐκ ἀπὸ σημασίας ἀλλ' ἐξ ἀποφάσεως ὀνομάζομεν, οὕτως ἀρσενικὸν καὶ θηλυκὸν ἀπὸ σημασίας, τὸ δὲ ἐξ ἀποφάσεως ἀμφοῖν οὐδέτερον καλοῦμεν, ὅ ἐστι τὸ μηδὲ ἓν τῶν προειρημένων σημαῖνον. Καὶ τοῦτο δὲ ἰστέον, ὅτι πολλάκις ὁ ποιητὴς οὐ πρὸς τὸν χαρακτῆρα τῶν οὐδετέρων ἀλλὰ πρὸς τὸ σημαινόμενον ὑπαντᾷ, ὡς ἐν τῷ ⟨K 278⟩ κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, ἥ τέ μοι αἰεί, καὶ ἐν ἄλλοις πλείστοις ὁμοίως.

Προτάσσειν δὲ δεῖ τὸ εἶδος τοῦ γένους· πᾶσα γὰρ φωνὴ ὑπὸ εἶδος ἀνάγεται, οὔ γε μὴν ὑπὸ γένος· οἱ δὲ φιλόσοφοι τὸ γένος προτιθέασιν ὡς περιεκτικὸν τῶν εἰδῶν.

⟨*Heliodori.*⟩ — Ἔνιοι δὲ προστιθέασι τούτοις ἄλλα δύο, κοινόν τε καὶ ἐπίκοινον.] Ἐπειδή τινες εἰσηγήσαντο ἄλλα δύο γένη, τὸ κοινόν τε καὶ ἐπίκοινον, τούτου χάριν ἐλευθερῶν ἑαυτὸν μέμψεως ὁ τεχνικὸς ἔφη «ἔνιοι δὲ προστιθέασιν»· εἰ γὰρ τέσσαρα ἔσονται τὰ γένη, ἀρσενικὸν θηλυκὸν κοινόν τε καὶ ἐπίκοινον, πῶς τὸ μηδὲν τούτων ἐμφαῖνον οὐδέτερον εἴπομεν; Φυσικῶς γὰρ δύο ἐπιστάμεθα γένη, ἄρσεν καὶ θῆλυ, καὶ τὸ ἐξ ἀναιρέσεως τῶν δύο προσαγορευόμενον οὐδέτερον, καὶ ἑκάστῳ αὐτῶν δέδοταί τις οἰκεῖος χαρακτὴρ καὶ ἴδιον ἄρθρον· λέ-

---

8—24 hab. et. Σ^1 ‖ **28—363, 18** *videntur esse* Σ^h; *cfr Choerob. in* CGG *IV 1 p. 107, 16—36*

12 γεν. συντ. Σ^1, συντ. γεν. V, γινομ. συντ. N | καὶ ὑπ. — γενόμενον (**13**) *om* E ‖ **13** πρᾶγμα — γενόμενον VN, τὴν ἐκ πολλοῦ γενομένην συντέλειαν A ‖ **14** καὶ μέλλ. Σ^1, μέλλ. δὲ VN ‖ **15** ὁμοίως Σ^1, *om* VN ‖ **17** σημαίνουσαν *om* VNΣ^1 ‖ **28** *post* δύο *add* V^2: καὶ τὸ μὲν ὠνόμασαν ‖ **29** τε καὶ N, τὸ δὲ V ‖ **35** αὐτῶν N, αὐτῷ V

γομεν γάρ, ὅτι ὁ εἰς ᾱν̄ χαρακτὴρ ἀρσενικῶν ἐστι μόνων, οἷον μεγιστάν πελεκάν, καὶ ὁ εἰς η̄ θηλυκῶν μόνων, ⟨οἷον⟩ Ἑλένη Κλυμένη, καὶ ὁ εἰς ο̄ν̄ οὐδετέρων μόνων, οἷον δένδρον ξύλον· καὶ τὸ ὁ ἄρθρον ἀρσενικῶν ἐστι μόνων, τὸ δὲ ἡ θηλυκῶν, καὶ τὸ τό οὐδετέρων. Παράσχωμεν τοίνυν καὶ τῷ κοινῷ γένει καὶ τῷ ἐπικοίνῳ ἰδίους χαρακτῆρας καὶ ἴδια ἄρθρα πρὸς ἀκρίβειαν καὶ διάκρισιν τῶν ἄλλων γενῶν, καὶ τότε δῶμεν καὶ αὐτὰ γένη· εἰ δὲ οὐχ εὑρίσκομεν, τί μάτην πλῆθος γενῶν παρεισάγομεν τῇ τέχνῃ; καὶ χρὴ λέγειν ὄνομα κοινόν, ὄνομα ἐπίκοινον, καὶ οὐ γένος κοινὸν καὶ ἐπίκοινον. Ὡς οὖν δέδεικται, οὐ δεχόμεθα τὰ γένη ταῦτα παρὰ τὸ ἀρσενικὸν καὶ θηλυκὸν καὶ οὐδέτερον, ἐπειδὴ οὔτε σημασίαν ἰδίαν ἔχουσιν οὔτε ἄρθρον ἴδιον· τὸ γὰρ σημαινόμενον αὐτῶν ἢ ἀρσενικὸν ἢ θηλυκόν, καὶ ἡ φωνὴ αὐτῶν ἢ ἀρσενικὴ ἢ θηλυκή. Καὶ κοινὸν μέν ἐστι *etc.* = Σ^{v} 218, 27 — 219, 7. Καὶ πάλιν ἐκεῖνα καλοῦμεν κοινά, ὅσα ἐξ αὐτῆς τῆς φύσεως πᾶσίν εἰσιν ἐγνωσμένα, εἴτε ἀρσενικὰ εἴτε θηλυκά εἰσιν, ὡς ἐπὶ ἀνθρώπου ⟨καὶ⟩ ἵππου καὶ τῶν τοιούτων· ἐπίκοινα δέ, ὅσα ἐξ αὐτῆς τῆς φύσεως οὐκ εἰσὶ πᾶσιν ἐγνωσμένα, εἴτε ἀρσενικὰ εἴτε θηλυκά ⟨εἰσιν⟩, ὡς ἐπὶ ἀετοῦ καὶ περιστερᾶς καὶ τῶν τοιούτων.

Τί ἐστι κοινὸν γένος; Ὃ τὰς μὲν πτώσεις ἔχει τὰς αὐτάς, ὑποτάσσεται δὲ ἰδίοις ἄρθροις, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος. Καὶ ἄλλως· τὸ διὰ δύο ἄρθρων καὶ δι' ἑνὸς ὀνόματος σημαῖνον τό τε ἄρσεν καὶ θῆλυ, οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ βοῦς καὶ ἡ βοῦς, ὁ κύων καὶ ἡ κύων, καὶ τὰ ὅμοια. Τί ἐστιν ἐπίκοινον γένος; Τὸ δι' ἑνὸς ἄρθρου, ἢ μόνου ἀρσενικοῦ ἢ μόνου θηλυκοῦ, σημαῖνον τὸ ἄρσεν καὶ θῆλυ, οἷον ὁ κόραξ, ὁ ἰχθῦς, ἡ περιστερά, ἡ ἀηδών· ἐκεῖνο μὲν γὰρ τὸ κοινὸν διὰ τὸ κοινῶς τοῦ εἴδους τὸ ὄνομα ἐπιφέρεσθαι, τοῦτο δέ, ἤγουν τὸ ἐπίκοινον, διὰ τὸ συμπεριλαμβάνειν ἐπικοίνως ἐν ἑνὶ ἄρθρῳ τὰ δύο γένη, τὸ ἄρσεν καὶ τὸ θῆλυ. Ἀλλ' οὐδὲν ταῦτα πρὸς τὸν γραμματικόν.

Τί ἐστιν εἶδος; Τοῦτο τὸ εἶδος λέγεται τριχῶς· λέγεται γὰρ εἶδος παρὰ τοῖς φιλοσόφοις τὸ περιεκτικὸν τῶν εἰδικῶν, ἤτοι τῶν ἀτόμων, τουτέστι τῶν προσώπων, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τοῖς ἀτόμοις ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορούμενον· εἶδος λέγεται καὶ ἡ μορφή, ἤγουν ὁ πέτρος· εἶδος καὶ παρὰ τοῖς γραμματικοῖς φωνῆς εἰκὼν τὴν ἐν αὐτῇ δηλοῦσα πρώτην ἢ δευτέραν θέσιν. — Πόθεν εἶδος; Ἀπὸ τοῦ εἴδω, ὃ δηλοῖ τὸ ὁμοιῶ. — Πόσα σημαίνει τὸ εἴδω; Διὰ μὲν τῆς ε̄ῑ διφθόγγου πέντε· εἴδω τὸ γινώσκω, ἐξ οὗ καὶ τὸ ⟨υ 75⟩ οἶδεν ἅπαντα· εἴδω τὸ φαίνω, ἐξ οὗ καὶ τὸ ⟨Θ 559⟩ εἴδεται ἄστρα· εἴδω τὸ ὁμοιῶ, ἐξ οὗ καὶ εἰκών· εἴδω τὸ λέγω, ἐξ οὗ καὶ τὸ ⟨Α 1⟩ μῆνιν ἄειδε, μετὰ τοῦ ἐπιτατικοῦ ᾱ, καὶ γὰρ οἱ πολλὰ ἐπιστάμενοι ᾄδουσιν· εἴδω τὸ βλέπω, τούτου δὴ ὁ δεύτερος ἀόριστος ἴδον, οἷον ⟨ubi?⟩ ἴδον παῖδας Χαλδαίων· διὰ δὲ τοῦ η̄ τέσσαρα· ἥδω τὸ ἐπιθυμῶ, ἐξ οὗ καὶ ἦπαρ, ἐν τούτῳ γὰρ τὰ τῆς ἡδονῆς καὶ τῆς ἐπιθυμίας· ἥδω τὸ ἀρέσκω, ἀφ' οὗ καὶ τὸ ⟨Μ 80. Ν 748⟩ ἅδε δ' Ἕκτορι μῦθος, ἀφ' οὗ καὶ παράγωγον ἁνδάνω, οἷον ⟨Α 24. 378⟩ οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ· ἥδω τὸ εὐφραίνω, ἐξ οὗ καὶ ἡδύς καὶ ἡδύνω παράγωγον· ἥδω τὸ ὠφελῶ, ἐξ οὗ καὶ ἧδος τὸ ὄφελος. — Πόσα εἴδη; Δύο, πρωτότυπον καὶ παράγωγον.

---

3 οἷον δένδρον — μόνων (4) N, *om* V ‖ **7** γένη] γένει VN ‖ **19—43** *om* N ‖ **24** ἰχθὺς V ‖ **29** εἰδικῶν] εἰδῶν V ‖ **31** πέτρος V; *an* τύπος? *Uhlig* ‖ **33** εἴδω ὃ] εἴδομαι V ‖ **34** οἶδεν ἅπαντα] εἰδέναι πάντα V

Εἴδη δύο.] Εἶδός ἐστι χαρακτὴρ λέξεως διάφορον σημασίαν ἔχων, ταττόμενον ὑπὸ τὸ γένος, εἰ καὶ μὴ πάντοτε ἀλλὰ πολλάκις, ἢ περιεχόμενον ὑπ᾽ αὐτοῦ. Καὶ ἄλλως· εἶδός ἐστι φωνῆς εἰκὼν δηλοῦσα τὴν ἐν αὐτῇ πρώτην ἢ δευτέραν θέσιν.

⟨*Heliodori.*⟩ — Ζητοῦσι δέ τινες ἐνταῦθα λέγοντες, διὰ τί μὴ τὸ εἶδος τοῦ γένους προέταξεν ὁ τεχνικός, εἴ γε πᾶσα λέξις ὑπὸ εἶδος ἀνάγεται, οὐχ ὑπὸ γένος, καθό φαμεν οὕτω, «πᾶσα λέξις ἢ πρωτότυπός ἐστιν ἢ παράγωγος». Πρὸς οὕς φαμεν, ὡς τοῖς φιλοσόφοις ἠκολούθησεν ὁ τεχνογράφος· ἐκεῖνοι μὲν γὰρ προτάσσουσι τοῦ εἴδους τὸ γένος, ὡς περιεκτικὸν τῶν εἰδῶν ὑπάρχον· οἱ δὲ γραμματικοὶ τὸ εἶδος προτάσσουσιν, ἐπειδὴ οὐ τοσοῦτον τῆς σημασίας ὅσον τῆς φωνῆς ἀντιποιοῦνται, καθὸ πᾶσα λέξις ὑπὸ εἶδος ἀνάγεται, οὐχ ὑπὸ γένος. — «Γένος δὲ καὶ εἶδος ἐνταῦθα οὐ τὰ παρὰ φιλοσόφοις· οἶδα γάρ, ὅτι γένος ἐκεῖνοί φασι τὸ περιέχον τὸ εἶδος καὶ εἶδος πάλιν τὸ περιεχόμενον ὑπὸ τοῦ γένους, οἷον γένος τοῦ ἀνθρώπου τὸ ζῷον, καὶ ὁ ἄνθρωπος εἶδος ζῴου». Πρὸς ὃν δεῖ οὕτως ἀπαντᾶν· καὶ ἡμεῖς τοῦτό γέ ἴσμεν, ὅτι φωνὰς νῦν ὁ τεχνικὸς εἰσηγεῖται, καὶ ὅτι γένος νῦν λέγει οὐ τὸ περιέχον τὸ εἶδος, ἀλλὰ τὸ ἄρσεν καὶ θῆλυ, καὶ εἶδος οὐ τὸ περιεχόμενον ὑπὸ τοῦ γένους, ἀλλὰ τὸ πρωτότυπον καὶ τὸ παράγωγον, καὶ ὅτι πᾶσα λέξις ὑπὸ τὸ εἶδος ἀνάγεται, καθὸ ἢ πρωτότυπός ἐστιν ἢ παράγωγος. καὶ διὰ τοῦτο τὸ εἶδος ὡς καθολικώτερον ὂν κατὰ τὴν φωνὴν τοῦ γένους ὀφείλει προτάξαι ὁ τεχνικός. Ἀλλά φαμεν, ὡς ὁμωνυμίαν εὑρὼν ἐνταῦθα τοῖς φιλοσόφοις προσεχαρίσατο τὸ γένος προτάξας.

Τί ἐστι πρωτότυπον; Τὸ κατὰ ⟨τὴν⟩ πρώτην θέσιν λεχθέν, ⟨τουτέστι τὸ πρω-⟩τόθετον ὑπάρχον καὶ μὴ ἔχον προκάταρξίν τινα ἢ αἰτίαν τῆς ἑαυτοῦ γενέσεως, οἷον πᾶς. Τί ἐστι παράγωγον; Τὸ ἀπὸ πρωτοτύπου παραγόμενον, οἷον γήϊνος.

Τὸ πρωτότυπον διχῶς νοεῖται *etc.* = Σ^{v} 219, 19—30.

⟨*Heliodori.*⟩ — Γινώσκειν δὲ χρή, ὅτι τὸ παράγωγον, ὅ ἐστι τὸ ἀπό τινος παραγόμενον, ἑτέρῳ γίνεται ἀρχὴ καὶ πρωτότυπον φαίνεται, ὥσπερ παρὰ τοῖς φιλοσόφοις τὸ εἶδος εἰς γένος μεταπίπτει, καὶ τὸ εἶδος τοῦ γένους πάλιν ἑτέρου γένος εὑρίσκεται. Τοῦτο δὲ εἶπον, ἐπειδὴ τὸ γῆ ὄνομα παράγωγον ὂν — παράγεται γὰρ ἀπὸ τοῦ γῶ ῥήματος, ὅ ἐστι τὸ χωρῶ — πρωτότυπον εἶπεν ὁ τεχνικός, καθὸ πάλιν καὶ αὐτὸ

5—23 *videntur esse* Σ^{h} ‖ **28—365, 7** *videntur esse* Σ^{h}

1 Εἴδη δύο N, *om* V ‖ **3** Καὶ — θέσιν (4) N, *om* V ‖ **6** τὸ εἶδος τοῦ γένους N, τὸ γένος τοῦ εἴδους V ‖ **13** γένος — οἷον (15) N, *om* V ‖ **16** τοῦτό N, οὕτω V ‖ **21** τὸ N, *om* V ‖ **22** γένους N, εἴδους V ‖ **23** ἐνταῦθα] ἐν ταύτῃ VN ‖ **24—26** V, Πρωτότυπον μὲν οὖν ἐστι τὸ κατὰ τὴν πρώτην θέσιν λεχθέν, οἷον γῆ N ‖ **24** τουτέστι τὸ πρω] *rasura 35 fere litterarum* V ‖ **28** τὸ (*ante* ἀπό) N, *om* V ‖ **29** ἑτέρῳ V, ἑτέρου N ‖ **30** τὸ γένος εἰς εἶδος VN | εἶδος τοῦ γ.] ἀπὸ τοῦ γ. VN

πρωτότυπον ὄνομα τοῦ γαιήϊος φαίνεται, ὡς καὶ τὸ Θησεύς ἀπὸ τοῦ θήσω παραχθὲν πρωτοτύπου τὸ Θησείδης ἐποίησεν. Ἰδοὺ τὸ εἶδος διχῶς, κατὰ φωνὴν τοῦ πρωτοτύπου, ὡς τὸ πᾶς, καὶ κατὰ σημασίαν τοῦ παραγώγου ἀπὸ τοῦ πρωτοτύπου, ὡς τὸ γήϊνος· ἄλλως τε δὲ κατὰ φωνὴν μέν, ὡς τὰ ἑπτὰ εἴδη τῶν παραγώγων, κατὰ δὲ σημασίαν, ὡς τὰ ὑποπεπτωκότα τῷ ὀνόματι, περὶ ὧν φησιν ὁ τεχνικός· «ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα, ἃ καὶ εἴδη προσαγορεύεται», περὶ ὧν ῥηθήσεται.

Πόσα εἴδη τῶν παραγώγων; Ἑπτά· πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑπερθετικόν, ὑποκοριστικόν, παρώνυμον καὶ ῥηματικόν. Ἀλλὰ ταῦτα μὲν τοῦ παραγώγου ὀνόματός εἰσιν εἴδη, τὰ δὲ λεγόμενα ὑποπεπτωκότα τῷ ὀνόματι, ἃ καὶ αὐτὰ εἴδη προσαγορεύονται, τοῦ γενικοῦ καὶ πρωτοτύπου ὀνόματός εἰσιν εἴδη. Πῶς φῄς; πλάτυνον. Ὥσπερ τῷ γενικῷ ζῴῳ ὑπόκεινται εἴδη, οἷον ἄνθρωπος βοῦς κύων, καὶ τῷ γενικῷ φυτῷ ὑπόκεινται εἴδη, ⟨οἷον⟩ ἐλαία συκῆ ἄμπελος, οὕτω καὶ τῷ γενικῷ ὀνόματι ὑπόκεινται καὶ ὑποβέβληνται εἴδη τὰ ὑποπεπτωκότα τῷ ὀνόματι, ἅ εἰσιν εἰκοσιτέσσαρα, καθὼς προϊὼν ὁ λόγος δηλώσει· τὰ δὲ ἑπτὰ εἴδη τῶν παραγώγων, ὡς ἀπὸ πρωτοτύπων ὀνομάτων παραγόμενα, [οὕτω] καὶ αὐτὰ εἴδη καλοῦνται ἀντὶ τρόπων.

Ἐπιδιαίρεσιν τοῦ εἴδους πεποίηται, τεμὼν γὰρ αὐτὸ εἰς πρωτότυπον καὶ παράγωγον†. Ἐνταῦθα *etc.* = Σ^v 220, 3—13.

Πατρωνυμικὸν μὲν οὖν ἐστι τὸ κυρίως ἀπὸ πατρὸς ἐσχηματισμένον]· οἷον Πηλείδης ὁ υἱὸς τοῦ Πηλέως· «ἐσχηματισμένον» τουτέστι παρηγμένον.

⟨*Heliodori.*⟩ — Καὶ δεῖ εἰδέναι ὅτι εὐλόγως προτάττει τὸ πατρωνυμικὸν τῶν ἄλλων, ἐπειδὴ ἀπὸ μόνων κυρίων γίνεται· καὶ ὃν τρόπον πρεσβεύει ἐν τοῖς ἄλλοις εἴδεσι τὰ κύρια, τοῦτον καὶ τὰ ἐξ αὐτῶν γινόμενα πρεσβεύειν ὀφείλει. — Ὁριστέον τοίνυν τὸ πατρωνυμικὸν οὕτως· πατρωνυμικόν ἐστιν ὃ γέγονεν ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου κυρίου καὶ εἰς αὐτὴν τὴν γενικὴν τοῦ πρωτοτύπου κυρίου ἀναλύεται μετὰ τοῦ υἱός ἢ ἔκγονος· τὰ δὲ μὴ ἀναλυόμενα εἰς γενικὴν κυρίου μετὰ τοῦ υἱός ἢ ἔκγονος τύπῳ μόνῳ καὶ οὐ σημαινομένῳ ἐστὶ πατρωνυμικά, δηλουμένῳ δὲ παρώνυμα, ὡς ἔχει τὸ Εὐριπίδης Ἡρῴδης· ⟨ταῦτα⟩ φωνῇ μόνῃ λέγομεν εἶναι πατρωνυμικά, ἐπεὶ μὴ ἀπὸ κυρίων ⟨εἰσίν⟩. Τὸ δὲ ἀδελφιδοῦς καὶ θυγατριδοῦς, καίτοι εἰς γενικὴν μετὰ τοῦ υἱός ἀναλυόμενα, οὐκ εἰσὶ πατρωνυμικά, ἐπεὶ μὴ ἀπὸ κυρίων εἰσὶ μήτε τύπον ἔχει πατρωνυμικόν, ἀλλὰ μᾶλλον συγγενικά· συγγενικὰ δὲ λέγομεν τὰ μὴ ἀπὸ πατέρων ἢ μητέρων γενόμενα, ἀπὸ δὲ ἄλλων συγγενῶν [ἢ ἀδελφικῶν]· ἔστι μὲν [ὡς] ἀπὸ ἀδελφοῦ, ὡς ἀδελφιδοῦς, ἢ ⟨ἀπὸ⟩ υἱοῦ, ὡς υἱιδοῦς,

---

23—366, 12 hab. et. Σ^l; *videntur esse* Σ^h

2 (Ἰδοὺ) — **7** *om* N ‖ **8—17** *om* N ‖ **12** Ὥσπερ] ἐν V ‖ **21** οἷον — ἐσχηματ. *om* N ‖ **23** προτάττει NΣ^l, τάττει V ‖ **27** τῆς Σ^l, *om* VN ‖ **32** πατρωνυμικὰ N, πατρωνυμικὸν V ‖ **34** εἰσὶ (*poster.*) Σ^l, *om* VN ‖ **36** συγγενῶν NΣ^l, συγγενικῶν V | ἢ ἀδελφ. — θυγατριδοῦς (**366, 1**) *om* Σ^l | ἢ ἀδελφικῶν V, ἢ ἀδελφῶν N

ἢ ἀπὸ θυγατρός, ὡς θυγατριδοῦς· καὶ ἴσως συγγενικὰ ἐκλήθη διὰ τὸ συγγένειάν τινα ταῦτα δηλοῦν. Καὶ ὁ μὲν ποιητὴς ἐκ πατέρων ποιεῖται τὰ πατρωνυμικά, ἢ ἀπὸ προγόνων, ὅταν ὁ πρόγονος ἀπὸ θεῶν κατάγηται· οὐδέποτε γὰρ Ὅμηρος ἐκ πάππων ἀποτελεῖ πατρωνυμικὸν χα- 326, 23c
ρακτῆρα, εἰ μὴ ὁ πάππος Διὸς εἴη υἱός [τουτέστιν ἀπὸ θεῶν κατάγεται], ὡς ἐν τῷ Αἰακίδης (ὁ Ἀχιλλεύς) καὶ ἐν τῷ Δαρδανίδης (ὁ Πρίαμος). Οἱ δὲ νεώτεροι πάντες ποιηταὶ οὐ μόνον ἐκ πατέρων ποιοῦσι πατρωνυμικά, ἀλλὰ καὶ ἀπὸ μητέρων, οἷον Λητοΐδης (ὁ Ἀπόλλων) λέγοντες καὶ Δαναΐδης (ὁ Περσεύς) καὶ Εἰλαρίδης (ὁ Τιτυός), ἅτινα πατρωνυμικὰ καλοῦσιν ἐκ τῆς ἐπικρατούσης ἀρσενικῆς ἐπωνυμίας· ὡς καὶ ἡμεῖς ἀνδριαντοποιόν φαμεν τὸν καὶ γυναῖκας πλάσσοντα καὶ ἀνδροφόνον τὸν καὶ γυναῖκας φονεύοντα. — Χρειώδης δὲ τοῦ τύπου τούτου ἡ συντομία ἐστίν· ἀντὶ γὰρ τοῦ εἰπεῖν Πηλέως υἱός, Αἰακοῦ υἱὸς ἢ ἔκγονος, φημὶ Πηλείδης Αἰακίδης· ὅθεν οὐδὲ προστίθεται τὸ υἱός ἤ τι τοιοῦτον.

Ἰστέον ὅτι τὰ πατρωνυμικὰ τιμιώτερά εἰσι τῶν ἄλλων εἰδῶν, ὡς ἀπὸ κυρίων παραγόμενα, οἷον Ἀτρεύς Ἀτρείδης, Αἰακός Αἰακίδης· τὰ γὰρ ἄλλα καὶ ἀπὸ κυρίων παράγονται καὶ ἀπὸ προσηγορικῶν, Ἀρίσταρχος Ἀριστάρχειος οἶκος, ἄνθρωπος ἀνθρώπειος νοῦς. Διὰ τί τὰ πατρωνυμικὰ *etc.* = Σ^v 222, 26—223, 2.

Καταχρηστικῶς δὲ καὶ τὸ ἀπὸ προγόνων.] Καταχρηστικῶς δέ, φησί, καὶ [τὸ] ἀπὸ προγόνων σχηματίζεται, οἷον Αἰακίδης (ὁ Ἀχιλ⟨λ⟩εύς) ὁ Αἰακοῦ ἀπόγονος καὶ Δαρδανίδης (ὁ Πρίαμος) ὁ Δαρδάνου ἀπόγονος. Σχηματίζουσι δὲ καὶ ἀπὸ μητέρων, οἷον Λητοΐδης (ὁ Ἀπόλλων) ὁ τῆς Λητοῦς παῖς· τινὲς δὲ ταῦτα μητρωνυμικὰ ὀνομάζουσιν. — Τὰ γοῦν πατρωνυμικὰ θέλει μιᾷ συλλαβῇ πλεονάζειν τῆς γενικῆς τοῦ πρωτοτύπου· ἔχει δὲ τὴν γένεσιν πάντως ἀπὸ τῆς γενικῆς ⟨τοῦ πρωτοτύπου⟩. — Ἰστέον δὲ ὅτι ⟨τὸ⟩ πατήρ πολλὰ σημαίνει· ⟨καὶ γὰρ⟩ οὐ μόνους τοὺς φύσαντας, ἀλλὰ καὶ τοὺς προγόνους, καὶ τοὺς πολιούχους, καὶ ⟨τοὺς⟩ τῶν πόλεων κτίστας, καὶ τοὺς νομοθέτας δὲ πατέρας λέγομεν.

Λέγει τοίνυν ὁ τεχνικὸς χαρακτῆρας καὶ τύπους τῶν πατρωνυμικῶν τρεῖς· κοινὸν μὲν πάσης διαλέκτου τὸν εἰς δης, οἷον Πηλείδης, Ἰωνικὸν δὲ τὸν εἰς ων, οἷον Ἀτρείων, καὶ τρίτον τῶν Αἰολέων τὸν εἰς αδιος· τούτῳ γὰρ τῷ τύπῳ κέχρηνται οἱ Αἰολεῖς ἐπὶ τὰ πατρωνυμικά.

12—14 = Σ^v *220, 27—30* ‖ **27—30** *cfr* Σ^v *220, 14—16*

4 πάππων N, πάντων V, πάππου Σ^1 ‖ **5** τουτέστιν — κατάγεται *om* Σ^1 ‖ **6** *prius* ὁ *om* N | καὶ — Πρίαμος VN, μὴ τοίνυν ὑπολάβοι τις τὸ ⟨α 40⟩ ἐκ γὰρ Ὀρέσταο τίσις ἔσ⟨σ⟩εται Ἀτρείδαο πατρωνυμικῶς τοῦ Ὀρέστου ἀπὸ Ἀτρέως· ὁ (*l.* οὐ) γὰρ Ἀτρεὺς Διός· ἀλλ' ἐκ τοῦ Ὀρέστου τίσις ἔσεται τοῦ Ἀγαμέμνονος τοῦ Ἀτρέως Σ^1 ‖ **9** καὶ Δαν. — Τιτυός *om* Σ^1 | ἱλαρίδης VN ‖ **11** τὸν — ἀνδροφόνον *om* Σ^1 | καὶ (*ante* γυν.) N, *om* V ‖ **13** Αἰακοῦ — ἔκγ.] διὸς ἔκγονος ἢ αἰακοῦ VN ‖ **14** οὐδὲ N, οὐδὲν V ‖ **15—19** *om* N ‖ **21** δέ] τε VN ‖ **27** πατήρ N, πατρὸς V

Πόσοι τύποι τῶν πατρωνυμικῶν ἀρσενικῶν; Τρεῖς· ὁ εἰς δης, οἷον Πηλείδης, ὁ εἰς ων, οἷον Ἀτρείων, καὶ ὁ τῶν Αἰολέων ἴδιος τύπος, οἷον Ὑρράδιος. — Διὰ τί προτέτακται τὸ πατρωνυμικόν; Ὅτι ἀπὸ μόνων γέγονε κυρίων· καὶ ὥσπερ ἐν τοῖς ἄλλοις εἴδεσι τὰ κύρια πρεσβεύει, οὕτω καὶ τὰ ἐξ αὐτῶν γινόμενα πρεσβεύειν ἤτοι πρωτεύειν ὀφείλει.

⟨*Heliodori.*⟩ — Ἐπειδὴ πρὸς νέους ἔγραψε τὴν τέχνην ὁ Διονύσιος, τοὺς μὲν τύπους τῶν πατρωνυμικῶν μόνον ἐξέθετο, αὐτῶν δὲ τῶν τύπων τοὺς σχηματισμοὺς ἐσιώπησεν, ἁπλουστέραν τὴν διδασκαλίαν ποιούμενος. Ἡμᾶς δὲ εὔλογόν ἐστιν εἰπεῖν τῶν τύπων ἕκαστος ὅθεν προῆλθε καὶ ποῖον σχηματισμὸν ἀνεδέξατο, ἀρξαμένους οὕτω τοῦ λόγου, ὡς πᾶν πατρωνυμικὸν ἀπὸ γενικῆς ἐστιν· πᾶσα γὰρ γενικὴ εἰς ος λήγουσα ἢ εἰς ους ⟨ἢ εἰς ου⟩ εἰς δης ποιεῖ τὸ πατρωνυμικόν. Ἀλλ' ὅτε εἰς ος λήγει ἡ γενική, ἀμοιβῇ τοῦ τέλους ἤγουν τῆς ἐσχάτης συλλαβῆς εἰς τὸ ιδης τὸ πατρωνυμικὸν ποιεῖ, καὶ πλεονάζει αὐτὸ μιᾷ συλλαβῇ, εἰ δὲ πλεονάζει ⟨πλέοσι⟩ συλλαβαῖς τῆς μιᾶς ἢ ἥττονας ἔχει συλλαβάς, πεπονθὸς εὑρίσκεται, οἷον Ἀγαμέμνονος Ἀγαμεμνονίδης· ὅθεν φαμὲν ἀπὸ τῆς γενικῆς τῆς Ἀνθεμίωνος Ἀνθεμιωνίδης ἦν τὸ ἀνάλογον, καὶ γεγονὸς Ἀνθεμίδης τῶν δύο συλλαβῶν συγκοπὴν ὑπέμεινεν· ὁμοίως καὶ ἀπὸ τοῦ Δευκαλίωνος Δευκαλιωνίδης ὤφειλεν εἶναι κατὰ ἀναλογίαν, συγκοπὴν δὲ πέπονθεν ἐν τῷ Δευκαλίδης· τὸ δὲ Χαλκωδοντιάδης καὶ Τελαμωνιάδης πλεονασμὸν ἔχειν τοῦ α φαμέν. Ὁμοίως καὶ ὅτε εἰς ους λήγει ἡ γενική, καὶ αὐτὴ ἀμείψασα τὸ τέλος εἰς ιδης πάλιν τὸ πατρωνυμικὸν ποιεῖ, οἷον Ἡρακλέους Ἡρακλεΐδης, Ἰφικλέους Ἰφικλεΐδης, καὶ κατὰ συναίρεσιν Ἡρακλείδης καὶ Ἰφικλείδης. Καὶ πάλιν ὅτε ἡ γενικὴ εἰς ου λήγει, μὴ οὖσα ἀπὸ τῶν εἰς ος εὐθειῶν, ἀλλὰ ἀπὸ τῶν εἰς ας ἢ εἰς ης, εἰς αδης τὸ πατρωνυμικὸν ποιεῖ, οἷον Βορέου Βορεάδης, Ἱππότου Ἱπποτάδης. Σημειωτέον δὲ ὅτι τὰ εἰς ος ὀνόματα εἰ μὲν παραλήγοιτο τῷ ι, διὰ τοῦ αδης τὸ πατρωνυμικὸν ποιεῖ, εἰ δὲ μή, διὰ τοῦ ιδης, οἷον Ἥλιος Ἡλιάδης, Θέστιος Θεστιάδης, Λαέρτιος Λαερτιάδης, τῶν δὲ μὴ παραληγομένων τῷ ι Πρίαμος Πριαμίδης, Τάνταλος Τανταλίδης, Πάνθοος Πανθοΐδης καὶ κατὰ συναίρεσιν Πανθοίδης· [τὰ γὰρ εἰς ος μὴ καθαρὰ διὰ τοῦ ιδης γίνονται πατρωνυμικά]. — Τοῦτο δὲ πάλιν σημειωτέον, ὅτι καθόλου τῶν εἰς δης ὅσα μὴ διφθόγγῳ παραλήγεται βραχεῖαν ἔχει τὴν παραλήγουσαν, πλὴν τοῦ Δημάδης, ὃ γέγονεν ἀπὸ τοῦ Δημεάδης δωρικῶς, καὶ τῶν ὀλίγων τῶν παρὰ ποιηταῖς ποιητικῶς ἐκτεταμένων, ἅτινά ἐστι ταῦτα, Ὑλλίδης Κοδρίδης Λαγίδης.

6—368, 15 hab. et. Σ[1] (*nonnulla paulo breviora*); *videntur esse* **Σ[h]**

1—5 *om* N ‖ 2 ἴδιος] αδιος V ‖ 6 ἔγραψε E, ἔγραφε A, γράφων VN ‖ 9 τῶν τύπων N, τοὺς τύπους V ‖ 11 πᾶσα — πατρωνυμ. (12) *om* Σ[1] ‖ 14 τὸ NΣ[1], *om* V | αὐτὸ *RSchneider*, αὐτοῦ VN, *om* Σ[1] ‖ 15 πλεον. — ἢ *om* Σ[1] | πλέοσι συλλ. *RSchneider*, συλλαβῇ VN ‖ 17 γεγονὸς Ἀνθ. Σ[1], γέγονεν Ἀνθ. καὶ VN ‖ 18 ὁμοίως — ἐν τῷ (20) VN, ὁμοίως καὶ τὸ Σ[1] | ἀπὸ N, *om* V ‖ 20 τὸ δὲ Σ[1], τότε V, τό τε N ‖ 22 τὸ (*ante* πατρ.) N, *om* V; *item v. 28* ‖ 23 οἷον Σ[1], *om* VN; *item v. 26*

Περὶ δὲ τοῦ εἰς ων πατρωνυμικοῦ τύπου τοῦτό φαμεν, ὅτι ἀπὸ τοῦ εἰς δης ἐστὶ πατρωνυμικοῦ τύπου· ὁ γὰρ εἰς δης πατρωνυμικὸς ἀμοιβῇ τοῦ τέλους ἤτοι τῆς ἐσχάτης συλλαβῆς εἰς ων τὸν εἰς ων πατρωνυμικὸν τύπον ἐργάζεται, οἷον Κρονίδης Κρονίων, Πηλείδης Πηλείων, Ἀτρείδης Ἀτρείων· τὸ δὲ Ὑπεριονίδης ἐχρῆν ⟨γίνεσθαι⟩ Ὑπεριονίων, τὸ ἄρα Ὑπερίων οὐ πατρωνυμικόν. Οὗτος ὁ τύπος Ἰωνικός. — Περὶ 326, 26 c δὲ τοῦ εἰς αδιος τύπου λέγομεν, ὅτι Αἰολέων ἴδιός ἐστιν οὗτος ὁ τύπος, ἐπινοηθεὶς ἀντὶ τοῦ εἰς δης, καθὸ πρὸς τὸ προπαροξύνεσθαι μᾶλλόν ἐστιν εὔθετος, καὶ χρειώδης Αἰολεῦσιν ὁ τύπος, καὶ πρὸς χρόνον καὶ πρὸς τόνον αὐτοῖς προπαροξυντικοῖς οὖσι· τὰ γὰρ διὰ τοῦ αδιος πρὸς τῷ συστέλλεσθαι καὶ προπαροξύνεται.

Οὐκ ἀγνοεῖν δὲ χρή, ὅτι ὁ μὲν εἰς δης τῶν πατρωνυμικῶν τύπος κοινός ἐστιν, ὁ δὲ εἰς ων τῆς Ἰάδος, ὁ δὲ εἰς αδιος τῆς Αἰολίδος· Ὑρράδιος δέ ἐστιν ὁ τοῦ Ὕρρα υἱός, Ὕρρας δὲ Μιτυληναίων ἐγένετο βασιλεύς, οὗ υἱὸς ὁ Πιττακός, εἷς τῶν ἑπτὰ σοφῶν φανείς.

Ἄλλως δὲ πάλιν. — Τύποι τῶν πατρωνυμικῶν ἀρσενικῶν τρεῖς· ὁ εἰς δης, ὡς Πριαμίδης ἀπὸ τοῦ εἰς ος, καὶ Τυδείδης Πηλείδης ἀπὸ τῶν εἰς ευς, καὶ παρ' Ἴωσιν ὁ εἰς ων, οἷον Πηλείων, καὶ παρ' Αἰολεῦσιν ὁ εἰς αδιος, οἷον Τινάδιος ὁ ⟨τοῦ⟩ Τίνα παῖς. Ἔχει δὲ ὁ εἰς δης παραλήξεις τέσσαρας· ἢ γὰρ τῷ ι παραλήγεται, οἷον Κρονίδης Τανταλίδης, ἢ τῇ οι διφθόγγῳ, ὡς Πανθοίδης, ἢ τῷ α, ὡς Βορεάδης Τελαμωνιάδης, ἢ τῇ ει διφθόγγῳ, οἷον Πηλείδης. Ἀπὸ γοῦν τοῦ Τελαμῶνος ⟨τὸ⟩ ἀνάλογον ἦν Τελαμωνίδης, εἰ δὲ ἐπλεόνασε τὸ α, πέπονθε· καὶ πάλιν ⟨ἀπὸ τοῦ⟩ Δευκαλίων Δευκαλίωνος τὸ ἀνάλογον ἦν Δευκαλιωνίδης, εἰ δὲ εὑρίσκομεν παρὰ τῷ ποιητῇ ⟨ex. gr. M 117⟩ Δευκαλίδης, δῆλον ὡς πέπονθε. — Μόνος δὲ ὁ ποιητὴς οὐκ ἐχρήσατο ἀπὸ μητέρων τοῖς πατρωνυμικοῖς· ἄτοπον γὰρ ἡγήσατο, τὰς τῶν ἡρώων πράξεις ἐξηγούμενος ἀπὸ μητέρων παράγειν· οἱ δὲ νεώτεροι ποιηταὶ τούτου οὕτως ἐχρήσαντο.

Πόσοι τύποι τῶν πατρωνυμικῶν θηλυκῶν; Τρεῖς· ὁ εἰς ις, οἷον Πριαμίς, ὁ εἰς ας, οἷον Πελιάς, καὶ ὁ εἰς νη, οἷον Ἀδρηστίνη ⟨ἡ τοῦ Ἀδρήστου θυγάτηρ⟩, Ἀτρειώνη ἡ ⟨τοῦ⟩ Ἀτρέως θυγάτηρ, Ἀκρισιώνη ἡ ⟨τοῦ⟩ Ἀκρισίου θυγάτηρ.

⟨*Heliodori.*⟩ — Θηλυκῶν δὲ τύποι εἰσὶ τρεῖς· ὁ εἰς ας, οἷον Ἡλιάς ἡ τοῦ Ἡλίου θυγάτηρ, ὁ εἰς ις, οἷον Θησηΐς ἡ τοῦ Θησέως θυγάτηρ· ⟨ἀπὸ⟩ οὐδετέρων δὲ οὐ γίνονται πατρωνυμικά.]

16—26 *cfr* Σ^{v} *221, 6—18* ‖ **26—28** = Σ^{v} *223, 4—7*

5 τὸ δὲ — Ἰωνικός (6) *om* Σ^{1} | ἐχρῆν ὑπερίων V, ἐχρῆν ὑπεριόνων N ‖ **8** ἐπινοηθεὶς — προπαροξ. (11) *om* Σ^{1} ‖ **14** δέ ἐστιν Σ^{1}, *om* VN ‖ **15** βασιλεὺς VN, τύραννος Σ^{1} | σοφῶν] φιλοσόφων VNΣ^{1}, *sed in* σοφῶν *corr.* A^{1} ‖ **16** τρεῖς] τέσσαρες VN ‖ **20** Τανταλίδης *RSchneider,* Πανθοΐδης VN ‖ **30—32** *om* N ‖ **31** Πελιάς] πηλειάς V ‖ **33** Θηλυκῶν — τρεῖς N, *om* V

Ἰστέον δὲ ὅτι ὁ μὲν εἰς ας καὶ ⟨ὁ⟩ εἰς ις θηλυκὸς τύπος ἀπὸ τῶν εἰς δης πατρωνυμικῶν γίνονται, τοῦ δη μορίου ὑφαιρουμένου· τὰ γὰρ εἰς δης ἀποβάλλοντα τὴν δη ποιεῖ θηλυκόν, οἷον Πριαμίδης Πριαμίς, Ταντaλίδης Ταντaλίς, Βορεάδης Βορεάς, Πελιάδης Πελιάς, Αἰνειάδης Αἰνειάς· καὶ τὸ μὲν Χρυσηῒς Νηρηῒς ἀπὸ τοῦ Χρύσης Νηρεύς, καὶ ἀπὸ τοῦ Βασιλεύς Βασιληῒς καὶ ἐνδείᾳ τοῦ η Βασιλίς. — Καὶ ὁ εἰς νη, οἷον Ἀδρηστίνη.] Τοῦ δὲ τύπου τοῦ εἰς νη ἐστὶν ἡ χρῆσις παρ' Ὁμήρῳ ἐν ἐκείνῳ τῷ ἔπει ⟨Ε 412⟩ μὴ δὴν Αἰγιάλεια, περίφρων Ἀδρηστίνη. Φιλεῖ δὲ γίνεσθαι ἀπὸ τῆς εἰς ου ληγούσης τοῦ πρωτοτύπου γενικῆς· αὕτη γὰρ τὴν ου μόνον μεταβάλλει ἢ εἰς ινη ἢ εἰς ωνη, καὶ ποιεῖ τὸν εἰς νη θηλυκὸν τύπον· ἀλλὰ τότε μὲν εἰς ινη, ὅτε τὸ πρωτότυπον οὐκ ἔχει τὸ ι παραλῆγον, οἷον Εὔηνος Εὐήνου Εὐηνίνη, Ἄδρηστος Ἀδρήστου Ἀδρηστίνη, Ὠκεανός Ὠκεανοῦ Ὠκεανίνη· τότε δὲ εἰς ωνη, ὅτε τὸ πρωτότυπον αὐτοῦ ἔχει παραλῆγον τὸ ι, ⟨οἷον⟩ Ἀκρίσιος Ἀκρισίου Ἀκρισιώνη, Ἰκάριος Ἰκαρίου Ἰκαριώνη, Ἥλιος Ἡλίου Ἡλιώνη, Ἰάσιος Ἰασίου Ἰασιώνη, ὅπως μὴ δύο ι ἀλλεπαλλήλως λεγόμενα κακοφωνίαν ἐργάσηται. — Χρειῶδες δὲ τὸ πατρωνυμικόν, ὅτι πλειόνων λέξεων εἰς μίαν λέξιν ἐστὶ συναγωγή· ἀντὶ γὰρ τοῦ εἰπεῖν Πηλέως υἱός ἀρκεῖ μόνον εἰπεῖν Πηλείδης.

Ἀπὸ δὲ μητέρων οὐ σχηματίζει πατρωνυμικὸν εἶδος ὁ Ὅμηρος, ἀλλ' οἱ μεταγενέστεροι ποιηταί, ὡς Ἡσίοδος ⟨Scut. 479⟩ Λητοΐδην εἰπὼν τὸν Ἀπόλλωνα, καὶ ἄλλοι πολλοὶ τῶν νεωτέρων· ὁ δὲ θειότατος Ὅμηρος τὸν ⟨αἴτιον⟩ τῆς γενέσεως ὀνομάζει· οὐδὲ ἀπὸ προγόνων σχηματίζει ὁ Ὅμηρος, εἰ μὴ ὁ πάππος εἴη Διὸς παῖς, ὡς Αἰακίδης καὶ τὰ ὅμοια.

Κτητικὸν δέ ἐστι τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός]. Κινδυνεύει ἐκπεσεῖν τοῦ οἰκείου ὀνόματος τὸ κτητικόν. Φασὶ γάρ τινες πρὸ τῆς ἐξηγήσεως διὰ τί, ὥσπερ ἀπὸ τοῦ φύσις γέγονε φυσικός φυσική φυσικόν καὶ ἀπὸ τοῦ φθίσις φθισικός φθισική φθισικόν, οὐκ ἐγένετο ⟨ἀπὸ τοῦ⟩ κτῆσις κτησικός κτησική κτησικόν, ἀλλὰ κτητικόν. Πρὸς οὕς φαμεν, ὅτι οὐκ ἦν τοῦτο παρώνυμον, ὡς τὰ ἄλλα, ἀπὸ ῥήματος δὲ γέγονεν· ὥσπερ γὰρ ἀπὸ τοῦ βέβλαπται λέγομεν βλαπτικός καὶ ἀπὸ τοῦ λέλεκται λεκτικός, οὕτω καὶ ἀπὸ τοῦ κέκτηται κτητικός κτητική κτητικόν φαμεν γεγενῆσθαι ἐκ παθητικοῦ παρακειμένου. Δεύτερον δὲ τέτακται, ἐπειδὴ οὐ μόνον ἀπὸ κυρίων γίνεται, ὡς Νεστόρειος, ἀλλὰ καὶ ἀπὸ προσηγορικῶν, ὡς ὑϊκός. Κτητικὸν δέ ἐστιν ὃ ἐκ γενικῆς κυρίου ἢ προσηγορικοῦ γενόμενον εἰς τὴν γενικὴν αὐτοῦ ἀναλύεται μετά τινος τῶν ὑπὸ τὴν κτῆσιν ἄγεσθαι δυναμένων. Διαφορὰν δὲ ἔχει πρὸς τὸ πατρωνυμικόν, ὅτι ἐκ μόνων κυρίων γίνεται τὸ πατρωνυμικόν, τὸ δὲ κτητικὸν ἐκ κυρίων καὶ

1—372, 6 *videntur esse* Σ^h ‖ **8—19** *et* **25—370, 3** **similia hab. et.** Σ^l

2 γὰρ V, δὲ N ‖ **4** πηληϊάδης πηληϊάς VN ‖ **10** τὸν εἰς νη N, τὴν εἰς ν V ‖ **12** τὸ ι N, τῷ ι V; *item v. 14* ‖ **23** αἴτιον *add R Schneider et Uhlig* ‖ **26** πρὸ τῆς ἐξηγ. *ante* ἐκπεσεῖν *transp.* VN, *corr. Uhlig* ‖ **30** δὲ N, γὰρ V ‖ **35** ὡς υἱός VN | γενικῆς N, γενικοῦ V

προσηγορικῶν, καὶ ὅτι τὸ πατρωνυμικὸν ἐν μιᾷ φωνῇ δηλοῖ τὸν πατέρα καὶ τὸν υἱόν, τὸ δὲ κτητικὸν ἀπαιτεῖ τὰς δύο φωνάς, τόν τε κτήτορα καὶ τὸ κτῆμα. Λέγουσι ⟨δέ⟩ τινες, ὅτι εἰ τὸ πατρωνυμικὸν καὶ τὸ κτητικὸν γενικῇ συντάσσεται καὶ ὁμόσημά ἐστι — Πηλείδης γὰρ καὶ Πηλήϊος ⟨ὁ τοῦ Πηλέως⟩ —, περιττὸν τὸ γράψαι περὶ κτητικοῦ. Πρὸς οὓς φαμεν, ὅτι εἰ καὶ μίαν ἔχουσι γένεσιν, τὴν γενικήν, ἀλλ' οὐχ ἑνὸς εἴδους, ἀλλὰ τὸ μὲν ἀπὸ μόνου κυρίου, τὸ δὲ ἀπὸ κυρίου καὶ προσηγορικοῦ.

Ἐμπεριειλημμένου τοῦ κτήτορος, οἷον Νηλήϊοι ἵπποι, Ἑκτόρεος χιτών.] Ἐκεῖνο κτητικόν ἐστιν ὄνομα τὸ ἐμπεριεχόμενον ⟨τὸ⟩ τοῦ δεσπότου, οὐχὶ ⟨τὸ⟩ τοῦ κτήματος· ὅταν δὲ ὁριστικῶς τὸ κτῆμα δηλῶσαι βουληθῶμεν, προστίθεμεν καὶ τὸ τοῦ κτήματος ὄνομα, τουτέστι Πλατωνικὸν βιβλίον ἢ χωρίον ἤ τι τοιοῦτον τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός, ⟨ὃ⟩ λέγει τὸ κτῆσιν σημαῖνον, ὥσπερ κληρωθὲν ὄνομα εἰς τὴν δήλωσιν τοῦ τε κτήτορος καὶ τοῦ κτήματος. Ὁ μέντοι Ὅμηρος ἀντὶ τοῦ πατρωνυμικοῦ τῷ κτητικῷ χρῆται, ὡς τὸ ⟨ex gr. N 76⟩ Τελαμώνιος Αἴας καὶ ⟨B 20⟩ Νηληΐῳ υἷι ἐοικώς· κτῆμα γὰρ ὡς ἀληθῶς ὁ παῖς τῷ πατρί. Λέγεται δὲ κτητικὸν καὶ τὸ ὅμοιον τῷ ὑπὸ τὴν κτῆσιν πεπτωκότι. Εἴδη δὲ τοῦ κτητικοῦ ταῦτα, οἰκειωτικόν, μετουσιαστικόν, συνεμφαντικόν· οἰκειωτικὸν μέν, ὡς Ὀλύμπιος θαλάττιος, μετουσιαστικὸν δέ, ὡς ἀργύρεος χρύσεος, συνεμφαντικὸν δέ, ὡς γραμματικός γεωμετρικός.

Τύποι δὲ τοῦ κτητικοῦ δύο, ὁ εἰς ο̅c̅ λήγων καθαρὸν καὶ ὁ εἰς κ̅ο̅c̅. Τούτων οὖν τῶν δύο τύπων ὁ μὲν εἰς ο̅c̅ λήγων καθαρὸν ἢ τῷ ι̅ παραλήγεται, οἷον Δήλιος Σάμιος λόγιος, ⟨ἢ τῷ ε̅, ὡς Ἑκτόρεος,⟩ ἢ τῇ ε̅ι̅ διφθόγγῳ, ὡς Ἡράκλειος Ὁμήρειος Κεῖος θεῖος, ἢ τῇ α̅ι̅ διφθόγγῳ, ὡς Ῥωμαῖος Κυρηναῖος, ἢ τῇ ο̅ι̅ διφθόγγῳ, ὡς ἀλλοῖος παντοῖος, ἢ τῇ ῳ̅ διφθόγγῳ, ὡς παππῷος πατρῷος ἡρῷος. Τῆς τῶν πρωτοτύπων γενικῆς ἢ μιᾷ πλεονάζει συλλαβῇ ἢ δύο κατὰ τὸ σπάνιον· καὶ μιᾷ μέν, ὡς ἐν τοῖς ἄνω εἰρημένοις ὑποδείγμασιν, δύο δέ, ὡς ἐν τῷ ὀβολιαῖος ταλαντιαῖος· οὐδέποτε δὲ τρισὶ πλεονάζει συλλαβαῖς, εἰ μὴ ἐν τῷ μναϊαῖος μόνῳ· ἐξ ἀνάγκης δέ, τοῦ γὰρ μνᾶ τὸ α̅ τραπῆναι εἰς ι̅ οὐκ ἐνῆν. Τὸ Χῖος δῖος Κεῖος θεῖος ἐν πάθει γέγονεν· οὐδέποτε γὰρ ἰσοσυλλαβεῖ τῇ γενικῇ τοῦ πρωτοτύπου, εἰ μὴ πεπονθὸς εἴη, ὡς ἐν τῷ δῖος, δίιος γὰρ ἦν, καὶ ἐν τῷ Χῖος, Χίιος γὰρ ἦν, καὶ ἐν τῷ Κεῖος· ἀπὸ γὰρ τῆς Κέω γενικῆς Κέϊος ἦν τὸ ἐντελές, καὶ κατὰ συναίρεσιν ἐγένετο Κεῖος· καὶ ἀπὸ τῆς θεοῦ γενικῆς θέϊος ὀφεῖλον εἶναι κατὰ συναίρεσιν θεῖος ἐγένετο. Ὁ δὲ εἰς κ̅ο̅c̅ τύπος παραλήγεται ἢ τῷ ι̅ βραχεῖ, ὡς Ἑλληνικός Αἰολι-

---

18—20 = Σ[v] *223, 31—34* ‖ 21—371, 4 similia hab. et. Σ[l]

7 κυρ. καὶ προσηγ. N, προσηγ. καὶ κυρ. V ‖ **13** τοῦ τε κτήτορος καὶ τοῦ κτήτορος (*sic*) V, τοῦ τε κτήσtου καὶ τοῦ κτήτορος N ‖ **16** υἷι N, υἱέ V | ὡς N, *om* V ‖ **22** δύο τύπων N, δευτέρων V ‖ **23** ἢ τῷ ε̅, ὡς Ἑκτ.] *vide An. Ep. 312, 24* ‖ **25** κιρηναῖος N, κρηναῖος V ‖ **27** μία πλ. συλλαβὴ VN | καὶ μία VN ‖ **28** ὀβολιαῖος V, βολιμαῖος N ‖ **29** εἰ μὴ] εἰ μὴ ὡς N, ὡς V | μναaῖος VN; *cfr Apoll. de adv. 174, 30 Sch* ‖ **30** εἰς ι̅] εἰς η̅ VN

κόc μουcικόc Ῥωμαϊκόc, ἢ τῷ ᾱ, ὡc Ῥοδιακόc Κυπριακόc, ἢ τῷ ῡ, cπανίωc δέ, ὡc Λιβυκόc θηλυκόc ἁλυκόc [καὶ τἄλλα], ἐν τούτοιc τοῖc τριcὶ μόνον. Ἰcτέον δὲ ὅτι οὐδέποτε τὰ εἰc κοc διφθόγγῳ παραλήγεται· καὶ διὰ τοῦτο cημειούμεθα τὸ κεραμεικόc βοεικόc Δαρεικόc Δεκελεικόc.

Πλατωνικὸν βιβλίον.] † Τὰ γὰρ εἰc ικοc, φαcί, δηλοῦcι τοὺc ⟨λόγουc τοὺc περί τινοc ἔχονταc· οὕτωc γὰρ λέγειν τοὺc⟩ ἕξιν τινὰ ἔχονταc περὶ τὴν ἑρμηνείαν τῶν βιβλίων. Καὶ Ἅβρων δὲ ἐν τῷ περὶ κτητικῶν· «τὸ Φιλιππικοί», φηcίν, «οἱ περὶ Φιλίππου ⟨περι⟩έχοντεc, καὶ οὐχὶ κτῆμα ὄντεc, Φιλίππου δηλονότι· οὗτοι γὰρ ἐλέγοντο ἂν Φιλίππιοι».

Cυγκριτικὸν δέ ἐcτι τὸ τὴν cύγκριcιν ἔχον.] Πάλιν φαcί τινεc, εἰ ἀπὸ τοῦ φύcιc γέγονε φυcικόc φυcική φυcικόν καὶ ἀπὸ τοῦ φθίcιc φθιcικόc φθιcική φθιcικόν, διὰ τί μὴ καὶ ἀπὸ τοῦ cύγκριcιc ⟨cυγκριcικόν⟩· οὐ γάρ ἐcτι cυγκριcικόν, ἀλλὰ cυγκριτικόν. Πρὸc οὓc φαμεν, ὡc οὐκ ἔcτι ταῦτα παρώνυμα, ἀλλὰ ἀπὸ ῥήματοc γεγονότα· ὥcπερ γὰρ ἀπὸ τοῦ διέζευκται εἴρηται διαζευκτικόc, οὕτωc καὶ ἀπὸ τοῦ cυγκέκριται cυγκριτικόν. Τρίτον δὲ ἀναγκαίωc τέτακται, ἐπειδὴ μήτε ἀπὸ κυρίων μήτε ἀπὸ προcηγορικῶν γίνεται, ἀλλ' ἀπὸ μόνων ἐπιθέτων, καὶ τούτων οὐ πάντων, ἀλλ' ἐκείνων τῶν δυναμένων ἐπίταcιν ἀναδέξαcθαι, οἷον ταχύτεροc coφώτεροc· ἡ γὰρ cύγκριcιc τῶν πρωτοτύπων ἐπαύξηcιc· ὅcα τοίνυν οὐ δύναται ἐπαύξεcθαι, cυγκριτικὸν οὐ ποιεῖ· οἷον ῥήτωρ, ἐπειδὴ τὸν τέλειον ῥήτορα δηλοῖ, οὐ δέχεται ἐπαύξηcιν, ὅταν δὲ εἴπωμεν ῥητορικόc, ὁ μετέχων ῥητορικῆc, ἐπεὶ ἐνδέχεται μικρὸν μετέχειν καὶ πολύ λέγομεν ἐπὶ μὲν τοῦ μικρὸν μετέχοντοc ῥητορικόc, ἐπὶ δὲ τοῦ πολὺ ῥητορικώτεροc· ὁμοίωc καὶ τὸ ἰατρόc, ἐπειδὴ τὸν τέλειον ἰατρὸν δηλοῖ, οὐ δέχεται ἐπαύξηcιν, ὅταν δὲ γένηται ἰατρικόc, τότε λέγομεν ἰατρικώτεροc· καὶ γραμματικόc καὶ γραμματικώτεροc. Καὶ τούτου χάριν τὸ ἀγαθόc cύγκριcιν οὐκ ἐπιδέχεται· ὃ γὰρ ἤμελλεν αὐτῷ παρέχειν ἡ cύγκριcιc, τοῦτο ἔχει ἀφ' ἑαυτοῦ· τίc γάρ ἐcτιν ἀγαθόc; ὁ ἄγαν θεῖοc. — Γίνεται δὲ τὸ cυγκριτικὸν προϋποκειμένου τοῦ ἐν cυγκρίcει πράγματοc, οἷον «ἀνδρειότεροc Ἀχιλλεὺc Αἴαντοc» προϋποκειμένηc τῆc ἀνδρείαc, καὶ «coφώτεροc Ὀδυccέωc Νέcτωρ» προϋποκειμένηc τῆc coφίαc· οὐ γὰρ εἴπομεν «coφώτεροc Cωκράτηc Κοροίβου», ἀλλὰ τὸν μὲν coφόν, τὸν δὲ ἀνόητον. Πάλιν δέ ἐcτιν ἡ cύγκριcιc ἑνὸc πρὸc ἕνα ὁμοιογενῆ ἢ ἑνὸc πρὸc πολλοὺc ἑτερογενεῖc, ἵνα μὴ πολλοὺc ὁμοιογενεῖc ὑβρίcωμεν· ὅταν οὖν εὕρωμεν cύγκριcιν ἑνὸc πρὸc πολλοὺc ὁμοιογενεῖc, ἐκεῖνοι πάντωc εἰcὶ μιᾶc ἡλικίαc ἢ ἑνὸc τόπου, ἵνα πάλιν ὑπολάβωμεν ἑνὸc πρὸc ἕνα τὴν cύγκριcιν γίνεcθαι, οἷον ⟨I 57⟩ ἐμὸc δέ ⟨κε⟩ καὶ πάϊc εἴηc Ὁπλότεροc γενεῆφι· μιᾶc ⟨γὰρ⟩ γενεῆc οἱ παῖδεc τοῦ Νέcτοροc καὶ

5—9 *cfr* Σ^{v} *224, 1—6* ‖ 16—372, 6 simillima hab. et. Σ^{1}

5 εἰc κοc φηcὶ VN ‖ 6 λόγουc — τοὺc *add Uhlig* ‖ 7 Καὶ N, *om* V ‖ 10 τὴν *om* N ‖ 14 παρώνυμα] πατρωνυμικὰ VN ‖ 15 διαζευκτικὸν VN ‖ 21 εἴπωμεν Σ^{1}, εἴπω VN ‖ 22 ἐπεὶ N, ἐπεὶ δὲ V ‖ 23 μὲν *add* Σ^{1} ‖ 31 εἴπωμεν VN ‖ 33 δέ] γάρ VN | cύγκριcιc N, κρίcιc V ‖ 38 ὁπλότατοc VN *et edd. Hom*

Διομήδηϲ· καὶ πάλιν ⟨Ε 898⟩ καί κεν δὴ πάλαι ἦϲθα ἐνέρτεροϲ Οὐρανιώνων· ἐν ἑνὶ γὰρ τόπῳ εἰϲὶ τῷ Ταρτάρῳ. — Παράγονται δὲ τὰ ϲυγκριτικὰ ἀπὸ ὀνομάτων, οἷον ὀξύϲ ὀξύτεροϲ, καὶ ἀπὸ ῥημάτων, βάλλω βέλτεροϲ, καὶ ἀπὸ μετοχῆϲ, ἄϲμενοϲ ἀϲμενέϲτεροϲ, καὶ ἀπὸ προθέϲεωϲ, πρό πρότεροϲ, καὶ ἀπὸ ἐπιρρήματοϲ, ἄνω ἀνώτεροϲ· ἀπὸ ⟨δὲ⟩ ἄρθρου οὐ παράγονται, οὐδὲ ἀπὸ ἀντωνυμιῶν, οὐδὲ ἀπὸ ϲυνδέϲμων.

Συγκριτικὸν τοίνυν ἐϲτὶν ὃ παρωνύμωϲ ἐξενεχθὲν μετὰ τοῦ μᾶλλον ἢ ἧττον εἰϲ τὸ πρωτότυπον ἀναλύεται ἢ εἰϲ τὸ μετειληφὸϲ τοῦ πρωτοτύπου, οἷον ταχύτεροϲ ὁ μᾶλλον ταχύϲ. Τρίτον δέ ἐϲτι τῇ τάξει, ἐπειδὴ ἐξ ἐπιθέτων γίνεται, οὐ κυρίων οὐδὲ προϲηγορικῶν. Ἡ δὲ ϲύγκριϲιϲ τῶν πρωτοτύπων ἐϲτὶν ἐπαύξηϲιϲ, τὸ δὲ ϲυγκριτικὸν γενικῇ ϲυνταϲϲόμενον δηλοῖ τὴν ϲύγκριϲιν, νεώτεροϲ ὅδε τοῦδε· μὴ ἔχον δὲ τὴν γενικὴν ἀντὶ τοῦ πρωτοτύπου ἐϲτί, νεώτεροϲ ἀντὶ τοῦ νέοϲ, ⟨Δ 277⟩ μελάντερον ἠύτε πίϲϲα ἀντὶ τοῦ μέλαν. Ἰϲτέον δὲ ὅτι ἴδιον τοῦ ϲυγκριτικοῦ τὸ ἀναλύεϲθαι εἰϲ εὐθεῖαν μετὰ τοῦ μᾶλλον· ὀξύτεροϲ γὰρ ὁ μᾶλλον ὀξύϲ. — Ἑνὸϲ πρὸϲ ἕνα ὁμοιογενῆ, ὡϲ Ἀχιλ⟨λ⟩εὺϲ ἀνδρειότεροϲ Αἴαντοϲ, ἢ ἑνὸϲ πρὸϲ πολλοὺϲ ἑτερογενεῖϲ, ὡϲ Ἀχιλ⟨λ⟩εὺϲ ἀνδρειότεροϲ τῶν Τρώων.] Ἑνὸϲ πρὸϲ ἕνα ὁμοιογενῆ. Οἱ παλαιοὶ αἰϲχρὸν ἡγοῦντο ἕνα προκρῖναι πάντων τῶν ὁμοφύλων· διό φηϲιν ἑνὸϲ πρὸϲ ἕνα· ἐπὶ ἑτεροφύλων δὲ καὶ ἑνὸϲ πρὸϲ πολλοὺϲ ἐποιοῦντο ϲύγκριϲιν. Εἰ δέ που εὕροιϲ ἐν ὀνόμαϲι κυρίοιϲ ἢ ἀντωνυμίαιϲ τὸ τοιοῦτον, παραγωγὴν ἴϲθι λεγόμενον καὶ οὐ ϲύγκριϲιν, ὥϲπερ ἔϲτι παρὰ Ἀριϲτοφάνει ⟨Plut. 83⟩ τὸ αὐτότατοϲ καὶ παρὰ Μενάνδρῳ ⟨fr. 986 K⟩ τὸ αὐταιτιώτατοϲ· τὸ δὲ αὐτότεροϲ παρ' Ἐπιχάρμῳ ⟨fr. 2 Ahr.⟩ πέπαικται. — Ἄξιον δέ ἐϲτι ζητῆϲαι, τίνοϲ ἕνεκα Ἕλληνα πρὸϲ Ἕλληνα προῆγεν εἰϲ ϲύγκριϲιν, πολλοὺϲ δὲ Τρῶαϲ πρὸϲ ἕνα Ἕλληνα. Φαμὲν ὅτι φιλέλλην ὢν ὁ ποιητὴϲ προϲεχαρίϲατο, βουλόμενοϲ ϲεμνῦναι τὸ πᾶν γένοϲ τῶν Ἑλλήνων. Ὡϲ ἔφην δέ, οὐκ ἔϲτιν εἰκῇ ⟨πάντων⟩ ποιεῖϲθαι τὴν ϲύγκριϲιν· οὔτε γὰρ ζωγράφου καὶ τέκτονοϲ ϲύγκριϲιϲ γίνεται, ἀλλὰ δύο τινῶν ἢ καὶ πλειόνων τοῦ αὐτοῦ ἐπιτηδεύματοϲ μετεχόντων, ὡϲ «Ἀχιλλεὺϲ ἀνδρειότεροϲ Αἴαντοϲ».

⟨*Heliodori.*⟩ — Ἔϲτι τι πρωτότυπον ταχύϲ, εἶτα ταχύτεροϲ ταχίων θάϲϲων· τὸ τ̄ εἰϲ τὸ ἀντίϲτοιχον μεταβληθὲν θ̄, ἀντὶ γὰρ τοῦ τάϲϲων θάϲϲων ἐγένετο· καὶ πάλιν βραδύϲ βραδύτεροϲ βραδίων βράϲϲων, ὡϲ τὸ ⟨Κ 226⟩ βράϲϲων τε νόοϲ, λεπτὴ δέ τε μῆτιϲ. Τὸ δὲ ἀμείνων καὶ τὸ

22—32 *cfr Σ*v *225, 9—18* ‖ **33—373, 7** *videntur esse Σ*h

1 ἦϲθαϲ VN ‖ **4** βάλλω N, βάλλων V ‖ **11** δὲ] γὰρ VN ‖ **17** Ἑνὸϲ — Τρώων (**19**) *om* N | ὁμογενῆ V; *item v. 19* ‖ **20** προκρῖναι] ἀποκρῖναι VN **23** ἴϲθι — οὐ V, λέγε μόνον μὴ N ‖ **25** αὐταιτιώτατοϲ *Kock*, ἀντιώτατοϲ VN ‖ **29** ἔφην] *ubi? vide Σ*v *225, 16* ‖ **36** Τὸ δὲ] τὸ γὰρ VN

μείζων καὶ τὸ χείρων κατὰ πάθος ἐγένετο· τῷ μὲν ἀμείνων τὸ ν̅ δι' εὐφωνίαν προστεθέν, ἀμείων γὰρ ἦν, ὁ μηδενὸς ἐλάττων· τὸ δὲ μείζων ἀπὸ τοῦ μέγας μεγάτερος μεγίων μέσσων, καὶ τροπῇ τοῦ ε̅ εἰς τὴν ε̅ι̅ δίφθογγον καὶ τῶν δύο σιγμάτων εἰς τὸ ζ̅ μείζων, ὡς Ἡσίοδος ⟨Opp. 380⟩ πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη, τοῦ ζ̅ ἀντὶ τοῦ γ̅ δι' εὐφωνίαν πάλιν προστεθέντος· ὡσαύτως καὶ ἐπὶ τοῦ χείρων, καὶ γὰρ τοῦτο ἀπὸ τοῦ χερείων συγκοπὴν ὑπέμεινεν.

Πόσοι τύποι τῶν συγκριτικῶν; Τρεῖς· ὁ εἰς τ̅ε̅ρ̅ο̅ς̅, ὡς ὀξύτερος βραδύτερος· ὁ εἰς ω̅ν̅ καθαρός, εἰ μὲν εἴη τρισύλλαβος, τῷ ι̅ μόνῳ παραλήγεται, οἷον καλλίων βελτίων, εἰ δὲ δισύλλαβος, τῇ ε̅ι̅ διφθόγγῳ, οἷον πλείων μείων [μείζων χείρων]· καὶ ὁ εἰς σ̅ω̅ν̅ μὴ καθαρὸς διὰ δύο σιγμάτων, οἷον θάσσων κρείσσων ἥσσων.

⟨*Heliodori.*⟩ — Προτέτακται τοίνυν ὁ εἰς τ̅ε̅ρ̅ο̅ς̅ τύπος, ὅτι τὴν τοῦ πρωτοτύπου σχεδὸν πᾶσαν φυλάττει φωνήν, οἷον ὀξύς ὀξύτερος· δεύτερος δὲ τέτακται ὁ εἰς ω̅ν̅ καθαρός, ὅτι παρὰ δύο μόνα στοιχεῖα φυλάττει τὴν τοῦ πρωτοτύπου φωνήν, οἷον βραδύς βραδίων, ταχύς ταχίων· οὐ χρὴ δὲ ἀγνοεῖν, ὅτι ὁ εἰς ω̅ν̅ καθαρὸς τύπος, εἰ μὲν εἴη τρισύλλαβος, τῷ ι̅ μόνῳ παραλήγεται, ταχίων βραδίων, σεσημειωμένου τοῦ ἀρείων χερείων, εἰ δὲ δισύλλαβος εἴη, τῇ ε̅ι̅ διφθόγγῳ παραλήγεται, πλείων μείων· τρίτος τύπος ὁ εἰς σ̅ω̅ν̅, ὅτι πᾶσαν τὴν ⟨λήγουσαν⟩ συλλαβὴν τοῦ πρωτοτύπου ἀποβάλλει, βραδύς βράσσων, ταχύς θάσσων.

Τί ἐστιν ὑπερθετικόν; Τὸ κατ' ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς παραλαμβανόμενον ἐν συγκρίσει, οἷον ὀξύτατος βραδύτατος. Τί ἐστιν ὑπέρθεσις; Ἡ τῶν συγκριτικῶν ἐπίτασις.

⟨*Heliodori.*⟩ — Ὑπερθετικόν ἐστιν ὃ μετὰ τῆς ἐννοίας τῆς τοῦ πρωτοτύπου ἔχει τὴν κατὰ πάντας ἐπίτασιν· καὶ ἡ μὲν σύγκρισις τῶν πρωτοτύπων ἐστὶν ἐπίτασις ἢ αὔξησις, ἥ γε μὴν ὑπέρθεσις αὐτῶν τῶν συγκριτικῶν ἐπίτασις τελεία· διὸ καὶ πρὸς πολλοὺς πάντως γίνεται· οἷον ταχύς μὲν τὸ πρωτότυπον, ταχύτερος δὲ ὁ τοῦ ταχέος βελτίων ἐν τάχει, ταχύτατός γε μὴν ὁ τοῦ ταχυτέρου πάντως ἀμείνων ἐν τάχει· διὰ τοῦτο οὐδὲ ἐπίτασιν ἐπιλαμβάνει τὸ ὑπερθετικόν· τοιοῦτόν ἐστι καὶ τὸ μέγα μεῖζον μέγιστον, τὸ μὲν γὰρ μέγα πρωτότυπον, τὸ δὲ μεῖζον συγκριτικόν, τὸ δὲ μέγιστον ὑπερθετικόν· καὶ τὸ τάχιστον δὲ τῷ τάχει ἀνεπίτατον ταὐτὸν δηλοῖ, τὰ γὰρ τέλεια τῶν μεγεθῶν οὐκ ἐπεκτείνεται. Ἐξ ὁμοιοειδῶν δὲ γίνονται αἱ ὑπερθέσεις, ὥσπερ καὶ αἱ συγκρίσεις, οἷον

12—20 *videntur esse* Σ[h] ‖ **24—374, 12** *videntur esse* Σ[h]

3 μεγάτερος — τὸ ζ̅ (4)] μεγείων καὶ N | μέσσων] μάσσων V | ε̅] α̅ V | τὴν] τὸ V ‖ 5 πλειόνων VN | δ' ἐπιθήκη] δ' ἐπανθήσει VN ‖ 6 ὡσαύτως] ὁ αὐτὸς VN ‖ 7 συγκοπὴν *RSchneider,* συναλοιφὴν VN ‖ 8—11 V, τῶν συγκριτικῶν τύποι εἰσὶ τρεῖς N ‖ 9 ὁ] ὡς V ‖ 18 τῇ N, τῷ V ‖ 19 ὅτι τὴν πᾶσαν συλλ. VN ‖ 21—23 V, Ὑπερθετικὸν N ‖ 26 ἥ γε N, εἴ γε V ‖ 32 τάχει ἀνεπίτατον *Uhlig,* ταχύτερον V, ταχίστατον N

«πάντες μὲν ταχεῖς, οὗτος δὲ ταχύτατος, πάντες σοφοί, οὗτος δὲ σοφώτατος». Ἐὰν οὖν ἀναγνῷς τὸ ⟨cfr X 15⟩ θεῶν ὀλοώτατος καὶ ⟨Λ 832⟩ δικαιότατος Κενταύρων, μὴ ὑπολάβῃς ὅτι φύσει ἐστὶν ὑπερθετικόν· οὐκ ἔχεις γὰρ δεῖξαι, ὅτι οἱ ἄλλοι θεοὶ ὀλοοί εἰσιν, οὐδὲ οἱ ἄλλοι Κένταυροι δίκαιοι ἐτύγχανον· ἀλλὰ ἀνάγνωθι, ὅτι ἀντὶ τοῦ ὀλοὸς ἐν θεοῖς καὶ δίκαιος ἐν Κενταύροις παραλαμβάνεται, καὶ ὅτι σύγκρισιν μὲν οὐ ποιοῦμεν ἑνὸς πρὸς πολλοὺς ὁμοιογενεῖς, ὑπέρθεσιν δὲ ἀποτελοῦμεν. Διὰ τί; Ὅτι τὸ ὑπερθετικὸν τὸ πάντων ὑπερέχειν ἐπαγγέλλεται, τινὰ δὲ καὶ ἐν ἴσῳ λόγῳ παραλαμβάνεται, οἷον ἀρίστη ἡ ἰατρική, ἀρίστη ⟨δὲ⟩ καὶ ἡ γραμματική· τοιαῦτα καὶ τὰ παρὰ τῷ ποιητῇ ⟨Ν 365⟩ ᾔτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην, ⟨Κασσάνδρην⟩, καὶ ⟨Ζ 252⟩ Λαοδίκην ἐσάγουσα, θυγατρῶν εἶδος ἀρίστην.

Λέγεται δὲ ὑπερθετικὸν τὸ ὑπὲρ πάντας ἔχον τὰ τῆς συγκρίσεως· τὸ γὰρ ἀνδρειότερος ἢ ἑνὸς ἢ πέντε ἢ δέκα, τὸ δὲ ἀνδρειότατος οὐ μέχρις ἀριθμοῦ ὡρισμένου διατείνει, ἀλλὰ καθόλου πάντων ὁμοῦ ἀνθρώπων [καὶ] τῶν τὸ αὐτὸ ἐπιτηδευόντων· πάλιν δὲ λέγομεν ὑπερθετικὸν τὸ ὑπὲρ πάντας ἔχον τὴν ὑπέρθεσιν ἐν ὁμοιογενέσιν, οἷον «ἀνδρειότατος ὁ Ἀχιλλεὺς πάντων τῶν Ἑλλήνων, σοφώτατος ὁ Ὀδυσσεὺς πάντων τῶν ἀνθρώπων».

Ἰστέον δὲ ὅτι τὸ ὑπερθετικὸν διαφέρει κατὰ πολλὰ τοῦ συγκριτικοῦ, ὅτι ἐκεῖνο μὲν ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τοῦτο δέ ἐστι [τὸ] ἀνεπίτατον, καὶ ⟨ὅτι⟩ ἐκεῖνο μὲν τρεῖς ἔχει τύπους, τοῦτο δὲ δύο· καὶ [ὅτι] ὁ μὲν εἰς τερος συγκριτικὸς τύπος ποιεῖ τὸν εἰς τατος, ὁ δὲ εἰς ων καθαρὸν τὸν εἰς στος — ὁ γὰρ τρίτος τύπος οὐ ποιεῖ ὑπερθετικόν, ὅτι σχεδὸν πᾶσαν τὴν τοῦ πρωτοτύπου φωνὴν ἀπώλεσεν — οἷον ταχύτερος ταχύτατος, ταχίων τάχιστος, βελτίων βέλτιστος. Γινώσκειν δὲ χρὴ ὅτι ὁ εἰς στος τύπος, εἰ μὲν εἴη δισύλλαβος, διφθόγγῳ παραλήγεται, εἰ δὲ ὑπὲρ δύο συλλαβάς, τῷ ι μόνῳ, καὶ τοῦ μὲν πρώτου τύπου πλεῖστος, τοῦ δὲ δευτέρου κάλλιστος· διὰ τοῦτο τὸ χέριστος καὶ ἄριστος ἀποβάλλει τὴν δίφθογγον τοῦ συγκριτικοῦ, ἵνα τῷ ι αὐτὸ παραληφθῇ.

Τί ἐστιν ὑποκοριστικόν; Τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν, οἷον ἀνθρωπίσκος λίθαξ μειρακύλλιον.] — ⟨*Heliodori.*⟩ — Ὑποκοριστικὸν γίνεται ἀπὸ τοῦ κόρη κορίζω κορισμός, καὶ ἐν πλεονασμῷ ἢ συνθέσει τῆς ὑπό ὑποκορισμός· ἢ μᾶλλον οὕτως, κορίζω ὑποκορίζω ὑποκορισμός, ὅ ἐστιν ὄνομα σμικρότητος ἐμφαντικὸν

13—19 *cfr* Σ^v *225, 29—37* ‖ 20—26 *cfr* Σ^v *226, 5—12* ‖ 33—375, 26 *videntur esse* Σ^h ‖ 35—375, 26 *cfr* Σ^v *226, 15—227, 1*

8 Ὅτι N, δὲ V ‖ 9 καὶ (*ante* ἐν) N, *om* V ‖ 11 ἀρίστη VN ‖ 22 ἀνεπίταστον N, ἀνεπίστατον V ‖ 28 πρώτου τύπου] πρωτοτύπου V | τύπου *om* N ‖ 30 αὐτὸ] αὐτῷ VN | παραληχθῇ N ‖ 31 Τί — τοῦ (33) V, Ὑποκοριστικὸν δέ ἐστι. Γίνεται παρὰ τὸ N ‖ 34 ἐν N, *om* V

⟨κόροις⟩ καὶ κόραις μᾶλλον ἐοικός. Λαμβάνεται δὲ ἕνεκεν τοῦ πρέποντος, ὡς παρὰ Ἀλκμᾶνι· † κόραι γὰρ αἱ λέγουσαι· ἢ τοῦ χρειώδους, οἷον «ἱππάριόν μοι χάρισαι»· μειῶ γὰρ τὸ ζητούμενον, ἵνα ἑτοιμότερον εἰς τὸ δοῦναι ποιήσω τὸν ἔχοντα· ἢ τοῦ γελοίου χάριν, ὡς Πριαμιλλύδριον ὁ Πρίαμος. Παρὰ δὲ τῷ ποιητῇ οὐκ ἂν εὑρεθείη ὑποκοριστικόν· ἡρωϊκὰ γὰρ τὰ παρ' αὐτῷ καὶ ἐπηρμένα, τουτέστι λαμπρὰ καὶ ὑπέρογκα, ὡς ἐνταῦθα ⟨ex. gr. H 219⟩ Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠύτε πύργον· διὸ παρὰ τῷ ποιητῇ ⟨ἡρωϊκὰς⟩ διεξιόντι πράξεις σπανίως ἔστιν εὑρεῖν ὑποκοριστικόν· τὸ γὰρ ⟨ἴχνιον ὡς ἐν τῷ⟩ ⟨N 71⟩ ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων ῥηματικόν ἐστι καὶ οὐχ ὑποκοριστικόν· ἀλλὰ καὶ εἴ που ἐμπέσοι ὁ ποιητὴς εἰς φωνὴν ὑποκοριστικήν, δι' ἐπιθέτου αὐτὴν ἐξαιρεῖ, ὡς ἐν τῷ ⟨κ 171⟩ μάλα γὰρ μέγα θηρίον ἦεν. Τί γοῦν τὸ τειχίον ⟨καὶ⟩ τὸ ἑρκίον; Οὐχ ὑποκοριστικά· διάφορον γὰρ τὸ δηλούμενον, τεῖχος καὶ ἕρκος ἐπὶ πόλεων, τειχίον δὲ καὶ ἑρκίον ἐπὶ ἐπαύλεων· πῶς δὲ μείωσις, ὅπου τὸ μέγα; ⟨π 165⟩ παρ' ἐκ μέγα τειχίον αὐλῆς· οὕτω καὶ τὸ ⟨θηρίον⟩ ⟨κ 171⟩ ⟨μάλα γὰρ μέγα⟩ θηρίον ἦεν· καὶ τὸ μηρίον διάφορον· μηρία γὰρ τὰ ἐναγιζόμενα τοῖς θεοῖς, μηροὶ δὲ τὰ μὴ οὕτως ἔχοντα· οὐδὲ τὸ ὀγκίον, οὐ γὰρ τοῦ ὄγκος μείωσις· οὐδὲ τὸ ἴχνιον, ⟨N 71⟩ ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων· καὶ ⟨γὰρ⟩ περὶ αὐτοῦ ⟨φησι⟩ ⟨N 20⟩ τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ, Αἰγάς. Μάχεται καὶ ὁ τόνος· τὰ γὰρ εἰς $\overline{\text{ιον}}$ ὑποκοριστικὰ τρισύλλαβα ἀρχόμενα ἀπὸ βραχείας προπαροξύνεται, ἀπὸ δὲ μακρᾶς παροξύνεται, στόλιον πόδιον χέριον σάκιον, ὅτε δι' ἑνὸς $\overline{\kappa}$· ὅτε δὲ διὰ δύο, παροξύνεται, σακκίον· κορρίον διὰ δύο $\overline{\rho\rho}$ [πρὸ μιᾶς τοῦ τέλους ὁ τόνος] παρὰ τοῖς Ἀττικοῖς, κόριον δὲ δι' ἑνός· νῦν μάν, ὦ κόριον, Θεόκριτος ⟨11, 60⟩.

Τὸ μείωσιν τοῦ πρωτοτύπου. Τὸ «μείωσιν τοῦ πρωτοτύπου» ἀντὶ τοῦ ἐλάττωσιν τοῦ πρὸ αὐτοῦ· «ἀσυγκρίτως» δέ, τουτέστιν ἄνευ συγκρίσεως· οὐ γάρ φαμεν «ἀνθρωπίσκος ἐστὶν οὗτος ἐκείνου», ἀλλ' «ἐκεῖνος, ὁ δεῖνα λίθαξ ἐστίν». Εἴρηται δὲ ὑποκοριστικὸν παρὰ τοὺς κόρους, τουτέστι τοὺς μικροὺς νέους, ἤτοι τὰς κόρας· τούτους γὰρ πολλάκις ἢ ταύτας ὑποθωπεύοντες τοιούτοις κεχρήμεθα ὀνόμασιν, ὡς ἂν εἴπωμεν περὶ θηλειῶν παρὰ Μενάνδρῳ ⟨fr. 1041 $\overline{\text{K}}$⟩ νηττάριον, ἀπφάριον, καὶ περὶ ἄλλων. Γίνονται δὲ ἀπὸ τῶν εἰς $\overline{\langle\kappa\rangle\text{οc}}$ κτητικῶν κατὰ πλεονασμὸν

30—376, 1 *cfr Σ^v 227, 25—228, 3*

2 Ἀλκμ.] *vide Addenda ad p. 226, 16* ‖ **10** ῥηματικόν] παρώνυμόν VN ‖ **12** ἐξαίρει VN ‖ **13** τείχιον VN; *item v. 14 et 16* | ἕρκιον VN; *item v. 15* ‖ **18** ὄγκιον VN ‖ **19** τοῦ ὄγκου VN ‖ **21** τέταρτον VN | Αἰγάς] αἴας VN ‖ **26** νῦν δὲ μανῶ κ. VN ‖ **27** *poster.* Τὸ N, *om* V | *poster.* τοῦ πρωτ. N, *om* V ‖ **30** παρὰ — τούτους (31) N, ἀπὸ τοῦ κούρου, τ. τοῦ μικροῦ νέου ἤτοι τῆς κόρης· ταύτην V ‖ **33** ἀπφάρια *apud Xenarchum fr. 4, 15 K*

τοῦ c̄, † πυργίςκος ὁ μικρὸς πύργος, καὶ ἀπὸ τοῦ ἰατρός ἰατρίςκος· γίνεται δὲ καὶ εἰς ξ̄, ὡς καὶ αὐτὸς ὁ τεχνικὸς λέγει, ὅταν ὁ λίθος κληθῇ λίθαξ [τὸ γὰρ ςυγκριτικὸν καὶ ὑπερθετικὸν αὔξηςις· τοῦ γοῦν λίθου τὸ ὑποκοριςτικὸν λίθαξ ἐςτί], καὶ Ὅμηρος ⟨ε 415⟩ μή πώς μ' ἐκβαίνοντα βάλῃ λίθακι προτὶ πέτρῃ.

Τύποι δὲ τῶν ὑποκοριςτικῶν ἀρςενικῶν ⟨μὲν⟩ ἕξ· ὧν ὁ μὲν πρῶτος ὁ εἰς ω̅ν̅ ἐςτὶ διςύλλαβος, ὡς Βάκχων ἐςτὶν ὁ Βακχυλίδης· ὁ δὲ δεύτερος ὁ εἰς ω̅ν̅ καθαρός, παραλήγοντος τοῦ ῑ, ὡς μωρίων ὁ μωρός· ὁ δὲ τρίτος ὁ εἰς α̅ξ̅, ὡς Ῥόδιος Ῥόδαξ καὶ πλούςιος πλούταξ· ὁ δὲ τέταρτος ὁ εἰς α̅c̅, ὡς [Ζήνων] Ζηνᾶς ὁ Ζηνόδωρος· ὁ ⟨δὲ⟩ πέμπτος ὁ εἰς c̅κ̅ο̅c̅, ὡς γραμματίςκος ὁ γραμματικός καὶ ἰατρίςκος ὁ ἰατρός καὶ πυργίςκος ὁ πύργος· ὁ ⟨δὲ⟩ ἕκτος ὁ εἰς λ̅ο̅c̅, τῷ ῡ ἢ τῷ ῑ παραληγόμενος, ὡς δριμύλος ὁ δριμύς καὶ ναυτίλος ὁ ναύτης. Τῶν δὲ θηλυκῶν τρεῖς εἰςι τύποι· ὁ εἰς ω̄, οἷον Ὑψώ ἡ Ὑψιπύλη, καὶ ὁ εἰς ι̅c̅, ὡς λυρίς ἡ λύρα καὶ θεραπαινίς ἡ θεράπαινα καὶ περιςτερίς ἡ περιςτερά, καὶ τρίτος ὁ εἰς c̅κ̅η̅, ὡς λεκανίςκη ἡ λεκάνη καὶ παιδίςκη ἡ παῖς. Τῶν δὲ οὐδετέρων μία μέν ἐςτιν ἡ εἰς ο̅ν̅ κατάληξις· ἔχει δὲ παραλήξεις δέκα· ἢ γὰρ τῇ ν̅ι̅ παραλήγεται, ὡς κανόνιον ὀψώνιον, ἢ τῇ δ̅ι̅, ὡς παιδίον χλανίδιον, ἢ τῇ ρ̅ι̅, ὡς ξυλάριον, ἢ τῇ δ̅ρ̅ι̅, ὡς μελύδριον ἑλκύδριον, ἢ τῇ λ̅ι̅, ὡς μειρακύλλιον Πριαμύλλιον, ἢ τῇ φ̅ι̅, ὡς χρυςάφιον δενδρύφιον· ἐὰν οὖν τὸ πρωτότυπον ἔχῃ τὸ ῡ, τὸ ὑποκοριςτικὸν φεύγει αὐτό· ἢ τῇ κ̅ι̅, οἷον μειράκιον, ἢ τῇ π̅ι̅, οἷον ἀνθρώπιον τὸ ἀνθρωπάριον, ἢ τῇ χ̅ν̅ι̅, οἷον πολίχνιον, ὃ δηλοῖ τὴν μικρὰν πόλιν, ἢ τῇ φ̅υ̅ διὰ τοῦ ῡ ψιλοῦ, οἷον ξυλήφυον Ζωήφυον (*sic*).

Τί ἐςτι παρώνυμον; Τὸ ἀπὸ ὀνόματος ποιηθέν, οἷον Θέων Τρύφων.] — ⟨*Heliodori.*⟩ — Ζητοῦςί τινες, διὰ τί ἰδίως τοῦτο παρώνυμον κέκληται, τῶν ἄλλων εἰδῶν καὶ αὐτῶν ὄντων ἀπὸ ὀνομάτων παρηγμένων· ἀπὸ γὰρ τοῦ Ἀτρεύς Ἀτρείδης καὶ ἀπὸ τοῦ Νέςτωρ Νεςτόρειος. Καὶ λέγομεν ὅτι ἕκαςτον τῶν ἄλλων εἰδῶν μίαν ἐχόντων ςημαςίαν ἐξ αὐτῆς καὶ ὠνομάςθη, ὡς τὸ πατρωνυμικόν· μόνον γὰρ πατέρα δηλοῖ, ὅθεν καὶ τῆς ὀνομαςίας ἔτυχεν· ὁμοίως καὶ τὸ κτητικόν, ὅτι κτῆςιν μόνην ἐδήλου, καὶ τὸ ςυγκριτικόν, ὅτι ςύγκριςιν, καὶ τὸ ὑπερθετικόν, ⟨ὅτι⟩ ὑπέρθεςιν· ὡςαύτως καὶ τὰ ἄλλα· τό γε μὴν παρώνυμον, καθὸ ἐδήλου πολλά, ἠπορήθη πόθεν ὀνομαςθῇ· καὶ γὰρ περιεκτικά, ὡς ἄμπελος ἀμπελών, καὶ ἐθνικά, ὡς Ἀκράγας Ἀκραγαντῖνος, καὶ μετουςιαςτικά, ὡς

6—24 *cfr* **Σ**[v] *227, 6—24* ‖ **26—377, 14** *videntur esse* **Σ**[h] ‖ **26—377, 4** *cfr* **Σ**[v] *228, 5—13*

1 c̄] c̅κ̅ VN | *vide adnot. ad p. 228, 2* ‖ **2** κληθῇ N, κληθείη V ‖ **9** δὲ (*poster.*) N *om* V ‖ **10** Ζῆνας VN ‖ **12** ῡ] γ̄ VN ‖ **14** ὑψιπύλη V, ὑψηλή N ‖ **17** ο̅ν̅] ι̅ο̅ν̅ VN | δέκα V, ἕξ N ‖ **19** *in marg. add* N[1]: οὕτω καὶ τὸ γεράνδριον ὁ γέρων ἐςτίν ‖ **21** ῡ] γ̄ VN | ἢ τῇ κ̅ι̅ — Ζωήφυον (**24**) *om* N ‖ **25** Τί — Τρύφων (**26**) V, Παρώνυμον N ‖ **26** ἰδίως] ἴδιον VN ‖ **28** τοῦ νέςτορος VN ‖ **34** ὀνομαςθῇ *R Schneider*, ὠνομάςθη VN

δέρμα δερμάτινος, καὶ κύρια, ὡς κράτος Κρατῖνος· ἐπεὶ τοίνυν πολλὰς εἶχε σημασίας, οὐκ ἠδύνατο ἐξ ἑνὸς τὴν ὀνομασίαν ἔχειν, ἀλλ' ἐκ τοῦ παρεπομένου πᾶσιν ἐκλήθη, τοῦ παρωνύμου· οἷόν τι καὶ ἐπὶ τῆς ὑποτακτικῆς γέγονεν· οὐ γὰρ ἐκ σημασίας, ἀλλ' ἐκ συντάξεως ὠνόμασται. Τί γάρ φησι; Τὴν κοινὴν πάντων ὀνομασίαν, φημὶ δὴ τὴν παρώνυμον, ἰδικὴν ἐποιήσατο. Παρώνυμον δέ ἐστιν ὃ γέγονεν ἐξ ὀνόματος μηδενὶ τῶν ἄλλων ὑποπεπτωκός. Τύπους δὲ ἔχει κατὰ γένος ἄρρενας λε'.

Οἷον Θέων Τρύφων.] Εἴ τις λέγοι, ὅτι πόθεν δῆλον, εἰ τὸ Θέων ἀπὸ τοῦ θεός ἐστιν ὀνόματος, καὶ οὐκ ἀπὸ τοῦ θέω ῥήματος, ὁμοίως καὶ τὸ Τρύφων εἰ ἀπὸ τοῦ τρυφή ⟨ὀνόματος⟩, καὶ οὐκ ἀπὸ τοῦ τρυφῶ ῥήματος, εἰπέ, ὅτι ἡ κλίσις ἐλέγχει· τῶν γὰρ εἰς ων ληγόντων ὀνομάτων τὰ μὲν παρώνυμα διὰ τοῦ ω κλίνεται, τὰ δὲ ῥηματικὰ διὰ τοῦ ο, ⟨Δίων Δίωνος,⟩ ἐλεήμων ἐλεήμονος· ἐν οἷς οὖν καὶ τὸ Θέων καὶ τὸ Τρύφων διὰ τοῦ ω κλινόμενα δῆλον ὡς παρώνυμά ἐστιν.

Τίνος δὲ ἕνεκα τὴν κοινὴν ὀνομασίαν *etc.* = **Σ**[v] 228, 14—24.

Ποῖα καλοῦσιν οἱ φιλόσοφοι παρώνυμα; Τὰ μέσα τῶν ὁμωνύμων καὶ συνωνύμων κοινωνοῦντα καὶ διαφέροντα τῷ τε ὀνόματι καὶ τῷ ὅρῳ, ὡς ἀπὸ τῆς γραμματικῆς γραμματικός· κοινωνοῦσι γὰρ τῷ ὀνόματι καὶ διαφέρουσι κατὰ τὴν λῆξιν τῶν ὀνομάτων· καὶ πάλιν τῷ ὀνόματι κοινωνοῦσι, καὶ τῷ ὅρῳ διαφέρουσιν, ὅτι ἡ μὲν γραμματικὴ γνῶσίς ἐστιν, ὁ δὲ γραμματικὸς οὐσία ἐν ᾗ ἡ γνῶσις. Παρώνυμα δέ φασιν, ὅσα ἀπό τινος διαφέροντα τῇ πτώσει ἤγουν τῇ κλίσει τῶν ὀνομάτων καὶ τὴν προσηγορίαν ἔχουσιν.

Ῥηματικόν ἐστι τὸ ἀπὸ ῥήματος παρηγμένον, οἷον Φιλήμων Νοήμων.] Ῥηματικόν ἐστιν ὄνομα, ὃ ἐκ ῥήματος γεγονὸς ἐνέργειαν ἢ πάθος δηλοῖ, οἷον ἀπὸ τοῦ πεποίηται γίνεται ποιητής, ⟨ὁ ποιῶν τι, ὃ ἐνέργειαν δηλοῖ⟩, ἀπὸ δὲ τοῦ πεποίημαι ποίημα, τὸ ποιηθέν, ὃ πάθος δηλοῖ. — Ἰστέον ὅτι πᾶν ῥηματικὸν ὄνομα διὰ τοῦ μ λεγόμενον οἰκειοῦται τῷ πρώτῳ προσώπῳ παθητικῷ κατὰ τὸ σύμφωνον, διὰ δὲ τοῦ τ τῷ τρίτῳ, οἷον πέπραγμαι πρᾶγμα πολυπράγμων, πεποίηται ποιητής, πέπρακται πρακτός. — Τύπους δὲ ἔχει ἐν ἀρσενικοῖς, ἐν θηλυκοῖς, ἐν οὐδετέροις ἐνενήκοντα. — Ἰστέον δὲ καὶ τοῦτο, ὅτι πᾶν ὄνομα ῥηματικὸν βούλεται τὰ τελευταῖα σύμφωνα τοῦ ῥήματος φυλάττειν· καὶ διὰ τοῦτο λέγομεν, ὅτι ποίημα ⟨γέγονεν⟩ ἐκ τοῦ πεποίημαι, τὸ δὲ ποιητὴς ἀπὸ τοῦ πεποίηται. — Δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι θέλει τὸ ὄνομα μέρος τι φυλάττειν τοῦ ῥήματος, ὥσπερ καὶ τὸ φερώνυμον Νοή-

---

23—30 *cfr* **Σ**[v] *228, 25—30* ‖ **34—378, 2** *cfr* **Σ**[v] *229, 2—5*

3 ὑποτακτικῆς V, ὑποκοριστικῆς N ‖ **4** οὐ γὰρ ἐκ N, οὐκ ἐκ V ‖ **6** ἐποιήσατο V, ἐποιήσαντο N ‖ **7** *post* ἄλλων *add* γενῶν N ‖ **8** λέγει V, δὲ λέγοι N ‖ **10** εἰ N, *om* V ‖ **16—22** *om* N ‖ **16—22** *cfr Ammon. in Aristot. Categ. p. 23, 25 seqq (Comment. in Arist. IV 4)* ‖ **19** τῷ ὀνόματι διαφέρουσι καὶ τῷ ὅρῳ κοινωνοῦσιν V ‖ **20—22** *cfr Aristot. Categ. 1ᵃ 15* ‖ **29** τῷ τρίτῳ] τῷ τοῦ τρίτου VN ‖ **30** πρακτός V, πρακτικός N ‖ **33** τὸ δὲ N, ὁ δὲ V ‖ **35** φερώνυμον **Σ**[l], φερόμενον VNC

μων· ἀπὸ γὰρ τοῦ νοήσω γίνεται Νοήμων, ἵνα τὴν παραλήγουσαν τοῦ ῥήματος φυλάξῃ ἐπὶ τοῦ ὀνόματος.

⟨*Heliodori.*⟩ — Σχήματα ὀνομάτων τρία.] Σχῆμά ἐστι λέξεων ποσότης ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη ἐν ἁπλότητι ἢ συνθέσει· καὶ ἄλλως· προφορὰ λέξεως ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα συντεθειμένη ἢ ἀσύνθετος. Καὶ ἁπλᾶ μέν ἐστιν ὅσα μὴ πέφυκε διαιρεῖσθαι εἰς δύο ἢ καὶ πλείονας λέξεις ἰδίᾳ νοητάς· σύνθετα δὲ τὰ ἐκ δύο ἢ καὶ πλειόνων λέξεων ἰδίᾳ νοητῶν συντεθειμένα, ἐν ἑνὶ τόνῳ καθ' ἑνὸς ὑποκειμένου λαμβανόμενα. Εἶπον δέ «ἐκ δύο ἢ καὶ πλειόνων λέξεων γίνεται σύνθετα»· πολλάκις ⟨γὰρ⟩ καὶ ἀπὸ πλειόνων λέξεων γίνεται, ὡς 329, 31c τὸ χρυσολευκόλιθος καὶ τὸ ⟨Aristoph. Ran. 966⟩ σαλπιγγολογχυπηνάδης καὶ τὸ σαρκασμοπιτυοκάμπτης καὶ ὅσα ἄλλα παρὰ τοῖς κωμικοῖς πέπαικται. «Ἰδίᾳ» δὲ «νοητῶν» εἴπομεν καὶ οὐ «ῥητῶν», ἐπειδὴ τὸ ζαμενής σύγκειται μὲν ἐκ δύο, ἀλλὰ τὸ ζα οὐκ ἔστιν ἰδίᾳ ῥητόν, ἀλλὰ νοητόν· ὁμοίως καὶ τὸ βούπαις καὶ ἱππόπορνος καὶ δύσμορος καὶ αὐτὰ ἐκ δύο σύγκειται, ἀλλὰ τὸ βου καὶ τὸ ἱππο καὶ τὸ δυς οὐκ εἰσὶν ἰδίᾳ ῥητά, ἀλλὰ νοητά. Λέγονται δὲ σύνθετα καὶ οὐ διπλᾶ, διότι σύνθετα μὲν καλοῦμεν ἐκεῖνα τὰ ἐκ διαφόρων οὐσιῶν συγκείμενα, ὥς που καὶ τὰ ἐκ διαφόρου ὕλης κατασκευαζόμενα σκεύη σύνθετα καλοῦμεν, διπλᾶ δὲ τὰ ἐκ μιᾶς οὐσίας ὄντα καὶ διπλασιασθῆναι δυνάμενα, ὡς καὶ χλαμύδα διπλῆν λέγομεν τὴν μίαν οὖσαν καὶ διπλασιασθεῖσαν διὰ τὸ μέγεθος.

Οὐκ ἀγνοεῖν δὲ χρή, ὡς πᾶσα πτῶσις ὀνομάτων συντίθεται κατ' ἀρχὴν ἐν τοῖς συνθέτοις ὀνόμασιν, εὐθεῖα μέν, ὡς ἐν τῷ χηναλώπηξ δορυδρέπανον, γενικὴ δέ, ὡς ἐν τῷ Διόσκορος Ἑλλήσποντος, δοτική, ὡς ἐν τῷ ἀρηΐφιλος Αἰγίπαν, καὶ αἰτιατική, ὡς ἐν τῷ ποδάνιπτρα νουνεχής· ἡ δὲ κλητικὴ οὐδέποτε συντίθεται, ἐπειδὴ αὐτοτελής ἐστι καὶ πρός τινα λέγεται, ὅ ἐστι δευτέρου προσώπου· συντιθεμένη δὲ καὶ γινομένη εὐθεῖα τρίτον πρόσωπον δηλοῦν ἠναγκάζετο, καθὸ πᾶσα εὐθεῖα τρίτου προσώπου ἐστίν, ὅπερ ἐστὶν ἀδύνατον· οὐ γὰρ ἔχει φύσει τὸ δηλοῦν τρίτον πρόσωπον· ὅθεν τὸ γυναιμανής ἐκ τοῦ γυναικομανής λέγομεν συγκεκόφθαι. — Ἰστέον δὲ ὅτι πᾶν μέρος λόγου συντίθεται

3—379, 20 *videntur esse* Σ^h ‖ **6—27** (προς.) **hab. et.** Σ^1 ‖ **31—379, 13 similia hab. et.** Σ^1

4 ἀδιαστάτως V, *om* N ‖ **6** Καὶ *add* Σ^1 ‖ **8** συντεθειμένα *add* Σ^1 ‖ **9** Εἶπον δὲ Σ^1, «ἰδίᾳ» δὲ «νοητῶν» πρόσκειται διὰ τὸ ζάθεος ἄφιλος δύσμορος. Καὶ διὰ τί εἶπεν VN ‖ **10** γίνεται σύνθ. — γίνεται *add* Σ^1 ‖ **11** χρυσεολευκόλιθος Σ^1 | σαλπιγγολογχι(-χυ- N)πηνάδης (*sic*) VN, εὐσυνήγορος Σ^1 ‖ **12** σαρκασμοπιτωκάμπτης Σ^1 | *praeterea praebet* γλωσσοπυρσόμορφος ⟨*Joan. Damasc. can. III 55*⟩ N[II] fol. 11[r] ‖ **15** καὶ (*ante* ἱππ.) *add* Σ^1 | ἱπποπόρνος (*sic*) VN, ἱππόνους Σ^1 | δύσμορφος Σ^1 | αὐτὰ Σ^1, αὐτὸ VN ‖ **17** δὲ τὰ σύνθ. VN ‖ **18** ὥς που VΣ^1, ὥσπερ N ‖ **20** καὶ (*ante* χλ.) *add* Σ^1 ‖ **23—25** δορυδρ. *et* Ἑλλήσπ. *et* Αἰγ. *et* νουν. *om* Σ^1 ‖ **25** ποδάνιπτρα Σ^1, ποδανίπτρα V, ποδόνιπτρα N **29** εἶχε φύσεως VN ‖ **30** γυναιμανὲς *et* γυναικομανὲς VN

δίχα ἄρθρου καὶ ἀντωνυμίας καὶ συνδέσμου, μόνον ὅτι ἐν ἄρθρῳ ἕν γέ ἐστι τὸ συντιθέμενον ἐν τῷ λέγειν ταὐτότης, καὶ ἐν ἀντωνυμίᾳ ἐν τρίτῳ προσώπῳ τὸ αὐτοδίδακτος καὶ αὐτοδιάλεκτος καὶ αὐτόσσυτος· ἐν συνδέσμῳ δὲ οὐδεμίαν σύνθεσιν εὑρίσκομεν. Ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων εἰδῶν ἦν τινα φωνῇ μόνῃ καὶ οὐ σημαινομένῳ παρηγμένα, καὶ λέγομεν ὅτι τὸ Εὐριπίδης καὶ Ἡρῴδης φωνῇ μόνῃ καὶ οὐ σημαινομένῳ πατρωνυμικά ἐστι, καὶ τὸ δούρειος ἵππος καὶ ὀφθαλμικὸς ἰατρός φωνῇ μόνῃ κτητικά, καὶ τὸ νεώτερος καὶ τὸ ἀγρότερος φωνῇ μόνῃ συγκριτικά, καὶ τὸ ⟨cfr X 15⟩ θεῶν ὀλοώτατος καὶ ⟨cfr Λ 832⟩ Κενταύρων δικαιότατος φωνῇ μόνῃ ὑπερθετικά, οὕτω καὶ ἐπὶ τῶν συνθέτων· τὸ μὲν γὰρ μισάνθρωπος κυρίως σύνθετον, τὸ δὲ Ἀγαμέμνων καὶ Φίλιππος καὶ Διόσκορος καὶ Ἀρίσταρχος καὶ ἁπλῶς ὅσα ἐστὶν ἐν κυρίοις σύνθετα φωνῇ ⟨μόνῃ⟩ καὶ οὐ σημασίᾳ τὴν σύνθεσιν ἀνεδέξαντο.

Παρασύνθετα δὲ ἐκεῖνά φαμεν τὰ ἀπὸ συνθέτων ὀνομάτων εἰς ἓν τῶν προειρημένων ⟨ἑπτὰ⟩ εἰδῶν μεταπίπτοντα, οἷον Ἀγαμέμνων σύνθετον, Ἀγαμεμνονίδης παρασύνθετον, ἐπειδὴ ἀπὸ συνθέτου εἰς ἓν τῶν ἑπτὰ εἰδῶν μετέπεσε καὶ ἐγένετο πατρωνυμικόν, Ἀγαμεμνόνειος παρασύνθετον, ἐπειδὴ ἀπὸ συνθέτου εἰς ἓν τῶν ἑπτὰ μετέπεσε καὶ ἐγένετο κτητικόν, φιλοσοφώτερος παρασύνθετον καὶ φιλοσοφώτατος καὶ τἄλλα ἁπλῶς εἰπεῖν, ὅσα ἀπὸ συνθέτων ὀνομάτων εἰς ἓν τῶν ἑπτὰ μεταπίπτει.

Σχήματα δὲ εἴρηνται ἀπὸ τῆς σχέσεως τοῦ ὀνόματος ᾗ ἕκαστον ὀνομάζεται· καὶ ὥσπερ ἐν λόγῳ ἔστι σχήματα καὶ παρεχόμεθα πτῶσιν ἀντὶ πτώσεως, οὕτω καὶ ἐν τῇ λέξει εἰσὶ σχήματα· ἢ πρὸς τὸν τῶν ἀνδριάντων τύπον· ὡς γὰρ ἐκείνων οἱ μέν εἰσιν ὀρθοί, οἱ δὲ πλάγιοι, οἱ δὲ ἄλλως πως κείμενοι, οὕτω καὶ ἐν τοῖς ὀνόμασι τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ σύνθετα, καὶ διὰ τοῦτο ἐκλήθησαν σχήματα. Ὥσπερ ⟨δὲ⟩ ἐπὶ τῶν εἰδῶν ἐστί τινα φωνῇ μόνον, οὐ νοουμένῳ παράγωγα, οὕτω καὶ ἐπὶ τούτου τὸ φιλάνθρωπος σύνθετον τῷ νοητῷ, τὸ Φίλιππος σύνθετον τῇ φωνῇ, οὐ τῇ σημασίᾳ.

Πόσα σχήματα; Τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μέν, οἷον Μέμνων, σύνθετον δέ, οἷον Ἀγαμέμνων, παρασύνθετον δέ, οἷον Ἀγαμεμνονίδης. Ἁπλοῦν ἐστι τὸ ἐξ ἑνὸς μέρους λόγου ἤγουν μιᾶς λέξεως, οἷον θεός· σύνθετον δὲ τὸ ἐκ δύο λέξεων ἢ καὶ πλειόνων, οἷον φιλόθεος χρυσολευκόλιθος· τὸ δὲ παρασύνθετον παρῆκται ἀπὸ συνθέτου· διὰ τοῦτο καὶ παρασύνθετον καλεῖται. Δεῖ δὲ εἰδέναι, ὅτι τὰ ἀπὸ συνθέτων παραγόμενα ἐν μὲν τοῖς ὀνόμασι παρασύνθετα λέγεται, ἐν δὲ ἑτέροις μέρεσι λόγου οὐκ ἔστιν.

---

4 δὲ (*prius*)] γὰρ VN ‖ **6** *cfr p. 365, 30* | πατρωνυμικόν VN ‖ **9** *cfr p. 374, 2—6* ‖ **24** ὡς] καὶ VN ‖ **28** φίλιππος κύριον τῇ φ. VN ‖ **30** Πόσα — θεός (**33**) V, Ἁπλοῦν μέν, οἷον Μέμνων N ‖ **32** *in marg. alia manu* V: ἢ ἁπλοῦν τὸ ἐκ μιᾶς λέξεως συνιστάμενον, ὡς ἵππος, σύνθετον τὸ ἐκ δύο λέξεων συγκείμενον, ὡς Φίλιππος ‖ **37** οὐκ ἔστιν V, οὐκέτι N

⟨*Heliodori.*⟩ — Τῶν δὲ cυνθέτων ὀνομάτων διαφοραί εἰcι τέccαρεc· ἃ μὲν γὰρ αὐτῶν εἰcιν ἐκ δύο τελείων, ὡc Χειρίcοφοc.] Πᾶcαι αἱ πτώcειc cυντίθενται, οἷον χηναλώπηξ Ἑλλήcποντος ⟨ἀρηΐφιλοc⟩ νουνεχήc· κλητικὴ δὲ οὐκέτι, καθὸ πρὸc δεύτερόν ἐcτι πρόcωπον, ἡ δὲ εὐθεῖα πρὸc τρίτον, ⟨καὶ⟩ τὸ δεύτερον πάρεcτι, τὸ ⟨δὲ⟩ τρίτον ἄπεcτι· τὸ γοῦν παρὸν τῷ ἀπόντι πῶc ἑνωθήcεται; Καὶ τὰ ῥήματα ἐν τρίτῳ προcώπῳ cυντίθεται, ἐπειδὴ καὶ τὰ ὀνόματα τρίτου προcώπου εἰcίν, οἷον Μενέλαοc φερέοικοc μιcάνθρωποc· αἱ μετοχαὶ κατὰ τὸ τέλοc cύγκεινται, οἷον Ἄτλαc Ἄβαc πολύτλαc· αἱ προθέcειc ἐν ἀρχῇ, οἷον πρόμαχοc Ἀνακρέων· τὸ δὲ θυρεπανοίκτηc οὕτωc, ἀνοίγω ἀνοίκτηc ἐπανοίκτηc θυρεπανοίκτηc· τὰ δὲ ἐπιρρήματα καὶ ἐν ἀρχαῖc, ὡc ἐν τῷ Ἰφιάναccα, καὶ ἐν τέλει ἀποδόcεωc, οἷον ⟨Hes. Opp. 410⟩ ἔc τ' ἔννηφιν· cύνδεcμοι δὲ cυντίθενται οὗτοι· ὁ δέ, οἷον οὐδαμῶc, ὁ καί, οἷον ⟨O 678⟩ δυωκαιεικοcίπηχυ. — Ἰcτέον ⟨δὲ⟩ ὅτι αἱ λέξειc τῶν ὀνομάτων διφυεῖc οὖcαι κατὰ τὴν cύνθεcιν — ἢ γὰρ ἀτελεῖc ἢ τέλειαί εἰcιν — ἀλλήλαιc cυμπλεκόμεναι τέccαρα cχήματα ποιοῦcι, περὶ ὧν νῦν διαλαμβάνει.

Ἃ δὲ ἐκ δύο ἀπολειπόντων, ὡc Σοφοκλῆc·] ἕκαcτον γὰρ μέροc λόγου ἀτελέc ἐcτιν· οὔτε γὰρ τὸ cοφο τί ποτε ἐνταῦθα cημαίνει, οὔτε τὸ κληc. Ὁμοίωc καὶ τὸ Ἡρακλῆc ἐκ τοῦ ἧρα καὶ τοῦ κλέοc, ὃ οὐδέτερον· καὶ μήποτε τῷ λόγῳ τούτῳ [ἧρα ἡ μετ' ἐπικουρίαc χάριc] βραχύνει τὸ ᾱ· Ἡρακλῆc οὖν ὁ κλέοc ἔχων ἐκ τοῦ τοῖc ἀνθρώποιc ἐπικουρίαν χαρίcαcθαι, ⟨ἧρα γὰρ ἡ μετ' ἐπικουρίαc χάριc⟩· καὶ γὰρ φέρονται καὶ τὰ τοιαῦτα ἔπη περὶ αὐτοῦ· Ἡρακλέην δέ cε Φοῖβοc ἐπώνυμον ἐξονομάζει, Ἧρα γὰρ ἀνθρώποιcι φέρων κλέοc ἄφθιτον ἕξειc.

Ἃ δὲ ἐξ ἀπολείποντοc καὶ τελείου, ὡc Φιλόδημοc νεόγαμοc Νεόδημοc· ἃ δὲ ἐκ τελείου καὶ ἀπολείποντοc, ὡc Περικλῆc·] ἡ γὰρ περί πρόθεcιc τέλειον μέροc λόγου, τὸ δὲ κληc ἀcήμαντον· ἃ δὲ ἐκ δύο ἀπολειπόντων καὶ ἑνὸc τελείου, οἷον χρυcολευκόλιθοc θραcυγοργολέων. — Γίνονται δὲ cύνθετα κατὰ τρόπουc τρεῖc, παράθεcιν, cύνθεcιν, cυμφοράν· κατὰ μὲν παράθεcιν ἀγαθὸc δαίμων, cύνθεcιν δὲ θεοείκελοc, cυμφορὰν δὲ ζωγράφοc.

Ἀριθμοὶ τρεῖc.] Ἀριθμόc ἐcτι κατὰ μὲν ἀριθμητικοὺc cωρεία μονάδων ἤγουν cύνθεcιc, κατὰ δὲ γραμματικοὺc χαρακτὴρ λέξεωc δυνάμενοc διάκριcιν ποcοῦ ἀναδέξαcθαι, ἢ χαρακτὴρ cημαίνων ποcότητα μετὰ ἀκολουθίαc διὰ τοὺc ἀριθμούc· δύο γὰρ καὶ τρεῖc καὶ εἴ τι τοιοῦτον ἐν ἀκολουθίᾳ δηλοῦcι ποcότητα. Ὅθεν τὸ εἷc δοκεῖ cημειῶδεc εἶναι· τὰ

1—381, 9 *videntur esse* Σ^{h} ‖ 3—6 = Σ^{v} *229, 26—29*

4 ἐcτι N, *om* V ‖ 14 δύο καὶ εἰκοcίπηχυ VN ‖ 19 cοφὸc VN ‖ 20 ἧρα VN ‖ 21 ἧρα VN; *item v. 25* ‖ 24 τὰ N, *om* V | ἔπη] *oraculum dicit Choerob. CGG IV 1 p. 188, 11*

γὰρ εἰc εῖc περισπώμενα εὐθεῖαι πληθυντικαί εἰcιν, ⟨οἷον⟩ οἱ εὐγενεῖc, οἱ εὐcεβεῖc· ἀλλά φαμεν τεθεματίcθαι· ὅθεν οὐδὲ πληθυντικὸν ⟨τὸ εἷc ἐπιδέχεται· τὸ δὲ οὐδείc ἐπιδέχεται πληθυντικὸν⟩ τὸ οὐδένεc καὶ οὐδένων. Τὸ γοῦν οὐδείc δύο μέρη λόγου, τοῦ δευτέρου μέρουc ἀντὶ τοῦ τίc λαμβανομένου, ὡc καὶ τὸ μηδείc ἔχει· ὅτι δὲ θέμα τὸ δείc, δῆλον ἐξ οὐδετέρου κειμένου παρ' Ἀλκαίῳ ἐν ἐνάτῳ μέλει ⟨fr. 66 B[4]⟩, οὐδὲν ἐκ δενὸc γένοιτο· καὶ τὸ δείc ἀντὶ τοῦ τίc· ἐξ ὧν ὁμοίωc αὐτῷ καὶ ἐπὶ θηλυκοῦ γένουc εὑρίcκεται· ⟨ubi?⟩ παcῶν δ' ἀρίcτη γαῖα Μεccήνη λάχεν, Εὔδενδροc, ὡc οὐδεὶc τῆc Ἑλλάδοc χθονόc.

Ἑνικόc, δυϊκόc, πληθυντικόc.] Ἀναγκαίωc τὸ ὄνομα καὶ ἀριθμὸν ἐπιδέχεται, ἐπειδὴ [γὰρ] cυμβαίνει καὶ ἕνα καὶ δύο καὶ τρεῖc πολλάκιc τοῦ αὐτοῦ ὀνόματοc μετέχειν. Καὶ ἔcτιν ἑνικόc, ὅταν ἕνα cημαίνῃ, καὶ δυϊκόc, ὅτε δύο· οὐκέτι δὲ καὶ τὸ τρεῖc τριτυντικὸν ἢ τρεϊκὸν ὀνομάζομεν, ἀλλὰ πληθυντικόν, [ὅτι] ἐπεὶ ὁ τρεῖc ἀριθμὸc ἀρχὴ πλήθουc ἐcτίν, ὡc καὶ ἐν τῇ παροιμίᾳ «τρεῖc πολλοί»· διὰ τοῦτο καὶ οἱ παλαιοὶ [τὰ] πολλὰ βουλόμενοι cημαίνειν τρεῖc λέγουcιν, ὡc καὶ ὁ ποιητήc ⟨ε 306⟩ τρὶc μάκαρεc Δαναοὶ καὶ τετράκιc, ἀντὶ τοῦ πολλάκιc.

⟨*Heliodori.*⟩ — Ἑνικὸc μὲν ὁ τὸ ἓν cημαίνων, οἷον ὁ Αἴαc, δυϊκὸc δὲ ὁ τὰ δύο cημαίνων, οἷον τὼ Αἴαντε, πληθυντικὸc δὲ ὁ τὰ τρία ⟨ἢ⟩ καὶ πολλὰ cημαίνων, οἷον οἱ Αἴαντεc.] Τὸ ἑνικόc κτητικοῦ εἴδουc ἐcτίν· ὥcπερ γὰρ ἀπὸ τοῦ Πλάτων Πλάτωνοc λέγομεν Πλατωνικόc, οὕτω καὶ ⟨ἀπὸ τοῦ⟩ εἷc ἑνόc λέγομεν ⟨ἑνικόc, καὶ⟩ δηλοῖ ὁ τοῦ ἑνὸc χαρακτήρ, καὶ ἀπὸ τοῦ δύο δυϊκόc, καὶ δηλοῖ ὁ τῶν δύο χαρακτήρ. Ἀλλ' οὐκέτι ἀπὸ τοῦ τρεῖc τρεϊκόc φαμεν· ὁ μὲν γὰρ ἑνικὸc καὶ δυϊκὸc χαρακτὴρ ἰδιάζοντα καὶ φανερὸν ἔχει ἀριθμὸν καὶ τύπον, ὁ δὲ τρεῖc ἀριθμὸc ἀρχὴν cημαcίαc πλήθουc λαμβάνων κατὰ τὸν τύπον οὐ λέγεται κατὰ παραγωγὴν τρεϊκόc, ἀλλὰ πληθυντικόc· τῷ γὰρ αὐτῷ τύπῳ κεχρήμεθα καὶ ἐπὶ τριῶν καὶ τεccάρων καὶ πέντε.

Εἰcὶ δέ τινεc ἑνικοὶ χαρακτῆρεc.] Ὥcπερ ἐπὶ τῶν ῥημάτων εἰcὶ φωναὶ τοῖc cημαινομένοιc ἐναντίαι — τὸ γὰρ ὀρχοῦμαι φωνῇ μέν ἐcτι παθητικόν, cημαινομένῳ δέ ἐcτι ἐνεργητικόν —, οὕτω καὶ ἐπὶ τῶν ὀνομάτων εἰcὶ φωναὶ ἐναντίαι τοῖc cημαινομένοιc· ὅθεν ἐπὶ τούτων ἔξεcτι καὶ πρὸc τὰc φωνὰc ὑπαντᾶν καὶ πρὸc τὸ cημαινόμενον, οἷον «ὁ cτρατὸc ἐπολέμηcε» καὶ «ὁ δῆμοc ἐβόηcε», καὶ «ὁ cτρατὸc ἐπολέμη-

14—18 = Σ^{v} *229, 32—230, 2* ‖ **19—29** *videntur esse* Σ^{h}

3 καὶ] ἢ VN ‖ **6** κειμένου N, κειμένῳ V | ἐν N, *om* V | οὐδὲν ἐκ δενὸc V, κοὐδὲν οὐδενὸc N ‖ **7** αὐτὸ VN ‖ **8** γένουc] γενικοῦ V, γενικῇ N | μεcήνη N, μεcήνηc V ‖ **11** καὶ ἑνὸc καὶ δευτέρου καὶ τρίτου V, καὶ ἕνα καὶ δεύτερον καὶ τρίτον N ‖ **12** μετέχειν N, μετέχων V | ἑνικὸc N, τὸ ἑνικόc V ‖ **13** τρεϊκὸν] τρίτον VN ‖ **19** ὁ τὸ — Αἴαντεc (21) V, οἷον (*sic*) N ‖ **23** ἑνὸc λεγόμενον VN ‖ **25** τρειικόc VN; *item v. 28* ‖ **34** τὰc N, *om* V

cαν» καὶ «ὁ δῆμος ἐβόηcαν». [Καὶ πληθυντικῷ κατὰ ἑνικοῦ καὶ δυϊκοῦ χρήcῃ, δυϊκῷ δὲ κατὰ ἑνικοῦ οὐκέτι· ὥριcται γὰρ ὁ ἀριθμὸc ἐπὶ δυάδοc.] Χρὴ δὲ γινώcκειν, ὅτι δυνατὸν μέν ἐcτι τῷ πληθυντικῷ χρήcαcθαι ἀντὶ δυϊκοῦ καὶ ἑνικοῦ, οἷον ⟨ε 226⟩ ἐλθόντεc δ' ἄρα τώ γε μυχῷ cπείουc γλαφυροῖο, καὶ ἀλλαχοῦ ⟨Eurip. Med. 488⟩ καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιcτ' ἀνδρῶν, παθὼν Προύδωκαc ἡμᾶc, ἐπειδὴ τὸ πλῆθοc περιέχει ἐν αὐτῷ τὸ ἓν καὶ τὰ δύο πρόcωπα· οὐκέτι δὲ τῷ ἑνικῷ χρήcαιο ἂν ἀντὶ δυϊκοῦ καὶ πληθυντικοῦ, ἀλλ' οὐδὲ τῷ δυϊκῷ ἀντὶ ἑνικοῦ καὶ πληθυντικοῦ· ὡριcμένην γὰρ μονάδα ἔχει τὸ ἑνικόν, καὶ ὡριcμένην δυάδα τὸ ⟨δυϊκόν, ἀόριcτον δὲ ἀριθμὸν cημαίνει τὸ⟩ πληθυντικόν.

Κατὰ πολλῶν λεγόμενοι.] Χαρακτῆρα λέγει τὸν τύπον τῆc προφορᾶc· τὸ γὰρ δῆμοc καὶ χορόc καὶ ὄχλοc ἑνικοῦ μὲν ἀριθμοῦ προφορὰν ἔχει, πλῆθοc δὲ cημαίνει.

⟨*Heliodori.*⟩ — Οἷον δῆμοc χορόc ὄχλοc.] Cυμβαίνει, φηcί, πολλάκιc ἑνικὸν μὲν εἶναι τὸν χαρακτῆρα τοῦ ὀνόματοc, cημαίνειν δὲ πληθυντικόν, ὥcπερ ἔcτιν εὑρεῖν ἐν τοῖc περιληπτικοῖc ὀνόμαcιν. — Ἄξιον δέ ἐcτι ζητῆcαι, τίνοc ἕνεκεν οὕτω παρείληπται πληθυντικὸν ἀντὶ ἑνικῶν καὶ δυϊκῶν· καὶ γὰρ τὸ ἀμφότεροι, ὡc αὐτὸc λέγει, πληθυντικὸν ἔχει χαρακτῆρα, cημαίνει δὲ δύο μόνουc, οὔτε γὰρ τολμήcω ἐπὶ πλήθουc τῇ λέξει χρήcαcθαι. Καὶ λέγομεν, διὰ τοῦτο, ὅτι τὸ πληθυντικὸν καὶ ἑνικὸν καὶ δυϊκὸν cημαίνει, ἐπειδὴ ἐμπεριέχεται τῷ ἀριθμῷ καὶ τὸ ἓν καὶ τὰ δύο. Φήcειεν ⟨ἄν⟩ τιc, «ἆρα γοῦν, ἐπειδὴ τὸ ἑνικὸν ἐμπεριέχεται τῷ ἀριθμῷ τῶν δυϊκῶν, καὶ δυϊκὰ ἀντὶ ἑνικῶν ἔξεcτι λέγειν;» Λέγομεν ὅτι οὔ· ἐν μὲν γὰρ τῷ πληθυντικῷ ἀόριcτόc ἐcτιν ὁ ἀριθμόc, ἐν δὲ τῷ δυϊκῷ ὡριcμένοc· πῶc οὖν τὸν ὡριcμένον κατὰ δύο μόνων ἀριθμὸν καὶ ἀντὶ ἑνὸc παραλαμβάνειν εὔλογον; Πάλιν πληθυντικὸν μὲν ἔχει τύπον προφορᾶc τὸ λέγειν Ἀθῆναι καὶ Θῆβαι· ὡc γὰρ κατὰ πολλῶν ἐcτι λεγόμενον, μίαν δὲ cημαίνει τὰc Ἀθήναc καὶ μίαν τὰc Θήβαc· Ὅμηροc μέντοι ἀκριβὴc ὢν τὰ μὲν ἑνικὰ ἑνικῶc προηνέγκατο, οἷον ⟨η 80⟩ ᾤχετο δ' εἰc Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην, καὶ ⟨Α 366⟩ ᾠχόμεθ' ἐc Θήβην, καὶ ⟨Ζ 416⟩ Θήβην ὑψίπυλον. Διὰ τί δὲ τὸ ἀμφότεροι χαρακτῆρα πληθυντικὸν ἔχει; Ὅτι ὁμοίωc κλίνεται τῷ πληθυντικῷ· ὡc γὰρ οἱ πολλοί τῶν πολλῶν τοῖc πολλοῖc τοὺc πολλούc ὦ πολλοί, οὕτω καὶ ⟨οἱ⟩ ἀμφότεροι τῶν ἀμφοτέρων τοῖc ἀμφοτέροιc τοὺc ἀμφοτέρουc ὦ ἀμφότεροι.

Πτώcειc ὀνομάτων εἰcὶ πέντε [καταχρηcτικῶc], ὀρθή, γενική, δοτική, αἰτιατικὴ καὶ κλητική.] Λέγονται δὲ πτώcειc, ἐπειδὴ ἡ

14—35 *videntur esse* Σ^h

1 ἑν. καὶ δυ. V, δυ. καὶ ἑν. N ‖ **7** τὸ ἓν N, *om* V ‖ **15** μὲν ἑνικὸν VN ‖ **21** ἐπειδὴ] ἐπεὶ δὲ VN | τῷ ἀριθμῷ καὶ N, *om* V ‖ **24** τῷ (*ante* πλ.) N, *om* V ‖ **30** ἀθήνην N, ἀθήναν V ‖ **36** καταχρ. — κλητική (**37**) *om* N

φωνὴ ἀπ' ἄλλου εἰς ἄλλο μεταπίπτει. Πτῶσίς ἐστι πτωτικῆς λέξεως μετασχηματισμός, τῆς τελευταίας συλλαβῆς ἄλλοτε εἰς ἄλλο τρεπομένης. Καὶ ἄλλως· ὀνόματος ἢ ὀνοματικοῦ τινος κατὰ τὸ τέλος γινομένη κίνησις. Ἄξιον δέ ἐστι ζητῆσαι, πῶς οἷόν τέ ἐστι *etc.* = Σ^v 231, 20—27.

Ἄλλως. — Πῶς λέγεται ἡ ὀρθὴ πτῶσις; Ὅτι πέπτωκεν ἐκ τοῦ ἀσωμάτου καὶ γενικοῦ εἰς τὸ εἰδικόν· ὀρθὴ δὲ λέγεται, ὅτι οὔπω ἐκινήθη εἰς πλάγιον. Ἰστέον δὲ ὅτι ἐζητήθη παρὰ πολλοῖς περὶ τῆς ὀρθῆς, πῶς δύναται ἡ αὐτὴ ὀρθὴ καὶ πτῶσις εἶναι· ἐναντίον γὰρ ἔδοξεν εἶναι τὴν αὐτὴν ὀρθὴν καὶ πτῶσιν καλεῖσθαι. Καὶ ἔστιν εἰπεῖν οὕτως, ὅτι κατὰ τοῦτο μὲν πτῶσις καλεῖται, καθὸ μεταπίπτει εἰς τὰς λοιπὰς πτώσεις, ἢ καθὸ ἀπὸ τοῦ γενικοῦ μεταπίπτει εἰς τὸ εἰδικόν, ἤγουν ὅτι ἐπιπίπτει τοῖς σώμασιν· κατὰ τοῦτο δὲ ὀρθὴ καὶ εὐθεῖα, καθὸ ὀρθὸν καὶ εὐθύτατον τὸν λόγον ἀποτελεῖ· δίχα γὰρ αὐτῆς λόγος οὐ συνίσταται· σκόπει γὰρ ὅτι ἐὰν μὲν εἴπω «Ἀρίσταρχος ἀνέγνω», ὑγιὴς ὁ λόγος ἐστὶ διὰ τὴν εὐθεῖαν, ἐὰν δὲ εἴπω «Ἀριστάρχου ἀναγινώσκοντος», ἀτελὴς ὁ λόγος μὴ ἔχων εὐθεῖαν· εἰ δὲ ἐπάξω τὸ «ἤκουσα», τέλειος ὁ λόγος γίνεται· εὐθεῖαν γὰρ ἐπήγαγον, ἐπειδὴ πᾶν ῥῆμα εὐθεῖαν ἐν ἑαυτῷ περιέχει. Καὶ ὥσπερ σύνδεσμος καλεῖται διαζευκτικός, καίτοι γε ἐναντίως ἔχων — ἐναντίον γὰρ τὸ διαζευγνύναι τῷ συνδεῖν —, ἀλλ' ἐπειδὴ συνδεῖ μὲν τὸν λόγον, διαζευγνύει δὲ καὶ διίστησι τὴν διάνοιαν [ἀπὸ τῶν ἄλλων πτώσεων], κατὰ τοῦτο σύνδεσμος διαζευκτικὸς λέγεται, ⟨οὕτω καὶ ταύτην ὀρθήν φαμεν καὶ εὐθεῖαν⟩· τὰς δὲ ἄλλας πτώσεις καὶ πλαγίας, καθὸ ἀπὸ τῆς εὐθείας πεπτώκασιν, καὶ καθὸ πλαγιάζουσι τὸν λόγον εἰς ἕτερον μεταφέρουσαι πρόσωπον, ὡς τὸ «Σωκράτους ἀναγινώσκοντος ἤκουσα, Πλάτωνι ἐξηγουμένῳ παρήμην, Ἀρίσταρχον διαλεγόμενον ἐθαύμασα».

Καὶ λέγεται ἡ μὲν ὀρθὴ ὀνομαστικὴ καὶ εὐθεῖα, ὅτι ὀρθὸν καὶ εὐθύτατον λόγον ἀποτελεῖ.] Ὀνομαστικὴ λέγεται ἡ ὀρθὴ καὶ εὐθεῖα, ὅτι δι' αὐτῆς τὰ ὀνόματα ἐπιτίθεμεν τοῖς παισὶ καὶ δι' αὐτῆς ὀνομάζομεν· δι' αὐτῆς γὰρ ὀνομάζεται τὸ ὑποκείμενον, εἴτε ἔμψυχον εἴτε ἄψυχον εἴη τὸ ὑποκείμενον, ὡς καὶ ὁ ποιητής ⟨τ 409⟩ τῷ δ' Ὀδυσεὺς ὄνομ' ἔστω ἐπώνυμον· ὅτε γὰρ λέγομεν Ὅμηρος, κατ' ὀρθότητα προφέρομεν τὸ ὄνομα· διὰ τοῦτο ὀρθὴ λέγεται· ἢ ὅτι [καθὸ] ὀνομάζειν τινὰ βουλόμενοι ταύτῃ κεχρήμεθα· αἱ δὲ ἑξῆς πτώσεις πλάγιαι καλοῦνται, ἐπειδὴ ἀπὸ τῆς ὀρθότητος πλαγιάζεται ἡ προφορὰ τοῦ ὀνόματος.

9—22 similia hab. et. Σ^1

3 Καὶ — κίνησις *om* N | ὀνομαστικοῦ V ‖ 6 ἰδικόν N; *item v. 11* ‖ 8 εἶναι (*poster.*) N, *om* V ‖ 9 ὀρθὴν N, *om* V ‖ 11 ἐπιπίπτει NΣ^1, μεταπίπτει V ‖ 13 τὸν N, *om* V ‖ 18 ἐναντίως N, ἐναντίων V ‖ 22 πλαγίας V, πλαγίους N ‖ 27 Καὶ *om* N | καὶ εὐθ. — ἀποτελεῖ (28) *om* N ‖ 31 τὸ ὑποκείμ. (*post* εἴη) *om* N ‖ 34 δὲ] γὰρ VN ‖ 35 πλάγιαι V, πλάγιοι N

Ἡ δὲ γενικὴ κτητική τε καὶ πατρική, ἐπειδὴ ἐξ αὐτῆς ποιοῦμεν τὰ γένη καὶ τὰς πατρίδας·] ὅτι πᾶν κτητικὸν ἢ πατρωνυμικὸν ἀπὸ γενικῆς γίνεται καὶ εἰς ταύτην ἀναλύεται, οἷον Νεςτόρειος ἀγρὸς ὁ τοῦ Νέςτορος ἀγρός, καὶ Νεςτορίδης ὁ τοῦ Νέςτορος υἱός· καὶ ὅτι γένεςίς ἐςτι ταῖς ἄλλαις πτώςεςι καὶ τῶν πλαγίων μήτηρ ἡ γενική· γενικὴ δὲ ὠνόμαςται, ὅτι γένος αὐτῶν, ὡς πατήρ, ἄλλως τε καὶ τῶν ἄλλων πτώςεων μήτηρ.

Ἡ δὲ δοτικὴ ἐπιςταλτική, ὅτι ταύτῃ χρώμεθα τῇ πτώςει ἐν τοῖς ἐπιςταλτικοῖς τρόποις·] ἐπεὶ καὶ αἱ δόςεις δι᾽ αὐτῆς γίνονται, οἷον «δίδωμι τῷ φίλῳ», καὶ ὅτι δι᾽ αὐτῆς ἐπιςτέλλομεν, ⟨ubi?⟩ χαίρειν Ἀθηναίοιςι καὶ τοῖς ςυμμάχοις.

Ἡ δὲ αἰτιατικὴ κατ᾽ αἰτίαν, οἷον διὰ τὸν Ἀρίςταρχον ἐτιμήθην.] Αἰτιατικὴ δέ, φηςίν, οὕτως ὀνομάζεται, ὅτι αἰτίαν ἐςήμανεν, αἴτιον τῆς ἡμετέρας ὠφελείας τὸν Ὅμηρον ψηφιςάμενος· μόνην δὲ αἰτίαν αὕτη δηλοῖ, οἷον «διὰ ςὲ ταῦτα ἐγένετο».

Ἡ δὲ κλητικὴ προςαγορευτική.] Τὴν κλητικὴν εἶπε προςαγορευτικήν, ἐπειδὴ προςκαλούμενοί τινα καὶ ἀςπαζόμενοι ταύτῃ χρώμεθα, ὅτι δι᾽ αὐτῆς, φηςί, καλοῦμεν καὶ προςαγορεύομεν, «ὦ Cώκρατες» λέγοντες, καὶ πάλιν ⟨I 225⟩ [ὦ] χαῖρ᾽, Ἀχιλεῦ, καὶ ⟨Ψ 19. 179⟩ χαῖρέ ⟨μοι⟩, ὦ Πάτροκλε κατὰ τὴν κλητικὴν πτῶςιν, ὡς καὶ ὁ ποιητὴς λέγει ⟨K 462⟩ χαῖρε, θεά.

Ὑποπέπτωκε δὲ τῷ ὀνόματι εἰκοςιτέςςαρα, ἃ καὶ αὐτὰ εἴδη προςαγορεύεται· κύριον, προςηγορικόν, ἐπίθετον, πρός τι ἔχον, ὡς πρός τι ἔχον, ὁμώνυμον, ςυνώνυμον, φερώνυμον, διώνυμον, ἐπώνυμον, ἐθνικόν, ἐρωτηματικόν, ἀόριςτον, ἀναφορικόν, ⟨ὃ⟩ καὶ ὁμοιωματικὸν ⟨καὶ⟩ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται, περιληπτικόν, ἐπιμεριζόμενον, περιεκτικόν, πεποιημένον, γενικόν, εἰδικόν, τακτικόν, ἀριθμητικόν, μετουςιαςτι-

---

1 κτητ. — πατρίδας (**2**) *om* N | *in marg. add* V *alia manu*: χρεμετιςμὸς ἵππου, βληχὴ προβάτου, μηκιςμὸς (l. μυκηθμὸς) βοός ‖ **8** *in marg. add* V: Γλαῦκος ⟨τεύχη⟩ ἔδωκε τῷ Διομήδει, Βελ⟨λ⟩εροφόντης οἱονεὶ (l. Οἰνεῖ) ἐχαρίςατο ⟨ςπάθην⟩· ἐν ταύτῃ δὲ τῇ ςυντάξει τρία δηλοῦνται πρόςωπα, τοῦ ποιοῦντος καὶ τοῦ ᾧ ποίημα γίνεται, εἴτ᾽ οὖν τοῦ δεχομένου τὸ διδόμενον, καὶ τοῦ ποιήματος. — Ἰςτέον δὲ ὅτι ἡ κλητικὴ αὐτοτελής ἐςτι καὶ τὸν πρός τινα λόγον ἔχει καὶ ὁμοιόπτωτον ςχῆμα ἀπαιτεῖ. Εἰς ἐπιςτροφὴν δὲ τῇ κλητικῇ χρώμενοι ςτίζομεν, εἶτα ἐπιφέρομεν ὁποίους οὖν βουλόμεθα λόγους εἴτε περὶ αὐτῶν εἴτε περὶ ἄλλων· ἡνίκα δὲ πρὸς τὸν κληθέντα περὶ αὐτοῦ τοῦ προςφωνουμένου ἀποτεινόμεθα, ἢ προςτακτικοῖς ῥήμαςιν ἢ δευτέροις προςώποις τῶν λοιπῶν ἐγκλίςεων χρώμεθα, οἷον Ἀρίςταρχε· ἐπιςτραφέντι δὲ Ἀριςτάρχῳ εἴποις ἂν εἴτε περὶ ςεαυτοῦ ἢ περὶ ἑτέρου· ⟨πρὸς αὐτὸν δὲ περὶ αὐτοῦ τοῦ προςφωνουμένου ποιούμενος τὸν λόγον⟩ προςτακτικοῖς ῥήμαςιν ἢ δευτέροις προςώποις τῶν λοιπῶν ἐγκλίςεων χρήςῃ· ἀεὶ γὰρ ἡ κλητικὴ πρὸς τὰ δεύτερα πρόςωπα τῶν ῥημάτων ἔχει τὴν ςύνταξιν (*cfr Syncellus fol. 184*) ‖ **15** οἷον] ὅτι VN ‖ **22** ἃ — ἀπολελυμένον (**385**, 1) *om* N

κὸν καὶ ἀπολελυμένον.] — ⟨*Heliodori.*⟩ — Ὃν τρόπον εἰρήκαμεν, ὅτι πᾶν ὄνομα πάντως ὑπὸ τὰ δύο εἴδη ἐστὶ τὰ πρῶτα, οὕτω καὶ ἐνταῦθα ἐροῦμεν, ⟨ὅτι⟩ πᾶν ὄνομα ὑπὸ τὰ δύο εἴδη ἐστὶ τὰ πρῶτα, φημὶ δὴ κύριον καὶ προσηγορικόν, μετὰ δὲ τοῦ εἶναι κύριον ἢ προσηγορικὸν καὶ ἑτέρῳ συμβαίνει σημαινομένῳ κατέχεσθαι, οἷον [κυρίῳ, προσηγορικῷ] ἐπιθέτῳ καὶ τοῖς ἑξῆς. — Διὰ τί δὲ εἶπεν «ἃ καὶ αὐτὰ εἴδη προσαγορεύεται»; Ὅτι καὶ αὐτὸς εἴδη προεξέθετο τὰ τῶν παραγώγων, ἔνθα φησίν «εἴδη δὲ παραγώγων εἰσὶν ἑπτά». Τί δέ ἐστιν «ὑποπέπτωκεν»; Ἀντὶ τοῦ ὑποβέβληται καὶ ὑποτέτακται. Τί δέ ἐστιν «εἴδη»; Τμήσεις ὡς εἰπεῖν τοῦ ὀνόματος· τὸ γὰρ ὄνομα γενικόν ἐστι κατὰ τῶν εἰδῶν τούτων, ἐξ αὐτῶν συνεστὼς καὶ εἰς ταῦτα διαιρούμενον· ὥσπερ ⟨γὰρ⟩ τῷ ζῴῳ τῷ γενικῷ ὑπόκειται εἴδη, οἷον ἄνθρωπος ἵππος βοῦς κύων, καὶ τῷ γενικῷ φυτῷ ὑποβέβληται ⟨εἴδη⟩, οἷον ἐλαία ἄμπελος συκῆ, οὕτω καὶ τῷ ὀνόματι, φησίν, ὑπόκειται καὶ ὑποβέβληται ταῦτα εἴδη αὐτοῦ καλούμενα. Καὶ ἐπειδὴ διχῶς προσαγορεύεται τουτέστι λέγεται τὸ εἶδος — ὁρᾶται γὰρ καὶ νοεῖται ποτὲ μὲν περὶ φωνὴν ποτὲ δὲ περὶ σημασίαν αἱρούμενον· καὶ περὶ φωνὴν μέν, ὡς ὅταν εἴπωμεν πρωτότυπον καὶ παράγωγον, περὶ σημασίαν δὲ κύριον ἢ προσηγορικόν —· καὶ ὥσπερ τὸ περὶ φωνὴν εἶδος εἰς δύο διελών, εἰς πρωτότυπον καὶ παράγωγον, ἐπιδιαίρεσιν ἐποίησεν, ἐπιδιεῖλε γὰρ τὸ παράγωγον εἰς ἑπτά, οὕτω καὶ ἐπὶ τούτου τὸ περὶ σημασίαν εἶδος διαιρεῖ εἰς κύριον καὶ προσηγορικόν, τὸ δὲ προσηγορικὸν ἐπιδιαιρεῖ εἰς ἐπίθετον, πρός τι ἔχον καὶ τὰ ἑξῆς.

Κύριον μὲν οὖν ἐστι τὸ τὴν ἰδίαν οὐσίαν σημαῖνον καὶ ἀφ' ἡμῶν ἔχον τὴν ὀνομασίαν, οἷον Πέτρος Παῦλος Ἰωάννης.] Καὶ ἔστι μὲν εἶδος, φησί, κύριον ὀνομαζόμενον, ὅτι μιᾶς ὑπάρξεως καὶ οὐσίας κυριεύει καὶ αὐτὴν μόνην δηλοῖ, ἢ ὅτι κυρίως καὶ βεβαίως τὴν οὐσίαν ἐκείνην καὶ τὴν ὕπαρξιν ἰδίαν ἐποιήσατο, ἣν μόνην δηλοῖ, οἷον Ὅμηρος Σωκράτης· καὶ πάλιν κύριον μέν ἐστι τὸ οὐ κοινῶς ἀλλ' ἰδίως ἐπί τινος τεταγμένον βουλήσει τῶν κυριευόντων τῆς κλήσεως. Γίνεται δὲ κύριον ἀπὸ τοῦ κύρω, ὃ δηλοῖ τὸ ἐπιτυγχάνω, ἀφ' οὗ κῦρος ἡ ἐπίτευξίς τινος καὶ ἡ ψῆφος.

Τί ἐστι προσηγορικόν; Τὸ τὴν κοινὴν οὐσίαν σημαῖνον καὶ οὐκ ἀφ' ἡμῶν ἔχον τὴν ὀνομασίαν, οἷον ἄνθρωπος ἵππος βοῦς κύων ὄφις οὐσία.] — ⟨*Heliodori.*⟩ — Προσηγορικόν ἐστι τὸ κοινῆς

1—22 *videntur esse* Σ^h ‖ **1—6** = Σ^v *232, 20—24* ‖ **6—22 similia hab. et.** Σ^l ‖ **34—386, 23** *videntur esse* Σ^h ‖ **34—386, 2** = Σ^v *232, 26—29*

1 εἰρήκαμεν] *vide p. 364, 6—8* ‖ **5** κύριον προσηγορικὸν ἐπίθετον καὶ τὰ ἑξῆς N ‖ **10** εἰπεῖν Σ^l, εἶπε VN ‖ **14** αὐτοῦ] αὐτῶν VN ‖ **17** αἱρούμενον] εἰλούμενον VN ‖ **18** περὶ — παράγωγον (**19**) N, *om* V ‖ **23** τὸ — Ἰωάννης (**24**) *om* N ‖ **28** μέν ἐστι] οὖν ἐστι V, μὲν N ‖ **30** κύρω V, κυρῶ N | ἡ ἐπ. τινος] καὶ ἐπίτευξις τοῦδε τινὸς V, ἡ ἐπίταξις τοῦδέ τινος N ‖ **32** Τί — οὐσία (**34**) V, Προσηγ. δέ ἐστι N

οὐςίας δηλωτικὸν καὶ ἐπὶ κοινοῦ πράγματος τιθέμενον καὶ οὐκ ἀφ' ἡμῶν ἔχον τὴν ὀνομαςίαν, ὡς ἄνθρωπος ἵππος ἀρετὴ παιδεία καὶ τὰ ὅμοια.

Ζητοῦςι δέ τινες ἐνταῦθα λέγοντες, διὰ τί μὴ προέταξεν ὁ τεχνικὸς τὸ προςηγορικὸν τοῦ κυρίου, ὅτι τὸ μὲν προςηγορικόν ἐςτι φυςικόν, τὸ δὲ κύριον ςυμβεβηκός· τεχθεὶς γάρ τις πρῶτον τὴν κοινὴν οὐςίαν καὶ ὕπαρξιν ἔρχεται ἔχων, ἄνθρωπος φαινόμενος, εἶθ' οὕτω Cωκράτης ὀνομάζεται. Καὶ λέγομεν, ὅτι ἔθος ἐςτὶ τοῖς τεχνικοῖς τὰ ἄτομα προτάςςειν τῶν τεμνομένων, ὡς τὸ πρωτότυπον τοῦ παραγώγου καὶ τὸν ἐνεςτῶτα τοῦ παρῳχημένου, καὶ ὡς τὸ ἁπλοῦν τοῦ ςυνθέτου. Προςηγορικὸν δέ ἐςτι τὸ κατὰ πάντων τῶν ὁμοίαν φύςιν ἐχόντων λεγόμενον.

Ἐπίθετον δέ ἐςτιν.] Ἐπίθετόν ἐςτιν ὃ καθ' ἑαυτὸ οὐ δύναται λεχθῆναι, εἰ μὴ ἐπιτεθῇ ἑτέρῳ ὀνόματι, τουτέςτι κυρίῳ ἢ προςηγορικῷ· ὥςπερ καὶ τὰ ἐπιρρήματα, ἐπειδὴ καὶ αὐτὰ δίχα ῥημάτων οὐ δύναται ςυςτῆναι· διὸ καὶ ἐπίθετον καλεῖται, ὅτι ἐπιτίθεται ἑτέρῳ ὀνόματι. Ἐντεῦθεν καὶ τρίτον τῇ τάξει τέτακται· ὥςπερ γὰρ ἐν τοῖς παραγώγοις πρῶτον τέταχε τὸ πατρωνυμικόν, καθὸ ἀπὸ κυρίου ἔχει τὴν γένεςιν, καὶ δεύτερον τὸ κτητικόν, καθὸ τοῖς κυρίοις καὶ προςηγορικοῖς ὕλῃ κέχρηται, καὶ τρίτον τὸ ςυγκριτικὸν τὸ ἐπι⟨ςυμ⟩βαῖνον κυρίῳ τε καὶ προςηγορικῷ, ⟨οὕτω καὶ ἐνταῦθα τὸ ἐπίθετον τρίτον τέταχεν ὡς ἐπιςυμβαῖνον κυρίῳ καὶ προςηγορικῷ⟩. Δεῖ δὲ ἡμᾶς εἰδέναι, ὅτι ἐκεῖνό ἐςτιν [τὸ] ἐπίθετον τὸ παραλαμβανόμενον [ἐπὶ] ψόγου ἢ ἐγκωμίου χάριν, ὡς τὸ ταχὺς ἵππος, λευκὸς Αἴας.

Τὸ ἐπὶ κυρίων ἢ προςηγορικῶν ὁμωνύμως τιθέμενον καὶ δηλοῦν ἔπαινον ἢ ψόγον. Λαμβάνεται δὲ τριχῶς, ἀπὸ ψυχῆς, ἀπὸ ςώματος, ἀπὸ τῶν ἐκτός· ἀπὸ μὲν ψυχῆς, ὡς ςώφρων ἀκόλαςτος, ἀπὸ δὲ ςώματος, ὡς ταχύς βραδύς, ἀπὸ δὲ τῶν ἐκτός, ὡς πλούςιος πένης.] Διαφέρει γοῦν προςηγορικοῦ ἐπίθετον, ὅτι τὸ μὲν αὐτοτελές ἐςτιν, οἷον ἄνθρωπος, τὸ δὲ τῆς [τοῦ] ἑτέρου δεόμενον ἐπαγωγῆς, οἷον «ἀγαθὸς ⟨ὁ δεῖνα»⟩· ὅςα δὴ γοῦν τῶν ἐπιθέτων τὴν αἰτίαν τοῦ λέγεςθαι ἐξ ἡμῶν ἔχει, ταῦτα ἐπαίνου ἢ ψόγου ἐςτὶ ςημαντικά, οἷον ταχύς βραδύς· τὰ δὲ μὴ οὕτως ἔχοντα μέςα, οἷον ὑγιής ἀςθενής· [ἔςτι δὲ καὶ μέςα ἐπίθετα, ὡς τὸ πλούςιος πένης ὑγιής λελωβημένος.] Ταῦτα δὲ ἀπὸ τῶν ἐκτός ἐςτι τῶν ἐκ τύχης ςυμβαινόντων, ἃ μήτε ἔπαινον μήτε ψόγον ἔχει· οὐδεὶς γὰρ τὸν πλούςιον ἢ τὸν ὑγιῆ ἐπαινεῖ, ἀλλὰ μακαρίζει τῆς εὐτυχίας, οὔτ' αὖ τὸν πένητα ἢ τὸν λελωβημένον ψέγομεν, ἀλλ' οἰκτείρομεν τῆς δυςτυχίας· ἐπαινετὰ δὲ

3—9 (παρῳχ.) **hab. et.** *Σ*[1] ‖ **12—23** *cfr Σ*[v] *233, 8—17* ‖ **28—387, 3** *cfr Σ*[v] *233, 27—234, 1; An. Ep. 299, 19—28*

6 ἔρχεται ἔχων VN, ἔχει *Σ*[1] ‖ **15** ςυςτῆναι V, ςτῆναι N ‖ **16—20** *cfr p. 365, 23; 369, 33; 371, 15* ‖ **24** ὁμωνύμως — πένης (**28**) *om* N ‖ **32** μέςα N, *om* V ‖ **36** ἢ N, καὶ V

ταῦτά ἐςτι καὶ ψεκτά, ὅςα τοῦ μὲν δοκεῖν τύχης ἔργον εἶναι ἀπήλλακται, τῆς δὲ αἰτίας τὴν ἀναφορὰν εἰς ἡμᾶς αὐτοὺς ἔχει. Λαμβάνεται δὲ τὸ ἐπίθετον παρὰ ποιηταῖς ἀπὸ τῶν μάλιςτα ςυνεχῶν τρόπων κδʹ.

Πρός τι ἔχον δέ ἐςτι τὸ πρὸς ἕτερον ἔχον τὴν ςχέςιν ςυςτατικὴν ἀλλήλων, οἷον πατήρ υἱός· ἔχεται γὰρ ςχετικῶς καὶ ὁ πατὴρ τοῦ υἱοῦ καὶ ὁ υἱὸς τοῦ πατρός· ⟨ὡς⟩ πρός τι δὲ ἔχον ἐςτίν, ὡς νὺξ πρὸς ἡμέραν, θάνατος πρὸς ζωήν.] — ⟨*Heliodori.*⟩ — Πρός τι ἔχον ἐςτὶ τὸ πρὸς ἕτερον ἔχον τὴν ςχέςιν, εἰ τὸ λεγόμενον δίδωςι νοεῖςθαι ἕτερον ςύνεςτί τε αὐτῷ καὶ ςυναπολήγει, ὡς ὅταν εἴπω «πατήρ», ἐνόηςα καὶ τὸν υἱόν, οὐ γὰρ μὴ ὄντος υἱοῦ ἔςται τις πατήρ· ἐν ὅςῳ γοῦν ὁ υἱός, ἔςται καὶ ὁ πατήρ, ἀπολλυμένου δὲ τοῦ υἱοῦ ἀπολεῖται ⟨καὶ⟩ τὸ τοῦ πατρὸς ὄνομα· ὅθεν Ὅμηρος τοῦτο εἰδώς φηςι ⟨Β 260⟩ μηδ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην. Cημειωτέον δὲ ὅτι τὸ πρός τι ἔχον ἀεὶ γενικῇ ςυντάςςεται, πατὴρ τούτου, υἱὸς τούτου, φίλος τούτου, πολλάκις δὲ ἐκ περιουςίας καὶ δοτικῇ· τὸ μέντοι ἴςος ὅμοιος ἴκελος ἀτάλαντος μόνῃ δοτικῇ ςυντάςςεται, ⟨cfr ex. gr. Β 651⟩ ἶςος Ἐνυαλίῳ, ⟨cfr Ξ 386 et Β 478⟩ ἴκελος ἀςτεροπῇ Διὸς τερπικεραύνου, ⟨Β 627⟩ ἀτάλαντος Ἄρηϊ.

Πρός τι δέ ἐςτιν ὃ πρὸς ἑτέρου ςχέςιν νοεῖται, οὗ ὑποςτελλομένου οὐδ' αὐτὸ ὑπάρχει, ὡς ⟨καὶ⟩ ἐφ' ὧν εἶπε [καὶ] τῶν ςυγκριτικῶν. Καὶ ταῦτα δὲ λίαν ἠκρίβωςεν Ὅμηρος, εἰςάγων Ὀδυςςέα τὸν Τηλεμάχου πατέρα πρὸς Θερςίτην ἀπειλητικῶς λέγοντα ⟨Β 259 seq⟩ μηκέτ' ἔπειτ' Ὀδυςςῆϊ κάρη ὤμοιςιν ἐπείη, Μηδ' ἔτι Τελεμάχοιο πατὴρ κεκλημένος εἴην· τούτων ⟨γὰρ⟩ ὁ μὲν πρότερος ⟨ςτίχος⟩ ἀπάτορα τίθηςι τὸν Τηλέμαχον, ὁ δὲ δεύτερος ἄπαιδα τὸν Ὀδυςςέα ποιεῖ.

Ὡς πρός τι ἔχον ἐςτὶ τὸ πρὸς ἕτερον λαμβανόμενον κατ' ἐναντιότητα φθαρτικήν, οἷον νὺξ πρὸς ἡμέραν, ὑγίεια πρὸς νόςον, θάνατος πρὸς ζωήν, ςκότος πρὸς φῶς· τὸ γὰρ ὡς ἐπίρρημα ὁμοιωματικόν. Καὶ ἄλλως· τὸ δύο ὄντων ἐναντίων τοῦ ἑνὸς ὀνομαζομένου ⟨ποιοῦν⟩ μὲν ςυνυπακούεςθαι τὸ ἕτερον [καὶ τὸ ςυνεπινοούμενον], ἀλλ' οὐ ςυναναιροῦν, ἤγουν τὸ κατ' ἐναντιότητα λαμβανόμενον, οἷον νύξ ἡμέρα, θάνατος ζωή· τὸ γὰρ ὡς ἐπίρρημα ὁμοιωματικόν ἐςτιν.

⟨*Heliodori.*⟩ — Ὡς πρός τί ἐςτι τὸ κατά τι ὅμοιον τῷ πρός τι·

8—18 *videntur esse* Σ^h ‖ **8—16** **hab. et.** Σ^l ‖ **13—16** *cfr An. Ep. 301, 28 seq* ‖ **20** *seq cfr An. Ep. 302, 2 seq* ‖ **34—388, 30** *videntur esse* Σ^h

1 τοῦ *An. Ep.*, τῷ VN ‖ **3** κδʹ] κυρίων VN *et An. Ep.* ‖ **4** δέ ἐςτι N, ἐςτὶ V | τὸ — ζωήν (7) *om* N ‖ **9** αὐτῶ NΣ^l, αὐτὸ V ‖ **10** καὶ *add* Σ^l | ἔςται NΣ^l, ἔςτι V ‖ **13** μηδέ τοι τηλ. N; *item v. 24* ‖ **21** εἶπε VN, εἴρηται *An. Ep.* ‖ **27** ἐςτὶ — ἐςτιν (33) *om* N ‖ **29** ὁμοιωματικόν] βεβαιωτικόν V ‖ **30** μὲν] μὴ V

ἔστι γὰρ ὅτε τὸ ὡς τὴν κατὰ μικρὸν ὁμοίωσιν σημαίνει· καὶ [ὅτι] τοῦτο ἴδιόν ἐστι τῶν πρός τι, τὸ δύο ὄντων ἑνὸς ὀνομαζομένου συνυπακούεσθαι πάντως τὸ ἕτερον, ἀναιρεθέντος δὲ τοῦ ἑνὸς συναναιρεῖσθαι καὶ τοῦ ἑτέρου τὴν ὀνομασίαν εὐθέως. Ἐπὶ μέντοι τῶν ὡς πρός τι οὐχ ὁ αὐτὸς λόγος ἐστίν· οὐ γὰρ ἂν ἀναιρεθῇ ἡ νὺξ ἡ ἡμέρα συναναιρεῖται, ἀλλ' ἔτι μᾶλλον ἔσται νὺξ ἡμέρας προσδοκωμένης. Ὅμως μέντοι ἐπεὶ ἔχουσι γειτνίασιν πρὸς ἀλλήλας ἡ νὺξ καὶ ἡ ἡμέρα, καὶ δοκοῦσί πως συνυπακούεσθαι ἀλλήλαις, διὰ τοῦτο κεκολασμένως ἐκλήθη ὡς πρός τι· τὸ γὰρ ὡς προστεθὲν τῆς μὲν ταὐτότητος αὐτὸ ἀφεῖλε τῆς τοῦ πρός τι, παρόμοιον δὲ αὐτῷ τοῦτο πεποίηκεν, ὥσπερ εἰ λέγει τις τοῦ ἀνθρώπου τὸν ἀνδριάντα ὡς ἄνθρωπον εἶναι, οὐ μὴν αὐτόχρημα ἄνθρωπον. Καί φαμεν κατά τι ὅμοιον εἶναι τὸ ὡς πρός τι τῷ πρός τι, καθὸ καὶ αὐτὸ μὲν πρὸς ἕτερον ἔχει τὴν σχέσιν, ἐκπίπτει δὲ τῆς ὁμοιότητος, καθὸ οὐ συνίσταται, εἰ μὴ ἕτερον ἀποστῇ· οὐδ' ἂν ὕπαρξιν θάνατος σχοίη ἢ φθορά, εἰ μὴ τῆς ζωῆς ἡ στάσις φρούδη γένοιτο· καὶ ἡ ὑγεία ὡς πρὸς τὴν νόσον ἔχει τὴν σχέσιν, καὶ ἡ ἡμέρα ὡς πρὸς τὴν νύκτα, καὶ τὸ φῶς ὡς πρὸς τὸ σκότος, καὶ ὁ πλοῦτος ὡς πρὸς τὴν πενίαν, ἀλλ' οὐκ ἄν, καθὼς εἶπον, ἐν ταὐτῷ συσταίη, εἰ μὴ τὸ ἕτερον ἔξω γένοιτο. Διὰ τοῦτο γὰρ καὶ ὡς πρός τι εἴρηται, ὅτι καὶ αὐτὸ κατά τι πρὸς τὴν αὐτὴν ἔννοιαν τῷ πρός τι θεωρεῖται γινόμενον· ὡς γὰρ δεξιὸς πρὸς ἀριστερόν, καὶ πατὴρ πρὸς υἱόν, οὕτω καὶ ἡ νὺξ πρὸς ἡμέραν δοκεῖ λέγεσθαι· ταύτῃ δὲ διαφέρει, ὅτι τὸ μὲν πρός τι ἔχει προσυπακουόμενον τὸ τινός· ἐὰν γὰρ εἴπω «υἱός», λέξει τις πάντως «τίνος;» τὸ δὲ ὡς πρός τι οὐ τοῦτο φαίνεται ἔχον· οὐ γὰρ ἐὰν εἴπω «νύξ», λέξει τις τὸ «τίνος;» ἵνα ἐπαγάγω «τῆς ἡμέρας», ἐπειδὴ ἡ νὺξ ἴδιόν ἐστι διάστημα, οὐ πρὸς ἡμέραν θεωρούμενον· καὶ ἐπειδὴ πάλιν ἡ νὺξ ἀντίκειται τῇ ἡμέρᾳ, ὁ δὲ υἱὸς οὐκ ἀντίκειται τῷ πατρί, ἀλλὰ συνυφίσταται, ἐναντίον δὲ τῷ συνυφισταμένῳ τὸ ἀντικείμενον· τὸ μὲν γὰρ σύνεστι, τὸ δὲ ἀδύνατον συνεῖναι· ἡμέραν γὰρ εἶναι κατὰ ταὐτὸν καὶ νύκτα ἀδύνατον.

Ποσαχῶς τὰ πρός τι; Τετραχῶς· φύσει, τύχῃ, τέχνῃ καὶ προαιρέσει· φύσει μέν, ὡς πατὴρ πρὸς υἱόν, τύχῃ δέ, ὡς δοῦλος πρὸς δεσπότην, τέχνῃ δέ, ὡς μαθητὴς πρὸς διδάσκαλον, προαιρέσει δέ, ὡς φίλος πρὸς φίλον. — Ποσαχῶς τὰ ὡς πρός τι; Τετραχῶς· κατὰ ποιόν, κατὰ ποσόν, κατὰ ἄμεσον καὶ κατὰ ἔμμεσον· κατὰ ποιὸν μέν, ὡς τὸ γλυκὺ πρὸς τὸ πικρόν, κατὰ ποσὸν δέ, ὡς τὸ διπλάσιον πρὸς τὸ ἥμισυ, κατὰ ἄμεσον ⟨δέ⟩, ὡς φῶς πρὸς σκότος, κατὰ ἔμμεσον ⟨δέ⟩, ὡς δίκαιος πρὸς ἁμαρτωλόν. — Τί διαφέρει τὰ πρός τι τῶν ὡς πρός τι; Ὅτι τὰ μὲν πρός τι σωστικά εἰσι καὶ ἐν τῷ ἅμα ὀφείλουσι λέγεσθαι· οὐ γὰρ εἴρηταί ποτε πατὴρ ἄνευ υἱοῦ, οὐδὲ υἱὸς ἄνευ πατρός· τὰ δὲ ὡς πρός τι ἀναιρετικά εἰσιν· ἀναιρουμένης γὰρ τῆς ζωῆς ἔρχεται ὁ θάνατος, καὶ ἀναιρουμένης τῆς ἡμέρας ἔρχεται ἡ νύξ.

---

14 ἂν] αὖ VN ‖ **18** ἐν ταὐτῷ] ἐν τούτῳ VN ‖ **20** πρὸς τὴν] παρὰ τὴν VN | τῷ] τοῦ VN ‖ **23** ἐὰν N, κἂν V ‖ **25** τὸ] τοῦ VN ‖ **26** ἡμέρας VN **31—40** *om* N; *cfr Choerob. epim. in psal.* 7, *10—28*

Ὁμώνυμον δέ ἐστιν ὄνομα τὸ ἐν διαφόροις οὐσίαις ὑποκείμενον.] Ὁμώνυμόν ἐστι τὸ ἐναντίον τῷ συνωνύμῳ, καὶ λέξις δὲ διὰ μιᾶς φωνῆς δύο ἢ καὶ πλείονας διαφορὰς σημαίνουσα, οἷον Φοῖνιξ ⟨κύων⟩· Φοῖνιξ γὰρ καλεῖται ὁ ἀπὸ Φοινίκης καὶ ὁμοίως τὸ δένδρον καὶ ὁ Ἀχιλλέως τροφεύς, καὶ κύων ὁ ἐπίγειος καὶ ὁ θαλάττιος καὶ ὁ οὐράνιος, καὶ τὰ ὅμοια· ἢ καὶ οὕτως· ὁμώνυμόν ἐστιν ὄνομα τὸ κατὰ πολλῶν ὁμοίως τῇ αὐτῇ ὀνομασίᾳ τιθέμενον ἐπί τε κυρίων καὶ προσηγορικῶν, οἷον ἐπὶ μὲν κυρίων, ὡς Αἴας ὁ Τελαμώνιος καὶ ὁ τοῦ Ὀϊλέως, ἐπὶ δὲ προσηγορικῶν, ⟨ὡς⟩ κύων ὅ τε χερσαῖος, ⟨καὶ⟩ κύων ὁ ἀστρῷος, ⟨καὶ⟩ κύων ὁ θαλάττιος. Καὶ πάλιν ὁμώνυμόν ἐστιν ⟨ὄνομα⟩ τὸ ὅμοιον διαφόροις δὲ οὐσίαις ὑποκείμενον, ὡς ὁ κύων ὁ χερσαῖος καὶ οἱ λοιποί· προσηγορικὸν μὲν γάρ ἐστιν ὡς ἓν ὄνομα κατὰ πάντων τιθέμενον τῶν κυνῶν καὶ κοινὴν οὐσίαν τούτων σημαῖνον, ὁμώνυμον δέ, ὅτι διαφορᾶς οὔσης τοῦ γένους αὐτῶν, καὶ τῶν μὲν ὄντων θαλαττίων, τῶν δὲ γηγενῶν, ἓν ὄνομα κατὰ ἀμφοτέρων τῶν γενῶν ἐστιν. Διαφέρει δὲ τοῦ συνωνύμου, ὡς ὁμόδουλος τοῦ συνδούλου· ὁμόδουλοι γάρ εἰσιν οἱ μετέχοντες ὁμοίας τύχης δουλικῆς, σύνδουλοι δὲ οἱ σὺν ἀλλήλοις δουλεύοντες.

Ἄλλως. — Ὁμώνυμα τὰ κατὰ πολλῶν ὁμωνύμως τιθέμενα, ἐπὶ μὲν κυρίων, ὡς Αἴας ⟨ὁ Τελαμώνιος καὶ ὁ τοῦ Ὀϊλέως⟩, ἐπὶ δὲ προσηγορικῶν, ὡς μῦς θαλάττιος καὶ μῦς γηγενής, καὶ κύων ὅ τε χερσαῖος καὶ ὁ θαλάττιος καὶ ὁ ἀστρῷος· ταῦτα γὰρ τῇ ὁμωνυμίᾳ κοινωνοῦσι, τῇ δὲ φύσει διαφέρουσιν· ἤγουν τὸ κατὰ πολλῶν ὁμωνύμων, ἃ καὶ προσηγορικὰ καλοῦνται. — Ὁμώνυμα δὲ κατὰ φιλοσόφους λέγονται, ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος. Σημείωσαι ⟨δέ⟩, ὅτι ἐπὶ τῶν ὁμωνύμων τρία δεῖ ζητεῖν· εἰ ἔστι τῶν ὁμωνύμων, καὶ κατὰ πόσων σημαινομένων, καὶ κατὰ ποίου σημαινομένου ἡ ἐρώτησις γέγονεν.

2—6 = *Σ*ᵛ *236, 4—8* ‖ **15—17** = *Σ*ᵛ *236, 10—12*

1 τὸ — ὑποκείμ. *om* N ‖ 2 *in marg. add* V *manu altera:* σύνθετα· ἔτι δὲ καὶ ταῦτα, ὅσα ἀπὸ τοῦ ὁμοῦ ἐπιρρήματος ἢ τῆς σύν προθέσεως ὀνόματα συντέθεινται, ὡς μὲν ἐπίθετα ὄντα πρῶτον μὲν ἀπαιτοῦσι κύρια καὶ (*leg.* ἢ) προσηγορικὰ ἔχειν, ἐφ᾽ ὧν τέθεινται, ὡς τὰ προειρημένα· ἔπειτα δὲ θέλουσι κυρίως μὲν ⟨ἔχειν⟩ δοτικάς, πρὸς ἀεὶ (*leg.* ἃς) τὴν σχέσιν ἔχουσιν, οἷον ὁμοούσιος τῷδε, ὁμοφυὴς τῷδε, ὁμόπιστος, ὁμότροφος, ὁμότιμος, ὁμότροπος, ὁμώνυμος, ὁμοπάτριος, ὁμόδοξος, καὶ ὅσα τοιαῦτα. Διὰ δὲ τὴν τῆς δοτικῆς συγγένειαν τὴν πρὸς τὴν γενικὴν πολλάκις [δὲ] καὶ γενικῇ συντάσσονται· ὁμοίως δὲ καὶ ⟨τὰ⟩ ἀπὸ τῆς σύν προθέσεως, οἷον σύνθρονος τῷδε ⟨καὶ⟩ τοῦδε, καὶ συναίτιος, καὶ ὅσα τοιαῦτα. Τὸ μέντοι ὅμοιος, ἴκελος, ἴσος, παραπλήσιος καὶ τὰ ὁμοιόσημα καὶ τὰ ἐξ αὐτῶν συγκείμενα, ὁμοιότροπος, ὁμοιόχροος, ὁμοιότριχος (*sic*), ὁμοιογενής, ὁμοιόπτωτος, ἰσομήκης, ἰσοπαλής, ἰσομαθής, ἰσότεχνος, ἰσόστοιχος, ἰσόμετρος, ἰσάριθμος, πρὸς δοτικὴν ἔχει τὴν σύνταξιν· ὁμοίως δὲ καὶ τὰ ἀπὸ τούτων καὶ τῶν τοιούτων ὀνομάτων παράγωγα ἢ παρασύνθετα ῥήματα δοτικῇ συντάσσονται, ὅμοιος τῷδε, ἴκελος τῷδε, ἴσος τῷδε, ἰσοῦται τόδε τῷδε, ὁμοιοῦται τόδε τῷδε, ἰσάζεται τόδε τῷδε, ἰσαριθμεῖ, ἰσοφωνεῖ, ἰσοστοιχεῖ (*eadem fere praebet Syncellus fol. 182*ᵛ) ‖ 11 προσηγορικὸν] προσῆκον VN ‖ 16 εἰσιν N, *om* V ‖ 18—27 *om* N ‖ 23 κατὰ φιλος.] *Aristot. Categ. 1*ᵃ*1*

Συνώνυμον δέ ἐστι τὸ ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῦν, καὶ διὰ τοῦτο καλεῖται παρὰ τοῖς φιλοσόφοις καὶ πολυώνυμον, οἷον ἄορ ξίφος μάχαιρα φάσγανον σπάθη.] Τὸ συνώνυμον διαφόρων ὀνομάτων καὶ πλειόνων συναγωγὴν ἔχει κατὰ τοῦ αὐτοῦ σημαινομένου· ἡ γὰρ σπάθη ἕν τι οὖσα διαφόρως ὀνομάζεται, ἡ αὐτὴ γὰρ καὶ ξίφος καὶ μάχαιρα καὶ ἄορ καὶ φάσγανον καλεῖται, ἕκαστον δὲ τούτων καὶ προσηγορικόν ἐστι κοινὴν οὐσίαν τοῦ ξίφους σημαῖνον. Ἔστι δὲ ἐναντίον τῷ ὁμωνύμῳ τὸ συνώνυμον· τὸ μὲν γὰρ ὁμώνυμον ὄνομα μὲν ἔχει τὸ αὐτό, πρᾶγμα δὲ διάφορον, ἄλλος γὰρ ὁ τοῦ Ὀϊλέως καὶ ἄλλος ὁ Τελαμώνιος Αἴας, καὶ ἄλλος ὁ θαλάσσιος μῦς καὶ ἄλλος ὁ γηγενής· τὸ δὲ συνώνυμον ἔμπαλιν πρᾶγμα μὲν ἓν καὶ ταὐτὸν δηλοῖ, διαφόροις δὲ καὶ πλείοσιν ὀνόμασιν ὀνομάζει· συνώνυμον γάρ ἐστιν ὄνομα, ὃ διὰ πλειόνων ἓν ὑποκείμενον σημαίνει, οἷον μέροψ βροτός ἄνθρωπος, καὶ τὰ ὅμοια, ἅπερ οἱ Περιπατητικοὶ πολυώνυμα καλοῦσιν.

Φερώνυμόν ἐστι τὸ ἀπό τινος συμβεβηκότος τεθέν, ὡς Τισαμενός καὶ Μεγαπένθης.] — ⟨*Heliodori.*⟩ — Ἐπειδὴ φορά ἐστιν ἡ τύχη, φερώνυμον ἐκεῖνο λέγεται τὸ ἀπὸ φορᾶς καὶ τύχης ὠνομασμένον· Μεγαπένθης γὰρ ἐκλήθη, ἐπειδὴ ἀπὸ τύχης τινὸς ὅτε ἐγεννήθη μέγα πένθος κατεῖχε τὴν Ἑλλάδα· ἐπὶ γὰρ τῶν χρόνων τοῦ Ἰλιακοῦ πολέμου ⟨ἐ⟩γεγέννητο. Καὶ Τισαμενός ὁμοίως· ἔστι δὲ ὁ Τισαμενὸς Πολυνείκους υἱός, δυστυχήσας σφόδρα διὰ τὴν τελευτὴν τοῦ πατρός, καταδεῆ γὰρ αὐτὸν ὁ πατὴρ κατελελοίπει· ἐπεὶ δὲ ἀνὴρ ἐγένετο, ἐτιμωρήσατο τοὺς Καδμείους ἀνελόντας αὐτοῦ τὸν πατέρα Πολυνείκην, κἀπὶ τούτῳ ὕστερον Τισαμενός ἐκλήθη, τιμωρησάμενος τοὺς ἐχθροὺς τοῦ πατρός. Μεγαπένθης δὲ Μενελάου υἱός, ὃς ταύτην ὕστερον ἔσχε τὴν προσηγορίαν, ὅτι ἐπεγεννήθη μεγάλοις πένθεσι, τῇ τε Ἑλένης ἁρπαγῇ καὶ τοῖς διὰ τὴν ἁρπαγὴν πολλοῖς γενομένοις ἐν Ἰλίῳ κακοῖς. Οὐδὲν δὲ ἧττον ⟨δυνατὸν⟩ κἀκεῖνα φερώνυμα λέγεσθαι, ὅσα ὡς ἔτυχε λέγονται ὠνομασμένα, ὕστερον δὲ ἀπὸ τύχης τινὸς ἁρμόδια εὑρίσκομεν, ὡς Δημοσθένης· τοῦτον γὰρ ὡς ἔτυχεν ὠνόμασαν οἱ γονεῖς, ὕστερον δὲ σθένος εὑρέθη τοῦ δήμου διὰ τοῦ στόματος τὴν δύναμιν· ὥσπερ Θυέστης πάλιν καὶ Πενθεύς. Ταῦτα δὲ ὁ ποιητὴς ἐπώνυμα καλεῖ, ⟨τ 409⟩ τῷ δ' Ὀδυ[σ]σεὺς ὄνομ' ἔστω ἐπώνυμον, ἀντὶ τοῦ φερώνυμον, καὶ ⟨η 54⟩ Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον, ἀντὶ τοῦ φερώνυμον.

17—35 *videntur esse* Σ^h ‖ **28—35** *cfr* Σ^v *236, 32—237, 4*

1 τὸ — σπάθη (**3**) *om* N ‖ **3** Τὸ N, *om* V ‖ **9** ὁ ἰλλέως N ‖ **12** ὀνομάζει *RSchneider*, ὀνομάζεται VN ‖ **14** οἱ Περιπατ.] *cfr Porphyr. in Aristot. Categ. p. 69, 1* (*Comment. in Arist. IV 1*) ‖ **16** συμβεβ. — Μεγαπ. (**17**) *om* N | τισάμενος V; *item v. 21* (*bis*) *et 25* ‖ **21** τισάμενος (*bis*) N; *item v. 25* ‖ **23** ἐπεὶ — ἐγένετο *ante* καταδεῆ *transp.* V ‖ **32** τὴν δύναμιν] τὸ ὄνομα VN ‖ **35** δ' ὄνομα ἔχειν ἐπών. V, δ' ὄνομα ἔσκεν ἐπών. N

Διώνυμον δέ ἐστιν ὀνόματα δύο κύρια καθ' ἑνὸς τεταγμένα.] Διωνυμόν ἐστι τὸ τῷ κυρίῳ προσηρτημένον καὶ τὴν αὐτὴν ἐκείνῳ δύναμιν ἔχον, οἷον Πάρις ὁ καὶ Ἀλέξανδρος, Πύρρος ὁ καὶ Νεοπτόλεμος, Ξάνθος ὁ καὶ Σκάμανδρος. Διώνυμον γάρ ἐστιν *etc.* = Σ^v 237, 12—22.

⟨*Heliodori.*⟩ — Τοῦ διωνύμου τοῦτό ἐστιν ἴδιον γνώρισμα τὸ ἐπὶ κυρίων μόνων λέγεσθαι, ὡς τὸ Ἀλέξανδρος καὶ Πάρις ἀμφότερα κύρια. Τὸ δὲ Πάρις ὄνομα ἐκ τῆς πήρας κέκληται· ὡς γὰρ ποιμὴν πήραν ἔφερε, καὶ ἐκ τούτου Πάριν αὐτὸν ἐκάλεσαν, καὶ ἔστιν αὐτοῦ κύριον. Ὅταν οὖν ᾖ τὰ δύο ὀνόματα κύρια καθ' ἑνὸς τεταγμένα, τότε μόνον διώνυμον καλεῖται, ὡς δηλονότι ἐπ' ἀνθρώπου μόνου καὶ θεοῦ θεωρεῖσθαι τὸ διώνυμον· ἐπὶ γὰρ ἀνθρώπου μόνου καὶ θεοῦ τὸ κύριον τάσσεται τὴν ἰδίαν οὐσίαν ἑκάστου σημαῖνον. Εἰ δέ τις λέγοι, ὅτι ⟨καὶ⟩ ἦτορ ⟨καὶ⟩ ψυχή [οὐκ] ἔστι δύο ὀνόματα καθ' ἑνὸς σημαινομένου τεταγμένα, ἐροῦμεν, ὅτι οὐχὶ κύριά ἐστιν· οὔτε γὰρ τὸ ψυχή οὔτε τὸ ἦτορ κύριόν ἐστιν, ἀλλὰ προσηγορικόν, συνώνυμον ἤτοι πολυώνυμον· προσηγορικὸν μέν, ὡς κοινὴν οὐσίαν σημαῖνον πασῶν τῶν ψυχῶν, συνώνυμον δέ, ὅτι ἐν διαφόροις ὀνόμασι τὸ αὐτὸ δηλοῖ.

Οὐκ ἀναστρέφοντος τοῦ λόγου· οὐ γὰρ εἴ τις Ἀλέξανδρος, οὗτος καὶ Πάρις·] τουτέστιν οὐχ ὁ Ἀλέξανδρος καὶ Πάρις ἐστὶ πάντως, ἀλλ' ὁ Πάρις πάντως καὶ Ἀλέξανδρος· ἴδιον δὲ καὶ τοῦτο τοῦ διωνύμου τὸ μὴ ἀναστρέφειν.

Πολλὰ δὲ τῶν ἀντιγράφων ἔσφαλται· ἡ γὰρ ὀρθότης τοῦ ῥητοῦ αὕτη ἐστίν· «διώνυμον δέ ἐστι», φησίν, «ὀνόματα δύο κύρια καθ' ἑνὸς τεταγμένα»· οὐχ οὕτως δὲ ἔχει τὰ πλεῖστα τῶν ἀντιγράφων, ἀλλὰ «καθ' ἑνὸς κυρίου», πάνυ ἀνοήτως.

Διωνυμόν ἐστι τὸ μίαν οὐσίαν *etc.* = Σ^v 237, 23—238, 6.

⟨*Heliodori.*⟩ — Ἐπώνυμον δέ ἐστι.] Ἐπώνυμόν ἐστι δύο ὀνόματα καθ' ἑνὸς τεταγμένα, ὧν τὸ μὲν κύριον, τὸ δὲ ἐπίθετον, δύναμιν ἔχον κυρίου διὰ τὸ ἴδιον εἶναι τοῦδέ τινος, ὡς τὸ λευκώλενος καὶ γλαυκῶπις καὶ ἐριούνης· ταῦτα δὲ καὶ ἀντιστρέφουσιν. Καὶ πάλιν· ἐπώνυμόν ἐστιν ἐπιθετικόν, κυρίου τάξιν ἔχον καὶ δυνάμενον ἀπὸ τῆς τοῦ συμβεβηκότος δυνάμεως καθ' αὑτὸ δηλῶσαι τὸ κύριον, οἷον ὑψιβρεμέτης φανερὸν ὅτι ὁ Ζεύς, καὶ γλαυκῶπις δῆλον ὅτι ἡ Ἀθηνᾶ, καὶ φοῖβος ὁ

6—26 **simillima hab. et.** Σ^l; *videntur esse* Σ^h ‖ **28—392, 12** *videntur esse* Σ^h ‖ **28—31** *cfr* Σ^v *238, 13—16* ‖ **31—392, 1** = Σ^v *238, 9—12*

1 κύρια *om* N | τεταγμ. *om* N ‖ **2** τὴν αὐτὴν] ταυτὴν VN ‖ **13** λέγοι V, λέγει N ‖ **14** σημαινομ. N, *om* V ‖ **16** συνώνυμα N | ἤτοι πολυών. *om* N ‖ **17** ὅτι] ὁ VN ‖ **19** Οὐκ — λόγου *ante* Τοῦ διών. (*v. 6*) *transp.* VN ‖ **28** Ἐπώνυμόν ἐστι N, *om* V

Ἀπόλλων, καὶ τὰ ὅμοια. — Ἰστέον δὲ ὅτι τινὲς ταὐτὸν ᾠήθησαν εἶναι τὸ ἐπώνυμον τῷ ἐπιθέτῳ, καθὸ κἀκεῖνο κατὰ κυρίου κεῖται, ἀγνοοῦντες ὅτι πολλή ἐστιν ἡ διαφορὰ τῶν δύο· καὶ γὰρ διαφέρουσιν, ὅτι τὸ μὲν ἐπίθετον κατὰ κυρίων καὶ προσηγορικῶν πολλῶν τίθεται, τὸ δὲ ἐπώνυμον κατὰ ἑνὸς μόνου κυρίου ἰδιαζόντως· καὶ ὅτι τὸ μὲν ἐπίθετον ἐπὶ ἐπαίνου καὶ ψόγου τάσσεται, τὸ δὲ ἐπώνυμον ἐπὶ ἐγκωμίου ἤγουν ἐπαίνου μόνον· καὶ ὅτι τὸ μὲν ἐπίθετον τριγενές ἐστι, τὸ δὲ ἐπώνυμον μονογενές· καὶ ὅτι τὸ μὲν ἐπίθετον χωρὶς κυρίου ἢ προσηγορικοῦ λεχθῆναι οὐ δύναται, ἀλλ' οὐδὲ καθ' ἑαυτὸ λεγόμενον δηλοῖ ἀφ' ἑαυτοῦ τὸ κύριον ὄνομα, τὸ δὲ ἐπώνυμον καὶ χωρὶς κυρίου λέγεται καὶ τὴν χώραν καὶ τὴν σημασίαν τοῦ κυρίου ὀνόματος ἀναπληροῖ, ὡς τὸ ἐνοσίχθων ῥηθὲν σημαίνει ἀφ' ἑαυτοῦ τὸν Ποσειδῶνα.

Ὃ καὶ διώνυμον καλεῖται·] τὸ μεθ' ἑτέρου κυρίου, ἤγουν ἐξ ἐνεργείας φυσικῆς ἑπόμενον ὄνομα τῷ κυρίῳ ὀνόματι, ὡς ἐνοσίχθων Ποσειδῶν καὶ φοῖβος [ὁ] Ἀπόλλων· καλεῖται δὲ ἐπώνυμον, ὅτι ἐπὶ ὀνόματος κυρίου τέτακται. — Τί διαφέρει τὸ ἐπώνυμον τοῦ διωνύμου; Τὸ μὲν [γὰρ] διώνυμον ἴσον ἔχει ἑκάτερον ὄνομα κατὰ τὴν σημασίαν, καθὸ κύριον, τὸ δὲ ἐπώνυμον τὸ μὲν κύριον, τὸ δὲ ἐπίθετον.

Τοῦτο ἴδιον γνώρισμα τοῦ ἐπωνύμου τὸ αὐτὸ μὲν μὴ εἶναι κύριον, ἀλλ' ἐπίθετον μόνον ἐκείνου, καθ' οὗ λέγεται, καὶ σχεδὸν εἶναι κύριον, ὅτι καθ' ἑνὸς μόνου λέγεται, ἤτοι ἀνθρώπου ἢ θεοῦ· οὔτε γὰρ τὸ φοῖβος ἄλλου ἐστὶν ἐπίθετον ἢ τοῦ Ἀπόλλωνος, οὔτε τὸ ἐνοσίχθων ἄλλου τινὸς ἢ τοῦ Ποσειδῶνος· καὶ ἐπειδὴ ἔπαινον ἀμφότερα δηλοῖ, τό τε φοῖβος καὶ τὸ ἐνοσίχθων, διὰ τοῦτο ἐπώνυμά ἐστιν· εἰ δὲ κύρια ἦν, διώνυμα ἐκαλεῖτο. Ἐπὶ μὲν κυρίου πάντως λέγεται, καὶ διὰ τοῦτο ἐπώνυμον κέκληται, ὅτι ἐπ' ὀνόματος κυρίου τέτακται. Τὸ αὐτὸ δὲ καὶ διώνυμον ἐκάλεσεν, ὅτι ἴδιόν ἐστιν ὄνομα ἐπί τε τοῦ Ποσειδῶνος τὸ ἐνοσίχθων καὶ ⟨ἐπὶ⟩ τοῦ Ἀπόλλωνος τὸ φοῖβος. Ταύτῃ γοῦν διαφέρει τοῦ ἐπωνύμου ⟨τὸ διώνυμον⟩, ὅτι τὸ διώνυμον μὲν τὰ δύο κύρια ἔχει, τὸ δὲ ἐπώνυμον ἐπίθετόν ἐστιν ἐπὶ κυρίου πάντως λεγόμενον, καὶ ὅτι ἐκεῖνο μὲν οὐκ ἀναστρέφει, ⟨τὸ δὲ ἐπώνυμον ἀναστρέφει⟩· ὅτε γὰρ λέγω Ποσειδῶν, δηλῶ πάντως τὸν ἐνοσίχθονα, ⟨καὶ λέγων ἐνοσίχθων δηλῶ πάντως τὸν Ποσειδῶνα⟩, καὶ πάλιν λέγομεν Ἀπόλλωνα τὸν φοῖβον καὶ φοῖβον τὸν Ἀπόλλωνα.

⟨*Heliodori.*⟩ — Κἀνταῦθα δὲ πάλιν σφάλμα ἔχει τὰ ἀντίγραφα·

1—12 hab. et. Σ^1 ‖ 35—394, 4 *videntur esse* Σ^h

1 Ἰστέον — τινὲς] ἐπειδὴ δέ τινες VN ‖ 7 μόνον *add* Σ^1 ‖ 8 *post* μὲν *add* ἀγαθὸς VN ‖ 9 ἀλλ' — ὄνομα (10) *om* Σ^1 ‖ 10 καὶ τὴν χ. — Ποσειδῶνα (12) *om* Σ^1 ‖ 13 τὸ - ἐπίθετον (18) *om* N ‖ 20 μόνον *An. Ep. 303, 20,* μόνου VN ‖ 33 καὶ τὸν φοῖβον ὁ ἀπόλλων VN

δέον γὰρ γεγράφθαι «ὃ καὶ ἐπίθετον καλεῖται», «ὃ καὶ διώνυμον» γράφουσι, καὶ τὸ ἐπώνυμον διώνυμον λέγουσι, καὶ ὡς πιθανόν τι λέγοντες ἐκεῖνο, ὅτι τὸ ἐπώνυμον αὐτοῦ ἴδιον τούτου μόνου ἐστὶ καθ' οὗ λέγεται, ἐπεὶ δὲ σχεδὸν κύριόν ἐστι, διὰ τοῦτο λέγοιτ' ἂν τὸ αὐτὸ καὶ διώνυμον.

Ἐθνικὸν δέ ἐστιν.] Ἐθνικὸν δέ ἐστι τὸ ἔθνος σημαῖνον, ὡς τὸ Φρύξ· τὸ δὲ Φρύγιος οὐκ ἔστιν ἐθνικόν, εἴ γε τὸ μὲν Φρύξ πρωτότυπον, τὸ δὲ Φρύγιος παράγωγον· εἰ δὲ παράγωγον, καὶ εἴδους κτητικοῦ, ὡς ἀπὸ τοῦ τύπου φαίνεται, εἰς ιος γὰρ λήγει. Ἐθνικόν ἐστι τὸ ἔθνους ἢ πόλεως ἢ δήμου σημαντικόν, οἷον Ἕλλην Ἀθηναῖος Παιανιεύς· κυρίως δὲ ἐθνικόν ἐστι τὸ ἔθνους ὁλοκλήρου δηλωτικόν, τὸ γὰρ Γαλάτης ὄνομα καὶ τὸ Φρύξ χώρας ὁλοκλήρους δηλοῖ· λέγεται μέντοι καταχρηστικῶς ἐθνικὸν καὶ τὸ ἀπὸ μιᾶς πόλεως, οἷον Ἀλεξανδρεύς Μεμφίτης καὶ τὰ ὅμοια. Γίνεται δὲ τὸ ἐθνικὸν τετραχῶς, ἀπὸ γένους, ἀπὸ χώρας, ἀπὸ πόλεως, ἀπὸ βασιλέως· ἀπὸ γένους μέν, ὡς Ἕλλην καὶ βάρβαρος, ἀπὸ χώρας, ὡς Θεσσαλός, ἀπὸ πόλεως, ὡς Φθιώτης, ἀπὸ βασιλέως, ὡς Ἀχαιός καὶ Δαναός.

Ἐρωτηματικὸν δέ ἐστιν, ὃ καὶ πευστικὸν καλεῖται, τὸ κατ' ἐρώτησιν λεγόμενον, οἷον τίς ποῖος πόσος πηλίκος.] Τινές φασιν, ὅτι ταὐτόν ἐστι τὸ ἐρωτηματικὸν τῷ πευστικῷ. Διαφέρει δὲ πεῦσις ἐρωτήσεως τῇδε, ὅτι ἡ μὲν ἐρώτησις ἀπὸ τοῦ ἐρωτῶντός ἐστι μόνου, ἐπειδὴ ἱκανὸν πρὸς τὴν ἐρώτησιν τὸ ἐπινεῦσαι μόνον ἢ ἀνανεῦσαι, οἷον ἔπραξας; ἐνόησας; ἡ δὲ πεῦσις ἅμα τῇ ἐρωτήσει τὴν ἀπόκρισιν θέλει λαμβάνειν, οἷον τίς; ποῦ; πόθεν; καὶ ὅτι ἐρωτηματικὰ μὲν ἔστιν εὑρεῖν ἐν παντὶ μέρει λόγου, πευστικὰ δὲ οὐκ ἔστιν εὑρεῖν ἐν παντὶ μέρει, εἰ μὴ ἐν ὀνόμασι καὶ ἐπιρρήμασι μόνοις, ἐν μὲν ὀνόμασι τίς ποῖος πόσος πηλίκος ⟨ποδαπός⟩, ἐν δὲ ἐπιρρήμασι πῶς πῇ ποῦ πόθεν πηνίκα. Καὶ χρὴ εἰδέναι, ὅτι τῷ μὲν τίς ἐπάγεται κύριον ὄνομα, τῷ δὲ ποῖος πᾶν ἐπίθετον πλὴν τῶν ἐπὶ σωματικοῦ μεγέθους κειμένων· καὶ τὸ πόσος ἐπὶ πλήθους, καὶ τὸ πηλίκος ἐπὶ μεγέθους, καὶ τὸ ποδαπός ἐπὶ ἔθνους. Καὶ τοῦτο δὲ πάλιν χρὴ εἰδέναι, ὅτι τὰ μὲν μονοσύλλαβα τῶν ἐρωτηματικῶν ἐγκλινόμενα ἀόριστα γίνεται, ἦλθέ τις καὶ που ἔστι καὶ πῃ ἀπῆλθε, τὰ δὲ δισύλλαβα καταβιβάζοντα τὸν τόνον, οἷον ποιὸς ἦχος καὶ ποσός τις· καὶ ὅτι τὰ δισύλλαβα καὶ τρισύλλαβα ἀποβάλλοντα τὸ κατ' ἀρχὴν σύμφωνον ἀναφορικὰ γίνεται, οἷον ποῖος οἷος, πόσος ὅσος, πηλίκος ἡλίκος, [τοῖος οἷος,] τινὰ δὲ καὶ κατ' ἀρχὴν τὸ ο λαμβάνοντα, ὁποῖος

14—17 = Σ^v *238, 23—26* ‖ 26—394, 4 = Σ^h *67, 17—68, 2*

3 ἐπώνυμον] ἐπίθετον VN ‖ 9 ιος] ος VN ‖ 11 τὸ γὰρ Γαλ. N, τὸ Γαλ. γὰρ V ‖ 13 τὰ N, τινὰ V ‖ 17 καὶ N, *om* V ‖ 18 τὸ — πηλίκος (19) *om* N ‖ 24 εὑρεῖν N, *om* V ‖ 26 πόσος] *hic incipit commentarius Heliodoreus in cod.* O *fol. 10r* ‖ 28 τὸ μὲν τις ἐπάγ. κυρίοις ὀνόμασιν VN | τῷ δὲ O, τὸ δὲ VNΣ^1 | πᾶν ἐπίθετον OΣ^1, παντὶ ἐπιθέτῳ VN ‖ 29 ἐπὶ (*prius*)] κατὰ VN ‖ 32 ποῦ ἐστι καὶ πῇ ἀπ. VN ‖ 36 τοῖος οἷος *hab.* VNO | καὶ *add* O

ὁπόcoc ὁπηλίκοc· τὰ δὲ λαμβάνοντα κατ' ἀρχὴν τὸ τ̄ ἀνταποδοτικὰ γίνεται, ὅcoc τόcoc, οἷoc τοῖoc, ἡλίκοc τηλίκοc, ἅτινα καὶ παράγεται διὰ τοῦ οῦτοc̄, τοιοῦτοc τοcοῦτοc τηλικοῦτοc, καὶ ἐπεκτείνεται διὰ τοῦ δε̄, τοιόcδε τοcόcδε τηλικόcδε.

Τὸ τίc μόριον ὅτε μὲν ὀξυτονεῖται, τότε ἐρωτηματικόν ἐcτιν, ἐὰν δὲ ἐγκλίνηται, ἀόριcτον ἢ ἀποφαντικόν, καὶ ἀρcενικοῦ καὶ θηλυκοῦ κοινόν· τὸ δὲ μόριον τοῦτο οὐδετέρωc ἐκφερόμενόν ἐcτι πτώcεωc ὀρθῆc καὶ αἰτιατικῆc τῶν ἑνικῶν.

Διαφέρει δὲ ἐρωτηματικὸν τοῦ πευcτικοῦ ταύτῃ, ὅτι πευcτικαὶ μὲν λέξειc ἐννέα μόναι εἰcίν, τέccαρεc ὀνομάτων καὶ πέντε ἐπιρρημάτων· τῶν μὲν ὀνομάτων ταῦτα, τίc ποῖοc πόcoc πηλίκοc, ἐπιρρημάτων δὲ πῆ ποῦ πότε πηνίκα πῶc· ἐρωτηματικαὶ δὲ cχεδὸν εἰπεῖν πᾶcαι αἱ λέξειc· δύναται γὰρ πᾶcα λέξιc εἶναι ἐρωτηματική, τῆc φωνῆc καὶ τῆc ὑποκρίcεωc μόνον καθελκομένηc.

Διαφέρει δὲ πευcτικὸν ἐρωτηματικοῦ *etc.* = Σ^v 239, 14—18.

Ἰcτέον ὅτι τὰ ὑπὲρ μίαν cυλλαβὴν *etc.* = Σ^v 239, 28—240, 2.

Ἀόριcτον δέ ἐcτι τὸ τῷ ἐρωτηματικῷ ἐναντίον.] Τὸ ἀόριcτον *etc.* = Σ^h 68, 4—9.

Ἀόριcτον τοίνυν ὅτι μὴ ὁρίζει *etc.* = Σ^v 240, 18—25.

Διὰ τοῦτο ἐναντίον εἶπε τῷ ἐρωτηματικῷ, ὅτι περὶ ὡριcμένου τοῦ πράγματοc βουλόμεθα μαθεῖν· ἐν δὲ τῷ ἀορίcτῳ οὐ περὶ ὁριζομένων, ⟨ὡc⟩ τὸ ⟨Γ 167⟩ ὅcτιc ὅδ' ἐcτὶν Ἀχαιὸc ἀνὴρ ἠύc τε μέγαc τε, καὶ πάλιν ⟨Υ 250⟩ ὁπ⟨π⟩οῖόν κ' εἴπηcθα ἔποc, καὶ πάλιν ⟨ubi?⟩ ὅcτιc δ' ὁμιλῶν (sic)· ἐν δὲ τῷ ἐρωτηματικῷ περὶ πράγματοc ὅρον ἔχοντοc βουλόμεθα γνῶναι, ὡc τὸ «ποῖοc ⟨Αἴαc⟩; ὁ Τελαμώνιοc ἢ ὁ Ὀϊλέωc;» Καὶ κατ' ἄλλον δὲ τρόπον ἐναντίον ἐcτὶ τὸ ἐρωτηματικὸν τῷ ἀορίcτῳ· λέγομεν γὰρ ἐρωτῶντεc «τίc οὗτοc;» εἶτα ἐπάγομεν ἀορίcτωc «ὁcτιcδήποτε»· «ποῖοc Αἴαc;» «ὁποιοcδήποτε»· «πηλίκοc τὴν δύναμιν;» «ὁπηλικοcδήποτε».

Ἀναφορικὸν δέ ἐcτι τὸ δηλοῦν ἀναφορὰν ἤγουν ἀνάπόληcιν καὶ μνήμην ἐγνωcμένου τινὸc καὶ ἀπόντοc.] Ἀναφορά ἐcτιν ἐγνωcμένου καὶ ἀπόντοc τινὸc προcώπου ἀναπόληcιc, ὡc ὅταν ἐγνωκότι coι τὸν Ἀχιλλέα εἴπω «οἷοc ὁ δεῖνα, τοιοῦτοc ἦν Ἀχιλλεύc»· καὶ λοιπὸν ἀναφέρω cου τὸν νοῦν, ἐν οἷc τὴν μνήμην ἔχειc, εἰc τὸν προεγνωcμένον Ἀχιλλέα, καὶ ἀναπολεῖν ἄρχῃ τὸν Ἀχιλλέα ἐκεῖνον τὸν

5—7 = Σ^v *239, 11—13* ‖ **9—14** = Σ^v *239, 5—9* ‖ **31—395, 3** = Σ^h *68, 11—16*

3 οῦτοc̄ O, τ̄οc VN | τοιοῦτοc τοcοῦτοc Σ^l, *om* VNO ‖ **6** καὶ ἀρc.] ἢ ἀρc. VN ‖ **8** τῶν ἑν. *om* N ‖ **10** μόναι V, μόνον N ‖ **12** δὲ NC, *om* V ‖ **17** δέ N, *om* V ‖ **30** τὸ — ἀπόντοc (31) *om* N

ἐξ Ὁμηρικῶν ἐπῶν ἢ ἀπὸ γραφῆς σοι ἐγνωσμένον. Τοῦτο δὲ τὸ ἀναφορικὸν καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται ἀπὸ τῆς αὐτῆς ἐννοίας.

Τὸ γοῦν ἀναφορικὸν ἀναφορὰν σημαίνει· ἀναφορὰ δέ ἐστιν ἀνάμνησις προεγνωσμένου προσώπου καὶ ἀπόντος τινὸς γνῶσις καὶ ἀναπόλησις. Ἀναφορικὸν δὲ καλεῖται, ὅτι ἀναφέρει πρὸς τὸ ὅμοιον, ὡς [ἐκεῖνος] ⟨Δ 399⟩ τοῖος ἔην Τυδεὺς Αἰτώλιος· δεικτικὸν δέ, ὅτι δεικνύντες λέγομεν, οἷον ⟨Π 847⟩ τοιοῦτοι δ᾽ εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν· τὸ αὐτὸ δὲ καὶ ὁμοιωματικὸν καλεῖται, ὁ γὰρ νοῦς τοιοῦτος, «εἰ δὲ τοιοῦτοι εἴκοσιν ὅμοιοί σοι ἀπήντησάν μοι, πάντας ἂν παραχρῆμα ἀνεῖλον»· ἀνταποδοτικὸν δέ, ὅπερ ἀνταποδιδόντες πρὸς τὸ ὅμοιον λέγομεν, ⟨σ 136⟩ τοῖος δ᾽ αὖ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, καὶ ⟨Υ 250⟩ ὁπ⟨π⟩οῖόν κ᾽ εἴπῃσθα ἔπος, τοῖόν κ᾽ ἐπακούσαις· τὸ γὰρ ὁποῖον ἀνταποδοτικόν ἐστιν. Μιᾶς δὲ δυνάμεώς ἐστι τὰ τέσσαρα, ἕκαστον γὰρ αὐτῶν ὁμοίωσιν σημαίνει, διαφόρους μὲν ὀνομασίας ἔχοντα, ἐφ᾽ ἓν δὲ καταστρέφοντα, τὴν ὁμοίωσιν.

Περιληπτικὸν δέ ἐστι τὸ τῷ ἑνικῷ ἀριθμῷ καὶ χαρακτῆρι πλῆθος σημαῖνον.] Τί γοῦν, ὅτε πληθυντικῶς αὐτὸ λέγομεν, οὐκέτι περιληπτικόν ἐστιν; Ναί, λεκτέον δή, καὶ ὅτε πληθυντικῶς αὐτὸ λέγομεν, περιληπτικόν ἐστιν, οἷον οἱ δῆμοι, οἱ χοροί· ἀλλ᾽ οὐκ ἔδει αὐτὸν εἰπεῖν «τὸ δι᾽ ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαῖνον»· οὐδὲ γὰρ μόνῳ τῷ ἑνικῷ ἀριθμῷ πλῆθος περιλαμβάνομεν· ἐν γὰρ τῷ δῆμος ἑνικῷ τύπῳ πλῆθος περιλαμβάνομεν, καὶ πάλιν ἐν τῷ δῆμοι πολλοὺς δήμους δηλοῦμεν συνηγμένους ἐκ διαιρέσεως ἑκάστης πλῆθος περικλειούσης. Διὰ τοῦτο οἱ ποιηταὶ πρὸς τὸ σημαινόμενον ὑπαντῶντες πληθυντικὰ ἐπάγουσι ῥήματα, ⟨Υ 166⟩ ἀγρόμενοι πᾶς δῆμος, ⟨Ο 305⟩ ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.

• Περιληπτικὸν δὲ λέγεται ὄνομα, ὅταν ὁ μὲν χαρακτὴρ ἑνικὸς ᾖ, ἐμφαίνηται δὲ διὰ τοῦ σημαινομένου πολύ τι πλῆθος· εἴρηται δὲ περιληπτικὸν ἀπὸ τοῦ περιέχειν τὰ ἐξ αὐτοῦ σημαινόμενα, οἷον, ὡς ὁ τεχνικὸς παραβάλλει, δῆμος χορός καὶ τὰ ὅμοια.

Ἐπιμεριζόμενόν ἐστι τὸ ἐκ δύο ⟨ἢ⟩ καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφοράν, κατὰ διαίρεσιν ἢ συναίρεσιν, οἷον ἑκάτερος ἕκαστος, οἷον ⟨Ephes. 4, 7⟩ ἑνὶ ἑκάστῳ ἐδόθη ⟨ἡ⟩ χάρις κατὰ τὸ μέτρον.] Καὶ ὁ ὅρος *etc.* = Σ^h 68, 32—69, 13.

18—24 *cfr* Σ^h *68, 18—30* ‖ **28—31** *cfr* Σ^v *240, 34—241, 2*

5 προεγνωσμένου N, προγεγραμμένου V ‖ **6** τὸ N, *om* V ‖ **8** δὲ εἴπερ VN ‖ **10** σοι V, εἰσιν N ‖ **12** δ᾽ αὖ VN, γὰρ *Hom.* ‖ **13** τοῖον καὶ ἐπακ. VN ‖ **14** ὁποῖον] οἷον VN ‖ **20** οὐκ *add* O ‖ **22** παραλαμβάνομεν VN | ἐν — περιλαμβ. (**23**) N, *om* V ‖ **23** παραλαμβ. N ‖ **28** ἐμφαίνηται CA, ἐμφαίνῃ V, ἐμφαίνει N ‖ **31** τὰ N, τινὰ V ‖ **32** ἐστι — μέτρον (**35**) *om* N

Τὸ ἐκ δύο ἢ καὶ πλειόνων.] Τὸ μὲν ἐκ δύο ἐστὶ τὸ ἑκάτερος, τὸ δὲ ἐκ πλειόνων τὸ ἕκαστος· «ἀναφοράν» δὲ λέγει τὴν κατάντησιν· ἐπὶ ἓν γὰρ ἀναφέρεται τὸ ἑκάτερος καὶ ἕκαστος ὄνομα. «Ἐπιμεριζόμενον» δὲ ἀντὶ τοῦ ἐπιμερίζον· μερίζει γὰρ τοὺς μὲν δύο ἐν τῷ ἑκάτερος, τοὺς δὲ πλείονας ἐν τῷ ἕκαστος. Καὶ πάλιν ἐπιμεριζόμενόν ἐστι τὸ ἐναντίον τῷ συναπτικῷ, καὶ τὸ τὰ συνηγμένα διαιροῦν καὶ μερίζον, οἷον ἑκάτερος ἕκαστος· συναπτικὸν δέ ἐστι τὸ τὰ κεχωρισμένα συνάγον καὶ μὴ διαμερίζον, οἷον πολλοί ἀμφότεροι.

Περιεκτικὸν δέ ἐστι τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τι περιεχόμενον, οἷον δαφνών ἐλαιών παρθενών· τὸ μέντοι κυκεὼν οὐκ ἔστι περιεκτικόν.] Περιεκτικόν δέ ἐστι, φησίν *etc.* = Σ^h 69, 15—25.

Πάλιν δὲ διαφέρει τοῦ περιληπτικοῦ, ὅτι ἐκεῖνο ἄδηλον τίνα περιλαμβάνει ὅσον ἀπὸ τῆς φωνῆς, τὸ δὲ περιεκτικὸν δηλοῖ καὶ τὰ περιεχόμενα· καὶ ὅτι ἐν τῷ περιληπτικῷ αὐτὸ τὸ περιέχον ἐστίν, ἐν δὲ τῷ περιεκτικῷ αὐτὸ τὸ περιεχόμενον· καὶ τοῦ ἑνὸς διαλυομένου διαφορὰ γίνεται· τὸ δὲ περιεκτικὸν οὐχ οὕτως, εἰ γὰρ ἀφέλοις τὰ περιεχόμενα, οὐκ ἀπώλετο τὸ περιεκτικόν.

Τί διαφέρει τὰ περιεκτικὰ τῶν ὡς περιεκτικῶν; Ὅτι τὰ μὲν περιεκτικὰ ἐμφαίνει τὸ περιεχόμενον, τὰ δὲ ὡς περιεκτικὰ τὴν γραφὴν μόνην τῶν περιεκτικῶν φυλάττει, φωνὴ γὰρ μόνη ἐστὶν ἐμφαντικὴ πλήθους· τὸ δὲ περιεκτικὸν ἄλλο δηλοῖ τὸ περιέχον καὶ ἄλλο τὸ περιεχόμενον.

Πεποιημένον δέ ἐστι τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς εἰρημένον.] Πεποιημένον ἐστὶ *etc.* = Σ^h 69, 27—70, 3.

Τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητας.] Πεποιημένον ἐστίν, ὅταν *etc.* = Σ^v 242, 10—21.

Πεποιημένον δέ ἐστιν ὃ διὰ τῆς οἰκείας ὀνομασίας μιμεῖται τοῦ λεγομένου τὸν κτύπον, ὡς τὸ ⟨ex. gr. Ν 530⟩ βόμβησε, ⟨Δ 125⟩ λίγξε βιός· ῥοῖζος δέ ἐστιν ὁ συριγμός· Ὅμηρος, ⟨Κ 502⟩ ῥοίζησε⟨ν⟩ δ' ἄρα πιφαύσκων Διομήδεϊ δίῳ.

Γενικὸν δέ ἐστι τὸ δυνάμενον εἰς πολλὰ εἴδη διαιρεθῆναι, οἷον ζῷον ⟨φυτόν· εἰδικὸν δέ ἐστι τὸ ἐκ τοῦ γένους διαιρεθέν, οἷον⟩ βοῦς ἵππος κύων ἄμπελος ἐλαία.] Γενικόν ἐστιν ἐκεῖνο, ὃ δύναται τμῆσιν εἰδικὴν ἀναδέξασθαι, ὡς ἔχει τὸ ζῷον καὶ τὸ φυτόν· τὸ γὰρ ζῷον τέμνεται εἰς εἴδη, ἤγουν εἰς ἄνθρωπον, εἰς ἵππον, εἰς λέοντα, ὁμοίως δὲ καὶ τὸ φυτὸν εἰς εἴδη, εἰς ἄμπελον καὶ ἐλαίαν, ὡς καὶ ὁ τεχνικὸς λέγει.

8 μὴ V, *om* N ‖ **9** τὸ — περιεκτ. (**11**) *om* N ‖ **14** ἐν δὲ τῷ περιεκτ. *om* N ‖ **18—21** *om* N ‖ **19** τὸ περιέχον V ‖ **22** τὸ — εἰρημ. (**23**) *om* N ‖ **30** τὸ — ἐλαία (**32**) *om* N ‖ **33** ἰδικὴν N ‖ **35** ὡς καὶ N, καὶ ὡς V

⟨*Heliodori.*⟩ — Καὶ ἄλλως. — Γενικὸν ὄνομά ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον· πολλὰ γὰρ εἴδη τὸ ζῷον ἔχει ὑφ' ἑαυτό, καὶ τὸ φυτὸν ὁμοίως, ὅπερ εἰδὼς ὁ τεχνικὸς ⟨αὐτὰ⟩ τέταχε· φυτὸν γὰρ τὸ γένος, καὶ πᾶν φυόμενον ὑπὸ τοῦτο ἀνάγεται. Ὁρίζονται δὲ οἱ φιλόσοφοι τὸ εἶδος τοῦτον τὸν τρόπον· εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον· οὐκέτι γὰρ τῷ εἴδει διαφέρει ὁ ἄνθρωπος τοῦ ἀνθρώπου, ἀλλὰ τῷ ἀριθμῷ. Καλῶς λοιπὸν ὁ τεχνογράφος τὰ πάνυ γενικώτατα ἐξελέξατο, οἷς ὑποβέβληται ἄλλα γένη· τῷ μὲν γὰρ ζῴῳ ὑπόκειται τὸ ἑρπετόν, γενικὸν καὶ αὐτό· ἄλλο γὰρ ἔχις καὶ ἄλλο ἀσπὶς καὶ ἄλλο δράκων καὶ ἄλλο φύσαλος, ὃ καὶ ὠνομάσθαι μοι δοκεῖ ἀπὸ τοῦ ὄφις ἄλλος, καὶ πολλὴν ἄν τις εὕροι τοῦ ἑρπετοῦ διαφοράν· καὶ τὸ ὄρνεον δὲ γενικὸν ὑπόκειται τῷ ζῴῳ, πολλὴ γὰρ ὀρνέων διαφορά· ὁμοίως δὲ καὶ πᾶν τετράπουν ὑπὸ τὸ ζῷον τὸ γενικόν ἐστι, πολλὴ δὲ καὶ τῶν τετραπόδων ἡ διαφορά. Ἔστιν οὖν τὸ ζῷον γένος· κληθείη δ' ἂν ὀρθῶς ἀμφότερα ταῦτα, τό τε ζῷον καὶ τὸ φυτόν, γένη γενῶν, διόπερ ὁ τεχνογράφος ταῦτα ἔθηκεν, ὡς γενικώτατα καὶ ἐπιδεχόμενα πάλιν ⟨εἰς γένη⟩ διαίρεσιν. Ἔστι δὲ εἴδη τοῦ μὲν ζῴου ἄνθρωπος ἵππος βοῦς καὶ ὁμοίως ἕκαστον τῶν ἄλλων ζῴων· τὸ αὐτὸ δὲ καὶ προσηγορικόν, ὡς κοινὴν οὐσίαν σημαῖνον, ὁ μὲν ἄνθρωπος κοινῇ πάντων τῶν ἀνθρώπων, ὁ δὲ βοῦς κοινῇ πάντων τῶν βοῶν, ὁμοίως καὶ ἕκαστον τῶν ἄλλων ζῴων· ὥστε εἴ τι μὲν εἰδικόν, τοῦτο πάντως καὶ προσηγορικόν, οὐκ εἴ τι δὲ προσηγορικόν, τοῦτο πάντως καὶ εἰδικόν· ὁ γοῦν λίθος προσηγορικὸν μέν ἐστιν, οὐκ εἰδικὸν δέ· οὐδὲ γὰρ ἔκ τινος τῶν γενικῶν διῃρέθη, ἐπεὶ οὔτε ζῷον ὁ λίθος οὔτε φυτόν. Εἰδικὸν δὲ *etc.* = Σ^h 70, 6—11.

Τί ἐστιν εἰδικόν; Τὸ ἀπὸ γένους διαιρεθέν, οἷον βοῦς καὶ ἵππος ἀπὸ γένους τοῦ ζῴου, ἄμπελος καὶ ἐλαία ἀπὸ γένους τοῦ φυτοῦ. Τοῦτο γνώρισμα τοῦ εἰδικοῦ, τὸ εἶναι μέρος τοῦ γενικοῦ· τὸ γὰρ γένος συνέστηκεν ἐκ τῶν καθ' ἕκαστα εἰδῶν· ὁ γὰρ βοῦς ζῷον ὢν μέρος ἐστὶ τοῦ γενικοῦ ζῴου. Τί δέ ἐστι τὸ γενικὸν ζῷον; Τὸ καθ' ὅλων τῶν ζῴων λεγόμενον· ὡσαύτως καὶ φυτόν. Τὰ δὲ διαιρούμενα ἐκ τῶν γενικῶν τούτων εἰδικὰ καλεῖται, τουτέστιν εἴδη, τὸ γὰρ εἰδικὸν ταὐτόν ἐστι τῷ εἴδει. Εἶδος δέ ἐστι τὸ ἐκ τοῦ γένους ἀφῃρημένον καὶ ἰδίᾳ μεμορφωμένον· ὡς γὰρ τοῦ ἀνδριάντος ὕλη μέν ἐστιν ὁ χαλκός, εἶδος δὲ αὐτὴ ἡ μορφή, οὕτω καὶ τὸ γένος μὲν ὕλη καλεῖται, τὰ δὲ ἐκ τούτου διαιρεθέντα εἴδη· ἕκαστον γὰρ αὐτῶν εἶδός ἐστι, καὶ μορφὴ διάφορος· ἄλλο

1—26 *videntur esse* Σ^h

16 δ' ἂν] γὰρ V, ἂν N | ὀρθῶς N, *om* V ‖ 18 πάλιν V, πολλὴν N ‖ 22 ἰδικὸν (*et sic semper*) N ‖ 27—28 (φυτοῦ) V, ἰδικὸν δέ ἐστι τὸ ἐκ τοῦ γένους διαιρεθέν N ‖ 35 αὐτὴ] αὕτη VN ‖ 37 εἶδος. ἑκάστη V, εἶδος. ἕκαστον N

γὰρ τοῦ ἀνθρώπου εἶδος, καὶ ἄλλο τοῦ βοός, καὶ τῶν ἄλλων τῶν εἰδικῶν ἕκαστον ἰδίως μεμόρφωται.

⟨*Heliodori.*⟩ — Τακτικὸν δέ ἐστι τὸ τάξιν καὶ ἁρμονίαν σημαῖνον, ὡς πρῶτος δεύτερος τρίτος·] τάξεως γὰρ ὀνόματα ταῦτα καὶ οὐκ ἀριθμῶν· τὸ γὰρ τακτικὸν ἐξαρίθμησιν οὐ ποιεῖται, τάξιν δέ, τὸ ⟨δὲ⟩ ἀριθμητικὸν τάξεως ἀμνημονεῖ, ποιεῖται δὲ λόγον ἐξαριθμήσεως.

Ἀριθμητικὸν δέ ἐστι τὸ ἀριθμὸν σημαῖνον, οἷον ⟨εἷς⟩ δύο τρεῖς.] Ἀριθμητικόν ἐστιν *etc.* = Σ^{v} 243, 1—7.

⟨*Heliodori.*⟩ — Ἀπολελυμένον δέ ἐστιν ὃ καθ᾽ αὑτὸ νοεῖται μὴ ἔχον σχέσιν πρὸς ἕτερον, οἷον θεός λόγος.] Ἐπειδὴ ἀπήλλακται καὶ ἐκτός ἐστι καὶ ὥσπερ ἐλεύθερον τοῦ πρὸς ἕτερόν τι νοεῖσθαι, διὰ τοῦτο ἀπολελυμένον αὐτὸ εἶπε· τῶν μὲν γὰρ ἄλλων ἕκαστον ἔχει πρὸς ὃ νοεῖται, οἷον τὸ συγκριτικόν· τὸ γὰρ καλλίων πρὸς τὸ καλός νοεῖται, καὶ ἕκαστον τῶν συγκριτικῶν πρὸς τὸ πρωτότυπον θεωρεῖται· καὶ τὸ πατρωνυμικόν, οἷον Ἀτρείδης, ἀπὸ γὰρ τοῦ Ἀτρεύς γέγονε· καὶ τὰ πρός τι δὲ πρὸς ἕτερον νοεῖται, ὡς ὁ ἀριστερὸς πρὸς τὸν δεξιόν, καὶ ὁ πατὴρ πρὸς τὸν υἱόν, καὶ ὅλως ἕκαστον τῶν ἐν τῷ περὶ ὀνόματος οὕτως εὑρεθήσεται. Τὸ μέντοι θεός ὄνομα καὶ τὸ λόγος οὐκ ἔχει πρὸς ὃ νοηθήσεται· οὔτε γὰρ συγκρίνοντες λέγομεν θεός ἢ λόγος, οὔτε ἀπὸ πρωτοτύπου παράγοντες, οὔτε ἄλλο οὐδέν· ἀλλ᾽ ἔστι προσηγορικόν, κοινὴν γὰρ οὐσίαν σημαίνει πάντων τῶν θεῶν, ὅμως δὲ ἐπεὶ ἀπήλλακται τῶν ἄλλων πάντων, αὐτὸ πρὸς ἑαυτὸ ὠνόμασε, τὸ ἄσχετον ἄντικρυς λέγων, τουτέστιν οὐκ ἔχον σχέσιν πρὸς ἄλλο τῶν τοῦ ὀνόματος· ὡς γὰρ αὐτὸς ὁ θεὸς ἄσχετός ἐστι καὶ οὐκ ἔχει πρὸς ἄλλο σχέσιν, πᾶσαν γὰρ φύσιν ὑπερβαίνει, ὁμοίως δὲ καὶ ὁ λόγος, ἱερὸς ὢν τὴν φύσιν καὶ θεῷ μάλιστα ἀνακείμενος, αὐτὸς πρὸς ἑαυτὸν νοεῖται, οὐκ ἔχων οὔτε κάλλιόν τι ἑαυτοῦ ἕτερον οὔτ᾽ ἴσον, οὕτω καὶ αὐτὸ μόνον αὐτοῦ τὸ ὄνομα ἄσχετόν ἐστι, τουτέστιν οὐκ ἔχει πρὸς ἄλλο σχέσιν. Ἀπόλυτον γάρ ἐστιν, ὃ καθ᾽ ἑαυτὸ δύναται νοεῖσθαι καὶ οὐδενὶ τούτων ὑποπέπτωκεν, οἷον θεός λόγος· καὶ ὡς αὐτὸς ὁ τεχνικὸς εἶπε, τὰ μὲν ἄλλα τῶν εἰδῶν *etc.* = Σ^{h} 70, 22—25.

Μετουσιαστικὸν δέ ⟨ἐστι⟩ τὸ μετέχον οὐσίας τινός, οἷον πύρινος δρύϊνος ἀμμώδης.] Τὰ γὰρ μετουσιαστικὰ ἐμφερῆ μὲν τοῖς

3—6 *videntur esse* Σ^{h} ‖ 9—31 *videntur esse* Σ^{h} ‖ 33—399, 10 = *Syncellus fol. 181*[v]

5 τὸ γὰρ] τὸ δὲ VN ‖ 7 τὸ — τρεῖς (8) *om* N ‖ 10 μὴ — λόγος *om* N ‖ 13 καλλίων] καλὴ VN ‖ 18 νοηθήσεται] ὀνομασθῆναι V, νοηθῆναι N ‖ 21 ἐπεὶ N, *om* V ‖ 23 ἔχον V, ἔχει N | ὀνόματος] σώματος VN ‖ 24 ἔχει V, ἔχον N | ἄλλο V, ἄλλον N ‖ 26 ἑαυτὸν N, ἑαυτὸ V ‖ 27 τὸ N, *om* V ‖ 30 καὶ ὡς V, ὡς καὶ N ‖ 32—399, 10 *om* N

κτητικοῖς ὑπάρχουσιν, ἐκείνοις δὲ κυρίως συντάσσονται τοῖς μετέχουσι τῆς οὐσίας τῶν πραγμάτων, ὧν αἱ πρωτότυποι φωναὶ σημαντικαί εἰσιν, ἀφ' ὧν καὶ παρήχθησαν, οἷον ξύλινος πίναξ, ὀστράκινον σκεῦος, δρύϊνος ἱστός, ἀμμώδης ὁδός· καταχρηστικῶς δὲ τοῖς κατά τι ὁμοίωσιν πρὸς τὰ πράγματα ἔχουσιν, ὡς πολλάκις εἰώθαμεν λέγειν λιθίνην καρδίαν τὴν τραχύτητι λίθου κατὰ τὴν διάθεσιν ὁμοίαν, καὶ νοῦν κτηνώδη τὸν κατὰ τὸν βίον τοῖς κτήνεσιν ὁμοιούμενον· καὶ συντόμως εἰπεῖν πρὸς τὰ κύρια καὶ προσηγορικὰ σύνταξιν ἔχουσιν ὡς καὶ τὰ ἐπίθετα· καὶ τριγενῆ δέ εἰσιν, οἷον ξύλινος στύλος, ξυλίνη θύρα, ξύλινον ἔδαφος, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συγκλινόμενα.

Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύο, ἐνέργεια καὶ πάθος.] Διαθέσεις μᾶλλον *etc.* = Σ^h 70, 27—35.

Ἡ γοῦν διάθεσις τῷ ῥήματι, ὡς εἴρηται, παρέπεται, οὐ τῷ ὀνόματι· τὰ μέντοι ῥηματικὰ τῶν ὀνομάτων ἀναγκαίως σχήσει τὰς ἀπὸ τῶν ῥημάτων διαθέσεις, οἷον ἀπὸ τοῦ κρίνω ἐνεργητικοῦ ὁ κριτής γέγονεν ἐνέργειαν σημαίνων, ἀπὸ δὲ τοῦ κέκριται παθητικοῦ ὁ κριτός πάθος δηλῶν.

§ 13 (15b).

Περὶ ῥήματος.

Ἀναγκαίως μετὰ τὸ ὄνομα *etc.* = Σ^h 71, 2—73, 6.

Ῥῆμά ἐστι λέξις.] Μὴ ταραττέτω σε *etc.* = Σ^v 244, 11—28.

Παρέπεται δὲ τῷ ῥήματι ὀκτώ, ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί, πρόσωπα, χρόνοι καὶ συζυγίαι·] κατὰ μίμησιν τῶν ὀκτὼ μερῶν τοῦ λόγου.

Πόσαι ἐγκλίσεις; Καταχρηστικῶς μὲν πέντε, ὁριστική, προστακτική, εὐκτική, ὑποτακτικὴ καὶ ἀπαρέμφατος, κυρίως δὲ τέσσαρες· ἡ γὰρ ἀπαρέμφατος οὐκ ἔστι κυρίως ἔγκλισις, ἀλλὰ καταχρηστικῶς, ἐπειδὴ κυρίως ἔγκλισις ἡ ἔχουσα βούλημα ψυχῆς· ἡ δὲ ἀπαρέμφατος ὡς μὴ ἔχουσα βούλημα ψυχῆς εἰκότως οὐδὲ ἔγκλισις λέγεται. Τί ἐστιν ἔγκλισις; Βούλησις ψυχῆς διὰ φωνῆς σημαινομένη.

⟨*Heliodori.*⟩ — Ἔγκλισίς ἐστι ⟨σχῆμα φωνῆς ποιὰν κίνησιν τῆς⟩ ψυχῆς ἀναφαῖνον ἐπί τι τρεπομένης· προσκλίνεται δὲ ἡ ψυχὴ ἢ ὡς ὁριζομένη τὰ παρ' αὐτῆς δρώμενα, οἷον τύπτω, ἢ προστάσσουσα, ⟨οἷον τύπτε,⟩ ἢ εὐχομένη, ⟨οἷον τύπτοιμι,⟩ ἢ διστάζουσα, ⟨οἷον ἐὰν τύπτω,⟩ ἢ οὐδὲν τούτων δηλοῦσα, μόνον δὲ τὸ ὄνομα τοῦ πράγματος προβαλ-

---

30—400, 26 *videntur esse* Σ^h

4 τοῖς *Sync.*, τὴν V ‖ **7** πρὸς *add Sync.* ‖ **8** καὶ *ante* τὰ *et ante* τριγ. *add Sync.* ‖ **11** ἐν. κ. πάθος *om* N ‖ **12** αἱ διαθέσεις ἡλιοδώρου μᾶλλον (*sic*) N ‖ **14** μέντοι V, οὖν N ‖ **22** ἐγκλίσεις — λόγου (**24**) *om* N ‖ **25—29** (Βούλ.) V, ἔγκλισίς ἐστι βούλ. N ‖ **30** *ante* Ἔγκλ. *add* ἡ N | σχῆμα — ἀναφαῖνον (**31**) *cfr* Σ^v *245, 3*, ψυχῆς ἀνάπαυσις VN

λομένη, οἷον τύπτειν. Οὕτως [ὡς] τὸ ὑπόμνημα. Προτέτακται δὲ ἡ ὁριστική, ὅτι ποικίλας ἔχει φωνὰς καὶ τὸ θέμα τοῦ ῥήματος, ἐξ οὗ πᾶσαν ⟨τὴν⟩ τῶν ῥημάτων διδασκόμεθα τεχνολογίαν, καὶ ὅτι ὅλους τοὺς χρόνους ὄντας ἐν ἑαυτῇ δηλοῖ, καὶ ὅτι μετὰ θέματος ὁριζομένη λόγον ἀπαρτίζει, οἷον θέλω ποιεῖν, βούλομαι γινώσκειν. Τινὲς δὲ τῆς ὁριστικῆς βούλονται προτάττειν τὴν ἀπαρέμφατον. Πρὸς οὓς φαμεν· πᾶν πρᾶγμα διὰ προσώπου ὁρᾶται· ἄξιον οὖν τὸ πρόσωπον προτάττεσθαι, ἕπεσθαι δὲ τὸ πρᾶγμα, ὅτι καὶ πρῶτον τὸ πρόσωπον γνωρίζεται, δεύτερον δὲ τὸ πρᾶγμα διὰ τοῦ προσώπου ἐστὶ γνωριζόμενον. Δευτέρα δὲ ἡ ἀπαρέμφατος· αὕτη γὰρ κυρίως ῥῆμα καθαρὸν οὐσίας μὴ καταμιγνυμένης, ὅτι εἰς αὐτὴν ἀναλύονται αἱ λοιπαὶ ὡς πρωτότυπον· καὶ ἄρθρον ταῖς ἀπαρεμφάτοις συντάσσεται, ὄνομα γὰρ τοῦ ῥήματος. Τρίτη δὲ ἡ προστακτική, ἐπεὶ μηδὲ πρῶτον ἔχει πρόσωπον. Τινὲς δὲ λέγουσιν, ⟨ὅτι⟩ ἔδει προτάττειν τὴν εὐκτικήν· οὐ λείποντα γὰρ ἔχει πρόσωπα καὶ χρόνους. Πρὸς οὕς φαμεν, ὅτι εὐλόγως προτέτακται ἡ προστακτική, διότι μᾶλλον τῆς εὐκτικῆς κοινωνεῖ τῇ ὁριστικῇ, καὶ δεῖ κοινωνοῦσαν πρώτην εἶναι· τὸ γὰρ γράφε ἰσοσύλλαβόν ἐστι τῷ γράφω, τὸ δὲ γράφοιμι πλείω φωνὴν παρήγαγε. Τετάρτη ἡ εὐκτική, ὡς πλείους ἔχουσα τὰς φωνάς. Πέμπτη δὲ ἡ ὑποτακτική, διότι σχεδὸν οὐδὲ ἀπὸ ῥήματος ἄρχεται, ἀλλ᾽ ἀπ᾽ ἐκείνων οἷς ὑποτέτακται· αὕτη καλεῖται καὶ ἐπιζευκτική, διὰ τὸ ἐπιζεύγνυσθαι τοῖς συνδέσμοις, καὶ διστακτική, ὅτι διστάζων λέγω «ἐὰν πλουτήσω, δίδωμί ⟨σοι⟩ πέντε δραχμάς», καὶ αἰτιολογική, «ἵνα ἀναγνῶ ⟨ἐτιμήθην⟩», καὶ ἐπηρμένη· μείζων γὰρ κατὰ τὴν φωνὴν τῆς ὁριστικῆς, ποιεῖς ἐὰν ποιῇς. Ἡ ὁριστικὴ λέγεται καὶ ἀποφαντική, ἡ ἀπαρέμφατος καλεῖται ⟨καὶ⟩ κατηγορική· κατηγορεῖται γὰρ τῶν πραγμάτων, ἃ δι᾽ αὐτῆς ὀνομάζεται.

Αἱ ἐγκλίσεις οὖν δηλοῦσι διαθέσεις ψυχῆς· ἢ γὰρ ὁριζόμεθα *etc.* = Σ[v] 245, 11—22· διὰ τοῦτο οὐδὲ κυρίως ἔγκλισις· ἡ δὲ προστακτικὴ ἀπὸ τοῦ προστάσσειν εἴρηται, οἷον λέγε τύπτε. Ἔγκλισις οὖν σχῆμα φωνῆς ποιὰν τῆς ψυχῆς κίνησιν ἐμφαῖνον.

Τί ἐστι διάθεσις; Ἡ τοῦ σώματος μετάθεσις. Καὶ ἄλλως· δρᾶσις ἢ πεῖσις, ἐν αἷς διατίθεται καὶ καταγίνεται ἡ ψυχὴ ἢ ὡς ἐνεργοῦσά τι ἢ ὡς πάσχουσα. Πόσαι διαθέσεις; Τρεῖς, ἐνέργεια, πάθος, μεσότης· ἐνέργεια μέν, ὡς τύπτω, πάθος δέ, οἷον τύπτομαι, μεσότης δὲ ἡ ποτὲ μὲν ἐνέργειαν ποτὲ δὲ πάθος παριστῶσα, οἷον πέπηγα διέφθορα ἐποιησάμην ἐγραψάμην.

Ἐπειδὴ κατὰ πάντα *etc.* = Σ[v] 245, 30—246, 1; 246, 27—247, 3; 246, 7—14.

---

1 ὡς *del. Uhlig* ‖ **6** τὴν V, τὸ N ‖ **10** οὐσίας μὴ καταμιγνυμένης *Uhlig*, οὐσία μὴ καταμιγνυμένη VN ‖ **11** ταῖς V, τοῖς N ‖ **16** τῇ ὁριστικῇ N, ἡ ὁριστικὴ V ‖ **17** τῷ] τοῦ VN ‖ **30** ἐμφαῖνον] ἐμφαίνουσα VN ‖ **31** Τί — δρᾶσις V, Διαθέσεις δὲ τρεῖς. διάθεσίς ἐστι δρᾶσις N ‖ **32** ἢ (*prius*) N, *om* V | Πόσαι — ἐγραψάμην (**35**) *om* N

⟨*Heliodori.*⟩ — Ἐνεργητικὴ μέν ἐστι διάθεσις, καθ' ἣν ἐνεργῶν τις φαίνεται, ἥτις παρὰ τοῖς φιλοσόφοις δραστικὴ καὶ ὀρθὴ καλεῖται· δραστικὴ μὲν ἀπὸ τοῦ δρᾶν, ὀρθὴ δὲ ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν· συμβαίνει γὰρ τοὺς νικῶντας ὀρθῶς ἵστασθαι. Χρὴ δὲ εἰδέναι, ὅτι ἡ ἐνεργητικὴ διάθεσις ἢ πρὸς γενικὴν ἢ πρὸς αἰτιατικὴν ποιεῖ τὰς συντάξεις, οἷον ἄρχω σου, δεσπόζω σου, τύπτω σε, τέμνω σε· πρὸς δὲ δοτικὴν κατὰ περιποιητικὴν ἔννοιαν ποιεῖ τὴν σύνταξιν, ὡς τὸ γράφω σοι, λέγω σοι καὶ τὰ ὅμοια. Παθητικὴ δέ, καθ' ἣν πάσχων τις φαίνεται, ἥτις παρὰ τοῖς φιλοσόφοις ὑπτία καλεῖται, καὶ αὕτη ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν· συμβαίνει γὰρ τοὺς ἡττωμένους ὑπτίους εἶναι. Χρὴ δὲ πάλιν εἰδέναι, ὅτι ἡ παθητικὴ διάθεσις ἀπὸ τῆς ἐνεργητικῆς γίνεται τῆς συναπτομένης γενικῇ ἢ αἰτιατικῇ· αὕτη γὰρ ἡ σύνταξις ἡ πρὸς γενικὴν ἢ πρὸς αἰτιατικὴν αἰτία πάντως γίνεται τῆς γενέσεως τῶν παθητικῶν, οἷον ἡ ἄρχω σου σύνταξις ποιεῖ παθητικὴν σύνταξιν μετὰ τῆς ὑπό προθέσεως τὴν ἄρχομαι ὑπὸ σοῦ, καὶ ἡ δεσπόζω σου τὴν δεσπόζομαι ὑπὸ σοῦ, καὶ ἡ τύπτω σε τὴν τύπτομαι ὑπὸ σοῦ· ἡ δὲ πρὸς δοτικὴν σύνταξις περιποιητικὴ οὖσα ἐνέργειαν μὲν σημαίνει, οὐ ποιεῖ δὲ πάθος· διὸ ἡ τέμνομαι ὑπὸ σοῦ σύνταξις οὐκ ἀπὸ τῆς τέμνω σοι, ἀλλ' ἀπὸ τῆς τέμνω σε γίνεται, καὶ ἡ φέρομαι ὑπὸ σοῦ οὐκ ἀπὸ τῆς φέρω σοι, ἀλλ' ἀπὸ τῆς φέρω σε τίκτεται. Μέση δὲ καλεῖται διάθεσις, ὅταν ἡ αὐτὴ φωνὴ χωρῇ εἴς τε ἐνέργειαν καὶ ⟨εἰς⟩ πάθος, ὡς τὸ βιάζομαι· αὕτη γὰρ ἡ φωνὴ χωρεῖ καὶ εἰς ἐνέργειαν καὶ ⟨εἰς⟩ πάθος, οἷον ἐὰν εἴπω βιάζομαί σε καὶ βιάζομαι ὑπὸ σοῦ. Ἢ πάλιν μέση ἐστὶ διάθεσις, ὅταν τῷ αὐτῷ ῥήματι τυπῶ μόνον πάθος καὶ τῷ αὐτῷ ῥήματι τυπῶ μόνον ἐνέργειαν, ὡς ὁ εἰς $\overline{\mu\eta\nu}$ τύπος· μέσος γάρ ἐστι μόνων παθητικῶν καὶ πάλιν μόνων ἐνεργητικῶν· καὶ ἐνεργητικῶν μὲν μόνων ἐγραψάμην ἐφάμην, παθητικῶν δὲ μόνων ἐτριψάμην ἠλειψάμην· ἴσην γὰρ ἔχουσι δύναμιν κατὰ σημασίαν τῷ ἐτρίφθην καὶ ἠλείφθην παθητικῷ τύπῳ.

Ἡ ποτὲ μὲν ἐνέργειαν, ποτὲ δὲ πάθος.] Προστιθέναι δεῖ ἐνταῦθα τὸ «ἐν φωνῇ ἐνεργητικῇ» καὶ «ἐν φωνῇ παθητικῇ», ἵν' ᾖ ὁ νοῦς οὕτως· «ἡ ποτὲ μὲν ἐνέργειαν ἐν φωνῇ παθητικῇ, ποτὲ δὲ πάθος ἐν φωνῇ ἐνεργητικῇ»· τὸ μὲν γὰρ πέπηγα ἐν φωνῇ ἐνεργητικῇ πάθος δηλοῖ, ἴσον γάρ ἐστι τῷ πέπηγμαι, τὸ δὲ ἐποιησάμην ἐν φωνῇ παθητικῇ ἐνέργειαν σημαίνει, ἴσον γάρ ἐστι τῷ ἐποίησα.

Εἴδη δύο, πρωτότυπον καὶ παράγωγον.] Φασί τινες ψευδῶς παρέπεσθαι τὰ εἴδη τοῖς ῥήμασιν· εἰ γὰρ τὰ ἐν ὀνόμασιν εἴδη διάφορον ποιεῖ τὸ σημαινόμενον, καθὸ ἄλλο ἐστὶ τὸ λίθος καὶ ἄλλο τὸ λίθινος,

---

1—34 *videntur esse* Σ^h ‖ 4—28 hab. et. A

5 γενικὴν *et* αἰτιατικὴν A, γενικὰς *et* αἰτιατικὰς VN; *item v. 12* ‖ 6 δὲ A, γὰρ VN ‖ 8 Παθητ. — εἶναι (10) *om* A ‖ 11 ἡ NA, *om* V | συναπτομένης V, συντασσομένης NA ‖ 16 τὴν (*ante* τύπτ.) NA, *om* V | δοτικὴν A, δοτικὰς VN ‖ 17 τέμνομαι A, τέμνουσα VN ‖ 20 Μέση — πάλιν (23) *om* A

ἐν δὲ ῥήμασι τὸ αὐτὸ σημαίνει, καθὸ οὐδὲν διαφέρει τὸ ἄρδω τοῦ ἀρδεύω, περισσὸν τὸ καὶ εἴδη παραλαμβάνειν ἐν ῥήμασιν. Πρὸς οὕς φαμεν, ὡς οὐκ ἀτόπως τὰ εἴδη παρέπεται τοῖς ῥήμασιν, ἀλλὰ καὶ μᾶλλον εὐλόγως, ἐπειδὴ ἔστιν ὅτε ἡ σημασία τοῦ παραγώγου ἐκ τοῦ πρωτοτύπου κατορθοῦται. Ἔτι φασί τινες τοῖς ῥήμασι μὴ δεῖν εἶδος παρεπόμενον διδόναι, εἴ τι παράγωγον οὐ κατὰ μόνην φωνὴν διαφέρει τοῦ πρωτοτύπου, ἀλλὰ καὶ κατὰ σημασίαν· τὰ δὲ παράγωγα ῥήματα ὁμόσημα, ἀθλῶ ἀθλεύω, ἄρδω ἀρδεύω, καὶ πάντα τὰ εἰς μι. Πρὸς δὲ τούτους ἔστιν εἰπεῖν, ὅτι πρῶτον μὲν ⟨οὐ⟩ πᾶν παράγωγον ῥῆμα ἀπὸ ῥήματος παράγεται πρωτοτύπου, ⟨ἀλλ' ἔστιν ὅτε⟩ καὶ ἀπὸ ὀνόματος, οἷον λίθος λιθάζω, χρυσός χρυσῶ· καὶ ἀπὸ ἐπιρρήματος γὰρ παράγωγα, λίαν λιάζω καὶ αἴ αἴ αἰάζω, οἴ οἴ οἴζω οἰζύω οἰζύσω οἰζύς, ἡ στεναγμῶν ἐμποιητικὴ ταλαιπωρία· ἀπὸ ἀντωνυμίας οὐ παράγεται, μόνον τὸ σφετερίζομαι ἀπὸ τοῦ σφέτερος, ἀλλὰ παρὰ τοῖς νεωτέροις ποιηταῖς ἀντὶ τοῦ ἴδιος ἐστίν, οἷον ⟨Hes. Opp. 2⟩ σφέτερον πατέρ' ὑμνείουσαι, ὡς ἀπὸ ὀνόματος οὖν ἡ παραγωγή· οὐδὲ ἀπὸ μετοχῆς, μόνον τὸ ἀσμενίζω ὡς ἀπὸ τοῦ ἄσμενος, ἀλλὰ τοῦ ἄσμενος ἐμαυρώθη ὁ τόνος, ὁ χρόνος, τὸ πνεῦμα, ἥδω ἧσμαι ἡσμένος ἄσμενος· ἄλλως τε καὶ ἀπὸ ῥημάτων ῥήματα παράγονται οὐ πάντως ὁμόσημα, ὄψω ὀψείω. Ἰστέον δὲ ὅτι πολλὴ ἡ ποικιλία ἡ ἐν ταῖς παραγωγαῖς τῶν ῥημάτων.

Σχήματα τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μέν, οἷον φρονῶ, σύνθετον δέ, οἷον καταφρονῶ, παρασύνθετον δέ, οἷον ἀντιγονίζω φιλιππίζω, τουτέστι τὰ τοῦ Φιλίππου φρονῶ.] Τὸ καταφρονῶ *etc.* = *eadem fere quae* Σ[v] 247, 19—26. Παρασύνθετον, οἷον ἀντιγονίζω· τὸ ἀντιγονίζω παρασύνθετόν ἐστιν, τὸ γὰρ σύνθετον Ἀντίγονος ἐστίν, ἀφ' οὗ γέγονε τὸ παρασύνθετον ἀντιγονίζω.

Ἀριθμοὶ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός· ἑνικὸς μέν, οἷον τύπτω, δυϊκὸς δέ, οἷον τύπτετον, πληθυντικὸς δέ, οἷον τύπτομεν.] Περὶ ἀριθμῶν προειρήκαμεν ἐν τῷ ὀνόματι.

⟨*Heliodori.*⟩ — Πρόσωπα τρία, πρῶτον, δεύτερον καὶ τρίτον.] Τρία πρόσωπα εἶναι λέγει· ὃν τρόπον γὰρ περὶ τῶν γενῶν τρία εἶπε ταῦτα εἶναι, ἀνάγκη καὶ τρία πρόσωπα εἶναι, τοῦ λέγοντος καὶ προσακούοντος καὶ μνημονευομένου. Καὶ πρῶτον μέν ἐστι πρόσωπον τὸ περὶ ἑαυτοῦ ἀποφαινόμενον, προσυπακουομένης τῆς ἐγώ ἀντωνυμίας ⟨καὶ αὐτῆς πρώτου προσώπου οὔσης, οἷον λέγω ἐγώ⟩· δεύτερον δέ ἐστι πρόσωπον τὸ πρός τινα λέγον περὶ αὐτοῦ, προσυπακουομένης τῆς σύ ἀντωνυμίας καὶ αὐτῆς δευτέρου προσώπου οὔσης, οἷον λέγεις σύ· καὶ

30—403, 3 *videntur esse* Σ[h]

3 παρέπεσθαι VN ‖ **5** ἔτι φασί τινες N, ἔστι φασὶ V ‖ **6** εἴ τι] εἴ τι γὰρ N, ἔστι V ‖ **8** τούτους N, τούτοις V ‖ **17** ἐμαυρώθη V, ἠμαυρώθη N ‖ **21** ἁπλοῦν μέν — φρονῶ (**24**) *om* N ‖ **22** φρονῶ] φιλῶ V | καταφρ.] φιλιππῶ V ‖ **27—29** *om* N ‖ **30** πρῶτον — τρίτον *om* N ‖ **36** ἑαυτοῦ VN

τρίτον πρόcωπόν ἐcτι τὸ περὶ ἄλλου ἀποφαινόμενον, προcυπακουομένης τῆς ἐκεῖνος ἀντωνυμίας καὶ αὐτῆς τρίτου προcώπου οὔςης, οἷον ἐκεῖνος λέγει.

Τὸ πρόcωπον οὐκ ἔcτιν ἴδιον ῥήματος *etc.* = Σ[v] 247, 32—248, 4.

Πρόcωπον μὲν οὖν ἐcτιν ὅπερ διὰ τῶν οἰκείων αὐτοῦ ἐνεργημάτων τε καὶ ἰδιωμάτων ἀρίδηλον καὶ περιωριcμένην τῶν ὁμοφυῶν αὐτοῦ παρέχεται τὴν ἔμφαςιν, τουτέcτι τὴν ἐμφάνειαν. Ἄλλως· ἴδιον ἀντωνυμίας καὶ ῥήματος, ὅπερ ἐν τριcὶ προcώποις παρέχεται τὴν ἐμφάνειαν. Ἄλλως· ἴδιον ἀντωνυμίας καὶ ῥήματος, ὅπερ ἐν τριcὶ προcώποις θεωρεῖται.

Χρόνοι τρεῖς, ἐνεcτώς, παρεληλυθώς, μέλλων.] Χρόνος τοίνυν ἐcτὶ *etc.* = Σ[v] 248, 28—249, 3.

Ἄλλως· πλατυκὸς [ἐνιαυτὸς] ἢ ἀκαριαῖος, ἅμα γὰρ τῷ λέγεcθαι ἔχει καὶ τὸ εἶναι· ἢ μέτρον κινήcεως ἡλίου ἢ cελήνης ἐπιμεριζόμενον ταῖς τοῦ ῥήματος κλίcεcι· πλατυκὸς εἴρηται ὁ ἐν πλάτει ὢν καὶ μακρός, ἀκαριαῖος ὁ πάνυ βραχύς. — Πόθεν χρόνος; Ἀπὸ τοῦ ῥέω ῥόνος καὶ προcθέcει τοῦ χ̄ χρόνος· ἢ ἀπὸ τοῦ χέειν καὶ ῥέειν καὶ νάειν, ἐκ τριῶν ταὐτοcημάντων λέξεων.

Οἱ φιλόcοφοι δύο *etc.* = *idem fere quod* Σ[v] 249, 4—6 *et addita voce* ἄλλως *iterum* Σ[v] 249, 4—8· ἰcτέον δὲ ὅτι ὁ μὲν ἐνεcτὼς κατὰ μίαν δύναμιν νοεῖται, οἷον τύπτω τύπτομαι, παιδεύω παιδεύομαι.

Ἀνάγκη τοίνυν ἐcτὶ *etc.* = Σ[v] 248, 13—27.

Τούτων ὁ παρεληλυθὼς εἰς τέccαρας τέμνεται, εἰς παρατατικόν, παρακείμενον, ὑπερcυντέλικον καὶ ἀόριcτον.] — ⟨*Heliodori.*⟩ — Φηcὶν ὅτι ὁ παρῳχημένος χρόνος εἰς τέccαρα τέμνεται, εἰς παρατατικόν, παρακείμενον, ὑπερcυντέλικον, ἀόριcτον. Καὶ εἴ τις ζητοίη, διὰ τί μὴ ὁ ἐνεcτὼς καὶ ὁ μέλλων ἔcχε τομήν, ἀλλὰ μόνος ὁ παρῳχημένος, γινωcκέτω ὅτι ὁ μὲν ἐνεcτὼς παρὰ τοῖς φιλοcόφοις ἐκινδύνευε μηδὲ cύcταcιν ἔχειν διὰ τὸ ἀεικίνητον τοῦ ἡλίου, οὗ κατὰ φορὰν οἱ χρόνοι ἀποτελοῦνται· πῶς οὖν ὁ μὴ μένων μηδὲ ἱcτάμενος τομὴν ἐδέχετο; ὁ δὲ μέλλων ἄδηλος ἦν, καὶ πῶς ἐτέμνετο τὸ μήπω φανερόν; μόνος οὖν ὁ παρῳχημένος ἐν γνώcει ἦν, καὶ ἅτε δὴ ἐν γνώcει ὑπάρχων εἰκότως καὶ τομὴν ἀνεδέξατο. Καὶ πάλιν εἴ τις ζητοίη, διὰ τί κατὰ τὴν τῆς φύcεως τάξιν οὐ πρῶτος τέθειται ὁ παρῳχημένος, ἐπεὶ τὰ παρελθόντα τῷ χρόνῳ πρότερά ἐcτι τῶν παρόντων, ἴcτω ὅτι διὰ τοῦτο προετάγη ὁ ἐνεcτώς, διότι ὁ ἐνεcτώς ἐcτι τὸ θέμα τοῦ ῥήματος, καὶ ὅτι εἰ μὴ πρῶτος ὁ ἐνεcτὼς ἐγένετο, οὐκ ἂν παρῆλθε καὶ ἐγένετο παρῳχημένος.

25—404, 9 *videntur esse* Σ[h] ‖ **28—33** *cfr* Σ[v] *249, 27—32*

4 Τὸ CA, τρίτον VN ‖ **7** τὴν ἔμφαςιν — παρέχεται (8) *om* N ‖ **13—18** *om* N ‖ **13** λέγεcθαι] βούλεcθαι V ‖ **29** ἡλίου V, οὐρανοῦ N

Ἡ δὲ ὀνομαςία τῶν χρόνων ἀπὸ cημαςίας ἐγένετο· ἐνεςτὼς μὲν γὰρ ἀπὸ τοῦ ἐνεςτηκέναι καὶ παρεῖναι ὠνομάςθη, οἷον ποιῶ γράφω, παρατατικὸς δὲ ἀπὸ τοῦ παράταςιν ἔχειν πολλὴν ὡς ἐκ πολλοῦ γινομένην καὶ οὔπω τετελεςμένην, καὶ παρακείμενος, ὃς καὶ ἐνεςτὼς ςυντελικὸς καλεῖται, ὡς παρακειμένην καὶ ἐνεςτῶςαν τὴν ςυντέλειαν ἔχων τοῦ πράγματος, καὶ ὑπερςυντέλικος ἀπὸ τοῦ ἐκ πολλοῦ ςυντετελεςμένον ἔχειν τὸ πρᾶγμα, ⟨καὶ⟩ ἀόριςτος ἀπὸ τοῦ μὴ ὁρίζειν πότε τετελεςμένον ἔςχε τὸ πρᾶγμα, ὅθεν καὶ ςυνίςταται ⟨αὐτῷ⟩ τὸ ἄρτι καὶ τὸ πάλαι, καὶ μέλλων ἀπὸ τοῦ πρᾶγμα μέλλειν γενέςθαι.

Πάλιν δὲ ἄξιόν ἐςτι ζητῆςαι *etc.* = *iterum* Σ^v 249, 27—32.

Ὧν ςυγγένειαι τρεῖς, ἐνεςτῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερςυντέλικον, ἀορίςτου πρὸς μέλλοντα.] — ⟨*Heliodori.*⟩ — Χρὴ γινώςκειν, ὅτι διὰ τῶν φωνῶν μᾶλλον καταλαμβάνονται αἱ ςυγγένειαι ἤπερ ⟨διὰ⟩ τῶν ςημαινομένων· λέγομεν γὰρ ςυγγενῆ εἶναι τὸν ἐνεςτῶτα τῷ παρατατικῷ, καθὸ τὸ τύπτω καὶ ἔτυπτον διὰ τοῦ π̄τ̄ ἐκφέρεται [κατὰ τὴν φωνήν], καὶ τὸ τέτυφα τῷ ἐτετύφειν ὁμοίως ςυγγενές, καὶ τὸ ἔτυψα τῷ τύψω, ἐπειδὴ διὰ τῶν αὐτῶν ἐξενήνεκται ςυμφώνων. Ἀναγκαῖον δὲ κἀκεῖνο ἐπιςημήναςθαι, ὅτι τὰ πλείω τῶν ἀντιγράφων οὕτως ἔχει· «ὧν ςυγγένειαι τρεῖς, ἐνεςτὼς πρὸς παρατατικόν, παρακείμενος πρὸς ὑπερςυντέλικον, ἀόριςτος πρὸς μέλλοντα»· τοῦτο δὲ ςολοικιςμός ἐςτι προφανής· διόπερ γραπτέον οὕτως· «ἐνεςτῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερςυντέλικον, ἀορίςτου πρὸς μέλλοντα».

Τί ἐςτιν ἐνεςτὼς χρόνος; Ὁ ἐνιςταμένην καὶ ἀπλήρωτον ἔχων τὴν ςημαςίαν, οἷον τύπτω. Διὰ τί προτέτακται ὁ ἐνεςτὼς τῶν λοιπῶν χρόνων; Διότι θέμα ἐςτὶ τοῦ ῥήματος. Πόςαι διαφοραὶ τοῦ ἐνεςτῶτος χρόνου; Οὐκ ἔχει. Διὰ τί; Διότι ἀκαριαῖός ἐςτιν ἤτοι πάνυ βραχύς, ὡς προείρηται· ἅμα γὰρ τῷ λέγεςθαι ἔχει καὶ τὸ εἶναι· καὶ διὰ τοῦτο οὐκ ἐπιδέχεται διαίρεςιν. — Τί ἐςτι παρατατικός; Ὁ παρατεταμένην καὶ ἀπλήρωτον ἔχων τὴν ςημαςίαν, οἷον ἔτυπτον, τουτέςτιν ὁ δηλῶν ἀπλήρωτον ἐνεργείας παράταςιν. — Ἰςτέον οὖν, ὅτι μέςος ἐνεςτὼς ἢ μέςος παρατατικὸς οὐδαμοῦ ἐςτι, διὰ ⟨τὸ⟩ τοὺς παθητικοὺς ἐνεςτῶτας καὶ παρατατικοὺς καὶ ἀντὶ μέςων ⟨παρα⟩λαμβάνεςθαί ποτε· οἱ γὰρ ἐνεςτῶτες καὶ οἱ παρατατικοὶ τῆς παθητικῆς διαθέςεως ποτὲ μὲν ἀντὶ ἐνεργείας, ποτὲ δὲ ἀντὶ πάθους ἐκφωνοῦνται· ἐὰν οὖν λέγῃς [«ςχολάζομαί ςε» καὶ] «ἄγομαί ςε» καὶ «φέρομαί ςε», ἐνέργειαν δηλοῖ τὸ τοιοῦτον ῥῆμα διὰ τὸ ςέ, ὡς γὰρ τὸ «ἄγω ςε» καὶ «φέρω ςε» λαμβάνεται· ἐὰν δὲ λεχθῇ «ἄγομαι ὑπὸ ςοῦ», «φέρομαι ὑπὸ ςοῦ», πάθος δηλοῖ τὸ ῥῆμα, μὴ τῆς γραφῆς ἀλλὰ τῆς διανοίας ἀλλοιουμένης. Διὰ τοῦτο γὰρ καὶ μεςότης εἴρηται, ὅτι ἐν τῷ μέςῳ μένει τῶν δύο διαθέςεων, ἐνεργείας καὶ πάθους. — Τί ἐςτι παρεληλυθώς; Ὁ ἤδη παρελθών. Διὰ τί τέςςαρες διαφοραὶ τοῦ παρεληλυθότος; Διότι τὰ παρελθόντα ἢ παράταςιν ἔχουςιν ἐκ πολλοῦ

13—23 *videntur esse* Σ^h

4 καὶ (*post* ὃς) N, *om* V ‖ **8** ςυνίςταται V, ςυντάττεται N ‖ **11** Ὧν — μέλλοντα (**12**) *om* N ‖ **18** κακεῖνο N, ἐκεῖνο V ‖ **24—405, 48** *om* N ‖ **27** λέγεςθαι] βούλεςθαι V ‖ **31** μέςης λαμβάν. V ‖ **35** ἐὰν] εἰ V ‖ **37** τῷ μέςῳ] ταὐτῷ V

γινομένην καὶ οὔπω πεπλήρωνται, καὶ ἀποτελοῦςι τὸν παρατατικὸν δηλοῦντα τῆς ἐνεργείας τὴν παράταςιν· ἢ ἀρτίως ςυνετελέςθηςαν καὶ ἐνιςτάμενα πράγματά εἰςιν, ἅτινα καὶ ἀποτελοῦςι τὸν παρακείμενον· ἢ πρὸ πολλοῦ παρῆλθον τὰ παρελθόντα, καὶ ἀποτελοῦςι τὸν ὑπερςυντέλικον τὸν πρὸ τοῦ παρακειμένου ςυντελεςθέντα· ἢ ἀδήλως ἐτελέςθηςαν ⟨ἢ πρὸ ὀλίγου⟩ ἢ πρὸ πολλοῦ, καὶ ἀποτελοῦςι τὸν ἀόριςτον. Ἰςτέον ⟨δὲ⟩ ὅτι ὁ μὲν παρακείμενος ςύμφυτον ἔχει ἐν ἑαυτῷ τὸ ἄρτι, ⟨ὁ δὲ ὑπερςυντέλικος ςύμφυτον ἔχει ἐν ἑαυτῷ τὸ πάλαι· ὁ δὲ ἀόριςτος εἰ μὲν προςλάβοι τὸ ἄρτι,⟩ ἰςοδυναμεῖ τῷ παρακειμένῳ, τὸ γὰρ ἔτυψα ἄρτι ταὐτόν ἐςτι τῷ τέτυφα, εἰ δὲ προςλάβοι τὸ πάλαι, τῷ ὑπερςυντελίκῳ, τὸ γὰρ ἔτυψα πάλαι ταὐτόν ἐςτι τῷ ἐτετύφειν. — Τί ἐςτι παρακείμενος; Ὁ παρακειμένην καὶ πρόςφατον ἔχων τὴν ςημαςίαν, ἤγουν ὁ μικρῷ πρόςθεν τοῦ ἐνεςτῶτος παρακείμενος ὡς ἐνεργῶν ἢ πάςχων, οἷον τέτυφα. Πόθεν εἴρηται παρακείμενος; Ἀπὸ τοῦ παρακεῖςθαι αὐτῷ ἐγγὺς τὴν τοῦ ἔργου ςυμπλήρωςιν. — Τί ἐςτιν ὑπερςυντέλικος; Ὁ πρὸ πολλοῦ πληρωθείς, ἤγουν πρὸ τοῦ παρακειμένου ςυντελεςθείς, οἷον ἐτετύφειν. Τί ἐςτι ςυντελικός; Τουτέςτι πεπληρωμένος. — Τί ἐςτιν ἀόριςτος; Ὁ ἀόριςτον καὶ ἄδηλον ἔχων τὴν ςημαςίαν, οἷον ἔτυψα. Καὶ ἄλλως· ὁ μὴ δηλῶν καιρὸν ὡριςμένον μηδὲ παράταςιν ἐνεργείας, ἀλλὰ τὴν εἰςάπαξ ποτὲ ἐνέργειαν ἢ τὸ πάθος, οἷον ἔτυψα ἔτυπον ἐνεργητικῶς, ἐτύφθην ἐτύπην παθητικῶς. — Τί ἐςτι μέλλων; Ὁ μήπω γεγονώς, ἀλλὰ μετὰ τὸν ἐνεςτῶτα ἐρχόμενος. Πόςαι διαφοραὶ τοῦ μέλλοντος; Οὐκ ἔχει. Διὰ τί; Διότι τὸ μέλλον ἄδηλόν ἐςτι καὶ ἀγνοούμενον καὶ διὰ τοῦτο οὐδὲ διαίρεςιν ἐπιδέχεται· οἱ δὲ Ἀθηναῖοι διεῖλον ⟨αὐτὸν εἰς μέλλοντα⟩ καὶ εἰς μετ' ὀλίγον μέλλοντα.

Διὰ τί ὁ ἐνεςτὼς πρὸς παρατατικὸν ἔχει τὴν ςυγγένειαν; Ἐπειδὴ παρατεταμένην καὶ ἀπλήρωτον ἔχουςιν ἀμφότεροι τὴν ςημαςίαν, οἷον τύπτω ἔτυπτον· ὥςπερ γὰρ ὁ ἐνεςτὼς ἀπλήρωτός ἐςτιν, ἐνιςταμένην γὰρ καὶ ἀπλήρωτον ἔχει τὴν ςημαςίαν, οὕτω καὶ ὁ παρατατικὸς ἀπλήρωτός ἐςτι, καὶ ⟨γὰρ⟩ παρατεταμένην καὶ αὐτὸς καὶ ἀπλήρωτον ἔχει τὴν ςημαςίαν. — Διὰ τί ὁ παρακείμενος πρὸς ὑπερςυντέλικον ἔχει τὴν ςυγγένειαν; Ἐπειδὴ ἄμφω πεπληρωμένοι εἰςίν, ὡς τέτυφα ἐτετύφειν· ὥςπερ γὰρ τῷ παρακειμένῳ ἐγγὺς ἡ ςημαςία, οὕτω καὶ τῷ ὑπερςυντελίκῳ. — Διὰ τί ὁ ἀόριςτος πρὸς μέλλοντα τὴν ςυγγένειαν ἔχει; Ἐπειδὴ ἀδήλους ἔχουςι τοὺς χρόνους ἀμφότεροι, οἷον τύψω ἔτυψα· ἀμφότεροι γὰρ ἀόριςτόν τι δηλοῦςι καὶ ἄδηλον, ἀόριςτον γὰρ καὶ ἄδηλον τὸ ποτέ, ἄδηλον ⟨δὲ⟩ καὶ τὸ μέλλον. — Ἀλλὰ μὴν οὐ μόνον κατὰ ⟨τὴν⟩ ςημαςίαν καταλαμβάνονται τούτων αἱ ςυγγένειαι, ἀλλὰ καὶ κατὰ τὴν φωνήν· τὰ γὰρ αὐτὰ ςύμφωνα ἔχει ὁ ἐνεςτὼς τῷ παρατατικῷ, ὡς τύπτω ἔτυπτον, ὁμοίως καὶ ὁ παρακείμενος τῷ ὑπερςυντελίκῳ, τέτυφα ἐτετύφειν, καὶ ὁ ἀόριςτος τῷ μέλλοντι, ἔτυψα τύψω. — Διὰ τί εἰςι τρεῖς ςυγγένειαι τῶν χρόνων; Διότι καὶ τῶν πτώςεων τοῦ ὀνόματος τρεῖς εἰςι ςυγγένειαι, εὐθείας πρὸς αἰτιατικήν, γενικῆς πρὸς δοτικήν, καὶ κλητικῆς πρὸς εὐθεῖαν ἢ αἰτιατικήν. — Ἐν ποίαις τῶν ἐγκλίςεων κοινωνοῦςι καὶ ἐν ποίαις διαφέρουςι; Διαφέρουςι μὲν ἐν τῇ ὁριςτικῇ, κοινωνοῦςι δὲ ἐν ταῖς ἄλλαις, πλὴν ὁ μέλλων καὶ ὁ ἀόριςτος κἂν ταῖς ἄλλαις διαφέρουςι πλὴν τινῶν. — Διὰ τί οὐ ⟨δια⟩λαμβάνει μετὰ τὴν ἐνεργητικὴν διάθεςιν περὶ τῆς μέςης, καὶ οὕτω περὶ ⟨τῆς⟩ παθητικῆς; Ἐπειδὴ τὴν μέςην διάθεςιν οὐχ εὗρε καθόλου τῇ λέξει διαλλάττουςαν, ἀλλὰ τὴν αὐτὴν οὖςαν τοῖς παθητικοῖς ἐνεςτῶςι καὶ παρατατικοῖς, ὡς καὶ πρόςθεν εἴρηται. Ἰςτέον δὲ ὅτι τὴν μέςην διάθεςιν διεμερίςατο ὁ τεχνικός, καὶ παρακειμένους μὲν καὶ ὑπερςυντελίκους τῆς μέςης τῇ ἐνεργητικῇ διαθέςει προςήρμοςεν, ἀορίςτους δὲ καὶ μέλλοντας τῇ παθητικῇ· ἐνεςτῶτας δὲ καὶ παρατατικοὺς τῆς μέςης ἀμνημονεύτους εἴαςαν, ἐπειδὴ οἱ αὐτοί εἰςιν [ὅμοιοι] τοῖς ἐνεςτῶςι καὶ παρατατικοῖς τῶν παθητικῶν· τὸ γὰρ γράφομαι καὶ τὸ κατηγοροῦμαι καὶ τὰ ὅμοια τῆς μέςης ἐςτὶ διαθέςεως, καθὰ καὶ ἄνωθεν εἴπομεν πλατύτερον.

---

5 ἢ πρὸ ὀλ. ἢ] καὶ V ‖ **6** ὁ δὲ — ἄρτι (8)] καὶ V ‖ **8** παρακειμένῳ] ἀορίςτῳ V ‖ **39** κἂν V | διαφέρωςι V ‖ **43** εἴρηται] *p. 404, 30* ‖ **45** ἐν. δὲ] ἐν. τὲ V

§ 14 (16. 17. 18b).
Περὶ cυζυγίαc.

⟨*Heliodori.*⟩ — Ἰcτέον ὅτι ὅπερ ἐcτὶν ἐν τοῖc ὀνόμαcιν ὁ χαρακτήρ, τοῦτο ἐν τοῖc ῥήμαcιν ἡ cυζυγία, ἥτιc ἐcτὶ κανὼν καὶ ἀναλογία τῆc κλίcεωc αὐτῶν. Εἴρηται δὲ μεταφορικῶc cυζυγία ἀπὸ μεταφορᾶc τῶν ὑποζυγίων καὶ τῶν τετραπόδων ζῴων, ἃ ὑπὸ τὸν αὐτὸν ὄντα ζυγὸν ἴcον δρόμον ποιεῖται, ὡc καὶ τούτων ὅca ὑπὸ τὴν αὐτὴν ἀνάγεται cυζυγίαν μίαν ποιεῖται κλίcιν· καὶ ὥcπερ ἐπ' ἐκείνων cυζυγία καλεῖται ἡ cυνεζευγμένη καὶ ὑπὸ ἕνα ζυγὸν οὖca ξυνωρὶc τῶν ζῴων, οὕτω καὶ ἐπὶ τούτων cυζυγία προcηγόρευται ἡ cυνεζευγμένη καὶ οἷον ὑπὸ ἕνα ζυγὸν οὖca κλίcιc τῶν ῥημάτων. Καὶ τοῦτο δύναται ἐν ῥήμαcιν ἡ αὐτὴ cυζυγία, ὃ δύναται χαρακτὴρ ἐν ὀνόμαcι· διαφόρουc γὰρ φωνὰc ὑπὸ μίαν κίνηcιν ἄγει, ὥcπερ καὶ οἱ χαρακτῆρεc τῶν ὀνομάτων· ὡc γάρ φαμεν ἐν ὀνόμαcι· «τὰ εἰc $\overline{\text{οc}}$ ἀρcενικὰ τοιῶcδε κλίνομεν, καὶ τὰ εἰc $\overline{\text{ηc}}$ cπονδειακὰ τοιῶcδε», οὕτω καὶ ἐν ῥήμαcι λέγομεν· «ὅca διὰ τοῦ $\overline{\beta}\,\overline{\pi}\,\overline{\varphi}$ ἐκφέρεται ῥήματα κατὰ τὸ θέμα, τοιῶcδε κλίνομεν», καὶ τὰ ἑξῆc ὁμοίωc.

Cυζυγία ἐcτὶν ἀκόλουθοc ῥημάτων κλίcιc μετὰ ἰδίαc ἀκολουθίαc φαινομένηc ἀπ' ἀρχῆc τοῦ θεματικοῦ ἐνεcτῶτοc. Τί ἐcτιν ἀκόλουθοc ῥημάτων κλίcιc; Ἡ κατὰ ἀναλογίαν καὶ κανόνα γινομένη κλίcιc τῶν ῥημάτων· τὰ γὰρ διὰ τοῦ $\overline{\beta}$ ἢ $\overline{\pi}$ ἢ $\overline{\varphi}$ ἐκφερόμενα κατὰ τὸ θέμα ῥήματα ἀκολούθωc καὶ κατὰ ἀναλογίαν κλίνονται· τὰ διὰ τοῦ $\overline{\pi\tau}$ ἐκφερόμενα ῥήματα ὡcαύτωc. Καὶ ἐπὶ τῶν λοιπῶν cυζυγιῶν ἀκολούθωc καὶ κατὰ ἀναλογίαν ἀλλήλων κλίνονται τὰ ῥήματα ἐν τῇ αὐτῇ καὶ μιᾷ cυζυγίᾳ· ὅca γὰρ θέματα ὑπὸ τὴν αὐτὴν καὶ μίαν ἀνάγονται cυζυγίαν, καὶ τὴν αὐτὴν ποιεῖται κλίcιν τῶν ῥημάτων. — Ἄλλωc. Τί ἐcτι cυζυγία; Τάξιc cυμφώνων ἐν τῷ πρώτῳ τοῦ θέματοc προcώπῳ κανονιζομένη, ἢ ἐν τῷ δευτέρῳ, ὡc ἐπὶ τῶν περιcπωμένων.

⟨*Heliodori.*⟩ — Διὰ τοῦτο δὲ cυζυγία λέγεται, ὅτι ἑκάcτη cυζυγία διὰ cυμφώνων cυνέζευκται ἀλλήλοιc. Τὴν ἕκτην cυζυγίαν καταχρηcτικῶc εἴρηκεν· οὐ γὰρ cυνέζευκται ταύτῃ ἄλλα cύμφωνα διάφορα, ὡc ἐν ταῖc ἄλλαιc cυζυγίαιc, ἀλλὰ μόνον ἐcτὶ τὸ $\overline{\omega}$ καθαρόν, καὶ οὐδενὸc αὐτῷ παραλήγοντοc cυμφώνου· ὥcπερ οὖν καὶ καταχρηcτικῶc ἐcτι cυλλαβὴ ἡ δι' ἑνὸc φωνήεντοc, οὕτω καὶ cυζυγία καταχρηcτικῶc εἴρηται ἡ δι' ἑνὸc φωνήεντοc. Κέκληται δὲ cυζυγία ἐκ μεταφορᾶc, ὡc εἴρηται, τῶν ὑποζυγίων· ὃν τρόπον γὰρ τὰ κτήνη τὰ ὑπὸ τὸν ζυγὸν ὄντα τὸν αὐτὸν cυντρέχει ἀλλήλοιc καὶ μίαν τὴν πορείαν ποιεῖται, τὸν αὐτὸν τρόπον

3—16 *videntur esse* **Σ**[h] ‖ **5—16 hab. et. A** ‖ **27—407, 6** *videntur esse* **Σ**[h]

2 Περὶ cυζ. *post* ὁμοίωc (*v. 16*) *transp.* V, *om* N ‖ 5 κλίcεωc N, ἐγκλίcεωc V ‖ 9 *poster.* καὶ *add* A ‖ 10 προcηγόρευται V, προcαγορεύεται NA ‖ 11 ἡ αὐτὴ cυζ. VNA ‖ 15 cπονδιακὰ N ‖ 17 μετὰ — ῥημάτων (24) *om* N ‖ 21 ἐκφερομένου ῥήματοc V ‖ 24 Τί ἐcτι cυζ. *om* N ‖ 29 ὡc N, *om* V ‖ 31 καὶ V, *om* N ‖ 33 εἴρηται] *v. 5—8* ‖ 35 τὸν — ζευγνύει (407, 1) *om* N

καὶ ἡ cυζυγία πολλὰ ῥήματα εἰc ἑαυτὴν ζευγνύει. Μηδεὶc δὲ οἰέcθω ἴδιον μέροc λόγου εἶναι τὴν cυζυγίαν· αὕτη γάρ ἐcτιν ἓν τῶν παρεπομένων τῷ ῥήματι· ἰδίωc δὲ τέτακται ἅτε πολυcχιδὴc τυγχάνουcα καὶ πολλῆc τεχνολογίαc δεομένη. Ὁριζόμενοc δὲ τὴν cυζυγίαν ὁ τεχνικὸc ἔφη εἶναι ἀκόλουθον ῥημάτων κλίcιν, εὐλόγωc· εἰ γὰρ cυζυγεῖ ἀλλήλοιc τὰ ῥήματα, πάντωc μίαν καὶ ἀκόλουθον ἀλλήλοιc κίνηcιν ποιεῖται.

Τί δέ ἐcτιν ἀκόλουθοc ῥημάτων κλίcιc; Τὸ ἰδίᾳ ἑκάcτην cυζυγίαν ἀκολούθωc ἑαυτῇ καὶ cυμφώνωc κλίνεcθαι.

Εἰcὶ δὲ cυζυγίαι τῶν βαρυτόνων μὲν ῥημάτων ἕξ.] Εἰcὶ δὲ πᾶcαι αἱ cυζυγίαι δεκατρεῖc, ἓξ τῶν βαρυτόνων, τῶν περιcπωμένων τρεῖc, καὶ τῶν εἰc μ̅ι̅ τέccαρεc· τὰ βαρύτονα δὲ πρῶτον θετέον, ἐπεὶ τὰ περιcπώμενα ἐξ αὐτῶν καὶ τὰ εἰc μ̅ι̅.

Ἡ πρώτη cυζυγία τῶν βαρυτόνων ῥημάτων διὰ τίνοc ἐκφέρεται; Διὰ τοῦ β̅ ἢ π̅ ἢ φ̅ ἢ π̅τ̅, οἷον λείβω τέρπω γράφω κόπτω. Ἡ πρώτη διὰ τοῦ πρώτου cυμφώνου τοῦ β̅ μέcου καὶ τῶν cυγγενῶν, τοῦ π̅ ψιλοῦ καὶ τοῦ φ̅ δαcέοc· ὁ μέλλων διὰ τοῦ ψ̅, ἐπεὶ καὶ τὰ εἰc ψ̅ λήγοντα ὀνόματα διὰ τοῦ β̅ π̅ φ̅ κλίνεται, οἷον λίψ λιβόc, κλώψ κλωπόc, Κίνυψ Κίνυφοc. Καὶ διὰ τί ἡ πρώτη διὰ τοῦ β̅; Ἐπειδὴ πρῶτόν ἐcτι cύμφωνον, καὶ διὰ τοῦτο προcέλαβεν αὐτὸ ἡ πρώτη cυζυγία τῶν βαρυτόνων. Διὰ τί διὰ τοῦ π̅ ἢ φ̅; Διότι cυγγενῆ εἰcι τοῦ β̅ ⟨ὡc μέcου ὄντοc αὐτῶν⟩, καὶ ὅτι ἀντίcτοιχα ἀλλήλοιc εἰcί· λέγει γὰρ ὁ τεχνικόc ⟨p. 13, 3 Uhl⟩ «ἀντιcτοιχεῖ τὰ δαcέα τοῖc ψιλοῖc, τῷ μὲν π̅ τὸ φ̅, οἷον ⟨ι 279⟩ ἀλλά μοι εἴφ' ὅπῃ ἔcχεc ἰὼν εὐεργέα νῆα». Διὰ τί διὰ τοῦ π̅τ̅; Διότι τοῦ π̅ ἐcτὶν ἡ cυζυγία· πλεονάζει δὲ τὸ τ̅, ὡc ἐν τῇ γενικῇ πολλάκιc τοῦ ὀνόματοc, οἷον ἄνακοc ἄνακτοc, γάλακοc γάλακτοc, νυκόc νυκτόc· ἀναλογεῖ γὰρ ὁ ἐνεcτὼc τῇ γενικῇ, ὁ δὲ μέλλων τῇ εὐθείᾳ. Καὶ διὰ τί μετὰ τοῦ π̅ ἐcτὶ τὸ τ̅ ἐν τῇ πρώτῃ cυζυγίᾳ καὶ μετὰ τοῦ κ̅ ἐν τῇ δευτέρᾳ; Ἐπειδὴ ὁμοίωc τῷ π̅ ⟨καὶ τῷ κ̅⟩ ψιλόν ἐcτι· κανὼν γάρ ἐcτιν ὁ λέγων, ὅτι ψιλὰ ψιλῶν ἡγεῖται καὶ δαcέα δαcέων καὶ μέcα μέcων κατὰ cύλληψιν, οἷον κτύποc πτῶcιc φθόνοc χθὼν ἐρίγδουποc. Διὰ τί ὁ μέλλων τῆc πρώτηc cυζυγίαc τῶν βαρυτόνων διὰ τοῦ ψ̅ ἐκφέρεται; Διότι τὰ εἰc ψ̅ λήγοντα ὀνόματα, ὃ προεγράφη.

Ἡ δευτέρα cυζυγία τῶν βαρυτόνων διὰ τίνοc ἐκφέρεται; Διὰ τοῦ γ̅ ἢ κ̅ ἢ χ̅ ἢ κ̅τ̅, οἷον λέγω πλέκω τρέχω τίκτω. Διὰ τί διὰ τοῦ γ̅; Διότι δεύτερόν ἐcτι cύμφωνον, καὶ διὰ τοῦτο προcέλαβεν αὐτὸ ἡ δευτέρα cυζυγία τῶν βαρυτόνων. Καὶ διὰ τί διὰ τοῦ κ̅ ἢ χ̅; Διότι cυγγενῆ εἰcι τοῦ γ̅ ὡc μέcου ὄντοc ⟨αὐτῶν⟩, καὶ ὅτι ἀντίcτοιχα ἀλλήλοιc εἰcί· λέγει γὰρ ὁ τεχνικὸc ⟨p. 13, 3 Uhl⟩ «ἀντιcτοιχεῖ τὰ δαcέα τοῖc ψιλοῖc, τῷ μὲν κ̅ τὸ χ̅, ὡc ἐν τῷ ⟨ε 229⟩ αὐτίχ' ὁ μὲν χλαῖνάν τε χιτῶνά τ⟨ε⟩ ἕν⟨ν⟩υτ' Ὀδυccεύc. Καὶ διὰ τί διὰ τοῦ κ̅τ̅; Διότι τοῦ κ̅ ἐcτὶν ἡ cυζυγία· πλεονάζει δὲ τὸ τ̅ δι' εὐφωνίαν. Καὶ διὰ τί ὁ μέλλων τῆc δευτέραc cυζυγίαc διὰ τοῦ ξ̅ ἐκφέρεται; Διότι καὶ τὰ εἰc ξ̅ περατούμενα ὀνόματα διὰ τοῦ γ̅ ἢ κ̅ ἢ χ̅ κλίνεται, ὄρτυξ ὄρτυγοc, κῆρυξ κήρυκοc, ὄνυξ ὄνυχοc.

1—4 hab. et. A ‖ **9—12** = Σ^v *252, 23—25* ‖ **14—17** = Σ^v *252, 26—29*

4 δεομένη NA, ἐχομένη V ‖ **7** ἰδίᾳ V, ἰδίαν N ‖ **9** *post* ἓξ *add* N: τῶν βαρυτόνων τῶν εἰc ω̅, ἐπεὶ καὶ τὰ εἰc μ̅ι̅ βαρύτονα λέγεται, καθὸ καὶ αὐτὰ τὴν βαρεῖαν ἐπὶ τέλουc ἔχει· ἀλλὰ τὰ μὲν εἰc ω̅ βαρύτονα πρὸ μιᾶc ἔχει τὸν τόνον, τὰ δὲ εἰc μ̅ι̅ πρὸ δύο ‖ **11** δὲ *add* C | πρῶτα N ‖ **13** Ἡ — κόπτω (14) *om* N ‖ **14** διὰ C, ἀπὸ VN ‖ **15** τοῦ *ante* π̅ *et ante* φ̅ *add* C ‖ **17** Καὶ — προεγρ. (29) *om* N ‖ **21** τὸ μὲν π̅ τῷ φ̅ V ‖ **26** τῷ π̅ ψιλῷ εἰcι V ‖ **32** Καὶ — εὐφωνίαν (37) *om* N

Ἡ τρίτη cυζυγία τῶν βαρυτόνων διὰ τίνος ἐκφέρεται; Διὰ τοῦ δ̄ ἢ θ̄ ἢ τ̄, οἷον ᾄδω πλήθω ἀνύτω. — Διὰ τί διὰ τοῦ δ̄; Διότι τρίτον cύμφωνόν ἐcτι [καὶ μέcον τούτων, τοῦ τε θ̄ καὶ τ̄], καὶ διὰ τοῦτο προcέλαβεν αὐτὸ ἡ τρίτη cυζυγία τῶν βαρυτόνων. Καὶ διὰ τί διὰ τοῦ θ̄ ἢ τ̄; Διότι cυγγενῆ εἰcι τοῦ δ̄ ὡc μέcου ὄντοc αὐτῶν, καὶ ὅτι ἀντίcτοιχα ἀλλήλοιc εἰcί· λέγει γὰρ ὁ τεχνικόc ⟨p. 13, 3 Uhl⟩ «ἀντιcτοιχεῖ τὰ δαcέα τοῖc ψιλοῖc, τὸ μὲν θ̄ τῷ τ̄, [οὕτωc] ὡc ἐν τῷ ⟨Γ 95⟩ ὣc ἔφαθ', οἱ δ' ἄρα πάντεc ἀκὴν ἐγένοντο cιωπῇ»· πολλάκιc δὲ καὶ εἰc δύο δαcέα, ὡc τὸ ⟨Δ 243⟩ τίφθ' οὕτωc ἕcτητε; Διὰ τί ὁ μέλλων τῆc τρίτηc cυζυγίαc τῶν βαρυτόνων διὰ τοῦ c̄ ἐκφέρεται; Διότι καὶ τὰ εἰc c̄ λήγοντα ὀνόματα διὰ τοῦ δ̄ ἢ θ̄ ἢ τ̄ κλίνεται, οἷον Πάριc Πάριδοc, χάριc χάριτοc, ὄρνιc ὄρνιθοc.

Ἡ δὲ τετάρτη διὰ τοῦ ζ̄ ἢ τῶν δύο c̄c̄. Περὶ ταύτηc ἐροῦμεν ἐν καιρῷ.

Ἡ δὲ πέμπτη διὰ τῶν τεccάρων ἀμεταβόλων ἐκφέρεται, περὶ ἧc ὁ λόγοc προϊὼν διδάξει. Τῶν οὖν cυμφώνων ἡ διανομὴ γέγονεν· ὑπελείφθη δὲ τὸ ζ̄ διπλοῦν. Καὶ πῶc ἐξ ἑνὸc cυζυγία; τίνι δὲ cυγγενὲc τὸ ζ̄ κατὰ τὸν ἦχον; Τῷ c̄. Καὶ ποία cυζυγία διπλοῦ καὶ ἁπλοῦ; Ὁπότε καὶ τοῦ μέλλοντόc ἐcτι τὸ c̄. Δίδοται οὖν διττόν, ἵνα καὶ ἰcοδυναμῇ καὶ διαcταλῇ πρὸc τὸν μέλλοντα, ὅθεν ὡc νόθη καὶ ἀcύμφωνοc κεῖται.

Ἡ ἕκτη διὰ καθαροῦ τοῦ ω̄· οὐ γὰρ ἔτι ἦcαν cύμφωνα.

Εἰ δὲ εἴη ποτὲ δύο cύμφωνα τὰ παραληγόμενα τῷ ω̄, τότε δεῖ τὸν ἀκριβῶc θέλοντα κρίνειν ἀποβλέπειν εἰc τὸν παρακείμενον τὸν μέcον καὶ οὕτωc ἀποφαίνεcθαι περὶ τῆc cυζυγίαc· οἷον ἰδοὺ τύπτω ἀμφίβολόν ἐcτι πότερον πρώτη ἢ δευτέρα· καί πωc ἀπὸ τοῦ θέματοc ἀμφίβολοc· εἰ δὲ ἔλθωμεν εἰc τὸν μέcον παρακείμενον, εὑρίcκομεν τὸ τέτυπα, καὶ νοοῦμεν ὅτι τὸ π̄ γνηcιώτερόν ἐcτι cτοιχεῖον τοῦ ῥήματοc· καὶ τὸ τίκτω ὁμοίωc, καὶ ὅcα ἁπλῶc εἰπεῖν ἔχει δύο cύμφωνα.

⟨*Heliodori.*⟩ — Χρὴ δὲ εἰδέναι, ὅτι ἐν τῷ κόπτω περιττεύει τὸ τ̄ δι' εὐφωνίαν, τοῦ γὰρ π̄ ἐcτὶν ἡ cυζυγία· καὶ δηλοῖ ὁ μέλλων τὸ ψ̄ μόνον ἔχων, ὡc ἐν τῷ τέρπω ⟨τέρψω⟩· δηλοῖ δὲ καὶ τὸ ῥηματικὸν ὄνομα· εἰ γὰρ ἀπὸ τοῦ ἔπω, ὃ δηλοῖ τὸ λέγω, φαμὲν ἔποc, καὶ ἀπὸ τοῦ κόπτω κόποc καὶ οὐ κόπτοc, δῆλον ὡc τοῦ π̄ ἐcτὶν ἡ cυζυγία, καὶ περιττεύει τὸ τ̄, ὡc καὶ ἐν γενικῇ ὀνόματοc περιττὸν ὁρᾶται· ⟨τοῦ⟩ ἄναξ γὰρ ἄνακοc ἦν ἡ γενική, καὶ πλεοναcμῷ τοῦ τ̄ ἄνακτοc.

Ἡ δὲ δευτέρα διὰ τοῦ γ̄ ἢ κ̄ ἢ χ̄ ἢ κτ̄.] Ἰcτέον ὅτι ἐν τῷ τίκτω περιττεύει τὸ τ̄ δι' εὐφωνίαν· τοῦ γὰρ κ̄ ἐcτὶν ἡ cυζυγία, ὡc δηλοῖ ὁ μέλλων τὸ ξ̄ μόνον ἔχων, ὡc ἐν τῷ πλέκω πλέξω· δηλοῖ δὲ καὶ τὸ ῥηματικὸν ὄνομα· εἰ γὰρ ἀπὸ τοῦ πλέκω πλόκοc λέγομεν, καὶ ἀπὸ τοῦ τίκτω τόκοc καὶ οὐ τόκτοc, δῆλον ὡc τοῦ κ̄ ⟨ἐcτὶν⟩ ἡ cυζυγία, καὶ περιττεύει τὸ τ̄.

Ἡ δὲ τρίτη διὰ τοῦ δ̄ θ̄ τ̄.] Οὐκ ἔcτι δὲ πολλὰ εἰc τω̄ βαρύτονα· ἀνύτω, ἀρύτω, ἐξ οὗ τὸ ἀρυταίνω· τὸ λίτω ἄρρητον.

Ἡ δὲ τετάρτη διὰ τοῦ ζ̄ ἢ δύο c̄c̄.] Τὸ μὲν ζ̄ καλῶc τέτακται

25—409, 17 *videntur esse* Σ[h] ‖ 25—31 hab. et. A

4—8 *om* N ‖ 6 τῷ μὲν θ̄ τὸ τ̄ V ‖ 12 δὲ N, γὰρ V ‖ 17 κεῖται V, κινεῖται N ‖ 19 Εἰ — cύμφωνα *om* N ‖ 22 καὶ πῶc VN ‖ 30 ἄναξ γὰρ *add* A ‖ 32 γ̄ κ̄ χ̄ κτ̄ N ‖ 33 γὰρ κ̄] γ̄ κ̄ V, γ̄ κ̄ χ̄ κτ̄ N ‖ 40 c̄c̄ N, cιγμάτων V

ἐν τῇ τετάρτῃ cυζυγίᾳ, τέταρτον γάρ ἐcτι cύμφωνον. Πῶc δὲ cυνετάγη τοῖc δύο c̄c̄, τοῦτο αὐτό τινες θαυμάζουcι. Πρὸc οὓc λέγομεν, ὅτι μετὰ τὸ τέταρτον cύμφωνον τὸ ζ̄ πέμπτον ἦν τὸ θ̄, ὅπερ προείληπται ἐν τῇ τρίτῃ· μεθ' ὃ τὸ κ̄, ὅπερ ἔcχεν ἡ δευτέρα· εἶτα τὸ λ̄μ̄ν̄ρ̄, ἅπερ ἀμετάβολα ὄντα καὶ μὴ δυνάμενα τὴν ἴcην ἔχειν δύναμιν καὶ τάξιν καὶ οἷον ὑπὸ τὸν αὐτὸν ζυγὸν cυνεῖναι τῷ ζ̄ διὰ τὴν ἐνοῦcαν ἐν αὐτοῖc ἀcθένειαν, ἰδίαc ἔτυχε cυζυγίαc. Ὅτι γὰρ ἀcθενῆ ἐcτι, δῆλον ἐξ ὧν ὑποταττόμενα ἀφώνῳ οὐ ποιεῖ μακράν. Τί οὖν ἐχρῆν τῷ ζ̄ cυζεῦξαι; μόνον γὰρ οὐκ ἠδύνατο ἀποτελέcαι cυζυγίαν· τὸ ξ̄ καὶ τὸ ψ̄ προείληπται γὰρ ἐν τῷ μέλλοντι. Ἀλλὰ τὸ c̄; Οὐδὲ τοῦτο οἷόν τε ἦν, ἐπεὶ τὸ c̄ μέλλοντοc χαρακτηριcτικόν, καθὸ πᾶc μέλλων ἢ φύcει ἢ δυνάμει ἔχει τὸ c̄, φύcει μέν, ὡc γελάcω τελέcω, δυνάμει δὲ διὰ τὰ διπλᾶ, τὸ ξ̄ καὶ τὸ ψ̄, ἐπεὶ καὶ αὐτὰ ἐν τέλει δυνάμει ἔχει τὸ c̄· τὸ γὰρ ξ̄ ἐκ τοῦ κ̄ καὶ c̄ καὶ τὸ ψ̄ ἐκ τοῦ π̄ καὶ c̄· ἔνθεν ἡ φύcιc ἀπορήcαcα, τί cυζεύξει αὐτῷ, ὕcτερον ὑπενόηcε τὰ δύο c̄c̄, ἵνα διπλαcιαcθὲν τὸ c̄ τὴν ἴcην ἕξει δύναμιν τῷ ζ̄ καὶ αὐτῷ διπλῷ ὄντι· εἰκότωc τοίνυν ἡ τετάρτη διὰ τοῦ ζ̄ ἢ δύο c̄c̄.

Διὰ τί διὰ τῶν δύο c̄c̄; Διότι τὸ ἓν c̄ χαρακτηριcτικόν ἐcτι βαρυτόνου μέλλοντοc, ⟨οὐκ ἠδύνατο τὸ αὐτὸ χαρακτηριcτικὸν εἶναι καὶ βαρυτόνου ἐνεcτῶτοc⟩· καὶ διὰ τοῦτο ἀνεδιπλαcιάcθη, ἵνα διπλαcιαcθὲν τὴν ἴcην δύναμιν ἀναπληρώcῃ τῷ διπλῷ. Διὰ τί εἶπεν «οὐκ ἠδύνατο τὸ αὐτὸ χαρακτηριcτικὸν εἶναι καὶ βαρυτόνου ἐνεcτῶτοc;» Διὰ τὸ κείρω κερῶ· τὸ ρ̄ γὰρ χαρακτηριcτικὸν ὂν τοῦ μέλλοντοc χαρακτηριcτικόν ἐcτι καὶ βαρυτόνου ἐνεcτῶτοc, ἀλλ' οὐκ ἔcτι χαρακτηριcτικὸν [τοῦ] βαρυτόνου μέλλοντοc, ἀλλὰ [τοῦ] περιcπωμένου. Διὰ τί εἶπε «βαρυτόνου ἐνεcτῶτοc»; Διὰ τὸ φυcῶ νοcῶ· τὸ γὰρ ἓν c̄ χαρακτηριcτικὸν ὂν τοῦ μέλλοντοc χαρακτηριcτικόν ἐcτι καὶ τοῦ ἐνεcτῶτοc, ἀλλ' οὐκ ἔcτι χαρακτηριcτικὸν βαρυτόνου ἐνεcτῶτοc, ἀλλὰ περιcπωμένου.

Ἡ δὲ πέμπτη διὰ τῶν τεccάρων ἀμεταβόλων λ̄μ̄ν̄ρ̄, οἷον πάλλω νέμω κρίνω cπείρω.] — ⟨*Heliodori.*⟩ — Ἀναγκαίωc καὶ ἡ πέμπτη διὰ τῶν ἀμεταβόλων ἐκφέρεται· καὶ γὰρ ὀφείλουcα ὡc πέμπτη πέμπτον cύμφωνον ἔχειν τὸ θ̄, οὐκ ἠδυνήθη τοῦτο πρὸc ἑαυτὴν ἑλκύcαι, ἐπεὶ προκατείληπται ἐν τῇ τρίτῃ cυζυγίᾳ· ἀλλ' οὐδὲ τὸ κ̄, ἦν γὰρ ἐν τῇ δευτέρᾳ· καὶ ἐντεῦθεν εἰc ἀπορίαν περιcτᾶcα ἀνειμένον τε εὑροῦcα τὸ λ̄, ἀναγκαίωc δι' αὐτοῦ καὶ τῶν ⟨ἄλλων⟩ ἀμεταβόλων ὡc ὁμογενῶν καὶ ἰcοδυνάμων ἐξηνέχθη.

Διὰ τί διὰ τῶν τεccάρων ἀμεταβόλων; Ἐπειδὴ τοῦ μὲν θ̄ πέμπτου ὄντοc cυμφώνου καὶ προκαταληφθέντοc ἐν τῇ τρίτῃ cυζυγίᾳ, ὁμοίωc καὶ τοῦ κ̄ ἐν τῇ δευ-

---

29—35 *videntur esse* Σ^h

2 c̄c̄ N, cίγμαcι V | ὅτι V, ἥτιc N ‖ **3** cύμφωνον *RSchneider*, cτοιχεῖον VN ‖ **4** ὃ] ὧν VN ‖ **6** τῷ] τὸ VN ‖ **10** γὰρ *om* N ‖ **15** ὑπενόηcε V, ἐπενόηcε N | c̄c̄ N, cίγματα V ‖ **17** c̄c̄ N, cιγμάτων V; *item v. 18* ‖ **18—27** *om* N ‖ **22** ἐνεcτῶτοc] μέλλοντοc *in ras.* V ‖ **28** λ̄ — cπείρω (**29**) *om* N ‖ **32** προκατείληπτο VN ‖ **36—410, 4** *om* N

τέρᾳ, ἀναγκαίως λοιπὸν διὰ τοῦ λ̄ καὶ τῶν λοιπῶν ἀμεταβόλων [καὶ] ἡ πέμπτη συζυγία τῶν βαρυτόνων ἐκφέρεται. Καὶ περισπᾷ τὸν μέλλοντα καὶ τὸ ἀμετάβολον τηρεῖ ἐν αὐτῷ, καὶ τὴν παραλήγουσαν ἐν τῷ ἐνεστῶτι μακρὰν ἔχουσα ἐν τῷ μέλλοντι βραχεῖαν ἔχει, ὡς τὸ σπείρω σπερῶ, ψάλλω ψαλῶ, κρίνω κρινῶ, δείμω δεμῶ.

Ἡ δὲ ἕκτη διὰ καθαροῦ τοῦ ω̄, οἷον ἱππεύω πλέω βασιλεύω.] — ⟨*Heliodori.*⟩ — Ἀναλωθέντων τοίνυν τῶν συμφώνων τῶν μὲν ἐν τῷ ἐνεστῶτι τῶν πέντε συζυγιῶν, τῶν δὲ ἐν τῷ μέλλοντι, ἀναγκαίως ἡ ἕκτη διὰ καθαροῦ τοῦ ω̄ τεθεμάτισται.

Διὰ τί διὰ καθαροῦ τοῦ ω̄; Ἐπειδὴ προκατηναλώθησαν τὰ [ἄλλα] σύμφωνα ἐν ταῖς λοιπαῖς συζυγίαις· ἐλθοῦσα δὲ ἡ ἕκτη καὶ μὴ εὑροῦσα ἄλλο σύμφωνον ἔμεινε διὰ καθαροῦ τοῦ ω̄. Καὶ ποῦ προκατηναλώθησαν; Τὰ μὲν ἐν τῷ ἐνεστῶτι, τὰ δὲ ἐν τῷ μέλλοντι. Καὶ διὰ τί τῶν ἄλλων συζυγιῶν ἐκ διαφόρων συμφώνων χαρακτηριζομένων ἡ ἕκτη διὰ καθαροῦ τοῦ ω̄ ἐκφέρεται; Ἀλλ' οὖν οὐ τὸ ω̄ ἐστι χαρακτηριστικὸν τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων, ἀλλὰ διὰ τῶν πρὸ αὐτοῦ φωνηέντων διαφόρων ὄντων χαρακτηρίζεται, κἀκ τούτου καὶ κυρίως ἐστὶ συζυγία. Καὶ διὰ πόσων τῶν πρὸ τοῦ ω̄ φωνηέντων χαρακτηρίζεται; Διὰ πέντε, διὰ τοῦ ε̄ ᾱ ῑ ῡ ō, οἷον πλέω βοάω πίω μηνύω ἱδρόω.

Τινὲς δὲ καὶ ἑβδόμην συζυγίαν εἰσάγουσι διὰ τοῦ ξ̄ καὶ ψ̄.] Ἀλλ' οὐδέποτε τὸ σύμφωνον τοῦ μέλλοντος χαρακτηριστικὸν ἐγένετο ⟨ἐνεστῶτος⟩ βαρυτόνων· ὅθεν τὸ σ̄ ἐν ἐνεστῶτι περισπωμένων νοεῖται, οἷον μισῶ φυσῶ· οὐκοῦν οὐδὲ τὸ ἀλέξω αὔξω ἕψω ἀνάλογον ἐνεστῶτος βαρυτόνων. Διδάσκει καὶ ἡ κλίσις· εἰ γὰρ βαρύτονά εἰσιν, ἰσοσυλλάβως ἐχέτω ὁ μέλλων· ἀλλαμὴν περιττοσυλλαβοῦσιν, ἑψήσω γὰρ καὶ ἀλεξήσω· οὐ βαρυτόνων ἄρα ἑβδόμη συζυγία, ἀλλὰ τοῖς Ἀττικοῖς συνήθης ἀνάγνωσις, οἷον ἀλέξω ἕψω· ταῦτα γὰρ τῶν περισπωμένων ἐστίν· οὐ γὰρ ἔστι συζυγία βαρύτονός ποτε διὰ τοῦ ξ̄ καὶ ψ̄, τόνον δὲ ἔσχον Ἀττικόν· εἰ οὖν εὑρίσκεται ἀλεξήσω καὶ ἑψήσω ὁ μέλλων, ὁμολογουμένως περισπώμενά εἰσι.

Τινὲς δὲ καὶ τὰ ἑξῆς.] Εἴρηται ἀλλαχοῦ, ὅτι ἐὰν μὴ ἀρέσκηται δόξῃ ὁ τεχνικός, προστίθησι τὸ «τινές»· καὶ λέγομεν τούτου ἕνεκα αὐτὸν τιθέναι τὰς ἀλλοτρίας δόξας, ἵνα μὴ τοῖς πολλοῖς δοκῇ κατὰ ἀγνωσίαν παραπέμπεσθαι. Καὶ λέγομεν ὅτι, ἐπεὶ δεδαπάνηται ὁ πᾶς ἀριθμὸς τῶν συμφώνων, ὥστε συμβαίνειν τὴν ἕκτην ἐκφέρεσθαι διὰ καθαροῦ τοῦ ω̄ μηκέτι ὄντος συμφώνου, [ὥστε] οὐχ οἷόν τε ἦν τῆς ἕκτης σχεδὸν εἰπεῖν κινδυνευούσης μὴ εἶναι, καὶ ἑβδόμην παράγειν. Ἀλλὰ ῥητέον, ὅτι ταῦτα τῶν περισπωμένων εἰσίν· οὐκ ἔστι γὰρ συζυγία βαρύτονός ποτε διὰ τοῦ ξ̄ καὶ ψ̄.

6—8 *videntur esse* Σ^h ‖ 29—37 *cfr* Σ^v *253, 17—26*

5 οἷον — βασιλ. *om* N ‖ 6 ἀναλωθέντων N, ἀναλυθέντων V ‖ 9—17 *om* N ‖ 12 συμφώνων] συζυγιῶν V ‖ 20 νοεῖται] ποιεῖ VN ‖ 21 αὔξω *om* N ‖ 27 περισπώμενα V, τῶν περισπωμένων N ‖ 29 καὶ τὰ ἑξ. N, *om* V | *ante* ἀλλαχ. *add* καὶ V | ἀλλαχοῦ] *vide p. 343, 19* ‖ 30 τὸ N, *om* V ‖ 31 δοκῇ] δοκοίη VN

Ἄλλως τε πάλιν. — ⟨*Heliodori.*⟩ — Τινὲς δὲ καὶ ἑβδόμην συζυγίαν εἰσάγουσι διὰ τοῦ ξ̄ καὶ ψ̄, οἷον ἀλέξω ἕψω.] Αὕτη Ἀττικὴ χρῆσίς ἐστι· τῆς γὰρ κοινῆς περισπωμένην ἀλεξῶ καὶ ἑψῶ αὐτοὶ ἀναπέμπουσιν, ἀλέξω καὶ ἕψω, ὡς καὶ τὸ θέλω καὶ μέλω καὶ ὀφείλω· διὸ οὐδὲ ἀπὸ τούτων οἱ μέλλοντες ὁ θελήσω καὶ μελήσω καὶ ὀφειλήσω, ἀλλ' ἀπὸ τοῦ θελῶ καὶ μελῶ καὶ ὀφειλῶ ἀχρήστων ὄντων. Καὶ πῶς τὸ μέλω (τὸ φροντίζω) βαρυνόμενον μελήσω ἔχει τὸν μέλλοντα; ἐπειδή, καθά φησιν Ὦρος ὁ γραμματικός, ἐπειδὰν ὁ μέλλων περιττοσυλλαβῇ τοῦ ἐνεστῶτος, ὁ ἐνεστὼς ἀκριβῶς περισπᾶται, οἷον ποιῶ ποιήσω, γελῶ γελάσω, φιλῶ φιλήσω. Εὕρηται τὸ μέλω (τὸ φροντίζω) δι' ἑνὸς ἐκφερόμενον λ̄ καὶ βαρυνόμενον, κἂν ὁ μέλλων ἐνταῦθα τοῦ ἐνεστῶτος περιττοσυλλαβῇ· καὶ πειστέον τοῖς ἀρχαίοις οὕτω προφέρουσι καὶ πᾶσι μέχρις ἡμῶν ὁμογνωμονοῦσι. Καὶ αὗται μέν εἰσιν αἱ τῶν βαρυτόνων ῥημάτων συζυγίαι.

Περισπωμένων δὲ ῥημάτων συζυγίαι εἰσὶ τρεῖς.] Ἐπεὶ τὰ βαρύτονα ἐκ τῆς πλοκῆς τοῦ τελευταίου συμφώνου τοῦ κατὰ τὸ πρῶτον πρόσωπον τοῦ θέματος χαρακτηρίζονται, διαστέλλων ἔφη ὅτι δεῖ ταύτας ἀπὸ τῶν δευτέρων καὶ τρίτων προσώπων γινώσκειν ἅμα τε καὶ κανονίζειν.

Ἡ πρώτη μὲν ἐκφέρεται ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τῆς ει̅ διφθόγγου, οἷον ποιῶ ποιεῖς ποιεῖ, νοῶ νοεῖς νοεῖ. Τί τὸ γνώρισμα τῆς πρώτης συζυγίας τῶν περισπωμένων; Τὸ ἐκφέρεσθαι ἐπὶ τοῦ μέλλοντος διὰ τοῦ η̄ ἢ τοῦ ε̄, οἷον νοήσω τελέσω· τὸ τοίνυν ποιῶ γέγονεν ἀπὸ τοῦ ποιέω βαρυτόνου, καὶ κατὰ κρᾶσιν ποιῶ. — Ἡ δευτέρα τῶν περισπωμένων διὰ τίνος ἐκφέρεται; Διὰ τῆς ᾱͅ διφθόγγου ⟨ἐπὶ δευτέρου καὶ τρίτου προσώπου⟩, οἷον βοῶ βοᾷς βοᾷ· καὶ προσγέγραπται μὲν τὸ ῑ, ἀνεκφώνητον δὲ μένει, ἅτε δὴ ἀδυνάτως ἔχον ἀεὶ μετὰ μακροῦ φωνήεντος εὑρισκόμενον ποιεῖσθαι ἐκφώνησιν, ὡς ὁ τεχνικὸς λόγος, ὡς πᾶν ῑ μακρῷ ὑποταττόμενον ἀνεκφώνητον μένει. Τί τὸ γνώρισμα τῆς δευτέρας συζυγίας τῶν περισπωμένων; Τὸ ἐκφέρεσθαι ἐπὶ τοῦ μέλλοντος διὰ τοῦ ᾱ ἢ τοῦ η̄, οἷον γελάσω βοήσω· γέγονε δὲ τὸ βοῶ ἐκ τοῦ βοάω βαρυτόνου, καὶ κατὰ κρᾶσιν βοῶ. — Ἡ δὲ τρίτη τῶν περισπωμένων διὰ τίνος ἐκφέρεται; Διὰ τῆς οι̅ διφθόγγου ἐπὶ δευτέρου καὶ τρίτου προσώπου, οἷον χρυσῶ χρυσοῖς χρυσοῖ. Τί τὸ γνώρισμα τῆς τρίτης συζυγίας τῶν περισπωμένων; Τὸ ἐκφέρεσθαι ἐπὶ τοῦ μέλλοντος διὰ τοῦ ω̄ ἢ τοῦ ο̄· καὶ πάντοτε μὲν διὰ τοῦ ω̄, στεφανώσω ὑψώσω χρυσώσω περατώσω περαιώσω καὶ ἕτερα πλεῖστα, ἐνίοτε δὲ καὶ διὰ τοῦ ο̄, οἷον βόσω (τὸ θρέψω), ὀνόσω (τὸ μέμψομαι), ἐνόσω (τὸ κινήσω), ἀρόσω (τὸ ἀροτριάσω)· τὸ μέντοι βώσω (τὸ βοήσω) καὶ ἐνώσω (τὸ μῖξιν ποιήσω) καὶ ἀρώσω (τὸ εὐωδιάσω) μεγάλα. Πόθεν ἐγένετο τὸ χρυσῶ; Ἐκ τοῦ χρυσόω, καὶ κατὰ κρᾶσιν χρυσῶ.

2—14 *videntur esse* Σ^h

2 ψ̄ V, τοῦ ψ̄ N ‖ **3** περισπωμένων VN ‖ **4** ὡς — συζυγίαι (14) *om* N ‖ **16** πλοκῆς V, ἐπιπλοκῆς N ‖ **18** τὲ ἅμα καὶ N ‖ **21** οἷον — ποιῶ (24) *om* N ‖ **24** Ἡ — βοᾷ (25) V, ἡ δὲ δευτέρα διὰ τῆς ᾱͅ διφθόγγου N ‖ **27** πᾶν ῑ] πᾶν τὸ VN ‖ **28** Τί — κρᾶσιν βοῶ (30) *om* N ‖ **30** Ἡ — κρᾶσιν χρυσῶ (33) V, ἡ δὲ τρίτη διὰ τῆς οι̅ διφθόγγου N

⟨*Heliodori.*⟩ — Ζητοῦcι δὲ πολλοί, τίνος χάριν οὐκ ἐτηρήθη ἡ τάξις τῶν φωνηέντων ἐν τοῖς περισπωμένοις, ὥcπερ τῶν cυμφώνων ἐν τοῖς βαρυτόνοις· ἐνταῦθα γὰρ τὸ ε̅ δεύτερον ὂν τοῦ α̅ ἐν τοῖς φωνήεςι τὴν πρώτην cυζυγίαν ἐδήλωcε. Καὶ λεκτέον, ἐπειδὴ προκέκριται ἡ ε̅ι̅ δίφθογγος τῆς ᾱͅ καὶ τῆς ο̅ι̅, καθὸ ἡ μὲν ε̅ι̅ τελεία ἐστίν, ἡ δὲ α̅ι̅ καὶ ἡ ο̅ι̅ οὐ τέλειαι· πολλάκις γὰρ ὡς ἀτελεῖς καὶ ἀντὶ βραχείας παραλαμβάνονται, ἅτε δὴ κοιναὶ οὖcαι· τούτου χάριν προετάγη τῶν ἄλλων· ἢ ὅτι καὶ ἀπὸ βαρυτόνων θεμάτων αὐτὴν ἠπιστάμεθα καὶ ἦμεν αὐτῆς ἐθάδες, τούτου χάριν τὴν πρώτην εἴληχε τάξιν, ἵνα μὴ ἀθρόαν ὁρῶντες τὴν μεταβολὴν ἐν τοῖς περισπωμένοις ταραχθῶμεν· ἢ διὰ τὸ ἔχειν δυcχέρειαν τὴν ᾱͅ δίφθογγον, ἅτε δὴ ἔχουcα μὲν τὸ ι̅ προσγεγραμμένον, μὴ ἐκφωνούμενον δέ, ὡς εὐκολωτέρα τῶν ἄλλων προεκρίθη. Τὰ οὖν περισπώμενα δυνάμει βαρύτονά εἰσιν.

Ἄλλως. — Εἰ πρῶτόν ἐστι τὸ α̅, ἀνάγκῃ ἡ ᾱͅ δίφθογγος καὶ ἡ δι᾽ αὐτῆς προφερομένη cυζυγία προτάττεσθαι ὀφείλει. Ἀλλὰ καὶ ἐνταῦθα ἀπολογούμεθα τοιοῦτον λέγοντες λόγον, ὅτι ⟨εἰ⟩ καὶ πρῶτον φωνῆεν τὸ α̅, ὡς ὁμοίως καὶ ἡ α̅ι̅ δίφθογγος, ἀλλ᾽ ὅμως πέφυκεν ἀεὶ πάντα ὑφ᾽ ἓν τὰ ῥήματα διὰ τῆς ε̅ι̅ διφθόγγου προφέρεσθαι τὰ βαρύτονα· ἠκολούθηcε δὲ καὶ ἡ πρώτη, τουτέστιν ἡ διὰ τῆς ε̅ι̅ διφθόγγου, τοῖς προλαβοῦcιν.

Διὰ τί ὥcπερ τὸ β̅ ἐν cυμφώνοις πρῶτον ὂν πρώτην ποιεῖ τῶν βαρυτόνων cυζυγίαν, μὴ καὶ τὸ α̅ πρῶτον ὂν ἐν φωνήεςι πρώτην ἐχαρακτήριcε τὴν ἀπὸ κλίσεως γνωριζομένην πρώτην cυζυγίαν τῶν περισπωμένων, ἀλλὰ δευτέραν, καὶ τὸ ε̅ δεύτερον ὂν τῶν φωνηέντων ἐποίηcε πρώτην τῶν περισπωμένων; Καί φαμεν, ὅτι προτέτακται τὸ ε̅ τοῦ α̅, ὅτι καὶ αἱ ὑγιῶς ἔχουcαι λέξεις τῶν ῥημάτων διὰ τῆς ε̅ι̅ διφθόγγου κλίνονται, οἷον βοάεις χρυcόεις, καὶ οὐ διὰ τῆς α̅ι̅ ἢ ο̅ι̅.

Ὧν ἡ μὲν πρώτη ἐκφέρεται ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τῆς ε̅ι̅ διφθόγγου, ἡ δὲ δευτέρα διὰ τῆς ᾱͅ, ἡ δὲ τρίτη διὰ τῆς ο̅ι̅.] — ⟨*Heliodori.*⟩ — Διὰ τί καθὼς μίαν ἔχουcι γένεσιν, οἷον ὅτι ἐκ βαρυτόνων γεγόναcι, μίαν οὐ ποιοῦνται καὶ τὴν κλίσιν; νοέω γὰρ νοῶ καὶ χρυcόω χρυcῶ καὶ βοάω βοῶ. Ὅτι τῆς ἀνωμαλίας ταύτης ἡ cυναίρεςις αἰτία καθέστηκε· ποιέεις γὰρ κατὰ τὸ δεύτερον πρόcωπον τὸ ἐντελές, καὶ κατὰ cυναίρεσιν ποιεῖς· τὰ γὰρ δύο ε̅ε̅ εἰς τὴν ε̅ι̅ δίφθογγον κιρνᾶται· βοάεις τὸ ἐντελές, καὶ κατὰ cυναίρεσιν βοᾷς· τὸ γὰρ α̅ καὶ ε̅ εἰς α̅ μακρὸν κιρνᾶται, ἀείδω ᾄδω· πρόcκειται

1—13 hab. et. A; *videntur esse* Σ^h ‖ **30—413, 6** *videntur esse* Σ^h

1 δὲ N, *om* V | οὐκ ἐτηρήθη A, οὐ κατηρίθμηται V, οὐ κτηριθμήθη N ‖ 6 καὶ *om* N ‖ 7 *ante* ἢ *add* A: ἢ ὅτι ὑγιῶς ἔχοντα πάντα τὰ περισπώμενα δι᾽ αὐτῆς χαρακτηρίζονται ἐπὶ δευτέρου καὶ τρίτου προσώπου, καὶ μετὰ τὸ πάθος οὐκ ἀλλοιοῦται αὐτῆς τὸ προοίμιον ‖ 8 ἀπὸ A, ἐπὶ VN | καὶ ἦμεν αὐτῶν (*sic*) ἐθάδες *add* A ‖ 11 ἔχουcαν VNA ‖ 12 ὡς — εἰσιν (13) *om* A ‖ 16 καὶ (*ante* πρ.) *om* N

δὲ τὸ ι̅, διότι τὰ δεύτερα καὶ τρίτα τῶν εἰς ω̅ πρόσωπα δίφθογγον θέλει ⟨ἔχειν⟩ τὴν διὰ τοῦ ι̅· ἀνεκφώνητον δὲ μένει, νικώμενον τῷ φθόγγῳ τῆς μακρᾶς. Καὶ ἡ τρίτη χρυσόεις χρυσοῖς· αὕτη ἡ συναίρεσις τὴν ο̅υ̅ ἤθελεν ἔχειν, τὸ γὰρ ο̅ καὶ ε̅ εἰς ταύτην κιρνᾶται, τὸ ἐμόν τοὐμόν, τὸ ἔλαιον τοὔλαιον· ἀλλ' ἐμελέτησε τὰ δεύτερα καὶ τρίτα πρόσωπα δίφθογγον ἔχειν τὴν διὰ τοῦ ι̅.

Τῶν δὲ εἰς μ̅ι̅ ληγόντων ῥημάτων συζυγίαι εἰσὶ τέσσαρες.] Τί τὸ γνώρισμα τῆς πρώτης συζυγίας τῶν εἰς μ̅ι̅; Τὸ ἐκφέρεσθαι ἐπὶ τρίτου προσώπου διὰ τοῦ η̅ κατὰ τὴν παραλήγουσαν, οἷον τίθημι τίθης τίθησιν· ἐπὶ δευτέρου δὲ ἡ παραλήγουσα τοῦ πρώτου προσώπου ἐστὶ λήγουσα [τοῦ δευτέρου]. Ἔχει δὲ καὶ ἕτερον γνώρισμα, τὸ γίνεσθαι ἐκ τῆς πρώτης συζυγίας τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ ⟨τιθέω⟩ τιθῶ γέγονε τίθημι· ἔχει δὲ καὶ ἐπὶ τοῦ μέλλοντος τὸ η̅, οἷον θήσω ἀφήσω, καὶ ἐπὶ τῶν παθητικῶν τὸ ε̅, οἷον τίθεμαι ἀφίεμαι. — Τί τὸ γνώρισμα τῆς δευτέρας συζυγίας τῶν εἰς μ̅ι̅; Τὸ γίνεσθαι ἀπὸ τῆς δευτέρας τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ ἱστάω ἱστῶ γέγονεν ἵστημι, καὶ τὸ ἐκφέρεσθαι ἐπὶ δευτέρου ⟨καὶ τρίτου⟩ προσώπου διὰ τοῦ η̅, οἷον ἵστημι ἵστης ἵστησι, καὶ τὸ ἔχειν ἐπὶ τοῦ μέλλοντος τὸ η̅, οἷον στήσω, καὶ ἐπὶ τῶν παθητικῶν τὸ α̅, οἷον ἵσταμαι. — Τί τὸ γνώρισμα τῆς τρίτης συζυγίας τῶν εἰς μ̅ι̅; Τὸ γίνεσθαι μὲν ἀπὸ τῆς τρίτης τῶν περισπωμένων, ὡς ἀπὸ τοῦ διδόω διδῶ γέγονε δίδωμι, τὸ ἐκφέρεσθαι δὲ καὶ ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τοῦ ω̅, οἷον δίδωμι δίδως δίδωσι, καὶ τὸ ἔχειν τὴν μετοχὴν εἰς ο̅υ̅ς̅, οἷον διδούς, ἔχειν δὲ καὶ ἐπὶ τοῦ μέλλοντος τὸ ω̅, οἷον δώσω, ἐπὶ δὲ τῶν παθητικῶν [τὸ ἔχειν] τὸ ο̅, οἷον δίδομαι πέπομαι. Ἔστι δὲ καὶ δίδημι (τὸ δεσμεύω), ὅπερ ἐστὶ πρώτης συζυγίας τῶν εἰς μ̅ι̅, γίνεται δὲ διδῶ διδεῖς δίδημι (τὸ δεσμεύω) [ἔχειν τὲ καὶ τὴν μετοχὴν εἰς ο̅υ̅ς̅, οἷον διδούς διδόντος]. — Τί τὸ γνώρισμα τῆς τετάρτης συζυγίας τῶν εἰς μ̅ι̅; Τὸ γίνεσθαι μὲν ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων, ἀπὸ γὰρ τοῦ ζευγνύω γέγονε ζεύγνυμι, τὸ παραλήγεσθαι δὲ καὶ τῷ υ̅ καὶ συστέλλειν τοῦτο ἐπὶ τῶν παθητικῶν, καὶ τὸ ἐκφέρεσθαι ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τοῦ υ̅, οἷον ζεύγνυμι ζεύγνυς ζεύγνυσι, καὶ τὸ ἔχειν τὴν μετοχὴν εἰς υ̅ς̅, οἷον ζευγνύς, καὶ τὸ φυλάττειν τὸ υ̅ ἐπὶ τῶν παθητικῶν, οἷον ζεύγνυμαι.

Ἄξιόν ἐστι ζητῆσαι, τίνος ἕνεκα αἱ μὲν ἄλλαι ἀπὸ περισπωμένων, ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων. Λεκτέον πρὸς τοῦτο, ὅτι τὰ περισπώμενα τρεῖς εἶχε συζυγίας, ὥστε τὰς τρεῖς ἀπὸ τῶν τριῶν γεγενῆσθαι· εἰ γὰρ ἦν καὶ τετάρτη, καὶ ἡ τετάρτη τῶν εἰς μ̅ι̅ ἐκεῖθεν ἐγένετο. Ἄλλως τε εἴ τις ἐθελήσειεν τῇ ἀκριβείᾳ ἐπιβάλλειν, καὶ τὰς ἄλλας τρεῖς εὑρήσει ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων γινομένας· ἀνάλυσον ⟨γὰρ⟩ καὶ τὰς ἄλλας τρεῖς, καὶ εὑρήσεις αὐτὰς τῆς ἕκτης τῶν βαρυτόνων. Χρὴ δὲ γινώσκειν, ὅτι οὐ πᾶν ῥῆμα τῆς ἕκτης τῶν βαρυτόνων ἀποτελεῖν δύναται ⟨παράγωγον⟩ εἰς μ̅ι̅· εὐθὺς οὖν τὰ δίφθογγον ἔχοντα ἐν τῇ παραληγούσῃ ἀδυνατεῖ παραχθῆναι εἰς τὴν τοιαύτην παράληξιν, ὡς τὸ ἱππεύω βασιλεύω. Ἔχουσι δὲ τὴν διάκρισιν οὐκ ἀπὸ συμφώνου

30—35 = Σ^v *254, 10—16*

1 προσώπων VN ‖ **7—29**] *lemmata tantummodo* (Τῶν — πήγνυμι = p. 59, 3—10 Uhl) *praebet* N ‖ **13** ἐπὶ τοῖς παθητικοῖς V; *item v. 17* ‖ **21** ἔχειν δὲ] ἔχειν τὲ V ‖ **22** δίδημι] διδῶ V ‖ **23** γίνεται] κλίνεται V ‖ **38** δίφθογγα VN

παραλήγοντος τοῦ πρώτου προσώπου, ὥσπερ αἱ συζυγίαι τῶν βαρυτόνων, ἀλλ' οὐδὲ μὴν ἀπὸ τῶν δευτέρων προσώπων, καθάπερ τὰ περισπώμενα, ἀλλ' ἀπὸ τῆς παραλήξεως τῶν παθητικῶν πρώτων προσώπων τοῦ ἐνεστῶτος χρόνου.

⟨*Heliodori.*⟩ — ⟨Ἰστέον δὲ⟩ καὶ ὅτι οὐκ ἀπὸ παντὸς περισπωμένου ῥήματος οὐδὲ ἁπάσης ἕκτης συζυγίας γίνεται ἡ εἰς μ̅ι̅ παραγωγή, ἀλλ' ὅτι τὰ εἰς μ̅ι̅ λήγοντα πάντως ἀπό τινος τούτων γίνεται· οὐδὲ γὰρ ἀπὸ τοῦ βασιλεύω γίνεται εἰς μ̅ι̅ παράγωγον ῥῆμα· καὶ ἔστιν αἴτιον τοῦ μὴ ἐκφέρεσθαι ἀπὸ τοῦ βασιλεύω εἰς μ̅ι̅ παράγωγον ῥῆμα τῶν δύο φωνηέντων ἡ παράληξις· οὐδέποτε γὰρ οἱ εἰς μ̅ι̅ ἐνεστῶτες διφθόγγῳ παραλήγονται, πλὴν τοῦ ΕΙΜΙ [ὀξυτόνου] τοῦ κατὰ γραφὴν διφορουμένου.

Τὰ εἰς μ̅ι̅ λήγοντα πάντα παράγωγά ἐστι, καὶ οὐκ ἀπὸ συμφώνου γνωρίζεται, ὡς αἱ τῶν βαρυτόνων, οὐδὲ ἀπὸ κλίσεως, ὡς αἱ τῶν περισπωμένων συζυγίαι, ἀλλ' ἀπὸ τῶν πρωτοτύπων καταλαμβάνονται. Καὶ ἔστιν εἰπεῖν, ὡς ἀπὸ τοῦ τιθῶ τιθεῖς πρώτης τῶν περισπωμένων γίνεται τίθημι πρώτη τῶν εἰς μ̅ι̅, καὶ ἀπὸ τοῦ ἱστῶ ἱστᾷς δευτέρας τῶν περισπωμένων γέγονεν ἵστημι δευτέρα τῶν εἰς μ̅ι̅, καὶ πάλιν ἀπὸ τοῦ διδῶ διδοῖς τρίτης τῶν περισπωμένων γέγονε δίδωμι τρίτη καὶ αὕτη τῶν εἰς μ̅ι̅· ἡ δὲ τετάρτη τῶν εἰς μ̅ι̅ ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων. Οὐδέποτε δὲ τὰ εἰς μ̅ι̅ διφθόγγῳ παραλήγεται, χωρὶς τοῦ ΕΙΜΙ.

Ἡ δὲ τετάρτη ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων, ὡς ἀπὸ τοῦ πηγνύω γέγονε πήγνυμι.] — ⟨*Heliodori.*⟩ — Ἰστέον ὅτι τὸ μὲν πηγνύω βραχὺ ἔχει τὸ ῡ, τὸ δὲ πήγνυμι μακρόν· τοιαύτη γὰρ ἡ παράληξις τῶν εἰς μ̅ι̅ κατὰ τὰ ἑνικὰ μακρᾷ παραληγομένων· ἔν γε μὴν τοῖς πληθυντικοῖς ἀπολαμβάνει τὸν ἐξ ἐντελῶν τῶν πρωτοτύπων οἰκεῖον βραχὺν χρόνον. Ζήτησις δὲ ἡμῖν ἀνακύπτει, τί δήποτε τὰ ἀπὸ περισπωμένων παράγωγα εἰς μ̅ι̅ περιττοσυλλαβοῦσι τοῖς πρωτοτύποις, τά γε μὴν ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων ἰσοσύλλαβον ἔχει τὴν παραγωγήν. Λέγομεν δὲ πρὸς τοῦτο, ὅτι τὸ πάθος τῶν περισπωμένων ἐστὶν αἰτία· εἰ γὰρ εἰς τὸ ἐντελὲς ἀναλυθείη, τὰς ἴσας πάντως ἕξει συλλαβάς.

Διὰ τί ἡ τετάρτη συζυγία τῶν εἰς μ̅ι̅ γίνεται ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων; Ἐπειδὴ μὴ ἔχουσα τετάρτην συζυγίαν τῶν περισπωμένων εἰκότως ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων γέγονε· καὶ γὰρ αἱ τῶν περισπωμένων συζυγίαι, ἀφ' ὧν καὶ αἱ τῶν εἰς μ̅ι̅ γεγόνασιν αἱ τρεῖς, κατὰ τὴν ἐντέλειαν ἀπὸ τῆς ἕκτης εἰσὶ τῶν βαρυτόνων· τὸ γὰρ τιθῶ ἀπὸ τοῦ τιθέω, καὶ τὸ ἱστῶ ἀπὸ τοῦ ἱστάω, καὶ τὸ διδῶ ἀπὸ τοῦ διδόω γέγονεν.

5—11 *videntur esse* Σ^h ‖ 22—30 *videntur esse* Σ^h

1 τοῦ πρ. πρ. *post* βαρυτόνων *transp.* VN ‖ 3 τῆς παραλ. *post* χρόνου (*v.* 4) *transp.* VN ‖ 7 λήγοντα — εἰς μ̅ι̅ (8) *in marg. add* V[1] ‖ 8 καὶ ἔστιν — ῥῆμα (9) N, *om* V ‖ 11 ΕΙΜΙ] εἰς μ̅ι̅ VN ‖ 20 τοῦ ΕΙΜΙ] τῶν εἰς μ̅ι̅ VN ‖ 27 παράγωγα] παραληγόμενα VN ‖ 29 ἐστὶν αἰτία] ἐστὶ ῥημάτων VN ‖ 31—415, 14 *om* N

Πόϲα ϲημαντικὰ τῶν μελλόντων γράμματα; Τρία, ξ̄ ψ̄ ϲ̄. Σημείωϲαι δὲ ὅτι ὁ μέλλων τῆϲ πρώτηϲ ϲυζυγίαϲ τῶν βαρυτόνων ἔχει ἀεὶ τὸ ψ̄, λείβω λείψω, τέρπω τέρψω, γράφω γράψω, κόπτω κόψω· ὁ δὲ μέλλων τῆϲ δευτέραϲ ἔχει ἀεὶ τὸ ξ̄, οἷον λέγω λέξω, πλέκω πλέξω, τρέχω θρέξω, τίκτω τέξω. Οἱ μέντοι τῶν ἄλλων ϲυζυγιῶν μέλλοντεϲ ἔχουϲι τὸ ϲ̄, χωρὶϲ ὀλίγων τινῶν τῆϲ τετάρτηϲ ἐκφερομένων διὰ τοῦ ξ̄, οἷον ὀρύϲϲω ὀρύξω, νύττω νύξω, πλήττω πλήξω· ἢ μᾶλλον ὅϲα διὰ δύο ττ̄ ἔχουϲι τὸν ἐνεϲτῶτα καὶ αὐτὸν τὸν μέλλοντα διὰ τοῦ ξ̄ ἔχουϲι· τινὲϲ γὰρ τὸ νύττω γράφουϲι καὶ διὰ τοῦ τ̄ καὶ γ̄ καὶ τἆλλα τοιαῦτα, οἷον φράτγω νύτγω ὀρύτγω· τὰ δὲ ἔχοντα τὸ γ̄ ἐν τῷ ἐνεϲτῶτι ἔχουϲι τὸ ξ̄ ἐν τῷ μέλλοντι, οἷον πνίγω πνίξω. Φαϲὶ δὲ ὅτι οὕτωϲ ἐνδέχεται γράφεϲθαι, τουτέϲτι διὰ τοῦ τ̄ καὶ γ̄, διὰ τὸ τὸν δεύτερον ἀόριϲτον διὰ τοῦ γ̄ προφέρεϲθαι, οἷον ἔφραγον ἔνυγον ὤρυγον, ἐφράγην ἐνύγην ὠρύγην. Πλὴν διὰ δύο ττ̄ γραπτέον ταῦτα, ἐπεὶ ψιλὰ ψιλῶν ἡγεῖται καὶ δαϲέα δαϲέων καὶ μέϲα μέϲων, καὶ διὰ τὸ μὴ ἐνδέχεϲθαι πρὸ τοῦ γ̄ τὸ τ̄ εὑρίϲκεϲθαι, ὡϲ τοῦ τ̄ ὄντοϲ ψιλοῦ, τοῦ δὲ γ̄ μέϲου.

§ 15 (19b).

Περὶ μετοχῆϲ.

Τί ἐϲτι μετοχή; Λέξιϲ μετέχουϲα τῆϲ τῶν ῥημάτων καὶ τῆϲ τῶν ὀνομάτων ἰδιότητοϲ. Τί μετέχει τοῦ ὀνόματοϲ καὶ τί τοῦ ῥήματοϲ; Τοῦ μὲν ὀνόματοϲ γένη καὶ πτώϲειϲ, τοῦ δὲ ῥήματοϲ διαθέϲειϲ, χρόνουϲ καὶ ϲυζυγίαϲ. [Μετέχει γὰρ τῶν μὲν ῥημάτων ἔχουϲα χρόνουϲ καὶ διαθέϲειϲ, τῶν δὲ ὀνομάτων γένη καὶ πτώϲειϲ.]

Παρέπεται δὲ αὐτῇ ταῦτα ἃ καὶ τῷ ῥήματι καὶ τῷ ὀνόματι, δίχα προϲώπων τε καὶ ἐγκλίϲεων.] Εὐλόγωϲ ἡ μετοχὴ οὔτε πρόϲωπα οὔτε ἐγκλίϲειϲ ἔχει, ἐπεὶ καὶ ὀνόματοϲ τάξιν ἐπέχει. Δηλοῖ δὲ ἡ μετοχὴ ἐγκλίϲειϲ καὶ πρόϲωπα διὰ τῆϲ μετὰ τοῦ ῥήματοϲ ϲυντάξεωϲ· τὸ γὰρ «ἀναγινώϲκων περιβλέπομαι» ὁριϲτικὴν ἔχει τὴν ⟨ἔγ⟩κλιϲιν, καὶ τὸ «ἀναγινώϲκων εὔχου» προϲτακτικήν.

Ἡλιοδώρου. — Μετοχή ἐϲτι λέξιϲ ἀντὶ ῥήματοϲ ἀναγκαίωϲ παραλαμβανομένη, μετὰ τῶν παρεπομένων τῷ ῥήματι, παραϲτατικὴ γένουϲ καὶ πτώϲεων καὶ τῶν ϲυνόντων ἀριθμῶν. Διὰ τί δὲ ἀναγκαίωϲ ἀντὶ ῥήματοϲ παραλαμβάνεται; Λεκτέον, ὅτι τὰ ϲυνεκτικὰ τῶν μερῶν τοῦ λόγου ὀνόματα καὶ ῥήματά εἰϲιν, ἅπερ ἀλλήλοιϲ ϲυμπλεκόμενα ἀποτελεῖ τοὺϲ λόγουϲ μηδενὸϲ δεόμενα καὶ τέλειον νοῦν ἀπεργάζεται, οἷον «Ἄβρων διαλέγεται», «Πλάτων φιλοϲοφεῖ». Καὶ ἐπειδὴ γίνεται ϲύνταξιϲ προηγουμένων ὀνομάτων δύο δίχα ϲυνδέϲμου, ἑνὸϲ ῥήματοϲ ἐπαγομένου καθ᾽ ἑνὸϲ προϲώπου, ἤγουν δύο ὀνομάτων μετὰ ῥήματοϲ, οἷον «ὁ ταχὺϲ ἵπποϲ ἔδραμεν, ὁ ξανθὸϲ Μενέλαοϲ ἐπολέμηϲεν», καὶ τοὐναντίον ἔδει μετὰ δύο ῥημάτων ἓν ὄνομα· ἀνάγκη γὰρ ἦν καὶ ἐπὶ τοῦ ῥήματοϲ τὴν αὐτὴν

22—26 similia hab. et. A ‖ **27—416, 9 hab. et. A;** *videntur esse* Σ^h

8 φράττω νύττω ὀρύττω V ‖ **17—26** *om* N ‖ **22** οὐδὲ πρ. οὐδὲ ἐγ. V ‖ **25** τὴν κλίϲιν V ‖ **27** Ἡλιοδώρου *ad p. 416, 7* V[1], *om* NA ‖ **28** παρεπ. A, ϲυνεπομένων VN; *cfr p. 416, 11* ‖ **29** πτώϲεων N, πτώϲεωϲ VA | καὶ τ. ϲ. ἀρ.] καὶ ὅτι μὲν λέξιϲ δῆλον· ἔχει γάρ τι λεκτόν A, *ut p. 416, 12* VN ‖ **33** γίν. ἡ ϲύντ. V ‖ **35** ὁ *ante* ταχὺϲ *om* V ‖ **36** καὶ — καὶ (37)] ἀνάγκη καὶ A

σύνταξιν γίνεσθαι, ἑνὸς μὲν ὀνόματος ὑποκειμένου, δύο δὲ ῥημάτων ἐπαγομένων ἀσυνδέτως καθ' ἑνὸς προσώπου, ὅπερ ἀδύνατον. Πῶς γὰρ ἂν συσταίη τὸ «Ἀγαμέμνων ἐπολέμησεν ἐνίκησεν», εἰ μὴ ἄρα λάβοι τὸν ⟨καί⟩ σύνδεσμον, ὅπερ οὐκ ἦν ἐπὶ τῆς προτέρας συντάξεως. Ἵνα δὴ τοίνυν καὶ τὰ δύο ῥήματα ἀσυνδέτως καθ' ἑνὸς λαμβάνηται προσώπου, τὸ ἕτερον τῶν ῥημάτων εἰς μετοχὴν σχηματίζεται, καὶ οὕτως ὁ λόγος συνίσταται, «Ἀγαμέμνων πολεμήσας ἐνίκησεν». Ἀναγκαίως οὖν μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα ἡ μετοχὴ τέτακται, ἐπεὶ εἰ ἦν μετὰ τὸ ἄρθρον, οὐκ ἂν ἔτι ἐκλήθη μετοχή, ἐπεὶ οὐ μετέχει τῆς τοῦ ἄρθρου κοινωνίας.

Ὁριστέον δὲ αὐτὴν οὕτως· μετοχή ἐστι λέξις ἀναγκαίως ἀντὶ ῥήματος παραλαμβανομένη μετὰ τῶν παρεπομένων τῷ ῥήματι, παραστατικὴ γένους καὶ πτώσεων. Καὶ ὅτι μὲν λέξις δῆλον, ἔχει γάρ τι λεκτόν. — Ἀντὶ ῥήματος δὲ παραλαμβάνεται, ἐπειδὴ τὰ συνεκτικὰ τῶν μερῶν ὀνόματα καὶ ῥήματά εἰσιν, ἅπερ ἀλλήλοις ἐπιπλεκόμενα τοὺς λόγους ἀποτελεῖ μηδενὸς δεόμενα, οἷον «Θέων φιλοσοφεῖ». Ἔστι δὲ εὑρεῖν προταττόμενα τοῦ ῥήματος δύο ὀνόματα, οἷον «⟨ὁ⟩ δραστικὸς Ἀχιλλεὺς ἐπολέμησε», καὶ πάλιν μετὰ τὸ ῥῆμα δύο ὀνόματα, «ἐπολέμησεν ⟨ὁ⟩ δραστικὸς Ἀχιλλεύς»· δύο δὲ ῥήματα πρὸ τοῦ ὀνόματος ἢ μετὰ τὸ ὄνομα δύο ῥήματα εὑρεῖν ἀδύνατον, εἰ μὴ τὸ ἓν ῥῆμα εἰς μετοχὴν τραπῇ· οὐδὲ γὰρ λέγομεν «Ἀχιλλεὺς ἐπολέμησεν ἐνίκησε», μᾶλλον δὲ «Ἀχιλλεὺς πολεμήσας ἐνίκησεν».

Ἰστέον δὲ ὅτι πᾶσα μετοχὴ τριγενής ἐστι χωρὶς ὀλίγων· καὶ ὅτι πᾶσα μετοχὴ ἀρσενικὴ εἰς ν̄ λήγουσα ἢ σ̄ μετὰ μακρᾶς διὰ τοῦ ν̄τ̄ κλίνεται, πλὴν τῶν παρακειμένων καὶ ὑπερσυντελίκων· καὶ ὅτι πᾶσα μετοχὴ θηλυκὴ εἰς ᾱ λήγει ἢ εἰς η̄, οἷον λέγουσα λεγομένη.

⟨*Heliodori.*⟩ — Ἰστέον γε μὴν ὡς πᾶσα μετοχὴ τριγενής ἐστι, πλὴν εἰ μὴ ἐφ' ὧν ἡ φύσις κωλύσει καὶ οὐκ ἐᾷ, [διὰ τὸ] ὡς ἐπὶ τοῦ κύουσα ἐκτροῦσα· καὶ ὅτι πᾶσα μετοχὴ παράγωγός ἐστιν, ἀπὸ ῥήματος γὰρ τὴν ἀρχὴν ἔχει. Διαφέρει δὲ τοῦ ὀνόματος, ὅτι ἐκεῖνο μὲν ποιὰν οὐσίαν παρίστησιν, ἡ δὲ ἀόριστον· τοῦ ⟨δὲ⟩ ῥήματος διαφέρει, ὅτι ἐν ἐκείνῳ πρώτως μὲν τὸ πρόσωπον δηλοῦται, συνεπινοεῖται δὲ ἡ διάθεσις, ἐν ταύτῃ δὲ πρώτως λαμβάνεται ἡ διάθεσις, συνεπινοεῖται δὲ τὸ πρόσωπον. Γίνωσκε δὲ ὅτι ἐν μὲν τοῖς ἄλλοις μέρεσι τοῦ λόγου ἔστιν εὑρέσθαι καὶ πρωτότυπον καὶ παράγωγον, ἐπὶ μὲν τοῦ ὀνόματος, ὡς τὸ λίθος καὶ λίθινος, ἐπὶ δὲ τοῦ ῥήματος, ὡς τὸ ὀπτῶ ὀπτεύω, καὶ ⟨ἐπὶ⟩ τοῦ ἄρθρου ὁμοίως, καὶ ἐπὶ τῶν ἄλλων μερῶν ἁπλῶς εἰπεῖν, πλήν γε ἐν

22—25 similia hab. et. A ‖ **26—417, 6** ***videntur esse*** **Σ^h**

4 καί *om* VNA ‖ **9** ἔτι *add* A ‖ **11** μετὰ τὴν παρεπομένην VN ‖ **27** ὡς *om* N | *post* τοῦ *add* ἡ N ‖ **30** ἀόριστον] ἀοριστίᾳ V, ἀοριστία N ‖ **31** συνεπιν. N, ἐπινοεῖται V ‖ **34** πρωτότυπα καὶ παράγωγα N | τοῦ *ante* ὀνόμ. *om* V ‖ **35** τοῦ *ante* ῥήμ. *om* V

τῇ μετοχῇ οὐκ ἔστιν εὑρεῖν πρωτότυπον· καὶ γὰρ ἐν παραγωγῇ ἐστιν· οὐκ ἔστι γὰρ εὑρεῖν μετοχὴν μὴ προϋπάρχοντος ῥήματος. Ἀναγκαίως οὖν ὡς καὶ τοῦ ὀνόματος ἔχουσα τὸ ἴδιον καὶ χαρακτῆρα ὀνομαστικὸν ἀνεδέξατο. Εἰ οὖν πάθοι τι ἡ μετοχή, οὐκ αὐτὴ πάσχει, ἀλλὰ τὸ προϋπάρχον ῥῆμα, καὶ εἰ ἐν τῷ ῥήματι πρόσωπα λείψειαν διὰ τὴν ἀσυνταξίαν, ἐλλείψει καὶ ἐν τῇ μετοχῇ.

Παρέπεται δὲ τῇ μετοχῇ πάντα *etc.* = Σ^v 255, 19—24.

Πόσα τελικὰ τῶν μετοχῶν σύμφωνα; Δύο, τὸ ν̄ καὶ τὸ c̄, οἷον τύπτων τύψας. Διὰ τί εἰσι δύο; Διότι καὶ τοῦ ῥήματος τὰ αὐτά ἐστιν, οἷον ἔτυπτον ἔτυψας. — Τί τὸ ἴδιον τῆς μετοχῆς; Τὰ παρεπόμενα αὐτῆς, ὡς καὶ ⟨ἐπὶ⟩ τῶν λοιπῶν τοῦ λόγου μερῶν τὰ παρεπόμενά ἐστιν ἑκάστου τὸ ἴδιον. — Διὰ τί ἐπενοήθη ἡ μετοχή; Ἵνα συγκλιθῇ τὸ ὄνομα τῷ ῥήματι καὶ τὸ λεῖπον τοῦ ῥήματος ἀναπληρωθῇ, καὶ διότι τὸ μὲν ὄνομα οὐσίαν σημαίνει, τὸ δὲ ῥῆμα συμβεβηκὸς ἤτοι πρᾶγμα, οἷον τύπτω γράφω· τὰ ῥήματα γοῦν ἅτε πράγματα σημαίνοντα καὶ μὴ ἔχοντα πτώσεις οὐ δύνανται χωρὶς τούτων κλίνεσθαι, καὶ διὰ τοῦτο ἐπενοήθη ἡ μετοχή. — Πόσα παρέπεται τῇ μετοχῇ; Ὀκτώ· γένη, εἴδη, σχήματα, ἀριθμοί, πτώσεις, διαθέσεις, χρόνοι καὶ συζυγίαι. Καὶ διὰ τί ἡ μετοχὴ οὔτε πρόσωπα ἔχει οὔτε ἐγκλίσεις πεσοῦσα ἐκ τῶν προσώπων; Ὅτι εἰ θέλημα ψυχῆς ἐστιν ἡ ἔγκλισις, πῶς δύναται βούλημα ψυχῆς ἄνευ προσώπου εἶναι; ἐκπεσοῦσα γὰρ τῶν ῥημάτων καὶ μετενεχθεῖσα ἐπὶ τὴν ὀνοματικὴν κατάληξιν ἐξέπεσε καὶ ἐκ τῶν προσώπων· προσώπων δὲ μὴ ὄντων οὔτε ἔγκλισις δύναται εἶναι· τὸ γὰρ ὄνομα ἔχει τὰ γένη, τὰ εἴδη, ⟨τὰ σχήματα⟩, τὰς πτώσεις καὶ τοὺς ἀριθμούς, τὸ δὲ ῥῆμα τοὺς χρόνους, τὰς διαθέσεις, τὰς συζυγίας. Πόσα γένη; Τρία, ὅσα καὶ τοῦ ὀνόματος. Πόσα εἴδη; Δύο, ὅσα καὶ τοῦ ὀνόματος. Πόσα σχήματα; Τρία· ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μέν, ὡς ἀρδόμενος, σύνθετον δέ, ὡς ἀρδευόμενος, παρασύνθετον δέ, ὡς ἐπαρδευόμενος ἀνταγωνιζόμενος. Πόσοι ἀριθμοί; Τρεῖς· ἑνικός, δυϊκός, πληθυντικός· ἑνικὸς μέν, οἷον ὁ τυπτόμενος, δυϊκὸς δέ, οἷον τὼ τυπτομένω, πληθυντικὸς δέ, ὡς οἱ τυπτόμενοι. Πόσαι πτώσεις; Πέντε, ὅσαι καὶ τοῦ ὀνόματος. Πόσαι διαθέσεις; Τρεῖς, ὅσαι καὶ τοῦ ῥήματος, ἤγουν ἐνέργεια, πάθος, μεσότης· ἐνέργεια μέν, οἷον τύπτων, πάθος δέ, οἷον τυπτόμενος, μεσότης δέ, οἷον τυψάμενος. Πόσοι χρόνοι; Τρεῖς· ἐνεστώς, παρεληλυθώς, μέλλων· ἐνεστὼς μέν, οἷον τύπτων, παρεληλυθὼς ⟨δέ⟩, ὁ τετυφώς, ὁ τυφθείς, μέλλων δέ, ὁ τύψων, ὁ τυψόμενος. Πόσαι συζυγίαι τῆς μετοχῆς; Δεκατρεῖς· ὁ τύπτων, ὁ πλέκων, ὁ ᾄδων, ὁ ὁρίζων, ὁ νέμων, ὁ ἀκούων, ὁ ποιῶν, ὁ βοῶν, ὁ χρυσῶν, ὁ τιθέμενος, ὁ ἱστάμενος, ὁ διδόμενος, ὁ ζευγνύμενος.

§ 16 (20b).

Περὶ ἄρθρου.

Ἔφασάν τινες δεῖν τοῦ ἄρθρου *etc.* = Σ^h 73, 29—74, 8.

Τί ἐστιν ἄρθρον; Μέρος λόγου πτωτικὸν προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων καὶ ὑποτασσόμενον. Τί σημαίνουσι τὰ ἄρθρα; Προεγνωσμένου τινὸς ἀναπόλησιν· λέγοντες γὰρ «ἄνθρωπος εἶπεν» ἄδηλόν τινα ἄνθρωπον λέγομεν, λέγοντες δὲ «ὁ ἄνθρωπος εἶπε» προδεδηλωμένον τινὰ λέγομεν. Τί ἐστιν ἴδιον ἄρθρου; Ἐγνω-

---

8—34 *om* N ‖ **10** τοῦ λόγου] τῆς λέξεως V ‖ **14** σημαίνοντα *Uhlig*, ὄντα V ‖ **20** ὀνομαστικὴν V ‖ **28** ῥήματος] ὀνόματος V ‖ **33** ὁ ᾀδόμενος V ‖ **34** ὁ ζευγνύων V ‖ **38—418, 13** *om* N ‖ **41** ἄρθρον V; *item p. 418, 3*

ϲμένου πράγματοϲ ἀναπόληϲιϲ ἢ ἀνάμνηϲιϲ· ἐὰν γὰρ εἴπω ὅτι «ναῦϲ ἦλθεν», ἀγνοεῖ ὁ ἀκροατήϲ, ποίαν λέγω, εἰπὼν δὲ «ἡ ναῦϲ» ἔγνωϲται πάντωϲ, ὡϲ ἡ προεγνωϲμένη ἐϲτίν. — Ἄλλωϲ. Τί ἐϲτιν ἴδιον ἄρθρου; Τὸ δευτέραν γνῶϲιν ϲημαίνειν· ἐὰν γὰρ εἴπω ὅτι «Ἰωάννηϲ ἦλθεν ἀπὸ τοῦ κυνηγεϲίου», δοκεῖ μοι ἀγνοεῖν ποῖοϲ· ἐὰν δὲ ϲὺν τῷ ἄρθρῳ τεθῇ, εἰϲ γνῶϲίν μοι παραλαμβάνεται ἡ τοιαύτη λέξιϲ τοῦ ὀνόματοϲ καὶ νοῶ, ὅτι ὁ Ἰωάννηϲ ἦλθεν ἀπὸ τοῦ κυνηγεϲίου. — Διὰ τί προτέτακται τὸ ἄρθρον τῆϲ ἀντωνυμίαϲ; Ἄνω προεγράφη. — Πόθεν ἄρθρον; Ἀπὸ τοῦ ἄρω, ὃ δηλοῖ τὸ ἁρμόζω, ἁρμόζεται γὰρ τοῖϲ πτωτικοῖϲ ὀνόμαϲι, μετοχαῖϲ τε καὶ ἀντωνυμίαιϲ καὶ οὐδέποτε χωρὶϲ αὐτῶν εὑρίϲκεται. — Ἄλλωϲ. Πόθεν ἄρθρον; Ἀπὸ τοῦ διαρθροῦν ἀναφορικῶϲ τὴν προϋποκειμένην γνῶϲιν, προταϲϲόμενον καὶ ὑποταϲϲόμενον· καὶ ἔϲτι προτακτικὸν μὲν ὁ, ὑποτακτικὸν δὲ ὅϲ. — Πόθεν ἐτυμολογεῖται ἄρθρον; Ἀπὸ τοῦ ϲυναρτᾶϲθαι τοῖϲ ὀνόμαϲι καὶ ταῖϲ πτώϲεϲι καὶ μηδέποτε δίχα αὐτῶν εὑρίϲκεϲθαι.

Ἄρθρον ἐϲτὶ μέροϲ λόγου ϲυναρτώμενον πτωτικοῖϲ κατὰ παράθεϲιν προτακτικῶϲ ἢ ὑποτακτικῶϲ.] Ἄρθρον ἐϲτὶ μέροϲ λόγου πτωτικόν, ἀντὶ τοῦ πτώϲειϲ ἐν ἑαυτῷ ἔχον, προταϲϲόμενον καὶ ὑποταϲϲόμενον τῆϲ κλίϲεωϲ τῶν ὀνομάτων· καὶ προτακτικὸν μὲν «ὁ ἄνθρωποϲ», ὑποτακτικὸν δὲ «ἄνθρωποϲ ὅϲ»· καὶ ἔϲτι προτακτικὸν μὲν ὁ, ὑποτακτικὸν δὲ ὅϲ. Δεῖ γινώϲκειν, ὅτι τὸ ὦ τῆϲ κλητικῆϲ οὐκ ἔϲτιν ἄρθρον ἀλλὰ κλητικὸν ἐπίρρημα· δαϲύνεται δὲ καὶ τὸ ὁ καὶ τὸ ἡ καὶ τὰ τῶν πληθυντικῶν.

Πόϲα παρέπεται τῷ ἄρθρῳ; Τρία· γένη, ἀριθμοί, πτώϲειϲ. Πόϲα γένη; Τρία· ἀρϲενικόν, θηλυκόν, οὐδέτερον· ὁ ποιητὴϲ μὲν ἀρϲενικόν, ἡ ποίηϲιϲ δὲ θηλυκόν, τὸ ποίημα δὲ οὐδέτερον. Πόϲοι ἀριθμοί. Τρεῖϲ· ἑνικόϲ, δυϊκόϲ, πληθυντικόϲ. Πόϲαι πτώϲειϲ; Τέϲϲαρεϲ, ἐπειδὴ τὰ ἄρθρα κλητικὰϲ οὐκ ἔχουϲιν· οὐδεὶϲ γὰρ τὸν ἀπόντα καλεῖ· εὑρίϲκονται δὲ αἵ τε πτώϲειϲ τοῦ ἄρθρου καὶ οἱ ἀριθμοὶ κρειττόνωϲ μὲν μετὰ τῶν πτωτικῶν ἢ καθ' ἑαυτά.

Παρέπεται τῷ ἄρθρῳ τρία, γένη, ἀριθμοί, πτώϲειϲ.] Ὡϲ ϲυναρτώμενον τοῖϲ πτωτικοῖϲ τὸ ἄρθρον καὶ τὰ τούτων ἔϲχε παρεπόμενα· καὶ ὥϲπερ τῶν ὀνομάτων τρία γένη λέγομεν, ἀρϲενικὸν μὲν ὁ ϲοφόϲ, θηλυκὸν δὲ ἡ ϲοφή, οὐδέτερον δὲ τὸ ϲοφόν, οὕτω καὶ τῶν ἄρθρων τὰ ἰϲάριθμα γένη, ἀρϲενικὸν μὲν γένοϲ ὁ, θηλυκὸν δὲ ἡ, οὐδέτερον δὲ τό· καὶ ὥϲπερ πάλιν ἐν ὀνόμαϲιν ἀριθμοὺϲ λέγομεν τρεῖϲ, ἑνικὸν μὲν ἀρϲενικὸν καλόϲ, δυϊκὸν δὲ καλώ, πληθυντικὸν δὲ καλοί, καὶ ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων ὁμοίωϲ, οὕτω καὶ τῶν ἄρθρων τρεῖϲ φαμεν εἶναι ἀριθμούϲ, καὶ ἔϲτιν ἑνικὸϲ μὲν ἀρϲενικὸϲ ὁ, δυϊκὸϲ δὲ τώ, πληθυντικὸϲ δὲ οἱ, καὶ θηλυκῶν δὲ ⟨καὶ οὐδετέρων⟩ ὁμοίωϲ· καὶ ὥϲπερ ἐν ὀνόμαϲι πτώϲειϲ πέντε, οὕτω καὶ ⟨ἐν⟩ τῷ ἄρθρῳ, ὁ τοῦ τῷ τόν ὦ.

Γένη μὲν οὖν, ὁ ποιητήϲ, ἡ ποίηϲιϲ, τὸ ποίημα.] Εἰπὼν ὁ

14—15 *cfr* Σ^h *74, 9 seq* ‖ **28—38** *cfr* Σ^h *75, 27—76, 6* ‖ **39—419, 2** *cfr* Σ^h *76, 15—20*

3 ϲημαῖνον V ‖ **14** *in marg.* Ἡλιοδώρου N ‖ **22—27** *om* N ‖ **27** πτωτικῶν ἢ] πληθυντικῶν καὶ V

ποιητής ἐσήμανεν ἀρσενικὸν γένος, ἡ ποίησις δὲ θηλυκόν, τὸ ποίημα δὲ οὐδέτερον· καὶ ἔδειξεν, ὅτι τὸ ἄρθρον πτωτικοῖς συναρτᾶται.

Ἀριθμοὶ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός· ἑνικὸς μὲν ὁ ἡ τό, δυϊκὸς δὲ τώ τά, πληθυντικὸς δὲ οἱ αἱ τά.] — ⟨*Heliodori.*⟩ — Ἀριθμὸς ἑνικὸς ἀρσενικοῦ ἄρθρου ὁ, θηλυκοῦ ἡ, οὐδετέρου τό· ἀριθμὸς δυϊκὸς ἀρσενικοῦ ἄρθρου τώ, θηλυκοῦ τά, οὐδετέρου τώ· ἀριθμὸς πληθυντικὸς ἄρθρου ἀρσενικοῦ οἱ, θηλυκοῦ αἱ, οὐδετέρου τά. Πτώσεις δὲ ἀρσενικοῦ μὲν ὁ τοῦ τῷ τόν ὦ, τώ τοῖν ὦ, οἱ τῶν τοῖς τούς ὦ· θηλυκῶν δὲ ἡ τῆς τῇ τήν ὦ, τά ταῖν ὦ, αἱ τῶν ταῖς τάς ὦ· οὐδετέρων δὲ τό τοῦ τῷ τό ὦ, τώ τοῖν ὦ, τά τῶν τοῖς τά ὦ.

⟨Φασὶ δέ τινες⟩ τὸ ὦ τῆς κλίσεως ταύτης [τὸ] ἄρθρον οὐκ εἶναι κλητικῆς πτώσεως, ὥς φησιν ὁ τεχνογράφος, ἀλλ' ἐπίρρημα μᾶλλον σχετλιασμοῦ καὶ ἀνακλήσεως εἶναι, καὶ μὴ ἄρθρον εἶναι· καὶ κατασκευάζουσιν οὕτως· πᾶν ἄρθρον διακριτικόν ἐστιν ἀριθμοῦ· τὸ μέντοι τῆς κλητικῆς προτασσόμενον ὦ ⟨ἀριθμὸν⟩ οὐ διακρίνει, ἀλλ' ὁμοίως ἐπὶ τῶν τριῶν λέγεται ἀριθμῶν. Καὶ ἕτερον κατασκευαστικὸν τοῦ μὴ εἶναι ἄρθρον τὸ ὦ· πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, τοῦτο δὲ οὐ δασύνεται φωνῆεν ὄν· οὐκ ἄρα ἄρθρον ἐστί. Καὶ καθ' ἕτερον δὲ πάλιν λόγον· τῶν ἄλλων ἄρθρων ἔνια γένος διακρίνει, ἀρσενικὸν μὲν τὸ ὁ ἄρθρον καὶ τὸ τόν· τὰ γὰρ τῆς γενικῆς καὶ τῆς δοτικῆς ἄρθρα κοινά εἰσιν ἀρσενικῶν καὶ οὐδετέρων, ὡς γὰρ τοῦ Ὁμήρου καὶ τοῦ παιδίου, καὶ ὡς τῷ Ὁμήρῳ καὶ τῷ παιδίῳ· τὸ μέντοι τῆς εὐθείας ἄρθρον καὶ τῆς αἰτιατικῆς ἴδια ἀρσενικοῦ γένους ἐστί· τὸ μέντοι ὦ ἀδιάκριτόν ἐστι τῶν τριῶν γενῶν, καὶ κατὰ τοῦτον οὖν τὸν λόγον οὐκ ἔστι πτώσεως κλητικῆς τὸ ἄρθρον, ἀλλ' ἐπίρρημα σχετλιασμοῦ καὶ ἀνακλήσεως. Καὶ κατ' ἄλλον ὁμοίως· πᾶσα γὰρ κλητικὴ ⟨ἢ⟩ ἴση ἐστὶ τοῖς χρόνοις τῇ εὐθείᾳ ἢ ἐλάττων, ἴση μὲν ἐν τῷ Πέλοψ ὦ Πέλοψ, Πάρις ὦ Πάρι, ἐλάττων δὲ ⟨ἐν τῷ⟩ Ἀγαμέμνων ὦ Ἀγάμεμνον, τὸ μὲν γὰρ μακρὸν ἔχει ⟨τὸ ω̄⟩, τὸ δὲ ⟨βραχὺ τὸ⟩ ο̄· πῶς οὖν οἷόν τε τούτου ἀποδειχθέντος τὸ ὦ τῆς κλητικῆς εἶναι πτώσεως, τῆς ὁ βραχείας εὐθείας οὔσης; μείζων γὰρ εὑρίσκεται ἡ κλητικὴ τῆς εὐθείας, ὅπερ ἐδείχθη ἐπὶ τῶν ἄλλων ἁπάντων ἀδύνατον.

Τίνος χάριν τοῖς τεχνικοῖς ἐπινενόηται τὸ ἄρθρον; Ἔστιν οὖν εἰπεῖν, ὅτι τὸ ἄρθρον ἐπινενόηται πρὸς τὸ ἀναφορὰν σημαίνειν· ἀναφορὰ δέ ἐστιν, ὡς εἴρηται, ἀναπόλησις προεγνωσμένου καὶ ἀπόντος προσώπου· ἄλλο τι γάρ ἐστιν εἰπεῖν «ἄνθρωπος ἦλθε» καὶ ἄλλο «ὁ ἄν-

---

5—32 *videntur esse* Σ^h; *ad 5—10 delegamur* Σ^h *76, 13* ‖ 11—32] *huc delegamur* Σ^h *75, 3* ‖ 34—420, 2 *cfr* Σ^v *256, 21—25*

1 *ante* ἡ *add* τὸ V ‖ 2 πτωτικοῖς N, πτωτικῷ V ‖ 6 δυϊκοῦ VN ‖ 7 πληθυντικοῦ VN ‖ 11 Φασὶ δέ τινες] ὅτι VN | κλίσεως *Uhlig*, κλητικῆς VN ‖ 25 ἐπιρρήματος VN ‖ 29 ο̄] οὗ VN ‖ 30 τῆς *post* ὦ *om* N ‖ 35 τὸ N, *om* V

θρωπος ἦλθε» μετὰ ἄρθρου τοῦ ὁ, τὸ γὰρ ἄρθρον δευτέραν γνῶσιν ἐπαγγέλλεται.

Προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων καὶ ὑποτασσόμενον.] Ἐνδεῶς εἶπεν ἐνταῦθα ὁ τεχνικός· οὐ [κατὰ] μόνων γὰρ τῶν ὀνομάτων προτάσσεται τὰ ἄρθρα, ἀλλὰ καὶ πάντων ὁμοῦ τῶν κλίνεσθαι εἰς πτώσεις δυναμένων· καὶ γὰρ καὶ μετοχῶν καὶ ἀντωνυμιῶν προτάσσεται. Τοῦτο δὲ τὸ ἄρθρον, ὥς φησιν αὐτὸς ὁ τεχνικός, ἔστι καὶ προτακτικὸν καὶ ὑποτακτικόν· καὶ προτακτικὸν μέν ἐστιν, ὃ προτάσσεταί τινος πτωτικῆς γραφῆς, τὸ δὲ ὑποτακτικόν, ὅπερ ὑποτάσσεται τῷ ὀνόματι. Καὶ πολλάκις τὸ αὐτὸ τῷ προτακτικῷ ἐστι, πολλάκις δὲ καὶ προσλαμβάνει τι· οἷον εἰπεῖν προτακτικὸν μέν ἐστι τὸ ὁ, οἷον «ὁ Ὅμηρος ὁ ποιήσας τὴν Ἰλιάδα»· ἰδοὺ τὸ αὐτὸ τῷ προτακτικῷ ἐστι τὸ ὑποτακτικόν, ὁ γὰρ καὶ ὁ· ὅταν ⟨δὲ⟩ μίαν πτῶσιν ἐπαγγέλλωνται, οὐχ ὁμοίαν δέ, ἄλλο ⟨τι⟩ προσλαμβάνει, ὡς «ὁ Ὅμηρος ὃς ἦν πᾶς βέλτιστος τῶν ποιητῶν»· ἰδοὺ πρό⟨σ⟩θεσιν τοῦ ϲ̄ ἐνταῦθα· μεταβαίνει δὲ εἰς ἑτέραν πτῶσιν, ὡς ἐὰν εἴπω «ὁ Ὅμηρος ᾧ τὴν μουσικὴν ἡ Καλλιόπη ἐχαρίσατο»· τὰ γὰρ ὑποτακτικὰ ἄρθρα οὐ πάντως [ὅτι] ἀκολουθεῖ τοῖς προτακτικοῖς, ἀλλὰ ἰδικήν τινα σύνταξιν τῶν ῥημάτων τηρεῖ.

Καὶ ἔστι προτακτικὸν μὲν ὁ, ὑποτακτικὸν δὲ ὅς, οἷον ὁ ἄνθρωπος ἦλθε.] Χρὴ δὲ εἰδέναι ὅτι τὰ μὲν προτακτικὰ καταλλήλως προτίθενται τῶν πτωτικῶν, τὰ δὲ ὑποτακτικὰ ἔσθ' ὅτε καὶ ἐν διαφόρῳ πτώσει. Ἰστέον ὅτι καὶ κατὰ τόνον καὶ κατὰ πτῶσιν καὶ κατὰ γραφὴν ἀκόλουθά ἐστι τὰ ἄρθρα, ὑπεξαιρουμένου τοῦ ὦ, περὶ οὗ λεχθήσεται ἰδίᾳ, ὡς οὐκ ἔστιν ἄρθρον ἀλλ' ἐπίρρημα. Γινώσκειν γὰρ χρή, ὅτι τὰ ἄρθρα τετράπτωτά ἐστι, πάντως τῆς κλητικῆς μὴ δεχομένης ἄρθρον· τὸ μὲν γὰρ ἄρθρον μνήμην προεγνωσμένου καὶ ἀπόντος προσώπου ποιεῖται, ἡ κλητικὴ δὲ πρὸς δεύτερον καὶ παρὸν πρόσωπον ποιεῖται τὸν λόγον· πῶς οὖν οἷόν τέ ἐστιν ἀπόντος μνημονεύεσθαι ὡς παρόντος καὶ καλεῖν; Ὅτι δὲ οὐκ ἔχει ἡ κλητικὴ ἄρθρον, καὶ ἄλλως πως δυνατὸν γνωσθῆναι· οὐδέποτε γὰρ τὸ αὐτὸ ἐν τοῖς κατὰ τάξιν ἀριθμοῖς εὑρίσκεται, τοῦτο δὲ ἀεί.

Ἰστέον ὅτι ἐν πολλοῖς ἐλέγχεται τὸ ὦ μὴ ὂν ἄρθρον, ἀπὸ τάξεως, ἀπὸ πνεύματος, ἀπὸ τόνου, ἀπὸ χρόνου. Ἀπὸ πνεύματος μέν· πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται, τοῦτο δὲ ψιλοῦται· ἀπὸ τάξεως δὲ οὕτως· πᾶν ἄρθρον ἢ προτακτικόν ἐστιν ἢ ὑποτακτικόν. .... Ἀπὸ χρόνου δέ· οὐδέποτε ἡ κλητικὴ μείζων ἐστὶ τῆς ἰδίας εὐθείας, ἀλλ' ἢ

3—10 *cfr* Σ^v *256, 32—257, 5* ‖ 20—22 = Σ^h *74, 20 seq* ‖ 22—24 = Σ^h *75, 1—4* ‖ 24—28 = Σ^v *257, 26—32*

3 ὀνομ. καὶ ὑποτ. N, *om* V ‖ 9 πτωτικῆς N, πτωτικοῦ V ‖ 11 προσλαμβ. N, προλαμβ. V ‖ 12 προτακτικῷ] πρώτῳ VN ‖ 14 ἄλλο τι] ἀλλὰ VN | ὡς — εἴπω (16) N, *om* V ‖ 15 ϲ̄] ὁ N ‖ 19 ὁ (*ante* ἄνθρ.) N, *om* V ‖ 20 δὲ N, *om* V ‖ 30 γὰρ] δὲ VN ‖ 35 *nonnulla patet intercidisse*

ἴcη ἐcτὶν ἢ ἐλάττων· ἴcη μέν, ὁ Λάχηc ὦ Λάχηc, ἥττων δέ, ὁ Μενέλαοc ὦ Μενέλαε· φαcὶ γὰρ ἐντεῦθεν, ὅτι βραχύτερόν ἐcτι τὸ ε̅ τοῦ ο̅· καὶ ἐπὶ τῶν τριῶν ἀριθμῶν λαμβάνεται καὶ μείζων ἐcτὶ τῆc ἰδίαc εὐθείαc, καὶ οὔτε ἴcη οὔτε ἐλάττων, ἀλλὰ περιcπᾶται. Κατὰ πάcαc οὖν αἰτίαc ἐκβάλλεται τῆc τῶν ἄρθρων ἀναλογίαc. Εἰ δὲ ὁ τεχνικὸc κατέταξεν ἐν τῇ ἀπαριθμήcει τὸ ὦ, ὡc πρὸc εἰcαγομένουc γράφων κατέταξεν, ὡc μηδὲν περιεργαζόμενοc.

Ἀπὸ ⟨πνεύματοc ἐλέγχεται τὸ ὦ μὴ ὂν ἄρθρον καὶ ἀπὸ⟩ τόνου· ἀεὶ γὰρ ἡ κλητικὴ τὸ πνεῦμα τῆc ὀρθῆc τηρεῖ, καὶ πάλιν οὐδέποτε πτωτικὸν ω̅ περιcπᾶται· εἰ δὲ τοῦτο περιcπᾶται, οὐκ ἄρα ἐcτὶν ἄρθρον· ἄλλωc τε οὐδέποτε ἄρθρον ἑνικὸν κατὰ τρία γένη cυνεμπίπτει· καὶ τὸ δηλούμενον ἐναντίον· πρὸc παρὸν γὰρ πρόcωπον τὸ ὦ, τὸ δὲ ἄρθρον ἀναφορὰν δηλοῖ, ἥτιc ἐcτὶν ἀναπόληcιc, ἡ δὲ ἀναπόληcιc ὡc ἀπουcίαν ὑπαγορεύει. Τί γοῦν ἐcτι; Κλητικὸν ἐπίρρημα πτώcει cυναρτώμενον, ὡc τὸ μά, τὸ νή τῇ αἰτιατικῇ καὶ τὸ χωρίc νόcφιν ἐκτόc γενικῇ.

Πόcα ἄρθρα; Προτακτικὰ δέκα, ὁμοίωc καὶ ὑποτακτικὰ δέκα. Διὰ τί εἰcι δέκα; Διότι τὰ τῶν κλητικῶν πτώcεων οὐκ ἄρθρα ⟨εἰcίν⟩, ἀλλ' ἐπιρρήματα κλητικά. Καὶ πῶc; Δείξομεν αὐτὸ ἐκ πολλῶν· πρῶτον μέν, ὅτι οὐδὲ ἡ κλητικὴ κυρίωc πτῶcιc, ἀλλὰ καταχρηcτικῶc, δευτέρου προcώπου οὖcα cημαντική, τῶν ἀπὸ τῆc εὐθείαc πτώcεων τρίτου προcώπου δηλωτικῶν οὐcῶν, οἷον ὁ Αἴαc, τοῦ Αἴαντοc, τῷ Αἴαντι, τὸν Αἴαντα· ἰδοὺ γὰρ ⟨ὁ⟩ λόγοc ἔοικεν ὡc περὶ ἀπόντοc Αἴαντοc λέγειν, ὃc οὔτε λέγει οὔτε ἀκούει τοῦ λόγου περὶ αὐτοῦ γινομένου· ἡ δὲ κλητικὴ ὦ Αἶαν ὡcανεὶ τὸν ἀκούοντα καλεῖ, ὅπερ ἐcτὶ δευτέρου προcώπου δηλωτικόν. Δεύτερον ὅτι πᾶν ἄρθρον ἀπὸ φωνήεντοc ἀρχόμενον δαcύνεται, τὸ δὲ ὦ τῆc κλητικῆc ψιλοῦται. Τρίτον ὅτι τὰ προτακτικὰ ἢ πνεύματα ἢ τόνουc ἐπιδέχεται, τὰ δὲ ὑποτακτικὰ καὶ πνεύματα καὶ τόνουc· πνεύματα δὲ δαcέα ἐπιδέχονται καθόλου τὰ ἄρθρα, τὸ δὲ τῆc κλητικῆc ὦ τὸ ψιλὸν ἔχει πνεῦμα, ὅπερ οὐκ ἔcτιν ἄρθρου, καὶ τόνον τὴν περιcπωμένην· ψιλούμενον οὖν καὶ περιcπώμενον οὐκ ἔcτιν ἄρθρον, ἀλλὰ κλητικὸν ἐπίρρημα, καίπερ τοῖc προτακτικοῖc cυντεταγμένον. Τέταρτον δὲ ὅτι τὰ μὲν ἄρθρα διακρίνουcι τὰ γένη καὶ τοὺc ἀριθμούc, τὸ δὲ τῆc κλητικῆc ὦ οὔτε γένοc οὔτ' ἀριθμὸν διακρίνει, ἀλλὰ τὸ αὐτό ἐcτιν ἐν τοῖc τριcί. Πέμπτον δὲ ὅτι πᾶν ἄρθρον τρίτου προcώπου ἐcτὶ καὶ οὐχὶ δευτέρου, τὸ δὲ τῆc κλητικῆc ⟨ὦ⟩ δεύτερον πρόcωπον διακρίνει καὶ cημαίνει. Ἕκτον ὅτι πᾶcα κλητικὴ τὸν ἴcον χρόνον θέλει ἔχειν τῇ ἰδίᾳ εὐθείᾳ ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα· μείζονα γοῦν ἔχον χρόνον τὸ ὦ τῆc κλητικῆc τῆc εὐθείαc οὐκ ἔcτιν ἄρθρον, ἀλλ' ἐπίρρημα.

Δέον εἰδέναι ὅτι τὰ προτακτικὰ ἄρθρα ὀνόμαcιν ἁρμόζεται καὶ cυναρτᾶται, τὰ δὲ ὑποτακτικὰ ῥήματα ζητεῖ οἷc cυναρτηθήcεται, οἷον ⟨ubi?⟩ «τὸ βῆμα ὃ ζητῶ τῆc πόλεώc ἐcτιν ἧc εἰμι ἐγώ», «τῷ πολίτῃ ζητούμενον ᾧ cυνέcτη», «τὴν πόλιν ἣν φιλεῖ», καὶ «τῷ λέγειν cῴζειν ἐθέλοντεc οἱ Ἀθηναῖοι οἳ δοθήcεcθε δότε», «τῶν cωτηρίων ὑμῶν ἐγὼ φροντιcτὴc ὧν οὐδὲν ἐμοί», «τοῖc πολίταιc χαρίζομαι οἷc ἐθέλω cυνεῖναι μεθ' ἡδονῆc», «τοὺc Ἀθηναίουc ζητῶ cῴζεcθαι οὓc διδάcκει λόγοc cυναχθῆναι

8 Ἀπὸ — ἀεὶ (9) *Uhlig*, ἀπὸ τόνου. οὐ VN ‖ 10 πτωτικὸν ⟨εἰc⟩ ω̅ *R Schneider* ‖ 15 καὶ] ὡc VN ‖ 16—422, 33 *om* N ‖ 20 πτώcεωc V ‖ 33 τῆc ἰδίαc εὐθείαc V

χεῖρα κινεῖν»· ὅρα καὶ cκόπει, πῶc ἐν παντὶ τῷ παρόντι λόγῳ τὰ προτακτικὰ ἄρθρα cυνήρτηνται τοῖc ὀνόμαcι, τὰ δὲ ὑποτακτικὰ οἷc Ζητοῦcι cυνήρτηνται ῥήμαcι, καὶ πᾶcι προccχὼν τοῦτον ⟨ἂν⟩ εὕροιc τὸν λόγον.

Cημείωcαι ὅτι τὰ ὑποτακτικὰ ἄρθρα ποτὲ καὶ ἀντωνυμίαν cημαίνουcι, ναὶ μὴν καὶ τὰ προτακτικὰ cτερούμενα τῶν ὑποτεταγμένων αὐτοῖc ὀνομάτων ⟨καὶ⟩ καθ' ἑαυτὰ ἐκφερόμενα cφοδρότερον καὶ ἐκφωνοῦνται καὶ εἰc ἀντωνυμικὴν cημαcίαν τρέπονται, μήτε τὰ προτακτικὰ ὀνόμαcι cυναρτώμενα, μήτε τὰ ὑποτακτικὰ ῥήμαcιν.

Ἰcτέον ὅτι ἡνίκα τὸ ἄρθρον ἀποβάλῃ τὴν πρὸc τὰ πτωτικὰ cυνάρτηcιν, ἀντωνυμία γίνεται, οἷον ⟨Α 12⟩ ὁ γὰρ ἦλθε θοὰc ἐπὶ νῆαc Ἀχαιῶν καὶ ⟨Ε 292⟩ τοῦ δ' ἀπὸ μὲν γλῶccαν ⟨πρυμνὴν⟩ τάμε χαλκόc, καὶ ⟨Ε 603⟩ τῷ δ' αἰεὶ πάρα εἷc γε θεῶν· ἐν τούτοιc γὰρ ⟨οὐ⟩ cυναρτώμενόν τινι πτωτικῷ ἀντὶ ἀντωνυμίαc λαμβάνεται.

Πόθεν γίνεται τὸ ὁ ἄρθρον προτακτικὸν ἑνικὸν τῶν ἀρcενικῶν ὀνομάτων; Ἐκ τοῦ τόc ἀρcενικοῦ Δωρικοῦ, καὶ ἵνα μὴ cυνεμπέcῃ τῇ τόc Δωρικῇ ἀντωνυμίᾳ, ἀποβολῇ τοῦ τ̄ γέγονεν ὅc· καὶ ἵνα μὴ cυνεμπέcῃ τῷ ὅc ἀντωνυμικῷ ὑποτακτικῷ ἄρθρῳ, ἀποβολῇ τοῦ c̄ γίνεται ὁ. Πόθεν γίνεται τὸ τοῦ ἄρθρον; Ἐκ τοῦ τόc ἀρcενικοῦ Δωρικοῦ γίνεται ἡ γενικὴ τοῦ. Πόθεν γίνεται τὸ τῷ ἄρθρον; Ἐκ τοῦ τόc ἀρcενικοῦ Δωρικοῦ, οὗ ἡ γενικὴ τοῦ, καὶ ἡ δοτικὴ τῷ, καὶ ἡ αἰτιατικὴ τόν· καὶ ἐκ τοῦ τοῦ ἀφαιρέcει τοῦ τ̄ γίνεται οὗ, καὶ ἡ δοτικὴ ᾧ, καὶ ἡ αἰτιατικὴ ὅν, ἅτινά εἰcιν ὑποτακτικὰ ἄρθρα· ὡcαύτωc καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικά. — Πόθεν γίνεται τὸ ἡ θηλυκὸν ἄρθρον εὐθείαc τῶν ἑνικῶν; Ἀπὸ τοῦ τόc ἀρcενικοῦ Δωρικοῦ γέγονε τὸ θηλυκὸν τή, καὶ ἀφαιρέcει τοῦ τ̄ ἡ· καὶ δαcύνεται· τὰ γὰρ κατὰ ἀφαίρεcιν ψιλοῦ δαcύνεται· ὡcαύτωc καὶ τὸ τῆc καὶ τὸ τῇ καὶ ⟨τὸ⟩ τήν, ἅπερ κατὰ ἀφαίρεcιν τοῦ τ̄ γίνεται ἧ ἧc ᾗ ἥν ὑποτακτικὰ ἑνικὰ θηλυκὰ ἄρθρα· ὡcαύτωc καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικά. — Πόθεν γίνεται τὸ τό ἄρθρον τῶν οὐδετέρων ὀνομάτων τοῦ ἑνικοῦ ἀριθμοῦ; Ἐκ τοῦ τόc ἀρcενικοῦ Δωρικοῦ ἀποβολῇ τοῦ c̄ γίνεται τό, ἀφ' οὗ καὶ τἆλλα. — Πόcα ἄρθρα ὑποτακτικὰ τῶν ἀρcενικῶν ὀνομάτων; Δέκα· ἑνικὰ μὲν ὅc οὗ ᾧ ὅν, δυϊκὰ δὲ ὥ οἷν, πληθυντικὰ δὲ οἵ ὧν οἷc οὕc. Καὶ διὰ τί εἰcι δέκα; Διότι κλητικὰc οὐκ ἔχουcι. Καὶ διὰ τί οὐκ ἔχουcιν; Ἐπειδὴ οὐδεὶc τὸν ἀπόντα καλεῖ. — Τί διαφέρει τὰ προτακτικὰ τῶν ὑποτακτικῶν; Ὅτι τὰ μὲν προτακτικὰ ἢ πνεύματα ἢ τόνουc ἐπιδέχονται, τὰ δὲ ὑποτακτικὰ καὶ πνεύματα καὶ τόνουc.

Καὶ ταῦτα μὲν περὶ ἄρθρου· φέρε δὴ εἴπωμεν καὶ περὶ ἀντωνυμίαc.

§ 17 (21 et 22b).

Περὶ ἀντωνυμίαc.

Εὐλόγωc τέτακται μετὰ τὸ ἄρθρον *etc.* = Σ^h 76, 30—77, 16.

Καὶ ἐλύθη τὸ ἀδύνατον τὸ «Γεώργιοc ἐποίηcα» καὶ «Γεώργιοc ἐποίηcαc», ὥcπερ καὶ ἡ μετοχὴ ἀνθυπειcῆλθεν ἀντὶ ῥήματοc· βουλομένων

9—13 *cfr* Σ^h *73, 34—74, 2*

3 ἂν εὕροιc] εὕρηc V ‖ 9 ἀπολάβῃ V ‖ 11 ἀπὸ μὲν] ἀπῆμεν V | τέμε V ‖ 13 πτωτικὸν V ‖ 33 δὴ] δὲ V ‖ 37—423, 4 *om* N

γὰρ ἡμῶν κλῖναι τὰ ῥήματα μετὰ τῶν ὀνομάτων καὶ μὴ δυναμένων, εὐθέως ἐπεισέρχεται ἡ μετοχὴ χαριζομένη τοῖς ῥήμασι πτώσεις, οἷον «Θέωνος τύπτοντος, Θέωνι τύπτοντι», καὶ οὐ λέγομεν «Θέωνος τύπτει» ἢ «Θέωνι τύπτει», ὅπερ ἀδύνατον.

Ἀντωνυμία ἐστὶ λέξις *etc.* = Σ^h 77, 17—20 *et* 24—26.

Ζητοῦσι δέ τινες εὐλόγως παραβαλλόμενοι *etc.* = Σ^v 258, 31—259, 23.

Ἰστέον ὅτι ἀντωνυμία καλεῖται αὐτὸ *etc.* = Σ^h 77, 21—23 *et* 77, 27—78, 10.

Ἰστέον δὲ ὅτι τοῦτο μόνον *etc.* = Σ^v 259, 24—29.

Ἰστέον ὅτι ἡ ἀντωνυμία τὴν χρείαν ἀποπληροῖ τοῦ ὀνόματος· τὸ γὰρ ἐγώ εἰπὼν οὐ χρήζω προσθεῖναι καὶ τὸ ὄνομα· καὶ ἑκάστη δὲ λέξις τῆς ἀντωνυμίας ἐξαρκεῖ, καὶ μὴ προστιθεμένου τοῦ ὀνόματος, σημαίνειν τὸ τίς. Καὶ τῷ ἐκεῖνος πάλιν, ἐὰν μὲν ἀπῇ, τότε προστίθημι τὸ ὄνομα, ἐὰν δὲ παρῇ, καὶ ἄνευ τοῦ ὀνόματος δηλῶ τὸ πρόσωπον τὸ ὡρισμένον.

Πάλιν δὲ ἰστέον ὅτι τῶν ἀντωνυμιῶν *etc.* = Σ^v 261, 1—13; 260, 21—24; 261, 14—26; 260, 25—29; 260, 4—11.

Πρόσωπα τῶν πρωτοτύπων ἀντωνυμιῶν. — Προειρήκαμεν ἤδη *etc.* = Σ^h 78, 27—31 (ῥήματος); 79, 25—80, 25 (πτώσεις); 81, 9—13; 81, 35—82, 5; 82, 15—24; 83, 2—10.

Ζητητέον δὲ διὰ τί αἱ ἀντωνυμίαι *etc.* = Σ^v 262, 4—11.

Ἰστέον ὅτι ἡ σφωῖν *etc.* = Σ^h 84, 3—6 *et* 14 seq; 86, 1—15 (ἕ).

Γένη τῶν μὲν πρωτοτύπων ἀντωνυμιῶν διὰ μὲν τῆς φωνῆς οὐ διακρίνεται.] Καλῶς οὖν εἶπεν, ὅτι διὰ μὲν τῆς φωνῆς οὐ διακρίνεται τὰ γένη ἐν ταῖς πρωτοτύποις ἀντωνυμίαις· τὸ γὰρ ἐγώ σύ ἐμοῦ καὶ σοῦ ἐπὶ τῶν τριῶν γενῶν λέγεται. Μόναι δὲ αἱ παράγωγοι διὰ τῆς φωνῆς μόνης σημαίνουσι τὸ γένος καθ' ἑκάστην πτῶσιν· λέγω γὰρ τὸ μὲν ἀρσενικὸν ὁ ἐμός, τὸ δὲ θηλυκὸν ἡ ἐμή, τὸ δὲ οὐδέτερον τὸ ἐμόν. [Ἰστέον δὲ ὅτι ἡ κλητικὴ οὐχ εὕρηται οὔτε ἐπὶ τῆς σός ἀντωνυμίας οὔτε ἐπὶ τῆς ὅς.] Ὡσαύτως καὶ ἐπὶ τοῦ τρίτου προσώπου [τοῦ ὅς] τὰ τρία γένη δηλοῦται καθ' ἑκάστην πτῶσιν, εὐθεῖαν μὲν ὁ ἐκεῖνος ἡ ἐκείνη τὸ ἐκεῖνο, γενικὴν δὲ τοῦ ἐκείνου τῆς ἐκείνης τοῦ

---

6 παραβαλλ. V, προβαλλόμενοι N ‖ 8 *in marg.* Ἡλιοδώρου N ‖ 14 τῷ] τὸ VN ‖ 29 *in marg. add* V²: Ποιοῦσι γὰρ τὸν παρασχηματισμὸν ὁμοίως τοῖς τριγενέσιν ἁπλοῖς ὀνόμασιν· ὥσπερ γὰρ τὰ εἰς $\overline{\text{ος}}$ ἁπλᾶ τριγενῆ μετὰ συμφώνου πλὴν τοῦ $\overline{\text{ρ}}$ ὀνόματα ποιοῦσι θηλυκὰ εἰς $\overline{\text{η}}$, οἷον ὁ ἔρημος ἡ ἐρήμη, οὕτω καὶ αὗται ἐποίησαν, ὁ ἐμός ἡ ἐμή. Πρόσκειται «μετὰ συμφώνου πλὴν τοῦ $\overline{\text{ρ}}$», ἐπεὶ τὰ εἰς $\overline{\text{ος}}$ καθαρὸν ἁπλᾶ ὀνόματα ἢ μετὰ τοῦ $\overline{\text{ρ}}$ εἰς $\overline{\text{α}}$ σχηματίζουσι τὰ θηλυκὰ ἑαυτῶν, ὁ ἅγιος ἡ ἁγία, ὁ δίκαιος ἡ δικαία, ὁ λαμπρός ἡ λαμπρά, ὁ σοφώτερος ἡ σοφωτέρα· εἰ δέ που εὑρεθῇ εἰς $\overline{\text{η}}$ τὰ τοιαῦτα, ἡ ἁγίη καὶ (*l.* ἡ) μακρή, ἰωνικῶς παρεσχηματίσθησαν· ὅθεν καὶ αἱ εἰς $\overline{\text{ρος}}$ ἀρσενικαὶ ἀντωνυμίαι εἰς $\overline{\text{α}}$ ἐκφέρουσι τὰς θηλυκὰς ἑαυτῶν, οἷον ὁ νωΐτερος ἡ νωϊτέρα. — Ἣν σύνταξιν ἔχει τὸ ῥῆμα καὶ αἱ μετοχαὶ πρὸς τὸ ὄνομα κατὰ πᾶσαν διάθεσιν καὶ σημασίαν, τὴν αὐτὴν ἔχουσι καὶ πρὸς τὴν ἀντωνυμίαν· ὡς γὰρ λέγω «ἐδίωξα Μέμνονα», οὕτω καὶ «ἐδίωξα αὐτόν».

ἐκείνου, δοτικὴν δὲ τῷ ἐκείνῳ τῇ ἐκείνῃ τῷ ἐκείνῳ, αἰτιατικὴν δὲ τὸν ἐκεῖνον τὴν ἐκείνην τὸ ἐκεῖνο, κλητικὴν δὲ ὦ ἐκεῖνε ὦ ἐκείνη ὦ ἐκεῖνο.

Τῶν δὲ παραγώγων.] Ἀπὸ κοινοῦ *etc.* = Σ^h 86, 19—87, 13.

Παρέπεται δὲ τῇ ἀντωνυμίᾳ ἕξ, γένη, εἴδη, σχήματα, ἀριθμοί, πρόσωπα, πτώσεις.] Ὅσα παρέπεται τῷ ὀνόματι παρέπεται καὶ τῇ ἀντωνυμίᾳ, πλεονάζοντος τοῦ προσώπου· διὰ τοῦτο γὰρ ἀντὶ ὀνόματος τάσσεται ἡ ἀντωνυμία, ἵνα πληρώσῃ ἀντὶ ὀνόματος πρῶτον καὶ δεύτερον πρόσωπον, καθὸ οὐ λέγομεν «Θέων τύπτω» ἢ «Θέων τύπτεις», ἀλλ' «ἐγὼ τύπτω, σὺ τύπτεις»· τὰ δὲ ὀνόματα τρίτου εἰσὶ προσώπου.

Πρόσωπα πρωτοτύπων μὲν ἐγώ σύ ἵ.] Τῶν ἀντωνυμιῶν εἰς δύο διαιρουμένων *etc.* = Σ^h 78, 19—79, 20; 86, 1—18.

Τῶν δὲ παραγώγων, οἷον ὁ ἐμός, ἡ ἐμή, τὸ ἐμόν.] Τῶν παραγώγων τὰ γένη διὰ τῆς φωνῆς διακρίνεται, ὁ ἐμός, ἡ ἐμή, τὸ ἐμόν, τῶν δὲ πρωτοτύπων διὰ τῆς δείξεως, καὶ οὐ διὰ τῆς φωνῆς. Ἰστέον δὲ ὅτι τὸ μὲν πρόσωπον ἐν τῷ ῥήματι τὸ τέλος κινεῖ, ἐνταῦθα δὲ τὴν ἀρχήν, ἐπειδὴ ἡ ἀντωνυμία δύο κλίσεις ἀναδεξαμένη, τὴν μὲν κατὰ πτῶσιν, τὴν δὲ κατὰ πρόσωπον, τὸ μὲν πρόσωπον κινούμενον ἐν τῇ ἀρχῇ δείκνυσι, τὴν δὲ πτῶσιν ἐν τῷ τέλει, διὸ καὶ τὸ ῥῆμα τὴν μὲν ἀρχὴν ἀπένειμε τοῖς χρόνοις, τὸ δὲ τέλος τοῖς προσώποις (*cfr* Σ^h 87, 4—13).

Ἀριθμοὶ πρωτοτύπων *etc.* = *excerpta ex* Σ^h 87, 14—26.

Ζητεῖται δὲ διὰ τί ἡ ἐμοί καὶ σοί ὀξύνεται, ἡ δὲ οἷ περισπᾶται· ἔδει γὰρ πάσας περισπᾶσθαι ὡς δοτικάς. Καὶ λέγομεν ὅτι διὰ τὸ ⟨μὴ⟩ ἐν παντὶ τὴν ἀκολουθίαν [αὐτῶν] ὑπάρχειν τῶν πρωτοτύπων· εἰσὶ δὲ καὶ ἀνακόλουθοι πρὸς ἀλλήλας αἱ πρωτότυποι ἀντωνυμίαι κατὰ πάσας τὰς πτώσεις. Ποία γὰρ ἀκολουθία ἀπὸ τῆς ἐγώ εὐθείας τῇ ἐμοῦ γενικῇ χρῆσθαι, ἢ ἀπὸ τῆς ἐμοῦ τῇ ἐμοί δοτικῇ; πᾶσα γὰρ εἰς τὴν ο̅υ̅ λήγουσα γενικὴ τὴν δοτικὴν ἔχει ἢ εἰς ῳ̅ ἢ εἰς ῃ̅ ἢ εἰς ᾳ̅ λήγουσαν, οἷον Γεωργίου Γεωργίῳ, Ἀτρείδου Ἀτρείδῃ, Γοργίου Γοργίᾳ· ἀσύμφωνον οὖν τὸ ἐμοί εἰς οὐδὲν τούτων καταλῆγον. Καὶ ⟨ἡ⟩ αἰτιατικὴ πάλιν ἡ ἐμέ ἀνακόλουθος τῇ δοτικῇ, ἐπειδὴ ⟨ἡ δοτικὴ⟩ εἰς ο̅ι̅ λήγουσα τὴν αἰτιατικὴν ἔχει εἰς ε̅ λήγουσαν.

Πτώσεις δὲ πρωτοτύπων *etc.* = Σ^h 87, 27—88, 2 (καλεῖ).

Γενικῆς ἐμοῦ σοῦ οὗ. — Ἐπειδὴ *etc.* = Σ^v 264, 16—25.

Ἰστέον δὲ ὅτι κλητικὴν οὐκ ἔχει *etc.* = Σ^h 87, 33—88, 7.

Ἐπειδὴ ἡ κλητικὴ πρὸς δεύτερον πρόσωπον ποιεῖται τὸν λόγον, ἀναγκαίως δεύτερον πρόσωπον ἔσχηκεν ....

---

3 *post* παραγ. *add* πτώσεις V ‖ **4** πρόσ. γ. ἀρ. πτ. σχ. εἴδη N ‖ **5** *ante* τῷ *add* καὶ V | παρέπ. καὶ τῇ ἀντ. N, *om* V ‖ **17** *post* ἡ *add* μὲν V ‖ **24** διὰ τὸ μηδὲν πάντῃ τὴν ἀκολ. αὐτῶν ὑπάρχειν, τῶν πρωτοτύπων *Uhlig* ‖ **26** ἀνακόλουθοι N, ἀκόλουθοι V ‖ **38** *nulla lac. in* VN

... Ὅτι δὲ οὔτε λόγου ἔχεται, ἀναλόγηcαι τὸ [τῷ] ἑκάcτῳ ἴδιον, φημὶ τῷ τε ἄρθρῳ καὶ τῇ ἀντωνυμίᾳ, καὶ εὑρήcειc ἐναντίον· τὸ μὲν γὰρ ἀνάμνηcιν ἀπόντοc προcώπου καὶ προεγνωcμένου, τουτέcτι δευτέραν ἐπαγγέλλεται γνῶcιν, ἡ δὲ ἀντωνυμία δεῖξιν· ἐναντίον οὖν ἡ ἀναφορὰ τῇ δείξει. Πῶc οὖν ἐνδέχεται δύο ἐναντία ἐν ταὐτῷ γενέcθαι; (*cfr* Σ^{v} 267, 31—268, 1).

Παραγώγων δὲ ὀρθῆc ἐμόc *etc.* = Σ^{h} 88, 8—19.

Ζητεῖται δὲ πῶc ποτὲ μὲν πρωτότυπον λέγει τὴν ἐμοῦ ἀντωνυμίαν καὶ τὴν cοῦ καὶ τὴν οὗ, ποτὲ δὲ παράγωγον. Πρὸc δὴ τοῦτο ἐκεῖνο ἔcτιν εἰπεῖν, ὅτι αἱ γενικαὶ cυνεμπίπτουcιν ἀλλήλαιc· καὶ ὅτε μὲν πρωτότυπόc ἐcτιν ἡ ἐμοῦ, ἀcύναρθρόc ἐcτιν, οἷον «ἐμοῦ ἀπαντήcαντοc εἰc διδαcκάλου», ὅτε δὲ παράγωγοc, τότε cύναρθρόc ἐcτιν, ὡc ὅταν λέγωμεν «τοῦ ἐμοῦ παιδόc, τοῦ ἐμοῦ βιβλίου» καὶ τὰ ὅμοια.

Cχήματα δύο *etc.* = *excerpta ex* Σ^{h} 88, 20—90, 7.

Cχήματα δύο.] Ἰcτέον ὡc οὐδέποτε ἀντωνυμία μετὰ ἄλλου μέρουc λόγου cυντίθεται, εἰ μὴ μεθ᾽ ἑαυτῆc, πλὴν τῆc αὐτόc· αὕτη γὰρ cυνετέθη μετὰ ἄλλων μερῶν λόγου, οἷον αὐτόccυτοc αὐτόματοc αὐτοδίδακτοc (*cfr* Σ^{v} 266, 20—22).

Ἰcτέον δὲ καὶ τοῦτο, ὅτι αἱ cύνθετοι *etc.* = Σ^{v} 266, 4—13.

Αἱ cύνθετοι κλητικὰc οὐκ ἔχουcιν, ἐπεὶ ἀπὸ τῆc αὐτόc cύγκεινται μὴ ἐχούcηc κλητικάc.

Εἴδη δέ, ὅτι αἱ μέν εἰcι *etc.* = *excerpta ex* Σ^{h} 90, 8—91, 11.

Δεῖ δὲ εἰδέναι, ὅτι cύναρθροι *etc.* = Σ^{v} 267, 32—268, 1.

§ 18 (23b).

Περὶ προθέcεωc.

Διὰ τί προετάγη τοῦ ἐπιρρήματοc ἡ πρόθεcιc; Ὅτι *etc.* = Σ^{h} 91, 15—22.

Ἴδιον δέ φαcιν εἶναι τῆc προθέcεωc τὸ ὀξύνεcθαι καὶ βραχυκαταληκτεῖν· εἰ δέ τιc παραιτήcαιτο τὴν εἰc πρόθεcιν καὶ τὴν ἐξ ὡc μακροκαταλήκτουc, γινωcκέτω ὅτι ἡ ἐc ἀναλογωτέρα ἐcτί, προcθήκην δὲ ὑπομείναcα τοῦ ῑ οὐδὲν πλέον πέπονθεν ἔξωθεν· ἔθοc δὲ ταῖc προθέcεcι

8—13 hab. et. A

2 ἐναντίον V, ἐναντίωc N; *item v. 4* ‖ **8** ποτὲ A, ότὲ VN; *item v. 9* ‖ **10** cυνεμπ. A, cυμπίπτουcιν VN ‖ **11** οἷον — διδαcκ. (12) *add* A ‖ **12** ὅτε A, ἂν VN | παράγωγον A ‖ **13** A *add*: Παρῆκται δὲ ἡ μὲν ἐμόc ἀπὸ τῆc ἐμοῦ, ἡ δὲ cόc ἀπὸ τῆc cοῦ, ἡ δὲ ὅc ἀπὸ τῆc οὗ, ἐπὶ δὲ τῆc δοτικῆc ἡ μὲν ἐμῷ ἀπὸ τῆc μοί (*sic*), ἐπὶ δὲ τῆc αἰτιατικῆc ἡ ἐμόν ἀπὸ τῆc ἐμέ, ἡ δὲ cόν ἀπὸ τῆc cέ, ἡ δὲ κλητική, ἥτιc ἐcτὶν ἐμόc, ὡc παρ᾽ Ὁμήρῳ ⟨τ 406⟩ γαμβρὸc ἐμόc, ἀπὸ τῆc c̅o̅ (*sic*) πρωτοτύπου(!). ἡ δὲ ἐμοῦ γενικὴ ἡ μὲν ἀcύναρθροc ἀπὸ τῆc ἐγώ πρωτοτύπου παρῆκται, ἡ δὲ cύναρθροc ἀπὸ τῆc ἐμόc εὐθείαc ‖ **14** *in marg.* Ἡλιοδώρου N ‖ **22** *in marg.* Ἡλιοδώρου περὶ εἰδῶν αὐτῶν N ‖ **30** ἐc] εἰc V, ε̅ι̅c̅ N

πλεονάζειν τὸ ῑ. Ἡ δὲ ἐκ ἀναλογωτέρα μᾶλλον ἢ εἰς κ̄ λήγουσα, ὥσπερ ἐν τῷ ἐκβαίνω· ἀλλ' ἐπειδὴ λόγος ἦν ὁ κωλύων λέξιν Ἑλληνικὴν εἰς ἄφωνον καταλήγειν, αὕτη εἰς ξ̄ καταλήγει· πρὸς δὲ τὰς συντάξεις δείξει ἑαυτοῦ τὸ γνήσιον τῆς γραφῆς· εἰ μὲν γὰρ ἀπὸ συμφώνου ἄρχοιτο ἡ ἐπιφερομένη λέξις, τότε ⟨ἔχει⟩ τὸ κ̄, εἰ δὲ ἀπὸ φωνήεντος, τὸ ξ̄· οὕτω βραχυκαταληκτεῖν πέφυκεν ἡ πρόθεσις.

Ἰστέον ὅτι πᾶσα πρόθεσις *etc.* = Σ^v 269, 13—18.

Πᾶσα δὲ πρόθεσις καθ' ἑαυτὴν *etc.* = Σ^v 270, 5—7.

Πρόθεσίς ἐστι λέξις· λείπει *etc.* = Σ^h 91, 24—92, 11; 92, 31—93, 6.

Καὶ ἔστιν εἰπεῖν, ὅτι εἰσὶ μὲν *etc.* = Σ^v 269, 18—29.

Πόσα παρέπεται τῇ προθέσει; Πέντε· τὸ ὀξύνεσθαι, τὸ ψιλοῦσθαι, τὸ βραχυκαταληκτεῖν, τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι καὶ τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι. Πῶς τὸ ὀξύνεσθαι; Πᾶσα πρόθεσις ὀξύνεσθαι θέλει, εἰ μή πω κατὰ ἀναστροφὴν βαρυνθῇ, πλὴν τῆς εἰς καὶ ἐξ· βαρύνεται δὲ καὶ ἐν τῇ συμφράσει. Πῶς τὸ ψιλοῦσθαι; Πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη ψιλοῦται, πλὴν τῆς ὑπό καὶ ὑπέρ· τὸ γὰρ ῡ πάσης λέξεως ἄρχον δασύνεται, πλὴν τοῦ ὕμμε καὶ ὕμμες Αἰολικοῦ. Πῶς τὸ βραχυκαταληκτεῖν; Πᾶσα πρόθεσις βραχυκαταληκτεῖ, πλὴν τῆς εἰς καὶ ἐξ. Πῶς τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι; Διότι πᾶσα πρόθεσις ἢ μονοσύλλαβος θέλει εἶναι ἢ δισύλλαβος, οὐδέποτε δὲ ὑπερβαίνειν θέλει τὴν δισυλλαβίαν. Πῶς τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι; Πᾶσα πρόθεσις διὰ ψιλοῦ συμφώνου θέλει ἐκφέρεσθαι, πλὴν τῆς ἀμφί.

Εἰσὶ δὲ αἱ προθέσεις ἅπασαι *etc.* = Σ^h 93, 10—23 *et* 93, 31—94, 20.

Δισύλλαβοι δὲ δυοκαίδεκα, ἀνά κατά διά μετά παρά ἀντί ἐπί περί ἀμφί ἀπό ὑπό ὑπέρ.] Αἱ τριχρονοῦσαι τῶν προθέσεων οὐκ ἀναστρέφονται ἢ κατὰ θέσιν ἰδίαν ἢ κατὰ παρείσοδον πάθους· καὶ κατὰ θέσιν μὲν ⟨ἰδίαν⟩, ὡς ἀντί ἀμφί, κατὰ παρείσοδον δὲ πάθους, ὡς ἡ ὑπείρ καταί παραί· αἱ δὲ διχρονοῦσαι ἀναστροφὴν ὑπομένουσι. Πᾶσαι δὲ αἱ μονοσύλλαβοι εἰς σύμφωνον καταλήγουσι, χωρὶς τῆς πρό, καὶ πᾶσαι αἱ δισύλλαβοι εἰς φωνῆεν, χωρὶς τῆς ὑπέρ.

Δισύλλαβοι δὲ δύο καὶ δέκα.] Αἱ δώδεκα δισύλλαβοι ποτὲ ⟨μὲν⟩ προτάσσονται, ποτὲ δὲ οὐ προτάσσονται· προτάσσονται μέν, ὡς ὅτε λέγομεν «ἐπὶ πολλῶν»· ἐνταῦθα ἡ ἐπί προτέτακται· ὑποτάσσονται δέ, ὡς παρ' Ὁμήρῳ ⟨Α 162⟩ ᾧ ἔπι πόλλ' ἐμόγησα, ἀντὶ τοῦ «ἐφ' ᾧ», καὶ ⟨ex. gr. Η 301⟩ ἔριδος πέρι θυμοβόροιο, ἀντὶ τοῦ «περὶ ἔριδος»· καὶ ἑκάστην δὲ τῶν δισυλλάβων προθέσεων εὑρήσομεν ἐπὶ ⟨τῆς⟩ αὐτῆς χρήσεως ποτὲ ⟨μὲν⟩ ἀναστρεφομένην, ποτὲ ⟨δὲ⟩ οὔ. Καὶ ταῦτα μέντοι περὶ τῶν

25—31 *cfr* Σ^h *94, 21—25 et 94, 31—95, 3*

1 ἐκ] ἐξ VN ‖ 2 ἐν τῷ] τὸ V, *om* N ‖ 3 δείξειν ἑαυτοὺς VN ‖ 9 *in marg. add* Ἡλιοδώρου N ‖ 12—22 *om* N ‖ 14 ἀντιστροφὴν V ‖ 23 *in marg. add* Ἡλιοδώρου N ‖ 26 *in marg. add* Ἡλιοδώρου N ‖ 29 ὑπὲρ κατὰ παρὰ VN | δίχρονοι VN ‖ 33 ποτὲ δὲ] καὶ ποτὲ VN

διcυλλάβων προθέcεων. Ἐπιcημαίνεcθαι δὲ δεῖ, ὅτι εἴ ποτε ἀναcτρέφονται, πάντως ἀναπέμπονται. Τίνες δέ εἰcιν αὗται; Ἀνά κατά διά ⟨μετά παρά ἀντί ἐπί περί ἀμφί ἀπό ὑπό ὑπέρ⟩.

Καθολικῶς χρὴ λέγειν, ὅτι αἱ τριχρον. *etc.* = Σ^h 94, 21—95, 3.

Διὰ τί πάντων τῶν τοῦ λόγου μερῶν προτίθεται ἡ πρόθεcις; Διὰ τὴν ἐνυπάρχουcαν αὐτῇ ἀcθένειαν· ὥcπερ γὰρ ὁ ἄρρωcτος ὁ μὴ δυνάμενος περιπατῆcαι ὑπὸ ἄλλων βαcταζόμενος ἐκφέρεται, οὕτω καὶ ἡ πρόθεcις ἀcθενεcτάτη οὖcα πάντων τῶν τοῦ λόγου μερῶν ὑπὸ ἄλλων λέξεων βαcταζομένη ἐκφέρεται (*cfr* Σ^h 94, 9—13).

§ 19 (24b).

Περὶ ἐπιρρήματος.

Τί ἐcτιν ἐπίρρημα; Μέρος λόγου ἄκλιτον ἤτοι ἀκίνητον καὶ ἀμετάπτωτον, καὶ τοcοῦτον ὅτι καὶ τὰ ὀνόματα ἐπιρρηματικὴν ἀναδεχόμενα cύνταξιν ἄπτωτα μένει. — Καὶ ἄλλως. Τί ἐcτιν ἐπίρρημα; Λέξις ἄκλιτος κατηγοροῦcα τῶν ῥηματικῶν ἐγκλίcεων. — Ἄλλως· λέξις ἄκλιτος κατὰ ῥήματος λεγομένη ἢ ἐπιλεγομένη ῥήματι. Τί ἐcτι «κατὰ ῥήματος λεγόμενον ἢ ἐπιλεγόμενον ῥήματι»; Τὸ πρότερον τοῦ ῥήματος εἰπεῖν τὸ ἐπίρρημα, οἷον «καλῶς ἔγραφον», ἢ τὸ ῥῆμα πρότερον τοῦ ἐπιρρήματος, οἷον «γράψω καλῶς». Διὰ τί λέγεται ἐπίρρημα; Διότι προτάccεται τῷ ῥήματι καὶ ὑποτάccεται· προτάccεται μὲν γὰρ ἐν τῷ «καλῶς ἦλθες», ὑποτάccεται δὲ ὡς ἐν τῷ «ἦλθες καλῶς». Πόcα παρέπεται τῷ ἐπιρρήματι; Τρία· εἶδος ἤτοι χαρακτήρ, cχῆμα καὶ τρόπος ἤτοι δύναμις.

Ἰcτέον ὅτι διὰ τοῦτο προετάγη ἡ πρόθεcις τοῦ ἐπιρρήματος, ὅτι ὀνόμαcι cυντίθεται ἢ παρατίθεται, τὸ δὲ ἐπίρρημα ῥήμαcι cυναρτᾶται, διὸ καὶ οὕτως ὠνομάcθη. Ἐκλήθη δὲ ἐπίρρημα ἤτοι ὅτι κατὰ ῥήματος λέγεται ἢ ἐπιλέγεται ῥήματι· ἔcτι δὲ τὸ κατὰ ῥήματος λεγόμενον τὸ πρότερον εἰπεῖν τὸ ἐπίρρημα, εἶθ' οὕτως τὸ ῥῆμα, ὡς τὸ «πάλαι ἔτυπτον»· τὸ μὲν γὰρ πάλαι ἐπίρρημα, τὸ δὲ ἔτυπτον ῥῆμα, καὶ τοῦτό ἐcτι τὸ κατὰ ῥήματος λεγόμενον ἐπίρρημα· τὸ δὲ ἐπιλεγόμενον ῥήματι, ὅταν πρότερον ὀνομάcας τὸ ῥῆμα ὕcτερον ἐπαγάγω τὸ ἐπίρρημα.

Ἰcτέον δὲ ὅτι τὸ ἐπίρρημα *etc.* = Σ^v 272, 4—12 *et* 16—31.

Πόcα cχήματα τῶν ἐπιρρημάτων; Δύο, ἁπλοῦν καὶ cύνθετον· ἁπλοῦν μέν, οἷον πάλαι τότε αὖθις καλῶς cοφῶς ἄνω οὐ μὴ ἑξῆς ἄγαν καὶ ἕτερα, cύνθετον δέ, οἷον πρόπαλαι ἔκτοτε ἐξαῦθις παγκάλως θεοcόφως ὑπεράνω οὐδῆτα μηδῆτα ἐφεξῆς ὑπεράγαν καὶ ἄλλα. Πόcα εἴδη τῶν ἐπιρρημάτων; Δύο, πρωτότυπον καὶ παράγω-

---

4 *in marg. add* Ἡλιοδώρου N ‖ 5—8 *om* N ‖ 11—20 *om* N ‖ 27 ὅταν N, ὅτε V ‖ 29 *in infer. marg. fol. 104*[v] *haec habet* V[2]: Τὰ ἐπιρρήματα πρὸς τὰ ῥήματα τὴν cύνταξιν ἔχει· ἀεὶ γὰρ αὐτὰ τῶν ῥημάτων προηγοῦνται ἢ ἐπιφέρονται προcωτέρως ἢ προcεχῶς· ὥcπερ γὰρ τὰ ἐπίθετα ὀνόματα τῶν κυρίων τε καὶ προcηγορικῶν ἐcτι κατηγορικά, πρὸς αὐτὰ πάντα ἀποτεινόμενα, κἂν προτάccωνται ἢ ὑποτάccωνται, οὕτω καὶ τὰ ἐπιρρήματα τῶν ῥημάτων εἰcὶν ἐπιθετικά τε καὶ κατηγορικά. — *Item in marg. super. fol. 105*[r] *haec praebet* V[2]: Ἰcτέον ὅτι ὃν λόγον ἔχει τὸ ἐπίθετον πρὸς τὸ κύριον ὄνομα, λέγεις γὰρ «ὁ Ἰωάννης», εἶτα ἐπιφέρεις «ὁ καλός» ἢ «ὁ κακός», τοιοῦτον λόγον ἔχει τὸ ἐπίρρημα πρὸς τὸ ῥῆμα, οἷον «ἀνέγνω τις», εἶτα ἐπιφέρεις τὸ «καλῶς» ἢ «κακῶς». ‖ 30—428, 2 *om* N

γον· πρωτότυπον μέν, οἷον ναί, παράγωγον δέ, ⟨οἷον⟩ ἑλληνιστί ῥωμαϊστί δωριστί, ἐπεὶ ἐκ τοῦ ἑλληνίζω καὶ ῥωμαΐζω καὶ δωρίζω γέγονεν.

Ἔστι δὲ τῶν ἐπιρρημάτων τὰ μὲν πρωτότυπα, τὰ δὲ παράγωγα, ἅπερ τὴν ἐξ ἑτέρων παραγωγὴν ἀναδέδεκται· τὸ μὲν γὰρ ναί ἢ οὔ ἤ τι τῶν τοιούτων οὐκ ἔχεται ἑτέρας ἀφορμῆς ἀφ' ἧς παραγέγονε, τὸ δὲ ἑλληνιστί ἢ δωριστί ἔχει προϋφεστῶτα ⟨τὸ⟩ ἑλληνίζω καὶ δωρίζω. Καὶ τὰ μὲν παράγωγα ἢ ἀπὸ ἐπιρρημάτων, ὡς ἐγγύς ἐγγυτέρω, ἢ ἐξ ὀνόματος, ὡς τὸ βοτρυδόν, ἢ ἀπὸ ῥήματος, ὡς κλέβδην αἰολιστί ἀπὸ τοῦ κλέπτω καὶ αἰολίζω ἐστίν, ἢ ἀπὸ μετοχῆς, ὡς τὸ ἐπισταμένως, ἢ ἐξ ἀντωνυμίας, ὡς τὸ οὕτως, ἢ ἐκ προθέσεως, οἷον ἔξω ἔσω. Ἔστι δὲ ὅτε καὶ ὀνοματικὴ κατάληξις σύνταξιν ἐπιρρηματικὴν ἀναδεξαμένη [καὶ] ἐπίρρημα καλεῖται, ὡς τὸ «ταχὺ ἐλθέ» ⟨ἀντὶ τοῦ ταχέως⟩, «καλὰ ποίησον» ἀντὶ τοῦ καλῶς· ἄπειρος δὲ ἡ εἰς τοῦτο παράθεσις· καὶ ἔστιν ἀναλογία ἐν τούτοις κεχωρισμένη τῆς τῶν ἐπιρρημάτων φωνῆς. Ὄνομα δὲ μετατιθέμενον εἰς σύνταξιν ἐπιρρηματικὴν ἄκλιτον.

Εἶπε τὸ ἐπίρρημα μέρος λόγου οὕτως ἄκλιτον, ⟨ὅτι καὶ⟩ ἐπάν τι κλιτικὸν *etc.* = **Σ**ᵛ 273, 2—9.

Ἢ ἐπιλεγόμενον ῥήματι.] Ζητεῖται εἰ καὶ πρὸ ῥήματος καὶ μετὰ ῥῆμα εὑρίσκεται τὸ ἐπίρρημα, πῶς ἐκ τῆς μιᾶς τάξεως κέκληται ἐπίρρημα, καὶ οὐκ ἔστιν ὑπόρρημα. Φαμὲν οὖν ὅτι καὶ ἡ αὐτός ⟨ἀντωνυμία⟩ ἐπιταγματικὴ καλεῖται, καίτοι πολλάκις ὑποτασσομένη· ἄλλως τε ἡ φύσει σύνταξις, ἀφ' ἧς καὶ κέκληται, ἐν προταγῇ ἐστιν· ἐπίθετα γὰρ τῶν ῥημάτων τὰ ἐπιρρήματα· ὡς οὖν τὰ ἐπιθετικὰ τῶν ὀνομάτων προτίθεται, οἷον «λευκὸς ἵππος ἔδραμεν», οὕτω δὴ καὶ τὰ ἐπιρρήματα προτίθεται τῶν ῥημάτων.

Ἰστέον δὲ ὅτι ἔστιν ἁπλᾶ καὶ σύνθετα τῶν ἐπιρρημάτων· σχηματίζονται γὰρ οὕτω· «τὰ μὲν ἁπλᾶ, ὡς πάλαι, τὰ δὲ σύνθετα, ὡς πρόπαλαι». Τὰ μὲν ἁπλᾶ ἐστι ταῦτα, πάλαι τότε αὖθις αὔριον καλῶς σοφῶς ἄνω οὐ μή ἑξῆς ἄγαν καὶ τὰ ὅμοια, τὰ δὲ σύνθετα πρόπαλαι ἔκτοτε ἐξαῦθις μεταύριον παγκάλως πανσόφως ὑπεράνω οὐδῆτα μηδῆτα ἐφεξῆς ὑπεράγαν καὶ τὰ ὅμοια. Ἔστι δὲ καὶ παρασύνθετα ἀπὸ ὀνομάτων συνθέτων παρηγμένα, οἷον πάγκαλος πάγκαλοι παγκάλων παγκάλως, ἃ καὶ τῶν γενικῶν τὸν τόνον τηρεῖ, ἀψευδῶς ἐπεὶ ἀψευδῶν, ἀσέμνως ἐπεὶ ἀσέμνων.

Ἰστέον δὲ ὅτι καὶ εἴδη παρέπεται *etc.* = **Σ**ʰ 96, 22—32.

Κατὰ πόσους τρόπους γίνονται τὰ ἐπιρρήματα; Κατὰ εἰκοσιέξ· ἢ γὰρ χρόνου δηλωτικά εἰσιν, ἢ ἀριθμοῦ, ἢ μεσότητος, ἢ τόπον δηλοῦσιν, ἢ εὐχῆς εἰσι σημαντικά,

---

3—6 *cfr* **Σ**ʰ *96, 22—25* ‖ **6—14** *cfr* **Σ**ᵛ *273, 24—31* ‖ **18—25** *cfr* **Σ**ʰ *95, 31—96, 4*

11 ἀναδεξαμένη καὶ N, ἀναδέξασθαι καὶ V ‖ **14** κεχωρισμένη VN, καὶ χωρὶς μὲν *Uhlig* | ὀνόματος δὲ μετατιθεμένου VN ‖ **15** ἐπιρρημ. V, ῥηματικὴν N ‖ **19** ῥῆμα N, ῥήματος V ‖ **20** ὑπόρρημα V, *legi nequit* N ‖ **22** ἀφ' ἧς καὶ N, ὑφ' ἧς V ‖ **24** προτίθεται τῶν N, προτιθέναι τῶν V ‖ **28** σαφῶς V ‖ **35—429, 5** *om* N

ἢ cχετλιαcμοῦ, ἢ ἀρνήcεωc τῆc καὶ ἀποφάcεωc καλουμένηc, ἢ cυγκαταθέcεωc, ἢ ἀπαγορεύcεωc, ἢ παραβολῆc τῆc καὶ ὁμοιώcεωc, ἢ ποιότητοc, ἢ ποcότητοc, ἢ θαυμαcμοῦ, ἢ εἰκαcμοῦ, ἢ τάξεωc, ἢ ἀθροίcεωc, ἢ παρακελεύcεωc, ἢ cυγκρίcεωc, ἢ ἐρωτήcεωc, ἢ ἐπιτάcεωc, ἢ cυλλήψεωc, ἢ βεβαιώcεωc, ἢ θειαcμοῦ· εἰcὶ δὲ καὶ τὰ κατωμοτικὰ καὶ τὰ ἀπωμοτικὰ καὶ τὰ θετικά. Ποῖά εἰcι τὰ χρόνου δηλωτικά;

Τὰ δὲ χρόνου δηλωτικά.] Προcτιθέναι δεῖ *etc.* = Σ^h 96, 33 — 97, 17.

Οἷον νῦν τότε ⟨αὖθιc⟩.] Ἐπεί, ὡc προείπομεν, οἱ χρόνοι οὗτοι οἱ τρεῖc περιεκτικοί εἰcι πλειόνων καιρῶν, διὰ τοῦτο ὡc γενικοὺc προέταξεν αὐτούc· τοὺc δὲ καιροὺc ὑπέταξε τοῖc χρόνοιc ὡc μερικούc.

Τούτοιc δὲ ὡc εἴδη ὑποτακτέον τὰ καιροῦ παραcτατικά, οἷον χθὲc cήμερον αὔριον τόφρα τέωc ἕωc πηνίκα ἔπειτα ἄψ· τούτων γὰρ ἕκαcτον ⟨ἐφ'⟩ ὡριcμένου λέγεται καιροῦ.] Ἰcτέον δὲ ὅτι τὸ ὄφρα καὶ ἕωc προηγούμενά εἰcιν ἐν cυντάξει λόγου, τὸ δὲ τόφρα καὶ τέωc ἐπαγόμενα. [Προεγράφη ἄνω ἡ ἑρμηνεία, τὸ «Καὶ ἔcτι caφῶc εἰπεῖν» καὶ τἄλλα εἶτα.] Ἑξῆc οὖν ἐπάγει τὰ καιροῦ παραcτατικά, ἅπερ φηcὶν ὡc εἴδη ὑποτακτέον τοῖc χρόνοιc, οἷον cήμερον αὔριον· τούτων γὰρ ἕκαcτον ὡριcμένον τί ἐcτι καὶ περιγεγραμμένον. Καὶ τὸ τόφρα ἐπὶ ὡριcμένου καιροῦ λέγεται, ὡc ἐκεῖ ⟨Θ 66. ι 56⟩ τόφρα μὲν ἠὼc ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ· ἐcήμανε γὰρ χρόνον τὸν ἀπὸ πρωῒ ἕωc ἕκτηc ὥραc· καὶ τὸ τότε ὡριcμένον ἐcτί, καὶ ⟨τὸ⟩ ἦμοc δὲ ὡριcμένον ἐcτίν, ὡc ἔχει ⟨ex. gr. Α 477⟩ ἦμοc δ' ἠριγένεια φάνη ῥοδοδάκτυλοc ἠώc, τὸν γὰρ ἑωθινὸν καιρὸν δηλοῖ [cημαίνει δὲ καὶ τὸ ἦμοc καιρόν]. Διαφέρει δὲ τὸ ἕωc τοῦ τέωc καὶ τὸ ὄφρα τοῦ τόφρα, ὅτι ὅτε μὲν προηγούμενά ἐcτιν ἐν cυντάξει λόγου, χωρὶc τοῦ cυμφώνου ἐcτίν, ὡc τὸ ἕωc καὶ τὸ ὄφρα, ὅτε δὲ ἐπάγεται, μετὰ cυμφώνου προφέρεται, ὡc τὸ τέωc καὶ τὸ τόφρα· αὕτη αὐτῶν ἐcτιν ἡ διαφορὰ μόνη.

Τούτοιc δὲ ὡc εἴδη ὑποτακτέον.] Ὑποτακτέον *etc.* = Σ^h 97, 19—22.

Καὶ δοκεῖ τι διάφορον εἶναι· οὐ γὰρ ταὐτόν ἐcτι χρόνοc καὶ καιρόc· ἔcτι γὰρ διαφορὰ τῶν τε χρόνων καὶ καιροῦ παραcτατικῶν ἐπιρρημάτων· καὶ τὰ χρονικὰ παράταcιν χρόνου καὶ ἀοριcτίαν ἐπαγγέλλονται, τὰ μέντοι καιρικὰ καιρὸν ὡριcμένον τινὰ παρίcτηcιν.

Ποῖά εἰcι τὰ τῆc μεcότητοc; Τὸ καλῶc cοφῶc δυνατῶc. Εἴρηται μεcότητοc ἐπιρρήματα, παρόcον εἰcὶ μέcα ἀρcενικῶν καὶ θηλυκῶν καὶ οὐδετέρων ὀνομάτων· ἐκ μέcου γὰρ τῆc κλίcεωc τῶν ὀνομάτων λαμβάνονται· ἀπὸ γὰρ τῶν τριῶν γενῶν ἐκπίπτει ἡ γενικὴ εἰc ῶν, οἷον καλοί καλαί καλά καλῶν καλῶc, φίλοι φίλαι φίλα φίλων φίλωc, cοφοί cοφαί

34—430, 7 *cfr* Σ^h *97, 33—98, 2*

6 Τὰ — δηλωτ. N, *om* V ‖ 9 γενικοὺc πρ. αὐτοὺc N, γενικὰ πρ. αὐτὰ V ‖ 11 Τούτοιc — Εἶτα (16) *om* N ‖ 17 εἴδη N, ἤδη V ‖ 19 λέγεται V, γίνεται N | τόφρα (*poster.*) VN, ὄφρα *edd. Hom.* ‖ 34 Ποῖά — δυνατῶc V, τὰ δὲ μεcότητοc N

σοφά σοφῶν σοφῶς· καὶ ἀπὸ μὲν τῆς γενέσεως μεσότητος, ἀπὸ δὲ τῆς σημασίας ποιότητος ἐπιρρήματα καλοῦνται.

Καὶ χρὴ γινώσκειν, ὡς τὸ τῆς μεσότητος ἐπίρρημα πάντως ἐστὶ καὶ ποιότητος, οὐ μὴν εἴ τι ποιότητος, πάντως καὶ μεσότητος· οἷον ἐὰν εἴπω «καλῶς γράφω», τὴν ποιότητα τῆς καλῆς γραφῆς ἐδήλωσα, ἢ ⟨ἐὰν εἴπω⟩ «σοφῶς λέγω», ὁμοίως τὴν ποιότητα τῆς σοφωτάτης λέξεως ἐδήλωσα.

Πάντα δὲ παράγωγα τὰ εἰς $\overline{\text{ως}}$ *etc.* = Σ^v 274, 31—275, 2.

Δεῖ δὲ πρότερον ἀποβλέπειν *etc.* = Σ^v 275, 18—28.

Ἰστέον δὲ ὅτι τῶν ἐπιρρημάτων ἀπὸ μὲν ὀνόματος πεποίηται καλῶς θύραζε, ἀπὸ δὲ ῥήματος μίγδην κρύβδην ἀναφανδόν συριστί καὶ τὰ ὅμοια, ἀπὸ δὲ ἐπιρρήματος τηνικαῦτα τῆμος τημοῦτος, ἀπὸ δὲ προθέσεως ἄνω κάτω ἔξω.

Ποῖά εἰσι τὰ τῆς ποιότητος; Τὸ πύξ λάξ βοτρυδόν ἀγεληδόν καὶ τὰ ὅμοια. — Ποιότητος λέγονται *etc.* = Σ^h 98, 6—10.

Ἰστέον δὲ ὅτι ποιότητός εἰσιν *etc.* = Σ^v 275, 30—276, 11.

Ποῖά εἰσι τὰ ἀριθμοῦ δηλωτικά; Τὸ δίς τρίς τετράκις, ἃ καὶ ποσὸν ὡρισμένον δηλοῦσι. Ψεύδεται ὁ τεχνικὸς *etc.* = Σ^h 98, 13—17.

Ποῖά εἰσι τὰ τοπικά; Τὰ τόπον δηλοῦντα, οἷον ἄνω κάτω ἐνώπιον καταμόνας χαμαί ἔνθεν ἐνθένδε ὅθεν ἐπέκεινα μακράν. — Τὰ τοπικὰ *etc.* = Σ^h 98, 19—100, 10.

Οἷον ἄνω κάτω.] Τὰ εἰς $\overline{\text{ω}}$ παράγωγα *etc.* = Σ^v 277, 2—8.

Οἷον οἴκοι.] Τὰ εἰς $\overline{\text{οι}}$ ὑπὲρ δύο συλλαβάς *etc.* = Σ^v 278, 1—11 *et* 25—32.

Ποῖα τὰ τῆς εὐχῆς σημαντικά; Τὸ εἴθε αἴθε καὶ εἰ καὶ αἰ Αἰολικόν, χωρὶς τῆς $\overline{\text{θε}}$ ἐπεκτάσεως· ἔστι δὲ καὶ τὸ ὄφελον καὶ τὸ ὤφελες, ὃ καὶ μέγα καὶ μικρὸν γράφεται. — Δι' αὐτῶν γὰρ εὐκτικὰς συντάξεις σημαίνομεν, ⟨ex gr. Η 157⟩ εἴθ' ὣς ἡβώοιμι· τὸ γὰρ αἴθε εἴθε φησὶν ὁ ποιητής· [καὶ Καλλίμαχος ⟨fr. 455 Sch⟩ ἀβάλε μηδ' ἀβόλησα·] τὸ εἴθε καὶ τὸ ἀβάλε ἐκ παραλλήλου [τὸ αὐτό] κεῖται [ἡ λέξις], τὸ ἀβάλε παρὰ Καλλιμάχῳ, ἔνθα φησὶν ἀβάλε μηδ' ἀβόλησα, τουτέστιν εἴθε μηδὲ συνέτυχον· τὸ γὰρ ἀβολῆσαι συντυχεῖν ἐστιν, ὡς καὶ παρ' Ὁμήρῳ ⟨Π 847⟩ τοιοῦτοι δ' εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν, ἀντὶ τοῦ συνέτυχον.

Διαφέρει δὲ τὸ ὤφελε τοῦ εἴθε, ὅτι ἀπαρεμφάτοις συντάσσεται καὶ

35—431, 9 *cfr* Σ^v *279, 10—15*

10 πεποίηται N, *om* V ‖ 11 τὰ N, τινὰ V ‖ 14 Ποῖά — ὅμοια (15) V, τὰ δὲ ποιότητος N ‖ 15 τὰ] τινὰ V ‖ 17—18 *post p. 429, 33 transp.* V ‖ 17 Ποῖά — δηλοῦσι (18) V, τὰ δὲ ἀριθμοῦ N ‖ 19 Ποῖά — μακράν (20) V, τὰ δὲ τοπικά N ‖ 25 — 27 (γράφεται) *om* N ‖ 28 εἴθε ὣς VN | αἴθε N, *om* V ‖ 29 ἀμβόλησα VN; *item v. 31* ‖ 30 εἴθε V, αἴθε N ‖ 32 ἀμβολῆσαι VN | συντυχεῖν N, συνεντυχεῖν V | *post* ἐστιν *add* παρὰ τὸ ἀντιβολῶ ἀντιβολήσω γέγονεν N ‖ 33 τοσοῦτοι N, τοσοῦτον V ‖ 35 ὤφελε V, ὄφελον N

τοῖϲ τριϲὶ προϲώποιϲ, τὸ δὲ εὐκτικοῖϲ, ⟨ex. gr. Η 157⟩ εἴθ' ὣϲ ἡβώοιμι· τὸ δὲ ἀβάλε δύο ἐϲτὶ μέρη τοῦ λόγου ἐκ παραλλήλου κείμενα· τὸ γὰρ $\bar{α}$ πρὸ τοῦ $\bar{β}$ κατὰ κοινὴν διάλεκτον ἐν ἑνὶ μέρει λόγου ϲυϲτέλλεται, Ἄβυδοϲ ἁβρόϲ· εἰ δὴ ἓν μέροϲ λόγου, βραχὺ τὸ $\bar{α}$· ἔϲτι δὲ μακρόν· εὑρίϲκεται δὲ καὶ βάλε λεγόμενον, βάλε δὴ βάλε κηρύλοϲ εἴην, Ἀλκμάν ⟨fr. 26, 2 B[4]⟩· εἰ δ' ἦν ἀφαίρεϲιϲ ὡϲ ἑνὸϲ μέρουϲ λόγου, ἀλλὰ τὸ μακρὸν $\bar{α}$ οὐκ ἀφαιρεῖται· γέγονεν οὖν ἀποκοπὴ δύο ϲυλλαβῶν· ἀλλ' οὐδέποτε ἡ αὐτὴ ϲυλλαβὴ ἀφαιρεῖται καὶ ἀποκόπτει δύο ϲυλλαβάϲ.

Ἰϲτέον δὲ ὅτι εἰϲὶ καὶ εὐχῆϲ ἐπιρρήματα, οὐχ ὅτι αὐτὰ λέγων τιϲ εὐχὴν δοκεῖ ποιεῖϲθαι, ἀλλ' ἐπειδὴ ὅταν τιϲ εὔχηταί τι γενέϲθαι, τούτοιϲ χρῆται τοῖϲ μορίοιϲ, ὡϲ καὶ αὐτὸϲ ὁ τεχνικὸϲ λέγει, εἴθε ἀβάλε· οἷϲ ϲυγκατέταξάν τινεϲ καὶ τὸ ὤφελεϲ. Εἰ δὲ πολλάκιϲ εὑρέθη δύο τοιαῦτα παρὰ τοῖϲ ποιηταῖϲ, μὴ ξένον φανείη· ϲχήματι γὰρ κέχρηνται οἱ ποιηταὶ τῷ παραλλήλῳ. Τοῦτο τὸ αἴθε Δωρικώτερον, τὸ γὰρ $\bar{α}$ ἀντὶ τοῦ $\bar{ε}$ κατέταξαν· καὶ ἔϲτι πάντων ἡ χρῆϲιϲ παρὰ τοῖϲ ποιηταῖϲ, καὶ τοῦ αἴ καὶ τοῦ εἴ καὶ τοῦ ὄφελον, τοῦ μέντοι αἴ ⟨ex. gr. Β 371⟩ αἲ γάρ, Ζεῦ τε πάτερ· κατὰ παράλληλον ⟨ubi? an ξ 68?⟩ αἴθ' ὤφελλ' Ἑλένηϲ ἀπὸ πάμπαν φῦλον ὀλέϲθαι· τὸ ἆ παρὰ Καλλιμάχῳ ⟨fr. 323 Sch⟩ ἆ, πάντωϲ ἵνα γῆραϲ, καὶ τὸ βάλε κε νοεῦνται (*sic*).

Ποῖα τὰ ϲχετλιαϲμοῦ; Τὸ παπαί οὐαί ἰατταταῖ, ὃ καὶ ἰατταταιάξ γράφεται. — Σχετλιαϲτικὰ λέγεται τὰ ἐξ αὐτοπαθείαϲ ἀναπεμπόμενα ἐπιφθέγματα, ὅθεν καὶ πρώτου προϲώπου εἰϲίν. — Ἰϲτέον ὅτι ϲχετλιαϲμοῦ λέγεται εἶναι ἐπιφθέγματα, ὅταν τιϲ ὑπὸ μείζονοϲ προϲώπου κακῶϲ πεπονθὼϲ προ⟨ϲ⟩αναφωνῇ, ὡϲ τὸ ἰατταταῖ καὶ τὸ φεῦ ἰού καὶ ὢ πόποι καὶ τὸ ὤμοι. Ταῦτα δὲ πάντα τὰ ϲχετλιαϲτικὰ οἱαϲδήποτ' ἂν εἴη καταλήξεωϲ ὀφείλει περιϲπᾶϲθαι, ϲεϲημειωμένων δύο μόνων, τοῦ ὤμοι καὶ τοῦ ὢ πόποι, οἷον παπαῖ [ἰού] φεῦ. Ἰϲτέον δὲ ὅτι τὸ ἰού ϲεϲημείωται κατὰ τόνον· πᾶϲα γὰρ λέξιϲ εἰϲ $\overline{ου}$ δίφθογγον λήγουϲα [διὰ τοῦ $\bar{υ}$], ἐπ' αὐτοῦ ἔχουϲα τὸν τόνον, περιϲπωμένην ἔχει. Καὶ ἄλλωϲ· τὰ εἰϲ $\overline{ου}$ ἐπιρρήματα ⟨τοπικὰ⟩ περιϲπᾶται, ἀλλαχοῦ ἑκαϲταχοῦ· τὸ δὲ ἰδού καὶ ἰού ὀξυνόμενα τόπον οὐ δηλοῦϲιν, ἐπεὶ τὸ οὗ τοπικὸν περιϲπᾶται· καὶ τὸ φεῦ περιϲπᾶται. — Τῶν εἰϲ $\overline{ου}$ ἐπιρρημάτων τὴν ἐν τόπῳ ϲχέϲιν δηλούντων τὸ ποῦ καὶ τὴν εἰϲ τόπον ἐδήλου, οἷον ⟨Ν 219⟩ ποῦ τοι ἀπειλαὶ Οἴχονται; τὸ δὲ ὅπου βαρύνεται ὡϲ ἀναφορικόν.

10—13 *cfr* $Σ^v$ *279, 18—20* ‖ 22—23 = $Σ^h$ *100, 11—13* ‖ 23—26 = $Σ^v$ *279, 23—25*

4 δή] δὲ VN ‖ 6 ἑνὸϲ μέρουϲ N, ἓν μέροϲ V ‖ 13 ὤφελεϲ V, ὄφελεϲ N ‖ 18 παράλληλον N, παράλληλα V | ὤφελλ'] ὄφελ' VN ‖ 20 ἀπαντῶϲιν ἀγορᾶϲ VN | βάλε κενοεῦνται V, βάλε κυνοεῦντα N ‖ 21 Ποῖα — γράφεται (22) *om* N | ἰατταταὶ V ‖ 23 ὅθεν] ὅϲα VN ‖ 28 τοῦ (*post* καὶ) *om* V | παπαῖ N, παπαὶ V ‖ 35 οἴχονται N, εὔχονται V

Ποῖα τὰ τῆς ἀρνήσεως τῆς καὶ ἀποφάσεως; Τὸ οὔ οὐχί οὐκί οὐδῆτα οὔκουν οὐδαμῶς. — Ἀρνήσεως ταῦτα λέγονται, ὅτι ἐγκλήματος ἐπιφερομένου δι' αὐτῶν τις ἀρνεῖται. — Καὶ χρὴ εἰδέναι ὅτι ταῦτα τὰ τῆς ἀρνήσεως ἢ ἀποφάσεως ἐπιρρήματα ὁριστικοῖς συντάσσεται. Τὸ οὐχί παράλογον κατὰ τὸν τόνον, ἔδει γὰρ βαρύνεσθαι, ὡς τὸ ναίχι. Τὸ οὐδαμῶς οὕτως· οὐδαμόθεν οὐδαμῇ οὐδαμοῦ οὐδαμῶς. Ἰστέον δὲ ὅτι ἄρνησις καὶ ἀπόφασις ταὐτόν ἐστιν· Ὅμηρος· ⟨Α 514⟩ νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον, Ἢ ἀπόειπε, ἀντὶ τοῦ ἄρνησαι.

Ποῖα τὰ τῆς συγκαταθέσεως; Τὸ ναί, ναίχι [ναίφι]· ἔστι δὲ συγκατάθεσις ἐναντία τῇ ἀπαγορεύσει. — Πάλιν τούτοις κεχρήμεθα, ὅταν τισὶ συμβουλεύουσι κατατιθώμεθα καὶ ἐπαγγελλώμεθα, ὡς ναί ναίχι· τοῦτο παραγωγὴν ὑπομένει διὰ τῆς χ̅ι̅ συλλαβῆς οὐδὲν πλέον σημαῖνον, ὥσπερ καὶ ἡ οὐχί ἄρνησις οὐδὲν πλέον ⟨τῆς οὔ⟩ σημαίνει· ἐνταῦθα μὲν βαρύνεται, ἐν δὲ τῇ ἀρνήσει ὀξύνεται Ἀττικῇ συνηθείᾳ.

Ποῖα τὰ τῆς ἀπαγορεύσεως; Τὸ μή μηδῆτα μηδαμῶς μηδοπωσοῦν. — Τί διαφέρει ἄρνησις ἀπαγορεύσεως; Ὅτι ἡ μὲν ἄρνησις ἐναντία ἐστὶ τῇ καταφάσει διὰ τὸ ἐγκλήματος ἐπιφερομένου τίθεσθαι, ἡ δὲ ἀπαγόρευσις τὴν ἐν τῇ καταφάσει πρόσταξιν παύει, διότι ἀποτροπή ἐστι πράγματός τινος.

Ἀπαγόρευσίς ἐστιν ἐκ παραινέσεως ἀποτροπή· δι' αὐτῆς γὰρ ἀπαγορεύομεν τοῦ μὴ τόδε ἢ τόδε ποιεῖν. Καὶ χρὴ εἰδέναι ὅτι ταῦτα τὰ τῆς ἀπαγορεύσεως ἐπιρρήματα προστακτικοῖς συντάσσονται, καὶ ὅτι διαφέρει ἄρνησις ἀπαγορεύσεως, ὅτι ἡ μὲν ἄρνησις ἐπὶ ἐγκλήματος ἐπιφερομένου γίνεται, ἡ δὲ ἀπαγόρευσις ἀποτροπή ἐστι πράγματός τινος. — Ἰστέον δὲ ὅτι τὰ εἰς η̅ λήγοντα, ὡς τὸ πῇ, ὡς ἐπίπαν τὴν εἰς τόπον δηλοῖ σχέσιν, οἷον ⟨Ζ 377⟩ πῇ ἔβη Ἀνδρομάχη; ⟨Α 120⟩ ὅ μοι γέρας ἔρχεται ἄλλῃ, ⟨ρ 219⟩ πῇ δὴ τόνδε μολοβρὸν ἄγεις;

Οἷον μή μηδῆτα μηδαμῶς.] Τούτων *etc.* = Σ^{v} 280, 5—10.

Ποῖα ⟨τὰ⟩ τῆς παραβολῆς τῆς καὶ ὁμοιώσεως; Τὸ ὥς ὥσπερ ἠΰτε εὖτε καθά καθάπερ. — Δι' αὐτῶν *etc.* = Σ^{h} 100, 35—38.

Ποῖά εἰσι τὰ τῆς ποσότητος; Τὸ πολλάκις ὀλιγάκις μυριάκις, ἅτινα ποσότητα δηλοῖ.

Ποῖά εἰσι τὰ τοῦ θαυμασμοῦ; Τὸ βαβαί, τὸ ὤ τὸ θαυμαστικόν, τὸ Ἡράκλεις, τὸ Ἄπολλον.

Ποῖά εἰσι τὰ τοῦ εἰκασμοῦ; Τὸ ἴσως τάχα τυχόν· τὸ μὴ εἰδέναι γὰρ ἀκριβῶς εἰκάζειν φαμέν. — Εἰκασμὸς δέ ἐστιν = Σ^{h} 101, 1—4.

2—4 = Σ^{h} *100, 22 seq. 26 seq.* ‖ **20—24** = Σ^{h} *100, 30—34*

1 Ποῖα — οὐδαμῶς (2) *om* N ‖ 7 μὲν N, *om* V ‖ 9 Ποῖα — ἀπαγορεύσει (10) *om* N ‖ 11 κατατιθέμεθα VN ‖ 13 ὥσπερ — σημαίνει N, *om* V | οὐχί] οὔ N ‖ 15 Ποῖα — τινος (19) *om* N ‖ 17 ἐγκλήματα ἐπιφερόμενα V ‖ 20 ἀνατροπή VN ‖ 23 ἐπὶ V, *om* N ‖ 24 γίνεται] λέγεται VN ‖ 25 *poster.* ὡς *om* V ‖ 26 ὅ μοι γέρας] ὅμοιος VN ‖ 27 πῇ δὴ] ἀλλὰ πῇ VN ‖ 29 Ποῖα — καθάπερ (30) *om* N ‖ 31—36 *om* N

Ποῖά εἰσι τὰ τῆς τάξεως; Τὸ ἑξῆς ἐφεξῆς καθεξῆς χωρίς νόσφι καὶ τὰ τοιαῦτα. — Ἰστέον ὅτι τὸ χωρίς ἀντὶ τοῦ κεχωρισμένως.

Ποῖα τὰ τῆς ἀθροίσεως; Τὸ ἄρδην χύδην ἤλιθα ἅλις καὶ ἕτερα. — Ἀθροίσεως λέγονται, ἐπειδὴ ἀθροίζοντες καὶ συστρέφοντες ὄχλον τούτοις κεχρήμεθα τοῖς ἐπιρρήμασιν. — Ἰστέον ὅτι τὰ διὰ τοῦ δην βαρύνεται *etc.* = Σ^{v} 280, 22 — 281, 2.

Ποῖα τὰ τῆς παρακελεύσεως; Τὸ εἶα ἄγε φέρε δεῦρο ἴθι ἄγρει μάν· εὑρέθη δὲ ⟨καὶ⟩ τὸ εἴ μόνον, οἷον ⟨Α 302⟩ εἰ δ' ἄγε μήν, πείρησαι, ἵνα γνώωσι καὶ οἵδε. — Παρακελεύσεως λέγονται ὅτι δι' αὐτῶν παρακελευόμεθα *etc.* = Σ^{h} 101, 8—12.

Οἷον εἶα ἄγε.] Καὶ τὸ εἶεν παρακελευστικόν *etc.* = Σ^{v} 281, 4—7.

Ποῖα τὰ τῆς συγκρίσεως; Τὸ μᾶλλον ἧττον κρεῖττον.

Ποῖα τὰ τῆς ἐρωτήσεως; Τὸ πόθεν ποῦ διατί πηνίκα πῶς. — Ἰστέον ὅτι τὰ ἐρωτηματικὰ πάντα εἰς δύο μέρη λόγου συντείνει, εἴς τε ὄνομα μόνον καὶ ἐπίρρημα. Καὶ περὶ μὲν τῶν ἐρωτηματικῶν ἀρκούντως εἴρηται ἐν τῷ περὶ ὀνόματος· ἐπεὶ δὲ περὶ ἐπιρρήματος λέγειν πρόκειται, ἔστι πῶς πότε πῇ ⟨πηνίκα⟩ ποῦ· ταῦτά ἐστιν τὰ ἐν ἐπιρρήμασιν ἐρωτηματικά. Πᾶν δὲ ἐρωτηματικὸν ἀπὸ τοῦ π ἄρχεται, σεσημειωμένου ἐν μὲν ὀνόμασι τοῦ τίς, ἐν δὲ ἐπιρρήμασι τοῦ ὥς, ὅπερ μᾶλλον ἂν εἴη ὁμοιώσεως καὶ παραβολῆς ἤπερ ἐρωτήσεως, οἷον πόθεν ποῦ πηνίκα πῶς. Καὶ ἐκ μὲν τοῦ πῶς ζητεῖται τρόπος, τοῦ πηνίκα χρόνος, τοῦ πόθεν τόπος καὶ τοῦ ποῦ καὶ πόσε· ἡ δὲ ἐρώτησις ἐν πᾶσι τοῖς μέρεσι τοῦ λόγου [εἴρηται].

Ποῖα τὰ τῆς ἐπιτάσεως; Τὸ λίαν σφόδρα ἄγαν πάνυ μάλιστα κομιδῇ.

Ποῖα τὰ τῆς συλλήψεως; Τὸ ἅμα ὁμοῦ ἄμυδις. — Τὸ ἄμυδις *etc.* = Σ^{v} 281, 24—26.

Ποῖα τὰ τῆς βεβαιώσεως; Τὸ δηλαδή, τουτέστι [καὶ] τὸ πάντως δήπουθεν, καὶ τὸ ἀμήν. — Βεβαιῶν *etc.* = Σ^{v} 282, 6—8.

Ποῖα τὰ τοῦ θειασμοῦ; Τὸ εὐοῖ. — Θειασμοῦ *etc.* = Σ^{h} 102, 1—3.

Καὶ πάλιν θειασμοῦ λέγεται ἐπιρρήματα, ἃ θειάζοντές τινες καὶ κάτοχοι τῷ Διονύσῳ γινόμενοι, τουτέστιν ἐμφορούμενοι ὑπὸ ⟨σφοδροῦ⟩ τινος πνεύματος, ἐπιφθέγγονται καὶ λέγουσιν εὐάν εὐοῖ· ταῦτα οὖν

4—5 = Σ^{h} *101, 5 seq.* ‖ 18—23 *cfr* Σ^{v} *281, 11—14* ‖ 32—434, 1 *cfr* Σ^{v} *282, 28 — 283, 2*

1 Ποῖά — τοιαῦτα (2) *om* N ‖ 3 Ποῖα — ἕτερα *om* N ‖ 7 Ποῖα — ὅτι (9) *om* N | εἶα V; *item v. 11* ‖ 11 εἶεν VN ‖ 12 Ποῖα — πῶς (13) *om* N ‖ 14 *post* τε *add* τὸ V ‖ 15 καὶ μόνον VN ‖ 19 ὥς *R Schneider*, οὕτως VN ‖ 22 καὶ πότε N, *om* V ‖ 24 Ποῖα — ὁμοῦ ἄμυδις (26) *om* N ‖ 26 ἄμυδις (*bis*) V ‖ 28 Ποῖα — ἀμήν (29) *om* N ‖ 28 — 434, 28 *eo ordine quem* τέχνη *praebet in* N *adverbia tractantur* ‖ 30 Ποῖα — εὐοῖ *om* N | εὖ. οἶ V ‖ 32 ἐπιρρήμ. N, *om* V ‖ 34 εὖ ἄν. εὖ οἶ VN; *sic semper*

ἐστι τοῦ Διονύσου, ἐπειδὴ καὶ αὐτὸς μανίας ἐστὶ ποιητής, καὶ ταῦτα ⟨τὰ⟩ ἐπιφθέγματα ὑπὸ τῶν μυστῶν πρὸς αὐτὸν λέγεται. Ἐπάγεται δὲ αὐτοῖς ῥῆμα τὸ ἐπιφθέγγομαι, «εὐάν ἐπιφθέγγομαι» καὶ «εὐοῖ ἐπιλέγω». Ἰστέον δὲ ὅτι τὸ εὐοῖ καὶ εὐάν [καὶ] ἀλόγως δασεῖαν ἔχουσιν ἐν τέλει ἁπλᾶ ὄντα, εἰ μή τις εἴποι, τὸ σφοδρὸν πνεῦμα τοῖς βακχιάζουσιν ἁρμόζειν. — Ἰστέον ὅτι θειασμὸς ἡ θεοφόρησις λέγεται.

Ποῖά εἰσι τὰ κατωμοτικά; Τὸ νή. — Κατωμοτικὸν δέ ἐστι τὸ μεθ' ὅρκου βεβαιωτικόν, οἷον ⟨cfr A 234⟩ νὴ τοῦτο τὸ σκῆπτρον, ⟨ubi?⟩ νὴ τὴν σὴν ἱερὰν κεφαλήν. Ἰστέον δὲ ὅτι τὰ κατωμοτικὰ ἀκολουθεῖ τῇ συγκαταθέσει· ὀμνύω γὰρ οὕτως· «νὴ τοὺς θεοὺς ποιῶ τόδε»· τὸ δὲ λέγειν «ναὶ μὰ τοὺς θεοὺς ποιῶ τόδε» οὐκ ἔστιν ὅρκος. Ὅμηρος δὲ μόνος οὐ χρῆται τῷ νή κατωμοτικῷ, ἀλλὰ μόνῳ τῷ ἀπωμοτικῷ τῷ μά, ὡς τὸ ⟨A 234⟩ ναὶ μὰ τόδε σκῆπτρον, καὶ ⟨A 86⟩ οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον.

Ποῖα τὰ ἀπωμοτικά; Τὸ μά, τὸ οὔ. — Ἀπωμοτικόν ἐστι *etc.* = Σ^h 101, 20—25.

Οἷον μά.] Τὸ δὲ μά εὑρίσκεται καὶ ἐπὶ συγκαταθέσεως. Ἰστέον δὲ ὅτι τὰ ἀπωμοτικὰ ἀκολουθεῖ τοῖς ἀπαγορευτικοῖς· ὀμνύω γὰρ οὕτω· «μὰ τὸν Ἀπόλλωνα, ἀδικήσω γέ σε», ἢ «οὐκ ἀδικήσω γέ σε». Ἀπωμοτικὸν τὸ οὔ· Ὅμηρος ⟨A 86⟩ οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον, ᾧτε σὺ Κάλχαν, ⟨A 88⟩ οὔ τις ἐμεῦ ζῶντος· καὶ οὐκ ἠρκέσθη τῷ προτέρῳ ἀπαγορευτικῷ, ἀλλὰ καὶ δεύτερον ἐπήγαγε τὸ οὔ τις· ὅθεν μάλιστα γνωστέον, ὅτι τὰ ἀπωμοτικὰ τοῖς ἀπαγορευτικοῖς ἀκολουθεῖ.

Ποῖα τὰ θετικά; Τὸ ἀναγνωστέον πλευστέον ὑπνωτέον λαλητέον καὶ ὅσα δηλοῖ τὸ δέον ἐστὶ τόδε ποιῆσαι. — Θετικά ἐστι τὰ θέσιν *etc.* = Σ^h 101, 32—36.

Ἰστέον δὲ ὅτι θετικὰ λέγονται ἀπὸ τοῦ θεῖναι *etc.* = Σ^v 282, 18—21.

Ποῖα τὰ δεικτικά; Τὰ δεῖξίν τινα σημαίνοντα, οἷον ἴδε ἰδού.

Ποῖα τὰ τῆς βεβαιώσεως; Τὸ δηλαδή. — Βεβαιῶν *etc.* = Σ^v 282, 6—8.

Ἐκ πόσων μερῶν τοῦ λόγου γίνονται τὰ ἐπιρρήματα; Ἐκ πάντων· ἀπὸ μὲν ὀνόματος, ὡς τὸ φρόνιμος φρονίμως· ἀπὸ ῥήματος, ὡς τὸ κρύπτω κρύβδην, αἰολίζω αἰολιστί· ἀπὸ μετοχῆς, ὡς τὸ ἐπιστάμενος ἐπισταμένως· ἀπὸ ἄρθρου, ὡς τὸ ὅς ὥς· ἀπὸ ἀντωνυμίας, ὡς τὸ οὗτος οὕτως, ἐκεῖνος ἐκείνως· ἀπὸ προθέσεως, ὡς τὸ ἀνά

4—6 = Σ^v *282, 22—24*

2 λέγεται] λέγουσιν V, λέγομεν N ‖ **5** ἐν τέλει] ἐντελῆ VN | εἴποι V, εἴπῃ N ‖ **6** Ἰστέον — λέγεται *om* N ‖ **7** Ποῖα — νή *om* N ‖ **9** νὴ τὴν — κεφ. *om* N ‖ **10** οὕτως] τοῦ γενέσθαι VN ‖ **11** ὅρκος] ἄρθρον N, *ad* ὅρκος *in marg. add* εἶχεν ἄρθρον V[1] ‖ **13** τόδε τὸ σκ. V ‖ **15** Ποῖα — οὔ *om* N ‖ **20** Ὅμηρος N, *om* V ‖ **23** *in marg. add* V[2]: συντάσσονται δὲ πρὸς δοτικὴν καὶ αἰτιατικήν ‖ **24** Ποῖα — ποιῆσαι (**25**) *om* N ‖ **30—31** *habet iam p. 433, 28 seq.* ‖ **32—435, 27** *om* N ‖ **33** κρύβδω V

ἄνω, κατά κάτω· ἀπὸ ἐπιρρήματος, ὡς τὸ ἐγγύς ἐγγυτέρω· ἀπὸ συνδέσμου, ὡς τὸ καθά καθώς.

Ἐκ πόσων δὴ πτώσεων γίνονται τὰ ἐπιρρήματα; Ἐκ πασῶν· ἀπὸ εὐθείας, ὡς ἐκ τοῦ πρόφρων, ὃ δηλοῖ τὸν πρόθυμον, τὸ πρόφρων, οἷον ⟨Ξ 357⟩ πρόφρων ⟨νῦν⟩ Δαναοῖσι, Ποσείδαον, ἐπάμυνον, ἀντὶ τοῦ προφρόνως· ἀπὸ γενικῆς, ὡς ἐκ τῆς προικός γενικῆς τὸ προικός ἐπίρρημα, οἷον ⟨ν 15⟩ ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι· ἀπὸ δοτικῆς, ὡς ἐκ τῆς ἰδίᾳ δοτικῆς (ἔστι γὰρ ἡ εὐθεῖα ἡ ἰδία, ἡ γενικὴ τῆς ἰδίας, ἡ δοτικὴ τῇ ἰδίᾳ) τὸ ἰδίᾳ ἐπίρρημα, οἷον ⟨Ev. Joh. 18, 20⟩ ἰδίᾳ ἦλθον ἐγώ, παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἀπὸ αἰτιατικῆς, ὡς ἐκ τῆς ἀπριάτην αἰτιατικῆς (ἔστι γὰρ ἡ εὐθεῖα ἡ ἀπριάτη, ἡ γενικὴ τῆς ἀπριάτης, ἡ δοτικὴ τῇ ἀπριάτῃ, ἡ αἰτιατικὴ τὴν ἀπριάτην) τὸ ἀπριάτην ἐπίρρημα, οἷον ⟨A 99⟩ ἀπριάτην ἀνάποινον· καὶ ὡς ἐκ τῆς πέραν αἰτιατικῆς (ἔστι γὰρ ἡ πέρα, καὶ κλίνεται τῆς πέρας, ἡ δοτικὴ τῇ πέρᾳ, ἡ αἰτιατικὴ τὴν πέραν) τὸ πέραν ἐπίρρημα, ὡς τὸ ⟨Ev. Joh. 18, 1⟩ πέραν τοῦ χειμάρρου τῶν κέδρων· ἀπὸ κλητικῆς, οἷον ⟨ἐκ τοῦ⟩ ὦ Ἡράκλεις, τὸ Ἡράκλεις ἐπίρρημα, οἷον ⟨Lucian. Fugit. c. 32⟩ Ἡράκλεις ἀλεξίκακε, καὶ ἐκ τοῦ ὦ Ἄπολλον τὸ ⟨Arist. Plut. 854⟩ Ἄπολλον ἀποτρόπαιε· ἀμφότερα γάρ, τό τε Ἡράκλεις καὶ τὸ Ἄπολλον, ἐπὶ θαυμασμοῦ καὶ ἐκπλήξεως· ὡς καὶ παρὰ Λουκιανῷ τὸ ⟨ubi?⟩ ὦ τοῦ θαύματος.

Ταῦτα μὲν οὖν τὰ ἀπὸ τῶν ἄλλων πτώσεων μεσότητος λέγεται, ἔχουσι γὰρ δυνάμει τὴν σημασίαν αὐτῶν· τὰ δὲ ἀπὸ κλητικῆς οὐδέποτε, ἀλλ' εἰσὶ ταῦτα θαυμαστικὰ καὶ ἐκπληκτικά· ὅθεν καὶ πρὸς γενικὴν λέγονται, ὡς τὸ βαβαί καὶ φεῦ, ὡς παρὰ Ἀριστοφάνει ⟨Nub. 153⟩ ὦ Ζεῦ βασιλεῦ, τῆς λεπτότητος τῶν φρενῶν, ἀντὶ τοῦ «βαβαὶ τῆς λεπτότητος», ἔξωθεν προσυπακούεται τὸ ἕνεκα.

Ποσαχῶς γίνονται τὰ τῆς μεσότητος ἐπιρρήματα; Πενταχῶς· κατὰ ἔπαινον, ὡς τὸ καλῶς σοφῶς· κατὰ ψόγον, ὡς τὸ πονηρῶς ἀθέως· κατὰ ἐπιτήδευμα, ὡς τὸ γραμματικῶς ῥητορικῶς· κατὰ μετουσίαν, ὡς τὸ σαρκικῶς ἀνθρωπικῶς· κατὰ ἐναλλαγήν, ὡς τὸ ἄλλως ἐκείνως.

§ 20 (25b).

Περὶ συνδέσμου.

Σαφῶς καὶ εὐτάκτως καὶ τεχνικῶς *etc.* = Σ^h 102, 5—13.

Ἰστέον ὅτι σύνδεσμος διὰ τοῦτο ἐκλήθη, διὰ τὸ συνδεῖν καὶ συνέχειν καὶ ὥσπερ εἰπεῖν συνάγειν τὴν ἐν τοῖς μέρεσι τοῦ λόγου δηλουμένην διάνοιαν· ἐὰν γὰρ εἴπω τι ῥητὸν ἄνευ συνδέσμων, ἀφανὴς ἡ διάνοια μένει. Εὐλόγως τοίνυν ὁ σύνδεσμος ἐν τοῖς τοῦ λόγου μέρεσι τελευταῖος τέτακται· δεῖ γὰρ προευτρεπίζεσθαι τὰ συνδεθησόμενα.

Ἰστέον δὲ πάλιν, ὅτι τὸν περὶ συνδέσμου λόγον τελευταῖον τέταχεν ὁ τεχνικός· καὶ εἰκότως, εἰ σύνδεσμος λέγεται παρὰ τὸ συνδεῖν καὶ συνδεσμεῖν καὶ συμπλέκειν, δεῖ δὲ πρὸ τῶν συνδέσμων τὰ δεσμευόμενα προευτρεπίζεσθαι, ἀναγκαίως μετὰ τὰ προειρημένα μέρη τοῦ λόγου παρὰ τῷ τεχνικῷ ἔσχατος παρείληπται. Ὁ δὲ Ἀπολλώνιος ὁριζόμενός φησι

---

5 ποσειδάων V ‖ 27 *hic praefixa inscriptione* Ἡρῳδιανοῦ περὶ τοῦ ΩΣ μορίου V *eadem fere addit quae leguntur apud Choeroboscum epim. in psal. 41, 29—43, 24 et EtM 824, 13—50 (ad verbum congruunt cum* V *quae ibi e codice Vossiano in adnotatione sunt prolata)* ‖ 35 συνδεθησόμενα N, συντεθησόμενα V ‖ 37 τὸ N, τοῦ V | συνδεῖν καὶ V, *om* N

σύνδεσμον εἶναι συνδετικὸν μόριον τῶν τοῦ λόγου μερῶν. Δεῖ δὲ γινώσκειν, ὅτι καθ' ἑαυτὸν ὁ σύνδεσμος οὐδὲν σημαίνει, συντασσόμενος δὲ τὰ ἐλλείποντα ἢ κεχηνότα ἢ διαλελυμένα συσφίγγει. Καὶ εἰσὶ τρόποι ἤγουν διαφοραὶ τῶν συνδέσμων ὀκτώ.

Σύνδεσμός ἐστι λέξις.] Προσθεῖναι δεῖ τὸ «ἄκλιτος», ἵν' ᾖ ὁ λόγος οὕτως· «σύνδεσμός ἐστι λέξις ἄκλιτος καὶ ἀκίνητος, συνδετικὸς τῶν τοῦ λόγου μερῶν, [ἐν] οἷς καὶ συσσημαίνει, τάξιν ἢ δύναμιν παριστάνουσα». Σύνδεσμος δὲ καὶ οὐ δεσμός, ἐπεὶ δεσμὸς καὶ ἐφ' ἑνός, σύνδεσμος δὲ ἐπὶ δύο ἢ καὶ πλειόνων χαρακτηρίζεται· ἐν τούτῳ γὰρ διαφέρει τοῦ δεσμοῦ σύνδεσμος.

Παρέπεται δὲ τῷ συνδέσμῳ *etc.* = Σ^v 283, 7—12.

Σύνδεσμος οὖν ἐστι λέξις συνδέουσα διάνοιαν μετὰ τάξεως.] Προστιθέναι πάλιν δεῖ «καὶ ⟨συσ⟩σημαίνουσα τῇ διανοίᾳ», ἵν' ᾖ πάλιν οὕτως ὁ λόγος «συνδέουσα διάνοιαν καὶ ⟨συσ⟩σημαίνουσα τῇ διανοίᾳ». «Μετὰ τάξεως»· προστιθέναι πάλιν δεῖ «καὶ δυνάμεως», ἵν' ᾖ ὁ λόγος «μετὰ τάξεως καὶ δυνάμεως», ἐπεί τινες τῶν συνδέσμων ἐν τάξει μὲν παραλαμβάνονται, τὴν δὲ δύναμιν τοῦ πράγματος οὐκ ἐπαγγέλλονται, τινὲς δὲ οὐκ ἐν τάξει, ἀλλὰ τὴν δύναμιν ἐπαγγέλλονται, ἄλλοι δὲ καὶ ἐν τάξει παραλαμβάνονται καὶ τὴν δύναμιν ἐπαγγέλλονται τοῦ πράγματος. Καὶ ἔστι τὰ παραδείγματα ταῦτα.... Καλῶς τοίνυν προσέθηκεν ὁ τεχνογράφος τὸ «μετὰ τάξεως»· ἀκολουθίᾳ γὰρ ἕκαστος καὶ τάξει τίθεται, ποτὲ συμπλεκτικός, ποτὲ διαζευκτικός, καὶ ἕκαστος τῶν ἄλλων πρὸς τὴν ὑποκειμένην δύναμιν. — Καὶ τὸ τῆς ἑρμηνείας κεχηνὸς δηλοῦσα.] Τοῦτό φησι διὰ τοὺς διαζευκτικοὺς συνδέσμους· ἐκεῖνοι γὰρ τὸ τῆς ἑρμηνείας, ὅ ἐστι τὸ τῆς διανοίας, διεζευγμένον καὶ διεστηκὸς δηλοῦσιν. Δοκεῖ τοίνυν ὑπεναντία ἑαυτῷ εἰρηκέναι ὁ τεχνογράφος· προειπὼν γάρ, ὅτι ὁ σύνδεσμος οὐδὲν ἄλλο ποιεῖ ἢ συνδεῖ καὶ οὐκ ἐᾷ χαυνωθῆναι οὔτε τὸ ῥητὸν οὔτε τὴν διάνοιαν, ἐνταῦθα [δὲ] τὸ ἐναντίον φησίν, ὅτι ὁ σύνδεσμος τὸ τῆς ἑρμηνείας κεχηνὸς δηλοῖ, δέον εἰπεῖν ὅτι συνάγει καὶ συστρέφει. Ἀλλὰ τὸ «δηλοῦσα» οὕτω νοητέον, ὅτι τότε δηλοῦσα, ὅτε οὐ συντέτακται· διελέγχεται γὰρ μὴ παρόντος τοῦ συνδέσμου καὶ τὸ τῆς ἑρμηνείας χαῦνον καὶ τὸ ἄδηλον τῆς διανοίας. Διαφοραὶ δὲ συνδέσμων εἰσὶν ὀκτώ.

Τί σημαίνει ἑρμηνεία; Τὴν φράσιν· ὁ γὰρ σύνδεσμος τὰ κῶλα καὶ κόμματα συναρμόττει αὐτῷ, τουτέστι δι' ἑαυτοῦ· καὶ κατά τι μὲν συνδέει τὴν διάνοιαν, κατά τι δὲ τὸ διεζευγμένον αὐτῆς ὑποδεικνύει. Τί σημαίνει κεχηνός; Τὸ διακεχω-

13—20 *cfr* Σ^h *102, 21—27* ‖ **26—33 hab. et.** A

7 παριστάνει V, παριστάνον N ‖ **9** ἢ N, *om* V | χαρακτ. — σύνδεσμος (**10**) V, *om* N ‖ **12** Σύνδ. — τάξεως *om* N ‖ **13** ἵν' ᾖ — διανοίᾳ (**14**) N, *om* V ‖ **18** τινὲς — ἐπαγγέλλ. N, *om* V ‖ **20** πράγματος] προβλήματος VN ‖ **23** Καὶ — δηλοῦσα (**24**) V, *om* N ‖ **25** ὅ — διανοίας N, *om* V ‖ **26** ὑπεναντία VN, ὑπεναντίως A ‖ **28** καὶ — διάνοιαν *om* A ‖ **29** δὲ τὸ ἐναν. *om* A **30** συνάγει NA, συνᾴδει V ‖ **34—437, 8** (ἄν) V, *om* N

ρισμένον. Διὰ τί πάντων τῶν τοῦ λόγου μερῶν ἔσχατος ἐτέθη ὁ σύνδεσμος; Ἵνα συνδήσῃ καὶ συνδεσμεύσῃ πάντα τὰ πρὸ αὐτοῦ λεχθέντα μέρη τοῦ λόγου.

Τῶν δὲ συνδέσμων οἱ μέν εἰσι συμπλεκτικοί, οἱ δὲ διαζευκτικοί, οἱ δὲ συναπτικοί, οἱ δὲ παρασυναπτικοί, οἱ δὲ αἰτιολογικοί, οἱ δὲ ἀπορηματικοί, οἱ δὲ συλλογιστικοί, οἱ δὲ παραπληρωματικοί. Συμπλεκτικοὶ μὲν οὖν εἰσιν ὅσοι τὴν μὲν διάνοιαν ἐπ' ἄπειρον ἐκφερομένην συνδέουσιν· εἰσὶ δὲ οἵδε, μέν δέ τέ καί ἀλλά ἠμέν ἠδέ ἀτάρ αὐτάρ ἰδέ ἤτοι κέν ἄν.] Οὗτοι, φησίν *etc.* = Σ^h 103, 15—22 (ἀνέγνων). — Λέγει δὲ τοὺς συμπλεκτικοὺς οἰκείους παρὰ τῷ συνδέσμῳ· καὶ ὄντως *etc.* = Σ^v 286, 24—26.

Χρὴ δὲ εἰδέναι, ὅτι οὐ δεῖ *etc.* = Σ^h 103, 27—30.

Ἴσθι μέντοι ὅτι τῶν συμπλεκτικῶν συνδέσμων αἱ μὲν φωναὶ πλείους εἰσί, τὰ δὲ σημαινόμενα ὀλιγώτερα· αὐτίκα γὰρ ⟨ὁ τέ καὶ⟩ ὁ ἠδέ καὶ ὁ ἰδέ [καὶ ὁ ἀλλά] καὶ ὁ ἠμέν ἀντὶ τοῦ καί παραλαμβάνονται· ἐπὰν δέ τι ὁ συμπλεκτικὸς συμπλέκῃ [ὅμοιον] ἐν τῇ τάξει ὄνομα, ὡς πρὸς ἕτερον συμπλέκει ὄνομα, καὶ εἰ ῥῆμα, ὁμοίως, καὶ ἀντωνυμία⟨ν⟩, καὶ ἁπλῶς εἰπεῖν τἄλλα μέρη τοῦ λόγου· ἐὰν γὰρ εἴπωμεν, ὅτι «Ἀγαμέμνων ἐπολέμησε καὶ ἐνίκησε» καὶ πάλιν «Ἀγαμέμνων στρατηλατήσας καὶ πολιορκήσας τὴν Τροίαν παρείληφε» ....

Συμπλεκτικοὶ μὲν ἐκλήθησαν ἀπὸ τοῦ συμπλέκειν. Τί δὲ συμπλέκουσι; Τὴν ἐπ' ἄπειρον χωροῦσαν ἑρμηνείαν, οἷον ⟨Β 494—496⟩

Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον
Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε,
οἵ θ' Ὑρίην ἐνέμοντο καὶ Αὐλίδα πετρήεσσαν·

ταῦτα πάντα καὶ τὰ ἑξῆς ἐπὶ μήκιστον προφερόμενα οἱ συμπλεκτικοὶ σύνδεσμοι εἰς ἄλληλα συμπλέκουσι καὶ ὥσπερ εἰπεῖν συνυφαίνουσιν. Εἰσὶ δὲ τὸν ἀριθμὸν ιγ'.

Ἰστέον δὲ ὅτι τῶν συμπλεκτικῶν *etc.* = Σ^v 285, 5—10; 14—16; 285, 20—286, 4.

Ἔστι δὲ γνῶναι καὶ τοῦτο, ὅτι ὁ μέν σύνδεσμος καὶ μονοσύλλαβός ⟨ἐστι⟩ καὶ ἀπὸ βραχείας ἀρξάμενος καὶ εἰς βραχεῖαν καταλήγων καὶ φιλαρκτικός [ἐν ἀρχῇ φράσεως ἐντιθέμενος]· τοῦτο οὖν ἐν ἀρχῇ στίχου ἢ λόγου ποιητὴς ἐμμέτρως παραλαμβάνειν ἠδυνάτει· ἐχρήσατο τοίνυν τῷ ἤτοι διαζευκτικῷ ὄντι, ὡς ἐν καταχρήσει, ἀντὶ τοῦ μέν. Εἰ δέ τις λέγοι, «καὶ εἴ γε τῷ ἤτοι ἀντὶ τοῦ μέν κέχρηνται ποιηταί, τίνος χάριν καὶ τοῦ μέν ἐμνημόνευσαν καὶ τὸν ἤτοι κατατάξαντες; ἐχρῆν γὰρ αὐτοὺς ἀρκεῖσθαι τῇ συντάξει τοῦ ἤτοι»· λέγομεν ὅτι παρὰ τοῖς ποιηταῖς πολλάκις ἐκ παραλλήλου σχῆμα γίνεται, ὡς ἔχει τὸ ⟨Β 305⟩ ἀμφὶ περὶ

3 δὲ σ.] γὰρ σ. V ‖ 21 συμπλέκουσι] συμπλέκει VN ‖ 24 κλόνιός τε VN ‖ 35 ἐν N, *om* V ‖ 36 λέγοι N, λέγει V | καὶ εἴ γε] καίγε VN ‖ 39 σχῆμα] σχήματος VN

κρήνην καὶ τὸ ⟨ex gr. B 8⟩ βάςκ' ἴθι· οὐδὲν οὖν ἄτοπον, καὶ ἐν τῷ ⟨Hes. Theog. 116⟩ ἤτοι μὲν πρώτιςτα Χάος γένετ' τὸ cχῆμα τῆς παραλληλότητος φυλάττεcθαι· οὗτος οὖν ὁ cύνδεςμος ὁ διαζευκτικὸς καθ' ἑαυτὸν παρὰ τοῖς ποιηταῖς ἀντὶ τοῦ μέν.

Διαφέρει δὲ *etc.* = **Σ**[h] 103, 35—104, 7 *et* 104, 10—16. — Ἰςτέον δὲ καὶ τοῦτο, ὅτι ὁ μέν δέ τέ καί ἀλλά ἀτάρ ⟨ἄν⟩ μέςοι, ὁ δὲ ἠμέν ἠδέ ἰδέ αὐτάρ [ἀλλά] κέν ποιητικοί· μόνος οὖν ἀπὸ τοῦ ἀτάρ ὁ αὐτάρ κατὰ πλεοναςμὸν τοῦ ῡ.

Διαζευκτικοὶ δέ εἰςιν ὅςοι τὴν μὲν φράςιν ἐπιςυνδέουςιν, ἀπὸ δὲ πράγματος εἰς πρᾶγμα διιςτῶςιν· εἰςὶ δὲ οἵδε, ἤ ἤτοι ἠέ.] Πῶς cύνδεςμοι λέγονται *etc.* = *eadem fere quae* **Σ**[h] 104, 10—29 (ἐπαγγέλλ.).

Ἄξιόν ἐςτι ζητῆςαι, τί δή ποτε *etc.* = **Σ**[v] 287, 28—34.

Δοκεῖ γάρ, ὡς εἴρηται, ὁ διαζευκτικὸς τὴν ἐναντίαν προςηγορίαν ἔχειν τῷ ςυνδέςμῳ· ἀλλὰ ςυνδεῖ μὲν τὴν φράςιν, τὰ δὲ πράγματα ἀπ' ἀλλήλων διιςτᾷ, ὡς ὅταν λέγωμεν «ἤτοι ἡμέρα ἐςτὶν ἢ νύξ». Διό μοι δοκεῖ ὁ τεχνογράφος καὶ πλέον τι τῷ διαζευκτικῷ ςυνδέςμῳ προςνεῖμαι, τὸ «ἐπί»· «ἐπιςυνδέουςι» γὰρ εἶπεν, οὐχ ἁπλῶς «ςυνδέουςιν», ἐκ τούτου δηλαδὴ cημαίνων, ὅτι οὐ μόνον οὐ διαζευγνύουςιν οὗτοι οἱ cύνδεςμοι, ἀλλὰ καὶ πάνυ ςυνάπτουςι τὴν φράςιν, ὡς ἀπεδείχθη. Εἰςὶ δὲ τὸν ἀριθμὸν οἱ διαζευκτικοὶ τρεῖς, ἤ ἤτοι ἠέ· εἰςὶ δὲ τούτων τῶν διαζευκτικῶν οἱ μὲν ποιητικοί, οἱ δὲ πεζοί, οἱ δὲ κοινοί· ὥςπερ ὁ ⟨ἤ⟩ μέςος ἐςτὶ καὶ ὁ ἤτοι, ὁ μέντοι ἠέ ποιητικός· εἴτε δὲ ποιητικοὶ εἴτε μέςοι, ὡς εἴρηται, ⟨διὰ τὴν⟩ διάζευξιν ὁμολογοῦςιν. Ἤτοι τῶν ἄλλων, ἤ τοῦ ἠέ ἢ ἑαυτοῦ ἀεὶ προτάττεται· ὁ γὰρ ἤ καὶ ἐν ἀρχῇ καὶ δευτέρως λαμβάνεται, «ἤτοι φῶς ἐςτιν ἢ ςκότος».

Χρὴ δὲ εἰδέναι *etc.* = **Σ**[h] 104, 34—105, 3.

Συναπτικοὶ δέ εἰςιν ὅςοι ὕπαρξιν μὲν οὐ δηλοῦςι, cημαίνουςι δὲ ἀκολουθίαν καὶ τάξιν· εἰςὶ δὲ οἵδε, εἴ εἴπερ εἰδή εἰδήπερ.] Ἴδιον ςυνδέςμου ἐςτὶν τὸ τάξιν ἢ δύναμιν cημαίνειν, ἔςθ' ὅτε δὲ καὶ τὰ δύο· οἱ μέντοι ςυναπτικοὶ τάξιν μόνην ἐπαγγέλλονται, οὐ μέντοι, ὥςπερ αὐτὸς ὁ τεχνικὸς ἐδίδαξε, καὶ ὕπαρξιν, ὡς ἐὰν εἴπωμεν «εἰ φιλομαθὴς ⟨εἶ⟩, ἔςῃ πάντως [ὅτι] καὶ πολυμαθής»· ἐνταῦθα ἡ τάξις ἔρρωται· ⟨δῆλον⟩ μὲν γὰρ ὅτι ὁ ἐκθύμως ἔχων πρὸς τὰ ἀναγνώςματα [ἐςτὶ φιλομαθής], ἔςται πάντως πολυμαθής· ἐνταῦθα τὴν μὲν τάξιν ἐςήμανεν, ἀλλ' ὑπάρξεως μὴ οὔςης· καὶ αὕτη ἐςτὶν ἡ δύναμις τῶν ςυναπτικῶν ςυνδέςμων. Παρακολουθεῖ οὖν τοῖς ςυναπτικοῖς ςυνδέςμοις τὸ

21—24 *cfr* **Σ**[v] *287, 34—288, 2* ‖ **30—35** *cfr* **Σ**[v] *288, 28—31*

2 ἐγένετο VN ‖ **6** ἀτάρ N, αὐτάρ V | ὁ δὲ] οὗτοι ὁ VN ‖ **9—11** (ἠέ) *om* N ‖ **19** οὐ *ante* διαζ. *om* N ‖ **25** ἠέ ἢ ἑαυτοῦ] μὲν ἢ καθ' ὃ VN ‖ **28** — εἰδήπερ (**30**) *om* N ‖ **30** ἐςτὶν N, *om* V ‖ **33** πολυμαθής NC, φιλομαθής V ‖ **34** ὅτι μὲν γὰρ V, *om* N ‖ **35** ἔςται] ἀλλ' οὐ VN

πρᾶγμα ὕπαρξιν μὲν ἔχειν μὴ δηλοῦν, ἀκολουθίαν δὲ ἔχειν πρὸς ἕτερον πρᾶγμα καὶ ἐπιcύρειν τι ἕτερον πάντως, οἷον «εἰ ἡμέρα ἐcτί, δῆλον ὅτι φῶc ἐcτιν».

Εἴ εἴπερ εἰδή εἰδήπερ.] Ὁ εἴ cύνδεcμοc cυναπτικὸc ἀντὶ τοῦ ἐάν ἐcτιν, ὡc ἐν τῷ «εἰ φῶc ἐcτιν, ἡμέρα ἐcτίν»· καὶ ἀντὶ τοῦ ὥc ὁμοιωματικοῦ, «εἰ ζῷον ἵπποc, καὶ ὄνοc ζῷον»· καὶ ἀντὶ τοῦ ἐπεί παραcυναπτικοῦ, ⟨cfr Soph. fr. 877 N²⟩ εἰ δεινὰ δέδρακαc, δεινὰ καὶ παθεῖν cε δεῖ.

Φαcί τινεc, ὅτι κοινῆc ἔχονται cημ. *etc.* = Σ^h 105, 8—16.

Παραcυναπτικοὶ δέ ⟨εἰcιν⟩ ὅcοι μεθ' ὑπάρξεωc καὶ τάξιν δηλοῦcιν· εἰcὶ δὲ οἵδε, ἐπεί ἐπείπερ ἐπειδή ἐπειδήπερ.] Ἰcτέον ὅτι οἱ παραcυναπτικοὶ τοῦτο πλέον ἔχουcι τῶν cυναπτικῶν, ὅτι οὐ μόνον τάξιν ἔχουcι καὶ ἀκολουθίαν, ἀλλὰ καὶ ὕπαρξιν τοῦ πράγματοc δηλοῦcι· λέγω γὰρ «ἐπειδὴ ἡμέρα ἐcτί, φῶc ἐcτι» καὶ «ἐπειδὴ ἄνθρωπόc ἐcτι, ζῷον λογικόν ἐcτι θνητὸν νοῦ καὶ ἐπιcτήμηc δεκτικόν», καὶ οὐκ ἀμφιβόλωc, ὡc ἐπὶ τῶν cυναπτικῶν. Παραcυναπτικοὶ δὲ ἐκλήθηcαν, ἐπειδὴ ἀπὸ τῶν cυναπτικῶν γεγόναcιν, ὁ ἐπεί ἀπὸ τοῦ εἴ, ὁ ἐπείπερ ἀπὸ τοῦ εἴπερ, ὁ ἐπειδή ἀπὸ τοῦ εἰδή, ⟨ὁ ἐπειδήπερ ἀπὸ τοῦ εἰδήπερ⟩· εἰcὶ δὲ τὸν ἀριθμὸν οἱ παραcυναπτικοὶ ὅcοι οἱ cυναπτικοί.

Ἐπεί ἐπείπερ ἐπειδή ἐπειδήπερ.] Οὗτοι *etc.* = Σ^v 289, 2—14.

Αἰτιολογικοὶ δέ εἰcιν ὅcοι ἐπ' ἀποδόcει αἰτίαc ἕνεκεν παραλαμβάνονται· εἰcὶ δὲ οἵδε, ἵνα ὄφρα ὅπωc [ἐάν ἄν] ἕνεκα οὕνεκα ⟨γάρ ὅτι⟩ δι' ὅ δι' ὅτι καθ' ὅ καθ' ὅτι καθ' ὅcον. — Αἰτιολογικοὶ δέ εἰcιν.] Ἐνταῦθα *etc.* = Σ^v 290, 3—6.

⟨*Heliodori.*⟩ — Ὅcοι ἐπ' ἀποδόcει.] Αὐτάρκωc cχεδὸν ἐκ τῆc ἐτυμολογίαc μόνηc cημαίνει τὴν διαφορὰν τῶν cυνδέcμων· ἀπὸ τούτου, φηcίν, ἐκλήθηcαν αἰτιολογικοί, ἀπὸ τοῦ αἰτίαc ἕνεκεν παραλαμβάνεcθαι· λέγω γὰρ «εἰc διδαcκάλου ἀπέρχομαι, ἵνα παιδευθῶ». Καὶ τὸ ὄφρα δὲ ἐνίοτε cύνδεcμοc, αἰτιολογικόc, ὡc ἐκεῖ ⟨Δ 300⟩ ὄφρα καὶ οὐκ ἐθέλων τιc ἀναγκαίῃ πολεμίζοι· ἔcτι δὲ καὶ ἐπίρρημα καιροῦ παραcτατικόν. Καὶ ἕκαcτοc δὲ τῶν αἰτιολογικῶν ἐπ' ἀποδόcει ἐπάγεται· εἰcὶ δὲ τὸν ἀριθμὸν οὗτοι ⟨ιβ'⟩. — Ἵνα ὄφρα ὅπωc [ἐάν ἄν] ἕνεκα οὕνεκα γάρ ⟨ὅτι⟩ δι' ὅ δι' ὅτι καθ' ὅ καθ' ὅτι καθ' ὅcον.] Τούτων ὁ γάρ ὅτι δι' ὅτι καθ' ὅτι προϋφεcτῶcαν τῶν αἰτιολογουμένων cημαίνουcιν αἰτίαν, οἷον [ἵνα ἀναγνῶ] «ἐτιμήθην, ἀνέγνων γάρ», «ἐτι-

---

5—8 *cfr Σ^v 288, 12—15* ‖ **26—440, 17** *videntur esse Σ^h*

1 μὲν ἔχειν V, ἔχων N ‖ **4** Εἴ — εἰδήπερ *om* N ‖ **10** Παραcυν. — ἐπειδήπερ (**11**) *om* N ‖ **15** καὶ (*ante* οὐκ) N, *om* V ‖ **17** τῶν N, *om* V ‖ **20** Ἐπεί — ἐπειδήπερ *om* N ‖ **23—25** (εἰcιν) *om* N ‖ **26** Ὅcοι ἐπ. ἀπ. *om* N ‖ **30** οὐκ ἐθέλων ἀνάγκη τιc πολεμίζειν V, οὐ θέλων ἀνάγκη τιc πολεμίζει N ‖ **33** Ἵνα — καθ' ὅcον (**34**) *om* N

μήθην, ὅτι ἀνέγνων, δι' ὅτι ἀνέγνων, καθ' ὅτι ἀνέγνων». Τὸ οὕνεκα τοῦ ἕνεκα διαφέρει χρήσει καὶ συντάξει· ὁ μὲν οὖν οὕνεκα ῥήματι συντάσσεται, οἷον ⟨Α 11⟩ οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα Ἀτρείδης, τὸ δὲ ἕνεκα πτώσει γενικῇ, οἷον ⟨Ζ 356⟩ εἵνεκ' ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ' ἄτης, ⟨β 206⟩ εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν, ποιητικῶς τοῦ ῑ πλεονάσαντος· ὁ δὲ συντάττων τὸ ἕνεκα ῥήματι σύγχυσιν ποιεῖ. Καὶ τὸ χάριν καὶ ἕφεξιν αἰτιατικαὶ θηλυκῶν εὐθειῶν τῆς χάρις καὶ ἕφεξις ἀντὶ τοῦ ἕνεκα· πρὸς γενικὴν δὲ συντάσσεται, «χάριν Ἀπολλωνίου», «ἕφεξιν αἰδεῖ τῶνδε», «προυτίμησέ με ἕφεξιν τῶνδε». Ὁ δὲ ἵνα ὄφρα καὶ ὅπως καὶ σύνδεσμοι καὶ ἐπιρρήματα· καὶ τὸ χάριν δὲ αἰτιολογικός ἐστι σύνδεσμος, ἀλλ' ἐπειδὴ καὶ ὄνομά ἐστιν, οὐ τέθεικεν αὐτό, ὡς ἐκεῖ ⟨ε 307⟩ χάριν Ἀτρείδῃσι φέροντες· ἐνταῦθα γὰρ ὄνομά ἐστι· καὶ πολλαχοῦ δέ ἐστιν αἰτιολογικὸν τὸ χάριν. — Καὶ τοῦτο δὲ ἐπισημήνασθαι ἀναγκαῖον, ὅτι διὰ τοῦτο ὁ τεχνογράφος οὗτος οὐδαμοῦ ποσότητα συνδέσμων τέθεικεν, ἐπειδὴ διαφέρονται οἱ τεχνογράφοι πάντες περὶ τῆς τῶν συνδέσμων ποσότητος· ἡμεῖς δὲ ⟨τοὺς⟩ τούτῳ τέως ἀρέσκοντας ἀπηριθμησάμεθα.

Ἀπορηματικοὶ δὲ λέγονται σύνδεσμοι ὅσοι ἐπαποροῦντες εἰώθασι συνδεῖν καὶ χρῆσθαι· εἰσὶ δὲ οἵδε, ἆρα κᾶτα μῶν.] Ἀπορηματικοὶ λέγονται σύνδεσμοι ὅσοις εἰώθαμεν χρῆσθαι περί τινος ἀμφισβητοῦντες *etc.* = Σ^d 65, 16—20.

⟨*Heliodori.*⟩ — Διὰ τοῦτο δὲ ἀπορηματικοὶ καλοῦνται, ἐπεὶ διαποροῦντες αὐτοῖς χρώμεθα. Ἴδιον δὲ τῶν ἀπορηματικῶν συνδέσμων τὸ ἐκτείνεσθαι· διὰ τοῦτο δὲ ἐπεσημηνάμεθα, ὅτι καὶ ἐν τοῖς παραπληρωματικοῖς ὁ ἄρα σύνδεσμος ἐμπίπτει, καὶ ἐν τοῖς συλλογιστικοῖς δὲ ὁμοίως ἑξῆς ⟨αὐτὸν⟩ ἐπάγει· ἀλλ' ὅτε ἐστὶ παραπληρωματικὸς ἢ συλλογιστικὸς συστέλλεται. Εἰσὶ δὲ τὸν ἀριθμὸν τρεῖς, ἆρα κᾶτα μῶν. Ὁ ἆρα ποιητικῶς εἴρηται ἦρα· ὅτε μὲν ἀπορηματικός, οὕτω ποιεῖ μεταβολὴν παρὰ τοῖς ποιηταῖς τοῦ ᾱ εἰς η̄, ὅτε δὲ συλλογιστικός, οὐκέτι. Πάλιν δὲ καὶ τὸ μῶν πέπονθε, μὴ οὖν, ὡς ἐν ἀμφισβητήσει, ὡς εἴ τις εἴποι «μὴ οὖν κακοῦργος ἔλαβες παρὰ κακούργων;» καὶ διὰ τοῦτο ὡς ἐν ἀπορίᾳ ἐρευνᾷ.

Ἆρα κᾶτα μῶν.] Ὁ ἆρα *etc.* = Σ^v 290, 11—27.

⟨*Heliodori.*⟩ — Καὶ πῶς ἐπάγεται τῷ ⟨μῶν τὸ⟩ μή· μῶν μὴ παρ' αὐτῇ Νικίας ἀναπαύεται; Εὔπολις. Ὡς ⟨τ 343⟩ ποδάνιπτρα

22—32 *videntur esse* Σ^h ‖ **34—441, 2** *videntur esse* Σ^h

3 ἠτίμησεν ἀρ. VN ‖ **4** ἐμοῖο V ‖ **5** ἕνεκ' ἄτης] εἵνεκα ἀρχῆς V, εἵνεκ' ἀρχῆς N ‖ **6** συνάπτων τῷ ἕνεκα N ‖ **9** ἐφέξειν αἰδῆ VN ‖ **10** ἐφέξειν τόνδε V | ὅπως V, ἔμπης N ‖ **13** γὰρ] καὶ V, *om* N ‖ **18** — μῶν (**19**) *om* N ‖ **20** σύνδεσμοι N, *om* V ‖ **26** ἑξῆς *om* N ‖ **27** δὲ N, δὲ καὶ V ‖ **30** μὴ οὖν] μὴ ὢν V, μὴ δὲ ὢν N | μὴ ὢν κακ. VN ‖ **34** μῶν τὸ *add* *RSchneider* ‖ **35** ὡς ἀπόνιπτρα ποδῶν, οἷον ἐνοινοχοεῦντες VN

ποδῶν, ⟨γ 472⟩ οἶνον ἐνοινοχοεῦντες. Ἀλλ' οὐδεμία λέξις τριγράμματος σύνθετος· ὅθεν τὸ μῶν ἁπλοῦν.

Συλλογιστικοὶ δὲ ὅσοι πρὸς τὰς ἐπιφοράς τε καὶ συλλήψεις τῶν ἀποδείξεων εὖ διάκεινται· εἰσὶ δὲ οἵδε, ἄρα ἀλλά ἀλλαμήν τοίνυν τοιγάρτοι τοιγαροῦν.] Συλλογιστικοί εἰσιν *etc.* = Σ^h 105, 27—30.

Συλλογιστικοί εἰσι σύνδεσμοι, ὅσοις συλλογιζόμενοι πολλάκις ἐν συντάξει χρώμεθα καὶ ἐν ταῖς ἀποδείξεσιν, ὡς κεῖται παρ' αὐτῷ. «Ἐπιφοράν» δὲ λέγει τὴν ἐπαγωγὴν τοῦ ἑξῆς λόγου, καὶ «σύλληψιν» τὴν ἐπισφράγισιν καὶ συναγωγὴν τοῦ προηγησαμένου λόγου, οἷον ἐπὶ παραδείγματος «εἰ ἡμέρα ἐστί, φῶς ἐστιν»· εἶτα οἱ συλλογιστικοὶ εὐθὺς ὁμοῦ τὴν ἀπόδειξιν ἐπιφέρονταί τε καὶ συλλαμβάνονται· «ἀλλαμὴν ἡμέρα ἐστίν· φῶς ἄρα ἐστίν». Συλλογιστικοὶ οὖν ἐκλήθησαν, ἐπειδὴ ταῖς ἐπιφερομέναις ἀποδείξεσι συνάπτονται· τέθεικε δὲ τοὺς πάντας οὕτως ἕξ, ἄρα ἀλλά ἀλλαμήν τοίνυν τοιγάρτοι τοιγαροῦν [οὐκοῦν].

Ἰστέον ὅτι ἐπιφορικοὶ *etc.* = Σ^d 65, 27—31.

Παραπληρωματικοὶ δὲ ὅσοι μέτρου ἢ κόσμου [αἰτίας] ἕνεκεν παραλαμβάνονται· εἰσὶ δὲ οἵδε, δή ῥά νύ ποῦ τοί θήν ἄρ δῆτα πέρ πώ μήν ἄν αὖ οὖν κέν γέ νύν [θέν] δαί.] Οἱ παραπληρωματικοὶ *etc.* = Σ^h 105, 31—106, 11.

Παραπληρωματικοὶ δὲ ἐκλήθησαν, ἐπεὶ μάλιστα τοῦ πληρῶσαι ἕνεκεν τὸ μέτρον τίθενται μετὰ τοῦ καὶ κόσμον τινὰ παρέχειν τῷ λόγῳ· πρὸς γὰρ νόησιν οὐδὲν συντείνουσιν, οἷον ⟨Β 291⟩ ἦ μὴν καὶ πόνος ἐστίν· τούτου τοῦ ἔπους τὸ σημαινόμενον φανερόν, κἂν μὴ λέγηται ὁ μήν σύνδεσμος· τὸ γὰρ ἦ καθ' ἑαυτὸ περισπώμενον τὸ ὄντως σημαίνει· ὁ δὲ μήν παρελήφθη διὰ τὸ μέτρον ἅμα καὶ διὰ κόσμον· ὁμοῦ γὰρ ἀμφότερα παρέχουσιν οἱ παραπληρωματικοί, μέτρον ἅμα καὶ κόσμον· τέθεικε δὲ ὁ τεχνογράφος τοὺς πάντας ιϛ'.

Ἀλλὰ καὶ τὸ νῦν ὅτε μὲν περισπᾶται, ἐπίρρημά ἐστι χρονικόν, ὅτε δὲ συστέλλεται, σύνδεσμός ἐστι παραπληρωματικός, ὡς ἐκεῖ ⟨Ψ 485⟩ δεῦρό νυν, ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος, ἀντὶ τοῦ «δεῦρο δή». Οἱ δὲ τοιοῦτοι παρειλημμένοι εἰσὶ τοῖς ποιηταῖς ἢ διὰ τὴν στενότητα τῶν μέτρων ἢ διὰ καλλωπισμὸν τῆς φράσεως, ὡς καὶ αὐτὸς ὁ τεχνικὸς ὁμολογεῖ. — Παραπληρωματικοὶ σύνδεσμοί εἰσιν, ὅσοι πρὸς τὸ ⟨μὴ⟩ κεχηνέναι τὴν φράσιν παραλαμβάνονται.

Δή ῥά νύ ποῦ τοί θήν ἄρ δῆτα πέρ πώ μήν ἄν αὖ οὖν κέν γέ ποῖ [θέν] δαί.] Ὡς τὰ μετὰ τὰ ἐρωτηματικὰ λέγεται †· ὅτι δὲ οἱ ποιηταὶ ἐνηλλαγμένως τιθέασι, καθάπερ Ὅμηρος, τὸν μέν ἀντὶ τοῦ μήν,

---

34 *seq cfr* Σ^v *291, 21 seq* ‖ **37—442, 2** *cfr* Σ^v *291, 22—24.*

2 μῶν] τίς VN ‖ **3—5** (τοιγαροῦν) *om* N ‖ **10** προηγησαμένου *Uhlig*, παραπληρωματικοῦ VN ‖ **15** ἄρα *om* N | οὐκοῦν VN ‖ **17—19** (δαί) *om* N ‖ **19** νίν V ‖ **31** πέρι μεδώμεθον V, πέρι μεδέμεθα N ‖ **35** μὴ *add* C ‖ **37** Ὡς N, .ς V | τὰ (*ante* ἐρ.) *om* N

καὶ τὸν ἄρα ἀντὶ τοῦ δή· ἰcοδυναμεῖ δὲ ὁ *ἄρα τῷ δή καὶ ὁ δή τῷ ἄρα*· καὶ ἐπὶ τῶν παραπληcίων τηρητέον ὁμοίωc. *Ὁ πέρ ἐναντιωματικόc* ἐcτιν, οἷον ⟨Α 131⟩ ἀγαθόc περ ἐών· *ὁ δή παραγραφὴν* δηλοῖ, ἥτιc ἐcτὶ καὶ cυγκεφαλαίωcιc· τούτῳ ἰcοδυναμοῦcιν *ὁ θήν*, ὁ νύ, ὁ ἄρα, μᾶλλον αὐτοῦ ποιητικοὶ ὄντεc· ἐγκλιτικοὶ δέ *εἰcιν οὕτωc*, ⟨Κ 104⟩ οὔ θην Ἕκτορι πάντα νοήματα, ⟨Ζ 125?⟩ ἤ νύ cέ που. Μόνοc τῶν cυνδέcμων ὁ δή ἐπεκτείνεται, οἷον δῆτα· οὐ γὰρ ὁ δῆτα ἀπὸ τοῦ δή καὶ τοῦ εἶτα, ἐπεὶ τοῦτο χρονικὴν διάcταcιν ἔχει, οἷον «Ἀχιλλεὺc ἐπολέμηcεν, εἶτα Πύρροc»· «Ἀχιλλεὺc» δὲ «ἐπολέμηcε, δῆτα Πύρροc» οὐκ ἄν τιc φαίη. Ὁ αὖ καὶ τὸ ταρ οὐ ποιοῦcι τὸν αὐτάρ· ὁ μὲν γὰρ αὐτάρ cυμπλεκτικόc, ὁ δὲ αὖ παραπληρωματικόc. Ὁ ἄρ καὶ ὁ ῥά δύνανται γενέcθαι ἀπὸ τοῦ ἄρα.

Τινὲc δὲ προcτιθέαcι καὶ ἐναντιωματικούc, οἷον ἔμπηc ὅμωc.] Ἐναντιωματικοὶ λέγονται γοῦν οὗτοι οἱ cύνδεcμοι, ὅτι τότε χρώμεθα αὐτοῖc, ὅτε τὸ ἐναντίον τῷ προηγηcαμένῳ λόγῳ εἰπεῖν βουλόμεθα, οἷον «ὁ δεῖνα ἀφυὴc μέν ἐcτι πρὸc παίδευcιν, ὅμωc δὲ φοιτᾷ τῷ διδαcκάλῳ»· ἐναντίον γάρ ἐcτι τῷ προηγηcαμένῳ τῷ «ὁ δεῖνα ἀφυήc ἐcτι πρὸc παίδευcιν»· καὶ τὸ ἔμπηc τὸ αὐτὸ cημαίνει· Ὅμηροc ⟨Β 297 seq⟩ ἀλλὰ καὶ ἔμπηc Αἰcχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεcθαι, ὅπερ cημαίνει τὸ μὴ χρῆναι ἐπανελθεῖν ἀπράκτουc ὄνταc.

Τέλοc τῆc Διονυcίου τέχνηc.

SCHOLIA LONDINENSIA.

Παρεκβολαὶ cὺν θεῷ διαφόρων γραμματικῶν περὶ γραμματικῆc μεθόδου, ἀρχόμεναι ἀπὸ τοῦ περὶ προcῳδίαc.

Τριχῶc λέγεται ἡ προcῳδία *etc.* = eadem fere quae Σ^v 124, 27—126, 14. — Νοηταὶ δέ εἰcι καὶ οὐκ ἐκφωνούμεναι, cυγγένειάν τινα ἔχουcαι πρὸc τὰ τῆc cιωπῆc διαcτήματα, δυνάμεναι ἐλάχιcτον καὶ μόλιc αἰcθήcει ὑποπίπτουcαι· ταύταc δὲ καὶ διοριcμούc τινεc ἐκάλεcαν.

Ὁ δὲ περὶ διαcτολῆc καὶ cτιγμῆc λόγοc cυναφήc ἐcτιν· ἀνάπαυcιc 309, 11c
μὲν γὰρ cτιγμῆc ἴδιον, διαcτολῆc δὲ διάκριcιc, ἀμφότερα δὲ παρῆλθε πρὸc τὸ βέλτιον παραcκευάcαcθαι τὴν ἀνάγνωcιν. Ὧν ἡ μὲν ἀπόcτρο-

---

14—18 (παίδ.) **hab. et.** A

3 περιγραφὴν VN ‖ **7** ὁ δῆτα N, *om* V ‖ **10** καὶ ὁ ταρ V, καὶ ταρ N ‖ **21** Τέλοc — τέχνηc *om* N ‖ **23** διαφόρων — προc. (**24**) A, ἀπό τε βυβλίων διαφόρων γραμματικῶν ἀπό τε Ἀπολλωνίου καὶ Ἡρωδιανοῦ ἀρχομένων ἀπὸ προcῳδίαc. περὶ προcῳδίαc E ‖ **28** ὑποπίπτουcαι E, ὑποπίπτουcαν A ‖ **29** cυναφήc A, cαφήc E ‖ **31** παραcκευάcθαι A, παραcκευάcαι E

φος τίθεται ἐπάνω τῶν λέξεων, ὅταν συναλοιφῆς οὔσης ἐκβληθῇ γράμμα ἢ γράμματα· καὶ τὰ δοκοῦντα συνηλεῖφθαι διαστέλλει, τὰ πεπονθότα κρᾶσιν ἐν συνθέσει φωνήεντα καὶ ⟨τὰ⟩ πεπονθότα ἔκθλιψιν ἐν παραθέσει [σύμφωνα] διακρίνουσα, μὴ ἐπιφερομένου συμφώνου, χωρὶς εἰ μὴ κλίσις ἑτέρα τις εἴη, ὡς τὸ ⟨ι 366⟩ Οὖτιν δέ με κικλήσκουσιν, ἢ πάθος ἀποκοπῆς, ὡς τὸ «νὴ Δί»· καὶ ἐπὶ τῆς $\overline{\pi\epsilon\rho}$ ἀντὶ τοῦ περί Πίνδαρος ⟨fr. 314 B[5]⟩ πέροδον ἔφη ἀντὶ τοῦ περίοδον, καὶ περιέναι τετρασυλλάβως ἀντὶ τοῦ περι⟨ι⟩έναι, καὶ οὐ τίθεμεν εἰς τὸ $\overline{\rho}$ ἀπόστροφον, ὥσπερ ἐκ τοῦ ἐναντίου διαιροῦμεν τὸ ⟨ω 242⟩ κατ' ἔχων κεφαλήν, ἀντὶ τοῦ κάτω ἔχων· καὶ ⟨Β 661⟩ Τληπόλεμος ἐπεὶ οὖν τράφη ἐν μεγάρῳ· τὸ γὰρ πλῆρες τράφη, ἥκιστα τῶν μακρῶν ἐκθλιβομένων. Παραλαμβάνουσι δὲ καὶ τὰς διαλέκτους καὶ τὴν συνήθειαν τῶν παλαιῶν, ὡς ἐπὶ τοῦ ποιητοῦ· τῷ γὰρ ἐθέλω χρῆται, οὐ τῷ θέλω· διὸ καὶ ἐν τῷ ⟨Α 277⟩ μήτε σὺ Πηλείδη 'θελε κατὰ συναλοιφὴν ὁ τόνος ἀναπέμπεται. Καὶ τῷ ἄρ παραπληρωματικῷ καὶ τῷ τάρ χρῆται συνδέσμῳ· ὅθεν οὐ τίθεμεν ἀπόστροφον ἐν τῷ ⟨Α 65⟩ εἴ ταρ ὅ γ' εὐχωλῆς. Ταῖς δὲ συνθέτοις ἀντωνυμίαις οὐδ' ὅλως χρῆται· διὸ καὶ ἐν τῷ ⟨Α 271⟩ μαχόμην κατ' ἔμ' αὐτόν δύο ποιοῦμεν τόνους τῆς ἀντωνυμίας διὰ τὴν ἀπόστροφον. Ἐν μέντοι ταῖς τῶν προσώπων μεταβάσεσιν οὐ παραλαμβάνεται· συνίζησις γὰρ γίνεται μάλιστα, ὅταν ἡ ἑξῆς λέξις δασυνθῇ διὰ τὸ μὴ πεφυκέναι τὴν εἰς δασεῖαν κατάληξιν, εἰ μή τις κἀπὶ τῆς τελείας στιγμῆς βιάζοιτο, χωρὶς δὲ ἀποστρόφου· ὡς καὶ τὸ οὐκ ἔτι· τὸ μὲν γὰρ οὐχί ἐπεκτέταται, ὡς καὶ τὸ ναίχι· τὸ δὲ διὰ τοῦ $\overline{\kappa}$ πλεονάσαν ἕνεκα τοῦ παραλληλίαν τῶν φωνηέντων ἐκφυγεῖν· δασείας δὲ ἐπιφερομένης ⟨τὸ $\overline{\kappa}$ εἰς⟩ τὸ $\overline{\chi}$ τρέπεται· αἱ δὲ ἐπεκτάσεις διὰ δασέων γίνονται, οἷον φῆσθα· ὥστε τὸ μὲν οὐχί ἐπέκτασις, τὸ δὲ ⟨Λ 278⟩ οὐκ ἐμέ διὰ τὸ κεχηνέναι τὴν φωνὴν ἔχει τὸ $\overline{\kappa}$ ἐν παραβολῇ, μετατρεπόμενον εἰς τὸ $\overline{\chi}$ δι' ἐπιφορᾶς· εἰ γὰρ ἦν τέλειον, ἐφυλάσσετο, διὰ τὸ μὴ τὰ δασέα εἰς ψιλὰ τρέπεσθαι.

Ἡ δὲ ὑφὲν παραλαμβάνεται ὑποκάτω ἐν ταῖς συνθέσεσι τῶν λέξεων καὶ ἀμφιβολίαν ἐχούσαις πρὸς δύο φωνάς. Γίνονται δὲ συνθέσεις ἐκ δύο καὶ τριῶν λέξεων ἰδίᾳ νοητῶν ὑφ' ἕνα τόνον λεγομένων· ⟨«νοητῶν»⟩, ἵνα τὸ ἀρίδηλος καὶ τὰ παραπλήσια συμπεριλαμβάνηται, τούτων γὰρ αἱ πρότερον λέξεις οὐδέποτε κατ' ἰδίαν ῥηταί· τρία δὲ μέρη λόγου ἐν τῷ χρυσεολευκόλιθος· τὸ γὰρ ⟨cfr Ο 678⟩ δυωκαιεικοσίπηχυς σύνθετον, ἐπεὶ συντεθεῖσθαί φασι ⟨καὶ⟩ τὰ ἐκ πλειόνων ἐν παιδιᾷ, ὡς τὸ

3 καὶ — διακρίνουσα (4) *om* E | θλίψιν A ‖ 5 οὔτι A, οὔ τιν E ‖ 6 $\overline{\pi\epsilon\rho}$ ἀντὶ τοῦ *om* A ‖ 7 περέναι E ‖ 8 ἀντὶ τοῦ περ. *om* A ‖ 9 κατέχων AE ‖ 10 τράφεν ἐνὶ AE ‖ 11 μεγάρω E, μαγείρω A ‖ 14 πηλείδ' ἤθελε AE ‖ 15 ἄρ] ἄρα AE ‖ 16 εἴ ταρ] οὔτάρ AE ‖ 17 οὐδ' ὅλλως A, οὐ δόλως E ‖ 20 μάλ. γίν. E ‖ 22 ὡς καὶ τὸ E, καὶ A ‖ 23 οὐχὶ ἐπετέτακται A, οὐχ ὑποτάσσεται E | πλεονα A, πλεονάσαντος E ‖ 25 αἱ δὲ] αἱ γὰρ AE ‖ 31 δὲ E, γὰρ A ‖ 35 δύο καὶ εἴκοσ. AE

ἀμφιπτόλεμοπηδηcίcτρατοc. Ἐπὶ δὲ τῶν ἐκ τελείαc ἀρχομένων cυνθέτων χρὴ τὴν ὑφὲν τιθέναι, ἐπειδὴ cυμβαίνει διάφορα τὰ τοιαῦτα· περιττὸν δὲ οἶμαι ἐπιτιθέναι τοῖc ἐξ ἀπολείποντοc ⟨ἀρχομένοιc⟩, ὥcπερ καὶ τοῖc παραcυνθέτοιc, ἅπερ ἐcτὶν ὡc εἰπεῖν ἁπλᾶ· παράγεcθαι γὰρ ἀρξάμενα γενέcεωc ἑτέραc ἐπιλαμβάνεται· τὸ δ' αὐτὸ κἀν ταῖc ἐπεκτάcεcι καὶ ταῖc ἀχωρίcτοιc cυντάξεcι⟨ν, ὡc ἐν τῷ⟩ τοιγαροῦν· οὕτω δὲ ἔχειν οἶμαι καὶ τὸ οὐδείc ἐκ τριῶν μερῶν λόγου, χωρὶc ἀποcτρόφου καὶ ὑποδιαcτολῆc· ὅθεν καί τινα cυλλαβικῶc βαρύνονται, ὡc τὸ ⟨ex gr. λ 160⟩ νύνδη, ὅταν τὸ ἀρτίωc cημαίνῃ. Ἔτι δὲ καὶ τὰ παράλογα 309, 26c
cημειοῦcθαι χρή, ὡc τὸ ἔμβραχυ, οὐχ ὡc τὸ δὶc παῖδεc, ὅπερ ἐν διαιρέcει ἐcτὶν ἀναλογώτερον, ὡc καὶ τὸ τρὶc ἄθλιοc· οὐ μὴν τούτοιc ὅμοιον τὸ ⟨μ 22⟩ διcθανέεc, πλεονάζει γὰρ τὸ c̄, καθὰ καὶ ἡ τρίcφυλ⟨λ⟩οc βοτάνη. Ὑποτακτέον δὲ τῇ ὑφὲν καὶ τὰ ἐν cυναλοιφῇ, ὅταν τὰ κεχω- 30
ριcμένα κατὰ τὴν γραφὴν εἰc ἓν cυνάγωμεν, καὶ τὰ ἐν δύο λέξεcι cυνημμένην διάνοιαν ἐπαγγελλόμενα, οἷον ⟨Λ 385⟩ τοξότα λωβητήρ· ἓν γὰρ νοεῖται διὰ τῶν δύο, ἀντὶ τοῦ «διὰ τόξων βλαπτόμενε», ὅθεν τὸν δειλὸν cημαίνει.

Ἡ δὲ κάτω ὑποδιαcτολή, ἡ καὶ ὑποτείνουcα καὶ διάκριcιc νοῦ καὶ προcώπου καὶ πράγματοc ἐν βραχεῖ, διαcτέλλουcα τοῦ προηγουμένου τὸ ἑπόμενον· τίθεται δέ, ὁπόταν τὴν δυναμένην ὑφ' ἓν λέγεcθαι ἐν διαcτάcει ἐκφέρωμεν, καὶ ὅταν γράμμα τι ἀμφιβαλλόμενον ἐν ὁποτέρᾳ λέξει διαcτέλλωμεν. Τῶν δὲ διαcτολῶν αἱ μέν εἰcι κατὰ γράμμα, αἱ δὲ 310, 1c
κατὰ cυλλαβήν, αἱ δὲ κατὰ λέξιν, αἱ δὲ κατὰ διάνοιαν· κατὰ μὲν οὖν γράμμα, ⟨λ 281 seq⟩ καὶ Χλῶριν εἶδον περικαλλέα, τήν ποτε Νηλεὺc ΓΗΜΕΝΕΟΝ μετὰ κάλλοc, πότερον «ἑὸν μετὰ κάλλοc» ἢ «νέον»; κατὰ cυλλαβὴν δέ, ⟨Α 168⟩ ἐπεὶ ΚΕΚΑΜΩ πολεμίζων, ἤτοι γάρ ἐcτι κεκάμω, ἢ ὁ κέ cύνδεcμόc ἐcτιν· κατὰ λέξιν δέ, ὡc ⟨Χ 51⟩ ὀνομάκλυτοc ὑφ' ἓν καὶ ὄνομα κλυτόc ἐν διαcτολῇ· κατὰ δὲ διάνοιαν, ὡc ἐν τῷ ⟨α 186⟩ ἐν λιμένι Ῥείθρῳ ΥΠΟΝΗΙΩΙ· ὁ γὰρ Ἀπίων, ὡc 10
τοῦ ἐν Ἰθάκῃ λιμένοc Ὑπονηίου καλουμένου ⟨γ 81⟩, cυνθέτωc ἀνέγνω, ὁ δὲ Ἡλιόδωροc διαιρεῖ, ἵν' ᾖ «ὑπὸ τῷ Νηίῳ».

Τῶν δὲ διαcτολῶν αἱ μὲν βελτιοῦcι τὴν διάνοιαν, ὡc τὸ ⟨α 184⟩ ΕC,ΤΕΜΕCΗΝ μετὰ χαλκόν· οὐ γὰρ Μέcη, ἀλλὰ Τεμέcη ⟨ἡ⟩ πόλιc· αἱ δὲ οὐδὲν λυποῦcιν, ὡc τὸ ⟨Γ 318. Η 177⟩ λαοὶ δ' ἠρήcαντο ΘΕΟΙCΙΔΕ χεῖραc ἀνέcχον· δύναται γὰρ καὶ θεοῖcι καὶ ὁ δέ cύνδεcμοc, καὶ θεοῖc, εἶτα ἰδέ· αἱ δὲ διαcτρέφουcιν, ὡc ἐν τῷ ⟨Ξ 221⟩

32—445, 4 *cfr Σ*ᵛ *150, 22—31*

1 ἀφιπποπόλεμοc πηδηcίcτρατοc A, ἀμφιπποπόλεμοc πηcηcίcτρατοc E ‖ **3** δὲ] γὰρ AE ‖ **4** καὶ E, ἐν A ‖ **9** νῦν δὴ AE | ὅταν A, ὅτι E | cημαίνει AE ‖ **10** ἔμβαχυν AE ‖ **11** τριcάθλιοc AE ‖ **14** cυνημμένην E, cυνημένα A ‖ **15** ἐπαγγελλομέναιc AE ‖ **16** τῶν] τοῦ AE ‖ **18** καὶ ἀδιάκριcιc E ‖ **21** γράμμα τι] γράμματα A, γράμμα E ‖ **27** δέ *om* A

ἄπρηκτον ΓΕΝΕΕϹΘΑΙ· τινὲς γὰρ ἀντὶ τοῦ γενέςθαι, καὶ εἴχοντο λόγου, εἰ καὶ ⟨ἡ⟩ χρῆςις αὐτοῖς ἐπηκολούθει ἐπ᾽ αὐτῆς τῆς ἐννοίας. Ὁρᾶται δὲ καὶ ἡ ὑποδιαςτολὴ ἐν παραθέςει, ἥτις ἐςτὶ λέξεων παράλληλος ςύνταξις κατὰ τὸν ὑπάρχοντα ἑκάςτῃ τόνον, καὶ ἐπὶ δύο λέξεων τῆς προτέρας κλινομένης, ὅταν εὐθεῖαι ὦςιν ἐν τῇ παραθέςει μὴ κλινόμεναι, ὡς ἐν τῷ ΥΟϹ,ΚΥΑΜΟϹ ΜΟΨΟΥ, ΕϹΤΙΑ· ἐπὶ μέντοι τῶν διάφορον ἐχόντων τὴν γραφὴν ἀρκεῖ ἡ γραφὴ διακρῖναι, ἤτοι ςυνθέτως ἢ διαλελυμένως ἀναγινώςκεται.

Τόνοι ἁπλοῖ μὲν δύο *etc.* = *excerpta* ex Σ^v 126, 15—128, 26.

Πόθεν τέχνη; Παρὰ τὸ τεύχω τευχάνη, εἶτα ςυγκοπῇ μεθ᾽ ὑφαιρέςεως τοῦ ῡ τέχνη.

⟨*Heliodori.*⟩ — Τί ἐςτι τέχνη; Ϲύςτημα ἐκ καταλήψεων ἐγγεγυμναςμένων πρός τι τέλος εὔχρηςτον τῶν ἐν τῷ βίῳ. «Ϲύςτημα» λέγεται τὸ ἐκ διαφόρων τινῶν ςυναθροιζόμενον καὶ ςυνιςτάμενον πρᾶγμα· παρὰ τὸ ςυνίςταςθαι γὰρ καὶ εἶναι λέγεται ςύςτημα. Αἱ δὲ τέχναι διὰ πλειόνων ἀποτελοῦνται, καὶ μάλιςτα ἐξ ὕλης καὶ ὀργάνων· ὥςπερ ἡ τεκτονικὴ ὕλην μὲν ἔχει τὰ ξύλα, κέχρηται δὲ καὶ ὀργάνοις, ςκεπάρνῳ ἢ πελέκει, πρὸς τὸ ἀποτελέςαι θρόνον ἢ ἀβάκιον· ἐπὶ πάντων δὲ τῶν τεχνῶν εὑρίςκονται, πλὴν ὀλίγων τῶν λεγομένων αὐτοςυςτάτων, αἵτινες χωρὶς ὕλης γίνονται, ὡς ἡ ὀρχηςτικὴ καὶ ἡ νηκτική. «Ἐκ καταλήψεων» δὲ ἀντὶ τοῦ ἐξ ἐφευρέςεων· οὐ γὰρ ἀθρόως αἱ τέχναι ςυνεςτάθηςαν, ἀλλὰ κατὰ βραχὺ ἢ ὑπὸ πλειόνων ἢ ὑπὸ ἑνός· οἷον ὡς ἐν ὑποθέςει τὴν ῥαφικὴν οἱ μεθοδεύςαντες ἔρραψαν τὸ καμίςιον δίκην ςάκκου, καὶ θεαςάμενοι οὐκ εὐπρεπές, ἐπενόηςαν τὸ ἐκλαγκιολίςαςθαι. «Ἐγγεγυμναςμένων» δέ, ἐπειδὴ οὐχ ἅπαξ ἢ δὶς οἱ ἀρχαῖοι τὰς τέχνας δοκιμάςαντες ἐκδεδώκαςιν, ἀλλὰ πολλάκις χειρίςαντες καὶ τὸ καλῶς ἔχον ςκοπήςαντες. «Πρός τι» δὲ «τέλος εὔχρηςτον», ἐπειδὴ οὐ πάντων τῶν πρὸς τὸ ζῆν ἡμᾶς ἐπιτηδείων ἡ τέχνη τὴν χρείαν χαρίζεται, ἀλλ᾽ ἑνός τινος· αἱ μὲν γὰρ τῶν τεχνῶν πρὸς τὸ ζῆν ἡμᾶς καθεςτήκαςιν, ὡς ἡ γεωργική, αἱ δὲ πρὸς τὸ καλῶς ζῆν, ὡς ἡ μυρεψική. Τούτων αἱ μέν εἰςιν ἀποτελεςματικαί, ὡς ἡ χαλκευτική, αἵτινες καὶ τὸν μετὰ τὸ γενέςθαι χρόνον κριτὴν ἔχουςι τῆς ἑαυτῶν ἐργαςίας, αἱ δὲ μονοςύςτατοι, αἵτινες ἐκτὸς ὕλης ἀποτελοῦνται, ὡς ἡ ὀρχηςτική· αὕτη γὰρ τὸν καθ᾽ ὃν χρόνον γίνεται ἔχει μόνον κριτήν· αἱ δὲ ὁμοιωματικαί, ὡς ἡ ἀνδριαντοπλαςτική· αὕτη γὰρ τὰς φύςεις τῶν ὄντων ὁμοιογραφεῖ· αἱ δὲ κτητικαί [μέν], ὡς ἡ ἁλιευτική· αὕτη γὰρ ὑπὸ θήραν κτᾶται ἑαυτῇ· αἱ δὲ μικταί, ὅςαι καὶ

12—447, 27 *videntur esse* Σ^h

2 αὐτῆς τῆς E, αὐτοῖς A ‖ **5** *post* κλινομένης *add* μετὰ τῆς (*sic*) A, τῆς αὐτῆς E | κλινόμεναι] κλινομένην AE ‖ **6** διάφορον E, διαφόρων A ‖ **7** ςύνθετον A, ςύνθετα E ‖ **12** ἐκ καταλ.] ἐγκαταλ. AE | ἐγγεγυμν. — βίῳ (**13**) E, καὶ τὰ ἑξῆς A ‖ **21** ἐξ *om* A ‖ **28** τὴν χρείαν *om* E ‖ **34** γίνεται *om* A

λόγῳ κατορθοῦνται καὶ πράξει, ὡς ἡ ἰατρική. Καὶ τὴν γραμματικὴν δέ τινες μικτὴν ἔδοξαν λέγειν, λόγῳ μὲν χρωμένην, ὅταν διδάσκῃ τὴν δύναμιν τῶν συλλαβῶν καὶ τῶν λέξεων, ἔργῳ δέ, ὡς ὅταν γράφῃ· πλὴν λογικαὶ καὶ αὗται, ὡς περισσεύοντα τὸν λόγον ἔχουσαι· καὶ γὰρ τῷ περισσεύοντι τὰ πράγματα συμμεταβάλλεσθαι πεφύκασιν.

Τέλος τῆς γραμματικῆς ὁ ἑλληνισμός· οὗτος δὲ τῶν χρησίμων τεχνῶν· δυνατὸν γὰρ καὶ ἄνευ αὐτοῦ αὐτάρκως τὰ σημαινόμενα παραστῆσαι, μέτιμεν δὲ αὐτὸν διὰ τὸ κόσμον τῇ φράσει περιτιθέναι· ἀρετὴ δὲ οὗτος λόγου, οὐχ ὕλη· πᾶσα γὰρ κακία ἀντίκειται [τῇ] ἀρετῇ, οἷον τῇ ἀνδρείᾳ ἡ ἀνανδρεία, ἀντίκειται δὲ ὁ βαρβαρισμὸς καὶ ὁ σολοικισμὸς τῷ ἑλληνισμῷ· ὁ ἄρα ἑλληνισμός, ᾧ ἀντίκεινται ⟨αὗται⟩ αἱ κακίαι, ἀρετὴ καὶ οὐχ ὕλη. Ἔστι δὲ ἑλληνισμὸς λέξις ὑγιὴς καὶ ἀδιάστροφος λόγου μερῶν πλοκὴ κατάλληλος κατὰ τὴν παρ' ἑκάστοις ὑγιῆ καὶ γνησίαν διάλεκτον· «λέξις» μὲν οὖν «ὑγιής» κατὰ τὴν πρὸς τὸν βαρβαρισμὸν ἀντίθεσιν, «λόγου» δὲ «μερῶν πλοκή» κατὰ τὴν πρὸς τὸν σολοικισμόν· τὸ δὲ «κατὰ τὴν παρ' ἑκάστοις ὑγιῆ καὶ γνησίαν ⟨διάλεκτον⟩» πρὸς τὸ παρὰ τὴν παρ' ἑκάστοις ἀκολουθίαν τῆς ἐπιχωριαζούσης συνηθείας. Δύο δὲ αὐτοῦ κανόνες· ἀναλογία τε, ἡνίκ' ἂν ζητῶμεν περὶ τῆς αὐτῆς φωνῆς, πότερον οὕτως ἢ οὕτως ῥητέον, οἷον ἀκρατότερον ἢ ἀκρατέστερον· ἐπέκρινε γὰρ τοῦτο ἡ ἀναλογία, διδάξασα ὅτι ἀπὸ μὲν τῶν εἰς η̅ς̅ ληγόντων ὀνομάτων ἐμπίπτοντα συγκριτικὰ διὰ τοῦ ε̅ς̅ λέγονται, οἷον εὐσεβής εὐσεβέστερος, ἀπὸ δὲ τῶν εἰς ο̅ς̅, εἰ μὲν μακρᾷ εἴη κεχρημένα τῇ παρατελεύτῳ, διὰ τοῦ ο̅, εἰ δὲ βραχείᾳ, διὰ τοῦ ω̅, οἷον λευκός λευκότερος, λογικός λογικώτερος· ὅθεν ἀπὸ τοῦ ἄκρατος ἀκρατότερος, ἀπὸ δὲ τοῦ ἀκρατής ἀκρατέστερος· καὶ ἡ χρῆσις, ἡνίκ' ἂν περὶ σημαινομένου ζητῶμεν, οἷον εἰ τόδε κατὰ τοῦδε τιθέμενον κύριον ἢ ἄκυρον, ὡς ἐπὶ τοῦ αὐθέντης ἐὰν ζητῶμεν, εἰ καλῶς ἐπὶ τοῦ δεσπόζοντός τινος τάσσεται· ἡ μὲν οὖν ἀναλογία οὐχ οἵα τε κρίνειν, ἡ δὲ χρῆσις ἐξετασθεῖσα πέφηνεν ἡμῖν ἀκύρως μὲν παραλαμβανόμενον ὑπὸ χυδαίων, ταχθὲν δ' ἂν δεόντως ἐπὶ τοῦ αὐτόχειρος καὶ φονέως.

Εἴρηται δὲ ἑλληνισμὸς ἀπὸ Ἕλληνος τοῦ Διός. Ὁ δὲ παρὰ τὸν ἑλληνισμὸν ὁμιλῶν ἤτοι βαρβαρίζει ἢ σολοικίζει· εἰς γὰρ δύο διῄρηται ἡ οἰκουμένη, εἴς τε βάρβαρα καὶ Ἑλληνικά, καὶ τὸ μὲν ἁπλῶς ἑλληνίζειν εἴρηται, τὸ δὲ βαρβαρίζειν. Διαιρεῖται ⟨δὲ⟩ τὸ βαρβαρίζειν εἴς τε τὸ σολοικίζειν καὶ βαρβαρίζειν· ἔστι δὲ σολοικισμὸς ἁμάρτημα περὶ τὴν σύνταξιν τῶν μερῶν τοῦ λόγου· ὠνόμασται δὲ ἀπὸ Σόλωνος καὶ τῶν μετ' ἐκείνου εἰς Κιλικίαν ἐλθόντων καὶ κτισάντων τοὺς Σόλους, οἳ χρόνῳ ὕστερον ἐπανελθόντες Ἀθήναζε οὐκέτι τὸ πατρῷον τῆς ὁμιλίας ἐφύ-

2 μικτὴν E, *om* A ‖ **4** αὗταις A ‖ **7** γὰρ A, δὲ E ‖ **9** λόγου E, λόγος A ‖ **14** πρὸς] περὶ AE ‖ **18** αὐτοῦ] αὐτῶν A, αὐταὶ E | ἡνίκα ζητῶμεν AE ‖ **19** ἐπέκρινε E, ἀπέκρινε A ‖ **22** μακρὰ AE ‖ **23** βραχεῖα AE ‖ **25** ἡνίκα ἂν AE ‖ **27** ἐὰν δὲ ζητ. A ‖ **29** περιλαμβ. AE ‖ **37** ἐκεῖνον AE

λασσον· οἱ δέ φασι σολοικισμὸν προφορὰν σεσαλευμένην τοῦ οἰκείου, ἢ σώου λόγου αἰκισμόν. Σολοικίζουσι δὲ περὶ γένη, ὡς τὸ ⟨Β 742⟩ κλυτὸς Ἱπποδάμεια· περὶ ἀριθμούς, ⟨ὡς τὸ [Β 278] ὣς φάσαν ἡ πληθύς· περὶ πτώσεις⟩ ὡς τὸ ⟨Α 24. 378⟩ ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ⟨ἥνδανε θυμῷ⟩· περὶ ὄνομα, ὡς εἴ τις χρήσαιτο πατρωνυμικοῖς ἀντὶ κυρίων ἢ τοῖς λοιποῖς οὐ κατὰ τὸν τρόπον· περὶ ῥῆμα, ὡς εἴ τις χρήσαιτο ἐγκλίσει ἀντὶ ἐγκλίσεως ἢ χρόνῳ ἀντὶ χρόνου· περὶ μετοχάς, ὡς τὸ ⟨Θ 307⟩ καρπῷ βριθομένη, ἀντὶ τοῦ βρίθεται· περὶ ἄρθρα, ὡς εἴ τις χρήσαιτο προτακτικῷ ἀντὶ ὑποτακτικοῦ, ὡς τὸ ⟨Σ 460⟩ καὶ θώρηχ', ὃ γὰρ ἦν· περὶ ἀντωνυμίαν, ὡς τὸ ⟨Hes. Opp. 2⟩ δεῦτε, Δί' ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι· περὶ προθέσεις, ὡς εἴ τις φαίη κατηγορίαν ὑπέρ τινος γεγραφέναι, δέον κατά τινος· περὶ ἐπιρρήματα, ⟨ὡς τὸ [η 13] καὶ εἴσω δόρπον ἐκόσμει, ἀντὶ τοῦ ἔνδον·⟩ περὶ συγκρίσεις, ὡς εἴ τις λέγοι «δικαιότατος Ἀριστείδης Περικλέους», δέον εἰπεῖν δικαιότερος· περὶ ἐλλείψεις, ὡς τὸ ⟨Eurip. Bacch. 5⟩ πάρειμι Δίρκης νάματα, ἀντὶ τοῦ εἰς Δίρκης· περὶ τόπους, ὡς εἴ τις λέγοι «εἰς παλαιστοῦ ἐγενόμην», δέον εἰς παλαίστραν.

Βαρβαρισμός ἐστιν ἁμάρτημα προφορᾶς ἐν λέξει γινόμενον· γίνεται δὲ περὶ τόνους, ὡς εἴ τις τὸ Αἴας ὀξύνει· περὶ χρόνους, ὡς εἴ τις τοῦ Αἴας τὸ $\overline{\alpha\varsigma}$ συστέλλει· περὶ πνεύματα, ⟨ὡς εἴ τις⟩ τὸ Ἅιδης ψιλοῖ· περὶ γραφήν, ὡς εἴ τις λέγει τὸ Λάχης διὰ τῆς $\overline{\epsilon\iota}$ διφθόγγου γράφεσθαι, ὀφεῖλον διὰ τοῦ $\overline{\eta}$· περὶ κλίσιν, ὡς εἴ τις τὸ Αἴας ἰσοσυλλάβως κλίνει, ὀφεῖλον περιττοσυλλάβως· περὶ διάλεκτον, ὡς εἴ τις προαιρούμενος ἀττικίζειν ἄλλην ἐγκαταμίξει λέξιν χωρίς τινος ἀναλογίας, ὡς εἰώθασιν οἱ κωμικοί· τοῦτο δὲ σαρκασμὸν καλοῦσι· περὶ τοὺς τῶν συλλαβῶν μερισμούς, ὡς εἴ τις τὰς διφθόγγους διαλύει, οἷον παῖς πάϊς· περὶ λέξιν ξένην, ὡς εἴ τις τὸν κλάδον τοῦ φοίνικος βαΐον ὀνομάζει, δέον λέγεσθαι ὁμωνύμως τῷ φυτῷ.

§ 1.

Περὶ γραμματικῆς.

310, 13c ⟨*Heliodori.*⟩ — Γράμμα σημαίνει ε'· τοὺς τῶν στοιχείων τύπους, ⟨Theocr. 18, 47⟩ γράμματα δ' ἐν φλοιῷ γεγράψεται· τὰ συγγράμματα, ⟨Theocr. 24, 105⟩ γράμματα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν· τὰ τῶν σοφῶν μνημονεύματα· Πλάτων ἐν Φαίδρῳ ⟨229 E⟩,

31 — 448, 10 *videntur esse* Σ^h

2 σώου E, σόου A ‖ **4** ἀτρείδης E | ἀγαμέμνον A ‖ **6** τὸν *om* A ‖ **10** ἦν *om* A ‖ **11** δίεννέπετε A, δὴ ἐννέπετε E (*quod coni. Koechly*) ‖ **19** τοῦ] τὸ AE ‖ **20** αἴας κατὰ τὸ $\overline{\alpha\varsigma}$ E | συστείλη AE | ὡς εἴ τις *om* AE[1], *in marg. add Constantini Lascaris manu* E | τὸν ἄδωνιν ψιλῶς AE | περὶ] κατὰ AE; *item v. 22* | περὶ γρ. — περιττ. (23) *post* παλαίστραν (*v. 17*) *transp.* AE ‖ **23** προαιρουμένου A ‖ **26** διαλύσει E ‖ **27** βαΐα *Ev. Ioann. 12, 13,* βοιὸν AE ‖ **31** ε'] $\bar{\delta}$ AE ‖ **33** Λίνος] αἶνος A, ἕνος E ‖ **34** ἐξεδίδαξαν A, ἐδίδαξε E

οὐ δύναμαι κατὰ τὸ Δελφικὸν γράμμα ἐμαυτὸν γνῶναι· τό τε
ἐπίγραμμα, ⟨ubi?⟩ ἀλλὰ τί τοῦτο αὐτὸ γράμμα βέβηκεν; καὶ ποτὲ 20
ποίημα, Ὁμήρειον δὲ καλεῦμαι Γράμμα, Καλλίμαχος ⟨epigr. 7 Sch⟩·
ἀπὸ οὖν τοῦ δηλοῦντος τὸ ποίημα γραμματική· μέμνηται τοῦ ὀνόματος
Μένανδρος ἐν Πωλουμένοις ⟨fr. 422 K⟩ καὶ Πλάτων ἐν Φιλήβῳ ⟨18 D⟩.
Φασὶ δὲ Ἀντίδωρον τὸν Κυμαῖον πρῶτον ἐπιγεγραφέναι αὐτὸν γραμ-
ματικόν, σύγγραμμά τι γράψαντα περὶ Ὁμήρου καὶ Ἡσιόδου. — Γράμμα
δὲ σημαίνει καὶ τὴν ἐπιστολήν, καὶ τὸν σταθμόν, ὃν τρόπον λέγομεν τὴν 30
οὐγκίαν κδ΄ γράμματα ἔχειν, καὶ τὸ ζωγράφημα, καὶ τὸ ψήφισμα παρὰ
Δημοσθένει.

Μέρη δὲ αὐτῆς δ΄ *etc.* = Σ^{v} 164, 9—20. 311, 2 c

Διαφέρει δὲ γραμματικὴ γραμματιστικῆς· ἡ γὰρ γραμματικὴ νεωτέρα 5
ἀπὸ Θεαγένους, τετέλεσται δὲ ἀπὸ τῶν Περιπατητικῶν Πραξιφά-
νους τε καὶ Ἀριστοτέλους· ἡ δὲ γραμματιστικὴ παλαιά, ἴσως δὲ σχε-
δὸν ἅμα τῇ φύσει προελθοῦσα· καὶ τῆς μὲν τέλος τὸ γράφειν, τῆς δὲ
τὸ ἀναγινώσκειν.

Γραμματική ἐστιν ἐμπειρία.] Τῶν τεχνογράφων *etc.* = Σ^{v} 11
165, 2—15.

Γραμματική ἐστιν ἐμπειρία.] Διὰ τί καλεῖ αὐτὴν ἐμπειρίαν; 22
Καὶ οἱ μέν φασιν καταχρηστικῶς εἰπεῖν ἀντὶ τοῦ γνῶσις· οἱ δὲ ὅτι
ἐπειδὴ ὁ σκοπὸς *etc.* = Σ^{v} 166, 33 — 167, 4. Οἱ δὲ ὅτι ἐπεὶ μικτή
ἐστιν ἡ γραμματικὴ *etc.* = *similia atque* Σ^{v} 167, 10—25. Οἱ δὲ ὅτι
πολλάκις μόνῃ παραδόσει κέχρηται, λέγουσα οὕτως ἔχειν τὴν παράδοσιν,
ὥσπερ ἐπὶ τοῦ Σκείρων καὶ τῶν ὁμοίων, τούτου χάριν ἐκ τούτων, ὧν
μὴ εὑρίσκει λόγον ἀποδοῦναι, αὐτὴν ὠνόμασεν. Ἀλλὰ μᾶλλον ὤφειλεν
ἐκ τοῦ πλεονάζοντος αὐτὴν καλέσαι τέχνην, καὶ μὴ ἐκ τῶν σπανίων.
Κρεῖττον οὖν ἐστιν εἰπεῖν, ὅτι ἐμπειρία εἶπεν οἱονεὶ πολυπειρία· ἡ γὰρ
ἐμπειρία δηλοῖ καὶ τὴν πολυπειρίαν, ὡς Εὐριπίδης, ⟨Phoen. 532 seq⟩
ἀλλ᾽ ἡμπειρία Ἔχει τι λέξαι τῶν νέων σοφώτερον, ἀντὶ τοῦ ἡ
πολυπειρία· ὅτι γὰρ καὶ οὗτος τέχνην αὐτὴν οἶδε, δηλοῖ λέγων, «ἕκτον
κρίσις ποιημάτων, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ».

Τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ 311, 31 c
λεγομένων.] Πολύπειρος ὁ γραμματικὸς ποιητῶν τε καὶ πεζολόγων,
καθὸ πάσης τετριμμένης λέξεως ἐπιστήμων, οὐ καθὸ ζητημάτων Δημο-
σθενικῶν ἢ δογμάτων Πλατωνικῶν ἐπιστήμων· οὐ γὰρ ἀνάγκη ταῦτα
αὐτὸν εἰδέναι. Συγγραφεῖς δὲ λέγουσι πάντας τοὺς πεζολόγους· τού- 312 c

---

12—16 *cfr* Σ^{v} *164, 23—29*

2 τί E | αὐτόγραμμα AE ‖ 4 γραμ(-μμ- A)ατικὸν AE ‖ 5 φιλήβω E, φοίβω A ‖ 6 ἀντόδωρον AE, *sed* A^2 *in marg.* φασὶ τὸν αὐτόδωρον τὸν κυμαῖον πρῶτον ἐπιγεγραφέναι αὐτὸν γραμματικόν ‖ 8 λέγωμεν AE ‖ 9 ὀγκίαν A, οὐγγίαν E ‖ 15 *post* μὲν *add* τὸ A ‖ 29 ἡ ἐμπ. AE ‖ 30 οὗτος — αὐτὴν E, τέχνην αὐτὸς A ‖ 32 καὶ — λεγομένων (33) *om* A

των δὲ οἱ μὲν ῥήτορες, οἱ δὲ συγγραφεῖς, οἱ δὲ ἱστορικοί· οὐκ ἔστι γὰρ μόνον παρὰ τοῖς ποιηταῖς καὶ συγγραφεῦσι χρειώδης ἡ γραμματική *etc.* = Σ^{v} 167, 26—168, 8.

14 ⟨*Heliodori.*⟩ — Ποιητὴς δὲ κεκόσμηται τοῖς τέσσαρσι τούτοις, μέτρῳ, μύθῳ ⟨ἢ πλάσματι⟩, ἱστορίᾳ καὶ ποιᾷ λέξει· καὶ πᾶν ποίημα μὴ μετέχον τούτων οὐκ ἔστι ποίημα, εἰ καὶ μέτρῳ κέχρηται. Ἔστι δὲ μέτρον μὲν ποιὰ καὶ ποσὴ λέξεων ἀπηρτισμένων σύνθεσις, κατά τε μέγεθος ἀπηρτισμένη καὶ τάξιν συλλαβῶν, ἐν ἰσότητι ἢ ὁμοιότητι ἢ οἰκειότητι ἤτοι τῶν μερῶν πρὸς ἄλληλα ἢ τοῦ ὅλου πρὸς τὰ μέρη. Ποιὰ δὲ λέξις ἡ ὀνοματοπεποιημένη· [πλάσμα δὲ τὸ μὴ ἀληθῶς πεποιημένον, ἀλλ' ὑπό τινος ἐσκευασμένον·] ἱστορία δὲ πραγμάτων γεγονότων ἢ ὄντων ἐν δυνατῷ σαφὴς ἀπαγγελία· μῦθος δὲ ξένων πραγμάτων ἀπηρχαιωμένων διήγησις, ἢ ἀδυνάτων πραγμάτων παρεισαγωγή· πλάσμα ⟨δὲ⟩ τὸ δυνάμενον μὲν γενέσθαι, μὴ γενόμενον δέ. Ἱκανὸς δὲ ὁ μῦθος δυσωπῆσαι δι' ἡδονῆς· ἡ γὰρ μετὰ συλλογισμῶν ἀκρόασις πολλάκις τὸν ἀκούοντα πρὸς ἀντίρρησιν κινεῖ· ἡ δὲ ποιητικὴ ἔχει μὲν τὸ προσαγωγὸν ἐκ τῆς ἡδονῆς, δυσωπεῖ δὲ οὐκ ἐξ ἀγῶνος, ἀλλ' ὥσπερ φυσικῶς ἐναντιουμένη. Τοῦτον οὖν τὸν τρόπον φαίνεται καὶ Ὅμηρος πεποιηκέναι· ἐν ὅσῳ γὰρ ⟨ὁ⟩ ἀοιδὸς παρῆν τῇ Κλυταιμνήστρᾳ, ἀπῆγεν αὐτὴν τοῦ περὶ πορνείαν ἔχειν, καὶ τοῦτο ὁρῶντα Αἴγισθον πρότερον ἐκβαλόντα τὸν ἀοιδὸν οὕτως ἀναπεῖσαι.

313c Ἔστι δὲ ποιητικὴ ἀπαγγελία πραγμάτων διὰ μέτρων καὶ ῥυθμῶν μετά τινος κατασκευῆς τὸ μυθῶδες, μετὰ καὶ τοῦ ἀληθοῦς ἐνίοτε συμπεπλεγμένον, μετὰ καὶ ἱστορίας ἐν ποιᾷ λέξει περιέχουσα· ποιητὴς δὲ ὁ κατὰ μετουσίαν τῆς ποιητικῆς ⟨τὸ⟩ ὄνομα ἐσχηκὼς τεχνίτης· ποίησις δὲ κυρίως ἡ διὰ μέτρων ἐντελὴς ὑπόθεσις ἔχουσα ἀρχὰς καὶ μέσα καὶ πέρατα· ποίημα δὲ μέρος ποιήσεως. Ποιήματος πλάσματα ἁδρόν, ἰσχνόν, ἀνθηρὸν τὸ καὶ μέσον· ἁδρὸν τὸ διηρμένον ὄγκῳ τῷ κατὰ φύσιν, οἷον ⟨N 126⟩ ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες· ἰσχνὸν τὸ συνεσταλμένον ὄγκῳ τῷ κατὰ φύσιν, οἷον ⟨Λ 269⟩ ὡς δ' ὅτ' ἂν ὠδίνουσαν ἔχῃ βέλος· ἀνθηρὸν τὸ μέσον ἀμφοῖν, οἷον ⟨τ 518⟩ ὡς δ' ὅτε Πανδαρέου κούρη· ἀνθηρὸν δὲ λέγεται, ὅτι ἁρμόζει μάλιστα πρὸς ἀπαγγελίαν λειμώνων καὶ ἀνθέων. Ἀντίκειται δὲ τῷ μὲν ἁδρῷ

4—452, 14 *videntur esse* Σ^{h}

7 ἀπηρτισμένη σύνθ. E | ἀπηρτισμένη *ex* -μένως *corr.* A², ἀπηρτισμένον E ‖ **9** τὰ μέρη] ἕτερα AE | λέξις] λέγεται AE ‖ **12** ἀπηρχαιομένων E, ἀπηρχαιομένη A ‖ **14** δυσωπῆσαι *Usener Mus. Rh. 25, 609* (*qui pro* δι' ἡδ. *primitus scr. fuisse putat* ἄνευ διανοίας), σιωπῆσαι AE ‖ **18** ὁ *add Usener* ‖ **19** κλητεμν. A, κληταιμν. E | ἀπῆγεν AE, ἀπάγειν *Usener* ‖ **20** ἐκβαλόντα *Usener*, ἐκβαλλόντα A, ἐκβάλλοντα E ‖ **22** συμπεπλεγμένων A ‖ **25** διαμετρεντελὴς A ‖ **27** διηρμένον *Usener in Act. Acad. Bavar. cl. phil. et hist. 1892, p. 607, adn. 3,* διηρημένον AE | τῷ A, τὸ E | οἷον — φύσιν (**29**) *om* E ‖ **31** πανδαρέου AE, Πανδαρέως c

τὸ cκληρὸν καὶ τὸ βραχύ, τῷ δὲ ἰcχνῷ τὸ πλατὺ καὶ τὸ παχύ, τῷ δὲ ἀνθηρῷ τὸ ἀγλευκὲc καὶ τὸ λογοειδέc.

Ποιήcεωc χαρακτῆρεc τρεῖc, διηγηματικόc, δραματικόc, μικτόc· διηγηματικόc ἐcτιν ὁ κεχωριcμένοc μὲν τῶν παρειcαγομένων προcώπων, 20 ὑπ' αὐτῶν δὲ τῶν ποιητῶν λεγόμενοc· δραματικὸc δὲ ὁ κεχωριcμένοc τοῦ ποιητικοῦ προcώπου, ὑπὸ δὲ τῶν παρειcαγομένων προcώπων λεγόμενοc· μικτὸc δὲ ὁ ἐξ ἀμφοῖν cυγκείμενοc.

Εἴδη τοῦ διηγηματικοῦ καὶ μικτοῦ τέccαρα, ἐπικόν, ἐλεγειακόν, ἰαμβικόν, μελικόν· τοῦ δραματικοῦ εἴδη τρία, τραγικόν, κωμικόν, cατυρικόν.

Μέλοc ἐcτὶ ποίημα παρ' ἰδιότητα ῥυθμοῦ πεποιημένον.

Ἀποcτολικὸν μέλοc ἐcτὶ τὸ πεμπόμενον πρόc τινα, περιέχον ⟨παραινέcειc⟩ ἢ αἴτηcιν παρ' αὐτοῦ δωρεᾶc.

Γνωμολογικόν ἐcτι τὸ γνώμαc καὶ παραινέcειc καὶ ὑποθήκαc ⟨περι-⟩ έχον πρόc τινα.

Ἰόβακχόν ἐcτι μέλοc ᾀδόμενον εἰc Διόνυcον· εἴρηται δὲ ἀπὸ τοῦ λέγειν «ἰὼ Βάκχε».

Δαφνηφορικόν ἐcτι τὸ ᾀδόμενον εἰc τὸν Ἀπόλλωνα ὑπὸ τῶν κομιζόντων τὴν δάφνην ἐκ τῶν Τεμπῶν.

Τριποδηφορικόν ἐcτι τὸ ᾀδόμενον ἐπὶ προπομπῇ τρίποδοc, ὃν ἔπεμπον οἱ Θηβαῖοι ἐξ ἔθουc τῷ Διῒ τῷ Δωδωναίῳ εἰc Δωδώνην.

Ὠcχοφορικόν ἐcτι τὸ γραφόμενον εἰc Ἀθηναίων ἠϊθέουc δρόμον ἀγωνιζομένουc καὶ κρατοῦνταc κλῆμα βοτρύων πλῆρεc, ὃ καλεῖται ὦcχοc· ποιοῦνται δὲ τὸν δρόμον ἐκ τοῦ Διονυcίου εἰc τὸ τῆc Cκιράδοc Ἀθηνᾶc ἱερόν.

Ὑμέναιόc ἐcτι τὸ εἰc γαμοῦνταc ᾀδόμενον, ὁμόνοιαν περιέχον.

Ἐπικήδειόν ἐcτι τὸ ἐπὶ προκειμένῳ νεκρῷ ᾀδόμενον.

Ἐμβατήριόν ἐcτι τὸ περιέχον ἄcκηcιν ἐνοπλίου κινήcεωc καὶ προτροπὴν εἰc πόλεμον· ᾔδετο δὲ παρὰ Λακεδαιμονίοιc.

Ἐγκώμιόν ἐcτι κυρίωc μὲν τὸ εἰc κώμην εἰρημένον, ἀπὸ τοῦ ἀρχαίου ἔθουc, ἐπειδὴ κωμηδὸν ᾤκουν, ὅθεν καὶ κωμῳδίαι κέκληνται· λέγεται ⟨δὲ⟩ καὶ εἰc ἄνθρωπον καὶ πόλιν, ἐπαίνου περιεκτικόν.

Ἐρωτικόν ἐcτι τὸ πεποιημένον εἰc ἔρωτα καὶ ἐπιθυμίαν γυναικὸc ἢ παρθένου.

Προcε⟨υ⟩κτικόν ἐcτι τὸ ᾀδόμενον εἰc πάνταc τοὺc θεοὺc καὶ δι' εὐχῆc αἴτηcίν τινα περιέχον.

---

1 βραχύ] παχύ AE | πλατὺ — παχύ] ξηρὸν καὶ τὸ βραχύ AE ‖ **2** ἀγλαυκὲc AE, ἀγλυκὲc *Usener* ‖ **4** μὲν *om* E ‖ **5** ποιητῶν E, ποιητικῶν A ‖ **8** Εἴδη τοῦ διηγηματικοῦ ***· εἴδη τοῦ μικτοῦ δ' *Usener in Act. Acad. Bavar. 1892, p. 615, adn. 2* ‖ **10—451,2** E, *om* A ‖ **10 seqq** *cfr Procli Chrest. 8 seqq* ‖ **15** Ἰόβακχον *cfr Procli Chrest. 16; Pollux 4, 53; Menander rhet. de epid.* (*III 331, 23 Sp*), πρόβακχόν ἐcτι E ‖ **16** ἰὼ Βάκχε *cfr Horat. sat. I 3, 7,* ἰόβακχι E ‖ **17** ὑπὸ] ὑπὲρ E ‖ **21** ἀθηναίουc *et supra scr.* ων E[1] ‖ **23** ποιεῖται E | διονυcείου E | cκιρράδοc E ‖ **26** ἐπικήδιόν ἐcτι E ‖ **27** προτροπῆc E ‖ **30** ἐπειδὴ] ἔπειτα E

Παροίνιόν ἐcτι τὸ ἐν cυμποcίοιc ᾀδόμενον εἰc προτροπὴν καὶ εἰc ὁμόνοιαν τῶν παρόντων καὶ εἰc εὐωχίαν.

313, 27c Cύνταγμά ἐcτι λέξιc διὰ μέτρων κολοβῶν ἐπὶ πολλὰ διατείνουcα, ἢ cύνταξιc μέτρου κατὰ κολοβὸν ἀπηρτιcμένη ἄνευ μέλουc, ἢ μέτρον εἰc λόγουc κολοβοὺc τετμημένον.

Ὕμνοc ἐcτὶ ποίημα περιέχον θεῶν ἐγκώμια καὶ ἡρώων μετ᾽ εὐχαριcτίαc.

Ἐγκώμιόν ἐcτι ποίημα ἢ cύγγραμμα περιέχον ἀνθρώπων καὶ πόλεων ἔπαινον.

Ἐπινίκιόc ἐcτι ποίημα περιέχον τῶν νενικηκότων ἐγκώμιον, ἐπ᾽ αὐτῇ τῇ νίκῃ καὶ δι᾽ αὐτὴν γεγονόc.

314 c Παιάν ἐcτι ποίημα πρὸc Ἀπόλλωνα καὶ Ἄρτεμιν, ⟨περι⟩έχον προcφώνηcιν ἐπὶ παραιτήcει λοιμῶν ἢ cτάcεων ἢ τῶν παραπληcίων.

Cκολιόν ἐcτι ποίημα πρὸc cυμποcίου cυναγωγὴν εὐθέτωc ἔχον ἱcτορίαιc καὶ παιδιαῖc οἰκείαιc πότῳ cυμπεπλεγμέναιc· καλεῖται δὲ καὶ ἐποίνιον καὶ παροίνιον, ὡc ἀνωτέρω δεδήλωται.

Προcόδιόν ἐcτι ποίημα ὑπὸ ἀρρένων ἢ παρθένων χοροῦ ἐν τῇ προcόδῳ τῇ πρὸc τὸν θεὸν ᾀδόμενον· φέρεται δὲ ἐν τούτῳ τῷ γένει καὶ τὸ ἀποτρεπτικόν· ἔcτι δὲ ποίημα cπαcτικόν, κατὰ τὸν ἀπὸ τῶν θεῶν χωριcμὸν ᾀδόμενον.

Διθύραμβόc ἐcτι ποίημα πρὸc Διόνυcον ᾀδόμενον ἢ πρὸc Ἀπόλλωνα, παραπλοκὰc ἱcτοριῶν οἰκείων ⟨περιέχον⟩.

Cίλλοc ἐcτὶ ποίημα λοιδορίαν κατά τινοc περιέχον.

Θρῆνόc ἐcτι ποίημα ὀδυρμὸν περιέχον καὶ ἐγκωμιαcτικὸν τοῦ τετελευτηκότοc.

Ὑπόρχημά ἐcτι ποίημα πρὸc ὄρχηcιν γεγραμμένον πρὸc τὸν αὐτὸν ῥυθμόν, ὃc δὴ ὑπορχηματικὸc καλεῖται.

Ῥυθμόc ἐcτι cύcτημα cυγκείμενον ἐκ χρόνων, οὐ πάντωc cυγκειμένων πρὸc ἀλλήλουc· οὐ γὰρ πᾶcα χρόνων cύνθεcιc ἔρρυθμοc· ⟨ἀλλὰ ἠρεμία τε καὶ⟩ κίνηcιc χρόνων ἐν μεγέθει τακτῷ cυλλαμβανομένη· ἢ ἀνὰ λόγον μεταλλάξει δύο χρόνων cυγκειμένη τάξιc, βραδέωc τε καὶ ταχέωc.

Πρόλογόc ἐcτι προαναφώνηcιc τῶν διὰ τοῦ δράματοc εἰcάγεcθαι μελλόντων.

---

4 ἢ καὶ cύντ. E | ἀπηρτιcμένη AE, ἀπηρτιcμένον c ‖ **6** εὐχαριcτείαc A ‖ **13** παραπληcίον A ‖ **14** cκολιὸν ἐcτὶ AE ‖ **15** παιδείαc AE | καὶ ἐπίνιον E, ἐπίνοιον A ‖ **16** καὶ παρ. — δεδήλ. *om* A ‖ **17** ἀρcένων E ‖ **19** ἀποτρεπτικὸν AE; *an* ἀποπεμπτικόν? *cfr Menander rhet.* (III 336, 5 Sp) ‖ **22** παραπλοκαὶ AE, περιπλοκαὶ c | οἰκείωc AE ‖ **23** ἐμπεριέχον E ‖ **27** ὃc δὴ ὑπορχηματικὸc *RSchneider,* ὃ δὴ ὑπορχηματικὸν AE ‖ **28** πάντωc *Usener Mus. Rhen. 25, 608,* πάντων AE ‖ **29** ἔρρυθμοc A, εὔρυθμοc E | ἀλλὰ — καὶ (**30**) *add Usener* ‖ **31** ἀνὰ — cυγκειμένη *Usener,* ἀναλογία μεταξὺ δύο λόγων κειμένη AE ‖ **33** προαναφώνηcιc AE, προαναφωνητικὸc c

Ῥῆcίc ⟨ἐcτι⟩ λόγοc διεξοδικὸc ὑπό τινοc τῶν ὑποκριτ⟨ικ⟩ῶν προcώπων λεγόμενοc πρὸc τὸν ὄχλον.

Ἀμοιβή ἐcτι τῶν εἰcαγομένων προcώπων διάλογοc.

Ἄγγελόc ἐcτιν ὁ τῶν πεπραγμένων ἔξω τῆc πόλεωc ἢ τῆc οἰκίαc ἀπαγγελίαν ποιούμενοc.

Cκηνικὴ ᾠδή ἐcτιν ⟨ἡ⟩ ἐξ ὑποκριτικοῦ προcώπου λεγομένη.

Κούριcμά ἐcτιν ᾠδὴ πένθουc μετέχουcα καὶ cυμφορᾶc ἀποκεκαρμέ- 30
νων τὰc τρίχαc.

Cάλπιγξ ἐcτὶ λόγοc περιέχων τὰ πολεμικά.

Cκοπόc ἐcτιν ὁ ⟨ἐκ⟩ τῆc ἀλλοδαπῆc χώραc ἐρχομένων τὴν ἀπαγγελίαν ποιούμενοc πόρρωθεν.

Χορόc ἐcτι cύcτημα πλειόνων ἐμμελῶc τὰ προκείμενα φθεγγομένων. 315c

Τραγῳδία δέ ἐcτι βίων καὶ λόγων ἡρωϊκῶν μίμηcιc ἔχουcα cεμνότητα μετ' ἐπιπλοκῆc τινοc.

⟨*Heliodori.*⟩ — Ὡc ἐπὶ τὸ πολὺ λεγομένων.] Μέμφονταί τινεc τῷ ὅρῳ· οὐ γάρ τιc λέγει «ἄνθρωπόc ἐcτι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιcτήμηc δεκτικὸν ὡc ἐπὶ τὸ πολύ». Ῥητέον οὖν ὅτι ἐπειδὴ ὁ γραμματικὸc οὐ πάντων ἐcτὶν ἐπιcτήμων, θέλων καὶ αὐτὸν cυμπεριλαβεῖν ἐν τῷ ὅρῳ εἶπε τοῦτο· τῶν γὰρ πολιτευομένων λέξεων ἐπιcτήμων ἐcτίν, οὐ τῶν παρὰ τὸ δέον ἀναπεπλαcμένων, ὡc τὸ εὐῶπεc κόραι ⟨Lycophr. 23⟩ αἱ κῶπαι, καὶ ἀντίπετροc ⟨Theocr. Syr. 2⟩ ὁ Ζεύc, καὶ βαλάντιον ⟨Dionys. tyr. fr. 12 N² p. 796⟩ τὸ ἀκόντιον παρὰ τὸ βάλλειν τοὺc ἐναντίουc, καὶ cκέπαρνον ⟨Artemid. 4, 24⟩ τὸ ἔριον παρὰ τὸ cκέπειν τὸν ἀρνόν, καὶ τὸ ἐξ ἐρίων ἔνδυμα ποτήριον, ἐπεί ποτε ἔριον ἦν, καὶ τὸν κάδον ἑλκύδριον ⟨Dionys. tyr. l. l.⟩, ὅτι ἀνέλκει τὸ ὕδωρ, καὶ τὸν Τηλέμαχον Μακροπτόλεμον ⟨Theocr. Syr. 1⟩, καὶ τὸν τοῖχον μυcτήριον ⟨Dionys. tyr. l. l.⟩, ὅτι τοὺc μῦc τηρεῖ, καὶ τὴν γυναῖκα μένανδρον ⟨Dionys. tyr. l. l.⟩ παρὰ τὸ ὑπομένειν τὸν ἄνδρα, καὶ cτήτην ⟨Dosiadis Ara 1⟩ τὴν γυναῖκα· οὐ δὴ τῶν τοιούτων ἀπαιτηθήcεται εἴδηcιν ὁ γραμματικόc, ἀλλὰ τῶν καθημαξευμένων. Διόπερ οὐκ ἔcτιν οὔτε ἐπιcτήμη οὔτε τέχνη ἡ γραμματική· οὐδετέρα γὰρ τούτων τῆc προcθήκηc «ὡc ἐπὶ τὸ πολύ» δεῖται, ἀλλ' ἀμφότεραι τὸ ἀμετάπτωτον ἐπὶ παντὸc θεωρήματοc ἔχουcιν ὅcον ἐφ' ἑαυταῖc.

Μέρη δὲ αὐτῆc ἐcτιν ἕξ.] Οὐκ ἀκριβολογεῖται περὶ τὰ μέρη, εἴ τε καὶ ὄργανα, διὰ τὴν τῶν νέων ἀκοήν· τάχα δὲ οὐκ ἐξ ὧν cυνέcτηκεν ἡ γραμματική, ἀλλὰ μᾶλλον ἃ δεῖ μετιέναι τὸν γραμματικόν, ὅτι

---

15 — 453, 23 ***videntur*** *esse* **Σ**[h]

3 ἐcτι E, δὲ A ‖ **4** ἐcτιν *om* A ‖ **6** ᾠδή ἐcτιν E, δὲ ᾠδὴ A ‖ **7** κούρ. δὲ ᾠδὴ A ‖ **9** ἐcτὶ E, δὲ A ‖ **10** cκοπὸc δὲ ὁ A ‖ **12** χορὸc δὲ cύcτ. A | προcκείμενα φθεγγομένου AE ‖ **13** ἐcτι *om* A ‖ **17** τὸ *om* A ‖ **18** cυμπαραλαβεῖν AE ‖ **20** τὸ (*prius*) *om* A | εὐώπειc AE ‖ **26** μακροπόλεμον A | τὸν τοῖχον AE, τὰc τῶν μυῶν διεκδύcειc *Athen. III 98 d* ‖ **29** δὴ E, δὲ A ‖ **30** κατημαξ(-μαζ- E)ευμένων AE ‖ **34** ἐcτιν *om* E

ἀληθὲς τὸ λεγόμενον, ἐξ ὧν ἐμπειρίαν αὐτὴν εἶπεν, καὶ ὅτι τὸ διορθωτικὸν ἐσιώπησε μέρος τήν τε ἐτυμολογίαν ὡς μέρος κατέλεξεν, ὅπερ ἐστὶ μόριον. Τὴν τῶν μερῶν οὖν ἀπαρίθμησιν οὐ πεποίηται κατὰ τὸν φυσικὸν λόγον, ἀλλὰ κατὰ τὸν διδακτικόν.

Διὰ τί δὲ ἡ ῥητορικὴ εἰς εἴδη, ἡ δὲ γραμματικὴ εἰς μέρη διαιρεῖται; Ἐπειδὴ ἡ ῥητορικὴ περὶ πολιτικὰ πράγματα καταγίνεται, ταῦτα δὲ αὐθυπόστατά ἐστι· καὶ διὰ τοῦτο εἰς εἴδη διαιρεῖται, ὡς τῶν εἰδῶν ὁλόκληρόν τι ἀποτελούντων, καὶ ὁ ἕν τι τούτων εἰδὼς τέλειός ἐστι ῥήτωρ. Ἡ δὲ γραμματικὴ περὶ λέξεις καὶ περὶ τὰ μέρη τοῦ λόγου καταγίνεται, ταῦτα δὲ συμβεβηκότα εἰσὶν ἐπικείμενα κατ' οὐσιῶν· τὰ δὲ συμβεβηκότα οὐκ ἔστιν αὐθυπόστατα, καὶ γὰρ τὸ λευκὸν οὐ δύναται χωρὶς τοῦ σώματος συστῆναι· ἐπειδὴ οὖν ἡ γραμματικὴ οὐ καταγίνεται περὶ αὐθυπόστατα, τούτου χάριν εἰς μέρη διαιρεῖται, καὶ ὁ ἕν τι ἢ δύο τούτων εἰδὼς οὐκ ἔστι τέλειος γραμματικός.

Διὰ τί τεσσάρων ὄντων τῶν μερῶν αὐτός φησιν ἕξ; Καὶ λέγομεν, ὅτι τὸ ἓν ἐξ αὐτῶν, τὸ διορθωτικόν, ἐτμήθη εἰς τρία, εἰς τὸ νῦν τρίτον, τέταρτον, πέμπτον· οἱ δέ, ὅτι ἐπεὶ πρὸς εἰσαγομένους διαλέγεται, ἠθέλησεν ἀφελέστερον τῇ διδασκαλίᾳ χρησάμενος ταῦτα παραδοῦναι αὐτοῖς μέρη, οἷστισι κέχρηνται εὐθέως οἱ ἀναγινώσκοντες· καὶ γὰρ πρῶτον ἀναγινώσκουσι, καὶ τότε ἐξηγεῖται αὐτοῖς, εἶτα τὰ κατὰ γλῶσσαν καὶ ἱστορίαν σαφηνίζει, εἶτα ἐτυμολογεῖ τὰς λέξεις, καὶ μετὰ ταῦτα τὸν κανόνα τῆς ἀναγνώσεως παραδίδωσιν αὐτοῖς, καὶ τελευταῖον κρίνειν διδάσκει.

Τὸ πάλαι δὲ πρῶτον ὁ διορθωτὴς *etc.* = Σ^d 12, 6—13, 6.

⟨*Heliodori.*⟩ — Πρῶτον ἀνάγνωσις.] Ἡ τῶν μερῶν τάξις πεποίηται τῷ τεχνογράφῳ κατὰ τὴν τῆς διδασκαλίας ἀκολουθίαν· πρότερον γὰρ ἀναγνῶναι δεῖ τὸν νέον, εἶτα πρὸς ἐτυμολογίαν καὶ ἱστορίαν τραπῆναι· μαθόντες γὰρ ὅτι μῆνις σημαίνει τὴν ἐγκειμένην ὀργὴν τὴν ἐτυμολογίαν γνωσόμεθα, ὅτι διὰ τὸ ἐμμένειν· εἶτα περὶ ἀναλογίαν γινόμεθα, ἥτις καταγίνεται περὶ ὁμοιότητα τῶν ἐν τῷ χαρακτῆρι ὀνομάτων ἢ ῥημάτων. Καὶ ἔστιν ἀνάγνωσις ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις, ὡς τὸ ⟨δ 250⟩ ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα· φασὶ γὰρ μετεμψύχωσιν εἶναι, καὶ ἐρχομένην εἰς ἀνθρώπειον σῶμα τὴν ψυχὴν ἀναγνωρίζειν καὶ ἐπιγινώσκειν ἃ ἤδη προέμαθεν. Ἄλλοι δέ φασιν, ὅτι γνῶσίς ἐστιν ἡ πρώτη τοῦ πράγματος ἐπιβολή, οἷον ἐπὶ τῶν στοιχείων γνῶσιν λέγομεν, ἐπὶ δὲ τῶν λέξεων ἀνάγνωσιν, ἐπειδὴ δευτέραν γνῶσιν σημαίνει· καὶ γὰρ ἐκ τῶν στοιχείων σύγκεινται· δηλοῖ γὰρ

15—17 *cfr* Σ^d *13, 7—10* ‖ **25—456, 22** *videntur esse* Σ^h

6 Ἐπειδὴ — καταγίνεται *om* A ‖ **13** καὶ — γραμμ. (14) *om* E ‖ **15** τῶν E, *om* A ‖ **16** ὅτι E, *om* A ‖ **19** κέχρηνται E, χρῶνται A ‖ **20** τὰ E, *om* A ‖ **26** τῆς E, *om* A ‖ **27** πρὸς] περὶ AE ‖ **31** τῆς ψ. E, *om* A ‖ **35** ἐπὶ E, *om* A

ἢ ἀνά τὸ ἐκ δευτέρου, οἷον ἀναλαβεῖν ἀναδοῦναι. Πρῶτον δὲ τὴν ἀνάγνωςιν λέγει· ἀμελήςαντες γὰρ τοῦ διορθοῦςθαι τὰ βιβλία εὐθὺς ἐπὶ τὸ ἀναγινώςκειν τρέπονται.

Ἐντριβής·] ἡ τετριμμένη, καὶ ἣν οἱ παλαιοὶ διώδευςαν, κἂν μὴ ἀναλόγως ἔχῃ, ὡς τὸ πτερύγος· ὤφειλε γὰρ πτέρυγος κατὰ τὴν ἀναλογίαν, ἀλλ' ἐπεκράτηςε παρὰ τῶν παλαιῶν γραμματικῶν οὕτως ἀναγινώςκεςθαι.

Κατὰ προςῳδίαν·] οἷον κατὰ τέχνην, κατὰ τόνους, χρόνους, πνεύματα, πάθη. Προςῳδία δέ ἐςτι τόνος, πρὸς ὃν ᾄδομεν καὶ τὴν φωνὴν εὐρυτέραν ποιοῦμεν, ἢ τόνος φωνῆς κατὰ διάλεκτον ἢ κατὰ ἀναλογίαν κατορθούμενος· ἢ προςῳδία ἐςτὶ ποιὰ ςημείωςις ἀδιαςτρόφου φωνῆς λεκτικῆς καὶ ἐμμέτρου· λέγεται δὲ προςῳδία παρὰ τὸ προςᾴδειν ἤγουν ἁρμόζεςθαι τῇ ὑποκειμένῃ λέξει.

Τρόποι δὲ ἀναγνώςεως ιβ'· ἀναλογία, ἐτυμολογία, ςυναλοιφή, διάλεκτος, ἱςτορία, γραφή, μέτρον, ςυνήθεια, ςημαινόμενον, ἀντέμφαςις ἤγουν ⟨ἀντι⟩διαςτολή, μετάληψις ςτοιχείων καὶ διαφορὰ τόπων. — Καὶ ἀναλογία μέν ἐςτιν ἡ τῶν τεχνικῶν κανόνων ἀπόδοςις ἐκ παραθέςεως τοῦ ὁμοίου γενομένη, ὡς ἐπὶ τοῦ αὐλῶ ηὔλουν· πᾶν γὰρ ῥῆμα ἐνεςτῶτος χρόνου ἀπὸ διφθόγγου ἀρχόμενον κατὰ παρεληλυθότα χρόνον πάλιν ἀπὸ διφθόγγου ἄρχεται· καὶ τὸ πηρός ὀξυτόνως δεῖ ἀναγινώςκειν, ὡς τὸ πηλός. — Ἐτυμολογία δὲ ςύντομος καὶ ἀληθὴς τοῦ ζητήματος ἀπόδοςις, παρὰ τὸ ἔτυμον, ὃ ςημαίνει τὸ ἀληθές· ἢ ἐπιςημαςία ἐπὶ τῶν πλείςτων τὸ πιθανὸν ἔχουςα· οὐ γὰρ ἐπὶ πάντων ἔςτιν αὐτὴν εὑρεῖν· οἷον ςπυρίς, πυρὶς γάρ ἐςτιν, ἡ πυρῶν δεκτική, καὶ μέροψ ὁ ἄνθρωπος, ὁ μεμεριςμένην ἔχων τὴν ⟨ὄπα ἤγουν τὴν⟩ φωνήν, καὶ ἵππος ὁ τοῖς ποςὶν ἱέμενος, καὶ κύων παρὰ τὸ κυνεῖν καὶ ςαίνειν, καὶ ⟨αἴξ⟩ παρὰ τὸ ᾄςςειν τουτέςτιν ἄττειν καὶ ὁρμᾶν· ὥςπερ ἐπὶ τοῦ ⟨Ψ 34⟩ κοτυλήρυτον· οὐ προφερόμεθα γὰρ τὸ ρ̄ δαςέως, ἀλλὰ ψιλῶς· οὐκ ἔςτι γὰρ ἡ ςύνθεςις ἀπὸ τοῦ ῥυτόν, ἀλλ' ἀπὸ τοῦ ἀρύω, ὅπερ ἔχει τὸ ρ̄ ψιλούμενον. — Συναλοιφὴ δέ, ὡς ἐπὶ τοῦ ⟨Η 161⟩ οἱ δ' ἐννέα πάντες ἀνέςταν, ψιλῶς τοῦ ἐννέα προφερομένου, ἐπειδὴ ἡ ςυναλοιφὴ δηλοῖ, ὅτι ψιλοῦται· ἐπ' ἐννέα γὰρ λέγομεν. — Διάλεκτος δέ ἐςτι γλώττης ἰδίωμα, ὡς 315, 5 c
ἐπὶ τοῦ μείλιχος ὀνόματος· μέλλιχος γάρ φαςιν Αἰολεῖς· καὶ τὸ ἄμμες ψιλῶς προφερόμεθα ὡς Αἰολικόν. — Ἱςτορία δὲ ἡ τῶν παλαιῶν χρῆςις· πολλάκις δὲ αὕτη ἐναντιοῦται διαλέκτῳ· τοῦ γὰρ χίλιοι πληθυντικοῦ ὀνόματος ἀπαιτοῦντος τὴν ει̅ δίφθογγον, καθὼς ἡ διάλεκτος —

1 δὲ] γὰρ AE ‖ 2 ἀμεληςάντων AE | γὰρ A, δὲ E ‖ 5 ἔχοι A, ἔχει E ‖ 12 δὲ E, *om* A ‖ 13 ἢ ἁρμόζειν τῇ ὑπ. λ. E, τῇ ὑπ. λ. ἤγουν ἁρμόζεςθαι A ‖ 14 ιβ'] ι' A, δέκα E ‖ 16 τόπων A, τόνων E ‖ 19 χρόνον E, *om* A ‖ 21 ἀληθὴς τοῦ ζητήματος A, ἀληθοῦς τοῦ ζητοῦντος πράγματος E ‖ 22 ἐπὶ ςημαςίαν — ἔχουςαν (23) AE; *vide EtM 817, 4* ‖ 25 ὁ *ante* μεμ. *om* A | ὄπα *cfr EtM 580, 37* ‖ 26 ἱέμενος *cfr EtM 473, 32*, ἱςτάμενος AE | αἴξ *cfr EtM 36,51* ‖ 28 προςφερ. AE ‖ 31 τὸ ἐν. προφερόμενον A ‖ 33 ὄνομα AE

χέλλιοι γάρ φαςιν Αἰολεῖς — ἡ ἱςτορία ἐναντιουμένη διὰ μόνου τοῦ ῑ γράφει. — Γραφὴ δέ, ὡς ἐπὶ τοῦ ΔΜΩΑϹ· ὅπου μὲν γὰρ θηλυκόν ἐςτι, καὶ πρόςκειται τὸ ῑ καὶ ὀξύνεται, ὅπου δὲ ἀρςενικόν, χωρὶς τοῦ ῑ καὶ βαρύνεται. — Μέτρον δέ, ὡς ἐπὶ τοῦ ⟨β 119. τ 542⟩ ἐυπλοκαμῖδες Ἀχαιαί· ἐκ γὰρ τοῦ μέτρου γινώςκομεν, ὅτι κατὰ διάςταςίν ἐςτι τὸ ευ̅. — Συνήθεια δέ, ὡς ἐπὶ τοῦ ⟨Δ 64⟩ Ἀθηναίῃ ἐπιτεῖλαι· ἀντὶ τοῦ προςτακτικοῦ γὰρ τοῦ ἐπίτειλον τὸ ἐπιτεῖλαι παραλαμβανόμενόν ἐςτιν, ἐπειδὴ ἔχει ἔθος ὁ ποιητὴς ἀπαρεμφάτοις ἀντὶ προςτακτικῶν χρῆςθαι. — Σημαινόμενον ⟨δέ⟩, ὡς ἐπὶ τοῦ ⟨Δ 539⟩ ἔνθα κεν οὔ κέ τι· τὸ γὰρ σημαινόμενον οὐκ ἐᾷ ἡμᾶς ὡς δύο λέξεις προφέρεςθαι, ἀλλ' ὡς τρεῖς· οὐκ ἔςτι γὰρ ἐνταῦθα ἀπὸ τοῦ οὐκ ἐπιρρήματος καὶ τοῦ ἔτι χρονικοῦ ἐπιρρήματος, ἀλλ' ἀπὸ τῆς οὔ ἀποφάςεως καὶ τοῦ κέ ςυνδέςμου τοῦ διὰ τοῦ ε̅ ψιλοῦ γραφομένου καὶ τοῦ τί ὀνόματος· τὸ γὰρ οὔ τι σημαίνει. — Ἀντέμφαςις δὲ ἤγουν ἀντιδιαςτολὴ τοῦ ἀνταποδ⟨οτ⟩ικοῦ [τοῦ] τινός. — Μετάληψις δὲ ἤγουν μεταβολή, ὡς ὅτε ἀντὶ τοῦ ἕςτατε ⟨Δ 243. 6⟩ εἴπωμεν ἕςτητε μεταβάλλοντες τὸ α̅ εἰς η̅. — Διαφορὰ δὲ τόπων, ὡς ἐπὶ τοῦ ⟨ζ 22⟩ εἰδομένη κούρῃ ναυςικλειτοῖο Δύμαντος· οὐ προφερόμεθα γὰρ «ναυςικλειτῇ Δύμαντος», ἵνα εὑρεθῇ τῇ ναυςικλειτῇ τῇ τοῦ Δύμαντος, ἐπειδὴ αὐτὸς ἐν ἄλλῳ τόπῳ ἐδήλωςεν, ὅτι ἀρςενικόν ἐςτι καὶ οὐ θηλυκόν, εἰπών ⟨ex gr. θ 191⟩ Φαίηκες δολιχήρετμοι ναυςίκλυτοι ἄνδρες.

Δεύτερον ἐξήγηςις.] Ἐξήγηςίς ἐςτιν ἡ τοῦ ἑξῆς ὁδήγηςις, τουτέςτι τοῦ νοήματος καὶ τῆς διανοίας ἀκολουθία καὶ τάξις, ὥςπερ παρὰ Πινδάρῳ ⟨Ol. 1, 1 seq⟩ ἄριςτον μὲν ὕδωρ, ὁ δὲ χρυςὸς αἰθόμενον πῦρ Ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου· τὸ γὰρ ἑξῆς ἐςτιν «ὁ δὲ χρυςὸς μεγάνορος πλούτου ἐπεὶ ἔξοχόν ἐςτιν ὥςπερ πῦρ ἐν νυκτὶ διαπρέπει καιόμενον», ὅπερ διὰ τὴν ἐν τοῖς μέτροις ἀνάγκην ςυγκέχυται παρὰ τῷ ποιητῇ· ὥςτε ὁ γραμματικὸς ὀφείλει ἐξηγεῖςθαι καὶ τὰ φιλόςοφα καὶ τὰ ῥητορικὰ καὶ πᾶςαν ςυγγραφήν, εἴ γε τὸ ἑξῆς λέγει· εἰ γὰρ τεχνίτης ἐςτὶν ὁ γραμματικὸς τῆς τοῦ λόγου ςυνθέςεως καὶ τῆς τάξεως τῆς ἐν τῇ ἀπαγγελίᾳ, καὶ γλώττης πάςης καὶ ἱςτορίας καὶ τρόπου καὶ φράςεως, ἅπερ ἐμπίπτει ἐν τῇ ἐξηγήςει, δῆλον ὅτι πάντα ἐξηγήςεται. Οὐ μὴν ἀπαιτήςει τις αὐτὸν κατὰ τὴν τῆς ῥητορικῆς τέχνης ἀπαγγελίαν ἐξηγεῖςθαι· οὐδὲ περὶ κεφαλαίων τάξεως διαλαμβάνων, οὐδὲ

---

1 χέλλιοι *EtM 817, 2,* χάνοι A, χένιοι E ‖ 2 γράφει EtM, γράφεται AE ‖ 4 εὐπλοκαμῖδες AE ‖ 6 ἐςτὶ τὸ ευ̅ E, τοῦ γ̅ A ‖ 7 τὸ ἐπιτεῖλαι τοῦ ἐπίτειλον AE ‖ 8 ἐςτιν *om* A ‖ 9 ἔνθά κεν AE; *an* ἔνθ' ἐμοὶ οὐκέτι ⟨*I 462*⟩? ‖ 11 τοῦ ου̅ E, τῆς ου̅ A ‖ 16 ἕςτητε *om* A ‖ 17 τόπων A, τόπου E | εἰδομένην κούρην AE | ναυςικλυτοῖς (*sic*) A ‖ 18 γὰρ ναυςικλειτοῖς A, γὰρ ναυςικλειτοῖο E; *cfr Herod. II 145, 4* ‖ 19 τῇ *ante* τοῦ *om* A ‖ 21 ναυςίκλειτοι AE ‖ 25 μέγαν ὅρος A, μέγα ὅρος E | ἔξοχα E, *om* A | τὸ γὰρ — πλούτου (26) E, *om* A ‖ 26 μέγαν ὅρος E ‖ 29 τὰ *ante* ῥητ. *om* A ‖ 31 ἐπαγγελία E ‖ 32 καὶ *ante* φρ. *om* A ‖ 33 ἐξηγηθήςεται E ‖ 34 ἐπαγγελίαν AE

μὴν δογμάτων προστήσεται τῶν ἐν φιλοσοφίᾳ, ἀλλ' ἐξηγήσεται κατὰ τοὺς τρόπους τοὺς μάλιστα ποιηταῖς ἁρμόζοντας· πρόσκειται τὸ «μάλιστα», ἐπεὶ ἐνί που ἢ δευτέρῳ τῶν τρόπων κέχρηνται οἱ ῥήτορες, ὡς τῇ εἰρωνείᾳ· ἄλλοις δὲ οὐκ ἐφικτὸν αὐτοῖς κεχρῆσθαι, εἰ μὴ ἄρα προστάξουσι «κατὰ τὴν ποίησιν», «καθ' Ὅμηρον». Ἢ ποιητικοὺς τρόπους λέγει, καθ' οὓς οἱ ποιηταὶ δείκνυνται, τουτέστι κατὰ τὰς ἰδιότητας τὰς ἐγκειμένας τοῖς ποιήμασιν, ἵνα τοὺς μύθους ὡς μύθους ἐξηγώμεθα μὴ ἀναλύοντες εἰς θεολογίαν· ταῦτα γὰρ θεολόγοις ἁρμόττει. Χρήσιμοι δὲ οἱ τρόποι πρὸς τὴν ἐξήγησιν· δεῖ γὰρ εἰδέναι κατὰ τίνα τρόπον λέγεται τὸ νόημα πρὸς τὴν σαφήνειαν τῶν ὑποκειμένων, ὡς ἐπὶ τοῦ ⟨T 221⟩ αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισι καὶ ἑξῆς· ἐνταῦθα γὰρ εἰς ἀπορίαν περιίσταται ὁ ἐξηγητής, εἰ μὴ τὸν τρόπον τοῦ νοήματος μάθῃ, ὅτι μικτή ἐστιν ἡ ἀλληγορία· λέγων γὰρ περὶ πολέμου συνήθως, εὐθέως ἐτράπη εἰς ἑτέραν, ὡς περὶ θερισμοῦ διαλεγόμενος. Εἴρηται δὲ τρόπος ἀπὸ τοῦ τρέπειν ἡμᾶς εἰς ἕτερόν τι ἀπὸ τοῦ προκειμένου· οὐδὲ γὰρ ἂν αὐτῷ χρήσαιτο ῥήτωρ· τοῦ γὰρ ῥήτορος ἀρετὴ ἡ σαφήνεια, οἱ δὲ τρόποι ἐπὶ τὸ ἀσαφὲς παράγουσι. Τοῦ γὰρ λόγου εἰς εἴδη μεριζομένου, τὸ μέν ἐστι κυριολογία, τὸ δὲ σχῆμα καὶ τρόπος· κυριολογία μὲν οὖν ἐστιν ἡ τῶν κατὰ φύσιν λέξεων τετευχυῖα φράσις· τότε γὰρ οἰκείως προφέροιτο ἄν τις, ὅταν μὴ παρατραπῇ τοῦ κυρίως λεγομένου· τρόπος δὲ λέξεως φράσις ἐκ τῆς καθ' ἑαυτὴν ὁπωσοῦν ἰδιότητος μετατροπὴν εἰληφυῖα.

Διαφέρει δὲ σχῆμα σολοικισμοῦ, ἐπειδὴ σχῆμα μέν ἐστι ποιητοῦ ἢ συγγραφέως ἁμάρτημα ἑκούσιον διὰ τέχνην ἢ ξενοφωνίαν ἢ καλλωπισμόν, σολοικισμὸς δὲ ἁμάρτημα ἀκούσιον, οὐ διὰ τέχνην ἀλλὰ δι' ἀμαθίαν γινόμενον.

Τρόπος ἐστὶ λέξις ἢ φράσις πεποιημένη ἢ τετραμμένη ἀπὸ τοῦ κυρίου εἰς τὸ μὴ κύριον κατά τινα λόγον εἰς δήλωσιν εὐπρεπεστέραν· τὸ δὲ ὄνομα ῥηματικόν· ὡς γὰρ παρὰ τὸ λέγω λόγος, οὕτω παρὰ τὸ τρέπω τρόπος. — Λέγεται δὲ τρόπος ἑξαχῶς· τὸ ἑκάστου ἦθος, καθ' ὃ εὔτροπόν τινα καὶ κακότροπόν φαμεν· καὶ σχῆμα λόγου τὸ ἐν διαλεκτικῇ· «εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν ἡμέρα ἐστί, φῶς ἄρα ἐστίν»· καὶ ὁ ἐν μουσικῇ Λύδιος καὶ Φρύγιος· καὶ ἡ ἐπὶ πολλὰ τῆς διανοίας τροπή, καθ' ὃ [τὸ] σημαινόμενον καὶ ὁ ποιητὴς τὸν Ὀδυσσέα πολύτροπον εἴρηκεν, οἷον ⟨α 1⟩ ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον· καὶ ἡ αἰτία, ὅτε φαμέν· «τίνα τρόπον ὕπνος [γὰρ] καὶ τίνα τρόπον ἀναπνοή;» καὶ ὁ ἐν φράσει, εἰς ὃν ἐμπίπτει ἥ τε μεταφορὰ καὶ τὰ λοιπὰ τῶν τροπικῶν ὀνομάτων.

17—22 *cfr Gregor. Corinth. de tropis* (*III 215, 3—11 Sp.*) || **23—26** *cfr Gregor. Cor. de tropis* (*III 226, 9—12 Sp*) || **27—457, 7** *cfr Anon. de tropis* (*III 227, 3—228, 5 Sp*)

6 κατὰ — ποιήμασιν (**7**) E, *om* A || **18** καὶ τρόπος *om* E || **21** μετατροπὴν E, μετὰ τρόπου A || **27—457, 7** *om* A || **36** ὅτε] ὅτι E

Τρόποι δέ εἰcι πλείονες, γενικώτατοι μέντοι καὶ τάξιν ἔχοντες ιε΄· μεταφορά, κατάχρηcιc, cυνεκδοχή, μετωνυμία, ἀλληγορία, ὑπερβολή, εἰρω-ν⟨ε⟩ία, αἴνιγμα, ὑπερβατόν, ἀντονομαcία, ἀντίφραcιc, μετάληψιc, πεποιημένον, ὀνοματοποιία, cύλληψιc. Εἰcὶν οὗτοι κοινοὶ μὲν καὶ τῆc ἡμετέραc cυνηθείαc, ἐπιπολάζουcι δὲ ἐν ποιητικῇ, διὸ καὶ ποιητικοὶ κέκληνται· παρελήφθηcαν δὲ αὐτῶν οἱ μὲν κόcμου χάριν, ὡc ἡ μεταφορά, οἱ δὲ τοῦ ἀναγκαίου, ὡc ἡ κατάχρηcιc.

Ἅπαντεc δὲ οἱ ποιητικοὶ τρόποι cὺν τοῖc ἀπαριθμηθεῖcίν εἰcιν κζ΄· ἀλληγορία, μεταφορά, κατάχρηcιc, μετάληψιc, ὑπερβατόν, ἀναcτροφή, cυνεκδοχή, ὀνοματοποιία, μετωνυμία, περίφραcιc, πλεοναcμόc, παραπλήρωμα, ἔλλειψιc, ὑπερβολή, εἰρωνεία, cαρκαcμὸc ἤγουν χλεύη, ἀcτεϊcμόc, ἀντίφραcιc, ἐναντίωcιc, ἀντονομαcία, ἀμφιβολία, cύλληψιc, αἴνιγμα, ἐπαύξηcιc, ἐξοχή, ὑcτερολογία ⟨καὶ cχῆμα⟩.

Ἀλληγορία ἐcτὶ φράcιc ἕτερον μέν τι δηλοῦcα, ἑτέρου δὲ ἔννοιαν παριcτῶcα· τότε δὲ καταχρῶνται δεόντωc τῇ ἀλληγορίᾳ, ὅταν ἢ δι' εὐλάβειαν ἢ δι' αἰcχύνην οὐ δύνωνται φανερῶc ἀπαγγεῖλαι, ὡc Καλλίμαχοc ἐν ἰάμβοιc ⟨fragm. 98[a] Sch⟩ τὸ πῦρ, ὅπερ ἀνέκαυcαc, πολλὴν πρόcω κέχρηκε φλόγα, ἴcχε δὲ δρόμον μαργοῦντοc ἵππου· ταῦτα γὰρ οὐ κυρίωc εἴρηται· οὐ γὰρ ⟨περὶ⟩ πυρὸc οὐδὲ ἱπποδρομίαc ἐcτὶ λόγοc, ἀλλ' ὥcπερ αἰδούμενοc ἐκδηλοῦν ἤλεγξε τὴν ὑπερβολὴν τῆc θραcύτητοc.

Μεταφορά ἐcτι λέξιc ἀπὸ τοῦ κυρίωc ὠνομαcμένου ἐφ' ἕτερον ὠνομαcμένον μετενηνεγμένη [ἀπὸ τοῦ μὴ κυρίου ἐπὶ τὸ κύριον] ὁμοιώcεωc ἢ ἐμφάcεωc ἕνεκα· ὁμοιώcεωc μέν, ὡc τὸ ⟨Υ 59⟩ πάντεc δ' ἐc⟨c⟩είοντο πόδεc πολυπιδάκου Ἴδηc· ὃν γὰρ οἱ πόδεc ἔχουcιν ἐπὶ τοῦ cώματοc λόγον, τοῦτον ἐπὶ τοῦ ὄρουc ἡ ὑπώρεια· ἐμφάcεωc δέ, ὡc τὸ ⟨κ 112 seq⟩ τὴν δὲ γυναῖκα εὗρον ὅcην τ' ὄρεοc κορυφήν· μεταφορικῶc γὰρ ὄρουc κορυφὴν εἶπε, βουλόμενοc ἐμφῆναι τὸ μέγεθοc τῆc γυναικόc.

Ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀπὸ πράξεωc εἰc πρᾶξιν μεταφέρονται, αἱ δὲ ἀπὸ cώματοc ἐπὶ [τὸ] cῶμα· ἀπὸ μὲν οὖν [τοῦ] cώματοc ἐπὶ [τὸ] cῶμα, ὡc τὸ ⟨Ζ 5⟩ Αἴαc δὲ πρῶτοc Τελαμώνιοc, ἕρκοc Ἀχαιῶν· ἀπὸ δὲ πράξεωc εἰc πρᾶξιν, ὡc τὸ ⟨Η 324. Ι 93⟩ ὑφαίνειν ἤρχετο μῆτιν, ἀντὶ τοῦ καταcκευάζειν· πρᾶξιc γὰρ καὶ τὸ ὑφαίνειν λαὶ τὸ βουλεύεcθαι.

8—21 = *Gregor. Cor. de tropis* (*III 215, 14—216, 8 Sp*) ‖ **22—458, 15** (κουφιζ.) = *Anon. de tropis* (*III 228, 6—229, 7 Sp*)

8 Ἅπαντεc — ἀπαριθμ. E, ποιητικοὶ δὲ τρόποι A ‖ **13** καὶ ὑcτερολ. E ‖ **14** καὶ ἀλληγ. E ‖ **18** κέχρηκε A, κέχρηται E ‖ **19** γὰρ (*post* οὐ) *om* A | οὐδὲ E, δὲ A ‖ **20** ἐκδηλοῦν] ἐκ δήλων AE ‖ **22** λέξιc — ἕνεκα (**24**) E, μέροc μεταφερόμενον ἤτοι ἐμφάcεωc ἢ ὁμοιώcεωc ἕνεκα A ‖ **23** μὴ κυρίου *Constantini Lascaris manus addidit in lacuna ab* E[1] *relicta* ‖ **24** ὁμοιώcεωc μέν — οὐκέτι (**458, 25**) *om* A ‖ **26** ὑπόρεια E ‖ **27** ὅcην τ'] ὡc ἠῦτ' E

Ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀντιστρέφουσιν, αἱ δὲ οὔ· καὶ ἀντιστρέφουσι μὲν αἱ τοιαῦται, ⟨fr. epic. I p. 74 n. 12 K⟩ φθέγξατο δ' ἡνίοχος νηὸς κυανοπρώροιο καὶ ⟨ubi?⟩ ἵππων κυβερνῆται· ἔχουσι γάρ τι μέσον πρὸς ἀλλήλους· ὁ μὲν γὰρ τὴν τῶν ἵππων ἐξιθύνει πορείαν, ὁ δὲ τὴν τῶν νεῶν· οὐκ ἀντιστρέφουσι δὲ αἱ τοιαῦται, ⟨κ 195⟩ νῆσος, τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται· ἐστεφανῶσθαι γὰρ εἴρηκε τὴν νῆσον, ἀντὶ τοῦ κύκλωθεν περιρρεῖσθαι, ὅπερ οὐκ ⟨ἂν⟩ ἀντιστέψας εἴποι, ὅτι ὁ στέφανος ἡμῶν κύκλῳ τὴν κεφαλὴν περιρρεῖ· τὸ γὰρ τοιοῦτον γελοῖον.

Ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀπὸ γένους ἐπὶ γένος μεταφέρονται, ὡς τὸ ⟨δ 708 seq⟩

νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἵ θ' ⟨ἁλὸς⟩ ἵπποι
ἀνδράσι γίνονται, περόωσι δὲ πουλὺν ἐφ' ὑγρήν·

ἵππους μὲν εἴρηκε κατὰ μεταφορὰν τὰς ναῦς· ὥσπερ γὰρ ἐπὶ τῆς γῆς διὰ τῶν ἵππων ὀχούμεθα, οὕτως ἐπὶ τῆς θαλάττης διὰ τῶν νεῶν κουφιζόμεθα· ἀμφότερα δέ ἐστι γένη· τῶν μὲν γὰρ ἵππων ὁ μέν ἐστι λευκός, ὁ δὲ μέλας, ὁ δὲ ἄλλου τινὸς χρώματος, καὶ τῶν νεῶν ἡ μέν ἐστι τριήρης, ἡ δὲ στρογγύλη. Αἱ δὲ ἀπὸ εἴδους ἐπὶ εἶδος, ὡς τὸν ἀετὸν ἐπὶ τοῦ σκήπτρου τοῦ Διὸς κύνα Αἰσχύλος καλεῖ ⟨Prom. 1022⟩· εἴδη δὲ ὅ τε κύων καὶ ὁ ἀετὸς τοῦ ζῴου.

Διαφέρει δὲ μεταφορὰ καταχρήσεως, ὅτι ἡ μὲν μεταφορὰ κατωνομασμένον ἔχει τὸ ἐφ' ὃ μεταφέρεται, οἷον κορυφὴ ὄρους, τὸ γὰρ κύριον ἀκρώρεια ὄρους· ἡ δὲ κατάχρησις ἐπὶ ἀκατονομάστου τίθεται, ὡς ἐπὶ τῶν προκειμένων, «πυξὶς χαλκῆ» καὶ «ἀνδριὰς γυναικός»· καὶ ἐν μὲν τῇ μεταφορᾷ μεταφέρεται τὸ κύριον, ἐν δὲ τῇ καταχρήσει οὐκέτι.

Τῶν δὲ μεταφορῶν εἴδη πέντε· αἱ μὲν γὰρ ἀπὸ ἐμψύχων ἐπὶ ἄψυχα, ὡς ἐπὶ τοῦ ⟨Λ 574. Ο 317⟩ ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι· τῷ γὰρ δόρατι ἀψύχῳ ὄντι τὸ προθυμεῖσθαι παρέθηκεν, ὅπερ ἐστὶν ἐπὶ ἐμψύχων· αἱ δὲ ἀπὸ ἀψύχων ἐπὶ ἔμψυχα, ὡς τὸ ⟨Α 599. θ 326⟩ ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως· τὸ γὰρ ἄσβεστον μετενήνεκται ἀπὸ τοῦ πυρός, ὅπερ ἐστὶν ἄψυχον, ἐπὶ ἔμψυχον τὸν γέλωτα· αἱ δὲ ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα, ὡς τὸ ⟨ex gr. Β 85⟩ ποιμένι λαῶν· καὶ γὰρ ἀμφότερα ἔμψυχα, ποιμὴν καὶ ὁ βασιλεύς· ὥσπερ γὰρ ὑποτέτακται τῷ ποιμένι τὰ ποίμνια, οὕτω τῷ βασιλεῖ οἱ ὄχλοι· αἱ δὲ ἀπὸ ἀψύχων ἐπὶ ἄψυχα, ὡς ἐπὶ τοῦ ⟨ε 490⟩ σπέρμα πυρὸς σῴζων· καὶ γὰρ ἀμφότερα ἄψυχα· ⟨αἱ δὲ⟩ ἀπὸ πράξεως ἐπὶ πρᾶξιν, ὡς ἐπὶ τοῦ ⟨δ 739⟩ εἰ δή πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφήνας· τὸ γὰρ

26—459, 24 *cfr Gregor. Cor. de tropis* (*III 216, 11—218, 24 Sp*)

6 περὶ πόντος ἀπείρητος E ‖ **8** στέφανος] στεφανώσας E ‖ **10** ἀπὸ γένους αἱ μὲν ἐπὶ γένη E ‖ **12** αἵτ' ἵπποι E ‖ **13** πρόωσι δὲ πουλὴν E ‖ **26** γὰρ *om* A ‖ **27** ἄψυχα] ἔμψυχα AE ‖ **36** ἐπὶ πρ. E, εἰς πρ. A ‖ **37** δή τινα κἀκεῖνος AE

ὑφαίνειν κυρίως ἐπὶ τῶν ὑφασμάτων λέγεται, νῦν δὲ ἐπὶ κατασκευῇ βουλῆς ἐλέχθη.

Τῶν δὲ μεταφορῶν αἱ μέν εἰσιν ἐμφάσεως δηλωτικαί, οὐ σῴζουσαι τὴν ὁμοιότητα, αἱ δὲ ὁμοῦ καὶ ⟨τὴν ὁμοιότητα⟩ καὶ τὴν ἔμφασιν.

Κατάχρησίς ἐστι μέρος λόγου κυρίως καὶ ἑτοίμως κατονομασθέν, λεγόμενον ἐπί τινος ἑτέρου ἀκατονομάστου κατὰ τὸ οἰκεῖον, οἷον «πυξὶς χαλκῆ»· κυρίως γὰρ ἡ ἀπὸ ξύλων.

Μετάληψίς ἐστι λέξις διὰ τῆς συνωνύμου τὴν ὁμώνυμον δηλοῦσα, οἷον ⟨ο 299⟩ νήσοισιν ἐπιπροέηκε θοῇσι· τὰς γὰρ ἀπὸ τοῦ σχήματος μεταληπτικῶς νήσους θοὰς εἴρηκε· τὸ γὰρ θοός συνώνυμόν ἐστι, καὶ τοῦτο δὲ ὁμώνυμον· ὀφείλων γὰρ ὀξείαις εἰπεῖν εἶπε θοῇσιν, ἐπεὶ τὸ θοὸν σημαίνει καὶ τὸ ταχὺ καὶ τὸ ὀξύ.

Ὑπερβατόν ἐστι φράσις ἀνὰ μέρος τὸ ἑξῆς ἔχουσα· γίνεται δὲ ἐν εἴδεσι δύο, εἴτε ἐν λέξει, οἷον ⟨Μ 177⟩ πάντῃ γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ λάϊνον· ἔστι δὲ καὶ ἐν συνθέτοις λέξεσιν, οἷον ⟨α 8⟩ νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο Ἤσθιον, ἀντὶ τοῦ κατήσθιον. Τὰ δὲ ἐν λόγῳ γινόμενα ἔχει οὕτως· ⟨Β 333—335⟩

ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον· ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν·
μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο·

τὸ γὰρ ἑξῆς οὕτως· «ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον μῦθον ἐναινήσαντες». Ἔνιοι δὲ ἐν συλλαβῇ ὑπερβατὸν πεποιήκασιν, ὡς Σιμωνίδης ἐν ἐπιγράμμασιν ⟨fr. 159 B[4]⟩ Ἑρμῆν τόνδ' ἀνέθηκε Δημήτριος ὄρθια δ' οὐχὶ Ἐν προθύροις, ἀντὶ τοῦ «οὐκ ὄρθια».

Ὑπερβατὸν γίνεται κατὰ τρόπους τέσσαρας· λέξει, λόγῳ, νοήματι, πράγματι· λέξει μὲν οὖν, ὡς τὸ ⟨ρ 291⟩ ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχε· τὸ γὰρ ἑξῆς «ἀνέσχε»· λόγῳ δέ, ὡς τὸ ⟨Μ 177⟩ πάντῃ ⟨γὰρ⟩ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ λάϊνον, ὡς καὶ Νεοπτόλεμος ἐξεδέξατο· νοήματι δέ, ὡς τὸ ⟨Β 333—335⟩

ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον· ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν·
μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο·

⟨τὸ γὰρ ἑξῆς οὕτως· «ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο»⟩, εἶτα «ἀμφὶ δὲ νῆες σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν»· πράγματι δέ, ὡς τὸ ⟨μ 134⟩ τὰς μὲν ἄρα θρέψασα ⟨τεκοῦσά τε πότνια μήτηρ⟩· τὰ δὲ τοιαῦτα οὔ φασιν εἶναι ὑπερβατά· τοὺς γὰρ συμπλεκτικοὺς συνδέσμους λέγουσι μὴ ἔχειν τάξιν.

Εἴδη δὲ τοῦ ὑπερβατοῦ δύο, ἀναστροφὴ καὶ ὑπεραρθρισμός. Ἀνα-

25—37 *cfr Cocondr. de tropis* (*III 238, 12—31 Sp*)

22 συμωνίδης AE ‖ **23** ὄρθια δ' οὐκ ἐν A, ὀρθιά δ' οὐκεν E ‖ **25** Ὑπερβατὸν — Χρύσην (**460, 20**) *om* A

στροφὴ μὲν οὖν ἐστι λέξις κατὰ μεταβολὴν τόνου ὑποτασσομένη λέξει, ἧς ὤφειλε προτάσσεσθαι, οἷον ⟨Γ 2⟩ Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν, ὄρνιθες ὥς, ἀντὶ τοῦ «ὡς ὄρνιθες». Γίνεται δὲ ἀναστροφὴ καὶ διὰ πλειόνων μερῶν τοῦ λόγου, ὡς παρὰ Σοφοκλεῖ ἐν Συνδείπνοις ἡ Θέτις πρὸς τὸν Ἀχιλλέα φησί· λείπουσα μὲν πόντιον χορὸν Νηρηΐδων ὤρουσα ὅτι μετὰ σέ, ἀντὶ τοῦ «πρὸς σὲ ⟨ὤρουσα⟩», καὶ παρ' Ἡσιόδῳ .... Γίνεται δὲ ἀναστροφὴ ἐν τέτταρσι μέρεσι τοῦ λόγου, ἄρθρῳ, προθέσει, ἐπιρρήματι, συνδέσμῳ· ἄρθρῳ μέν, ὡς παρὰ τοῖς κωμικοῖς ⟨ex. gr. Aristoph. Pac. 1332 seqq⟩ Ὑμήν, Ὑμέναι' ὤ, τὸ δὲ ἑξῆς ἐστιν «ὦ Ὑμέναιε»· προθέσει δέ, ὡς τὸ ⟨Α 162⟩ ᾧ ἔπι πόλλ' ἐμόγησα· ἐπιρρήματι δέ, ὡς τὸ ⟨ν 243⟩ οὐδὲ λίην λυπρή, «οὐ λυπρὰ» γὰρ «λίαν»· συνδέσμῳ δέ, ὡς τὸ ⟨ubi?⟩ Μασσαγέται καὶ μακρὰν ὀϊστεύοιεν ἐπ' ἄνδρα, ἀντὶ τοῦ «καὶ Μασσαγέται». Ὑπεραρθρισμὸς δέ ἐστιν ἀπὸ τῆς προσηκούσης τάξεως· ἔστι δὲ αὐτοῦ ἀπάρτησις καὶ ὁμωνύμως τῷ γένει προσαγορευόμενος ὑπεραρθρισμός· ἀπάρτησις μέν, ὅταν τὸ ἄρθρον μετὰ τοῦ συνδέσμου χωρίζηται, οἷον ⟨Γ 8⟩ οἱ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνείοντες Ἀχαιοί, ἀντὶ τοῦ «οἱ δ' Ἀχαιοί»· ὑπεραρθρισμὸς δέ ἐστιν, ὅταν ὁ σύνδεσμος μετὰ τοῦ ἄρθρου χωρίζηται .... καὶ πάλιν ⟨Α 11⟩ οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα, ἀντὶ τοῦ «τὸν ἀρητῆρα Χρύσην».

Ἀναστροφή ἐστι λέξις, ἣν χρὴ προηγεῖσθαι τῆς σημαινομένης διανοίας, δευτέραν ἔχουσα τάξιν· ἔνιοι δὲ καὶ ἐπὶ πλειόνων λόγου μερῶν· ἐν μὲν προθέσει, ὡς τὸ ⟨Α 162⟩ ᾧ ἔπι πόλλ' ἐμόγησα· ἐν δὲ ἐπιρρήματι, ὡς τὸ ⟨Γ 2⟩ ὄρνιθες ὥς· ἐν δὲ συνδέσμῳ, ⟨ν 242⟩ ἤτοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατος. Ταῦτα πρὸς μίαν ἀναστρέφεται λέξιν· ἄλλα δὲ πρὸς πλείονα μέρη λόγου τὴν ἀναστροφὴν ἴσχει, οἷον ⟨Ω 254⟩ Ἕκτορος ὠφέλετ' ἀντὶ θοῇς ἐπὶ νηυσὶ πεφάσθαι· ἡ γὰρ ἀντί οὐκέτι μιᾷ ὑποτάσσεται, ἀλλὰ δυσὶ λέξεσι, καὶ τὸ ἑξῆς «ἀνθ' Ἕκτορος ὠφέλετε».

Συνεκδοχή ἐστι φράσις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, προσδεομένη δέ τινος ἔξωθεν διανοίας. Ἔχει δὲ διαφορὰς τέσσαρας· καὶ γὰρ ἀπὸ μέρους τὸ ὅλον δηλοῖ, ὡς ἐπὶ τοῦ ⟨ex gr. Α 55⟩ λευκώλενος Ἥρη· ἀπὸ γὰρ τοῦ βραχίονος τὸ πᾶν σῶμα δηλοῖ· ἢ ἀπὸ τοῦ ὅλου τὸ μέρος, ὡς τὸ ⟨Μ 137⟩ βόας αὔας, ἀντὶ τοῦ βύρσας· ἀπὸ γὰρ τοῦ ὅλου τοῦ βοὸς ἐδήλωσε τὸ μέρος, ἤγουν τὸ δέρμα· ἀπὸ δὲ τοῦ συμβαίνοντος τὸ προηγούμενον, ὡς τὸ ⟨μ 172⟩ λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσιν· ἐκ τοῦ κωπηλατεῖσθαι γὰρ συμβαίνει λευκαίνεσθαι τὸ ὕδωρ· ἀπὸ ⟨δὲ⟩ συμβόλου τὸ κύριον, ⟨Ι 38⟩ σκῆπτρον μέντοι δῶκε· ἀντὶ γὰρ τοῦ

21—462, 35 *cfr Gregor. Cor. de tropis* (*III 218, 26—226, 8 Sp*)

7 τέτρασι E ‖ **11** οὐ λίην λυπρὴ E ‖ **14** ἀπάρτισις E; *item v. 15* ‖ **17** σιγήμενε πνείοντ' ἀχ. E ‖ **18** ὅταν τὸ ἄρθρον μετὰ τοῦ συνδέσμου χωρίζηται E ‖ **19** ἠτίμασ' ἀρ. E ‖ **23** ὡς τὸ *om* A; *item v. 24* ‖ **26** δὲ E, δέ ἐστι A ‖ **28** ὑποτάσσ.] συντάσσεται AE ‖ **33** τὸ (*ante* μ.) *om* A ‖ **36** λεύκαινον ἐϋξέστης ἐλ. AE

εἰπεῖν τὴν βαϲιλείαν εἶπε τὸ ϲύμβολον, δεικνὺϲ ἐκ τούτου τὸ κύριον, ἤγουν τὴν βαϲιλείαν.

Ὀνοματοποιία ἐϲτὶ μέροϲ λόγου πεποιημένον κατὰ μίμηϲιν τῶν ἀποτελουμένων ἤχων, ὡϲ τὸ ⟨Δ 125⟩ λίγξε βιόϲ.

Μετωνυμία ἐϲτὶ μέροϲ λόγου ἐφ' ἑτέρου μὲν κυρίωϲ κείμενον, ἕτερον δὲ ϲημαῖνον κατὰ τὸ οἰκεῖον, οἷον ⟨Β 426⟩ ὑπείρεχον Ἡφαίϲτοιο, ἀντὶ τοῦ πυρόϲ, ὅπερ ἐϲτὶν οἰκεῖον τοῦ Ἡφαίϲτου.

Περίφραϲίϲ ἐϲτι φράϲιϲ διὰ τῆϲ αὐτοτελοῦϲ καὶ κυρίαϲ λέξεωϲ διὰ πλειόνων αὐτὸ τὸ κύριον δηλοῦϲα, οἷον ⟨Λ 690⟩ βίη Ἡρακλείη.

Πλεοναϲμόϲ ἐϲτι φράϲιϲ ἐν αὐτῇ πλεονάζουϲα, ἢ ὡϲ ἐνδέχεται κατὰ ἀναλογίαν· τῶν δὲ πλεοναϲμῶν ἃ μὲν μέτρου χάριν φράζονται, ἃ δὲ ἐμφάϲεωϲ· καὶ μέτρου μέν, οἷον Αἰνείαο, Πριάμοιο, λελάχωϲι, ἐμφάϲεωϲ δὲ ϲημαντικὰ τὰ τοιαῦτα, δαρδάπτω, ⟨ν 220⟩ ἑρπύζων παρὰ θῖνα· τὸ⟨ν⟩ νωθρὸν ἐμφαίνει καὶ ἄϲτατον.

Παραπλήρωμά ἐϲτι φράϲιϲ ἢ λέξιϲ ἐκ περιϲϲοῦ λαμβανομένη, ὡϲ τὸ ⟨Β 493⟩ ἀρχοὺϲ αὖ νηῶν ἐρέω νῆάϲ τε προπάϲαϲ· ἡ γὰρ πρό παρέλκει.

Ἔλλειψίϲ ἐϲτι φράϲιϲ οὐ κατὰ τὸ πλῆρεϲ ἐκφερομένη, ἀλλὰ μιᾷ λέξει ἢ πλείοϲιν ἐλλείπουϲα, οἷον ⟨ϲ 28⟩ κόπτων ἀμφοτέρηϲι· λείπει χερϲίν· ἔνιοι δὲ τὸν τρόπον τοῦτον προϲυπακουόμενον καλοῦϲιν.

Ὑπερβολή ἐϲτι λόγοϲ ὑπεραίρων ἐμφάϲεωϲ ἕνεκα τὸ ἀληθέϲ, ὡϲ ἐπὶ τούτου ⟨Υ 227⟩ ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων· εἰ μὲν οὖν μυθικῶϲ τιϲ ἀκούοι τὸ τοιοῦτον, ἀκυρολογία φανήϲεται, εἰ δὲ μή, ὑπαχθήϲεται τῇ ὑπερβολῇ.

Εἰρωνεία ἐϲτὶ φράϲιϲ τοῖϲ ῥητοῖϲ λεγομένη τοὐναντίον μεθ' ὑποκρίϲεωϲ, οἷον ⟨ρ 397⟩ Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὡϲ κήδεαι υἱοῦ.

Σαρκαϲμόϲ ἐϲτι ⟨φράϲιϲ⟩ τοῖϲ ῥητοῖϲ λεγομένη τοὐναντίον μετὰ χλευαϲμοῦ, οἷον ⟨χ 195 seq⟩ νῦν μὲν ⟨δὴ⟩ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξειϲ Εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενοϲ.

Ἀϲτεϊϲμόϲ ἐϲτι φράϲιϲ διὰ τῶν ἐναντίων τὸ κρεῖττον ἠθικῶϲ ἐμφαίνουϲα, οἷον εἴ τιϲ πλούϲιοϲ ὢν πένηϲ εἶναι λέγει, καὶ ἀγαθὸϲ φαῦλοϲ· ἔνιοι δὲ τὸν ἀϲτεϊϲμὸν ὡρίϲαντο προϲποίηϲιν εἶναι τῆϲ ἀληθείαϲ.

Ἀντίφραϲίϲ ἐϲτι φράϲιϲ τοῖϲ κρείττοϲι τοῦ παριϲταμένου τὴν κακίαν ὅϲον ἐφ' ἑαυτῇ περιϲτέλλουϲα, οἷον ⟨ὅτε⟩ πτωχὸν πλούϲιον καλοῦμεν καὶ βόρβορον ὀχετόν. — Ἀντίφραϲίϲ ἐϲτι λέξιϲ διὰ τοῦ ἐναντίου τὸ ἐναντίον ϲημαίνουϲα χωρὶϲ ὑποκρίϲεωϲ. Τίθεται δὲ ἤτοι κατ' εὐφημιϲμὸν ἢ κατ' ἐναντίωϲιν· κατ' εὐφημιϲμὸν μέν, ὅταν τὴν ἄκανθα⟨ν⟩ βάτον λέγωμεν, ἧϲ οὐκ ἔϲτιν ἐπιβῆναι, καὶ τὴν χολὴν γλυκεῖαν· κατ' ἐναντίωϲιν δέ, ὡϲ τὸ ⟨Α 330⟩ οὐδ' ἄρα ⟨τώ γε⟩ ἰδὼν γήθηϲεν Ἀχιλ⟨λ⟩εύϲ, ἀντὶ τοῦ ἠνιάθη.

---

15 ὡϲ τὸ *om* A ‖ **21** τὸ ἀληθὲϲ E, τοῦ ἀληθοῦϲ A ‖ **22** καρπῶν AE | οὐδὲ κατέκλυον E, *om* A ‖ **34** πτωχὸν] ὀχετὸν AE ‖ **35** Ἀντίφραϲιϲ — ἠνιάθη (**40**) E, *om* A

Ἐναντίωσίς ἐστι λέξις διὰ τῶν ἐναντίων τὸ ἐναντίον κατὰ ἀποβολὴν δηλοῦσα, ὡς τὸ ⟨ex. gr. Ε 366⟩ τὼ δ' οὐκ ἄκοντε πετέσθην, ἀντὶ τοῦ ἑκόντε[ς].

Ἀντονομασία ἐστὶν ὄνομα ἐπιθετικόν, ὃ καὶ μόνον ἀντὶ κυρίου λαμβάνεται, οἷον ⟨Θ 406⟩ ὄφρ' εἰδῇ γλαυκῶπις, ἀντὶ τοῦ ἡ Ἀθηνᾶ. — Καὶ ἄλλως. Ἀντονομασία ἐστὶ λέξις δι' ἐπιθέτου ἢ διὰ συσσήμων ὄνομα ἴδιον ἢ προσηγορικὸν σημαίνουσα· δι' ἐπιθέτου μὲν οὖν, οἷον ⟨Α 122⟩ Ἀτρείδη κύδιστε, ἀντὶ τοῦ Ἀγάμεμνον· διὰ δὲ συσσήμων, ⟨Ν 154. Π 88⟩ ἐρίγδουπος πόσις Ἥρης, καὶ ⟨Α 9⟩ Λητοῦς ⟨καὶ⟩ Διὸς υἱός.

Ἀμφιβολία ἐστὶ φράσις δύο ἢ πλείονας ἐννοίας σημαίνουσα, οἷον ⟨Σ 317⟩ χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσ⟨σ⟩ιν ἑταίρου· ἄδηλον γάρ, πότερον τὰς τοῦ Πατρόκλου χεῖρας λέγει, ἢ τὰς τοῦ Ἀχιλλέως.

Σύλληψίς ἐστι φράσις δυοῖν ὑποκειμένων πραγμάτων τὸ ἑτέρῳ πραχθὲν ἰδίᾳ κοινῶς παραλαμβάνουσα, οἷον Ὀδυσσεὺς λέγει τῷ Νέστορι ⟨Κ 561⟩ τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν, καίτοι τοῦ Διομήδους μόνου αὐτὸν ἀνελόντος· τὸ μὲν ὑπόδειγμα τοῦ ἑνὸς ἔχει πρὸς ἕνα τὴν σύλληψιν. Ἄλλα δέ ἐστιν, ἃ συλλαμβάνει ἕνα πρὸς πολλούς, ὡς ἔχει τὰ ὑπὸ Θερσίτου λεγόμενα ⟨Β 226—228⟩ πολλαὶ ⟨δὲ⟩ γυναῖκες Εἰσὶν ἐνὶ κλισίῃς ⟨ἐξαίρετοι⟩, ἅς τοι Ἀχαιοὶ Πρωτίστῳ δίδομεν· συγκαταριθμεῖ γὰρ ἑαυτὸν τοῖς ἀριστεύουσιν ἀσθενὴς ὤν.

Αἴνιγμά ἐστι φράσις διάνοιαν ἀποκεκρυμμένην καὶ σύνθετον πειρωμένη ποιεῖν, ὡς τὰ παρ' Ἡσιόδῳ περὶ τῆς κύλικος λεγόμενα ⟨Opp. 744⟩ μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθε.

Ἐπαύξησίς ἐστι ⟨φράσις⟩ κατὰ πρό⟨σ⟩θεσιν αὐξάνουσα τὸ σημαινόμενον, ὡς ἔχει τὰ τοιαῦτα ⟨η 36⟩ τῶν νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα· προστιθεὶς γὰρ τὸ ἑξῆς ηὔξησε τὸ σημαινόμενον.

Ἐξοχή ἐστιν ὀνόματος διαστολὴ κατὰ διαφορὰν πρὸς τὰ ὅμοια, οἷον ⟨Ν 1⟩ Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα· κατ' ἐξοχὴν γὰρ αὐτὸν ἐδήλωσεν.

Ὑστερολογία ἐστὶ μέρος λόγου, ὅταν ὃ πρῶτον δεῖ λέγειν ὕστερόν τις τάξῃ, [ὡς ὅταν εἴπωμεν] οἷον ⟨Α 251⟩ ἅμα τράφεν ἠδ' ἐγένοντο.

Σχῆμά ἐστι σολοικισμὸς ἀπολογίαν ἔχων, ὡς ὅταν εἴπωμεν «ὁ κύριος Ἰωάννης, ὃν ὁ θεὸς ἐλεήσει, ἀγαθός ἐστιν».

⟨*Heliodori.*⟩ — Τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις.] Γλώσσας φησὶ τὰς διαλέκτους· διάλεκτοι δὲ πέντε. — Ἑλ-

36—463, 30 *videntur esse* Σ^h

2 ὡς τὸ *om* A ‖ **5** ὄφρ' ἴδη AE ‖ **6** Καὶ — υἱός (**10**) *om* A ‖ **13** γάρ *om* A ‖ **17** σκοπὸν E, μισθὸν A ‖ **21** κλισίη AE ‖ **25** ὕπερθε κρατῆρος AE ‖ **27** νῆες AE ‖ **28** ἠὲ] ἢ AE | προτιθεὶς A ‖ **36** πρόχ. ἀπόδ. *om* A ‖ **37** Γλώσσας — διαλέκτους *om* E

ληνος τοῦ Διὸς ἐγένοντο παῖδες τρεῖς, Αἴολος, Δῶρος, Ξοῦθος. Καὶ Αἰολεῖς μὲν ἀπὸ Αἰόλου ὠνομάσθησαν, Δωριεῖς δὲ ἀπὸ Δώρου. Ξούθου δὲ γίνονται παῖδες δύο, Ἴων καὶ Ἀχαιός, ἀφ' ὧν οἱ Ἀθηναῖοι Ἴωνες ἐκλήθησαν· καὶ οἱ μὲν ὑπὸ Νηλέως τοῦ Κόδρου ἀποικισθέντες εἰς τὴν δωδεκάπολιν Ἰωνίαν ἐκάλεσαν τὴν χώραν ἣν κατειλήφεσαν, ὕστερον δὲ οἱ Ἀθηναῖοι Ἀττικοὶ ἐκλήθησαν, ὅτι ἡ χώρα αὐτῶν ἀκτή τις ἦν τὸ πρότερον. Δωριεῖς πρῶτον ἐκλήθησαν ὧν ἦρχε Δῶρος· ἦσαν δὲ πόλεις Κυτίνιον, Βοῖον, Ἐρινεόν· ὕστερον δὲ καὶ τὴν Πελοπόννησον ᾠκοδόμησαν διὰ τὸ συγκατάγειν τοῖς Ἡρακλείδαις· ἡγοῦντο δὲ αὐτῶν Δύμας τε καὶ Πάμφιλος οἱ Αἰγιμίου παῖδες. Ὠικίσθησαν δὲ ἐν Συρακούσαις ἔνιοι Δωριέων, Κορινθίου τινὸς Ἀρχίου κατοικίσαντος· καὶ γὰρ Κόρινθος Πελοποννήσου τυγχάνει. Καὶ Ῥόδιοι μετῴκισαν ἐξ Ἄργους, διὰ λιμὸν ἀναστάντες, καὶ Κρῆτες, ὡς Ὅμηρος ⟨τ 176 seq⟩

ἐν δὲ Κρῆτες μεγαλήτορες, ἐν δὲ Κύδωνες
Δωριέες τε τριχάϊκες δῖοί τε Πελασγοί·

τὸ γὰρ τριχάϊκες οὕτω τινὲς ἐξεδέξαντο, ἐκ τριῶν ὁρμηθέντες πόλεων· ὥστε καὶ τοὺς Πελασγοὺς Δωριεῖς λέγεσθαι. Αἴολος δὲ καταδραμὼν εἰς τὴν Θετταλίαν πάντας ἐποίησεν Αἰολεῖς κληθῆναι· ἀπὸ δὲ τῆς τούτου θυγατρὸς παῖς γίνεται Βοιωτός, ἀφ' οὗ Βοιωτοὶ ὠνομάσθησαν, τῇ χώρᾳ ἐγχρονίσαντες. Καὶ Λέσβιοι δὲ Αἰολεῖς εἰσι διὰ τὸ συναπῳκίσθαι εἰς ταύτην Ὀρέστην τὸν Ἀγαμέμνονος παῖδα. Ὁ δὲ Ἴων τῆς Ἀττικῆς ἐπικρατήσας ταύτην Ἰωνίαν ἐποίησε λέγεσθαι, πρότερον καλουμένην Ἀττικήν· οἱ δ' ἀποικίσαντες Ἰκάριον μετὰ Νηλέως τοῦ Κόδρου ἔτρεψαν μὲν τὴν ἰδίαν διάλεκτον, τὸ δὲ ὄνομα μέχρι τοῦ νῦν φυλάττουσιν. Τὴν δὲ κοινὴν ἀπὸ τῶν τεσσάρων λέγουσι πεποιῆσθαι, κακῶς· καὶ γὰρ Ὅμηρος ⟨τοῖς⟩ τέτταρσι χρῆται, καὶ οὐ παρὰ τοῦτο κοινή ἐστιν αὐτοῦ ἡ διάλεκτος· τό τε γὰρ ἔρος καὶ ἄμμες Αἰολικόν· ἔστι δὲ καὶ τὸ ἐσσεῖται καὶ τὸ εἶ Δωρικόν· ἐπὶ τὸ πλεῖστον δὲ Αἰολικῷ χρῆται τύπῳ. Ταύτῃ ⟨δὲ⟩ οὔ φαμεν αὐτὸν κεχρῆσθαι. Τὸν αὐτὸν δὲ τρόπον οὐχὶ ⟨εἰ⟩ αἰολικῶς τινα ἢ δωρικῶς προφερόμεθα, εὐθέως ἂν γένοιτο κοινή.

[Παραγγέλματα συντελοῦντα εἰς ὀρθογραφίαν.
Περὶ τοῦ βάλλω βαλῶ, ἤγουν περὶ τῶν δύο λ̄ καὶ μή.

Βάλλω στέλλω τίλλω ἐπὶ ἐνεστῶτος μὲν διὰ δύο λ̄, ἐπὶ δὲ μέλλοντος δι' ἑνός· ὥσπερ καὶ τὸ βάλλων, καὶ πάλιν βαλὼν ἔβαλον, ἀντὶ τοῦ ἔτρωσα. Καὶ ὡς εἴπωμέν σοι περὶ τούτου σαφέστερον, ὅταν τὸ πολλάκις ὑποφαίνηται ἐν τοιούτῳ ῥήματι, οἷον

---

4 ὑπὸ] ἀπὸ AE | ἀπωκισθέντος AE ‖ **6** ὅτι — πρότερον (7) *om* E ‖ **8** ἐρύνιον AE ‖ **9** συγκατάγειν E, συγκατεύειν A ‖ **10** πάμφυλος E | αἰγίμου AE ‖ **11** δώρων AE | ἀρχίου E, ἀρχαίου A | κατοικήσαντος AE | γὰρ *om* A ‖ **12** μετώκισαν E, μετώκησαν A ‖ **22** ταύτην — Ἀττικήν E, πρότ. καλ. Ἀττ. Ἰων. ἐπ. λέγ. A ‖ **23** ἀποικίσ. E, ἀποικήσ. A | τοῦ Κόδρου] τοῦ Δώρου A, *om* E ‖ **24** τὸ δὲ] τό τε AE ‖ **26** τέτρασι AE ‖ **27** δὲ *om* A ‖ **28** ἐπιτοπλεῖστον δὲ E, ἐπὶ δὲ τῶ πλείστω A ‖ **31—464, 5** *om* A | **34** εἴπομέν σοι E

βάλλω, ἀντὶ τοῦ τιτρώcκω πολλάκιc, διὰ δύο λ̄ ἐκφέρεται· ὅταν δὲ τὸ ἅπαξ ὑποφαίνηται, οἷον ἔβαλον ἀντὶ τοῦ ἔτρωcα, ἅπαξ δηλονότι, δι' ἑνὸc λ̄ γράφεται· οὕτωc καὶ βάλω ἀντὶ τοῦ βαλῶ, ἤτοι τρώcω ἅπαξ· ὁμοίωc καὶ τὸ cτέλλω ἔcτελλον, cτελῶ δὲ καὶ cτείλω, τίλλω ἤτοι κόπτω, τιλῶ δὲ ἀντὶ τοῦ κόψω, καὶ ἔτιλον ἀντὶ τοῦ ἔκοψα, ἅπαξ δηλονότι, καὶ τὰ τοιαῦτα.]

Περὶ διαλέκτων εἰc πλάτοc. Περὶ Ἀτθίδοc.

Ἡ Ἀτθὶc τρέπει τὸ c̄ πῇ μὲν εἰc τ̄, οἷον θάλαττα, πῇ δὲ εἰc ξ̄, οἷον ξυμφορά. — Ἀεὶ τὰc εἰc ε̄ῑc̄ πληθυντικὰc εὐθείαc ἀπὸ τῶν εἰc ε̄ῡc̄ ἀρcενικῶν γινομέναc διὰ τοῦ η̄ προφέρουcιν, οἷον βαcιλῆc. — Τὰ εἰc ᾱο̄c̄ λήγοντα ἀρcενικὰ διὰ τοῦ ε̄ω̄c̄ προφέρουcιν, οἷον Μενέλεωc. — Τὸ ῑ ταῖc λέξεcι προcτίθεται, οἷον νυνί. — Τὰ εἰc ε̄ῡc̄ ὀνόματα διὰ τοῦ ω̄ ἐπὶ γενικῆc ἐκφέρεται, οἷον Πηλέωc. — Αἱ cυναλοιφαὶ Ἀττικῶν εἰcιν ἴδιαι, οἷον τὠμῷ. — Αἱ ἐξαιρέcειc τοῦ ῑ Ἀττικῶν εἰcι καὶ Δωριέων καὶ Αἰολέων, οἷον ἕταροc. — Αἱ παραλήψειc τῶν κλητικῶν ἀντὶ τῶν εὐθειῶν Ἀττικῶν εἰcιν, οἷον νεφεληγερέτα Ζεύc, ἀντὶ τοῦ νεφεληγερέτηc. — Αἱ ἐλλείψειc τῶν μερῶν τοῦ λόγου Ἀττικῶν εἰcι καὶ Δωριέων καὶ Ἰώνων, οἷον ⟨c 28⟩ 'κόπτων ἀμφοτέρηcι· λείπει τὸ χερcίν. — Αἱ παραλήψειc τῶν αἰτιατικῶν πτώcεων ἀντὶ γενικῶν Ἀττικῶν εἰcιν, ὡc τὸ ⟨Α 275⟩ μήτε cὺ τόνδ', ἀγαθόc περ ἐών, ἀποαίρεο κούρην, ἀντὶ τοῦ ⟨τοῦ⟩ ἀφαιροῦ. — Ἀεὶ παθητικοῖc ῥήμαcιν ἀντὶ ἐνεργητικῶν χρῆται, οἷον γράφομαι ἀντὶ τοῦ γράφω. — Τὰ εἰc ω̄c̄ ἐπιρρήματα τῆc μεcότητοc εἰc ο̄ν̄ περατοῖ, ὀνόμαcι γὰρ ἀντὶ ῥημάτων χρῆται, οἷον δέον ἀντὶ τοῦ δεόντωc. — Τὰc εἰc ε̄c̄ ληγούcαc εὐθείαc τῶν cυγκριτικῶν εἰc ο̄ῡc̄ περατοῖ, οἷον μείζουc. — Ταῖc cυναλοιφαῖc ἀεὶ κατακόρωc χρῆται, οἷον τοὔλαιον. — Ἀδιαιρέτουc τινὰc τῶν λέξεων προφέρεται, οἷον πατρῷοc ἀντὶ τοῦ πατρώϊοc. — Τῷ c̄ ἀντὶ τοῦ ρ̄ χρῆται, οἷον θαρcαλέοc ἀντὶ τοῦ θαρραλέοc. — Τῷ ῡ ἀντὶ τοῦ ε̄ χρῆται, οἷον τοὔνδυμα. — Εὐθείαιc ἀντὶ κλητικῶν χρῆται, οἷον ὦ φίλοc ἀντὶ τοῦ ὦ φίλε. — Ὑπερθετικοῖc ἀντὶ cυγκριτικῶν πολλάκιc χρῆται, οἷον ἀντὶ τοῦ εἰπεῖν «θηριωδέcτεροc πάντων» λέγει «θηριωδέcτατοc». — Τὸ ε̄ τρέπει εἰc τὸ η̄, οἷον ἠδυνάμην ἀντὶ τοῦ ἐδυνάμην.

[Ἐκ τῶν cυντελούντων εἰc ὀρθογραφίαν παραγγελμάτων.
Περὶ τῆc μεταβολῆc τοῦ ν̄ τοῦ ἐν ταῖc προθέcεcι τῇ ἐν καὶ τῇ cύν.

Αἱ προθέcειc, αἵ τε ἄλλαι καὶ ἡ ἐν καὶ ἡ cύν, μετὰ τῶν ὀνομάτων ἐν cυνθέcει εἰcὶν ἢ ἐν παραθέcει. Καὶ παράθεcιc μέν ἐcτιν, ὅταν ἡ πρόθεcιc καὶ τὸ ὄνομα ὡc δύο μέρη λόγου λαμβάνωνται, οἷον ἐν καιρῷ, cὺν καιρῷ· cύνθεcιc δέ, ὅταν ἡ πρόθεcιc μετὰ ὀνόματοc ἢ ῥήματοc ἢ ἐπιρρήματοc ὡc ἓν μέροc λόγου λαμβάνηται, οἷον

7—31 *cfr Greg. Cor. de dial. ed. Schaef. p. 672—674*

4 ἤτοι] ἢ E | τιλῶ] τίλω E ‖ **6** Περὶ — πλάτοc *om* A ‖ **8** εὐθείαc *om* A ‖ **9** βαcιλεῖc A, βαcιλῆεc *et supra scr.* λῆc E ‖ **10** ᾱο̄c̄ A, ω̄c̄ E | ε̄ω̄c̄ A, ε̄ E ‖ **14** ἕταρον A, ἑτάρων E ‖ **22** τῆc A, τὰ E ‖ **32—466, 21** *om* A ‖ **36** λαμβάνονται E; *item v. 37*

ἔγκαιρον σύγχρονον. Ὅταν μὲν οὖν ἐν παραθέσει ὦσιν αἱ δύο αὗται προθέσεις συμφώνου ἐπαγομένου, τὸ ν̄ φυλάττουσιν, ⟨οἷον⟩ ἐν καιρῷ, σὺν καιρῷ, ἐν πόνῳ, σὺν πόνῳ· ὅταν δὲ ἐν συνθέσει ὦσιν, ἀμείβουσι τὸ ν̄ ποικίλως, ὡς μάθῃς· ἤγουν πρὸς τρία ἀμετάβολα, λ̄ μ̄ [ν̄] ρ̄, ἐὰν ἐπάγωνται ταῦτα, οἷον ἐλλέγω συλλέγω, ἔμμονος σύμμονος, ἔρροπος σύρροπος. Μεταβάλλουσι δὲ εἰς μ̄ πάλιν, ἐπαγομένων καὶ τῶν ὁμοφώνων τῷ μ̄ συμφώνων, τῶν ἐκφωνουμένων δηλαδὴ ἄκροις τοῖς χείλεσιν ὁμοίως τῷ μ̄, ἤτοι τοῦ β̄ π̄ φ̄ ψ̄, οἷον ἐμβαίνω συμβαίνω, ἔμπονος σύμπονος, ἔμφωνον σύμφωνον, ἔμψηφος σύμψηφος. Μεταβάλλουσι δὲ εἰς γ̄, ⟨τοῦ γ̄⟩ ἐπαγομένου, οἷον ἔγγονος σύγγονος· ὡσαύτως καὶ τῶν ὁμοφώνων τῷ γ̄ ἐπαγομένων, τῶν ἐκφωνουμένων δηλαδὴ ἔνδον ἀπὸ τοῦ λάρυγγος ὁμοίως τῷ γ̄, ἤτοι τοῦ κ̄ ξ̄ χ̄, οἷον ἐγκαλῶ συγκαλῶ, ἔγξιφος σύγξιφος, ἐγχέω συγχέω. Τοῦ σ̄ δὲ ἐπαγομένου ἐν μὲν τῇ ἐν προθέσει ἐφυλάχθη τὸ ν̄, ἐν δὲ τῇ σύν μετέβαλεν εἰς σ̄, οἷον ἔνσαρκος ἔνσωμος, σύσσαρκος σύσσωμος· ἔχει δὲ ἀπολογίαν τὸ ἀμετάβλητον τῆς ἔν, ἵνα μὴ δόξῃ ἔς πρόθεσις.

Τελευτῶντος πολλάκις ὀρδίνου ἐν ταῖς γραφαῖς ἀνάγκη ἐστὶ διαιρεῖσθαι λέξιν. Διαιρήσεις οὖν ταύτην, μόνον φυλαττόμενος τὸ μή⟨πο⟩τε τὴν ἔχουσαν τὸν τόνον συλλαβὴν εἰς τὴν ἀρχὴν τοῦ ἐπιφερομένου ὀρδίνου τιθέναι· οἷον Ἀλέξιος οὐ τὸ λε̄ δεῖ εἰς τὴν ἀρχὴν τοῦ ἐπιφερομένου ὀρδίνου τιθέναι, οἷον Ἀλέξιος τὸ έ, καὶ Ἰσαάκιος ⟨οὐ⟩ τὸ α, ἀλλὰ τὸ ά θεὶς τελευταῖον ἐν τῷ ἄνωθεν ὀρδίνῳ ἄρξῃ ἐν τῷ ἑτέρῳ ἀπὸ τοῦ κῑ· εἰ γὰρ ἀπὸ τοῦ ᾱ ἄρξῃ ἢ ἀπὸ τοῦ ος̄, ὀφείλεται δῆθεν τούτοις καὶ πνεῦμα, ὡς φωνήεσιν· εἰ δὲ ἀπὸ τῆς ἐντόνου πάλιν συλλαβῆς ἄρξῃ ἐν τῷ ἐπαγομένῳ ὀρδίνῳ, ἀναγνωσθήσεται τάχα λέξιος ἤ τι τοιοῦτον, ὅπερ παράλογον. Διὰ ταῦτα τήρει τὸ παράγγελμα, καὶ ὀρθογραφήσεις.

Κεράννυται, σβέννυται· τὸ ἓν ν̄ ἐν τέλει τοῦ ὀρδίνου, ἐὰν διαιρῇς, τὸ δὲ ἕτερον ἐν τῇ ἀρχῇ τοῦ ἐπαγομένου ὀρδίνου· ὡσαύτως καὶ ἐπὶ τῶν δύο ρ̄ καὶ κ̄ καὶ λοιπῶν τοιούτων. Πέφυκε διαιρεῖσθαι καὶ τὸ σταθμησάμενος καὶ τὸ Σαπφικόν καὶ τὰ τοιαῦτα, ἀλλ' ἐκεῖθεν τὸ ἓν σύμφωνον καὶ ἔνθεν τὸ ἕτερον, διὰ τὸ μηδέποτε λέξιν ἄρχεσθαι ἀπὸ τοῦ θμ̄ ἢ ἀπὸ τοῦ πφ̄, ὥστε οὐδὲ ὁ ὄρδινος ἐκ τούτων ἄρξεται ἐν τῇ διατομῇ τῆς λέξεως, καὶ ὅτι διῃρημένως ἀναγινώσκονται σταθ-μός, Σαπ-φικόν. Οὕτω καὶ τὰ ὅμοια διαιρῶν καὶ γράφων ὀρθογραφήσεις.

Περὶ μονοσυλλάβου συνδέσμου. — Μονοσύλλαβον σύνδεσμον, μέν δέ τέ γάρ, μηδέποτε γράψῃς ἐν ἀρχῇ ὀρδίνου· ὡσαύτως καὶ τὸ οὖν γοῦν δή καὶ τὰ τοιαῦτα.

Περὶ τοῦ ἐφελκυστικοῦ ν̄,
ἤγουν τοῦ τιθεμένου ἐν συνεπείᾳ λόγου διὰ τὸ ἀχασμώδητον.

Ἐν τοῖς ὀνόμασιν ἐφέλκονται τὸ ν̄ αἱ δοτικαὶ τῶν πληθυντικῶν καὶ τῶν ὀνομάτων καὶ τῶν μετοχῶν φωνήεντος ἐπαγομένου, οἷον «τοῖς Αἴασιν ἔδωκα, ταῖς φιλότησιν εὐφραίνομαι, τοῖς βήμασιν ἐμπεριπατῶ, τοῖς τύψασιν ἐμωλωπίσθην» καὶ τὰ τοιαῦτα· συμφώνου δὲ ἐπαγομένου οὐ γράφεται τὸ ν̄, «τοῖς Αἴασι δέδωκα, τοῖς τύπτουσι μωλωπίζομαι». — Καὶ ἐν ἀντωνυμίαις ἐφελκυστικὸν τὸ ν̄, σφίσιν· ὁμοίως καὶ σφῶϊν· ὡσαύτως καὶ νῶϊν ἀντὶ τοῦ ἡμῖν πάντοτε μετὰ τοῦ ν̄. — Ἐν τοῖς ῥήμασι δὲ τρίτα πρόσωπα ἑνικῶν καὶ πληθυντικῶν ἐν τοῖς ὀφειλομένοις χρόνοις ἐφέλκονται τὸ ν̄, «ἔτυψεν ἐκεῖνος, ἔτυπτεν οὗτος, τύπτουσιν ἄλλοι, τύψουσιν ἕτεροι» καὶ τὰ τοιαῦτα· καὶ ἐν τοῖς Ἀττικοῖς τρίτα τῶν ἑνικῶν, «γράψειεν οὗτος, ἀναγνώσειεν ἐκεῖνος». — Τινὲς δὲ ἐν τοῖς ἐπιρρήμασι, τῷ ἄνωθεν κάτωθεν οὐρανόθεν γῆθεν καὶ τοῖς ὁμοίοις, ἐφελκυστικὸν λαμβάνουσι τὸ ν̄· ὅθεν καὶ συμφώνου ἐπαγομένου οὐ

14—31 *leguntur etiam in cod. Barocciano 68, fol.* 75^r *(Coxii catal. I 102)* || **32—466,2** *edita sunt in Aldi Hort. Adon. 1496 fol.* 216^v, *ubi tribuuntur Choerobosco*

8 δὲ] καὶ E || 17 δεῖ] θήσεις E || 23 Κεράννυται] Γάννυται *sed* Γ *rubro* E | διαιρῇς] καλέσῃ E

γράφουσιν αὐτό, «οὐρανόθε τὸ φῶς, γῆθε τὰ ἄνθη»· ἡ δὲ συνήθεια πάντοτε μετὰ τοῦ ν̄ τὰ τοιαῦτα γράφει.

Περὶ ἐγκλινομένων.

Ἐγκλίνονται ἤγουν ἀναβιβάζουσι τὸν τόνον [ὅτε καλεῖ ἀπὸ] τῶν τοῦ λόγου μερῶν πέντε, ὀνόματα, ῥήματα, ἀντωνυμίαι, ἐπιρρήματα καὶ σύνδεσμοι. Ὄνομα ἤτοι ὡς ὄνομα τὸ τίς καὶ αἱ τούτου πτώσεις καὶ οἱ ἀριθμοί, καὶ τὸ οὐδέτερον τί, οἷον «οἶκός τις, ἔμαθόν τινος, ἦλθόν τινες, ἤκουσά τινων, ἔπαθόν τι», καὶ τὰ ἰσοδυναμοῦντα τούτοις, τὸ τοῦ καὶ τὸ τῷ, «ἤκουσά του, δέδωκά τῳ» καὶ τὰ τοιαῦτα. Ῥήματα τὸ εἰμί φημί, «ἁμαρτωλός εἰμι, ἐγώ φημι»· τὸ δεύτερον φῄς ἀνέγκλιτον, τὸ τρίτον φησίν ἐγκλίνεται, «αὐτός φησι», καὶ τὰ πληθυντικά, «αὐτοί φαμεν, τί φατε, τί φασιν»· καὶ τὰ πληθυντικὰ τοῦ εἰμί, «ἄνθρωποί ἐσμεν, ἄνθρωποί ἐστε, ἄνθρωποί εἰσιν». Καὶ τῶν ἀντωνυμιῶν ἐκεῖναι, «ἔδωκάς μοι, ἔτυψάς με, ἤκουσά σου, παρεῖχόν σοι», ⟨Π 829. Φ 121⟩ καί οἱ ἐπευχόμενος, ⟨ex. gr. Α 201⟩ καί μιν φωνήσας· μετὰ δὲ τοῦ ἕνεκα τὸν οἰκεῖον τόνον φυλάττουσι ταῦτα, «ἕνεκα σοῦ, ἕνεκα ἐμοῦ», καὶ μετὰ προθέσεως, «περὶ σοῦ, διὰ σέ» καὶ τὰ τοιαῦτα. Ἐπίρρημα τὸ ποτέ, οἷον «σύ ποτε, ἐγώ ποτε», καὶ τὸ ποθέν, οἷον «ἦλθέ ποθεν», καὶ τὸ πῶς πῇ ποῦ [καὶ] τὰ ὡς ἐπιρρήματα, «ἦλθέ πως, ἀπῆλθέ που, ἀνεχώρησέ πῃ». Σύνδεσμοι δὲ ἐγκλίνονται μέν δέ τέ γάρ, οἷον «ἐγώ μεν, σύ δε, αὐτός τε, ἄλλός γαρ» καὶ τὰ τοιαῦτα. Ἐκεῖνο δὲ παραφυλακτέον, ὅτι ἐὰν σπονδειακὴ πρόκειται λέξις, ἤγουν δισύλλαβος μακρὰς ἔχουσα καὶ τὰς δύο, ἐπιφέρηται δὲ ἐγκλινομένη δισύλλαβος, τὸν ἴδιον φυλάττει τόνον, οἷον «ἤδη φαμέν, οὕτως ἐστίν, οὕτω ποτέ» καὶ τὰ ὅμοια.]

Περὶ Αἰολίδος.

Τὸ β̄ τῷ ρ̄ προσνέμει, ὅταν τῷ ρ̄ ἐπιφέρηται κ̄ ἢ τ̄ ἢ δ̄, οἷον βρυτήρ βράκος βρόδον. — Τὰς ἀπὸ τῶν εἰς αι̅ εὐθειῶν γενικὰς διὰ τοῦ αω̅ προφέρει, οἷον Μουσάων. — Αἱ συγκοπαὶ Αἰολέων εἰσὶν ἴδιαι· γίνονται δὲ κατὰ τὸ μέσον. — Αἱ προ⟨σ⟩θέσεις τῆς θα̅ ἐπὶ τῶν ὑποτακτικῶν ῥημάτων β′ προσώπων Αἰολέων εἰσίν, οἷον εἴπῃσθα. — Αἱ προ⟨σ⟩θέσεις τοῦ ῡ τῷ ε̄ ἐπιφερομένου φωνήεντος Αἰολέων εἰσίν, οἷον χεύαντες. — Τὰ εἰς αις̅ μονοσύλλαβα ὀνόματα διαιρεῖ, οἷον πάϊς. — Τῷ ω̄ ἀντὶ τοῦ ου̅ χρῆται, οἷον Μῶσα. — Τῷ ῡ ἀντὶ τοῦ ο̄ χρῆται, οἷον ὕμοιον. — Τῷ η̄ ἀντὶ τῆς ει̅ διφθόγγου χρῆται, οἷον ἐλθῆν. — Τῷ π̄ ἀντὶ τοῦ μ̄ χρῆται, οἷον ὄππατα ἀντὶ τοῦ ὄμματα. — Τῆς δευτέρας συζυγίας τῶν περισπωμένων τὸ ῑ ἐπὶ δευτέρου καὶ τρίτου προσώπου ἀνεκφώνητον ὂν ταῖς ἄλλαις διαλέκτοις ἐκφωνεῖται, οἷον βοάϊς. — Τὰς κλητικὰς τῶν εἰς ων̅ ληγόντων συστέλλει, οἷον ⟨ὦ⟩ χελιδόν. — Ἀεὶ τῆς αι̅ διφθόγγου τὸ ῑ ἐκβάλλει, ὅταν αὐτῇ ἐπιφέρηται φωνῆεν, οἷον ἄρχαος.

Περὶ Δωρίδος.

Ἡ Δωρὶς τῷ ᾱ ἀντὶ τοῦ η̄ χρῆται, οἷον ἁμέρα. — Τῷ ᾱ ἀντὶ τοῦ ω̄ χρῆται, οἷον Ἀτρειδᾶν. — Τὰς εἰς ους̅ ληγούσας γενικὰς τὰς ἀπὸ

3—21 *edita sunt in Aldi Hort. Adon. 1496 fol. 229 et Bekkeri An. Gr. p. 1155 seq* ‖ **23—37** *cfr Greg. Cor. de dial. ed. Schaef. p. 660 seq; 670 seq*

25 αἱ συγκοπτόμεναι AE ‖ **26** Αἱ — εἴπῃσθα (**27**) *om* E ‖ **34** ἀνεκφώνητον — ἐκφωνεῖται E, ἀνεκφωνεῖται A ‖ **36** φωνῆεν] σύμφωνον AE

τῶν εἰς ος εὐθειῶν γινομένας εἰς ευς τρέπει, οἷον ⟨Θ 368⟩ ἐξ Ἐρέβευς. — Τῷ ω ἀντὶ τοῦ ου χρῆται, οἷον Μῶcα. — Τῷ η στοιχείῳ ἀντὶ τῆς ει διφθόγγου χρῆται, οἷον λαβῆν. — Τῷ c ἀντὶ τοῦ θ χρῆται, οἷον cεός ἀντὶ τοῦ θεός. — Τῶν λήξεων ἀεὶ τὸ ι ὑπεξαιρεῖ, οἷον λαβέν. — Ἐπὶ διπλαcιαcμοῦ τῷ αὐτῷ cυμφώνῳ χρῆται, οἷον ὅττι καὶ ὁππόθι καὶ ὅccον. — Αἱ ἐκτάcεις τῶν διχρόνων ἴδιαι τῆς Δωρίδος, οἷον ἶcος. — Αἱ ἀποκοπαὶ Δωριέων εἰcί, γίνονται δὲ κατὰ τὸ τέλος, οἷον ⟨ex. gr. Η 363⟩ ἡμέτερον δῶ. — Αἱ προcθέcεις τῆς με cυλλαβῆς ἐπὶ τῶν παρ' ἡμῖν εἰς ⟨ν⟩αι ληγόντων ἀπαρεμφάτων Δωριέων εἰcίν, οἷον βήμεναι. — Αἱ ἐξαιρέcεις τοῦ δ ἐπὶ τῶν γενικῶν πτώcεων ἑνικῶν Δωριέων εἰcίν, οἷον Πάριος κέραος.

Περὶ Ἰάδος.

Τὰ εἰς ας λήγοντα ὀνόματα εἰς ης τρέπει, εἰ μὴ ὦcι Δώρια, οἷον Ἑρμείης. — Πᾶν εἰς ης λῆγον, οὗ ἡ γενικὴ εἰς ου περατοῦται, παρ' Ἴωcιν εἰς εω λήγει, οἷον Ἀτρείδεω. — Τὰ εἰς ης, ὧν ἡ γενικὴ εἰς ους, διὰ τοῦ εος προφέρεται, οἷον Δημοcθένεος· τὴν δὲ αἰτιατικὴν εἰς εα ποιεῖ, οἷον Δημοcθένεα. — Τὰς εἰς ους ληγούcας γενικὰς τὰς ἀπὸ τῶν εἰς ες εὐθειῶν οὐδετέρων γινομένας διαιρεῖ, οἷον εὐcεβέος. — Πᾶcα εὐθεῖα εἰς ευς λήγουcα διὰ τοῦ ηος ἐκφέρεται ἐπὶ γενικῆς, οἷον Ὀδυccῆος. — Πάcης εὐθείας οὐδετέρου εἰς ος ληγούcης εἰς εος ποιεῖ τὴν γενικήν, οἷον πλήθεος. — Τὰς εἰς εις εὐθείας πληθυντικὰς τὰς ἀπὸ τῶν εἰς ευς ἑνικῶν γινομένας διὰ τοῦ ηες προφέρεται, οἷον βαcιλῆες. — Τὰς εἰς αι εὐθείας πληθυντικὰς διαιρεῖ διὰ τοῦ εων ἐπὶ γενικῆς, οἷον πυλέων. — Πᾶcα δοτικὴ πληθυντικὴ εἰς αις λήγουcα μεταβάλλει τὸ α εἰς η ἐπὶ τῆς Ἰάδος προcγραφομένου τοῦ ι, οἷον νύμφῃcι. — Τὰς εἰς α εὐθείας εἰς η τρέπει, οἷον Ἥρη. — Τὰ εἰς ω λήγοντα θηλυκὰ ἐπὶ τῆς αἰτιατικῆς εἰς ουν περατοῖ, οἷον Λητοῦν. — Τὸ ει ἐνίων λέξεων διαιρεῖται, τὸ γὰρ πονεῖcθαι πονέεcθαι λέγει. — Τὰ εἰς ις λήγοντα θηλυκὰ οὐδέποτε διὰ τοῦ ω κλίνει, ἀλλὰ διὰ τοῦ ο, οἷον εὑρέcιος. — Μετάθεcιν cτοιχείων ποιεῖται, οἷον κραδίη. — Αἱ ἐπαναδιπλώcεις Ἰώνων εἰcίν, οἷον ⟨λελάχωcι. — Ἀcυναίρετος ἡ δοτικὴ τῶν ἑνικῶν ἐκφέρεται, οἷον⟩ βέλεϊ. — Αἱ ἀναcτροφαὶ καὶ τὰ ὑπερβατὰ Ἰώνων εἰcίν, οἷον ⟨Α 230⟩ δῶρ' ἀποαιρεῖcθαι, ἀντὶ τοῦ ἀφαιρεῖcθαι (*sic*)· ὑπερβατὰ δὲ ταῦτα ⟨α 8⟩ νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο Ἤcθιον, ἀντὶ

466, 39 — 467, 11 *cfr Greg. Cor. de dial. ed. Schaef. p. 691 seqq* ‖ **13 — 468, 40** *cfr RSchneider, Excerpta* Περὶ διαλέκτων, *progr. gymn. Duisburg. 1894, p. 3—7*

1 τρέπουcιν AE; *item v. 13 et 26* ‖ **4** λήξεων *RSchneider*, λέξεων AE ‖ **10** ἑνικῶν *om* A ‖ **18** ες — διαιρεῖ A, ης εὐθειῶν γινομένας διὰ τοῦ εος προφέρει E ‖ **20** πᾶcα εὐθεῖα εἰς ος οὐδετέρ (*sic*) εἰς εος ποιεῖ, οἷον πλ. A ‖ **25** προcγραφ. E, cυγγραφ. A | νύμφῃcι E, νύμφηcιν A ‖ **27** ει] ι AE ‖ **28** διαιρεῖται A, ἐξαιρεῖται E | πονέεcθαι A, πονέcθαι E; *cfr ex. gr.* Κ *116*

τοῦ κατήcθιον. — Αἱ ἐξαιρέcειc τοῦ ι ἐκ τῆc ει διφθόγγου Ἰώνων εἰcίν, οἷον Ἑκτόρεοc χιτών. — Αἱ διαιρέcειc τῶν εἰc ωc ἐπιρρημάτων τῶν ἀρcενικῶν εἰc ηc ληγόντων καὶ τῶν οὐδετέρων εἰc εc Ἰώνων εἰcίν, οἷον ἀτρεκέωc ἀντὶ τοῦ ἀτρεκῶc. — Αἱ ἀπὸ τῶν αὐτῶν cτοιχείων ἐπί τε ἐνεcτῶτοc καὶ παρεληλυθότοc προφοραὶ Ἰώνων εἰcίν, οἷον τύπτεν. — Τὰc εἰc ειc ληγούcαc εὐθείαc πληθυντικὰc διαιρεῖ πάντοτε· καὶ ἀπὸ μὲν τῶν εἰc ευc οὔcαc διὰ τοῦ η προφέρεται, οἷον βαcιλῆεc, ἀπὸ δὲ τῶν εἰc ηc διὰ τοῦ ε, οἷον ἀληθέεc. — Αἱ προ⟨c⟩θέcειc τοῦ ι τῷ ε ἐπιφερομένων φωνηέντων ἢ ἑνὸc τῶν ἀμεταβόλων ⟨Ἰώνων εἰcίν⟩, οἷον ⟨Γ 376⟩ κεινή. — Ἡ ἐναλλαγὴ τῆc οι διφθόγγου εἰc τὴν εc cυλλαβὴν Ἰώνων ἐcτίν, οἷον ἐρίηρεc ἀντὶ τοῦ ἐρίηροι. — Τὰ εἰc η πληθυντικὰ οὐδέτερα διαιρεῖ εἰc εα, οἷον τείχεα βέλεα, καὶ τὰc γενικάc, οἷον τειχέων. — Ἀεὶ τὸ υ ταῖc λέξεcι προcτίθηcι ⟨ταῖc ἐχούcαιc τὸ ο⟩, οἷον νοῦcοc. — Τὸ διττὸν cc εἰc ξ τρέπει, οἷον διξά ἀντὶ τοῦ διccά. — Τῶν λέξεων ἐξαιρεῖ τὸ ι πολλάκιc, οἷον ἀπόδεξιc. — Τῶν μετοχῶν τὰc παθητικὰc τὰc εἰc οc ληγούcαc διαιρεῖ, οἷον μαχεόμενοc. — Τὰc εἰc ων ληγούcαc μετοχὰc τὰc ἀπὸ τῆc πρώτηc cυζυγίαc τῶν περιcπωμένων γενομέναc, ὧν ἐπὶ δευτέρου προcώπου προcτακτικὸν εἰc ει λήγει, διαιρεῖ, οἷον φρονέων, ἔcτι γὰρ φρόνει τὸ προcτακτικόν. — Καὶ τὰ ἀπὸ τῶν ῥημάτων διαιρεῖ· οὐ γὰρ θέλει διαιρεῖcθαι· ὅμωc δὲ ἃ διαιρεῖ cπάνιά εἰcι (*sic*). — Τοῖc ἄρθροιc τοῖc προτακτικοῖc ἀντὶ τῶν ὑποτακτικῶν χρῆται, οἷον τὴν θέλω ⟨ἀντὶ τοῦ⟩ ἣν θέλω. — Τῷ κ ἀντὶ τοῦ π χρῆται ἀεί, οἷον ὁκοία. — Τῷ ω ἀντὶ τοῦ α χρῆται, οἷον ὤνθρωποc. — Τῷ ω ἀντὶ τῆc αυ διφθόγγου κέχρηται, οἷον θῶμα ἀντὶ τοῦ θαῦμα. — Αἱ τμήcειc Ἰώνων εἰcίν, οἷον Πέλοποc νῆcον ἀντὶ τοῦ Πελοπόννηcον. — Αἱ παραλήψειc τῶν ἀπαρεμφάτων ἀντὶ τῶν προcτακτικῶν Ἰώνων εἰcίν, οἷον ⟨Δ 64⟩ Ἀθηναίῃ ἐπιτεῖλαι, ἀντὶ τοῦ ἐπίτειλον. — Αἱ παραλήψειc τῶν εὐθειῶν πτώcεων ἀντὶ γενικῆc Ἰώνων εἰcίν, οἷον ⟨μ 73⟩ οἱ δὲ δύο cκόπελοι, ἀντὶ τοῦ «τῶν δύο cκοπέλων». — Αἱ ἐναλλαγαὶ τοῦ η εἰc α βραχὺ Ἰώνων ⟨εἰcίν⟩, οἷον μεμακυῖα ἄπλατοc. — Αἱ ἐναλλαγαὶ τοῦ α εἰc η Ἰώνων εἰcίν, οἷον ἦρα ἀντὶ τοῦ ἄρα. — Αἱ ἐναλλαγαὶ τοῦ βραχέοc α εἰc η τῶν νεωτέρων Ἰώνων ἐcτίν, οἷον ἀληθείην ἀντὶ τοῦ ἀλήθειαν. — Αἱ κατ' ἀρχὴν ἀφαιρέcειc Ἰώνων εἰcίν, οἷον εἶβεν ἀντὶ τοῦ λεῖβεν. — Ἀεὶ τὴν ων cυλλαβὴν περιττὴν οὖcαν μεταξὺ τῶν προθέcεων ⟨καὶ τῶν ῥημάτων⟩ τίθηcιν, οἷον ἐξ ὧν εἷλον ἀντὶ τοῦ ἐξεῖλον. — Τὰ πρῶτα cτοιχεῖα τῶν λέξεων ἀφαιρεῖται, ὡc ἐπὶ τοῦ κεῖνοc. — Ἀεὶ τὸ ε τοῦ παρεληλυθότοc χρόνου τῶν ῥημάτων ἀφαιρεῖ, οἷον τίκτεν ἀντὶ τοῦ ἔτικτεν. — Τῷ π ἀντὶ τοῦ φ χρῆται, οἷον ἀπίκετο. — Τὰ cύνθετα ῥήματα διαλύει καὶ μεταξύ τι αὐτῶν λαμβάνει, οἷον ⟨cfr Ε 599⟩ ἀνά τ' ἔδραμον.

18 προcτακτικοῦ AE ‖ **19** τῶν *om* E ‖ **24** τὸ γὰρ θαῦμα ἀντὶ τοῦ θῶμα A, τὸ θαῦμα γὰρ θῶμα λέγει E ‖ **26** Αἱ — ἐπίτειλον (**27**) *om* E ‖ **29** Αἱ — ἄπλατοc (**30**) *om* E ‖ **31** ἦρα] ἤρα A, ἦρ E ‖ **32** Ἰώνων ἐcτίν] τάδ' ἔcτιν AE

Περὶ κοινῆς.

Τινές φαςιν ὅτι οὐκ ὀφείλει κοινὴ καλεῖςθαι, ἀλλὰ μικτή, εἴ περ ἡ κοινὴ ἀπὸ τεςςάρων ςυνέςτηκεν· οὐ γὰρ τὴν διὰ τεςςάρων φαρμάκων ἔμπλαςτρον κοινὴν καλοῦμεν, ἀλλὰ μικτήν. Καὶ καλῶς ἔλεγον ταῦτα πρὸς τοὺς λέγοντας τὴν κοινὴν ςυνίςταςθαι ἐκ τῶν τεςςάρων, καὶ πρὸς τούτοις, ὅτι μήτηρ ἡ κοινή· εἰ γάρ τις εἴποι ὅτι δωριςτί, φαμὲν ὅτι τὸ κοινὸν αὐτοῦ, ἢ αἰολιςτὶ ὁμοίως, ἢ ἰαςτί, ἢ ἀττικιςτί· καὶ τὴν μὲν ἡμέραν οἱ κοινοὶ λέγουςιν, οἱ Ἀττικοὶ ἕως, οἱ Ἴωνες ἠώς, οἱ Δωριεῖς ἀώς, οἱ Αἰολεῖς αὔως, καὶ μελιςςῶν μελιςςᾶν μελιςςέων μελιςςάων.

315, 17c ⟨*Heliodori.*⟩ — Γλῶςςά ἐςτι λέξις ξένη μεταφραζομένη εἰς τὴν ἡμετέραν διάλεκτον, ἡ λεγομένη μὲν προςεχῶς, μεταφραζομένη δὲ εἰς τὸ ςύνηθες. Λύονται δὲ αἱ γλῶςςαι πενταχῶς· πρῶτον κατὰ ἐτυμολογίαν, ὡς τὸ ⟨Ι 539⟩ ὦρςεν ἔπι χλούνην ςῦν· παρὰ τὴν χλόην καὶ τὸ εὐνάζεςθαι ὁ χλοεύνης εἴρηται. Δεύτερον κατὰ διάλεκτον, ὡς τὸ πτόλεμος. Τρίτον κατ' ἐπίλυςιν, ὡς τὸ ⟨ε 69⟩ ἡμερὶς ἡβώωςα, τεθήλει δὲ ςταφυλῇςιν· ἐδήλωςε γὰρ ἐκ τῆς ςταφυλῆς ἡμερίδα εἶναι τὴν ἄμπελον· ἢ δι' ἑτέρου τόπου ἐπιλύςεως, ὡς τὸ ⟨ε 70⟩ κρῆναι δ' ἑξείης πίςυρες ῥέον· τὸ γὰρ πίςυρες ὅτι τέςςαρες δηλοῖ, ἐν ἄλλῳ τόπῳ διαςαφεῖ λέγων ⟨χ 110 seq⟩ ἔνθα τέςςαρα μὲν ςάκε' εἵλετο ... Καὶ πίςυρας κυνέας· τέςςαρες γὰρ οἱ ὁπλιςθῆναι μέλλοντες. Τέταρτον ἐξ ἀντιφραζομένου, ⟨Α 106 seq⟩

μάντι κακῶν, οὔ πώ ποτέ μοι τὸ κρήγυον εἶπας·
αἰεί τοι τὰ κάκ' ἐςτὶ φίλα φρεςὶ μαντεύεςθαι·

ἐκ γὰρ τοῦ κακά τὸ κρήγυον δηλοῦται ἀγαθὸν εἰρῆςθαι ἢ ἀληθές, ὥς τιςι δοκεῖ. Πέμπτον κατὰ ἱςτορίαν, ὡς τὸ ⟨Α 39⟩ Σμινθεῦ, εἴ ποτέ τοι· δεῖ γὰρ ἡμᾶς ἀναλῦςαι τὴν ἱςτορίαν τοῦ Σμινθίου.

Ἐκ τοῦ εἴδους δὲ τὸ γένος βούλεται δηλῶςαι· εἶδος γὰρ ἡ γλῶττα τῆς διαλέκτου, καὶ ἐν ταῖς διαλέκτοις αἱ γλῶτται· διάλεκτος δέ ἐςτι φωνῆς εἶδος. Δεῖ γὰρ γινώςκειν, ὅτι καθ' ἑκάςτην διάλεκτον εἰςὶ γλῶτται πολλαί, ὡς ὑπὸ μὲν τὴν Δωρίδα ἡ τῶν Λακώνων καὶ Ἀργείων καὶ Σπαρτιατῶν καὶ Μεϲ⟨ϲ⟩ηνίων καὶ Κορινθίων καὶ Σικελῶν καὶ Θηβαίων καὶ ὅςοι ἀπὸ τούτων μετοικίας ἔςχον, ὑπὸ δὲ τὴν Αἰολίδα [ὡς] ἡ Βοιωτιακή, ᾗ κέχρηται Κόριν⟨ν⟩α, καὶ Λεςβίων, ᾗ κέχρηται Σαπφώ· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. Εἰπὼν οὖν τὰ εἴδη ςυμπεριείληφε καὶ τὰ γένη· οὐ γὰρ ταὐτὸν εἰδέναι τὴν Δωρίδα καὶ τὰ εἴδη τῆς Δωρίδος· ἡ μὲν γὰρ Δωρὶς διάλεκτος ἰδίως ἔχει τινὰ κοινὰ θεωρήματα, αἱ δὲ

10—470, 25 *videntur esse* **Σ^h**

4 ἔλεγον A, λέγομεν E ‖ **8** ἀώς] ἄως AE ‖ **9** αὔως] αἴως A, ἄως E ‖ **14** Δεύτερον — ἐςτίν (**470, 28**) *om* E ‖ **22** οὔ ποτέ μοι A | ἔειπας A ‖ **25** Πέμπτον] ἔςτι A

ταύτης γλῶτται παρὰ τὴν cυνήθειαν καὶ ἰδιάζουcιν· ὡc Δώριον μὲν λέγειν τοὺc τέccαραc τέτοραc, Cυρακουcίων δὲ ἴδιον τὸ λέγειν τοὺc τέccαραc πίcυραc.

Ἱcτορία δὲ διττῶc λέγεται· καὶ γὰρ τὴν διήγηcιν τῶν πάλαι πραγμάτων ἱcτορίαν φαμέν, καὶ τὴν τῶν παλαιῶν χρῆcιν· τῶν γὰρ γραμματικῶν τινὲc λέγονται ἱcτορικοί, τινὲc δὲ βιβλιακοί· καὶ οἱ μὲν βιβλιακοὶ ἐλέγοντο, ὅτι οὐκ ἀπεδίδοcαν λόγον, ἀλλ' ἔλεγον, ὅτι οὕτωc ἔχει τὰ βιβλία· ἱcτορικοὶ δὲ ὅcοι ἔλεγον, ὅτι οὕτωc ἔγραψεν ἢ ἀνέγνω Ἀρίcταρχοc. Οὐχ ὥcπερ δὲ τὰc γλώccαc πάcαc ὀφείλει ὁ γραμματικὸc εἰδέναι, οὕτω καὶ πᾶcαν ἱcτορίαν, ἀλλὰ τὴν τετριμμένην· πολλαὶ γάρ εἰcι πεπλαcμέναι τοῖc νεωτέροιc. Πᾶcαν δέ, εἴπομεν, γνώcεται γλῶccαν οὕτωc· εἰ γὰρ ἡ γλῶττα ἐν τύποιc τῆc φωνῆc διαφόροιc θεωρεῖται, ὁ δὲ γραμματικὸc πάνταc τοὺc τύπουc ἔχει τῶν φωνῶν, εἰκότωc πάcαc γνώcεται γλώccαc. Ὃν δὲ τρόπον γνώcεται τὰc γλώccαc λεκτέον· καὶ καθολικοί τινέc εἰcι λόγοι καὶ κανόνεc ἐν ταῖc διαλέκτοιc καὶ ταῖc γλώccαιc, ὡc ἔφαμεν ὅτι οἱ Αἰολεῖc ἀντὶ τοῦ ο̅ τὸ υ̅ λέγουcι· καὶ δῆλον ὅτι διὰ τῶν κανόνων ἔcτιν ἐφικέcθαι τῆc γνώcεωc τῶν γλωccῶν. Διὰ τοῦτο δὲ αἱ γλῶτται καὶ αἱ διάλεκτοι cυμβάλλονται τῇ γραμματικῇ, ὅτι πολλάκιc τοῖc ἰδίοιc κινήμαcι τὴν φύcιν τῶν cημαινομένων καταλαμβάνουcιν· Αἰολεῖc γὰρ τὴν ὀδύνην ἐδύνην λέγοντεc ἐμφαίνουcι τὴν διαδύνουcαν διὰ τοῦ cώματοc, καὶ τοὺc ὀδόνταc ἐδόνταc ⟨λέγοντεc⟩ ἐμφαίνουcι τὸ ἐcθίειν. Οὐ μόνον δὲ αἱ διάλεκτοι τῷ cημαινομένῳ χρήcιμοι, ἀλλὰ καὶ πρὸc ὀρθογραφίαν· διὰ γὰρ τῶν ἰδίων κινημάτων ἐμφαίνουcι τὸ ἀληθὲc τῆc γραφῆc, ὡc Αἰολεῖc τὸ εἶναι ἔμμεναι λέγοντεc δεικνύουcι τὴν διὰ τοῦ ε̅ γραφήν· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ παcῶν.

Πρῶτον δὲ ὁ εἰcαγόμενοc μανθάνει, ὅτι μῆνιν βαρυτόνωc δεῖ ἀναγινώcκειν· τοῦτο δὲ μαθὼν ζητεῖ τὴν ἐξήγηcιν· μαθὼν δὲ ὅτι ⟨ὀργὴν⟩ ἐπίμονον cημαίνει, ἀπαιτεῖ τὴν διάλεκτον, καὶ ἀκούει ὅτι Ἰώνων ἐcτίν.

⟨*Heliodori.*⟩ — Τέταρτον ἐτυμολογίαc εὕρεcιc.] Ἐτυμολογία ἐcτὶ λόγοc λέξεων ἔννοιαν ἐξηγούμενοc, ἢ ὀνομάτων ἐξήγηcιc, καθ' ἣν αἰτίαν τὴν πρώτην ἔcχον προcηγορίαν· οἷον ὅτι ἄνθρωποc λέγεται παρὰ τὸ ἄνω θρεῖν ἤγουν βλέπειν· μόνοc γὰρ τῶν ἄλλων ζῴων ὁ ἄνθρωποc ⟨ἄνω⟩ βλέπει· ἢ παρὰ τὸ ἀναθεωρεῖν ἤγουν ἀναλογίζεcθαι ἃ ὅπωπεν ἤτοι εἶδεν, ἢ παρὰ τὸ ἐνάρθρῳ ὀπὶ ἤγουν φωνῇ κεχρῆcθαι. Δεῖ δὲ ἐτυμολογεῖν ὡc ἂν ἕκαcτοc κατὰ ἰδίαν ἐπιβουλὴν κινούμενοc ἅπτηται τοῦ κατὰ τὴν λέξιν cημαινομένου. Καὶ ἔcτιν ἡ ἐτυμολογία ὡc ἂν εἴποι τιc

---

26—28 = Σ^{v} *169, 12—15;* Σ^{m} *303, 13—16* ‖ **29—472, 34** *videntur esse* Σ^{h}

1 cυνήθειαν] ἀλήθειαν A ‖ **2** τήτοραc A ‖ **13** πάνταc] παρὰ *compendio scr.* A ‖ **16** ἔφαμεν] *p. 466, 30* | υ̅] ε̅ A ‖ **21** ἐμφαίνοντεc A ‖ **24** εἶμαι ἔμαι A ‖ **30** ἐξήγηcιν AE ‖ **32** ἤγουν — ἀναθεωρεῖν (33) E, *om* A ‖ **33** ὅπωπεν ἤτοι εἶδεν E, ὅπωπαc A ‖ **34** Δεῖ — οἷον (471, 2) A, καὶ E ‖ **35** ὡcὰν A; *item v. 36* ‖ **36** ἔcτιν] ὅτι A | εἴπη A

ἀληθινολογία· οὐ γὰρ ὡς ἔτυχεν ἐξ ἀρχῆς αἱ Ἑλληνικαὶ λέξεις ἐπετέθησαν ἑκάστῳ πράγματι, οἷον ὁ οὐρανός εἴρηται ὁρανός τις ὤν, καὶ θάλασσα θάνασσά τις οὖσα, καὶ ἥλιος οἱονεὶ δήλιός τις ὤν, ἢ παρὰ τὸ αἴλη ὃ σημαίνει τὴν αἴγλην, οἱ δὲ ἅλιος παρὰ τὸ ἐκ τῆς ἁλὸς καὶ τῶν ποταμῶν ἀνιέναι· καὶ βλέφαρον παρὰ τὸ αἱρομένου αὐτοῦ βλέπειν βλέπαρον καὶ βλέφαρον, ἢ παρὰ τὸ φᾶρος εἶναι τοῦ βλέμματος· καὶ γλῶσσα παρὰ τὸ τὰ ἐν τῷ νῷ γνωστὰ ποιεῖν τοῖς ἀκούουσιν· οὐ γὰρ δι' ἑτέρου μέρους σωματικοῦ γινώσκομεν τὴν ἑκάστου ἔννοιαν. Οὐκ ἔστι δὲ μέρος τῆς γραμματικῆς τὸ ἐτυμολογικόν, ἀλλὰ μόριον· τοῦ γὰρ ἐξηγητικοῦ μέρους μέρος ἐστίν, ὥσπερ τὸ ὀρθογραφικὸν ⟨τοῦ διορθωτικοῦ⟩.

Πέμπτον ἀναλογίας ἐκλογισμός.] Ἀναλογία ἐστὶ *etc.* = Σ^m 303, 22—24. Χρήσιμος δὲ ἡ ἀναλογία φυλάττουσα πολυχρόνιον παράδοσιν καὶ πολλάκις τὸ παρὰ τὴν συνήθειαν ἐκτετραμμένον [χρήσιμον] εὑρίσκουσα· τὸ γοῦν γελοῖος καὶ ὁμοῖος προπερισπᾶται, δοκοῦντα μέντοι προπαροξύνεσθαι· μόνη ⟨δὲ⟩ ἀνέστη ἡ ἀναλογία καταλαβοῦσα ⟨τὸν⟩ τύπον τοῦ πατρώϊος τετρασυλλάβου καὶ συναίρεσιν τοῦ ῑ πάσχοντος τοῦ πατρῷος προπερισπωμένου· τὸν αὐτὸν τρόπον ἐπεὶ τὸ τέλειόν ἐστι γελοίιος καὶ ὁμοίιος, συναίρεσιν παθόντος τοῦ ῑ ἐπὶ τῆς οῑ ὁ τόνος μένει. Ἀναλογία δὲ εἴρηται διὰ τὸ ἀνάλογον εἶναι ἐν τοῖς τύποις καὶ κατὰ τὸν αὐτὸν λόγον. Ἐκλογισμὸν δὲ εἴπομεν, ὅτι δεῖ ἐκλογίζεσθαι [ἐξ] ἑκάστου τὴν ἀναλογίαν καὶ ὁμοιότητα· ἢ ἐκλογισμὸς βάσανος καὶ ἐξέτασις ἀκριβής, ὡς ὅταν λέγωμεν, πάντα τὰ πρὸ τοῦ φ φωνήεντα ψιλοῦσθαι θέλει, τὸ δὲ Ἥφαιστος δασύνεται, ἐπειδὴ ἀπὸ τοῦ ἅπτω γέγονε. Παρατηρητέον δὲ ἐκεῖνο, ὅτι ἡ ἀναλογία οὐ παντάπασιν ἔχει τὸ ἄπταιστον· λέγομεν γὰρ ὅτι τάδε σεσημείωται.

Ἕκτον κρίσις ποιημάτων.] Τίνι διαφέρει κρίσις συγκρίσεως, καὶ πότερον αὐτῶν ἐπαναβέβηκεν; Λεκτέον ὅτι πρῶτον ἡ κρίσις· τὸν συγκρίνοντα γὰρ πρότερον αὐτῶν ἑκάτερον δεῖ κρῖναι· καὶ ὁ μὲν συγκρίνων καὶ κρίνει, ὁ δὲ κρίνων οὐ πάντως καὶ συγκρίνει.

Πότερον δὲ ὁ γραμματικὸς κρείττων ὢν τῶν ποιητῶν κρίνει αὐτῶν τὰ ποιήματα, ἢ ἥττων; Καὶ εἰ μὲν κρείττων, δώσομεν καὶ αὐτὸν εἶναι ποιητήν, εἰ δὲ ἥττων, πῶς κρίνει; Ῥητέον οὖν ὅτι κρίνει, οὐχ ᾗ ποιητής ἐστι κρείττων αὐτῶν, ἀλλ' ᾗ τεχνίτης ἐστὶ τῆς ὕλης τῆς ἐκείνων καὶ τῶν ὀργάνων· οὐ γὰρ κρίνει, εἰ καλῶς αὐτοῖς γέγραπται ἢ οὔ, 315, 20 c ἀλλ' εἰ νόθα ἢ γνήσια· πολλὰ γὰρ νοθευόμενά ἐστιν, ὡς ἡ Σοφοκλέους Ἀντιγόνη — λέγεται γὰρ εἶναι Ἰοφῶντος, τοῦ Σοφοκλέους υἱοῦ —

30—472, 10 *cfr* Σ^m *303, 31—304, 5*

3 θάνασσά] θάνασα A, θάνατος E | παρὰ τὸ αἴγλην, ὃ σημαίνει τὴν αἴλην ἢ τὴν αἴγλην E, παρὰ τὴν αἴλην A ‖ **9** τὸ ἐτυμολ. — διορθωτ. (**10**) *om* E ‖ **10** τοῦ διορθωτ. *om* A: *cfr* Σ^m *302, 8* ‖ **12** (Χρήσ.) — **25** *om* E ‖ **14** προπερισπ.] προπε A; *item v. 17* ‖ **15** τὸν τύπον] τρόπον A ‖ **16** καὶ] κατὰ A ‖ **18** τῆς] τὴν A ‖ **32** οὐχ ἡ E, οὐχ' ὅτι A ‖ **33** ᾗ τεχν.] ἡ τεχν. AE ‖ **36** Ἰοφῶντος C, Ἀντιφῶντος AE

Ὁμήρου τὰ Κυπριακὰ καὶ ὁ Μαργίτης, Ἀράτου τὰ Θυτικὰ καὶ τὰ Περὶ ὄρνεων, Ἡσιόδου ἡ Ἀσπίς.

Κρίνει δὲ πρῶτον μὲν ὁρῶν εἰς τὴν λέξιν, εἰ συνήθης ἐστὶ τῷ ποιητῇ, ἔπειτα εἰς τὸ πλάσμα τῆς συνηθείας, εἶτα εἰς τὴν τῆς φράσεως εὐκολίαν ἢ σκληρότητα, εἶτα καὶ εἰς τὴν ἱστορίαν· οἱ μὲν γὰρ χαίρουσι ταῖς ξενιζούσαις ἱστορίαις, αἱ δὲ ταῖς κοιναῖς· εἶτα ἀπὸ τῶν χρόνων. Ἀρετὴ δὲ ποιήματος ἡ περὶ λέξιν σαφήνεια, σύνθεσις τοῦ μέτρου, εὔρυθμος κυριολεξία· σχήματα ταῦτα τῆς λέξεως· τὰ δὲ περὶ διάνοιαν, οἰκονομία, τάξις, ἤθη ἐν προσώποις, εἰ ⟨οἱ⟩ μῦθοι ἁρμόδιοι καὶ τὰ πλάσματα. Καὶ γὰρ περὶ μυθοπλαστίας γέγραπται πολλοῖς τῶν ἀρχαίων, ὡς ὅταν Ὅμηρος λέγῃ ⟨Υ 223⟩ τάων καὶ Βορέης ἠράσ⟨σ⟩ατο βοσκομενάων· τοῦτο γὰρ ἀληθὲς μέν ἐστι τὸ ἐνίας τῶν ἵππων ἀνατεινούσας τὰς οὐρὰς δέχεσθαι τὸ πνεῦμα καὶ οὕτω τίκτειν τοὺς ἐξ ἀνέμου συλληφθέντας ἵππους ταχυτάτους· εἰς μύθους δὲ μετεπλάσατο· καὶ τὸ ⟨Δ 442 seq⟩ ἥτ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα Οὐρανῷ ἐστήριξε κάρη· τὸ γὰρ συμβαῖνον τῇ ἀληθείᾳ ἐπὶ πάσης ἔριδος, τὸ ἀπὸ μικρᾶς ἀρχῆς μεγίστην προσθήκην λαμβάνειν, τοῦτο ἐσωμα⟨το⟩ποίησεν.

Τίνος δὲ ἕνεκεν ἐν ἀρχῇ ἐμπειρίαν εἰπὼν νῦν τέχνην λέγει; Ὅτι αὐτὸ καθ' ἑαυτὸ τὸ μέρος τοῦτο τέλειόν ἐστι· πολλὰ γὰρ περιέχει, ὡς ἤδη προεξετιθέμεθα· ἵν' οὖν ἐμφήνῃ, ὅτι τὸ χρησιμώτατον μέρος τῆς γραμματικῆς ἐστι, τέχνην αὐτὴν ὠνόμασεν. Διὰ τί δὲ κρεῖττον ἔφη πάντων εἶναι τὸ κριτικόν; Ἐπειδὴ ἀνάγκη τὸν κρῖναι βουλόμενον πάντα τὰ ἄλλα γινώσκειν· οὐ γὰρ δύναται κρίνειν, εἰ μὴ γινώσκει καὶ τὰ λοιπὰ μέρη τῆς γραμματικῆς. Καὶ διὰ τί κρεῖττον ὂν ἔσχατον αὐτὸ ἔταξεν; Ὅτι πρὸς τὸν κρίνοντα ἀφορῶν τοῦτο ἐποίησεν· οὐ γὰρ δύναταί τις κρῖναι, εἰ μὴ ἔχει πεῖραν τῶν κρινομένων.

Τὸ κάλλιστον οὐκ ἀπὸ τοῦ καλός, ἀλλ' ἀπὸ τοῦ κάλλος, ὡς δῆλον ἀπὸ τῆς σημασίας καὶ τῆς γραφῆς· τὸ μὲν γὰρ καλός δι' ἑνὸς λ̄ γράφεται, τοῦτο δὲ διὰ δύο· ἐκ τῆς σημασίας δέ, ὅτι τὸ καλός ὁ ποιητὴς ἐπὶ τοῦ ἀνδρείου τάττει, ὥσπερ τὸ κακός ἐπὶ τοῦ δειλοῦ· τὸν δὲ Νιρέα φησὶν ⟨Β 673⟩ ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε, καίπερ οἶδεν αὐτὸν ἀσθενῆ· δῆλον ⟨οὖν⟩ ὅτι οὐκ ἔστι τὸ κάλλιστος ἀπὸ τοῦ καλός, ἐπεὶ οὐκ εἶχε παρὰ τῷ ποιητῇ ἐπὶ τοῦ ἀσθενοῦς τάττεσθαι.

§ 2.

Περὶ ἀναγνώσεως.

⟨*Heliodori.*⟩ — Διὰ τί ἓξ μερῶν ὄντων τῆς γραμματικῆς περὶ τοῦ πρώτου μόνου διέλαβεν; Ἐπειδὴ ἠπίστατο, ὅτι ἐν τῇ ἀναγνώσει καὶ τὰ

36—474, 36 *videntur esse* Σ^h

2 ἡ E, *om* A ‖ **4** ἔπειτα — κρινομένων (**27**) A, καὶ τὰ ἑξῆς E ‖ **11** λέγει A ‖ **21** προεκτιθέμεθα A ‖ **32** οἶδεν] εἶδεν AE ‖ **33** δηλονότι AE ‖ **34** παρὰ E, *om* A | τάττεσθαι A, *om* E

λοιπὰ μέρη περιέχονται· ἠρκέσθη οὖν ταύτῃ, ὡς καὶ τῶν λοιπῶν περιεχομένων ἐν αὐτῇ. Οἱ δὲ ⟨λέγουσιν⟩, ὅτι ὡς ἐν τῇ εἰσαγωγῇ τοῦτο κατήπειγεν αὐτὸν τὸ μέρος· ἄλλως τε καὶ τοῖς εἰσαγομένοις συνήθης ἦν ἡ ἀνάγνωσις· ὁ δὲ περὶ τῶν ἄλλων ⟨λόγος⟩ δυσχερὴς καὶ πολλῆς ἀσκήσεως δεόμενος πρὸς τὴν τούτων ἐπίγνωσιν· διὰ τοῦτο περὶ μὲν τῆς ἀναγνώσεως εἶπε, ταῦτα δὲ εἰς ἕτερον καταλέλοιπε καιρόν.

Ἰστέον δὲ ὅτι οἱ φιλόσοφοι τὴν ἀνάγνωσιν οὕτως ὁρίζονται· ἀνάγνωσίς ἐστιν ἀναγνώρισις τῶν τῆς ψυχῆς προτέρων μαθημάτων· ἕτεροι δέ φασιν, ὅτι ἀνάγνωσίς ἐστιν ἡ διὰ φράσεως μιμητικῆς ἐν προσώποις καὶ πράγμασι τὸ πρέπον διαφυλάττουσα· ἄλλοι δέ, ἀνάγνωσίς ἐστι κατάληξις τῆς τοῦ γενικοῦ λόγου προφορᾶς.

Ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ⟨ἀδιάπτωτος προφορά⟩]. Ἐπιλαμβάνονταί τινες τοῦ ὅρου ὡς μὴ ἀρχομένου ἀπὸ εὐθείας. Καὶ ἔστιν εἰπεῖν, ὅτι ἐν ὑπερβατῷ δεῖ νοεῖν, οἷον «ἀνάγνωσίς ἐστι προφορὰ ἀδιάπτωτος» καὶ ἑξῆς. Εἰ δὲ γίνεται χωρὶς τῶν βιβλίων ἀδιάπτωτος προφορά, συμβήσεται καὶ ταύτην ἀνάγνωσιν εἶναι; Πρὸς δ λεκτέον, ὅτι ἡ τοιαύτη προφορὰ ἀνάγνωσις ⟨οὐκ⟩ ἂν λέγοιτο· οὐ γὰρ δή που ἴδιον τῆς ἀναγνώσεως τὸ ἐντυγχάνοντα λέγειν· ὁ δὲ καλῶς προφερόμενος δείκνυσιν ὅτι καλῶς ἀνέγνω· ἀνάγνωσις γάρ ἐστιν οἱονεὶ ἀναγνωρισμὸς κατὰ λόγον τῆς φωνῆς, ἤτοι ἐν τόνῳ ἢ ἐν χρόνῳ ἢ ⟨ἐν⟩ πνεύματι. Ἡ γὰρ τοιαύτη χρῆσις ἄγει καὶ πρὸς τὴν τοῦ σημαινομένου γνῶσιν, ἐξ οὗ συμβήσεται ἀναγνώρισιν εἶναι τῆς ψυχῆς· ὥστε ἀκολούθως λέγεσθαι, ὅτι τὰ μαθήματα ἀναγνωρίσματα τῆς ψυχῆς ἐστι, καὶ ἀνάγνωσις ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις· ἀθάνατος γὰρ ἡ ψυχὴ καὶ πάντων ἔμπειρος. — Ὁ δὲ ἤ παραδιαζευκτικός ἐστιν ἐνταῦθα ἀντὶ τοῦ καί, ὡς τὸ ⟨Ξ 108⟩ ἢ νέος ἠὲ παλαιός, ἀντὶ τοῦ καὶ νέος καὶ παλαιός. Ἰστέον δὲ ὅτι ὁ μὲν διαζευκτικὸς ἐν τοῖς μαχομένοις καὶ μὴ δυναμένοις κατὰ ταὐτὸν εἶναι ⟨καταγίνεται⟩, ὡς τὸ «ἢ ζῇ ἢ τέθνηκεν», ὁ δὲ παραδιαζευκτικὸς ἐν τοῖς [μὴ] δυναμένοις κατὰ ταὐτὸν εἶναι, οἷον ⟨Ξ 108⟩ ἢ νέος ἠὲ παλαιός, ἀντὶ τοῦ καὶ νέος καὶ παλαιός. — Ἄλλο δέ ἐστι ποίημα καὶ ἄλλο σύγγραμμα· ποίημα μὲν ⟨γάρ⟩ ἐστι τὸ τῶν ποιητῶν, σύγγραμμα δὲ τὸ τῶν πεζολόγων.

Ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν.] Ἰστέον ὅτι τοῦτο εἰρηκὼς ἔδειξεν ἡμῖν τρία εἴδη εἶναι τῆς ἀναγνώσεως. Ἔστι δὲ ἀνάγνωσις ἡ ἀνάπεισις, ἀναγνῶσαι δὲ τὸ ἀναπεῖσαι, ὡς παρ' Ἡροδότῳ ⟨I 87⟩ τίς σε ἀνθρώπων ἀνέγνω⟨σεν⟩ ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενον;

25—27 *cfr* Σ^m *305, 20—23* ‖ **34—474, 9** *cfr* Σ^v *171, 27—172, 9*

8 προτέρων A, πρότερον E ‖ **9** φ. ὅτι ἀν. *om* A ‖ **11** τῆς *om* A | λόγου A, γένους E ‖ **12** ἢ συγγρ. *om* A ‖ **13** ἐπιλαμβ. E, λαμβ. A ‖ **17** ὅτι] καὶ γὰρ AE ‖ **18** δὲ] γὰρ AE ‖ **23** ἀνάγνωσις ἡ E, ἀνάγνωσιν τὴν A ‖ **24** τῆς ψ. *om* A | ἀναγνώρισις E, ἀναγνώρισιν A ‖ **31** μέν A, δέ E ‖ **33** δὲ E, καὶ A ‖ **34** δὲ ἡ ἀνάγν. A ‖ **35** ἀναγνῶναι AE

ἀνάγνωcιc οὖν ἡ ἀνάπειcιc, οἱ γὰρ καλῶc ἀναγινώcκοντεc ἀναπείθουcιν· ἢ περιττή ἐcτιν ἡ ἀνά, ἀντὶ τοῦ γνῶcιc. Ὑπόκριcιc δέ ἐcτι μίμηcιc τῶν ὑποκειμένων προcώπων ἢ πραγμάτων ἢ διὰ λόγων ἢ διὰ cχήματοc· πολλάκιc γὰρ καὶ τὸ cχῆμα τοῦ cώματοc χρήcιμον πρὸc ἔμφαcιν τοῦ πράγματοc, ὡc παρ' Εὐριπίδῃ· τοῦ γὰρ Ὀρέcτου εἰπόντοc πρὸc τὸν Μενέλαον ⟨Or. 643⟩ ἃ δ' ἔλαβεc ἀπόδοc, δεῖ τὸν ὑποκρινόμενον τὸ πρόcωπον τοῦ Μενελάου ἀρνούμενον ἀνατεῖναι τὰc χεῖραc, νομίζοντα ὅτι περὶ χρημάτων ἔλεγε· διὰ τοῦτο γοῦν πάλιν Ὀρέcτηc φηcὶν ⟨644⟩ οὐ χρήματ' εἶπον. Δεῖ ⟨δὲ⟩ καὶ τὸ ἦθοc τοῦ λόγου μιμεῖcθαι, ὅταν ὡc μαινόμενον τὸν Ὀρέcτην ὑποκρίνηται καὶ τὸν Πυλάδην περιπαθῶc ἔχοντα· οὐ γὰρ ταὐτὸν ἄν τιc ὑπολάβοι ἦθοc μαινομένου καὶ περιπαθῶc διακειμένου· εἰ γὰρ μὴ κατὰ τοιοῦτον τρόπον γένοιτο τὰ τῆc ὑποκρίcεωc, οὐκ ἄν τιc διαγνοίη τὴν ἀρετὴν τοῦ ποιητοῦ.

Κατὰ προcῳδίαν.] Ἔcτι προcῳδία τόνοc φωνῆc κατὰ διάλεκτον ἢ κατὰ ἀναλογίαν κατορθούμενοc, ὡc ὅταν ⟨λέγωμεν, ὅτι⟩ τὸ ὅμοιοc ἡ μὲν ἀναλογία προπεριcπᾷ, οἱ δὲ Ἀττικοὶ προπαροξύνουcιν. Εἴρηται δὲ προcῳδία παρὰ τὸ ἐγγὺc εἶναι τῇ ᾠδῇ· ἡ γὰρ πρόc δηλοῖ καὶ πληcιαcμόν, οἷον «πρὸc τῇ ἀγορᾷ»· ᾠδὴν δὲ ὁρίζουcι λέξιν ἔμμετρον ἢ εὔρυθμον καὶ μετὰ μέλουc ἐκφερομένην· διὸ καὶ οἱ περὶ Ἀθηνόδωρον τῷ μέλει παρεικάζουcι τὴν προcῳδίαν· εἰ γὰρ ἐκ φθόγγων ποcῶν καὶ ποιῶν cυγκειμένων μέλοc εἶναί φαcι, φθόγγοι δὲ οἱ μὲν ὀξεῖc, οἱ δὲ βαρεῖc, δῆλον ὡc καὶ ἡ προcῳδία ἐκ τούτων cυνεcτῶcα τῷ μέλει πληcιάζει.

Ἰcτέον δὲ ὅτι παρ' Αἰcχύλῳ τὴν προcῳδίαν εὑρίcκομεν κειμένην 315, 25c
ἐπὶ τῆc προcφωνήcεωc, οὐ τῆc μετ' ὀργάνου φωνῆc· ⟨fr. 299 N²⟩ οὔτοι μ' ἄπειρον τῆcδε τῆc προcῳδίαc, ἀντὶ τοῦ τῶν λόγων.

Προcῳδία ἐcτὶ cημεῖον λέξεων τοῖc φωνήεcιν ἑπόμενον, διαcτολὴ δὲ cημεῖον λέξεων ὁμοῦ μὲν γεγραμμένων, μὴ ὁμοῦ δὲ νοουμένων· ἢ ἐλαχίcτη cιωπὴ λόγου· ἢ διάcτημα μεταξὺ δυοῖν λόγων βραχύτατον· ἢ τὸ μεταξὺ δυοῖν λόγων ἐν εἱρμῷ προφερόμενον. Καὶ εἴρηται διαcτολὴ παρὰ τὸ διαcτέλλειν τὸν ἐγκείμενον νοῦν, οἷον ⟨Λ 625⟩ τὴν ἄρετ' ἐκ Τενέδοιο γέρων, ὅτ' ἔπερcεν Ἀχιλλεύc· ἐὰν γὰρ πρὸ τοῦ γέρων cτίξωμεν, εὑρίcκεται τὸ γέρων ἐπὶ τοῦ Ἀχιλλέωc λεγόμενον, ὅπερ ἄτοπον. Εἰπὼν δὲ τὰ διδάcκοντα ἡμᾶc καλῶc ἀναγινώcκειν, διαλαμβάνει περὶ τῆc διαφορᾶc τῆc ὑποκρίcεωc· τὸ δὲ περὶ προcῳδίαc καὶ διαcτολῆc ὡc cαφὲc παρῆκεν.

1 καλῶc E, κακῶc A | ἀναπείθονται AE ‖ 5 τὸν *om* A ‖ 12 γὰρ — γένοιτο E, μὴ γὰρ τοιοῦτον γένοιτο τὸν τρόπον A ‖ 15 ὅταν τὸ — προπαρ. (16) E, ὅτε τὸ ὅμ. τὴν μὲν ἀναλογίαν προπεριcπ. τοὺc δὲ ἀττικοὺc προπαρο. (*sic*) A ‖ 19 *prius* καὶ *om* A ‖ 20 φθόγγου ποcὸν καὶ ποιὸν cυγκείμενον AE ‖ 25 οὔτοι *G Dindorf*, οὔτι AE ‖ 27 ἐcτὶ *om* A | διαcτ. — γεγραμμένον (28) A, *om* E ‖ 28 νοούμενον AE ‖ 29 ἐλάχιcτοc AE | δυεῖν AE ‖ 30 δυοῖν A, δυεῖν E ‖ 32 γέρων ἢ ὃν τέπερcεν A

Ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν.] Τραγῳδία ἐστὶ βίων τε καὶ λόγων ἡρωϊκῶν ἔμμετρος μίμησις ἔχουσα σεμνότητα μετὰ πλοκῆς τινος· τράγον δέ, ὥς φασιν, ἐλάμβανον ἔπαθλον οἱ νικῶντες· ἢ οἱονεὶ τρυγῳδία τις οὖσα, κατὰ μετάθεσιν τοῦ ῡ εἰς ᾱ· τρύγα γὰρ ἤγουν μοῦστον ἐλάμβανον, ὥς φασιν, ἔπαθλον· ἢ παρὰ τὸ ταραχὰς ᾄδειν, ταραχῳδία τις οὖσα.

Τραγῳδία δὲ λέγεται *etc.* = *eadem fere quae* Σ^d 17, 16—20, 12.

⟨*Heliodori.*⟩ — Ζητητέον δὲ εἰ καὶ τὰ τραγικά ἐστι βιωτικά· φαίνεται γὰρ καὶ αὐτὰ τῷ βίῳ γινωσκόμενα. Καὶ λεκτέον ὅτι πολλὴ ἡ διαφορὰ τῆς τραγῳδίας καὶ τῆς κωμῳδίας, ὅτι ἡ μὲν τραγῳδία περὶ ἡρωϊκῶν πραγμάτων καὶ προσώπων λέγει, ἡ δὲ κωμῳδία ἀπήλλακται τούτων. Ἀλλ' εἴ μοι λέγεις, ὅτι καὶ ἡ κωμῳδία ἡρωϊκὰ ἔχει πρόσωπα, ὡς οἱ Βάτραχοι Ἀριστοφάνους τόν τε Διόνυσον καὶ τὸν Ἡρακλέα, λέγω πρὸς ταῦτα, ὅτι πρῶτον μὲν κατὰ τὸ σπάνιον, ἔπειτα ⟨δὲ⟩ καὶ ἐπὶ γέλωτι ταῦτα εἰσάγει τὰ πρόσωπα· εἰσφέρει γὰρ τὸν μὲν Διόνυσον κίναιδον, τὸν δὲ Ἡρακλέα γαστρίμαργον. Καὶ ὅτι ἡ μὲν τραγῳδία τὰ τέλη περὶ σφαγῶν καὶ φόνων ἔχει, ἡ δὲ κωμῳδία περὶ ἀναγνωρισμοῦ· καὶ ὅτι πάλιν ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησιν.

Εἴρηται δὲ ἡ κωμῳδία καὶ τρυγῳδία, ὅτι μήπω προσώπων ἐπινοη-
316,4c θέντων τρυγίᾳ χρίοντες τὰς ὄψεις ἔλεγον. Καὶ εὑρέθη ἡ μὲν τραγῳδία ὑπὸ Θέσπιδός τινος Ἀθηναίου, ἡ δὲ κωμῳδία ὑπὸ Ἐπιχάρμου ἐν Σικελίᾳ, καὶ ὁ ἴαμβος ὑπὸ Σουσαρίωνος, καὶ ὁ στίχος ὑπὸ Φημονόης, ἱερείας τοῦ Ἀπόλλωνος. Διαφέρει δὲ τραγῳδία κωμῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν καὶ ἀπαγγελίαν ἔχει πράξεων γενομένων, ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων.

Τὰ δὲ ἐλεγεῖα λιγυρῶς.] Ἐλεγεῖον ἔμμετρός ἐστι στίχος. Ἐλεγεῖόν ἐστιν εἶδος μέτρου, παρὰ τὸ ἔλεγος *etc.* = Σ^v 173, 5—15.

316,8c ⟨*Heliodori.*⟩ — Ἐλεγεῖον δὲ ἐκλήθη ἀπὸ Ἐλέγου τοῦ υἱοῦ Κλειοῦς
10 τῆς Μούσης· οὗτος γὰρ ὡς ἔμελλον οἱ γάμοι γίνεσθαι αἴφνης ἐξέπνευσε· καὶ λοιπὸν πᾶσα ἡ μουσικὴ ἡ προσελθοῦσα τῷ γάμῳ, ἀντὶ τοῦ ᾄδειν καὶ χαίρειν καὶ ὀρχεῖσθαι, πάντες ἐθρήνουν μετὰ μέλους, καὶ αὐληταὶ καὶ κιθαρισταὶ καὶ ἀοιδοί, ἐκπλαγέντες ἐπὶ τῷ συμβεβηκότι τῷ Ἐλέγῳ. «Λιγυρῶς» δὲ οὐ λέγει ἡδέως, κατὰ τὸν Εὐριπίδην, ⟨fr. 1115 N[2]⟩ ἡδονὴ πανταχοῦ ἐστι καὶ πάντα δι' ἡδονῆς γίνεται, ἀλλὰ λιγὺ τὸ ὀξύ. Ὀξείᾳ δὲ τῇ φωνῇ εἰώθασι λέγειν τὰ ἐλεγεῖα· ἡ γὰρ λύπη τῇ παρατροπῇ τῆς φωνῆς ἐκ κλαυθμοῦ ὀξύτερά τινα παρεισάγει. Δεῖ δὲ

8—25 *videntur esse* Σ^h ‖ 9—25 *vide* Σ^m *306, 20—29* ‖ 23—25 = Σ^v *173, 2—4* ‖ 28—476, 6 *videntur esse* Σ^h ‖ 28—32 = Σ^m *307, 19—24* ‖ 36—476, 3 = Σ^v *173, 15—18*

3 τράγον — οἱονεὶ (4) *om* A ‖ 8 τραγικὰ οὐκ ἔστι E ‖ 9 ἡ *om* A ‖ 19 ὅτι — ἔλεγον (20) *om* E ‖ 20 τρύγα A ‖ 28 Ἐλεγεῖον — Ἐλέγῳ (32) *om* E ‖ 32 ἀοιδοί *RSchneider,* τραγῳδοὶ A ‖ 36 δὲ] γὰρ AE

ἡμᾶς ὀξέως ἀναγινώςκειν τὰ ἐλεγεῖα, ὡς ἂν ςυμπεπνιγμένους καὶ ἐκπεπληγμένους τῷ πλήθει τῶν κακῶν· ἢ «λιγυρῶς» ἤγουν γλυκερῶς, λιγύς γὰρ ὁ γλυκύς. — Ἰςτέον δὲ ὅτι ὕςτερον καὶ ἐν τοῖς ἐπιθαλαμίοις ἐχρήςαντο τοῖς ἐλεγείοις καὶ ἐν ἐγκωμίοις. — Ἰςτέον ⟨δὲ⟩ ὅτι τὸ ἒ ἒ εἰ μὲν διὰ τοῦ ε̅ ψιλοῦ γράφεται, θαυμαςτικὸν ἐπίρρημά ἐςτιν, εἰ δὲ διὰ τῆς α̅ι̅ διφθόγγου, ςχετλιαςτικόν.

Τὸ δὲ ἔπος εὐτόνως.] Τὸ ἔπος οὐκ ἀφ᾽ ἑνὸς ςτίχου δοκιμάζεται· τῆς γὰρ ἐλεγείας ὁ πρῶτος ςτίχος ἐςτὶν καὶ αὐτὸς ἑξάμετρος δακτυλικός, ἔπος δὲ οὐ λέγεται· ἔπος γὰρ καλοῦμεν, ὅταν ἑξῆς ἡρωϊκοὶ ὦςιν οἱ ςτίχοι. Καὶ εἴρηται ταῦτα ἔπη, ἐπειδὴ ἕπεται ἀλλήλοις καὶ ἀκολουθίαν τινὰ ἔχει κατὰ τὸν ἀπαρτιςμὸν καὶ τὴν ἐπιγραφὴν τοῦ ςτίχου· τέλεια γοῦν τινες ταῦτα ὠνόμαςαν ⟨τὰ⟩ μέτρα, ὅτι φανερόν ἐςτι τὸ τέλος αὐτῶν· τῶν γὰρ ἰάμβων καὶ τῶν ἄλλων οὐχ οὕτως εὐςύνοπτον τὸ τέλος.

⟨*Heliodori.*⟩ — Ἔπος δὲ κυρίως λέγεται πᾶς λόγος ἔμμετρος, καταχρηςτικῶς δὲ καὶ πᾶς λόγος· ἔπος δὲ νῦν λέγει τὸν δακτυλικὸν ςτίχον παρὰ τὸ ἕπεςθαι τοὺς πόδας ἀλλήλοις· ἕκαςτος γὰρ ποὺς τιθέμενος ἐν τῷ δακτυλικῷ ςτίχῳ τετράχρονός ἐςτι· καὶ γὰρ ὁ ςπονδεῖος καὶ ὁ δάκτυλος τέςςαρας ἔχει χρόνους, καὶ ὁ τροχαῖος δὲ ὁ τιθέμενος ἐν τῷ τέλει ἀντὶ ςπονδείου παραλαμβάνεται. Τόνος δὲ λέγεται τὸ ἔπος, καθὼς καὶ Ἡρόδοτός φηςιν ⟨cfr I 47. 62⟩ ἡ δὲ Πυθία ἐν ἑξαμέτρῳ τόνῳ χρᾷ τάδε. «Εὐτόνως» δὲ οὐ μετὰ τόνου, ἀλλὰ μετὰ δυνάμεως· τόνος γάρ ἐςτιν ἡ δύναμις· ἐπείπερ τινὲς ἀναγινώςκοντες μαλακύνουςιν ἑαυτῶν τὰς φωνάς, οὐ δεῖ δὲ μαλθακῇ τῇ φωνῇ ἡρώων πράξεις προάγεςθαι. — Ἔπος δὲ παρὰ τὸ ἕπεςθαι ⟨τῷ μέτρῳ⟩, ὅλου τοῦ ςωματίου ἐξ ἡρωϊκοῦ ςυγκειμένου.

Τὴν δὲ λυρικὴν ποίηςιν ἐμμελῶς.] Ἔςτι *etc.* = Σ^{d} 21, 12—16. — Εἴρηται δὲ *etc.* = *similia atque* Σ^{v} 173, 29—174, 4.

⟨*Heliodori.*⟩ — «Ἐμμελῶς» δὲ εἶπεν, ὅτι δεῖ μετὰ μέλους τοῦ προςήκοντος ᾄδειν τὰ λυρικά· ὅπερ νῦν ἡμῖν ἀδύνατον· εἰ μὲν γάρ τις ἐθελήςει κατὰ τὴν ἀρχαίαν μουςικήν, καθ᾽ ἣν καὶ ἐγέγραπτο, ἀδύνατον, ἑτέρα γὰρ ἡ ἀρχαία πρὸς τὴν νῦν· ἡ μὲν γὰρ εἰς τρεῖς τρόπους διήρητο, Δώριον, Φρύγιον, Λύδιον, ἡ δὲ νεωτέρα εἰς δεκαπέντε· πῶς ἂν οὖν τις δύναιτο κατὰ τὴν ἀρχαϊκὴν ἁρμονίαν γεγραμμένα μέλη κατὰ τὴν νῦν μελῳδίαν ᾄδειν; ὥςτε ἀδύνατον τὸ τοιοῦτον ἐν γραμματικῇ διὰ

15—26 *videntur esse* Σ^{h}; *cfr* Σ^{v} *173, 19—27* ‖ **29—478, 8** *videntur esse* Σ^{h}

3 γὰρ καὶ ὁ A ‖ **6** *post* ςχετλ. *add* αἶ αἶ A ‖ **9** ἔπη γὰρ A ‖ **10** οἱ *om* A | ἐπειδὴ — αὐτῶν (13) *om* E ‖ **11** ἔχει τῆς κατὰ A | τῆς ἐπιγραφῆς A ‖ **12** ὅτι ὅπερ φαν. A ‖ **20** ἀντὶ τοῦ ςπ. A ‖ **22** χρᾶται τοῖςδε AE | δὲ] γὰρ AE | τόνος *RSchneider,* τάςις AE ‖ **25** ὅλου τοῦ ςωματικοῦ A, ὅλω τῶ ςωματικῶ E ‖ **26** ςυγκείμενον AE ‖ **29** Ἐμμ. — ᾄδειν (35) *om* E | ἐμμέτρως δὲ A | **31** ἔγραπτο A

τὸ γεγενῆcθαι μεταβολὴν τῆc ἁρμονικῆc· οὐ μὴν πάντωc ἄδηλοc ἔcται ὁ τρόποc τῆc ἀναγνώcεωc, ἀλλὰ διαφορά τίc ἐcτι περὶ τοῦτο τὸ ἀνάγνωcμα τῆc φωνῆc ὡc πρὸc τὰ μέλη ὑπαγομένοιc.

Τοὺc δὲ οἴκτουc ὑφειμένωc καὶ γοερῶc.] Ταὐτόν ἐcτιν οἶκτοc καὶ ἐλεγεῖον· «ὑφειμένωc» δὲ λέγεται τὸ ἠρέμα πωc θρηνεῖν· «γοερῶc» ταπεινῶc, οἰκτρῶc, πρὸc τὸ ἐλεεῖcθαι ὑπὸ τῶν ἀκουόντων. Εἰcὶ γάρ πώc τινα π. *etc.* = Σ^{d} 21, 23—27. Ἔοικε δέ τιcι κακῶc εἰρηκέναι· ὁ γὰρ οἶκτοc οὐκ εἶδόc ἐcτι μέτρου· ἐβούλετο δὲ ἐν τῇ τῶν μέτρων διαφορᾷ διάφορον εἶναι τὴν ἀνάγνωcιν· εὑρίcκομεν δὲ καὶ ἐν μέλεcιν οἴκτουc καὶ ἐν ἐλεγείαιc καὶ ἐν παντὶ μέτρῳ, ἀλλὰ μὴν καὶ παρὰ ῥήτορcιν. Λεκτέον οὖν, ὅτι κοινότερον κατὰ πάντων ἐπήγαγε τοῦτο, ὅτι δεῖ τὰ θρηνώδη, ὁποίῳ ἂν ᾖ τρόπῳ γεγραμμένα, ὑφειμένωc τῇ φωνῇ προφέρεcθαι. Τοιοῦτοι γὰρ οἱ λυπούμενοι· cτενάζοντεc καὶ ὑπὸ τοῦ πάθουc κινούμενοι καὶ μείζονα ἐπιχειροῦcι φθέγγεcθαι καὶ ἀθροῦν τὸ πνεῦμα προΐενται, εἶτα καθ' ὕφεcιν ἠρέμα καὶ διαναπαύουcι τὴν φωνήν.

Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρηcιν.] Ἡ παρά πληcιαcμὸν δηλοῖ, ἵνα ληφθῇ οὕτωc· «τὰ γὰρ μὴ ἐγγὺc γινόμενα τῆc τούτων παρατηρήcεωc»· ἢ ἀντὶ τῆc κατά· καὶ λείπει «ἀναγνώcματα», ἵν' ᾖ «τὰ γὰρ μὴ γινόμενα κατὰ τὴν τούτων παραφυλακὴν ἀναγνώcματα»· ἢ ἀντὶ τῆc ἐν, ἵν' ᾖ οὕτω· «τὰ γὰρ μὴ ἐν τῇ τούτων παρατηρήcει γινόμενα καὶ τὰc τῶν ποιητῶν ἀρετὰc ἀφανίζει». Ἐπεὶ γὰρ ἡ ὑπόκριcιc ἐν cχήματι cώματοc καὶ ἤθουc τοῦ λόγου καὶ ⟨τῆc⟩ φωνῆc ποιότητι ἐμφαντική ⟨ἐcτι⟩ τῶν τῆc ψυχῆc παθημάτων, [καὶ] διὰ τοῦτο ὀρθῶc μὲν προφερομένη cῴζει τοῦ ποιητοῦ τὴν ἀρετήν, δείκνυcι δὲ τῶν λεγομένων τὸ ἀκριβέc· εἰ δὲ μὴ οὕτω γένηται, διαφθαρήcεται τοῦ ποιητοῦ ἡ ἀρετή. Καλῶc δὲ εἶπε «καταγελάcτουc παρίcτηcιν»· ἀρκεῖ γὰρ τοῖc ἀπαιδεύτοιc ἀλόγωc προφερομένοιc τὰ μαθήματα πρὸc τιμωρίαν ὁ παρὰ τῶν ἀνθρώπων κατ' αὐτῶν γινόμενοc γέλωc. — Ἐπειδὴ δὲ πρὸc Ὁμηρίδαc καὶ νέουc ἡ τέχνη πεποίηται, περιcπωμένωc ἀναγνωcτέον τὸ ῥιπτεῖ· αὐτὸc γάρ φηcι ⟨ν 78⟩ ἀνερρίπτουν ἅλα πηδῷ· πᾶc γὰρ παρατατικὸc εἰc οῦν λήγων ἀπὸ περιcπωμένου θέματόc ἐcτιν, οἷον ἐποίουν, εἰ δὲ εἰc ον, ἀπὸ βαρυτόνου, ὡc ἔλεγον.

Διὰ τί περὶ ἀναγνώcεωc προθέμενοc διαλαβεῖν οὐ διέλαβε περὶ ⟨τοῦ⟩ ἀνειμένου τρόπου, καθ' ὃν ἀναγινώcκομεν τὰ cυγγραφικά; Ἐπειδὴ cκοπὸν ἔcχε περὶ ἀναγνώcεωc ἁρμοζούcηc τῇ γραμματικῇ διαλαβεῖν — περὶ γραμματικῆc γὰρ ἔγραψε τὸ cύγγραμμα — τούτου χάριν περὶ τοῦ ἀνειμένου τρόπου οὐ διέλαβεν, ἐπειδὴ αὕτη ἡ ἀνάγνωcιc οὐχ ἁρμόζει τῇ γραμματικῇ, ἀλλὰ τῇ ῥητορικῇ.

26—28 = Σ^{v} *174, 22—24*

3 ὑπαγομένουc AE ‖ **7** δέ τιcι] δὲ τούτοιc AE ‖ **14** ἄθρουν AE ‖ **16** τὴν *om* E ‖ **23** καὶ διά — γέλωc (**28**) *om* E ‖ **24** ὀρθὴ A ‖ **28** γινόμενοc C, γενόμενοc A

Σκοπὸς τῷ τεχνογράφῳ τὸ πρῶτον μέρος τῆς γραμματικῆς, λέγω δὴ τὸ ἀναγνωστικόν, εἰσηγήσασθαι τοῖς νέοις· τοῦτο δὲ εἰς τρία διήρηται παρ' αὐτῷ, εἴς τε ὑπόκρισιν καὶ προσῳδίαν καὶ διαστολήν. Καὶ τὴν μὲν ὑπόκρισιν ἤδη ἐδιδάχθημεν· εὔλογον δὲ ἦν ἡμᾶς τὸν περὶ ἀναγνώσεως λόγον τέλειον διαλαβεῖν καὶ γνῶναι, πῶς ἀναγνωστέον καὶ κατὰ προσῳδίαν καὶ κατὰ διαστολήν· εἰκότως τοίνυν καὶ περὶ τόνου καὶ ⟨περὶ⟩ στιγμῆς αὐτῷ γέγραπται, ἐπειδὴ προσῳδία μέν ἐστιν ὁ τόνος, διαστολὴ δὲ ἡ στιγμή.

§ 3.

Περὶ τόνου.

⟨*Heliodori.*⟩ — **Τόνος ἐστὶν ἀπήχησις φωνῆς ἐναρμονίου.**] Τῶν φωνῶν αἱ μέν εἰσιν ἄναρθροι καὶ ἀγράμματοι, αἱ δὲ ἔναρθροι καὶ ἐγγράμματοι, ⟨αἱ δὲ ἔναρθροι καὶ ἀγράμματοι, αἱ δὲ ἄναρθροι καὶ ἐγγράμματοι⟩. Καὶ ἄναρθροι μέν εἰσι καὶ ἀγράμματοι, ὡς ἐπὶ τοῦ ἤχου τοῦ πυρός· οὗτος γὰρ καὶ ἄναρθρος, καθὸ οὐκ οἴδαμεν τί σημαίνει, καὶ ἀγράμματος, καθὸ οὐ δύναται γραφῆναι· ἔναρθροι δὲ καὶ ἐγγράμματοι, ὥσπερ λαλοῦμεν ἡμεῖς· αὗται γὰρ αἱ φωναὶ καὶ ἔναρθροι, καθὸ οἴδαμεν τί σημαίνουσι, καὶ ἐγγράμματοι, καθὸ γράφονται· ἔναρθροι δὲ καὶ ἀγράμματοι, ὥσπερ οἱ συριγμοί· οὗτοι γὰρ ἔναρθροι, καθὸ σημαίνουσί τι, ὡς καὶ ὁ ποιητὴς ⟨K 502⟩ ῥοίζησεν δ' ἄρα πιφαύσκων Διομήδεϊ δίῳ, ἀγράμματοι δέ, καθὸ οὐ γράφονται· ἄναρθροι δὲ καὶ ἐγγράμματοι, ὡς ἐπὶ τῶν μιμήσεων τῶν φωνῶν τῶν ἀλόγων ζῴων, ⟨Arist. Ran. 209⟩ βρεκεκεκὲξ [σκινδαψός]· αὗται γὰρ ἄναρθροι μέν, καθὸ οὐκ οἴδαμεν τί σημαίνουσιν, ἐγγράμματοι δέ, καθὸ γράφονται. Ἀλλ' αἱ μὲν σημαντικαί τινος, εἴτε ἀγράμματοι εἴτε ἐγγράμματοι, ἀπὸ νοῦ καὶ διανοίας φέρονται. Γίνεται δὲ ἡ φωνὴ ἐκ τοῦ πνεύματος πλήττοντος τὸν ἀέρα, πλήττει δὲ τῷ τόνῳ προϊόν· τόνος δέ ἐστιν ἡ τάσις τοῦ πνεύματος· ὥστε οὐχ οἷόν τε φωνὴν γενέσθαι χωρὶς τόνου. Διὸ πᾶσα συλλαβή, ἐπεὶ συντελεῖ πρὸς τὴν ἐναρμόνιον φωνήν, τόνον ἐπιδέξεται· καὶ ἡ μέν τις ὀξύνεται, ἡ δὲ τὸν ὁμαλισμὸν ποιεῖ, ἡ δὲ τὸν ἐξ ἀμφοτέρων συγκείμενον τόνον περισπώμενον. Χρὴ τοίνυν ἕνα τούτων τῶν τριῶν τόνων ἐπισκοπεῖσθαι ἐν ἑκάστῃ συλλαβῇ, ὥστε ἔνθα μήτε ὀξεῖα μήτε περισπωμένη ἐστίν, ἐκεῖ πάντως κείσεται ἡ βαρεῖα. Διὸ καὶ βαρύτονα καλοῦμεν ὀνόματά τε καὶ ῥήματα, ἐφ' ὧν αἱ βαρεῖαι κατὰ τὸ τέλος κεῖνται, οἷον ὡς ἐπὶ τοῦ ῥήματος τὸ τύπτω βαρύτονον ἀλλ' οὐ παροξύτονον καλεῖται, ἐπειδὴ ἡ βαρεῖα ἐν τῷ τέλει ἔπεσεν· ἀπὸ γὰρ τοῦ τέλους τοὺς τόνους κανονίζομεν· διὰ τοῦτο γοῦν ὀξύτονα καὶ βαρύτονα καλοῦμεν τὰ ἐπὶ τέλους

12—479, 5 *videntur esse* Σ^h || **12—24** *cfr* Σ^v *181, 18—27;* Σ^m *310, 24—36*

2 δὴ E, δὲ A || **13** αἱ δὲ ἔν. — ἐγγρ. *om* AE || **20** πιφάσκων AE || **22** βρεκέκεξ A || **28** φωνὴν E, φωνὴ A || **30** ὁμαλὸν AE || **33** κείσεται A, συγκείσεται E | τε *om* A || **34** τοῦ *om* A || **35** τὸ *om* A

ἔχοντα τούτους τοὺς τόνους, οἷον σοφοί φίλοι. Τόνος δέ, φησίν, ἐστὶ τῆς φωνῆς τῆς ἐναρμονίου ἀπήχησις. Φωνὴν δὲ ἐναρμόνιον καλοῦμεν τὴν τοῦ ἀνθρώπου, ἐναρμόνιον δὲ τὴν ἐγγράμματόν τε καὶ στοιχειώδη, ἁρμονία γάρ τις καὶ τάξις ἐν τῇ συνθέσει τῶν στοιχείων φαίνεται· ἡ δὲ τῶν ἀλόγων φωνὴ οὐ τοιαύτη.

Τῶν δὲ τόνων γνήσιοι μέν εἰσιν *etc.* = Σ^{v} 175, 34—176, 14.

⟨*Heliodori.*⟩ — Ἡ δὲ περισπωμένη σύνθετός ἐστι καὶ περιλαμβάνει τῇ φωνῇ τὰς δύο ἀπηχήσεις· διὸ ἐπὶ μὲν βραχειῶν οὐ τίθεται, ἀλλ' ἐπὶ μακρῶν μόνον τῶν αὐτὴν δέξασθαι δυναμένων· ἡ γὰρ ποιὰ τάσις αὐτῆς ἀμφοτέρων τῶν ἀπηχήσεων λαβοῦσα τὴν δύναμιν πρόσφορός ἐστι ⟨μόνῃ⟩ τῇ μακρᾷ συλλαβῇ, ἐπεὶ πολλάκις ἡ μακρὰ συλλαβὴ σύγκειται ἐξ ὀξείας καὶ βαρείας, συνέστηκε δὲ καὶ ἡ περισπωμένη ἐξ αὐτῶν· καὶ δῆλον ὅτι μικτὴ οὖσα καὶ φύσιν λαβοῦσα ἐπιτίθεσθαι ταῖς μακραῖς, ἐκπέφευγε τὸ ἐπικεῖσθαι ταῖς βραχείαις.

Ἡ κατὰ ἀνάτασιν.] Οὐκ ἔστιν ἐνταῦθα τὸ ῆ διαζευκτικὸς σύνδεσμος, ἀλλὰ ἄρθρον.

Ἡ κατὰ περίκλασιν.] Περίκλασις φωνῆς *etc.* = Σ^{d} 23, 14—18.

§ 4 (4 et 5b).

⟨Περὶ στιγμῆς.⟩

Σκοπὸν ἔχων ὁ τεχνικὸς εἰσαγωγικὴν γράφειν τέχνην ἀποφεύγει τῶν προσῳδιῶν τὰ δυσχερῆ, τουτέστι τὸ πνεῦμα, τὸν χρόνον, τὰ πάθη· ἐπεὶ γὰρ ὁ περὶ τούτων λόγος πολὺς ἦν καὶ πολλῶν θεωρημάτων δεόμενος, ἦν δὲ αὕτη ἡ διδασκαλία πρὸς παῖδας, ἀναγκαίως καὶ αὐτὸς παρῆκεν. — Στιγμὴ δὲ καὶ διαστολὴ ταὐτὸν σημαίνει, καὶ παρὰ τὴν αὐτὴν ἔννοιαν ἀμφότεραι ὠνομάσθησαν· διαφέρει δέ, ὅτι ἡ μὲν στιγμὴ τὴν φωνὴν διίστησιν, ἡ δὲ διαστολὴ ἅμα τῇ φωνῇ καὶ τὰς διανοίας. — Στιγμαὶ δέ εἰσι τρεῖς, τελεία, μέση, ὑποστιγμή. Καὶ τελεία μέν ἐστιν ὅτε τῆς περιόδου τέλειον καὶ ἀπηρτισμένον ἐστὶ τὸ ἐνθύμημα, οἷον ⟨ex. gr. A 84⟩ τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· τέλειον γὰρ ἄχρι τούτου τὸ νόημα· τίθεται ⟨δὲ⟩ ἐπὶ κεφαλῆς τοῦ γράμματος. Ἡ δὲ μέση καὶ ἀπὸ τοῦ ὀνόματός ἐστι φανερά· μέσην γὰρ δύναμιν ἐπέχοντος τοῦ νοήματος καὶ τὴν ἐπαγωγὴν ἔχοντος ἐπὶ μέσου τίθεται, οἷον ⟨A 23⟩ αἰδεῖσθαί θ' ἱερέα, οὐ κρεμαμένου τοῦ νοήματος οὐδὲ τὸ ἀτελὲς ἐμφαίνοντος, ὅπερ πέπονθεν ἡ ὑποστιγμή· ἐκεῖ γὰρ ὥσπερ ἐπιζητεῖ τὸ λεῖπον· διὸ καὶ ὑποκάτω τοῦ γράμματος

7—16 *videntur esse* Σ^{h} ‖ **7—14** *cfr* Σ^{m} *311, 25—34* ‖ **15 seq** = Σ^{m} *311, 6 seq* ‖ **20—24** = Σ^{v} *176, 19—23* ‖ **25—26** = Σ^{v} *178, 4—6* ‖ **35—480, 2** = Σ^{m} *313, 30—32*

3 *prius* τὴν *om* A | τοῦ *om* E ‖ **4** συνθέσει] συνή^θ A, συνηθεία E ‖ **13** ἐκπέφυγε A ‖ **15** ἀνάστασιν AE | τὸ] ὁ AE ‖ **21** προσῳδιῶν] τόνων AE ‖ **24** παρὰ A, περὶ E ‖ **33** μέσου] μέσης AE ‖ **34** οὐδὲ — ἐμφαίν. *om* E

κεῖται, ἐμφαίνουcα τὴν δύναμιν, καὶ ἡ τελεία ἄνω, ὥcπερ ἀναπαύουcα τὸ πνεῦμα.

Τίνι δὲ διαφέρει τελεία cτιγμὴ ὑποcτιγμῆc; τὸ γὰρ ζητεῖν περὶ τῆc μέcηc ἄτοπον, αὐτόθεν γὰρ φανερά· τοῦτο δὲ ζητητέον, ἐπειδὴ οὐ ταὐτὸν τὸ λεῖπον τῷ τελείῳ. Διαφέρει δὲ ταῦτα ἀλλήλων, φηcί, χρόνῳ. Οὐχὶ γὰρ καὶ ἡ μέcη διαφέρει χρόνῳ τούτων; Πρὸc ὃ λεκτέον, ὅτι ἐὰν μή τιc ἐπαγάγῃ τῇ μέcῃ τὸ ἑξῆc, τελεία ἂν γένοιτο, καὶ οὐκ ἀνάγκη ἐπιζητῆcαι τὸ ἑξῆc· ἡ δὲ ὑποcτιγμὴ δεῖται πάντωc. Πῶc δὲ καὶ ποίῳ χρόνῳ διαφέρει; χρόνουc γὰρ ἴcμεν μακρὸν καὶ βραχύν, τοῦτο δὲ οὐκ ἔcται ἐν ταῖc cτιγμαῖc. Χρόνον τοίνυν λέγει τὸ διάcτημα τῶν νοημάτων· καὶ γὰρ καὶ οἱ χρόνοι ἐκεῖνοι ἐν διαcτήμαcι· τιθεμένηc τοίνυν τῆc τελείαc ἐπίμηκεc τὸ ἐπιφερόμενον νόημα, τῆc δὲ ὑποcτιγμῆc, βραχὺ τὸ λεῖπον.

Διὰ ⟨τί⟩ δὲ τῆc τελείαc καὶ τῆc ὑποcτ. *etc.* = Σ^{v} 178, 18—179, 1.

§ 5 (6b).

Περὶ ῥαψῳδίαc.

Οὐ προcηκόντωc ἐνταῦθα κεῖται *etc.* = Σ^{m} 314, 18—31.

⟨*Heliodori.*⟩ — Ῥαψῳδίαν δὲ εἶναι λέγουcιν τὴν ἐκ διαφόρων τό- 316, 18c
πων Ὁμηρικῶν ἐρραμ⟨μ⟩ένην ᾠδήν· οἷόν τιναc ἂν εἴποι λόγουc ἡ Ἠχὼ τοῦ Πανὸc αὐτὴν καταδιώκοντοc·

⟨θ 306⟩ Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρεc θεοὶ αἰὲν ἐόντεc,
⟨θ 307⟩ δεῦρ᾽, ἵν⟨α⟩ ἔργα γελαcτὰ καὶ οὐκ ἐπιεικτὰ ἴδητε·
⟨Ζ 165⟩ ὅc μ᾽ ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούcῃ,
⟨Δ 109⟩ τοῦ κέρα ἐκ κεφαλῆc ἑκκαιδεκάδωρ⟨α⟩ πεφύκει.
⟨Ε 429⟩ ἀλλὰ cύγ᾽ ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
⟨Γ 24⟩ εὑρὼν ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα.

Ἀλλ᾽ εἰ τοῦτο ἦν ἀληθέc, αὐτὰ ἂν μόνα ἐκαλεῖτο ῥαψῳδία, καὶ οὐκέτι τὰ κατὰ τάξιν Ὁμήρου. Εἴρηνται δὲ τὰ τοιαῦτα κέντρωνεc· καὶ ὥcπερ κέντρων λέγεται περιβόλαιον τὸ ἐκ διαφόρων ῥακῶν cυγκείμενον,
οὕτω καὶ τὰ ἐκ διαφόρων ἐπῶν cυγκείμενα νοήματα κέντρωνεc κα- 30
λοῦνται.

Ῥαψῳδία ἐcτὶ μέροc ποιήματοc.] Κακῶc ἔφη τὴν ῥαψῳδίαν μέροc ποιήματοc· ἔδει γὰρ εἰπεῖν μέροc ποιήcεωc· ποίηcιc γὰρ λέγεται ἡ Ἰλιάc, ἡ Ὀδύccεια, ποίημα δὲ ἡ ῥαψῳδία· μέροc δὲ τῆc ποιήcεώc ἐcτιν ἡ ῥαψῳδία, οὐ μὴν τοῦ ποιήματοc· πῶc γὰρ δύναται εἶναι ῥα-

---

18—31 *videntur esse* Σ^{h} (*collatione codicis* E *hic caremus*) ‖ **32—481, 8** *cfr* Σ^{m} *315, 2—20*

6 Οὐχὶ — τούτων *om* E ‖ **8** πάντωc A, πάντων E ‖ **21** ἦδε θεοὶ (*om* ἄλ. μάκ.) A ‖ **22** δεῦρ᾽ A, δεῦθ᾽ *edd. Hom.* ‖ **23** ὅc μ᾽ ἐθέλων ἐν φ. A ‖ **28** κεντρῶνεc A; *item v. 30* ‖ **29** κεντρῶν A ‖ **30** τὰ *post* ἐπῶν *transp.* A

ψῳδία μέρος τῆς ῥαψῳδίας; Φαμὲν οὖν ὅτι ὡς πρὸς τὴν γενικωτάτην ποίησιν ποίημα ἂν εἴη πᾶσα ἡ Ἰλιάς, μέρος δὲ ποιήματος ἡ ῥαψῳδία. Καὶ ἔστιν ὁ νοῦς οὕτως· ῥαψῳδία ἐστὶν ἀπόκομμα ποιήματος περιλαβὸν καὶ ἐν ἑαυτῷ ἔχον ὀλίγην τινὰ καὶ μικρὰν περιπέτειαν, ὡς ἡ Α ἔχει ὀργὴν Ἀχιλλέως, ἡ Β ἀπάτην ὀνείρου, ἡ δὲ Γ Ἀλεξάνδρου καὶ Μενελάου μονομαχίαν. Καλῶς δὲ ἔφη τὴν ῥαψῳδίαν μέρος ποιήματος· ποίημα γὰρ ἡ Ἰλιάς, καὶ ποίημα ἕτερον ἡ Ὀδύσσεια, τὸ δὲ συναμφότερον ποίησις, ἡ δὲ ῥαψῳδία μέρος ποιήματος. Ἔστι δὲ ποίημα φράσις ἔμμετρος καὶ ἔρρυθμος, ἀρχαιοτέρα καὶ σεμνοτέρα τῆς λογικῆς συντάξεως, κατὰ τῶν ὑποκειμένων πραγμάτων ἢ ὡς ὑποκειμένων τιθεμένη, ὑποκειμένων ⟨μὲν⟩ θείων τε καὶ ἀνθρωπίνων, ὡς ὑποκειμένων δέ, οἷον Σκύλλης, Χιμαίρας καὶ τῶν ὁμοίων. Ποιητικὴ μὲν λέγεται ἡ ἕξις, ποιητὴς δὲ ὁ μετέχων ⟨ποιητικῆς⟩, ποίημα ⟨δὲ⟩ ὁ στίχος καὶ τὸ σύνταγμα τὸ ἐν τῷ αὐτῷ ἀρχὴν καὶ τέλος ἔχον, ὁποῖόν ἐστι τὸ Κ τῆς Ἰλιάδος, ἡ νυκτεγερσία· ποίησις δὲ ἥτις ἀρχὴν μὲν οὐκ ἔχει ἐν τοῖς προτέροις, τὸ δὲ νόημα ἐν τοῖς ἐχομένοις ἀποτελεῖ.

Φασὶ δὲ ὡς ἀπώλοντο τὰ τοῦ Ὁμήρου· τότε γὰρ οὐ γραφῇ παρεδίδοτο, ἀλλὰ μόνῃ διδασκαλίᾳ καὶ ὡς ἂν μνήμῃ μόνῃ ἐφυλάττετο· καὶ ᾔδει ὁ μὲν τυχὸν ἑκατὸν στίχους, ὁ δὲ πεντήκοντα, ἄλλος δὲ ὅσους ἂν ἔτυχε· καὶ ἤμελλε λήθῃ παραδίδοσθαι ἡ τοιαύτη ποίησις. Ἀλλὰ Πεισίστρατος θέλων καὶ ἑαυτῷ δόξαν περιποιήσασθαι *etc.* = Σ^{d} 29, 23 — 30, 24.

Εἴρηται δὲ ῥαψῳδία οἱονεὶ ῥαβδῳδία τις οὖσα.] Ῥαβδῳδία τις οὖσα τὸ πρότερον ῥαψῳδία ἐκλήθη κατὰ μεταβολὴν τοῦ βδ εἰς ψ· συγγενῆ γὰρ ἀλλήλοις τὰ στοιχεῖα. Ῥάβδον δὲ δαφνίνην κατέχοντες ᾖδον τὰ Ὁμηρικὰ ἔπη· ἢ διὰ τὸ ἀειθαλὲς τοῦ φυτοῦ *etc.* = Σ^{m} 316, 2—19.

Φέρεται ἔν τισιν ἱστορίαις περὶ τῆς τοῦ Ὁμήρου ποιήσεως οὕτως, ὅτι τῷ ἐν βασιλεῦσι γενναιοτάτῳ Ἀλεξάνδρῳ προσήνεγκάν τινες Ἰνδῶν βασιλεῖς κιβώτιον πάνυ ὡραῖον ὡς δῶρον ἐκ λίθων πολυτίμων καὶ μαργάρων κατεσκευασμένον. Ἰδὼν οὖν ὁ βασιλεὺς καὶ καταπλαγεὶς τὴν παμποίκιλον καὶ πολύτιμον τοῦ κιβωτίου κατασκευὴν εἶπε· τί ἄρα ὀφείλω τηρεῖν ἔσωθεν τούτου, ὥστε εἶναι τιμιώτερον τῆς τοιαύτης κατασκευῆς; Ἔκρινεν οὖν ἐν ἑαυτῷ, ὡς οὐδὲν ἄλλο ἐν βίῳ τιμιώτερον τῶν Ὁμηρικῶν βιβλίων· καὶ οὕτως αὐτὰ συλλεξάμενος ἐνέθηκεν ἐν αὐτῷ καὶ ἐσφράγισεν.

8—12 = Σ^{v} *180, 4—7* ‖ **12—16** = Σ^{v} *179, 28—180, 3* ‖ **23—25** = Σ^{m} *315, 23—25*

4 τινὰ *add* E ‖ **5** ἡ δὲ Γ — μονομ. (**6**) *add* E ‖ **6** δὲ] γὰρ AE | ποίημα — ποιήματος (**8**) *om* E ‖ **10** πραγ. ἢ ὡς ὑποκ. *add* E ‖ **11** δέ, οἷον] θείων τε καὶ ἀνθρωπίνων οἷον E, *om* A ‖ **12** ἕξις E, λέξις A ‖ **25** δαφνίνην E, δάφνης A ‖ **28—34** *in marg. add* A *eadem ut videtur manu quae reliqua scripsit*, *om* E ‖ **34** αὐτὴν A

§ 6 (7b).

Περὶ φωνῆς.

⟨*Heliodori.*⟩ — Ἐπειδὴ ἐκ τῆς φωνῆς τὰ στοιχεῖα συνίστανται, 316, 31 c στοιχεῖον δέ ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή, ἀναγκαῖον ἡμᾶς περὶ φωνῆς πρῶτον διαλαβεῖν. Διογένης ὁ Βαβυλώνιος τὴν φωνὴν οὕτως ὁρίζεται· «φωνή ἐστιν ἀὴρ πεπληγμένος ἢ τὸ ἴδιον αἰσθη- 317c τὸν ἀκοῆς»· ἀλλ' ἐπειδὴ ὁ ἀὴρ σῶμά ἐστιν, ὁ δὲ Πλάτων τὴν φωνὴν οὐ δοξάζει σῶμα, δεῖ λέγειν τὸν ὅρον οὕτως· «πληγὴ ἀέρος ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς». Εἰσὶ δέ τινες λόγοι δεικνύντες τὴν φωνὴν ἀσώματον· καὶ ἔχουσιν οὕτως· τῶν πραγμάτων τὰ μὲν ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι, τὰ δὲ ἐν τῷ γεγονέναι· ⟨εἰ⟩ ἄρα οὖν ἡ φωνὴ ἐν τῷ γίνεσθαι ἔχει τὴν ὕπαρξιν καὶ μετὰ ταῦτα οὐχ ὑφίσταται, δῆλον ὅτι οὐκ ἔστι σῶμα.

Ὁ δὲ Ἐπίκουρος καὶ ὁ Δημόκριτος καὶ οἱ Στωϊκοὶ σῶμά φασι τὴν φωνήν. Πᾶν ⟨γὰρ⟩ ὃ δύναται δρᾶσαι καὶ παθεῖν σῶμά ἐστιν, ὥσπερ ὁ σίδηρος· πάσχει μὲν γὰρ οὗτος ὑπὸ πυρός, δρᾷ δὲ εἰς ἀνθρώπους ἢ εἰς ξύλα· εἰ ἄρα καὶ ἡ φωνὴ καὶ δρᾷ καὶ πάσχει, σῶμά ἐστι· καὶ δρᾷ μέν, ἡνίκα ἀκούοντες ἡμεῖς ἢ φωνῆς ἢ κιθάρας πρὸς τέρψιν ἐρχόμεθα, πάσχει δέ, ὡς ὅταν φωνούντων ἡμῶν ἄνεμος πνεύσῃ καὶ ποιήσῃ ἧττον ἀκούεσθαι τὴν φωνήν. — Ἔτι καὶ οὕτως ἀποδείκνυται σῶμα· πᾶν αἰσθητὸν σῶμά ἐστιν, οἷον τὸ ξύλον, ὁ λίθος· ταῦτα γὰρ αἰσθητά εἰσιν, ὑποπίπτουσι γὰρ τῇ ὁράσει· εἰ ἄρα οὖν καὶ ἡ φωνὴ αἰσθητόν, ὑποπίπτει γὰρ τῇ ἀκοῇ, δῆλον ὅτι σῶμά ἐστιν. — Ἔτι ἴδιόν ἐστι σώματος τὸ ποτὲ μὲν αὐξάνεσθαι, ποτὲ δὲ λήγειν, οἷον ὡς ἐπὶ τοῦ δένδρου· τοῦτο γὰρ αὔξεται καὶ λήγει τεμνόμενον· εἰ ἄρα οὖν καὶ ἡ φωνὴ καὶ αὔξεται καὶ λήγει, δῆλον ὅτι σῶμά ἐστι· καὶ αὔξεται μέν, ὡς ἐπὶ τῶν παίδων, ὧν ἡ φωνὴ βραχεῖά ἐστι μικρῶν ὄντων, αὐξηθέντων δὲ μεγάλη· λήγει δέ, ὅταν ἀσθενήσαντός τινος ἀσθενοῦσα καὶ αὕτη μειωθῇ. — Ἔτι πᾶν τὸ ἀντιτυποῦν σῶμά ἐστιν, ὡς ἐπὶ τοῦ λίθου· καὶ γὰρ ἁπτομένων ἡμῶν τούτου ἀντιτυπία γίνεται — ἀντιτυπία δὲ λέγεται ὅταν εὑρεθῇ τι προσκροῦον —· εἰ ἄρα καὶ ἡ φωνὴ ἀντιτυπεῖ προσκρούουσα ταῖς ἀκοαῖς — καὶ γὰρ ἡ φωνὴ προσκρούουσα ταῖς ἀκοαῖς ἐξάκουστος γίνεται —, δῆλον ὅτι σῶμά ἐστιν.

3—483, 10 = Σ^{ϑ} *14, 29—16, 19; videntur esse* Σ^{h} ‖ 3—12 *cfr* Σ^{v} *181, 1—17*

3 δὲ ἐκ A ‖ 4 δέ Σ^{ϑ}, γάρ AE ‖ 5 τὴν φωνὴν *om* A ‖ 7 *cfr Gellius, N. A. V 15* ‖ 8 δεῖ λέγειν] δὲ λέγει AE, λέγει Σ^{ϑ} ‖ 9 δέ *om* A ‖ 10 ἔχουσιν Σ^{ϑ}, ἔχει AE ‖ 12 δῆλον οὖν ὅτι E ‖ 14 ὅτι πᾶν ὃ ἔχει ἐνέργειαν καὶ πάθος, ἤγουν δύναται Σ^{ϑ} ‖ 15 γὰρ *om* A ‖ 18 ὅταν AΣ^{ϑ}, ὅτε E | πνεύσει AE ‖ 19 ποιείσει A, ποιήσει E ‖ 20 τὸ *et* ὁ *om* A ‖ 21 γὰρ E, δὲ A ‖ 27 ὅταν E, ὅτε A ‖ 28 Ἔτι — ἐστιν (32) *om* E | ἀντιτυποῦν Σ^{ϑ}, τυποῦν A ‖ 30 ὅταν Σ^{ϑ}, ἵνα A ‖ 31 ἀκοαῖς (*prius*) Σ^{ϑ}, φωναῖς A | καὶ — γίνεται (32) *om* Σ^{ϑ} | προσκρούουσα] πρὸς οὖς οὖσα A

Φωνὴ δὲ λέγεται κυρίως ⟨μὲν⟩ ἐπὶ ἀνθρώπων, ὡς παρὰ τῷ ποιητῇ
318c ⟨B 489 seq⟩ οὐδ' εἴ μοι δέκα μὲν γλῶccαι, δέκα δὲ cτόματ' ἦεν, Φωνὴ δ' ἄρρηκτος, καταχρηστικῶς δὲ καὶ ἐφ' ἑτέρων, ⟨Σ 219⟩ ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε cάλπιγξ.

Φωνὴ δὲ λέγεται οἱονεὶ φαονή τις οὖcα, τουτέςτι λαμπρῶς δηλοῦcα τὰ νοήματα· ἢ φωτονόη τις οὖcα, παρὰ τὸ φωτίζειν τὸν νοῦν.

Ἰςτέον δὲ ὅτι τὴν φωνὴν οὕτω τινὲς ὁρίζονται· «φωνή ἐςτι πνεῦμά
10 τι ἀπὸ cυςτήματος ἰδίου καὶ αἵματος ἀναφερόμενον ἕως τῆς γλώττης, ὑφ' ἧς τυπτόμενον αὐτὸ διαρθροῦται καὶ νοητὸν ταῖς πληςίον ἀκοαῖς παραδίδοται».

Περὶ cτοιχείου.

318,13c Τῶν cτοιχείων εὑρετήν τινες Κάδμον φαςίν *etc.* = (*sed partim in breviorem formam contracta*) Σ^v 183, 1—186, 4; 192, 14—23; 186, 5—20.

321,19c Cτοιχεῖον δέ ἐςτι φωνὴ ἐγγράμματος ἀμερής· «ἐγγράμματος» μὲν διὰ τὰς ἀγραμμάτους, «ἀμερής» δέ, ἐπεὶ τὸ cτοιχεῖον οὐ μερίζεται ὥςπερ ἡ cυλλαβὴ εἰς cτοιχεῖα· ⟨ἢ⟩ cτοιχεῖόν ἐςτι φωνὴ τῆς κατὰ cύνταξιν μέρος ἐλάχιςτον πρὸς ὅλον τὸ cύςτημα ἐγγραμμάτου φωνῆς· ἢ cτοιχεῖόν ἐςτιν ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνή, γράμμα δὲ cημεῖον cτοιχείου, ὃ cχήματι γραφῆς ποιῷ ἢ ποςῷ καταλαμβάνεται· ὡς ὅταν μὲν γράφωμεν π̅ρ̅ο̅c̅, ταῦτα cτοιχεῖα ἂν εἴποιμεν καὶ γράμματα, εἰ δὲ ρ̅π̅c̅ο̅, γράμματα μέν, οὐ cτοιχεῖα δέ.

Παρέπεται τῷ cτοιχείῳ ὄνομα, cχῆμα, θέςις, ἐκφώνηςις, δύναμις· ὄνομα μέν, ὡς ὅταν εἴπωμεν ἄλφα βῆτα· cχῆμα δέ, ὡς ὅταν εἴπωμεν, ὅτι τὰ μὲν μίαν γραμμὴν ἔχουςιν, ὡς τὸ Ι, τὰ δὲ δύο, ὡς τὸ Γ, τὰ δὲ
30 τρεῖς, ὡς τὸ Δ· θέςις δέ, ὡς ὅταν εἴπωμεν, ὅτι τὰ μὲν προτάςςονται, τὰ δὲ ὑποτάςςονται· ἐκφώνηςις δέ, ὡς ὅταν εἴπωμεν ᾱ ε̄ ῑ· δύναμις δέ,
322c ὡς ὅταν εἴπωμεν, ὅτι τὰ μὲν ψιλοῦνται, τὰ δὲ δαςύνονται, καὶ τὰ μὲν ἐκτείνονται, τὰ δὲ cυςτέλλονται, καὶ τὰ μὲν ὀξύνονται, τὰ δὲ βαρύνονται.

Τὰς δὲ διαιρέςεις τῶν cτοιχείων δεῖ ποιεῖςθαι περὶ ἕκαςτον τῶν παρεπομένων αὐτοῖς· ὥςπερ γὰρ ἀνθρώπῳ παρέπεται τὰ τῆς ψυχῆς, τὰ τοῦ cώματος, τὰ ⟨ἀπὸ⟩ τῶν ἐκτός, διαιροῦντες δὲ τὰ περὶ ψυχήν φαμεν, τῶν ἀνθρώπων οἱ μὲν ἔμφρονες, οἱ δὲ ἄφρονες, καὶ τὸ cῶμα, οἱ μὲν ὑγιεῖς, οἱ δὲ ἀςθενεῖς, καὶ τὰ ἐκτός, οἱ μὲν πλούςιοι, οἱ δὲ πέ-
10 νητες, οὕτω καὶ τῶν cτοιχείων δεῖ ποιεῖςθαι τὰς διαιρέςεις περὶ ἕκαςτον τῶν παρεπομένων. Ὅταν τοίνυν πρώτην καὶ δευτέραν καὶ τρίτην

1—10 *cfr* Σ^v *181, 28—182, 2* ‖ **15—18** *cfr* Σ^m *316, 24—317, 2* ‖ **23—29** *cfr* Σ^d *31, 19—24;* Σ^v *197, 24—29;* Σ^m *317, 7—15 et 317, 37—318, 8* ‖ **30—36** *cfr* Σ^m *325, 34—326, 12*

2 ἦεν AE, εἶεν *edd. Hom.* ‖ **3** καὶ *om* A ‖ **17** cτοιχεῖα E, cτοιχεῖον A | cτοιχεῖόν ἐςτι — φωνῆς (**18**) *om* A | τῆς κατὰ cύντ.] *cfr p. 316, 27* ‖ **19** καὶ ἀμερὴς *om* A

διαίρεσιν ποιησώμεθα, τὴν μὲν πρώτην καλοῦμεν διαίρεσιν τὴν εἰς δύο τοῦ λόγου τομήν, τὴν δὲ δευτέραν ἐπιδιαίρεσιν, τὴν δὲ τρίτην ὑποδιαίρεσιν· οἷον ὡς ὅταν εἴπωμεν, τῶν στοιχείων τὰ μὲν φωνήεντα, τὰ δὲ σύμφωνα, τῶν δὲ συμφώνων τὰ μὲν ἡμίφωνα, τὰ δὲ ἄφωνα, τῶν δὲ ἀφώνων τὰ μὲν ψιλά, τὰ δὲ δασέα, τὰ δὲ μέσα. Ἡμεῖς μὲν οὖν τὰ στοιχεῖα εἰς δύο διαιροῦμεν, εἰς φωνήεντα καὶ εἰς σύμφωνα, τινὲς ⟨δὲ⟩ εἰς τρία, εἰς φωνήεντα, εἰς ἄφωνα καὶ εἰς ἡμίφωνα.

Διὰ τί δὲ τὰ φωνήεντα προτερεύουσι τῶν συμφώνων; Διὰ τὸ ᾱ, ὅπερ ὠνόμασται μὲν παρὰ τὸ ἀλφῶ, πρῶτον εὑρεθέν· προτέτακται δὲ τῶν ἄλλων, ὡς ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρξάμενον καὶ εἰς τὸ αὐτὸ λῆξαν, ὅπερ τοῖς ἄλλοις οὐ παρέπεται. 20

Ἐπειδὴ δὲ διάφοροι παρὰ τοῖς ἀρχαίοις χαρακτῆρες τῶν στοιχείων ἦσαν, ἀναγκαῖον ἐκθέσθαι αὐτοὺς πρὸς σαφήνειαν· τούτων γὰρ ἐκτιθεμένων οὐ ταράξει ἡμᾶς ⟨ὁ⟩ ἀσυνήθεις ἡμῖν χαρακτῆρας δεικνύς. Ταῦτα Λούκιος ὁ Ταρραῖος παρατίθεται. (*Haec verba sequitur in reliqua fol. 60ʳ parte et fol. 60ᵛ codicis* E *conspectus variarum formarum unius cuiusque ex viginti quatuor litteris, ita ut praeposita litterarum minorum vulgarium serie singulis subiectae sint modo plures modo pauciores eiusdem litterae formae aut solius aut cum aliis conexae, quarum summa est 297. Sed haud pauca* γράμματα *falsum in locum sunt delata, sat multa quid significent vix perspicias, quaedam binis ternisve exstant locis. Hoc alphabetum omittit* A, *septem fere folii 33ʳ partibus vacuis relictis.*)

Τῶν ἀρχαίων οἱ μὲν βουστροφηδὸν ἔγραφον, οἱ δὲ κιονηδόν, οἱ δὲ πλινθηδόν, οἱ δὲ σπειρηδόν·

βουστροφηδόν·	κιονηδόν·	πλινθηδόν·	σπειρηδὸν δὲ οὕτως·
α β γ δ ε ζ η θ	α ε ι ν ρ φ	α ω ψ χ φ υ τ	α θ ι π ρ ω
π ο ξ ν μ λ κ ι	β ζ κ ξ σ χ	β σ	β η κ ο σ ψ
ρ σ τ υ φ χ ψ ω	γ η λ ο τ ψ	γ ρ	γ ζ λ ξ τ χ
	δ θ μ π υ ω	δ π	δ ε μ ν υ φ
		ε ο	
		ζ ξ	
		η θ ι κ λ μ ν	

Ἃ δὲ νῦν ἡμεῖς γράφομεν λέγονται δισχιδόν, παρὰ τὸ διεσχίσθαι τοὺς στίχους.

Ἐπειδὴ δέ τινες τὸ παρὰ τοῖς Βοιωτοῖς *etc.* = Σ^{v} 186, 21—190, 18.

8—11 *cfr* Σ^{m} *326, 13—19* || **24—35** *cfr* Σ^{v} *190, 35—191, 22*

2 τὴν δὲ δευτ. ὑποδιαίρεσιν, τὴν δὲ τρ. ἐπιδιαίρεσιν AE || **4** τῶν δὲ συμφ. *om* A || **8** προτερεύουσι E, προτεύουσι A || **9** ἀλφῶ E, ἄλφω A || **13** πρὸς σαφήνειαν E, σαφήνειαν (*om* πρὸς) *sic* A || **15** Λούκιος AE, Λούκιλλος *Hoerschelmann* (*Iriartium secutus*) || **34** δισχηδὸν AE

Ἐπειδὴ δὲ τὰ στοιχεῖα κατὰ τάξιν ἐτέθηcαν, ἀναγκαῖον ἡμᾶc εἰπεῖν τὴν αἰτίαν τῆc τάξεωc αὐτῶν.

Ἐχρῆν τὰ στοιχεῖα οὐκ ἀπὸ cυμφώνου ἀλλ' ἀπὸ φωνήεντοc ἄρξαcθαι, ἐπεὶ τὰ φωνήεντα τιμιώτερά εἰcι, καθὸ καθ' ἑαυτὰ φωνὴν ἀποτελεῖ. Εἰcὶ δὲ ὑπομεριcμοὶ τῶν φωνηέντων τρεῖc, εἰcὶ γὰρ δίχρονα τρία, μακρὰ δύο, βραχέα δύο. 〈Καὶ〉 ἀπὸ μὲν τῶν μακρῶν οὐκ ἤρξατο, μεταγενέcτερα γάρ εἰcι ταῦτα· οὐδὲ μὴν ἀπὸ τῶν βραχέων, μονόχρονα γάρ εἰcιν· ἐλείπετο οὖν ἐκ τῶν διχρόνων τὴν ἀρχὴν ποιήcαcθαι, ἐπειδὴ καὶ τοῖc μακροῖc ἰcοδυναμοῦcιν ἐκτεινόμενα, καὶ τοῖc βραχέcι cυcτελλόμενα.

Καὶ δῆλον ὅτι οὐκ ἤρξατο ἀπὸ τοῦ ῡ, ἐπεὶ ὑποτακτικόν ἐcτιν, ὁμοίωc καὶ τὸ ῑ· ἐλείπετο τὸ ᾱ προτακτικὸν ὄν, καὶ λοιπὸν εὐλόγωc ἐκ τούτου τὴν ἀρχὴν ἐποιήcατο. Ἄλλωc τε καὶ διὰ τοῦτο προέταξε τὸ ᾱ, ἐπεὶ πάντων τῶν μερῶν τοῦ λόγου εὑρίcκεται καταληκτικόν· καὶ γὰρ τῶν ὀνομάτων, ὡc ἐπὶ τοῦ Μοῦcα, καὶ τῶν ῥημάτων, ὡc ἐπὶ τοῦ τέτυφα, καὶ τῶν μετοχῶν, ὡc ἐπὶ τοῦ τετυφυῖα, καὶ τῶν ἄρθρων, ὡc ἐπὶ τοῦ τά, καὶ τῶν ἀντωνυμιῶν, ὡc ἐπὶ τοῦ τὰ ἐμά, καὶ τῶν προθέcεων, ὡc ἐπὶ τοῦ ἀνά, καὶ τῶν ἐπιρρημάτων, ὡc ἐπὶ τοῦ ἄναντα, καὶ τῶν cυνδέcμων, ὡc ἐπὶ τοῦ ἀλλά. Οἱ δέ, ὅτι τὰ ἐπεκτεινόμενα τῶν στοιχείων εἰc αὐτὸ καταλήγει, ὡcὰν προγινώcκοντα αὐτό, οἷον βῆτα γάμμα. Οἱ δέ, ὅτι πρῶτον εὑρέθη, ὅθεν ἄλφα λέγεται, τουτέcτι τὸ πρῶτον εὑρεθέν· ἀλφεῖν γὰρ τὸ εὑρίcκειν, ὅθεν καὶ τὸ 〈ex. gr. Σ 593〉 ἀλφεcίβοιαι. Ἀθήναιοc δέ, ἐπειδὴ ἐκ τριῶν γραμμῶν cύγκειται, ὁ δὲ τρίτοc ἀριθμὸc ἀρχὴ πλήθουc ἐcτί, φημὶ δὴ πάντων τῶν στοιχείων. Ἔτι τῶν φωνηέντων ἃ μὲν κεχηνότων τῶν χειλέων λέγομεν, ὡc τὸ η̄, ἃ δὲ μύοντεc τὰ χείλη λέγομεν, ὡc τὸ ῡ ο̄· ἐπεὶ οὖν τὸ ᾱ τὴν κατ' ἀμφότερα κίνηcιν ἔχει, καὶ γὰρ κεχηνότων καὶ μυόντων τῶν χειλέων ἐκφωνεῖται, τούτου χάριν ἐκ τῶν φωνηέντων αὐτὸ προτέτακται. Ἢ ὅτι Φοινίκων ἐcτὶν εὕρημα, Φοίνικεc δὲ τὴν οἰκίαν ἄλφα λέγουcιν· ἐπεὶ οὖν Ἡcίοδοc ἔφη 〈Opp. 405〉 οἶκον μὲν πρώτιστα γυναῖκά τε, διὰ τοῦτο τὸ ᾱ πρῶτον τέτακται. Ἢ ὅτι εὐθέωc τικτόμενα τὰ παιδία ἐν τῷ κλαίειν τὴν ἐκφώνηcιν τοῦ ᾱ λέγει. Ἢ ἐπεὶ ἀφ' ἑαυτοῦ ἄρχεται καὶ εἰc ἑαυτὸ καταλήγει.

Μετὰ δὲ τὸ ᾱ ἕπεται τὰ τρία μέcα, καὶ τοῦτο εὐλόγωc· εἰ γὰρ τὸ

1—488, 12 *cfr* Σ^{ϑ} *3, 20—10, 26* (*Apoll. Synt. ed. Bekker. p. 351—355*).

1 περὶ τῆc τῶν στοιχείων τάξεωc *in marg. rubro* A, ὅρα τὴν αἰτίαν τῆc τάξεωc τῶν στοιχείων. περὶ τῆc τάξεωc τῶν εἰκοcιτεccάρων στοιχείων πῶc ἔχουcιν *in contextu rubro* E ‖ **3** τῷ στοιχείῳ AE ‖ **6** *post* μὲν *add* γὰρ EΣ^{ϑ} ‖ **22** ἄλφειν AE ‖ **23** Ἀθηναῖοι AE | γραμμῶν E, γραμμάτων A | τρίτοc AEΣ^{ϑ} ‖ **25** φωνηέντων Σ^{ϑ}, στοιχείων AE ‖ **27** ἐκφωνεῖται Σ^{ϑ}, γίνεται AE ‖ **28** Ἢ A, καὶ EΣ^{ϑ} ‖ **31** τὸ πρῶτον τέτακται A, τὸ ᾱ προτέτακται E | Ἢ *om* E ‖ **32** λέγει] λεγ A, ἔχει E, λέγουcιν Σ^{ϑ} ‖ **34** ἕπεται] ἐπὶ AE

α̅ καθὸ δίχρονόν ἐστι κατὰ τοῦτο τῶν ἄλλων φωνηέντων προτέτακται, ἀναγκαίως καὶ τὸ β̅ καὶ τὸ γ̅ καὶ τὸ δ̅ ⟨τῶν ἄλλων συμφώνων⟩, καθὸ ἐπίστανται ἀμφότερα τὰ πνεύματα· ὃν γὰρ τρόπον ἐστὶ μακρὸν καὶ βραχὺ τὸ δίχρονον, τὸν αὐτὸν τρόπον ἐστὶ δασέα καὶ ψιλὰ τὰ μέσα· καὶ γὰρ πρὸ τοῦ ἐπινοηθῆναι τὰ ψιλὰ τὰ μέσα ἔχοντα ἄνωθεν τὸν τύπον τῆς ψιλῆς ἀντὶ τῶν ψιλῶν παρελαμβάνοντο, καὶ πάλιν πρὸ τοῦ ἐπινοηθῆναι τὰ δασέα τὸν τύπον ἔχοντα τῆς δασείας ἀντὶ ⟨τῶν⟩ δασέων παρελαμβάνοντο. Εὐλόγως δὲ τὸ δ̅ μετὰ τὸ β̅ καὶ γ̅ ἐστίν, ἐπειδὴ πέφυκε καὶ τῷ β̅ καὶ τῷ γ̅ ὑποτάσσεσθαι, οἷον βδέλλα ἕβδομος ὀγδόη· τὸ δὲ β̅ ὤφειλε μετὰ τὸ γ̅, ἐπειδὴ πέφυκε τὸ β̅ ὑποτάσσεσθαι τῷ γ̅, οἷον λάγβατα, παρὰ τὸ λὰξ βαίνειν, σημαίνει δὲ τὸν τύπον τοῦ ἀπὸ λακτίσματος βαινομένου· ἀλλ' ἐπειδὴ τὸ μὲν γ̅ οὐδέποτε προηγεῖται τοῦ δ̅ ἐν τῇ ἀρχούσῃ, ἀλλ' ἐν τῷ μέσῳ, οἷον ὀγδόη, τὸ δὲ β̅ καὶ ἐν τῷ μέσῳ καὶ ἐν τῇ ἀρχούσῃ, τούτου χάριν ὡς πλείονας συντάξεις καταδεξάμενον προετάγη αὐτοῦ.

Μετὰ δὲ τὰ μέσα παρελήφθη τὸ ε̅· ἐπειδὴ γὰρ ἐκ τῶν διχρόνων παρελήφθη τὸ α̅, ἔδει τι καὶ ἐκ τῶν ἄλλων παραληφθῆναι εἰδῶν, τουτέστι μακρῶν καὶ βραχέων· ἀλλ' ἐπειδὴ τὰ μακρὰ μεταγενέστερά ἐστι τῶν βραχέων, ὑπελείποντο τὰ βραχέα. Τούτων ὤφειλε παραλαμβάνεσθαι τὸ ε̅ ἢ τὸ ο̅· παρελήφθη δὲ τὸ ε̅ διὰ τὴν συγγένειαν τοῦ α̅· πολλὴν γὰρ συγγένειαν ἔχει τὸ ε̅ πρὸς τὸ α̅· καὶ γὰρ πολλάκις τὸ α̅ εἰς ε̅ τρέπεται, ὥσπερ καὶ ἡ Αἰολέων διάλεκτος ποιεῖ τὸ λεγόμεθα λεγόμεθεν λέγουσα· καὶ τὸ ε̅ δὲ πολλάκις εἰς α̅ τρέπεται, ὥσπερ ἡ Δωρὶς διάλεκτος ποιεῖ τὸ τρέχω τράχω λέγουσα· ἐπειδὴ οὖν συγγένειαν ἔχει πολλὴν τὸ ε̅ πρὸς τὸ α̅, εὐλόγως οὐκ ἄλλο φωνῆεν ἀλλὰ τὸ ε̅ μετὰ τὸ α̅ παρελήφθη.

Μετὰ δὲ τοῦτο τὸ ζ̅, ἐπειδὴ συγγένειαν ἔχει πρὸς τὸ δ̅, ὡς ἐν τῷ θερίζω θερίσδω.

Μετὰ δὲ τὸ ζ̅ τὸ η̅, πολλὴν γὰρ συγγένειαν ἔχει πρὸς τὸ α̅ καὶ τὸ ε̅· καὶ μαρτυρεῖ ὁ παρατατικὸς πῇ μὲν τὸ ἐν τῷ ἐνεστῶτι α̅ εἰς η̅ τρέπων, πῇ δὲ τὸ ε̅ εἰς η̅· ἐπεὶ οὖν συγγένειαν ἔχει μετὰ τοῦ α̅ καὶ ε̅, εὐλόγως μετ' αὐτὰ τέτακται. — Διὰ τί τὸ η̅ πρὸ τοῦ τ̅ ψιλοῦται, ἐν δὲ τῷ ἦτα τῷ ὀνόματι τοῦ στοιχείου δασύνεται; Ἐπειδὴ παρὰ τοῖς ἀρχαίοις ὁ τύπος τοῦ Η ἐν τύπῳ δασείας ἔκειτο, ὥσπερ καὶ νῦν ⟨παρὰ⟩ τοῖς Ῥωμαίοις.

---

1 δίχρονόν] διάχρησις AE ‖ 4 τὸ] καὶ E, *om* A | καὶ *om* A | τὰ] καὶ E, *om* A ‖ 6 τῶν *om* E | καὶ π. — παρελαμβ. (8) *om* E ‖ 9 οἷον — ὑποτάσσ. (10) *om* E ‖ 11 λάγβατα A, λάβδατα E, λάγβατον Σ^{ϑ} | τύπον Σ^{ϑ}, τόπον AE | ἀπολακτίσματος βαινόμενον AΣ^{ϑ}, ἀπογαλακτίσματος βαινόμενον E ‖ 13 ἀλλ' ἐν — ἀρχούσῃ (14) *om* A ‖ 16 παρελήφθη] προελήφθη AE, ἐτάχθη Σ^{ϑ} ‖ 17 παρελήφθη E, προελήφθη A | τι] δὲ AE ‖ 18 μακροῦ καὶ βραχέος E, μακρ καὶ βραχ A ‖ 21 τὸ α̅ εἰς] καὶ α̅ εἰς AE ‖ 23 δὲ *om* A ‖ 29 πολλὴν — τὸ ε̅ E, ἐπειδὴ καὶ πρὸς τὸ η̅ καὶ πρὸς τὸ ε̅ πολλὴν συγγένειαν ἔχει τὸ α̅ A ‖ 33 ἦτα] η̅ AE ‖ 34 παρὰ *om* AEΣ^{ϑ} ‖ 35 τοῖς παλαιοῖς Ῥωμ. Σ^{ϑ}

Μετὰ δὲ τὸ η̅ δαςὺ ςύμφωνον ἐτάγη· καὶ γὰρ τρεῖς ἰδέαι τῶν ςτοιχείων ὕςτερον ἐπενοήθηςαν, δαςέα, μακρὰ καὶ διπλᾶ· καὶ ἐκ μὲν τῶν διπλῶν ἐλήφθη τὸ ζ̅, ἐκ δὲ τῶν μακρῶν τὸ η̅· ἐχρῆν οὖν καὶ ἐκ τῶν δαςέων ⟨τι⟩ παραλαμβάνειν. Εὐλόγως οὖν μετὰ τὸ η̅ τὸ θ̅· ςυγγένειαν γὰρ ἔχει πρὸς τὸ η̅ κατὰ τὴν ποςότητα τῶν ςυλλαβῶν καὶ κατὰ τὴν κατάληξιν· τὰ γὰρ ἄλλα δαςέα, τὸ φ̅ καὶ τὸ χ̅, οὔτε κατὰ τὴν ποςότητα τῶν ςυλλαβῶν οὔτε κατὰ τὴν κατάληξιν ἔχουςι πρὸς τὸ η̅ ςυγγένειαν.

Μετὰ δὲ τὸ θ̅ τὸ ι̅ ἐτάγη· πολλὴν γὰρ ςυγγένειαν ἔχει μετὰ τοῦ ε̅· καὶ γὰρ μεγεθύνεται τὸ ε̅ διὰ τῆς προςθήκης αὐτοῦ, οἷον τυφθέντος τυφθεῖςα, καὶ διὰ τῆς ἀποβολῆς τοῦ ι̅ ςυςτέλλεται, οἷον τυπείς τυπέντος, Ἑκτόρειος Ἑκτόρεος. — Διὰ τί δὲ οὐ προπαροξύνεται τὸ ἰῶτα, ὥςπερ τὸ νόημα φίλημα; Ἐπειδὴ τὰ ὀνόματα τῶν ςτοιχείων τὰ φύςει μακρᾷ παραληγόμενα προπεριςπῶνται, οἷον βῆτα ζῆτα.

Μετὰ δὲ τὸ ι̅ τὸ κ̅ τέτακται, ἐπειδὴ τῶν ςυμφώνων τὰ μέν ἐςτι ψιλά, τὰ δὲ δαςέα, τὰ δὲ μέςα· ἐπεὶ οὖν μετὰ τὸ η̅ δαςὺ ἐπειςῆλθε τὸ θ̅, ἔδει μετὰ τὸ φωνῆεν τὸ κείμενον μετὰ τὸ θ̅, λέγω δὴ τὸ ι̅, ψιλὸν ἐπειςελθεῖν ςύμφωνον· τὰ γὰρ μέςα ἀνωτέρω ἐτάγηςαν· οὐκ ἄλλο δὲ ἢ τὸ κ̅, ἐπεὶ ςυγγένειαν ἔχει πρὸς τὸ ι̅ κατὰ τὴν λήγουςαν.

Τὸ δὲ λ̅ μετὰ τὸ κ̅, κατὰ τὴν ποςότητα τῶν ςυλλαβῶν καὶ κατὰ τὴν κατάληξιν· καὶ ὅτι τὸ λ̅ ὑποτέτακται τῷ κ̅ κατὰ ςύλληψιν, ὡς ἐν τῷ κλέος.

Τὸ δὲ μ̅ πρὸ τοῦ ν̅, ἐπειδὴ πολλάκις προτέτακται τὸ μ̅ τοῦ ν̅ κατὰ ςύλληψιν, ὡς ἐν τῷ μνεία· καὶ ὅτι ςυγγένειαν τὸ μ̅ καὶ τὸ ν̅ ἔχουςι πρὸς ἄλληλα κατὰ τὴν ποςότητα τῶν ςυλλαβῶν καὶ κατὰ τὴν κατάληξιν.

Μετὰ δὲ τὸ ν̅ τὸ ξ̅· πολλὴν γὰρ ἔχει ςυγγένειαν πρὸς τὸ κ̅, ἐξ αὐτοῦ γὰρ καὶ τοῦ ς̅ δοκεῖ ςυγκεῖςθαι· ὥςπερ οὖν τὸ κ̅ ςυγγενὲς τοῦ ξ̅ προτέτακται τοῦ λ̅ μ̅ ν̅, ἐκ τοῦ ἐναντίου τὸ ξ̅ ὑποτέτακται τούτοις.

Μετὰ δὲ τὸ ξ̅ φωνῆεν ἐπειςῆλθε τὸ ο̅, καὶ τοῦτο εὐλόγως· καὶ γὰρ οὐδέποτε μετὰ τὰ διπλᾶ ςύμφωνον ἐπιφέρεται, οἷον ψῆφος ζητῶ· οὐχ ὑπειςῆλθε δὲ τὸ υ̅, ἐπειδὴ ὥςπερ τὸ ε̅ προετάγη τοῦ ι̅ τοῦ ςχόντος πρὸς αὐτὸ ςυγγένειαν, οὕτως εὔλογον ἦν καὶ τὸ ο̅ προτάξαι τοῦ υ̅ τοῦ ἔχοντος πρὸς αὐτὸ ςυγγένειαν· τὸ γὰρ ο̅ μεγεθυνόμενον διὰ τῆς προςθήκης τοῦ υ̅ μεγεθύνεται, οἷον λέοντος λέουςι. Τὸ δὲ ω̅ οὐχ ὑπειςῆλθεν, ἐπεὶ ὥςπερ τὸ ε̅ προετάγη τοῦ η̅, τὸν αὐτὸν τρόπον καὶ τὸ ο̅ τοῦ ω̅, ὡς ἀρχαιότερον.

Μετὰ δὲ τὸ ο̅ τὸ π̅ καὶ τὸ ρ̅ καὶ τὸ ς̅· προετάγη δὲ τὸ π̅ τοῦ ρ̅, ἐπειδὴ πέφυκε τὸ ρ̅ ὑποτάςςεςθαι τῷ π̅, ὡς ἐν τῷ πρῶτος. Τὸ δὲ ς̅

---

2 δαςέα — διπλᾶ *Σ*ϑ, διπλᾶ, δαςέα, μέςα AE ‖ **4** τι *om* AE*Σ*ϑ ‖ **7** τῶν ςυλλ. *add* *Σ*ϑ ‖ **10** τὸ ε̅ *add* *Σ*ϑ ‖ **12** δὲ *om* E ‖ **14** βῆτα E, βῆμα A ‖ **15** ςυμφώνων A, φωνηέντων E*Σ*ϑ ‖ **16** ἐπειςῆλθε E*Σ*ϑ, ἐπῆλθε A ‖ **19** λήγουςαν A, κατάληξιν E*Σ*ϑ ‖ **29** τὸ ο̅ *add* *Σ*ϑ ‖ **32** τὸ ο̅ προτ. *om* E ‖ **34** οὐχ — τοῦ η̅ (**35**) A, κατὰ E ‖ **35** καὶ — ω̅ (**36**) *om* E ‖ **38** ὡς — μάκαρς (**488, 2**) *om* E

μεταξὺ τοῦ ρ̄ καὶ τοῦ τ̄ ἐστίν, ἐπειδὴ τῷ μὲν ρ̄ πολλάκις ὑποτάσσεται, ὡς ἐπὶ τοῦ μάκαρς, τοῦ δὲ τ̄ προηγεῖται, ὡς ἐπὶ τοῦ στῆναι.

Μετὰ δὲ τὸ τ̄ ἐστὶ φωνῆεν τὸ ῡ, οὐ τὸ ω̄, ἐπειδὴ τὸ ῡ ἀρχαιότερόν ἐστι τοῦ ω̄. Ἄλλως τε γνησιότητα ἔχει τὸ ῡ πρὸς τὸ ο̄, καὶ εὐλόγως μετὰ τὸ ο̄ οὐχ ὑπεισῆλθεν ἄλλο φωνῆεν.

Ὑπελείφθησαν οὖν τρία σύμφωνα, φ̄ χ̄ ψ̄. Καὶ τὸ μὲν φ̄ μετὰ τὸ ῡ ἐτάγη, οὐχὶ τὸ χ̄, ἐπειδὴ οὐδέποτε εὑρίσκεται τὸ ῡ ἄρχον λέξεως ἐπιφερομένου τοῦ χ̄, τοῦ δὲ φ̄ εὑρίσκεται, ὡς ἐπὶ τοῦ ὑφαίνω· μετὰ δὲ τὸ φ̄ τὸ χ̄, συγγένειαν γὰρ ἔχουσιν, ἀμφότερα γὰρ δασέα ἐστίν· ὑπελείφθη οὖν τὸ ψ̄, καὶ λοιπὸν ἐξ ἀνάγκης μετὰ τὸ χ̄ ἐτάγη.

Μετὰ δὲ τὸ ψ̄ φωνῆεν τὸ ω̄ ἐπιφέρεται· τοῖς γὰρ διπλοῖς φωνήεντα θέλουσιν ἐπιφέρεσθαι.

Εἴρηται δὲ ἄλφα παρὰ τὸ ἀλφῶ τὸ εὑρίσκω, τὸ πρῶτον εὑρεθέν.

Βῆτα, ὅτι ἐπιβέβηκε δευτέραν ἔχον τάξιν τῶν λοιπῶν γραμμάτων.

Γάμμα, ὅτι δρεπανοειδές ἐστι καὶ οἷον ἀμᾷ τὴν γῆν, ὅ ἐστι θερίζει, ὥσπερ καὶ τὸ δρέπανον· καὶ ὁ τύπος τοῦ γράμματός ἐστιν ὅμοιος.

Δέλτα, οἱονεὶ δεέλτα τι ὄν, τὸ ἐλλεῖπον τῇ ἐπάρσει· ἰσόπλευρον γὰρ ὂν ἐνδεές ἐστιν ἐπάρσεώς τινος καὶ ἀφαιρέσεως, ἵνα ἴσον γένηται, ἐπεὶ οὕτως ἔτυχεν ἔχειν ἐκ τῆς κατ' ἀρχὰς ἐκτυπώσεως. Ἄλλοι δὲ ἀπὸ δελτωτοῦ τοῦ σημαίνοντος τὸν ἀστέρα, οὗ τὸν τύπον ἔχει.

Ἔ· τούτου θαυμάσαιμεν ἂν τὴν ἐπωνυμίαν· τήν τε γὰρ ἔκτασιν καὶ τὸ κυκλοτερὲς τοῦ αἰῶνος ἐν τῷ ἰδίῳ τύπῳ δηλοῖ· ἔκτασιν μὲν τὴν ἐν μέσῳ μακρὰν ἔχον, κυκλοτερὲς δὲ τὸ περὶ τὴν μακρὰν πέριξ, ὅτι τοῦ ὄντος αἰῶνος μιμεῖται τὰ πέριξ.

Ζῆτα, ἀπὸ Ζήτου τοῦ Βορέου.

Ἦτα· χαρακτῆρα ἔχει τοῦ ⟨Ι καὶ Τ⟩ στοιχείου· ἡνίκα γὰρ πλάγιον τεθῇ, εὕροις μακρὰν καὶ ὑπ' αὐτὴν τὸ Ι, ὅπερ σημαίνει τὸ Τ· Α δὲ εὕροις ἀπὸ τῆς πρώτης γραμμῆς τοῦ η̄ εἰς βαρεῖαν καὶ τῆς ἐν τῷ μέσῳ μακρᾶς, ὥστε ἀπὸ τούτου τοῦ τύπου τὸ ἦτα ὠνομάσθαι.

Θῆτα, ὅτι τὴν τοῦ παντὸς θέσιν μιμεῖται· ἡ δὲ τοῦ παντὸς θέσις ἐστὶν ὁ οὐρανός, ὃς τό τε κυκλοτερὲς ἔχει καὶ τὸν διὰ μέσου ἄξονα τῇ κατὰ μέσον χαρακτηρισθέντα μακρᾷ· οὕτως εἰκότως καὶ οἰκείαν ἔλαβε τὴν ὀνομασίαν.

13—490, 6 *cfr Σ^m 320, 31—323, 12; praeterea quae dedit e codd. Matrit. 83 et 114 Jriarte (p. 315 et 448) et quae in EtM initio singularum litterarum leguntur*

6 Ὑπελήφθησαν Α, ἀπελείφθησαν Ε ‖ **11** φωνήεντα] φωνήεσι ΑΕ ‖ **13** Ε *add*: περὶ ἐτυμολογίας τῶν κδʹ στοιχείων | ἄλφα μὲν Α | ἀλφῶ Ε, ἄλφω Α | τὸ πρ. εὑρ. *add Matrit. 83* ‖ **14** γραμμ. *om* Α ‖ **17** τὶ ΑΕ ‖ **18** ἐνδεές ἐστιν Α, ἐνδεέστερον Ε ‖ **22** κυκλωτερὲς Ε, κυκλο Α | τύπῳ Α, τόπῳ Ε | ἐν μέσῳ μακρὰν] εἰς τὸ μακρὸν ΑΕ ‖ **23** κυκλωτερὲς Ε ‖ **24** ὄντος *om* Ε ‖ **25** ἀπὸ τοῦ Ζ. Ε ‖ **26** τοῦ *om* Α ‖ **27** εὕρης Α, εὕρῃς Ε; *item v. 28* | Α] ἃ ΑΕ ‖ **28** τῆς πρ. γρ. Α, τῆς γραμματῆς τῆς πρώτης Ε ‖ **30** τοῦ *post* δὲ *om* Ε

Ἰῶτα, ὅτι κατὰ τὸ εἰς ὀρθὸν ἡ τούτου γραφὴ τῇ τῶν ἰοβόλων ζῴων ἰσοῦται δεινότητι· ὥσπερ ὁ ἰὸς εἰς ὀρθὸν βαδίζων φέρει κακὸν ᾧ πέπρωται, οὕτω καὶ ἡ τούτου γραφὴ ὀρθὴ οὖσα τὸ στοιχεῖον ἰῶτα καλεῖν ᾐνίξατο. Ἄλλοι δέ φασιν ὅτι οἱ ἰοί, τουτέστι τὰ βέλη, τῇ τοῦ στοιχείου δοκοῦσι γραφῇ ἐοικέναι, ὥστε βέβαιον ἔνθεν ἡ προσηγορία τοῦ γράμματος. Γίνεται δὲ ἰῶτα παρὰ τὸ ἴ, ὃ σημαίνει τὸ μόνον· μονόγραμμον γάρ ἐστιν.

Κάππα· τοῦτο δὲ κατὰ ποιόν ἐστιν ἦχον εὑρημένον, χόπα τι ὄν, τὸ ἔχον ὄπα ἤγουν φωνήν· τὰ γὰρ ψιλὰ ἀπὸ τοῦ κατωτάτου τῆς γλώττης ἔχει τὴν προφορὰν τῆς φωνῆς· ὅθεν καὶ κῆπος, χῆπός τις ὤν, ὁ ἔχων τὴν πόσιν διὰ τοῦ ὕδατος τοῖς φυτοῖς.

Λάμβδα, οἱονεὶ λειόβα τι ὄν, παρὰ τὸ λείως βαίνειν ἐν τοῖς μέτροις· καὶ γὰρ ἀσθενές ἐστι πρὸς τὸ μηκύνειν τὰς συλλαβάς.

Μῦ, ὅτι μυγμόν τινα ἔχει ἡ τούτου ἐκφώνησις.

Νῦ, ὅτι νυγμόν τινα ἔχει ἡ τούτου ἐκφώνησις.

Ξῖ, ὅτι ἐν τῷ γράφεσθαι πλέον τῶν ἄλλων ξέει· ἔχει γὰρ μακρὰν γραφήν. Ἄλλοι δέ, ὅτι ἡ τούτου ἐκφώνησις ὡσεὶ ξύσματός ἐστιν ἦχος ἀπὸ σιδήρου γινόμενος.

Ὄ, ὅτι κατὰ περίκλασιν φωνῆς ἐκφωνεῖται τὸ ὄνομα τοῦ στοιχείου· ἡ δὲ ἐκφώνησις ἐμφερὴς τῷ χαρακτῆρι.

Πῖ, παρὰ τὸ παίω, τὸ κρούω· ὁ γὰρ τούτου φθόγγος ὡσεὶ παίοντός ἐστιν ἦχος.

Ῥῶ, παρὰ τὸ ῥέω· ὑγρὰ γὰρ καὶ εὐμάλακτα τὰ ἀμετάβολα· ἢ ἀπὸ τοῦ ὡσεὶ ἔλαιον ῥεῖν ἐν τοῖς μέτροις.

Σίγμα, σίμα τι ὄν, τὸ ὑπόσιμον· τὰ γὰρ σιγματώδη καὶ ὑπόσιμα· ἢ παρὰ τὸ σιγμόν τινα ποιεῖν τῇ φωνῇ, ἣν πυρωθεὶς ὁ σίδηρος, ἐπειδὰν εἰς ὕδωρ βληθῇ, ἀπήχησεν ὁμοίαν τοῦ γράμματος· ὁ γὰρ τοῦ στοιχείου φθόγγος τοιοῦτός ἐστι. Λέγεται δὲ ὅτι κατ' εἰκόνα τῆς σελήνης ἐστίν.

Ταῦ, ὅτι ἐντεταμένας ἔχει τοῦ χαρακτῆρος τοῦ στοιχείου τὰς ἐντυπώσεις· ὑπὸ γὰρ τῆς μακρᾶς τῆς ἄνω τὸ Ι κάτωθέν ἐστιν· ἐντεῦθεν καὶ ταῶς, ὁ τεταμένας ἔχων τὰς πτέρυγας.

Ὗ, ὅτι αἱ Ὑάδες, τὸ πρόσωπον τοῦ ταύρου, ὃ ἐπιπλατυνόμενον ἀπὸ τοῦ μετώπου λεπτυνόμενον ἐξ ἀμφοτέρων ἐπὶ τὰ κάτω πρόεισιν, ὥσπερ καὶ τὸ γράμμα.

Φῖ, ὅτι φαιὸν τὸ μέλαν· οὕτω καὶ τοῦτο περὶ τὴν ἐκφώνησιν κακόφωνόν ἐστιν.

---

1 κατὰ τὸ A, τὸ κατὰ E ‖ 4 οἱ ἰοὶ A, τὰ ἰὰ E ‖ 5 βέβαια ἔνθεν δὲ ἡ AE ‖ 8 χόπα τὶ E, ὀχόππα τὶ A ‖ 9 ὄπα A, ὄππα E ‖ 13 πρὸς *om* E ‖ 14 μύ E, μ̄ A ‖ 15 νύ E ν̄ A ‖ 16 ξί E, ξ̄ A ‖ 19 κατὰ περίκλασιν *Matrit. 83 et 114, EtM 612, 35,* κατ' ἐπίκλασιν AE ‖ 21 πί E, π̄ A ‖ 23 ῥό E, ρ̄ A | εὐμάλακτα E, εὐμετάλλακτα A ‖ 25 ὑπόσιμον A, ὑπόσημον E ‖ 31 ταῶς AE ‖ 33 τοῦ ῡ μετ. E | ἐπὶ τὰ κάτω *om* E ‖ 35 περὶ A, παρὰ E | κακόφ. ἐστιν *om* E

Χῖ, ὅτι χεομένην ἔχει τὴν ἐκφώνηςιν. Ἄλλοι δὲ ςχῖ αὐτὸ εἶπον, ὅτι ἔχει ὀξεῖαν καὶ βαρεῖαν ἀλλήλας κατὰ τὸ μέςον ςχιζούςας.

Ψῖ, ὅτι ςυριγμὸν αὐτοῦ ἔχει ἡ ἐκφώνηςις, καὶ ὅτι ςυριγμὸς οὐκ ἔςτιν ἢ μόνον ψῖ φωνή. Ἄλλοι δέ, ὅτι ψαύει χρόνου, ὡς διπλοῦν.

Ὦ, παρὰ τὸ ἔω, τὸ ὑπάρχω, ἐπειδὴ ὑπάρχει τοῦτο μακρὸν καὶ πλατύ, καὶ ὁμοίαν τῷ χαρακτῆρι τὴν ἐκφώνηςιν ἀπηνέγκατο.

Φαςί τινες ὅτι ἕως τῶν Τρωϊκῶν οὐκ ἐγινώςκετο γράμματα· καὶ 324, 12 c
δῆλον ἐκ τοῦ μὴ ςωθῆναι ποίημά τι τῶν κατὰ τοὺς Ὁμηρικοὺς χρόνους, καὶ ταῦτα αὐτοῦ τοῦ Ὁμήρου εἰςάγοντος ποιητάς, τόν τε Φήμιον καὶ Δημόδοκον, ἱςτορουμένου δὲ καὶ Ὀρφέως προγεγενῆςθαι καὶ Μουςαίου καὶ Λίνου· ἀλλ' ὅμως πλὴν ὀνόματος οὐδὲν πλέον εἰς τὰ μετὰ ταῦτα διαςωθῆναι ςυμβέβηκε πρὸ τῆς Ὁμήρου ποιήςεως, μηδὲ πρεςβύτερον τῆς Ἰλιάδος καὶ Ὀδυςςείας ςώζεςθαι ποίημα. Ἀλλ' ἐρεῖ τις, πῶς ἐπιγράμματα ςώζεται νομιζόμενα πρεςβύτερα; Τούτων δὲ τὰ μὲν ἐψευςμένους τοὺς χρόνους, τὰ δὲ νεωτέρων τινῶν ὁμωνυμίᾳ τῶν παλαιῶν τὰς ἐπιγραφὰς ἔχουςι. Καὶ οἱ ἥρωες δὲ ἀγράμματοί τινες ἦςαν, καὶ ςημείοις καὶ ςυμβόλοις πρὸς ἀλλήλους ἐν τῇ κατὰ τὸν βίον ἀναςτροφῇ χρώμενοι ἐδήλουν ἀλλήλοις ἃ ἤθελον· τὸ γοῦν ⟨Z 169⟩ γράψας ἐν πίνακι πτυκτῷ διαζωγράφηςίν τινα καὶ διατύπωςιν δηλοῖ ὧν ὁ γράφων ἐβούλετο ἐνδείξαςθαι. Ἀλλ' ἄτοπόν ἐςτι τοὺς ἀρίςτους τοῦ ἀνθρωπείου γένους ἀπαιδεύτους καὶ ἀγραμμάτους λέγειν. Ἀλλά φαμεν ὡς οὐκ ἔςτιν ἀπαιδευςίας τεκμήριον τὸ ἀγράμματον· ὁ γοῦν θεῖος Πλάτων ἐν τῷ Φαίδρῳ ⟨275 C⟩ καὶ διαβάλλει τὴν εὕρεςιν τῶν γραμμάτων ὡς ἐπὶ λύμῃ παιδείας γεγονυῖαν. Ὅτι δὲ ποιητικοῦ τινος ἀνδρὸς καὶ μουςικοῦ ἡ τῶν ςτοιχείων εὕρεςις, ςημεῖον τὸ πάλαι τοὺς αὐτοὺς γραμματικῆς καὶ μου- 325 c
ςικῆς εἶναι διδαςκάλους, ὡς Εὔπολις εἰςάγει ἐν Αἰξὶ ⟨fr. 17 K⟩ καὶ Ἰςοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόςεως ⟨§ 267⟩.

Εὑρέθη δὲ τὰ πρῶτα ιϛʹ, ἐκφωνήςεις δὲ τούτων κδʹ· καὶ γὰρ εἰ καὶ μήπω εὕρηντο οἱ χαρακτῆρες, αἱ ἐκφωνήςεις διὰ τῶν ιϛʹ ἐπληροῦντο μετά τινος προςῳδίας. Φαςὶ γὰρ πρὶν εὑρεθῆναι τὰ δαςέα τοῖς ψιλοῖς ἐχρῶντο μετὰ τῆς δαςείας, οἷον εἰ ἠθέληςαν ποιῆςαι Χ, ἐποίουν Κ καὶ Η, εἰ δὲ Θ, Τ καὶ Η, εἰ δὲ Φ, Π καὶ Η, ὡς καὶ νῦν οἱ Ῥωμαῖοι· καὶ τὰ διπλᾶ δὲ ἐξ ὧν ςύγκεινται· ἀντὶ δὲ τῶν μακρῶν, ἀντὶ τοῦ ω̄ ō καὶ –, ἀντὶ τοῦ η̄ ε̄ καὶ –.

7—491, 7 cfr Σ^{ϑ} 10, 27—12, 20; 7—24 ex Σ^{ϑ} praebet b 785, 15—34

1 δὲ E, καὶ A ‖ 2 ἀλλήλας *om* E | τὸ *om* A ‖ 3 αὐτοῦ *om* E ‖ 8 τι *add* Σ^{ϑ} ‖ 12 πρὸ Σ^{ϑ}, ὡς πρὸς A, ὡς πρὸ E | μηδὲ] μηδὲν AE, ἀλλ' οὐδὲ Σ^{ϑ} ‖ 15 νεωτέρων — ἔχουςι (16) Σ^{ϑ}, ἐπὶ παλαιοῖς νεωτέροις ἐπιγραφὰς εἶναι AE | ὁμωνυμίας Σ^{ϑ} ‖ 18 ἐδήλουν — ἤθελον *add* Σ^{ϑ} ‖ 19 πυκτῷ AE | δηλοῖ E, φηςὶ A | ὧν] ἣν AE ‖ 24 γεγονυῖαν A, γεγονέναι E ‖ 25 πάλαι A, πάλιν E | γραμματικοὺς καὶ μουςικοὺς E ‖ 28 καὶ *post* εἰ *add* Σ^{ϑ} ‖ 29 εὕρηντο] εὕροντο AE, εὑρημένοι ἦςαν Σ^{ϑ} ‖ 30 ψιλοῖς — δαςείας (31) Σ^{ϑ}, ἐναντίοις ἐχρῶντο AE ‖ 32 καὶ *post* ὡς *add* Σ^{ϑ} | οἱ παλαιοὶ Ῥωμ. Σ^{ϑ}

Γράμμα τοίνυν ἐστὶ χαρακτὴρ καὶ τύπος στοιχείου εἰδοποιούμενος ποιότητι γραμμῶν· ταύτῃ γὰρ τὰ γράμματα διενήνοχεν ἀλλήλων, ἤγουν τὸ μὲν Δ τρίγωνόν ἐστι, τὸ Ι ἐπίμηκες, τὸ Ο στρογγύλον.

325, 12c Στοιχεῖον δέ ἐστιν ἡ δύναμις καὶ ἐκφώνησις τοῦ γράμματος· γεγραμμένου γὰρ τοῦ ο̄ καὶ ω̄ τὸ μὲν ο̄ συστέλλοντες ἐκφωνοῦμεν, τὸ δὲ ω̄ ἐκτείνοντες, καὶ εἴτε προσπνέοντες ἤτοι δασύνοντες ἢ ψιλοῦντες· ὡς τύπους μὲν εἶναι γραμμάτων κδʹ, δυνάμεις δὲ καὶ ἐκφωνήσεις πλείους. Οἱ γὰρ παλαιοὶ ἄλλως ἐξεφώνουν *etc.* = Σ^d 32, 20—34, 20.

Ἰστέον μέντοι ὡς τὸ παλαιὸν ἡ δασεῖα τύπον εἶχε τοῦ Η πρὸ τοῦ εὑρεθῆναι τὰ μακρά· ὕστερον δὲ εὑρεθέντων ἐτμήθη κατὰ κάθετον, καὶ τὸ μὲν πρῶτον αὐτῆς μέρος τῆς δασείας ἐστὶ σημεῖον, τὸ δὲ δεύτερον τῆς ψιλῆς.

Γράμματα δὲ εἴρηται, ἐπειδὴ ἐντυπούμενα ξυσμόν τινα ἀποτελεῖ, καὶ μάλιστα ὑποκειμένου κηροῦ· δῆλον γὰρ ὅτι ἐν αὐτῷ ἐπενοήθη ἐντυποῦσθαι, ἵν᾽ ὡς τὸ μέλι πρώτιστον βρῶμά ἐστι τοῖς βρέφεσιν, οὕτω καὶ τὸ περιλειπόμενον ἐκ τοῦ μέλιτος τῆς λογικῆς ἐντεύξεως καὶ μαθήσεως ὑποδεκτικὸν εἴη τοῖς παισίν.

Οὐκ ἀλόγως δὲ τούτῳ τῷ ἀριθμῷ οἱ παλαιοὶ ἐχρήσαντο· ἀλλ᾽ ἀπὸ τῶν νυκτὸς καὶ ἡμέρας ὡρῶν μετέθεσαν αὐτὰ ἐπὶ τὴν τῶν στοιχείων τάξιν, διὰ τὸ τὴν δύναμιν τῶν στοιχείων πάνυ τῷ σεληνιακῷ ἐοικέναι δρόμῳ, φωτίζουσάν τε τὰ πράγματα καὶ φωτιζομένην ὑπ᾽ αὐτῶν, καὶ οὖσαν σχῆμα τοῦ δρόμου τῆς σελήνης, ὁτὲ μὲν αὐξανομένης ὁτὲ δὲ μειουμένης διὰ τῆς οἰκείας δυνάμεως· καὶ πανσέληνον μὲν μιμεῖται διὰ τῆς τῶν φωνηέντων φύσεως, διχότομον δὲ διὰ τῶν ἡμιφώνων, ἀμφίκυρτον δὲ διὰ τῆς τῶν ἀφώνων τοῦ φθόγγου μειώσεως. Εἶτα ὥσπερ αἱ Θεσσαλαί, φασί, γοητεύουσαι διὰ τῶν μαγγανειῶν βούλονται κατάγειν τὴν σελήνην, οὕτω καὶ ἡ γραμματικὴ μαγείᾳ τὴν φωνὴν τοῦ ἀέρος χορηγοῦσαν, εἰσιοῦσάν τε εἰς τὸ νοερὸν ἡμῶν καὶ αὖθις ἐξιοῦσαν, ἐπισκοπουμένη καὶ εἰς τοὺς ἑαυτῆς τύπους κατακλείουσα διὰ τῆς ἀνακυκλήσεως τοῦ κδʹ ἀριθμοῦ περὶ τὴν τῶν γραμμάτων παγιδεύεται διαφοράν. Ὥσπερ δὲ ἐν τοῖς μετεώροις οἱ ἑπτὰ πλανῆται τὸ κῦρος τῆς διοικήσεως τῶν φαινομένων ἔχοντες καὶ τῶν ζῳδιακῶν οὐκ ἐκκλίνοντες, ἀλλ᾽ ἐπὶ τούτων μένοντες καὶ στρεφόμενοι διοικοῦσι τὸ φαινόμενον, οὑτωσὶ καὶ τὰ φωνή-

---

9—17 *cfr Σ^d 35, 9—21*

2 ταύτῃ] ταυτὸ A, ταυτὶ E, οὕτως Σ^ϑ ‖ **5** ο̄ *post* μὲν *add* Σ^ϑ ‖ **6** εἴτε A, ἤτοι E ‖ **7** καὶ E, *om* A ‖ **16** περιλειπ. A, παραλειπ. E ‖ **19** τῶν τῆς ν. καὶ τῆς ἡμ. E | μετέθεσαν E, *ex* μετήχθησαν *corr.* A ‖ **22** τοῦ λόγου καὶ δρόμου E ‖ **23** καὶ] μειουμένην AE ‖ **25** τῶν ἀφ. — μειώσεως A, τῶν φωνηέντων φύσεως ἀφώνων γενομένων καὶ μειώσεως τοῦ φθόγγου E ‖ **26** φασὶ E, φη A | γοηλεύουσαι E | μαγγανειῶν] μαγκανιῶν A, μαλλανειῶν E ‖ **27** μαγεία A, μαλείαν E | χωρηγοῦσαν E, χορηγοῦντ A ‖ **28** ἐπισκοπουμένη A, ἐπισκεπτομένη E ‖ **29** τοῦ κδʹ ἀριθμοῦ A, τοῦ τῶν εἰκοσιτεσσάρων ἀριθμοῦ περὶ τοῦ τῶν εἰκοσιτεσσάρων ἀριθμοῦ E ‖ **30** δὲ E, καὶ A ‖ **32** ἐγκλίνοντες AE ‖ **33** οὑτωσὶ δὲ καὶ A

εντα τὸ κῦρος τῆς ἐγγραμμάτου φωνῆς κεκτημένα διὰ τοῦ σχηματίζεσθαι καὶ συμπλέκεσθαι τοῖς συμφώνοις οὐχ ὑπερβαίνει τοὺς τύπους τῶν κδʹ γραμμάτων, ἀλλ' ἐν τούτοις ἀεὶ καὶ διὰ τούτων τὴν αὐτὴν ἀνακυκλοῦντα πᾶσαν ἀποτελεῖ φωνὴν ἐγγράμματον, μηδενὸς εἰς τοῦτο προφερομένου ἑτέρου μήτε φθόγγων μήτε γραμμάτων, ὥσπερ οὐδὲ νὺξ οὐδὲ ἡμέρα παρὰ τὰς κδʹ ὥρας εἰς ἀνακύκλησιν προσδεῖταί τινος, ἀλλὰ διὰ τούτων τὸν κύκλον καὶ τοὺς ἑλιγμοὺς ποιεῖται τῆς οἰκείας περιφορᾶς. Καὶ τὰ μὲν γράμματα διὰ τοῦτο καὶ οὕτω πως περάσματος καὶ ἀριθμοῦ ὡρισμένου τετύχηκεν.

Θαυμάσιος δὲ δοκεῖ καὶ μετὰ τοῦ λόγου γεγονέναι ἡ τάξις τῶν γραμμάτων. Ὡς γὰρ ἡ ἐγγράμματος φωνὴ τῶν φωνηέντων συνταχθέντων συντασσομένων τοῖς συμφώνοις ἀποτελεῖται, τὸν αὐτὸν τρόπον καὶ ἡ τάξις τῶν στοιχείων· διά τοι τοῦτο καὶ ἀπὸ φωνήεντος ἤρξατο, εἶτα ἑξῆς σύμφωνα ἔχει, εἶτα πάλιν φωνήεντα, καὶ πάλιν σύμφωνα, ἐπεὶ μηδὲ φωνὴ δύναται συστῆναι ἐκ μόνου φωνήεντος ἢ μόνου συμφώνου. Προτέτακται δὲ τὸ ᾱ, ὡς μέν τινες, ὅτι σημεῖόν ἐστι τῆς μονάδος, ἀρχὴ δὲ πρώτη ἀριθμοῦ ἡ μονάς. Τοῦτο δὲ ψευδές· πρότερον γὰρ τὸ ᾱ ἐφευρέθη, καὶ οὕτω τῆς μονάδος χαρακτηριστικὸν γέγονε· τὸ δ' ἀληθές ἐστι τοῦτο· τὰ στοιχεῖά ἐστιν ἤτοι μονοσύλλαβα ἢ δισύλλαβα· καὶ μονοσύλλαβα μὲν ιβʹ, δισύλλαβα δὲ τὰ ἴσα τούτοις· ὁ στοιχειωτὴς οὖν τὰ δισύλλαβα προέταξεν, ἑνὸς μονοσυλλάβου ἐν αὐτοῖς τεθέντος, ⟨τοῦ ε̄,⟩ τὰ δὲ μονοσύλλαβα ἔσχατα ἔταξεν, ἑνὸς δισυλλάβου μεταξὺ αὐτῶν τεθέντος, τοῦ σίγμα. Τῶν τοίνυν δισυλλάβων προετάγη τὸ ᾱ, ὅτι τελικόν ἐστι ⟨πάντων⟩ τῶν μερῶν τοῦ λόγου· καὶ ὀνομάτων μὲν ἀρσενικῶν, ὡς ἐπὶ τοῦ ἱππότα νεφεληγερέτα, θηλυκῶν, ὡς ἐπὶ τοῦ Μοῦσα, οὐδετέρων, ὡς ἐπὶ τοῦ βῆμα· καὶ οὐ μόνον τῶν ἑνικῶν, ἀλλὰ καὶ τῶν δυϊκῶν, ὡς ἐπὶ τοῦ Ἀτρείδα, ⟨καὶ τῶν πληθυντικῶν, ὡς ἐπὶ τοῦ βήματα⟩. Καὶ δυνάμεις δὲ πλείστας ἔχον εὑρίσκεται· καὶ γὰρ παραλαμβάνεται ἀντὶ τοῦ ε̄ παρὰ Δωριεῦσιν, ὡς ἐπὶ τοῦ Ἄρτεμις Ἄρταμις, καὶ ἀντὶ τοῦ η̄, ὡς ἐπὶ τοῦ μῆνις μᾶνις. Σημαίνει δὲ ἑπτά· στέρησιν, ἐπίτασιν, ὁμοῦ, κακόν, ὀλίγον, ἄθροισιν καὶ πλεονασμόν.

Μετὰ δὲ τὸ ᾱ δεύτερον ἔταξε σύμφωνον, αἰνιττόμενος τὴν τῶν φωνηέντων πρὸς τὰ σύμφωνα σύνταξιν, καὶ ὅτι μὴ δεῖ ἑξῆς πλείω φωνήεντα συντάττεσθαι. Τέτακται δὲ τὸ β̄ δεύτερον, ὅτι πλείστας δυνάμεις ἔχει· καὶ γὰρ ἀντὶ τοῦ μ̄ παραλαμβάνεται, ὡς ὅταν τὸν κυβερνήτην διὰ τοῦ μ̄ ὀφείλοντα γράφεσθαι, εἴ γε παρὰ τὸ κῦμα ἐρευνᾶν, διὰ τοῦ β̄ λέγωμεν κυβερνήτην· καὶ ἀντὶ τοῦ π̄, ὡς ὅταν τὸ κρύπτω κρύβω λέγωμεν ὑπεξαιρεθέντος τοῦ τ̄· καὶ πάλιν ἀντὶ τοῦ φ̄, ὡς ὅταν τὴν Φερενίκην Μακεδόνες λέγωσι Βερενίκην.

---

6 παρὰ *om* E ‖ **7** ποιεῖται καὶ τῆς A ‖ **14** φωνὴ] φωνῆεν AE ‖ **19** ἤτοι E, ἦτε A ‖ **20** στοιχειωτὴς E, στοιχείτης A; *item p. 493, 18 et 36* ‖ **34** πλείστας A, πλείονας E ‖ **37** λέγομεν AE; *item v. 38*

... Μετὰ δὲ τὸ ε̄ τὸ ζ̄ παρέλαβε σοφῶς πάνυ· ἐπειδὴ γὰρ μεταγενέστερα τὰ διπλᾶ ὑπάρχει, οὐκ ἠθέλησεν αὐτὰ τελευταῖα τάξαι, ἵνα μὴ ἐλέγχηται μεταγενέστερα ὄντα, ἔταξε δὲ αὐτὰ μεταξὺ τῶν ἀρχαίων, βουλόμενος ἐπικρύψαι αὐτῶν νεαρὰν οὖσαν τὴν εὕρεσιν, καὶ ποικίλλων τὴν τῶν γραμμάτων ἀκολουθίαν μεταξὺ τῶν φωνηέντων καὶ τῶν συμφώνων κατέσπειρεν αὐτά.

Τῶν δὲ διπλῶν τὸ ζ̄ προέταξεν, ὅτι ἡγητικὴν ἔχει φύσιν τὸ ζ̄, τὸ δὲ ξ̄ καὶ τὸ ψ̄ ὑποτακτικήν, ὡς ἐν τῷ στράγξ καὶ θρίψ. Ἄλλως τε τὸ 325, 24c ζ̄ ἐκ τοῦ σ̄ καὶ δ̄ συνέστηκε, καὶ συγγένειαν ἔχει πρὸς αὐτό· καὶ γὰρ ὁ Ζεὺς παρὰ τοῖς Λάκωσι Δεύς λέγεται, καὶ παρὰ τοῖς Βοιωτοῖς τὸ σφάζω διὰ δύο δ̄δ̄ σφάδδω καὶ τὸ σαλπίζω σαλπίδδω, καὶ ἐν ταῖς τῶν ῥημάτων κλίσεσιν ἀπὸ τοῦ φράζω ὁ β′ ἀόριστος ἔφραδον· καὶ ἀνάπαλιν παρὰ τοῖς Αἰολεῦσιν ἀντὶ τοῦ δ̄ ζ̄ παραλαμβάνεται, ὡς ὅταν τὸ διάβατον ἡ Σαπφὼ ⟨fr. 158 B[4]⟩ ζάβατον λέγῃ· πρὸς δὲ τοῖς εἰρημένοις καὶ ὅτι τὸ ζ̄ δισύλλαβον, τὸ δὲ ξ̄ καὶ ψ̄ μονοσύλλαβα, προτέτακται δὲ τὰ δισύλλαβα τῶν μονοσυλλάβων.

Μετὰ δὲ τὸ ζ̄ ἐδέησε φωνῆεν παραλαμβάνεσθαι· καὶ παραλαμβάνει ὁ στοιχειωτὴς τὸ η̄, ⟨τὸ ἕτερον τῶν μακρῶν⟩. Ἵνα ⟨δὲ⟩ τὸ μεταγενέστερον αὐτῶν μὴ γένηται εὐκαταφρόνητον, οὐκ ἔταξεν αὐτὰ ἔσχατα, ἀλλ' ἐμέρισεν· καὶ τὸ μὲν η̄ ὡσὰν δισύλλαβον ὑπάρχον ἐν τοῖς πρώτοις ἔταξε, τὸ δὲ ⟨ω̄⟩ [μετὰ τὸ ῡ] ὕστερον, ἐπεὶ μονοσύλλαβόν ἐστιν. Ἄλλως τε καὶ τὸ η̄ πολλὴν συγγένειαν ἔχει πρός τε τὸ ᾱ καὶ τὸ ε̄· πρὸς μὲν τὸ ᾱ, ⟨ὅτι⟩ παρὰ τοῖς Δωριεῦσι μεταβάλλεται τὸ η̄ εἰς ᾱ, ὁμοίως καὶ παρὰ Αἰολεῦσιν, ὡς ὅταν τὸ ἡδύ ἀδύ λέγωσι· καὶ παρ' Ἴωσι τοῖς ἀρχαίοις τὸ η̄ εἰς ᾱ μεταβάλλεται συστελλόμενον, ὡς ὅταν τὴν λεληχυῖαν λελαχυῖαν λέγωσι καὶ τὴν μεμηκυῖαν μεμακυῖαν· καὶ ἀνάπαλιν τὸ ᾱ εἰς η̄, ὡς τὸ Ἥρα Ἥρη. Πρὸς δὲ τὸ ε̄ ἔχει συγγένειαν· πρὸ γὰρ τοῦ εὑρεθῆναι τὸ η̄ τὸ ε̄ τὴν τοῦ η̄ δύναμιν ἐχαρακτήριζεν· ὅθεν καὶ οἱ ποιηταὶ χρῶνται τῷ ε̄ ἀντὶ τοῦ η̄, ὡς ὅταν τὸ ξηρόν διὰ τοῦ ε̄ λέγωσι, ⟨ε 402⟩ ποτὶ ξερὸν ἠπείροιο, καὶ Ὑμήν Ὑμέν, καὶ ἀνάπαλιν τῷ η̄ ἀντὶ τοῦ ε̄, ὡς ὅταν τὴν Μεθώνην λέγωσι Μηθώνην, ⟨Β 716⟩ οἳ δ' ἄρα Μηθώνην, ὁμοίως καὶ τὸ τιθέμενον τιθήμενον, ⟨Κ 34⟩ τὸν δ' εὗρ' ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλά.

Μετὰ τὸ η̄ φωνῆεν ἐδέησε σύμφωνον παραληφθῆναι δισύλλαβον· παρελήφθη δὲ τὸ θ̄, ὅπερ ἐστὶν ἓν τῶν δασέων, ἅπερ μεταγενέστερά εἰσιν, ὡς προείπομεν· οὐκ ἔθηκε δὲ αὐτὰ ὁ στοιχειωτὴς ὕστερα, ἵνα μὴ ἐλέγχωνται ὡς ὑστερογενῆ. Προτέτακται δὲ τῶν ἄλλων τὸ θ̄ ὡς δισύλλαβον· καὶ ἄλλως ὅμοιον τὸ ὄνομα τοῦ θ̄ τῷ η̄· καὶ γὰρ ἑκάτερα δισύλ-

---

1 *patet nonnulla intercidisse* ‖ 4 ποικίλλην ΑΕ ‖ 15 προτέτ. — μονοσυλλ. (16) *om* Ε ‖ 19 αὐτὸ ἔσχατον ΑΕ ‖ 25 η̄] ε̄ ΑΕ | λεληχυῖαν] λελεχυῖαν ΑΕ ‖ 30 τῷ] τὸ ΑΕ ‖ 35 ἓν τῶν δασέων] ἐν τῶ γ̄ δα ΑΕ ‖ 36 προεῖπ.] *p. 490, 30*

λαβα, καὶ εἰς ᾱ λήγοντα, καὶ τῷ η̄ παραλήγοντα, καὶ ἀπὸ δασέος ἀρχόμενα. Διὰ τί δὲ πάντων τῶν φωνηέντων ψιλουμένων, μόνου τοῦ ῡ φυσικὴν δασεῖαν ἔχοντος, τὸ ἦτα δασύνεται; Ὅτι πάλαι τὸ Η χαρακτὴρ ἦν τῆς δασείας· τοῦ Η τοίνυν χαρακτῆρα τῆς δασείας ἔχοντος, εὐλόγως καὶ τὸ ὄνομα αὐτοῦ δασύνεται· καὶ γὰρ ἄτοπον ἦν ἄλλοις χορηγοῦν τὴν πρόσπνευσιν τῆς δασείας αὐτὸ ταύτης στερεῖσθαι.

Μετὰ δὲ τὸ θ̄ παρελήφθη τὸ ῑ· πολλὴν γὰρ συγγένειαν ἔχει πρὸς τὸ ε̄· καὶ γὰρ τῷ ῑ ἀντὶ τοῦ ε̄ ἐχρῶντο οἱ παλαιοί, καὶ τῷ ε̄ ἀντὶ τοῦ ῑ· τὸ γὰρ χάλκεα οἱ Αἰολεῖς συστέλλοντες χάλκια λέγουσι, καὶ τὸ ὀστέον ὄστιον· καὶ ἀνάπαλιν τῷ ε̄ ἀντὶ τοῦ ῑ, ὡς ὅταν τὴν ἱστίαν, ⟨ξ 159⟩ ἱστίη τ' Ὀδυσῆος, ἑστίαν λέγωσι. Τὰ γοῦν εἰς ο̄ς̄ λήγοντα καθαρὰ ἐπὶ τῆς γενικῆς θέλει τὴν δοτικὴν ἔχειν εἰς ῑ καὶ ἰσοσυλλαβεῖν, οἷον Ἀτρέος Ἀτρέϊ· ἐν δὲ τούτοις οὐ πάνυ τι ἀνέχεται τὸ ῑ καθ' ἑαυτὸ ἐκφωνούμενον, ἀλλὰ τῷ ε̄ συνεκφωνεῖται, διόπερ καὶ ἐν τῷ πολιτικῷ λόγῳ συναιρεῖται· οὐ γὰρ διαίρεσίς ἐστιν, ὡς ὑπολαμβάνουσί τινες, ἀλλὰ τὸ μὲν ὁλόκληρον ἰσοσύλλαβόν ἐστι τῇ γενικῇ, τὸ δὲ συνῃρημένον πέπονθεν· ἀπὸ δὴ ταύτης τῆς δοτικῆς τρισυλλαβούσης γίνεται πατρωνυμικὸν Ἀτρεΐδης τετρασύλλαβον, ᾧ οἱ Αἰολεῖς χρῶνται· πάλιν δὲ τοῦτο ἐν τῷ λόγῳ τῷ πολιτικῷ συναιρεῖται. Καὶ ἐν ταῖς κλίσεσι τῶν ῥημάτων τὰ ἀπὸ τοῦ ε̄ ἀρχόμενα ἐπὶ τοῦ παρατατικοῦ πολλάκις προσλαμβάνουσι τὸ ῑ. Τοσαύτη δὲ προσπάθεια τοῦ ῑ πρὸς τὸ ε̄, ὥστε ἀμφιβολίαν γενέσθαι ἐκ τῆς ἐκφωνήσεως τοῦ ῑ ἐκτεινομένου καὶ τῆς ε̄ῑ διφθόγγου. Ἔστι δὲ τῷ χρόνῳ ἐλάχιστον τὸ ῑ καὶ τῷ χαρακτῆρι· διόπερ οὐ ῥᾳδίως ἀνέχεται καθ' ἑαυτὸ ἐκφωνεῖσθαι, ἀλλὰ τοῖς πρὸ αὐτοῦ συντάττεται, ἐνίοτε δὲ σχεδὸν οὐδὲ χωρίον ἔχει στοιχείου.

Ἐζήτησάν τινες, πότερον δισύλλαβόν ἐστιν ἢ τρισύλλαβον· ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ μυῖα καὶ τοῦ υἱός· διόπερ καὶ οἱ Ἀττικοὶ ὡς πρώτην χώραν ἐπέχοντος τοῦ ῡ, ἐν τούτοις ἐκβάλλουσιν αὐτό. Ἐκ μιᾶς δὲ γραμμῆς συνέστηκε, διὸ καὶ τὸ ὄνομα αὐτοῦ τινες θέλουσιν ἐντεῦθεν γεγονέναι· καὶ γὰρ οἱ παλαιοὶ τὸ ἴον ἓν ἔλεγον, ⟨Z 422⟩ οἱ μὲν πάντες ἰῷ κίον ⟨ἤματι⟩ Ἄιδος εἴσω. Τῶν ἄλλων δὲ δισυλλάβων ὄντων τοῦτο τρισύλλαβον, εἰ μὴ ἄρα τις φαίη δισύλλαβον εἶναι, καθάπερ καὶ τὸ Ἰ⟨λι⟩άς· αἴτιον δὲ τοῦ τρισυλλάβου αὐτῷ τὸ δοκεῖν παρώνυμον εἶναι, ἀπὸ γὰρ τοῦ ἴον, ὃ σημαίνει τὸ ἕν, ἐσχημάτισται.

Μετὰ δὲ τὸ ῑ παρελήφθη ἓν τῶν ψιλῶν, οὐ τῶν ἀμεταβόλων, διότι τὰ ψιλὰ προηγεῖται τῶν ὑγρῶν, τὰ δὲ ὑγρὰ οὐκέτι προτάσσεται τῶν ψιλῶν. Προετάγη δὲ τῶν ψιλῶν τὸ κ̄ διὰ τὴν δισυλλαβίαν.

---

4 τοίνυν — δασείας A, τὴν δασεῖαν E ‖ **6** στερεῖσθαι E, ὑστερεῖσθαι A ‖ **9** χάλκια] τὸ ῑ AE ‖ **11** ἱστίη τὸ ὀδυσσῆος A, ἑστίαν ὁ ὀδυσσεὺς E | λέγει E, λέγ A ‖ **14** συνεκφωνεῖσθαι A, συνεκφωνῆσθαι E ‖ **18** ᾧ οἱ] ὦ A, ὡς οἱ E ‖ **22** γενέσθαι ἐκ *om* E | ἐκτεινομ. *om* E ‖ **25** χωρίον] χω A, χωρὶς E ‖ **28** ῡ] ῑ AE ‖ **33** τρισυλλάβου] δισυλλάβου AE ‖ **35** ἓν τῶν ψ.] ἐν τοῖς ψιλοῖς AE

Ἔδει δὲ μετὰ τὸ ψιλὸν ἕν τι παραληφθῆναι τῶν ἀμεταβόλων· οὐδὲν γὰρ τούτων μέχρι νῦν παρελήφθη· καὶ παρελήφθη τὸ λ̄ διὰ τὴν διcυλλαβίαν. Ἔδει δὲ μᾶλλον διπλοῦν παραληφθῆναι τὸ ξ̄· πολλὴν γὰρ cυγγένειαν ἔχει πρὸc τὸ κ̄, ὡc ἐκ πολλῶν δῆλον· αἱ γὰρ εἰc ξ̄ εὐθεῖαι εἰc κ̄ ποιοῦcι τὰc γενικάc, καὶ τὸ κ̄ τοῦ ἐνεcτῶτοc εἰc ξ̄ μεταβάλλεται ἐπὶ τοῦ μέλλοντοc· ἀλλ' ἐπεὶ τῶν διπλῶν ἤδη παρελήφθη τὸ ζ̄, τούτου χάριν ἔδει ἀμετάβολον παραληφθῆναι.

... Μετὰ δὲ τὸ ρ̄ τέτακται τὸ c̄, ἐπεὶ πολλὴν cυγγένειαν ἔχει πρὸc αὐτό· παρὰ γοῦν Ἐρετριεῦcιν ἀντὶ τοῦ ρ̄ παραλαμβάνεται, ὡc ἐν τῷ μυρρίνη μυρcίνη, ἄρρην ἄρcην. Διcύλλαβον δὲ ὂν τέτακται μεταξὺ τῶν μονοcυλλάβων, οἱ δὲ Δωριεῖc μονοcύλλαβον αὐτὸ προφέρονται.

Μετὰ δὲ τὸ c̄ τέτακται τὸ τ̄, ἐπειδὴ cυγγένειαν ἔχει πρὸc αὐτό· ἀντὶ γὰρ τοῦ c̄ τὸ τ̄ παραλαμβάνεται, καὶ ἀνάπαλιν ἀντὶ τοῦ τ̄ τὸ c̄· οἱ γὰρ Ἀττικοὶ τὸ cεῦτλον τεῦτλον λέγουcι καὶ τὸ cύ τύ· ἐπὶ δὲ τῶν ὀνομάτων τὸ c̄ εἰc τ̄ μεταβάλλεται, ὡc ἐπὶ τοῦ χάριc χάριτοc, θέμιc θέμιτοc· καὶ ἀντὶ τοῦ τ̄ τὸ c̄, ὡc ἐπὶ τοῦ ἐνιαυτόc ἐνιαύcιοc καὶ τῶν ὁμοίων· καὶ τοῦ ἀνύτω ῥῆμα ὁ μέλλων ἀνύcω.

... Μετὰ δὲ τὸ ῡ παρελήφθη τὸ φ̄, οὐ τὸ ψ̄, ἐπειδὴ τὰ διπλᾶ ὕcτερον ἐπενοήθηcαν. Τὸ δὲ φ̄ προετάγη τοῦ χ̄· ὥcπερ ἐτάχθη τὰ μέcα τὰ ἀντὶ αὐτῶν παραλαμβανόμενα, οὕτω καὶ ταῦτα· πρῶτον μὲν τὸ β̄, ἀντὶ τοῦ φ̄, δεύτερον τὸ γ̄, ἀντὶ τοῦ χ̄. Ἄλλωc τε καὶ διὰ τοῦτο οὐκ ἐτάγη τὸ ψ̄ ⟨πρὸ τοῦ χ̄⟩· οὐδέποτε γὰρ διπλοῦν προηγεῖται cυμφώνου· διὸ καὶ ἐν τῇ τάξει τῶν cτοιχείων τὸ μὲν ζ̄ προηγεῖται τοῦ η̄, τὸ δὲ ξ̄ τοῦ ο̄· εἰκότωc ⟨οὖν⟩ καὶ τὸ ψ̄ προηγεῖται τοῦ ω̄. Εἰκότωc δὲ ἐτάγη τὸ ω̄ ἔcχατον, ἵνα μὴ τὸ νεώτερον τῆc εὑρέcεωc ἀποφεύγῃ· ἄλλωc τε καὶ ὡc μεῖζον ὑπάρχον τῶν φωνηέντων, καθάπερ καὶ τὸ ᾱ ἐκτεινόμενον, ἵν' ὥcπερ ὑπὸ δεcμῶν τῶν μακροτάτων cτοιχείων cυνέχωνται τὰ ἄλλα cτοιχεῖα.

Γράμματά ἐcτιν κδ'.] Ἀνακολούθωc «περὶ cτοιχείου» ἐπιγράψαc περὶ γραμμάτων διαλαμβάνει· ἐπεὶ γὰρ ὁ περὶ cτοιχείου λόγοc φιλοcοφικώτεροc ἦν, εἰcαγωγικὴ δὲ ἡ παροῦcα τέχνη, ἄκαιρον ἡγήcατο ἐν εἰcαγωγῇ τὴν διδαcκαλίαν ταύτην ἐπὶ προτάcει τῶν νέων ἀήθων ὄντων πρὸc τὴν τοιαύτην διδαcκαλίαν ποιήcαcθαι. — Εἰ δέ τιc λέγοι τὰ γράμματα μὴ εἶναι cτοιχεῖα, ἐπειδή τινα ἐν αὐτοῖc διπλᾶ εἴρηται, τὰ δὲ cτοιχεῖα ἁπλᾶ προcήκει εἶναι, λέξομεν ὅτι ταῦτα ἐν τῇ Αἰολίδι διαλέκτῳ εἰcὶ διπλᾶ· οὗτοι γὰρ ἀντὶ τοῦ ζ̄ τὸ c̄ καὶ δ̄ τιθέαcιν· οὐ δεῖ δὲ τὸ

29—33 *cfr Σ*ᵐ *318, 38—319, 15*

1 Ἔδει — διcυλλαβ. (3) *om* E ‖ 7 παραληφθῆναι] παραλήγεcθαι AE ‖ 8 *patet nonnulla intercidisse* ‖ 11 δὲ E, γὰρ A ‖ 14 *post* καὶ *RSchneider add* οἱ Δωριεῖc καὶ Αἰολεῖc ‖ 17 τοῦ] τὸ A, *om* E ‖ 18 *patet nonnulla intercidisse* | παρελήφθη] προετάφη AE ‖ 27 τὰ ἄλλα cτ. *om* A ‖ 29 εἰcιν E ‖ 33 λέγ A, λέγει E ‖ 35 προc. εἶναι *om* E ‖ 36 ἀντὶ — δὲ *om* E

παρ᾽ ἐνίοις δοξαζόμενον κατὰ πάντων κοινὸν θεώρημα ὁρίζεσθαι. — Ταύτῃ δὲ διαφέρει στοιχεῖον γράμματος, ὅτι τὸ μὲν στοιχεῖόν ἐστιν ἡ φωνὴ καὶ ἡ δύναμις, τὸ δὲ γράμμα ὁ τύπος καὶ τὸ ξύσμα.

Διὰ τί δὲ κδ΄ ἔφη εἶναι τὰ γράμματα; εἰ γὰρ γράμματά εἰσιν οἱ 335, 30c χαρακτῆρες καὶ οἱ ξυσμοί, γράμματα δὲ καὶ τὰ παρὰ Χαλδαίοις καὶ Αἰγυπτίοις, καί τινα ἕτερα, τὸ δίγαμμα καὶ τὸ κόππα καὶ τὸ καλούμενον παρακύϊσμα, καὶ τὰ σημεῖα, καὶ τὰ παρεγγραφόμενα τοῖς στοιχείοις, καὶ ἡ κορωνίς, καὶ εἴ τι τοιοῦτον, ἀτόπως φησὶν ὅτι κδ΄ ἐστίν. Φαμὲν οὖν ὅτι, ὡς σφαλεροῦ ὄντος, ὅτι περὶ τῶν ἐν χρήσει τοῖς Ἕλλησι διαλαμβάνει, περὶ τούτων λέγει μόνον· ἐκεῖνα δὲ γράμματα μέν, οὐ μὴν δὲ στοιχεῖα.

Λέγουσι δέ τινες ταῦτα στοιχεῖα· εἰ γὰρ ἐπιθέντες τὴν δασεῖαν οὐ μόνον τὴν τῶν ἁπλῶν στοιχείων φωνὴν σημαίνομεν, ἀλλὰ καὶ δασύτητα μετὰ τῆς τοῦ στοιχείου φωνῆς, δῆλον ὅτι στοιχεῖόν ἐστιν. Φαμὲν οὖν ὅτι τὰ στοιχεῖα ἰδίαν ἔχουσι φωνὴν ἢ σὺν ἑτέροις· καὶ τὰ μὲν φωνήεντα ἀφ᾽ ἑαυτῶν ἔχουσι φωνήν, τὰ δὲ σύμφωνα μετὰ τῶν φωνηέντων συντεθέντα· οὐ γὰρ ἐν τῇ $\overline{ρη}$ ἡ φωνὴ μόνη τοῦ $\overline{η}$ ἀλλὰ καὶ τοῦ $\overline{ρ}$ ἐξακούεται. Εἰ τοίνυν τῆς δασείας ἐπικειμένης ἐφαίνετο φωνὴ περιττή τις ἐν τῷ $\overline{ε}$, δῆλον ὅτι καὶ ἡ δασεῖα ἦν στοιχεῖον· εἰ δὲ μὴ περιττεύει μὲν φωνή, ἀλλ᾽ ἔστι συμβεβηκὸς περὶ τὴν φωνήν — συμβέβηκε γὰρ περὶ τὴν φωνὴν ἡ δασύτης καὶ ἡ ψιλότης — οὐ μὴν τὰ συμβεβηκότα ἄλλο τί ἐστι παρ᾽ ἐκεῖνο ᾧ συμβέβηκεν, οἷον οὐχὶ τὸ λευκὸν ⟨ὅ⟩ τινι ἀνθρώπῳ συμβέβηκεν ἄλλο τί ἐστι παρὰ τὸν ἄνθρωπον, οὕτως ἄρα ἡ δασεῖα ἐπικειμένη καὶ αἱ ἄλλαι προσῳδίαι τοῖς στοιχείοις οὐχ ᾗ στοιχεῖα πρόσκεινται, ἀλλ᾽ ᾗ συμβεβηκότα αὐτοῖς. Ἔτι δὲ τὰ στοιχεῖα τῇ πρὸς ἄλληλα κοινωνίᾳ συλλαβὴν ἀποτελεῖ, αἱ δὲ προσῳδίαι μισγόμεναι οὐκ ἀποτελοῦσιν· οὐκ ἄρα στοιχεῖα, γράμματα δέ.

Τάξιν δὲ ἔσχε τὰ στοιχεῖα κατὰ τὴν ἐν ἀριθμοῖς, οἷον τὸ $\overline{α}$ σημαίνει ἕν, τὸ $\overline{β}$ δύο.

Οὐ διαφέρει δὲ ὁ τεχνικὸς περὶ τῆς ὀνομασίας αὐτῶν· «γράμματα» γὰρ εἰπὼν μικρὸν προελθὼν «στοιχεῖα» φησίν. Εἴρηται δὲ στοιχεῖον ἐκ τοῦ τεῖχος· ὥσπερ γὰρ τὸ τεῖχος φυλακή ἐστι τῶν ἐν τῇ πόλει, οὕτω καὶ τὰ στοιχεῖα φυλακή εἰσι τῶν παλαιῶν πραγμάτων· δι᾽ αὐτῶν γὰρ ἡμῖν τοῖς μεταγενεστέροις ἐφυλάχθη.

Λέγεται δὲ στοιχεῖον διττῶς· τά τε ἀφ᾽ ἑαυτῶν ἀρχόμενα γράμματα, καὶ τὰ ἐξ ὧν σύγκειται τὰ σώματα.

Διὰ τί δὲ εἶπεν «ἀπὸ τοῦ $\overline{α}\overline{β}$ μέχρι τοῦ $\overline{ω}$»; Ὅτι τὸ μὲν $\overline{α}$ γένος

30—33 *cfr* **Σ**[d] *36, 2—8* ‖ **36—497, 3** = **Σ**[m] *324, 9—13*

3 ξέσμα AE ‖ **7** παρεγγραφόμενα A, παραφθεγγόμενα E ‖ **8** κορώνη AE ‖ **10** δὲ γρ. μὲν A, μὲν γρ. E | δὲ στ. E, καὶ στ. A ‖ **12** δασύτητα καὶ H μετὰ A, δασύτης τὶ ἢ μετὰ E ‖ **19** ἀλλ᾽ ἔστι] δέ ἐστι AE ‖ **20** ἀλλ᾽ ὅτι ἐστὶ E, ἄλλα ἐστὶ A ‖ **21** ᾧ E, ὃ A | οἷον — συμβέβ. (**22**) *om* A ‖ **22** ἀλλ᾽ ὅτι ἐστὶ AE ‖ **29** τεχνικὸς] ποιητὴς AE

δηλοῖ, τὸ δὲ β εἶδος· ἢ ὅτι οὐσίας ἐστὶ σημαντικὸν τὸ ᾱ, τὸ δὲ β̄ συμβεβηκότος [καὶ δῆλον ὡς τὸ ὄνομα οὐσίας ἐστὶ σημαντικόν, συμβεβηκότος δὲ τὸ ῥῆμα]· ἢ ὅτι τὸ μὲν ᾱ ἓν πρόσωπον δηλοῖ, τὸ δὲ β̄ δύο. Ἔσχατον δὲ τῶν στοιχείων τὸ ω̄, ἐπεὶ μονοσύλλαβόν ἐστι, καὶ τρόπον τινὰ ὥσπερ τὸ ᾱ ἀφ' ἑαυτοῦ ἄρχεται καὶ εἰς ἑαυτὸ καταλήγει.

326, 1c Γράμματα δὲ λέγονται διὰ τὸ γραμμαῖς καὶ ξυσμαῖς τυποῦσθαι· ἔνθεν καὶ γράβδις ἡ διεσχισμένη λαμπάς, καὶ γραῦς ἡ διεσχισμένη τὸ σῶμα διὰ τὸ γῆρας, καὶ ζωγράφος ὁ τῇ γραφίδι πρός⟨ωπα⟩ καταξύων.

Τούτων φωνήεντα μέν ἐστιν ἑπτά, ᾱ ε̄ η̄ ῑ ο̄ ῡ ω̄.] Τὸ ῑ μέσον τέτακται *etc.* = Σ^m 326, 19—25. — Φασὶ δὲ τὰ ἑπτὰ φωνήεντα κατὰ μίμησιν εἶναι τῶν ἑπτὰ πλανήτων· καὶ τὸ μὲν ᾱ *etc.* = Σ^v 198, 4—6. — Ἰστέον δὲ ὅτι τὰ μὲν φωνήεντα τῇ ψυχῇ ἐοίκασι, τὰ δὲ σύμφωνα τῷ σώματι· ὥσπερ γὰρ ἡ ψυχὴ χωρὶς τοῦ σώματος δύναται εἶναι, τὸ δὲ σῶμα χωρὶς τῆς ψυχῆς οὐ δύναται συστῆναι, τὸν αὐτὸν τρόπον τὰ μὲν φωνήεντα καὶ χωρὶς τῶν συμφώνων δύνανται συστῆναι, τὰ δὲ σύμφωνα ἄνευ τῶν φωνηέντων οὐ δύνανται συστῆναι. Φωνήεντα δὲ λέγεται οὐχ, ὥς φασί τινες, ὅτι φωνῆς αἴτιά εἰσι τοῖς συμφώνοις, ἀλλ' ὅτι φωνὴν ἀφ' ἑαυτῶν ἀποτελεῖ, ὥσπερ τὸ ⟨Τ 407⟩ αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη, οὐχ ἑτέροις πάροχον φωνῆς, ἀλλὰ τὸν φωνῇ χρήσασθαι δυνάμενον. — Ἀνάκειται δὲ τὸ ᾱ τῇ Σελήνῃ, ἅτε δὴ τὴν πρώτην ἀφ' ἡμῶν λαχούσῃ ζώνην· τὸ δὲ ε̄ τῷ Ἑρμῇ τὴν δευτέραν ἔχοντι· τὸ δὲ η̄ τῇ Ἀφροδίτῃ τὴν τρίτην ἐχούσῃ· τὸ δὲ ῑ τῷ Ἡλίῳ, ὅτι τὸν μέσον πόλον περιθεῖ, ἔχει δὲ καὶ γραμμὴν ἀποτεταμένην τε καὶ ἴσην, σημαίνουσαν τοῦ θεοῦ τὰς ἀποτεταμένας ἀκτῖνας· τὸ δὲ ο̄ τῷ Ἄρει τὴν πέμπτην ἔχοντι· τὸ δὲ ῡ τῷ Διὶ τὴν ἕκτην ἔχοντι· τὸ δὲ ω̄ τῷ Κρόνῳ τὴν τελευταίαν ἔχοντι.

Τούτων μακρὰ μέν ἐστι δύο.] Πόθεν ἔγνωσται τὰ μὲν μακρὰ ὄντα, τὰ δὲ βραχέα, τὰ δὲ δίχρονα; Ῥητέον δὲ ὅτι τὸ μακρὸν πρός τί ἐστι μακρόν, καὶ τὸ βραχὺ πρός τί ἐστι βραχύ· οὐδὲν γάρ ἐστιν, ὅπερ καθ' αὑτὸ μακρόν ἐστιν ἢ βραχύ, ἀλλὰ πρὸς ἕτερον. Ἐπεὶ τοίνυν πολλάκις φαίνεται τὰ μακρὰ ἀναλυόμενα εἰς δύο βραχέα, ὡς τὸ σῶς σόος, ⟨π 131⟩ εἶφ' ὅτι οἱ σόος εἰμί, καὶ πάλιν τὸ δῆλον δέελον, ὡς τὸ ⟨Κ 466⟩ δέελον δ' ἐπὶ σῆμά τ' ἔχευε, διὰ τοῦτο τὰ μὲν μακρά, τὰ δὲ βραχέα, οὐ τῷ τύπῳ τοῦ σχήματος, ἀλλὰ τῷ χρόνῳ τῆς φωνῆς, ὡς ἐν διπλασίονι χρόνῳ παρὰ τοῖς παλαιοῖς τῶν βραχέων ἐκφωνούμενα. Καὶ τὰ δύο μὲν ἐν ἰσότητι δοκεῖ ⟨εἶναι⟩· εὑρέθη δὲ μακρότερον τὸ η̄,

---

6—8 = Σ^v *197, 12—14* ‖ **12—16** *cfr* Σ^v *198, 16—22* ‖ **20—26** *cfr* Σ^v *198, 4—6* ‖ **28—498, 2** = Σ^ϑ *32, 20—31*

2 σημαντικόν] σημεῖον AE ‖ **7** γράβδης AE | διεσχισμένη A, διεξυσμένη E ‖ **8** γραφίδι] ζωγραφίδι A, ζωγραφία E | προσκαταξέων AE ‖ **9** ἐστιν *om* A | *in marg. add* A: κατὰ μίμησιν τῶν ζ' χορδῶν τῆς λύρας τοῦ Ἀπόλλωνος ‖ **18** τὸ] τὰ AE ‖ **28** ὄντα] ἐοντ: A, εἶναι E | τὸ μ. πρός τι ἐστὶ βραχύ, καὶ τὸ βρ. πρός τι ἐστὶ μακρόν AEΣ^ϑ ‖ **32** δέελον ὡς τὸ *om* A ‖ **33** ἔχευε E, ἔχεε A

ἐπειδὴ ἐπὶ μὲν τοῦ ω̄ προπαροξύνονται λέξεις τινές, ἐπὶ δὲ τοῦ η̄ οὐδέποτε. Ἀλλ' ἐρεῖ τις *etc.* = Σ^d 36, 31 — 37, 7.

⟨*Heliodori.*⟩ — Βραχέα δύο, ε̄ καὶ ο̄.] Δῆλον ὅτι οἱ παλαιοὶ ταῦτα παρατρέχοντες ἐφθέγγοντο. Ἐπὶ δὲ τούτων Ἡρωδιανὸς καὶ ὁ τούτου πατὴρ Ἀπολλώνιος ἐζήτησαν, τί τίνος βραχύτερον· καὶ ὁ μὲν Ἀπολλώνιός φησι τὸ ο̄· λέγει γὰρ ὅτι τὸ ῑ ἑκατέρῳ αὐτῶν προσθεὶς ποιήσεις δύο διφθόγγους· καὶ ἡ μέν ἐστι μείζων ἡ τὸ ε̄ ἔχουσα, ἡ δὲ ἐλάσσων ἡ τὸ ο̄ ἔχουσα, ὡς εἶναι αὐτὴν καὶ βραχεῖαν ἐν τοῖς τόνοις, οἷον Ὅμηροι. Ὁ δὲ Ἡρωδιανὸς μᾶλλον λέγει τὸ ε̄ βραχύτερον· φησὶ γὰρ ὅτι οὐ δεῖ τῇ παραθέσει τοῦ ῑ ἐξετάζειν ἐκείνων τὴν δύναμιν, ἀλλὰ κατ' ἰδίαν ἄνευ τινὸς παραθέσεως καὶ μάλιστα τῆς τοῦ ῑ· τοῦτο γὰρ συγγένειαν ἔχει πρὸς τὸ ε̄· καὶ δείκνυσιν ἐκ τοῦ τὴν ἐκφώνησιν τοῦ ῑ εἶναι ὄνομα τοῦ ε̄ γράμματος· τῷ συγγενεῖ οὖν προστεθὲν μεγάλην τὴν δίφθογγον ἀπετέλεσεν, τῷ δὲ ο̄ προσελθὸν τὸ ῑ, ᾧ οὐκ ἔχει συγγένειαν, οὐκ ἐνεδείξατο ὅλην τὴν ἑαυτοῦ δύναμιν· ὡς ἐπὶ παραδείγματος ἀνθρωπείου, εἴ τις ἀδελφὸν ἑαυτοῦ θεάσαιτο χρείαν ἔχοντα βοηθείας, ὅλῃ ψυχῇ ὑπερασπίζει αὐτοῦ, εἰ δὲ ξένον, εἰ καὶ συμμαχεῖ, ἀλλ' οὐχ ὅλῳ τῷ λογισμῷ· οὕτως καὶ ἐπὶ τοῦ ῑ νόησον, ὅτι οὐχ ὁμοίως ἐπεδείξατο τὴν ἑαυτοῦ δύναμιν ⟨ἐπὶ τοῦ ο̄⟩, ὡς ἐπὶ τοῦ ε̄ τοῦ συγγενοῦς. Διὰ τοιούτων λόγων ὁ Ἡρωδιανὸς ἀποστρέψας τὴν τοῦ πατρὸς δόξαν ἐπιφέρει τοιαύτην δικαιολογίαν, δεικνὺς τὸ ε̄ βραχύτερον· λέγει δὲ τοιοῦτον κανόνα, ὅτι πᾶσα κλητικὴ τὸν ἴσον χρόνον θέλει ἔχειν τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα· ἐπὶ δὲ τῆς εἰς ο̄ς̄ τρέπει αὐτὸ εἰς ε̄. Πότε ἰσοχρονεῖ τῇ εὐθείᾳ ἡ κλητική, καὶ πότε οὔ; Ἡνίκα ἡ εὐθεῖα οὐ μεταβάλλει τὸ φωνῆεν αὐτῆς, ἰσοχρονεῖ τῇ κλητικῇ, ἡνίκα δὲ μεταβάλλει, ἐλάττονα χρόνον ⟨ἔχει ἡ κλητική⟩. Ἐπεὶ οὖν εὑρίσκεται ἐπὶ τῶν εἰς ο̄ς̄ τρεπόμενον τὸ τελικὸν τῆς εὐθείας εἰς ε̄, βραχύτερόν ἐστι τοῦ ο̄ τὸ ε̄. Ἀλλὰ καὶ ἐκ διαλέκτων· ἡ γὰρ Αἰολὶς διάλεκτος διπλασιάζουσα τὰ σύμφωνα τὰ προκείμενα φωνήεντα συστέλλει εἰς ἧσσονα· τὸ πενθήσεις πενθές⟨σ⟩εις φησίν· εἰ οὖν τὸ τοσοῦτον λέγει τος⟨σ⟩οῦτον, δῆλον ὅτι ὡς ἐκ μείζονος εἰς ἐλάττονα συστολὴν ποιεῖται. Ἀλλὰ καὶ αἱ ἑνι- 799, 30b καὶ γενικαὶ μείζονα τέλη ἔχουσι τῶν πληθυντικῶν εὐθειῶν, οἷον Ῥοδίου Ῥόδιοι, λιθίνης λίθιναι· εἴπερ οὖν ἐξελέξατο ἡ μὲν ἑνικὴ γενικὴ τὸ ο̄, ἡ δὲ πληθυντικὴ εὐθεῖα τὸ ε̄, ὡς ἐν τῷ Αἴαντος Αἴαντες, δῆλον ὡς ἔλαττον καὶ ⟨μᾶλλον⟩ συνεσταλμένον ἐστὶ τὸ ε̄ τοῦ ο̄.

3—35 *videntur esse* Σ^h (*habet etiam cod. Baroccianus 35 fol.* 41^r; *cfr R Schneider, Bodl. p. 43*) ‖ **3—31** *cfr* Σ^d *37, 8—38, 14* ‖ **4—35** *cfr* Σ^{ϑ} *32, 32—34, 13* ‖ **31—35** = Σ^{ϑ} *34, 8—13*

1 ἐπειδὴ τῶ μὲν ω̄ A, ἐπὶ μὲν τοῦ ω̄ E ‖ **4** περιτρέχοντες AE ‖ **6** φησι *om* A ‖ **12** ἐκ — γράμματος (**13**) A, τοῦτο E ‖ **13** τοῦ ἐγγράμματος A ‖ **14** τῷ — ᾧ] τοῦ δὲ ο̄ προσελθόντος ὧ A, τῶ δὲ ο̄ προστεθέντος ῑ E ‖ **18** ὅτι — τοῦ ο̄ (**35**) *om* E ‖ **30** οὖν] καὶ A ‖ **33** γεν. ἑν. A ‖ **35** μᾶλλον *add R Schneider*

Δίχρονα τρία, ᾱ ῑ ῡ.] Τὰ δίχρονα *etc.* = Σ^m 328, 29—329, 16.

⟨*Heliodori.*⟩ — Τίνι δὲ διαφέρει μακρὸν ἐκτεινομένου καὶ βραχὺ συνεσταλμένου; Καὶ ἔστιν εἰπεῖν, ὅτι ὥσπερ ἄλλο ἐστὶ λευκὸν καὶ ἄλλο λευκαινόμενον — λευκὸν γάρ ἐστι τὸ ὂν ⟨φύσει⟩ λευκόν, λευκαινόμενον δὲ τὸ μὴ ὂν ⟨φύσει⟩ λευκὸν ἀλλὰ γενόμενον — τὸν αὐτὸν τρόπον ἄλλο ἐστὶ μακρὸν καὶ ἄλλο βραχύ, καὶ ἄλλο ἐκτεταμένον καὶ ἄλλο συνεσταλμένον· μακρὸν μὲν γάρ ἐστι τὸ ὂν ⟨φύσει⟩ μακρόν, ἐκτεινόμενον δὲ τὸ μὴ ὂν ⟨φύσει⟩ μακρὸν ἀλλὰ γενόμενον· καὶ πάλιν βραχὺ μέν ἐστι τὸ ὂν ⟨φύσει⟩ βραχύ, συνεσταλμένον δὲ τὸ μὴ ὂν ⟨φύσει⟩ βραχὺ ἀλλὰ γενόμενον.

Προτακτικὰ φωνήεντα πέντε.] Ὡς πρὸς τὴν τῶν ἄλλων φωνηέντων σχέσιν· οὐ γὰρ πάντων τῶν ὑπολοίπων στοιχείων εἰσὶ ταῦτα προτακτικά, ἀλλὰ τοῖς συμφώνοις ὑποτάσσονται. Ἔστι δὲ δῆλον τοῦτο· τὸ γὰρ ῡ λέγεται προτακτικόν, ὅπερ οὐδέποτε τοῦ χ̄ προτάσσεται· ἐναντία γὰρ ἀλλήλοις τό τε ῡ καὶ τὸ χ̄· τὸ μὲν γὰρ ⟨ῡ⟩ πάσης ἀρχόμενον λέξεως δασύνει αὐτήν, τὸ δὲ χ̄ παντὶ ἐπιφερόμενον φωνήεντι ψιλοῖ αὐτό, μόνου σεσημειωμένου τοῦ ᾗχι Ἀττικοῦ. Πρός τι τοίνυν αὐτὰ λέγει εἶναι προτακτικά, φημὶ δὴ πρὸς τὰ ἄλλα φωνήεντα. Εἰ δὲ προτακτικὰ μὲν πέντε, ὑποτακτικὰ δὲ δύο, συμβήσεται ἑκάστου τούτων [ἓν] ἑκατέρου τῶν δύο προταττομένου, τοῦ ῑ ἢ τοῦ ῡ, ποιεῖν διφθόγγους ι´· ἀλλὰ μὴν λέγει, ὅτι καὶ τοῦ ῑ τὸ ῡ προτακτικόν ἐστιν, ὥστε ια´ ἔσονται δίφθογγοι. Πῶς οὖν φησιν ἓξ εἶναι διφθόγγους; Ἐπεὶ αἱ πέντε ἐν ταῖς διφθόγγοις εἰσὶ δυσχερεῖς, ἀναλογίας τῆς ἐξ ἀκριβείας δεόμεναι, περὶ ⟨δὲ⟩ τῶν εὐχερεστέρων διείληφε· δυσχερὴς γὰρ ἡ η̅ι̅ δίφθογγος, ⟨Ο 708⟩ δῄουν ἀλλήλους, ⟨καὶ⟩ ἡ η̅υ̅, προσηύδα, καὶ ἡ ω̅ι̅, ⟨Α 366⟩ ᾠχόμεθ᾽ ἐς Θήβην, καὶ ἡ ω̅υ̅, ⟨Ε 396⟩ εὖτέ μιν ωὐτὸς ἀνήρ, καὶ ἡ υ̅ι̅. Εἰσὶ δὲ αἱ μὲν κατὰ κρᾶσιν, αἱ δὲ κατ᾽ ἐπικράτειαν, αἱ δὲ κατὰ διέξοδον· κατὰ κρᾶσιν μὲν ἕξ, α̅ι̅ α̅υ̅ ε̅ι̅ ε̅υ̅ ο̅ι̅ ο̅υ̅, ἴση γάρ ἐστι τούτων ἡ κρᾶσις ἐν τῇ προφορᾷ· κατ᾽ ἐπικράτειαν δὲ δύο, ⟨τὸ⟩ η̅ πρὸς ⟨τὸ⟩ ῑ καὶ τὸ ω̅ ὁμοίως πρὸς τὸ ῑ· καὶ δεῖγμα τοῦ μὲν η̅ πρὸς τὸ ῑ, ⟨κ 251⟩ ᾔομεν ὡς ἐκέλευες, ἐνταῦθα ⟨γὰρ⟩ συγγράφεται μὲν τὸ ῑ, οὐ συνεκφωνεῖται δὲ διὰ τὸ ἠμαυρῶσθαι καὶ συγκεκροτῆσθαι ὑπὸ τοῦ μακροῦ· τοῦ δὲ ω̅ πρὸς τὸ ῑ, ⟨ex gr. α 362⟩ εἰς ὑπερῷ᾽ ἀναβᾶσα. Καὶ ἔνθα μὲν συνέζευκται καὶ συνήνωται κατὰ μίαν συλλαβήν, οὐ συνεκφωνεῖται· ἔνθα δὲ συνίσταται τῷ μακρῷ, τὴν ἰδίαν δύναμιν δείκνυσι. Διά τοι τοῦτο ὅτε μὲν καθ᾽ ἑαυτό ⟨ἐστι⟩ τὸ ῑ ἢ τὸ ῡ, περισπίζεται, δηλουσῶν τῶν στιγμῶν

2—10 *cfr* Σ^m *328, 17—23; videntur esse* Σ^h ‖ **22—500, 6** *cfr* Σ^m *331, 16—29*

3 συνεσταλμένου] βραχυνομένου AE | ὥσπερ *om* A ‖ **5** γινόμενον AE | τὸν — γενόμενον (10) *om* A ‖ **8** γινόμενον E; *item v. 10* ‖ **11** φων. εἰσὶ ε´ A ‖ **13** Ἔστι E, ὅτι A ‖ **16** αὐτὴν A, αὐτὸ E ‖ **17** μόνου — Ἀττικοῦ *om* E ‖ **20** δίφθογγον AE ‖ **23** περὶ — διείλ. (**24**) *om* E ‖ **27** Εἰσὶ — ἀναβᾶσα (**33**) *om* E ‖ **29** τὸ ω̅] τοῦ ω̅ A ‖ **31** ἐκέλευσεν A ‖ **35** τῶν μακρῶν AE

τὸν χωριcμὸν αὐτῶν· διὰ τοῦτο γὰρ καὶ μόνα ταῦτα τῶν φωνηέντων ἐπιδέχεται τὰς δύο στιγμάς· οὐκ ἀναγκαῖον δὲ αὐτὰ περιστίζειν ἡγούμεθα, ἐπειδὴ καὶ ἄνευ τούτων τὴν καθ' ἑαυτὰ ἐκφώνησιν προφέρει. Δεῖ δὲ αὐτὰ τότε περιστίζειν, ὅτε ἔστι προτακτικὸν φωνῆεν ἐν διαστάσει, οἷον ἀΰω πάϊς, ἐπειδὴ ὅτε μὴ προηγεῖται προτακτικὸν φωνῆεν ἐν διαστάσει, οὐ δεῖ περιστίζειν.

Καὶ τὸ ῡ δὲ ἐνίοτε προτακτικόν ἐστι τοῦ ῑ.] Τὸ «ἐνίοτε» *etc.* = Σ^d 39, 1—23.

Δίφθογγοι δέ εἰσιν ἕξ.] Λείπει τὸ «εὔφωνοι»· οὐ γὰρ μόναι εἰσὶν ἓξ δίφθογγοι, ἀλλὰ ιβ', ὧν αἱ μὲν ἓξ εἰσιν εὔφωνοι· δίφθογγοι δὲ λέγονται, ἐπεὶ ἐκ δύο φθόγγων συνίστανται· φθόγγοι δὲ καλοῦνται κατὰ μουσικὸν λόγον τὰ γράμματα· αἱ δὲ τρεῖς κακόφωνοι, ἡ $\overline{\eta\upsilon}$, ἡ $\overline{\omega\upsilon}$, ἡ $\overline{\upsilon\iota}$, αἱ δὲ τρεῖς ἄφωνοι, ἡ ῳ̄, ἡ ῃ̄, ἡ ᾱͅ.

Ζητητέον δὲ διὰ τί, ὥσπερ ἡ συλλαβὴ ⟨ἡ⟩ ἐκ φωνηέντων δύο συνεστηκυῖα δίφθογγος καλεῖται, διὰ τί μὴ τὸν αὐτὸν τρόπον καὶ ἡ συλλαβὴ ἡ ἐκ φωνήεντος καὶ συμφώνου [οὐ] καλεῖται δίφθογγος. Καὶ ἔστιν εἰπεῖν, ὅτι διὰ τοῦτο οὐ καλεῖται δίφθογγος ἡ ἐκ συμφώνου καὶ φωνήεντος συνεστηκυῖα συλλαβή, ἐπειδὴ κυρίως φθόγγοι λέγονται τὰ φωνήεντα παρὰ τὸ φθόγγον τινὰ καὶ φωνὴν ἀφ' ἑαυτῶν ἀφιέναι.

Τῶν δὲ διφθόγγων αἱ μέν εἰσι *etc.* = Σ^d 40, 15—41, 3 (ἔχουσιν).

Σύμφωνα δὲ τὰ λοιπὰ ιζ'.] Τίνος ἕνεκεν *etc.* = Σ^d 41, 18—26. — Καλῶς δὲ προσέθηκε *etc.* = Σ^v 200, 30—35. — Ὁριστέον δὲ αὐτὰ οὕτως· «σύμφωνά ἐστιν ἃ μετὰ φωνήεντος ἢ φωνηέντων φωνὴν ἐγγράμματον ἀποτελεῖ»· οὗτος ὅρος ἐστίν· ὁ δὲ τοῦ Διονυσίου εἰς ἐτυμολογίαν μᾶλλον μεταπίπτει.

⟨*Heliodori.*⟩ — Πάλιν δὲ καὶ ἐνταῦθα ἐπιφύονταί τινες λέγοντες, ⟨ὅτι οὐ⟩ καλῶς σύμφωνα ταῦτα λέγει, ὅτι σὺν ἑτέροις ταῦτα φωνὴν ἀφίησι· καὶ δῆλον ὅτι ἔχει φωνήν, εἰ φωνὴν ἀφίησιν· ἀλλὰ μὴν φωνὴν ἔχει, καὶ τί δήποτε μὴ φωνήεντα λέγεται; Καί φαμεν ὅτι κατ' ἐξαίρετον ἐκεῖνα καλεῖται ⟨φωνήεντα⟩, ἐπειδὴ αὐτὰ ἀφ' ἑαυτῶν φωνὴν ἀποτελεῖ· ταῦτα δὲ σύμφωνα, ὅτι χωρὶς τῆς πρὸς τὰ φωνήεντα ἐπιπλοκῆς αὐτὰ καθ' ἑαυτὰ οὐκ ἐκφωνεῖται. Εἰ δὲ λέγεις, ὅτι καὶ φωνήεντα συντασσόμενα μετὰ φωνηέντων φωνὴν ἀποτελεῖ, φημὶ κἀγώ, πρῶτον μὲν οὐ πάντα μετὰ πάντων συμπλέκεται ἐξ ἀνάγκης, ἀλλ' ἐν οἷς χρεία ἀπαιτεῖ, ὡς ἔστιν ἰδεῖν τὰ σύμφωνα δεόμενα τῆς τῶν φωνηέντων κοινωνίας. Δεύ-

---

9—13 *cfr* Σ^d *39, 24—40, 5* ‖ **14—19** *cfr* Σ^m *331, 29—36* ‖ **22—25** = Σ^m *332, 32—35* ‖ **26—501, 14** *videntur esse* Σ^h

4 ἔστι *om* A ‖ **5** μὴ E, μὲν A ‖ **7** τοῦ ῑ *om* A ‖ **10** δίφθογγοι — εἰσιν *om* E ‖ **11** φθόγγοι E, φθογγαὶ A ‖ **12** αἱ — ᾱͅ (13) *om* E ‖ **17** ἡ — συλλαβή (18) *om* E ‖ **18** φθόγγοι A, δίφθογγοι E ‖ **19** παρὰ — ἔχουσιν (20) *om* E ‖ **24** οὗτος ὁ ὅρος A ‖ **26** καὶ *om* A ‖ **28** εἰ E, ὅτι A ‖ **32** λέγεις E, λέγοις A ‖ **33** οὐ A, οὖν E ‖ **34** μετὰ πάντων *om* E

τερον δὲ ἐκεῖνα, καθὼς ἔφην, κἂν μὴ συμπλακῶσιν ἢ μετὰ φωνήεντος ἢ μετὰ συμφώνου, ἰδίαν φωνὴν ἀπαρτίζουσι, καταχρηστικῶς συλλαβῆς ἐπέχοντα τάξιν· ταῦτα δὲ πάντως δεῖται φωνήεντος συμπλοκῆς, οὐ γὰρ ἰδίᾳ φωνὴν ἀπαρτίζει κατὰ τὴν ἐκφώνησιν τῶν συλλαβῶν. Τὸ δὲ μεῖζον, εἰ οὕτω κατασκευάσομεν, εἰ φωνῆεν τὸ σύμφωνον, καὶ συμπλέκεται ἄλλοις δύο φωνήεσιν ἐν τῷ τοῦ καὶ νοῦ, ὥστε εἶναι τρία φωνήεντα ὁμοῦ συμπλεκόμενα καὶ φωνὴν ἀποτελοῦντα, ἵνα σιωπήσω τὰς τετραγραμμάτους. Εἰ ἄρα δὲ δύνανται τὰ φωνήεντα φωνὴν ἀφ' ἑαυτῶν ἀποτελεῖν καὶ οὐ δέονται εἰς τοῦτο τῆς τῶν συμφώνων τάξεως, διὰ τί ἐπενοήθη τὰ σύμφωνα; Καί φαμεν, ὅτι ὥσπερ ἡ ψυχὴ χωρὶς τοῦ σώματος δύναται συστῆναι καὶ ὅμως δεῖται τοῦ σώματος εἰς τὸ ἀποτελέσαι τὴν σύστασιν τῶν ζῴων, τὸν αὐτὸν τρόπον καὶ τὰ φωνήεντα, εἰ καὶ ⟨χωρὶς⟩ δύνανται παραλαμβάνεσθαι, δέονται τῆς τῶν συμφώνων συντάξεως εἰς τὸ ἀποτελέσαι τὴν ἐγγράμματον φωνήν.

Τούτων ἡμίφωνα μέν ἐστιν η'.] Οὐχ ὥσπερ ἡμικύκλιον λέγομεν, οὕτω ἡμίφωνον· καὶ γὰρ τὸ ἡμικύκλιον προσλαβὸν ἕτερον ἡμικύκλιον κύκλον ποιεῖ, τὰ δὲ ἡμίφωνα οὐχ οὕτως ἔχει· οὐ γὰρ τὸ ἡμίφωνον προσλαβὸν ἕτερον ἡμίφωνον τελείαν φωνὴν ἀποτελεῖ· ἀλλ' οὔτε ὥσπερ ἡμίονος λέγεται, οὕτω καὶ ἡμίφωνον· καὶ γὰρ ἡ ἡμίονος ἐκ δύο διαφόρων συνίσταται, ὅπερ τοῖς ἡμιφώνοις οὐ παρέπεται. Ἀλλ' ἔστιν εἰπεῖν ὅτι ὥσπερ ἡμίξηρον χόρτον λέγομεν τὸν μὴ τελείως ξηρόν, οὐ ⟨τὸν⟩ τὸ ἥμισυ ξηρὸν ἔχοντα, τὸν αὐτὸν τρόπον καὶ ἡμίφωνον λέγομεν· τὸ γὰρ ἡμι σημαίνει *etc.* = Σ^{v} 201, 3—21.

⟨*Heliodori.*⟩ — Ἤθελον δέ τινες συγκαταλέγειν αὐτοῖς τὰ δασέα διὰ τὸν γινόμενον ἐν αὐτοῖς ἦχον. Οὓς ἐλέγχομεν κακῶς φρονοῦντας λέγοντες οὕτως· εἴ γε συλλαβὴ ἀρχομένη ἀπὸ τριῶν συμφώνων πάντως τὸ μέσον τῶν τριῶν συμφώνων ἄφωνον ἔχει, οἷον ῥόπτρον πλῆκτρον, δῆλον ὅτι καὶ ἐν τῷ Ἰσθμός σφραγίς ἄφωνα τὰ δασέα· καὶ πάλιν εἰ τὰ ἀπὸ ἀφώνων καὶ ἀμεταβόλων ἀρχόμενα ῥήματα ἀναδιπλασιάζεται ἐν τῷ παρακειμένῳ, οἷον τρυπῶ τετρύπηκα, τὰ δὲ ἀπὸ ἡμιφώνων καὶ ἀμεταβόλων ἀρχόμενα οὐ διπλασιάζει τὸν παρακείμενον, οἷον σμήχω ἔσμηχα, δῆλον ὅτι τὸ θραύω καὶ τὸ χράω καὶ τὸ φρίσσω ἐν ᾧ διπλασιάζουσι τὸν παρακείμενον, τέθραυκα γὰρ ⟨καὶ κέχρηκα καὶ πέφρικα⟩, ἄφωνον ἔχοντα ἐν τούτῳ δηλοῦσι τὸ θ̄ καὶ τὸ φ̄ καὶ τὸ χ̄ πρὸ ἀμεταβόλου ⟨τοῦ⟩ ρ̄.

Ἰστέον ὅτι κατὰ τὸ συγκριτικὸν καὶ μείωσιν πολλὴν δυνάμεθα ποιῆσαι καὶ ὀλίγην, καὶ ἐπίδοσιν ὡσαύτως· διὰ τοῦτο καὶ ὁ ποιητὴς ποτὲ μὲν «πολύ» ποτὲ δὲ «ὀλίγον» προστίθησι τοῖς συγκριτικοῖς, οἷον ⟨Η 457⟩ πολλὸν ἀφαυρότερος καὶ ⟨Τ 217⟩ φέρτερος οὐκ ὀλίγον περ.

24—35 *videntur esse* Σ^{h}

3 ἐπέχοντα] ἐπέχουσα A, ἐπέχουσαι E ‖ **15—35** *om* E ‖ **32** χράω] θραύω (*sic*) A | φρίσσω] φρέσσω A ‖ **34** ἔχοντες A ‖ **39** φέρτερον AE

Τοῦτο δὲ εἶπον, ἐπεὶ καὶ ὁ τεχνικὸς cυγκρίνων τὸ «ὀλίγον» ἐν τῇ cυγκρίcει προcέθηκε λέγων, ὅτι παρ' ὀλίγον ἧττον τῶν φωνηέντων εὔφωνα καθέcτηκε καὶ αὐτὰ εὐφωνίαν ἐπαγγέλλεται, ἥμιcυ φωνῆc κατ' ἀρχὴν ἐν μυγμοῖc καὶ cυριγμοῖc ἀποτελοῦντα [πρὸ] τῆc οἰκείαc αὐτῶν ὀνομαcίαc· ἐν γὰρ τῷ θέλειν *etc.* = Σ^d 42, 11—16.

Ἄφωνα δέ ἐcτιν ἐννέα.] Τὸ ᾱ μόριον πολλὰ cημαίνει· cημαίνει γὰρ καὶ τὸ ὀπίcω, ὡc τὸ ἀκόλουθοc, ὁ ὀπιcθοκέλευθοc, cημαίνει δὲ καὶ τὸ δυc, ὡc τὸ γυνὴ ἄμορφοc καὶ ἀτυχὴc ἄνθρωποc· ἀπὸ οὖν τοῦ cημαίνοντοc τὸ δυc ἄφωνα καὶ αὐτὰ ἐκλήθηcαν, οἷον τὰ δύcφωνα καὶ κακόφωνα ὄντα. Ὅτι γὰρ οὐκ ἐcτέρηνται φωνῆc παντελῶc, δῆλον ἀφ' οὗ cυμπλεκόμενα τοῖc φωνήεcι φωνὴν ἀποτελοῦcι, καὶ ἐκ τοῦ μέροc εἶναι τῆc ἐπιδιαιρέcεωc ⟨τῆc⟩ περὶ τὸ κατὰ φωνὴν παρεπόμενον γενομένηc, καὶ ἐκ τοῦ καὶ αὐτὰ ὑποδιαίρεcιν ποιεῖν περὶ τὸ κατὰ φωνὴν παρεπόμενον· λέγομεν γὰρ ὑποδιαιροῦντεc τὰ ἄφωνα εἰc τρία, εἰc ψιλά, εἰc δαcέα καὶ εἰc μέcα. Καὶ ὁ τεχνικὸc δὲ οἶδεν αὐτὰ κακόφωνα, ἐξ ὧν φηcιν· «ἄφωνα λέγεται, ὅτι μᾶλλον τῶν ἄλλων ἐcτὶ κακόφωνα, ὥcπερ ἄφωνον λέγομεν τραγῳδὸν τὸν κακόφωνον», οὐ τὸν παντελῶc ἐcτερημένον τῆc φωνῆc· εἰ γὰρ ἐcτέρηται, πῶc τραγῳδόc ἐcτιν;

Τούτων ψιλὰ μέν ἐcτι τρία.] Ψιλὰ εἴρηται, ὅτι πᾶcα λέξιc ἀπὸ τούτων ἀρχομένη ψιλοῦται, δαcέα δέ, ὅτι πάλιν δαcύνεται· μέcα δὲ εἶναί φηcιν ὡc πρὸc τὴν φωνὴν τῆc προφορᾶc· τὰ μὲν γὰρ δαcέα φαίνεται ἀθρόῳ τῷ πνεύματι προφερόμενα, τὰ δὲ ψιλὰ ψιλῶc καὶ ἀcθενῶc, ταῦτα δὲ μέcην ἔχοντα δύναμιν, καὶ οὔτε μόνῃ τῇ ἀρτηρίᾳ ⟨προ⟩φερόμενα, ὡc τὰ ψιλά, οὔτε μὴν ὡc τὰ δαcέα πολλῷ τῷ πνεύματι, ἀλλὰ μεcότητι. Ὅτι δὲ μέcα ἐcτί, καὶ ἐκ τῶν πνευμάτων γνωcτέον· δαcέοc γὰρ φωνήεντοc ἐπιφερομένου τὸ προκείμενον ⟨ψιλὸν⟩ cύμφωνον τρέπεται εἰc δαcύ, πολλάκιc δὲ καὶ δύο ὄντα cύμφωνα ἐν ταὐτῷ τρέπεται, ὡc τὸ ⟨ex. gr. Δ 243⟩ τίφθ' οὕτωc· ὅτε δὲ τῶν μέcων τι εὑρίcκεται πρὸ τοῦ δαcέοc, οὐ τρέπεται, ⟨καὶ⟩ δῆλον ὅτι μέcην ἔχει δύναμιν· ὁ δ' αὐτὸc λόγοc καὶ περὶ τῶν ἄλλων.

Φηcὶ δὲ τὸ β̄ μέcον εἶναι τοῦ π̄ καὶ φ̄· φαίνεται γὰρ αὐτῶν ἡ cυγγένεια καὶ ἐκ τῶν ῥημάτων καὶ ἐκ τῶν ὀνομάτων· ἐκ μὲν τῶν ὀνομάτων οὕτωc· πάντα τὰ εἰc ψ̄ λήγοντα ἐν τῇ γενικῇ διὰ τοῦ β̄ ἢ π̄ ἢ φ̄ ⟨ἐκφέρεται⟩, οἷον λίψ λιβόc, Πέλοψ Πέλοποc, Κίνυψ Κίνυφοc· καὶ ἐπὶ τοῦ γ̄ κ̄ χ̄, τέτ⟨τ⟩ιξ τέτ⟨τ⟩ιγοc, πέρδιξ πέρδικοc, ⟨ὄνυξ ὄνυχοc⟩, καὶ τοῦ δ̄ ⟨θ̄ τ̄, Ἄδωνιc Ἀδώνιδοc, ὄρνιc ὄρνιθοc, ἔρωc ἔρωτοc⟩ ταύτην εὑρίcκειc· ἐκ δὲ τῶν cυζυγιῶν [καὶ] τῶν ῥημάτων οὕτωc· ἡ πρώτη cυζυγία διὰ τοῦ β̄ ἢ π̄ ἢ φ̄ ἢ π̄τ̄, ἡ δευτέρα διὰ τοῦ γ̄ κ̄ χ̄ ⟨κ̄τ̄⟩, ἡ τρίτη

2 φωνηέντων E, ἀφώνων A ‖ 3 φωνῆc] φωνὴν A, φωνῆεν E ‖ 6 ἐcτιν *om* E ‖ 7 *prius* καὶ *om* E ‖ 11 οὗ] ὧν AE | ἐκ τοῦ μέρουc A, αὐτοῦ μέρουc E ‖ 15 καὶ *om* A ‖ 19—504, 37 *om* E ‖ 23 οὔτε] οὕτωc A | ἀρτηρίᾳ A, ἄκρᾳ τῆc γλώττηc *mavult RSchneider, coll. p. 202, 27* ‖ 25 πνευμάτων] cυμφώνων A ‖ 37 ἐκ δὲ] ἔκ τε A

διὰ τοῦ δ̄ θ̄ τ̄, δῆλον ὅτι τῆϲ φύϲεωϲ τὴν ϲυγγένειαν ταύτην αὐτοῖϲ παρεχούϲηϲ. Φαϲὶ δέ τινεϲ οὕτω λέγεϲθαι καὶ τὴν Φερενίκην Βερενίκην καὶ τοὺϲ Κορύβανταϲ Κορύφανταϲ, κόρυν φαίνονταϲ ἐν τῇ κεφαλῇ, καὶ τὴν κεφαλὴν κεβαλήν κατὰ γλῶτταν.

«Ἀντιϲτοιχεῖ» δὲ ἀντὶ τοῦ ἰϲοϲτοιχεῖ, ὥϲπερ ἀντίθεοϲ ἰϲόθεοϲ, τὴν αὐτὴν ἐκείνοιϲ τάξιν ἀναδέχεται. [Τὰ δαϲέα ψιλοῦϲι τὰ πρὸ αὐτῶν φωνήεντα, ἵνα μὴ ἀλλεπάλληλοϲ δαϲεῖα γένηται, τὰ δὲ ψιλὰ οὐ ψιλοῦϲιν.] Ὅτι δὲ τὰ μέϲα τῶν μὲν ψιλῶν ἐϲτιν ἰϲχυρότερα, τῶν δὲ δαϲέων ἀϲθενέϲτερα, δῆλον ἐντεῦθεν· οὐδέποτε ϲυλλαβὴ εἰϲ δαϲὺ καταλήγει, εἰϲ δὲ ψιλὸν πολλάκιϲ, οἷον Ἀτθίϲ βακχεῖοϲ Σαπφώ, ὁμοίωϲ δὲ καὶ εἰϲ μέϲον, οἷον ἀγγεῖον καββαλεῖν, ⟨ex. gr. A 33⟩ ἔδδειϲε⟨ν⟩ δ' ὁ γέρων.

Πόθεν δὲ δῆλον, ὅτι τὸ β̄ μέϲον ἐϲτὶ τοῦ π̄ καὶ φ̄, τὸ δὲ γ̄ τοῦ κ̄ καὶ χ̄, τὸ δὲ δ̄ μέϲον τοῦ θ̄ καὶ τ̄; Ἐκ τῆϲ κλίϲεωϲ τῶν ῥημάτων· πᾶϲ γὰρ ἐνεϲτὼϲ διὰ τοῦ β̄ ἢ π̄ ἢ φ̄ ἐκφερόμενοϲ διὰ τοῦ αὐτοῦ ϲυμφώνου ἔχει τὸν μέλλοντα, φημὶ δὴ τοῦ ψ̄, καὶ πᾶϲ ἐνεϲτὼϲ διὰ τοῦ γ̄ ⟨ἢ⟩ κ̄ ⟨ἢ⟩ χ̄ ἐκφερόμενοϲ διὰ τοῦ αὐτοῦ ϲυμφώνου ἔχει τὸν μέλλοντα, φημὶ δὴ τοῦ ξ̄, καὶ πᾶϲ ἐνεϲτὼϲ διὰ τοῦ δ̄ ἢ θ̄ ἢ τ̄ ἐκφερόμενοϲ διὰ τοῦ αὐτοῦ ϲυμφώνου ἔχει τὸν μέλλοντα, φημὶ δὴ τοῦ ϲ̄. Ἢ κατά τινα φυϲικὴν αἰτίαν. Φωνητικὰ ⟨γὰρ⟩ ὄργανα τρία εἰϲίν *etc.* = Σ^{d} 43, 14 —44, 12 (μὴ ἐφαπτομένηϲ).

Διὰ τί δὲ πῇ μὲν τῶν δαϲέων τὰ ψιλὰ προτάϲϲει λέγων «τῷ μὲν π̄ τὸ φ̄», πῇ δὲ τὰ δαϲέα τῶν ψιλῶν λέγων «τὸ δὲ θ̄ τῷ τ̄»; Ἵνα δείξῃ ὅτι οὐ μόνον δαϲέα ἀντὶ ψιλῶν παραλαμβάνεται, ὡϲ ἐπὶ τοῦ κατὰ ἡμῶν καθ' ἡμῶν, ἀλλὰ καὶ ψιλὰ ἀντὶ δαϲέων, ὡϲ ἐπὶ τοῦ φιλῶ φεφίληκα καὶ πεφίληκα.

Μέϲα δὲ εἴρηται τὸ β̄ γ̄ δ̄ ὡϲ πρὸϲ ϲύγκριϲιν τῶν ψιλῶν καὶ δαϲέων· ὡϲ εἴ τιϲ *etc.* = Σ^{v} 202, 4—8 (δαϲέα).

Διὰ τίνα δὲ αἰτίαν ὁ τεχνικόϲ *etc.* = Σ^{v} 202, 10—16.

Ἔτι δὲ τῶν ϲυμφώνων διπλᾶ μέν ἐϲτι τρία.] Καλῶϲ *etc.* = Σ^{m} 340, 5—24.

⟨*Heliodori.*⟩ — Τινὲϲ δὲ τῶν ἡμιφώνων φαϲὶ τὴν διαίρεϲιν εἶναι. Ἐλέγχονται δέ· εἰ γὰρ τῶν ἡμιφώνων τρία μὲν διπλᾶ, τέϲϲαρα δὲ ἀμετάβολα, τὸ ϲ̄ παραλελειμμένον ὁρᾶται καὶ ἄρα γε καθ' ἑαυτό που πλανώμενον. Πῶϲ δὲ ἐξ ἀτάκτων δυνατόν ἐϲτι δοῦναι διαίρεϲιν; οὐ γάρ φαμεν «τῶν ἀνθρώπων οἱ μὲν μακροί, οἱ δὲ πένητεϲ», ἵν' εἴπωμεν «τῶν ἡμιφώνων τὰ μὲν διπλᾶ, τὰ δὲ ἀμετάβολα». Πῶϲ δὲ οὐ δυϲωπεῖ αὐτοὺϲ καὶ τὰ ἀντίγραφα ὑπὸ ἀξιοπίϲτων διορθωθέντα καὶ οὕτωϲ ἔχοντα· «ἔτι δὲ τῶν ϲυμφώνων διπλᾶ γ'».

21—25 *cfr* Σ^{m} *339, 15—29* ‖ **31—504, 37** ***videntur esse*** Σ^{h}

3 κόρυν] κόρουϲ A ‖ **28** Δι' ἣν δὲ αἰτ. A ‖ **33** παραλελειμ.] π *et siglum quod* ***videtur esse*** ου A | πλανόμενον A ‖ **36** διπλᾶ] ἁπλᾶ A

Φαϲὶ δὲ ὡϲ οὐκ εὖ οἱ παλαιοὶ διπλᾶ αὐτὰ ὀνομάζουϲιν· εἰ γὰρ 815, 17 b δῶμεν ἀληθῆ εἶναι τὸν λόγον τὸν φάϲκοντα, πρὸ τῆϲ εὑρέϲεωϲ αὐτῶν διὰ δύο ϲυμφώνων ἀποτελεῖϲθαι τὰϲ φωνὰϲ τούτων, ἐξ ὧν καὶ ϲυνεϲτήκαϲιν, ἔδει ϲύνθετα αὐτὰ ὀνομάζεϲθαι καὶ οὐ διπλᾶ· τὰ γὰρ ἐκ δύο ϲυνεϲτῶτα διαφόρων ϲύνθετα καλοῦμεν, ὡϲ τὸ Φιλοκτήτηϲ ϲύνθετον καλοῦμεν ὄνομα. Ἔτι δὲ τὰ διπλᾶ ἀδύνατόν ἐϲτιν ἐκ δύο ϲυμφώνων ϲυγκεῖϲθαι· λέγομεν γὰρ ὡϲ οὐδέποτε ϲυλλαβὴ εἰϲ τρία ϲύμφωνα λήγει, ὅπου γε καὶ ϲπανίωϲ εἰϲ δύο· εἰ δῶμεν τοίνυν τὰ διπλᾶ ἐκ δύο ϲυμφώνων, εὑρεθήϲεται τὸ ζόρξ εἰϲ τρία ϲύμφωνα καταλῆγον, ὅπερ ἀδύνατον. Ἔτι φαϲίν· οὐδὲ ἓν ἄφωνον προηγεῖται τοῦ ϲ̄ κατὰ ϲύλληψιν· πῶϲ οὖν δύναται ἐκ τοῦ κ̄ καὶ ϲ̄ εἶναι τὸ ξ̄, ἢ ἐκ τοῦ π̄ καὶ ϲ̄ τὸ ψ̄; Ἔτι φαϲὶν οὕτωϲ· οὐκέτι δύο εἰϲίν, ὅτι τὸ ζ̄ παρὰ τῷ ποιητῇ οὐ μακρὰν ποιεῖ, ⟨Δ 103. 121⟩ εἰϲ ἄϲτυ Ζελείηϲ, ⟨Β 634⟩ οἵ τε Ζάκυνθον ἔναιον, καὶ ὅτι τὸ Ϲμύρνα τινὲϲ καὶ διὰ τοῦ ζ̄μ̄ γράφουϲι, καίτοι διπλοῦ μηδέποτε προηγουμένου ϲυμφώνου· ὥϲτε οὔτε ϲύνθετα οὔτε διπλᾶ. Ἔτι φαϲίν· ἄλλωϲ τε εἰ καὶ ϲυγχωροῦμεν αὐτὰ δύναμιν δύο ϲυμφώνων ἔχειν, ἐπειδὴ ἐπλανήθηϲαν οἱ Αἰολεῖϲ κατὰ τὴν προφορὰν τοῦ 326, 8 c ζυγόϲ ϲδυγόϲ γράφοντεϲ καὶ τοῦ ξίφοϲ ϲκίφοϲ καὶ τοῦ ψέλ⟨λ⟩ιον ϲπέ⟨λ⟩λιον, οὐ δεῖ δὲ ὅμωϲ τὰ κατὰ διάλεκτον ἰδιάζοντα εἰϲ κοινὸν παραλαμβάνειν. Καλέϲωμεν αὐτὰ μακρά· ἐδείξαμεν γὰρ [αὐτὰ] ὡϲ καὶ τὸ η̄ καὶ τὸ ω̄ δυοῖν ἐπέχοντα δύναμιν φωνηέντων μακρὰ καλεῖται. Πρὸϲ οὓϲ φαμεν, ὅτι διὰ τοῦτο τὰ διπλᾶ οὐ καλεῖται μακρά, ἐπειδὴ οὐ δύνανται καθ᾽ ἑαυτὰ ἐκφωνεῖϲθαι, ὥϲπερ τὸ η̄ καὶ τὸ ω̄. Εὔλογον δέ ἐϲτιν αὐτὰ ϲύνθετα καλεῖν, εἰ ὁμολογοῦμεν ⟨αὐτὰ⟩ δύναμιν ἔχειν δύο ϲυμφώνων· ἰδοὺ γὰρ ἐν τῷ θώρακι καὶ Πέλοπι λέγομεν, ὅτι αὗται αἱ δοτικαὶ τῶν ἑνικῶν προϲλαμβάνουϲαι πρὸ τοῦ ῑ τὸ ϲ̄ καὶ ϲυναιροῦϲαι τὸ κ̄ϲ̄ εἰϲ ξ̄ καὶ τὸ π̄ϲ̄ εἰϲ ψ̄ τὴν δοτικὴν τῶν πληθυντικῶν ποιοῦϲιν. Εὔλογον δὲ πάλιν αὐτὰ καὶ διπλᾶ λέγειν, ἅτε ἐκ μιᾶϲ φύϲεωϲ τῶν ϲυμφώνων ἔχοντα τὴν γένεϲιν. — Εἰ δέ φατε, δὸϲ καὶ τὰϲ διφθόγγουϲ διπλᾶϲ λέγεϲθαι, ἐπειδὴ ἐκ φύϲεωϲ μιᾶϲ τῶν φωνηέντων καὶ αὗται, λέγομεν ὅτι ἐκείναιϲ ἐπενόηϲαν ἄλλην παρὰ τὴν τῶν διπλῶν ὀνομαϲίαν οἱ ἀρχαῖοι, ἐπειδὴ εὗρον αὐτὰϲ καὶ ἐκ δύο φθόγγων ϲυναιρουμέναϲ καὶ εἰϲ δύο φθόγγουϲ διαιρουμέναϲ. Τί δὲ ἄτοπον, εἰ καὶ ἡμάρτηνται περὶ τὴν ὀνομαϲίαν; οὐ γὰρ ἐκ διαφόρων ϲύγκειται τὰ διπλᾶ, ἀλλ᾽ ὥϲπερ ἐξ ἑνὸϲ ϲώματοϲ ἀναδεδίπλωται· ἄκουε τοῦ τεχνογράφου· «διπλᾶ δὲ εἴρηται, ὅτι ἓν ἕκαϲτον αὐτῶν ἐκ δύο ϲυμφώνων ϲύγκειται»· «ἐκ δύο ϲυμφώνων» εἶπεν, οὐκ «ἐξ ἀφώνου καὶ ἡμιφώνου».

1—29 *cfr* Σ^{ϑ} *36, 28 — 37, 32* (Σ^{ϑ} *36, 28 — 37, 19* = b *815, 17 — 35*) ||
12—20 *cfr quae RSchneider Bodl. p. 43 e cod. Barocc. 35 fol. 44r edidit*

3 τούτων Σ^{ϑ}, *om* A || **9** εὑρεθήϲεται Σ^{ϑ}, εὑρεθέντα A || **12** οὐ μακρὰν] οὔτε μακρὸν A || **16** *post* αὐτὰ *add* πάλιν A, *om* Σ^{ϑ} || **18** τοῦ Σ^{ϑ}, τὸ A (*ter*) || **20** καλέϲωμεν Σ^{ϑ}, καλέϲομεν A || **33** περὶ] παρὰ A | οὐ γὰρ] οὔτε A

Διὰ τί δὲ τριῶν ὄντων διπλῶν *etc.* = Σ^m 341, 7—21.

⟨*Heliodori.*⟩ — Ἀμετάβολα τέccαρα, λ̄ μ̄ ν̄ ρ̄.] Τρίτην διαίρεcιν τῶν cυμφώνων ποιεῖται πάλιν ὁ τεχνικὸc περὶ τὸ αὐτὸ παρεπόμενον, τὸ κατὰ δύναμιν· καί φηcι, τῶν cυμφώνων τὰ μέν ἐcτιν ἀμετάβολα, τὰ δὲ μεταβολικά. Καὶ δίδωcι τὰ μὲν ἀμετάβολα τέccαρα, λ̄ μ̄ ν̄ ρ̄, λέγων αὐτὰ ἀμετάβολα εἰρῆcθαι διὰ τὸ μὴ μεταβάλλεcθαι ἐν τοῖc μέλλουcι τῶν ῥημάτων μηδὲ ἐν ταῖc κλίcεcι τῶν ὀνομάτων. Ἐπὶ μὲν ὀνόματοc δύο εἰcὶ τελικά, τό τε ν̄ καὶ τὸ ρ̄, ἅτινα οὐδέποτε μεταβάλλεται. Καὶ πῶc φηcι τὸ ρ̄ ⟨ἀμετάβολον, ἐπειδὴ τὸ ρ̄⟩ ἐπὶ οὐδετέρου φαίνεται μεταβαλλόμενον, ὡc ἐπὶ τοῦ ὕδωρ ὕδατοc; Καὶ λέγομεν ἐπὶ τούτων μὴ εἶναι γνηcίαν τὴν κλίcιν· καὶ ὁ Ἡρωδιανὸc ἑτερόπτωτα αὐτὰ καλεῖ· ἡ μὲν γὰρ κατάληξιc εἰc ρ̄ οὖcα διὰ τοῦ ρ̄ τὴν γενικὴν βούλεται ἐκφέρεcθαι, ἡ δὲ εἰc τοc ⟨γενικὴ⟩ ἀπὸ τῆc εἰc αc εὐθείαc τὴν γένεcιν ἐπαγγέλλεται. Ἐπὶ δὲ ῥήματοc ὁρῶνται τὰ τέccαρα καὶ μὴ μεταβαλλόμενα ἐν τοῖc μέλλουcιν, οἷον πάλλω παλῶ, νέμω νεμῶ, κρίνω κρινῶ, cπείρω cπερῶ· καὶ τὸ φιλῶ δὲ τὸ φιλήcω ποιοῦν εἰ καὶ μὴ ἐν τῇ τελευταίᾳ τὸ λ̄, ἀλλ' ἐν τῇ παρατελεύτῳ αὐτὸ ἐτήρηcε, περιττοcυλλαβῆcαν ὡc περιcπώμενον. Μεταβολικὰ δὲ ⟨τὰ⟩ ἄλλα cύμφωνα [ιδ′]· μεταβάλλονται γὰρ ἐν τοῖc μέλλουcιν, ὅcα αὐτῶν θεματικά ἐcτι ῥημάτων, καὶ ἐν ταῖc γενικαῖc τῶν ὀνομάτων μεταβάλλονται, ὅcα αὐτῶν ἐν ταῖc εὐθείαιc τῶν ὀνομάτων τελικὰ ἐφάνηcαν.

Θέλουcι δέ τινεc λέγειν τὴν τῶν ἀμεταβόλων καὶ μεταβολικῶν τομὴν δευτέραν ⟨ἐπι⟩διαίρεcιν· καὶ ἄλλοι δὲ τρίτην ἐπιδιαίρεcιν, λέγοντεc τὴν μὲν πρώτην ἐπιδιαίρεcιν ⟨εἰc ἡμίφωνα καὶ ἄφωνα, τὴν δὲ δευτέραν ἐπιδιαίρεcιν⟩ εἰc διπλᾶ καὶ ἁπλᾶ, καὶ τὴν τρίτην ἐπιδιαίρεcιν εἰc ἀμετάβολα καὶ μεταβολικά· ἐγὼ δὲ αὐτὴν διαίρεcιν λέγω.

⟨*Heliodori.*⟩ — Τὰ δὲ αὐτὰ καὶ ὑγρὰ καλεῖται.] Μέμφονταί τινεc λέγοντεc, «πῶc δύναται τὰ αὐτὰ ὑγρὰ εἶναι καὶ ἀμετάβολα;» μὴ ἐπιcτάμενοι ὡc καὶ τῶν χρωμάτων ὅcα μέν ἐcτιν ὑγρὰ οὐκ εὐμετάπτωτα τυγχάνει, ὅcα δὲ μὴ ὑγρὰ εὐεξάλειπτα. Ἄλλωc τε ὡc ἀγνοοῦντεc τὸ διccὸν τῆc δυνάμεωc τῶν cτοιχείων τοῦτό φαcιν, ὅπερ ἐδείξαμεν ἐν τοῖc διχρόνοιc, ἡνίκα εἰρήκαμεν, πῶc τὰ δίχρονα ἐκτείνεται καὶ cυcτέλλεται, καὶ ὅτι ἐν αὐτοῖc τὸ ῑ καὶ τὸ ῡ ἀμετάβολά τέ ἐcτι καὶ δίχρονα. Νοητέον οὖν καλεῖcθαι αὐτὰ ὑγρὰ ἢ διὰ τὸ ἀμετάπτωτα καὶ ἀμετάθετα εἶναι [τινὰ] καὶ δυcεξάλειπτα, διὰ τὸ μὴ μεταβάλλεcθαι, ἵνα εἴπωμεν ἐκ μεταφορᾶc τῶν χρωμάτων καὶ ταῦτα ὑγρὰ καλεῖcθαι, ἐπειδὴ κἀκεῖνα δυcεξάλειπτά ἐcτι καὶ ταῦτα δυcμετάθετα· ἢ διὰ τὴν ὑγρότητα καὶ ἀφέ-

---

2—26 *videntur esse* Σ^h; *cfr* Σ^m *341, 22—342, 4* ‖ **27—506, 12** *videntur esse* Σ^h

2 Τρίτην] δευτέραν AE ‖ **12** οὖcα *om* A ‖ **13** ἐπαγγέλ. E, ἀπαγγέλ. A ‖ **14** ῥήματοc] ῥη A, τὸ ῥῆμα E ‖ **18** ιδ′ A, δεκατέccαρα E ‖ **19** μέλλουcιν E, μεταβάλλουcιν A ‖ **25** εἰc διπλᾶ — ἐπιδιαίρ. *om* E ‖ **27—506, 13** *om* E

λειαν τῆς φωνῆς· οὐ γὰρ ὃν τρόπον τὰ ἄλλα cύμφωνα ἐπάλληλα κείμενα κατὰ τὸν τῶν μέτρων λόγον τραχύνει τὴν ἀκοήν, τὴν αἰτίαν δεικνύοντα τῶν μέτρων [λόγον τραχύνει τὴν ἀκοήν], ὡς βραδέως τὸν ἀκροατὴν διακρίνειν τὸ ἄμετρον· οἷον ἐν μὲν τῷ ⟨Φ 305⟩ οὐδὲ Cκάμανδρος ἔληγε τὸ ὃν μένος, ἀλλ' ἔτι μᾶλλον αὐτόθεν ἡ ἀκοὴ καὶ αἴcθηcις διακρίνει τὸ ἄμετρον, ἐν δὲ τῷ ⟨T 287⟩ Πάτροκλέ μοι δειλῇ πλεῖcτον κεχαριcμένε θυμῷ διαλανθάνει τὴν ἀκοὴν ἡ ἀφέλεια τῆς προφορᾶς. Εἰ δέ τις εἴποι, «καὶ διὰ τί ἐν τῷ οὐδὲ Cκάμανδρος χωλῷ ἐχρήσατο ὁ ποιητής;» λεκτέον ὅτι τοῖς ὀνόμασι τούτοις χρηστέον τοῖς ἐν παντὶ μέτρου τόπῳ τὸ ἔπος χωλὸν ἀπεργαζομένοις· καὶ οὐδεμία μέμψις παρακολουθήσει, εἰ διὰ τὴν ἐν αὐτοῖς ἀνάγκην χωλεύουσιν ἐν μέτροις τὰ ἔπη.

Τῆς δὲ τετάρτης ὑποδιαιρέσεως οὐκ ἐμνήσθη *etc.* = Σ^d 47, 1—11.

⟨*Heliodori.*⟩ — Τελικὰ ἀρσενικῶν ὀνομάτων στοιχεῖά ἐστι πέντε, ν̄ ξ̄ ρ̄ c̄ ψ̄.] Τέλος ἔλαβον αἱ διαιρέσεις ⟨καὶ ἐπιδιαιρέσεις⟩ καὶ ὑποδιαιρέσεις. Ζητητέον δέ, πότερον εἴδη τῶν στοιχείων ἢ μέρη τὰς διαιρέσεις ὀνομαστέον. Καὶ λεκτέον αὐτὰ εἶναι εἴδη· ὡσεὶ λέγομεν γένος εἶναι τὸ ζῷον, οὗ εἴδη δύο, λογικὸν καὶ ἄλογον· τοῦ δὲ λογικοῦ εἴδη δύο, οὐράνιον καὶ ἐπίγειον· ἰδοὺ γὰρ τὸ λογικόν, εἶδος ὄν, γέγονε γένος εἰδῶν δευτέρων· οὕτω καὶ γένος ἂν εἴποις τὰ στοιχεῖα, καὶ εἴδη αὐτῶν φωνήεντα καὶ σύμφωνα· καὶ πάλιν τῶν φωνηέντων εἴδη προτακτικά τε καὶ ὑποτακτικά, καὶ ὁμοίως εἴδη τῶν συμφώνων ἡμίφωνά τε καὶ ἄφωνα. Καὶ οἱ φιλόσοφοι δὲ τῶν τοιούτων διαιρέσεων καὶ ἐπιδιαιρέσεων τὰ μὲν πρῶτα καλοῦσι γένη, τὰ δὲ δεύτερα, εἰ δύναιντο διαιρεῖσθαι, εἴδη· εἰ δὲ μή, ἄτομα αὐτὰ καλοῦσι. Καλῶς δὲ καὶ ἀναγκαίως μετὰ τὰς διαιρέσεις περὶ τῶν τελικῶν διέλαβεν ὁ τεχνικός, ὅπως γνῶμεν τὴν τῶν τελικῶν ⟨τῶν⟩ ὀνομάτων χρῆσιν· ὅσα γὰρ μὴ φαίνεται τὴν κατάληξιν ἔχοντα τούτων, βάρβαρα ἀποδείκνυται, ὡς καὶ τὰ ὀνόματα τῶν παρ' Αἰγυπτίοις μηνῶν.

Ἀναγκαῖον δὲ προσθεῖναι τῷ λόγῳ «⟨ἑνικῶν⟩ ἀνεπεκτάτων [καὶ] κοινῶν κατ' εὐθεῖαν πτῶσιν», ἵν' ᾖ ὁ λόγος οὕτως· «τελικὰ ἀρσενικῶν ὀνομάτων ἑνικῶν ἀνεπεκτάτων ⟨κοινῶν⟩ κατ' εὐθεῖαν πτῶσιν στοιχεῖά ἐστι πέντε». Καὶ «ἀρσενικῶν» μὲν «ὀνομάτων» προσέθηκε διὰ τὰ ἄλλα γένη· «ἑνικῶν» δὲ διὰ τὰ δυϊκὰ καὶ πληθυντικά· «κατ' εὐθεῖαν» δὲ «πτῶσιν» διὰ τὰς πλαγίους· «ἀνεπεκτάτων» δὲ διὰ τὸ τοιόσδε καὶ τοιουτοσί· «κοινῶν» δέ, ὅπως μὴ τὰς παρὰ βαρβάροις καταλήξεις ἐπεισφέρωμεν· ὅθεν καὶ τὰ παρὰ τῷ ποιητῇ ἱππότα καὶ νεφεληγερέτα φαμὲν καταλήξεις ἔχειν ποιητικῆς ἐξουσίας. [Τελικὰ δέ ἐστι τὰ τοῦ τέλους χαρακτη-

---

14—29 *videntur esse* Σ^h ‖ **30—38** *cfr* Σ^d *47, 12—26*; Σ^m *342, 30—343, 6*

10 ἀπεργαζόμενοι A ‖ **16** Ζητητέον — λόγῳ (**30**) A, τελικὰ ἀρσενικῶν ὀνομάτων E | τὰς διαιρ.] τῆς διαιρέσεως A ‖ **17** λέγοιμεν A ‖ **32** ὀνομάτων *om* A | ἑνικῶν *om* E ‖ **35** καὶ τοιουτοσί A, οὑτοσί E

ριστικά· τὸ δὲ ⟨ex. gr. A 175⟩ μητίετα Ζεύς καὶ τὰ ὅμοια κλητική ἐστιν ἀντὶ εὐθείας.] Τὰ δὲ πέντε σύμφωνα ταῦτα κοινά ἐστιν ἀρσενικῶν καὶ θηλυκῶν, τὰ δὲ τρία φωνήεντα, τὸ ᾱ η̄ ω̄, θηλυκῶν· τούτων δὲ πάλιν τὸ μὲν ᾱ κοινόν ἐστι τῶν θηλυκῶν καὶ οὐδετέρων, τὸ δὲ η̄ καὶ ω̄ θηλυκῶν μόνων. Πάλιν τῶν φωνηέντων τὸ ῑ καὶ ῡ τελικά ἐστι μόνον οὐδετέρων· πάλιν τῶν συμφώνων τὸ μὲν ν̄ ρ̄ c̄ κοινὰ τῶν τριῶν γενῶν, τὸ δὲ ξ̄ καὶ ψ̄ ἀρσενικῶν καὶ θηλυκῶν μόνων.

Τινὲc δὲ βούλονται ἐπὶ τῶν τελικῶν εἶναι ⟨καὶ⟩ τὸ ο̄, ἄλλο τοιοῦτο· ἐλέγχεται δὲ ὑπὸ τῆc χρήcεωc τῶν Ἀττικῶν οὐκ ὂν τελικόν· τοιοῦτον γὰρ λέγουcι μετὰ τοῦ ν̄, τὸ ἄλλο δὲ cύνθετον γινόμενον τὸ ν̄ προcλαμβάνει.

Ἐπὶ δὲ τῆc εὐθείαc τοῦ δυϊκοῦ ἀριθμοῦ τὸ μὲν ᾱ ἐcτὶ τελικὸν ἀρcενικῶν καὶ θηλυκῶν, τὸ δὲ ε̄ καὶ τὸ ω̄ τῶν τριῶν γενῶν· ἐπὶ δὲ τῆc εὐθείαc τῶν πληθυντικῶν τὸ μὲν ᾱ καὶ η̄ οὐδετέρων μόνων, τὸ δὲ ῑ καὶ τὸ c̄ ἀρcενικῶν καὶ θηλυκῶν.

Τινὲc δὲ προcτιθέαcι καὶ τὸ ο̄.] Οὐ παραδεκτέον ἐν οὐδετέροιc τὸ ο̄· φαμὲν γὰρ ὅτι πᾶν οὐδέτερον ἀρcενικῷ παρεcχηματιcμένον, εἰ μὲν ἰcοcυλλάβωc κλίνεται, τῇ αἰτιατικῇ τοῦ ἀρcενικοῦ ὁμοφωνεῖ, εἰ δὲ περιττοcυλλάβωc, τῇ κλητικῇ.

⟨*Heliodori.*⟩ — Ἰcτέον δὲ ὅτι οὔτε τὸ η̄ τελικόν ἐcτιν οὐδετέρου — τὸ γὰρ κάρη ἀποκοπή ἐcτι τοῦ κάρηνον — οὔτε τὸ ξ̄· παρῃτήcατο γὰρ τὸ γάλα τὴν τοῦ ξ̄ κατάληξιν, καίτοι ἡ γάλακτοc γενικὴ ὁμολογεῖ εὐθείᾳ τῇ εἰc ξ̄· παρῃτήcατο δὲ τὴν εἰc ξ̄ κατάληξιν, ὅτι οὐ θέλει †τὰ ὑπὲρ μίαν cυλλαβὴν μακροκαταληκτοῦντα πεπονθότα ἂν εἴη· οὔτε τὸ ω̄ τελικόν ἐcτι, τὸ γὰρ δῶ ἐκ τοῦ δῶμα ⟨ἀπο⟩κέκοπται· καὶ τὸ ῥῶ cτοιχεῖον παραιτητέον, ἐπεὶ ἀκανόνιcτά ἐcτι τὰ τῶν cτοιχείων ὀνόματα.

⟨*Heliodori.*⟩ — Δυϊκῶν δὲ τρία, ᾱ ε̄ ω̄.] Τὰ τελικὰ τῶν δυϊκῶν ἀπὸ τῆc δοτικῆc τῶν ἑνικῶν γίνεται· πᾶcα γὰρ δοτικὴ ἑνικῶν εἰc ῑ ἢ εἰc ῃ̄ λήγουcα τὸ μὲν ῑ εἰc ε̄ τρέπουcα, τὸ δὲ ῃ̄ εἰc ᾱ, τὴν εὐθεῖαν τῶν δυϊκῶν ποιεῖ· εἰ δὲ εἰc ᾱͅ ἢ εἰc ῳ̄ λήγει, ὁμόφωνον αὐτὴν ἔχει. Ἢ ἀπὸ τῆc εὐθείαc τῶν πληθυντικῶν δεῖ κανονίζειν· ἂν μὲν γὰρ εἰc οι̅ δίφθογγον λήγῃ, ἀποβάλλει μὲν τὸ ῑ, τὸ δὲ ο̄ εἰc ω̄ τρέπει· εἰ δὲ εἰc αι̅, ἀποβάλλει τὸ ῑ, τὸ δὲ ᾱ φυλάττει· εἰ δὲ εἰc εc̅, ἀποβάλλει τὸ c̄· εἰ δὲ εἰc ειc̅, ἀποβάλλει τὸ c̄ καὶ τρέπει τὸ ῑ εἰc ε̄· ἂν δὲ εἰc η̄, διαιρεῖ τὸ η̄ εἰc δύο εε̅· ὅθεν ἀκόλουθοc εἴη ἡ εὐθεῖα τὰ ὄccη· ὅταν ὁ ποιητὴc λέγῃ ⟨ex. gr. Ξ 236⟩ ὄccε φαεινώ κατὰ ἀποβολὴν τοῦ δευτέρου ε̄,

16—19 *excerpta ex* Σ^m *343, 18—33* ‖ 20—26 *videntur esse* Σ^h ‖ 27—508, 16 *cfr* Σ^m *343, 34—344, 10; videntur esse* Σ^h

3 θηλυκά τούτ. AE ‖ 5 τὸ ῑ — cυμφώνων (6) *om* E ‖ 9 ἐλέγχ. — προcλαμβ. (11) *om* E ‖ 18 *post* κλίνεται *add* ἐχέτω τὸ ν̄ τὸ οὐδέτερον ἵνα A | ὁμοφωνεῖ — κλητικῇ (19) E, ὁμοφωνήcει, εἰ δὲ οὐκ ἔχει τὸ ν̄, ἔλλειψιν ἄρα πέπονθεν A ‖ 22 ἡ γαλ. — ὀνόματα (26) A, ἄχρηcτοc ἐcτὶ E ‖ 29 τρέπουcα] τρέπει A, τρέπεται E

οὐδέτερόν ἐϲτι τὸ ὄνομα ἀπὸ τοῦ ὄϲϲοϲ, ὡϲ βέλοϲ. Τὸ δὲ η̅ οὐκ εἶπεν, ἐπειδὴ ἀπὸ ϲυναιρέϲεώϲ ἐϲτιν, οἷον τὼ Δημοϲθένεε τὼ Δημοϲθένη.

Πληθυντικῶν τέϲϲαρα, ι̅ ϲ̅ α̅ η̅.] Τεϲϲάρων ὄντων τῶν τελικῶν τὸ μὲν ι̅ καὶ ϲ̅ ἐκ τῆϲ εὐθείαϲ τῶν δυϊκῶν γίνεται, τὸ δὲ α̅ φυϲικῶϲ προέρχεται, καὶ τὸ η̅ κατὰ ϲυναίρεϲιν· πᾶϲα γὰρ εὐθεῖα δυϊκῶν ἐὰν μὲν εἰϲ α̅ λήγῃ, προϲθέϲει τοῦ ι̅ ποιεῖ τὴν εὐθεῖαν τῶν πληθυντικῶν· εἰ δὲ εἰϲ ω̅, εἰϲ ο̅ι̅· ἐὰν δὲ εἰϲ ε̅, τῇ προϲθέϲει τοῦ ϲ̅. Αἱ εἰϲ ο̅ι̅ λήγουϲαι εὐθεῖαι πληθυντικαὶ ἀπὸ ἀρϲενικῶν ὀνομάτων γίνονται τῶν εἰϲ ο̅ϲ̅, θηλυκῶν δὲ τῶν εἰϲ ω̅· αἱ δὲ εἰϲ ⟨ε̅ι̅⟩ϲ̅ λήγουϲαι ἀπὸ ϲυνθέτων γίνονται τῶν εἰϲ η̅ϲ̅ ληγόντων ἀρϲενικῶν [διὰ τῆϲ ε̅ι̅ διφθόγγου]· καὶ ἀπὸ τῶν εἰϲ ε̅υ̅ϲ̅· ⟨αἱ δὲ εἰϲ⟩ ε̅ϲ̅ πληθυντικαὶ ποτὲ μὲν ἀπὸ τῆϲ εἰϲ ρ̅ ν̅ ξ̅ ψ̅, ἢ ἀπὸ τῆϲ εἰϲ ο̅υ̅ϲ̅ ἢ ἀπὸ τῆϲ εἰϲ ω̅ϲ̅. Τὰ δὲ εἰϲ α̅ λήγοντα οὐδέτερα ἀπὸ εὐθείαϲ ἐϲτὶ τῆϲ εἰϲ α̅ ἢ εἰϲ ο̅ν̅ ληγούϲηϲ, τὰ δὲ εἰϲ η̅ ἀπὸ τῶν εἰϲ ο̅ϲ̅. Συναριθμεῖ δὲ τὸ η̅ ἀπὸ ϲυναιρέϲεωϲ ὄν, ἐπειδὴ πρὸϲ εἰϲαγομένουϲ διαλέγεται, οἱ δὲ εἰϲαγόμενοι ἐπιρρεπέϲτεροί ⟨εἰϲι⟩ πρὸϲ τὰ ϲυνῃρημένα.

§ 7 (8b).

Περὶ ϲυλλαβῆϲ.

Ἀκολούθωϲ μετὰ τὸ ϲτοιχεῖον περὶ ϲυλλαβῆϲ ποιεῖται τὸν λόγον· ἡ γὰρ ϲυμπλοκὴ τῶν ϲτοιχείων ϲυλλαβὴν ἀποτελεῖ. Διδάξαϲ οὖν πρότερον τὰ ϲτοιχεῖα εἰκότωϲ μεταβέβηκεν εἰϲ τὰ ἀπ' αὐτῶν ϲυγκείμενα, λέγω δὲ τὰϲ ϲυλλαβάϲ· διά τε τοῦτό φηϲιν, ὅτι κυρίωϲ ἐκείνη κέκληται ϲυλλαβὴ ἡ ἔχουϲα ϲύλληψιν [τῶν] ϲτοιχείων· ἡ δὲ ἐξ ἑνὸϲ φωνήεντοϲ οὐκ ἂν εἴη κυρίωϲ ϲυλλαβή, ἀλλὰ καταχρηϲτικῶϲ. Ἀφελῶϲ δὲ ὡρίϲατο τὴν ϲυλλαβήν, ὡϲ πρὸϲ εἰϲαγομένουϲ τὸν λόγον ποιούμενοϲ· ὁ γὰρ ἀληθὴϲ ὅροϲ αὐτῆϲ οὗτόϲ ἐϲτιν· «ϲυλλαβή ἐϲτι ϲυμπλοκὴ ϲτοιχείων κατάλληλοϲ ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαϲτάτωϲ λεγομένη», καὶ εἰ μὴ οὕτωϲ ὁριϲόμεθα, ἔϲονται καὶ αἱ λέξειϲ ϲυλλαβαί, οἷον «Ἀρίϲταρχοϲ βιβλίον ἔγραψε»· ϲυμπλοκὰϲ γὰρ ⟨ϲτοιχείων⟩ ἔχουϲιν αἱ τρεῖϲ αὗται λέξειϲ, τρεῖϲ ἄρα ⟨εἰϲὶ⟩ ϲυλλαβαὶ κατὰ τὸν ὅρον ὃν ὡρίϲατο ὁ τεχνικόϲ.

Εἰ δὲ εἴποιϲ, ὡϲ οὐδὲ τῷ ϲῷ ὅρῳ ὑποπίπτουϲιν αἱ μονογράμματοι ⟨ϲυλλαβαί⟩ — ϲύλληψιν γὰρ οὐκ ἔχουϲι —, μάνθανε ὡϲ ἀπὸ τοῦ πλεονάζοντόϲ ἐϲτιν ὁ ὅροϲ· ἄπειροι γάρ εἰϲιν αἱ ϲύλληψιν ἔχουϲαι, ἑπτὰ δὲ μόναι αἱ μονογράμματοι, καὶ εἴωθε τὸ πλέον ἐπικρατεῖν ἑκάϲτοτε· καὶ δεῖ τὴν μὲν κυρίωϲ καλεῖν ϲυλλαβήν, τὴν δὲ καταχρηϲτικῶϲ. Καὶ δεῖ πάλιν παρατηρεῖν, ὡϲ καὶ ϲτοιχεῖον ϲυνεμπίπτει ϲυλλαβῇ, οἷον α̅, καὶ ϲυλλαβὴ λέξει, ⟨οἷον γῆ,⟩ καὶ λέξιϲ λόγῳ, οἷον ἀνάγνωθι.

31—35 *cfr* Σ^m *344, 35—345, 5* ‖ **35—37** *cfr* Σ^v *204, 29 seq*

3—16 *om* E | πληθυντικὰ A ‖ **10** διὰ] πλ (*ut videtur*) A ‖ **11** ε̅υ̅ϲ̅] ε̅ι̅ϲ̅ A | ε̅ϲ̅] ἢ A ‖ **13** ο̅ν̅] η̅ A ‖ **16** ϲυνῃρημ.] ἀνῃρημένα A ‖ **23** ϲτοιχείων] πραγμάτων AE | ἡ δὲ] εἰ δὲ AE ‖ **30** τρεῖϲ ἄρα] ἀλλὰ τρεῖϲ AE | ϲυλλαβαὶ E, ϲυλλαβὰϲ A ‖ **31** ϲῷ] ϲῶ AE ‖ **33** δὲ] γὰρ AE ‖ **37** οἷον γῆ — ἀνάγνωθι *om* E

Καὶ οὐδὲ τοῦτο ἀγνοεῖν χρή, ὡς ἡ συλλαβὴ *etc.* = Σ^m 345, 6—346, 3 (*sententiarum ordine paulum mutato*).

Cυλλαβή ἐcτι κυρίωc cύλληψιc cυμφώνων.] Κινδυνεύουcιν *etc.* = Σ^d 48, 22—49, 8.

Φαcὶ δέ τινεc ὡc οὐ καλῶc *etc.* = Σ^v 204, 25—205, 11.

§ 8 (9b).

Περὶ μακρᾶc cυλλαβῆc.

⟨*Heliodori.*⟩ — Τῶν cυλλαβῶν αἱ μέν εἰcι μακραί, αἱ δὲ βραχεῖαι, αἱ δὲ κοιναί. Εἰδέναι δὲ δεῖ ὅτι ἔχουcι τὴν πρὸc ἄλληλα cχέcιν· φαμὲν γὰρ ὅτι τὸ μακρὸν πρὸc τὸ βραχύ ἐcτι μακρόν, καὶ οὐκ ἄλλωc ἔcτι γνῶναι τὴν δύναμιν τῶν μακρῶν καὶ τῶν βραχέων, εἰ μὴ ἐκ τῆc πρόc τι cχέcεωc. Πάλιν ἡ κοινὴ τῶν πρόc τί ἐcτι· καὶ λέγομεν αὐτὴν ἢ ὡc πρὸc τὴν ἀκοινώνητον καὶ ἰδιάζουcαν ἔχειν τὴν cχέcιν, ἢ ὡc πρὸc τὰc δύο, τήν τε μακρὰν καὶ τὴν βραχεῖαν· ἐκείνων γάρ ἐcτι κοινὴ καὶ οὐχ ἑαυτῆc, ἵν' ὥcπερ κοινὸν οἶκον δύο ἀδελφῶν εἶναί φαμεν, οὕτω καὶ ταύτην δύο cυλλαβῶν.

Ὡc πρὸc εἰcαγομένουc δὲ οὐ πεποίηκεν ὅρον τῆc μακρᾶc cυλλαβῆc, ἀλλ' ἔφη αὐτὴν γίνεcθαι [οὐ γίνεται δέ, ἀλλ' ὑπάρχει]. Ὁριcτέον τοίνυν αὐτὴν οὕτωc· «μακρά ἐcτι cυλλαβὴ ἡ ἔχουcα μακρὸν φωνῆεν ἢ μηκυνόμενον ἢ μίαν τῶν διφθόγγων, οὕτωc ὡc ἑξῆc εἶναι cύμφωνον ἢ [τὸ] τελικὸν αὐτῆc τῆc cυλλαβῆc ἢ τῆc ἑξῆc ἀρκτικόν»· εἰ δὲ μή, οὐκ ἔcτιν ἀντὶ μακρᾶc ⟨ἡ⟩ μακρά, ἀλλὰ κοινή. Ὡc ἐκ τοῦ πλεονάζοντοc δὲ ὁ τεχνικὸc εἶπε τὸ «γίνεται»· ὀλιγάκιc μὲν γὰρ ἔcτι μακρὰ cυλλαβή, πολλαχῶc δὲ γίνεται.

Μακρὰ cυλλαβὴ γίνεται.] Οὐχ ὡc ἔτυχε *etc.* = Σ^v 205, 16—206, 9.

⟨*Heliodori.*⟩ — Φύcει δὲ μακρὰc cυλλαβὰc καλεῖ διὰ τὸ ἐκ τοῦ χρόνου τοῦ κατὰ τὴν προφορὰν φυcικῶc τὸ μακρὸν γίνεcθαι· ἐπεὶ ⟨γὰρ⟩ τὸ μὲν cτοιχεῖον φωνή, τῶν δὲ φωνῶν ἡ μέν ἐcτι μακρά, ἡ δὲ βραχεῖα, τούτων τῶν cτοιχείων τὰ μὲν ἐπιμηκεcτέραν ἔχει τὴν προφοράν, τὰ δὲ cυνεcταλμένην· καὶ ἔcτιν ἐκ τῆc φύcεωc cυνιδεῖν τὴν μὲν τοῦ ω̄ προφορὰν ἐπιμηκεcτέραν, τὴν δὲ τοῦ ο̄ cυνεcταλμένην. Εἰ δέ τιc λέγοι, ὅτι καὶ τὸ ω̄ δυνατὸν ἐπιβραχῦναι τῇ προφορᾷ καὶ cυcτεῖλαι τὸν χρόνον αὐτοῦ, λεκτέον· ἀλλὰ φαίνεταί τι παρὰ τὴν φύcιν ποιῶν, ὃν τρό-

---

8—24 *videntur esse* Σ^h ‖ **8—16** *cfr* Σ^m *346, 27—32* ‖ **22—24** = Σ^m *347, 9—11* ‖ **27—510, 2** *videntur esse* Σ^h

3 cυμφῶ A, cυμφώνου E ‖ **11** πρόc τι A, πρώτηc E ‖ **13** ἰδιάζουcαν A, ἀϊδιότητα E ‖ **14** ἐκείνων — ὑπάρχει (**18**) *om* E ‖ **20** *ante* διφθ. *add* καλουμένων A ‖ **23** ἐcτὶν ἡ μακρὰ E ‖ **27** μακρὰc cυλλαβὰc] μακροὺc χρόνουc AE ‖ **29** τῆc δὲ φωνῆc AE ‖ **32** λέγοι] λέγ A, λέγει E

πον καὶ ἐπὶ τῶν βαρβαριζόντων· δυνατὸν μὲν γὰρ βαρβαρίζειν, οὐ μὴν ὑγιὲς οὐδ' Ἑλληνικόν.

Καὶ φύσει μέν εἰσι μακραὶ συλλαβαὶ τρεῖς· «φύσει» δὲ εἶπεν, ὅτι οὐκ ἐξ ἐπιτεχνήσεώς τινος γίνονται, ἀλλ' ἐκ τῆς αὐτῶν φύσεως γίνονται οὕτως.

Ἐζήτησαν δέ τινες *etc.* = Σ^{m} 347, 18—35 (*sed paulo breviora*).

Ἆρα δὲ ἔξεστί μοι *etc.* = Σ^{v} 206, 14—21.

Θέσει δὲ ἤτοι ὅταν εἰς δύο σύμφωνα λήγῃ.] Θέσει δὲ λέγει, ὅτι κατὰ θέσιν καὶ ποίησίν τινα γίνονται μακραί· οὐ γὰρ κατὰ φύσιν· τίθησι γάρ τις καὶ ποιεῖ τὸ μὴ οὕτως ἔχον ἐκ φύσεως, ἀλλ' ἐπιτεχνήσει καὶ μεθόδῳ γινόμενον· οἷον παρέπεται τῷ κόρακι τὸ μέλαν καὶ τῷ λάρῳ τὸ λευκόν· ἐὰν οὖν ἕτερον αὐτῶν ὅμοιον τῷ ἑτέρῳ ποιήσωμεν ἐν χρώματι, τὸν μὲν λάρον μέλανα, τὸν δὲ κόρακα λευκόν, τότε τὸ⟨ν⟩ μὲν φύσει λευκὸν καλοῦμεν, τὸ⟨ν⟩ δὲ θέσει, ⟨καὶ⟩ τὸν μὲν φύσει μέλανα, τὸν δὲ θέσει.

Πρῶτος δὲ τρόπος τῶν θέσει *etc.* = Σ^{d} 49, 10—50, 10.

Πολλὰ δὲ εἰς δύο σύμφωνα *etc.* = Σ^{v} 206, 32—207, 2.

Ἄλλο δέ ἐστι κατάληξις καὶ ἄλλο ἐπιφορά· κατάληξις μέν, ὅταν συνημ⟨μ⟩ένον ᾖ τὸ ἑξῆς σύμφωνον ἢ ⟨τὰ⟩ σύμφωνα τῷ προηγουμένῳ φωνήεντι, ὡς τὸ ἅλς· ἀνάγκη γὰρ ὡς ἐν μιᾷ συλλαβῇ συνεκφωνεῖν ὁμοῦ πάντα· ἐπιφορὰ δέ, ὅταν διαστήσῃς τὴν συλλαβήν, ὡς ἐν τῷ ἀγρός κάπρος· ἐν μέντοι τῷ ἄρτος τὸ μὲν λήγει, τὸ ρ̄, τὸ δὲ ἐπιφέρεται, τὸ τ̄.

Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ.] Δεύτερος *etc.* = Σ^{v} 207, 4—9.

Ἢ ὅταν εἰς ἁπλοῦν σύμφωνον.] Τί διαφέρει *etc.* = Σ^{v} 207, 16—19.

Ἰστέον δὲ ὅτι οἱ χρόνοι *etc.* = Σ^{v} 207, 27—208, 6.

§ 9 (10b).

Περὶ βραχείας συλλαβῆς.

⟨*Heliodori.*⟩ — Βραχεῖα συλλαβή ἐστιν ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως, οὕτως ὡς μὴ εἶναι μεταξὺ τούτου τοῦ φωνήεντος καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ φωνήεντος σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ, ἀλλ' ἤτοι ἓν ⟨ἁπλοῦν⟩ ἢ μηδὲ ἕν. Πρόσκειται «μὴ ἐπὶ τέλους λέξεως» διὰ τὰς κοινάς, οἷον τὸ ⟨I 147. 289⟩ πρὸς οἶκον Πηλῆος, καὶ ⟨Ξ 1⟩ Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή· πρόσκειται «μὴ εἶναι πλείονα σύμφωνα» διὰ τὰς θέσει μακράς.

8—15 *cfr* Σ^{v} *206, 22—29* ‖ **30—36** *cfr* Σ^{m} *349, 4—10; videntur esse* Σ^{h}

6 *et* **7** *om* E ‖ **9** ποίησίν τινα] γένεσιν τινὰ (τιναὶ *sic* A) AE ‖ **11** γινόμενον E, γενόμενον A | οἷον — τὸ τ̄ (**22**) *om* E ‖ **19** τὰ — ἅλς (**20**)] σύμφωνον φω προηγουμένων φῳ καὶ τὸ ἅλς A ‖ **21** ἀγρῷ A ‖ **22** τὸ ἄρτος A | | ἐπιφέρει A ‖ **27** ὅτι] ὅτι ὡς A, ὡς E

§ 10 (11b).
Περὶ κοινῆς συλλαβῆς.

Εὐλόγως οὐχ ὡρίσατο τὴν κοινὴν συλλαβήν· οὐ γάρ ἔστιν, ἀλλὰ γίνεται· τῶν δὲ ὄντων εἰσὶν οἱ ὅροι. Ὅτι δὲ οὐκ ἔστιν *etc.* = Σ^m 349, 26—33.

· Τρεῖς δὲ τρόπους εἶναί φησιν *etc.* = Σ^d 50, 20—51, 9.

Ῥᾷον μέντοι γίνεται ἡ τοιαύτη κοινή *etc.* = Σ^m 350, 2—14.

Ὁ δεύτερος τρόπος τῆς κοινῆς γίνεται, ὅταν βραχεῖ ἢ βραχυνομένῳ διχρόνῳ ἐπιφέρηται δύο σύμφωνα, ὧν τὸ μὲν δεύτερον ὑγρόν, ὅ ἐστιν ἀμετάβολον, τὸ δὲ ἡγούμενον τοῦ ὑγροῦ ἄφωνον ᾖ καθ' ἕν, ὅ ἐστι κατὰ σύλληψιν, ⟨οὐχ⟩ ἵνα τὸ μὲν λήγηται, τὸ δὲ ἐπιφέρηται· τῷ γὰρ ἀσθενεῖ συμπλεκόμενον τὸ λεῖον ἐξολισθαίνειν ποιεῖ τὸν ἦχον. Δεῖ ἄμφω ἐπάγεσθαι· εἰ γὰρ τὸ μὲν λήγοιτο *etc.* = Σ^m 350, 21—351, 13.

Ὁ δὲ τρίτος τρόπος τῆς κοινῆς γίνεται, ὅταν βραχεῖα συλλαβὴ τελικὴ λέξεως ᾖ, μὴ ἐπιφερομένων ἐκείνων τῶν συμφώνων τῶν τὴν μακρὰν ποιούντων, ἀλλ' ἤτοι ἑνὸς ἢ μηδενός· πᾶσα γὰρ τελικὴ συλλαβὴ ἐκ τῆς ἀναπαύσεως χρόνον προσλαμβάνει.

Διὰ τί δὲ τρεῖς μόνοι τρόποι *etc.* = Σ^v 209, 31—211, 3.

Δεῖ δὲ εἰδέναι ὅτι ἡ κοινὴ *etc.* = Σ^v 211, 8—13.

Ἢ ὅταν βραχεῖα οὖσα καταπεραιοῖ *etc.* = Σ^d 52, 4—55, 25.

⟨*Heliodori.*⟩ — Διὰ τί δὲ τὰ ἀμετάβολα ἐκτείνουσιν; Ὅτι, φασίν, τοῦ ἀμεταβόλου ἡ ὑγρότης σχεδὸν ὁμοία ἐστὶ τῇ τοῦ φωνήεντος ὁμαλότητι κατὰ τὴν προφοράν· ὡς γὰρ χαῦνόν ἐστι τὸ φωνῆεν, οὕτω καὶ τὰ ὑγρά. Ἄλλοι δέ φασιν, ὅτι ἐν τοῖς ἔπεσιν, ἐν οἷς ἀμετάβολον εὑρίσκεται, ἀναδιπλασιάζειν δεῖ, ὡς τὸ ⟨ex. gr. Γ 424⟩ φιλομμειδής. Πρὸς ὃ ῥητέον, ὅτι τοῦτο ὁ ποιητὴς ἀνεδιπλασίασεν, ὅτι οὐκ ἀπήρτισεν ⟨τὴν βραχεῖαν⟩ εἰς μέρος λόγου· ποῖον γὰρ μέρος λόγου τὸ φιλο, καὶ τὸ ⟨ευ ἐν τῷ⟩ ⟨ex. gr. Z 508⟩ ἐϋρρεῖος ποταμοῖο, καὶ τὸ ⟨ε ἐν τῷ⟩ ⟨ex. gr. Θ 440⟩ ἐννοσίγαιος; πάντα οὖν τὰ μὴ ἀπαρτίζοντα εἰς μέρος λόγου τὴν βραχεῖαν, τὴν δ' ἑξῆς συλλαβὴν ἔχοντα ἀπὸ ἀμεταβόλου ἀρχομένην, ὁ ποιητὴς ἀναδιπλασιάζει. Καὶ τὰ ἄλλα δὲ σύμφωνα ἀναδιπλασιάζει πρὸς τὸ μέτρον, ὡς τὸ ⟨ex. gr. B 335⟩ Ὀδυσσῆος καὶ ⟨ex. gr. A 240⟩ Ἀχιλλῆος καὶ ⟨E 203⟩ ἄδδην καὶ ⟨ex. gr. A 33⟩ ἔδδεισεν καὶ ὅσα τοιαῦτα πρὸς τὴν χρείαν τοῦ μέτρου· ἀναδιπλασιάζει δέ, ὅτε οὐκ ἀπαρτίζει εἰς

14—17 = *Σ^v 209, 23—27* ‖ **21—512, 23** *videntur esse Σ^h* ‖ **24—32** *cfr Σ^m 351, 27—352, 4*

3—5 *om* E ‖ **8** κοινῆς συλλαβῆς E ‖ **9** *post* σύμφ. *add* ἐν συλλήψει δηλονότι E | ὑγρόν ὅ ἐστιν *om* E ‖ **10** τοῦ — **13**] ἓν τῶν ἀφώνων, οἷον ⟨Τ 287⟩ Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ (*nec plura*) E ‖ **13—512, 23** *om* E ‖ **22** ὁμαλότητι] ὑπτιότητι A ‖ **26** τὴν βραχ. *add R Schneider* | ἀνεδίπλασεν A ‖ **27** φιλοι A ‖ **34** ἀναδιπλασιοῖ A; *item p. 512,5* | ἀπαρτίζεται A

μέρος λόγου. Ὅτι δὲ οὐ κατά τινα διάλεκτον τοῦτο ποιεῖ, ἀλλὰ πρὸς τὴν χρείαν τοῦ μέτρου, ⟨δῆλον, εἴ γε οὐκ ἀναδιπλασιάζει,⟩ ὅτε οὐ χρείαν ἔχει μακρᾶς, ὡς τὸ ⟨B 220⟩ ἔχθιστος δ' Ἀχιλῆϊ μάλιστ' ἦν ἠδ' Ὀδυσῆϊ, ἑκάτερον δι' ἑνὸς συμφώνου. Ἐν οἷς μέντοι εὑρίσκεται ἡ προτέρα ἀπαρτίσασα εἰς μέρος λόγου, οὐκέτι τὸ ἑξῆς ἀμετάβολον ἀναδιπλασιάζει· ἐν γοῦν τῷ ⟨Π 358⟩ Αἴας δ' ὁ μέγας οὐκέτι ἐποίησε τοῦτο, ἐπεὶ τὸ ō ἀπήρτισται εἰς μέρος λόγου. Οὐκοῦν ἄτοπον τοῦ ποιητοῦ παραιτησαμένου τοῦτο ἡμᾶς ⟨μετα⟩βαίνειν τὸ μὴ δόξαν ἐκείνῳ; Ἀρκείσθω δηλαδὴ ὁ λόγος οὗτος, ὅτι ἡ μὲν προτέρα ἀπαρτίζει εἰς μέρος λόγου, ἡ δὲ ἑξῆς ἀπὸ ἀμεταβόλου ἄρχεται, τοῦ ἀμεταβόλου διὰ τὴν ἐν αὐτῷ ὑγρότητα σχεδὸν ἴσον δυναμένου τῇ τοῦ φωνήεντος ὁμαλότητι. Τισὶ δὲ ἀρέσκει τοῦτο μόνον ζητεῖν ἐν τοῖς ἔπεσι τούτοις, εἰ ἡ προτέρα συλλαβὴ βραχεῖα οὖσα ἀπήρτισεν εἰς μέρος λόγου, καὶ μὴ διαφέρεσθαι περὶ τῆς ἑξῆς συλλαβῆς ἐξ οἱουδηποτοῦν συμφώνου τὴν ἀρχὴν λαμβανούσης, ὡς ἐκεῖνο ⟨Φ 352⟩ τὰ περὶ καλὰ ῥέεθρα· ἐν γὰρ τῷ ⟨τὰ⟩ περὶ ἡ μὲν πρώτη ἀπήρτισεν εἰς μέρος λόγου, ἡ δὲ ἑξῆς ἡ περ συλλαβὴ οὐκ ἀπὸ ἀμεταβόλου ἤρξατο. Ἐρεῖ τις ἴσως, ὅτι δίχρονον νῦν ἐκτείνεται· ἀλλ' ἐν τῷ περὶ προσῳδίας ὁ Ἡρωδιανὸς οὐκ ἐξέτεινε τοῦτο, εἰπὼν ἐκεῖνο, ὅτι ἐπειδὴ ἄρθρον ἐστὶν οὐδετέρου ὀνόματος πληθυντικοῦ ἀριθμοῦ, διὰ τοῦτο συστέλλεται, ἵνα ταύτῃ διαφορὰν ἔχῃ πρὸς τὴν ὀρθὴν καὶ αἰτιατικὴν δυϊκοῦ ἀριθμοῦ γένους θηλυκοῦ· τὰ καλά γὰρ ἐκτείνεται καὶ τὰ Ἑλένα· τὸ μέντοι ⟨τά ἐν τῷ τὰ⟩ περὶ καλὰ ῥέεθρα συστέλλεται, ἐπειδή, ὡς ἔφαμεν, ἄρθρον ἐστὶν οὐδετέρου γένους πληθυντικοῦ ἀριθμοῦ.

§ 11 (12. 13b).

Περὶ λέξεως.

⟨*Heliodori.*⟩ — Καλῶς καὶ εὐτάκτως τῇ ἐπαναβάσει χρησάμενος ὁ τεχνικὸς μετὰ τὰς συλλαβὰς περὶ λέξεως ἤρξατο γράφειν. Ἔστι δὲ λέξις μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν λόγου αὐτοτελές. Οὐκ ἐκτὸς δὲ μέμψεως ὁ ὅρος· ἔστι γὰρ καὶ τοῦτο μέρος ἐλάχιστον λόγου αὐτοτελές, ὥσπερ ἐν τῷ λόγῳ Δημοσθένους ὅλον τὸ ⟨Olynth. I § 1⟩ ἀντὶ πολλῶν ⟨ἄν⟩, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει, περὶ ὧν νυνὶ σκοπεῖτε. Ἢ τὸ «αὐτοτελές» σημαίνει τὸ ἀφ' ἑαυτοῦ τέλος ἔχον σημασίας τινός, οὐ διανοίας.

Ἔστι δὲ καὶ ἄλλος ὅρος· «λέξις ἐστὶ φωνὴ ἐγγράμματος νοητόν τι ἀποτελοῦσα»· ἐγγράμματος δὲ φωνή ἐστιν ἀποτέλεσμα τοῦ ἐν ἡμῖν ἐντεθησαυρισμένου πνεύματος.

26—513, 6 *videntur esse* Σ^h ‖ **35—37** *cfr* Σ^v *212, 22—24*

8 μεταβαίνειν] βαίνοντας A ‖ **9** ἡ μὲν] ἡμᾶς A | ἀπαρτίσας A ‖ **11** τῆς τοῦ φ. ὁμαλότητος A ‖ **15** ἡ μὲν πρ.] ἡμᾶς πρώτην A ‖ **16** *post* λόγου *add* ἦτα A ‖ **30** ἐν τῷ λόγῳ] οἱ τὸν λόγον AE ‖ **33** σημαίνει E, *om* A ‖ **37** *post* πνεύματος *add* A *eadem fere quae* Σ^v *212, 24—213, 5*

Ἔcτι δὲ καὶ ἕτερος ὅρος οὗτος· «λέξις ἐcτὶν ἐλαχίcτη φωνὴ ἐγγράμματος ἀμερὴς ἰδίᾳ ῥητὴ καὶ ἰδίᾳ νοητή; ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα ἀγομένη» ἢ λεγομένη ἢ προφερομένη.

Τὸ δὲ λέγω δηλοῖ τρία, τὸ ἀπαγγέλλω, τὸ ἀριθμῶ, τὸ ἐκλέγομαι· ὥcπερ δὲ ἀπὸ τοῦ ἔχω ἕξις, οὕτως ἀπὸ τοῦ λέγω λέξις, ἡ cημαcίας ἀπαγγελτικὴ ἢ ἡ πρὸς cύνταξιν λόγου καταριθμουμένη.

Λέξις ἐcτὶ μέρος.] Ἐπειδὴ μέρος ἐcτὶ καὶ τοῦ παντὸς τὸ ἥμιcυ τὸ ἐπ' ἴcης μοίρας τεμνόμενον καὶ τὸ μικρὸν ἀπόψηγμα ἢ ἀπότμημα, ⟨καὶ⟩ πάλιν μέρος φαμὲν καὶ κόμμα μέγα χρυcοῦ [μέρος χρυcίου] καὶ τὸ μικρὸν ἀπόψηγμα, καλῶς τὸ «ἐλάχιcτον» προcέθηκε πρὸς ἀντιδιαcτολὴν τοῦ μείζονος. Καὶ τίνος μέρος; Ἐκείνου δηλαδὴ τοῦ λόγου τοῦ cυντεταγμένου καὶ παρατιθεμένου διανοίαις πλείcταις καὶ πλείcτοις νοήμαcιν.

Ἐλλιπὴς δὲ ὁ ὅρος· εὑρίcκεται γὰρ καὶ ἓν γράμμα καὶ μία cυλλαβὴ λέξις οὖcα· μέρος γάρ ἐcτιν ἐλάχιcτον λόγου ⟨καὶ ἕκαcτον γράμμα⟩ καὶ ἑκάcτη cυλλαβή. Ἀλλά φαμεν ὅτι πρὸς εἰcαγομένους γράφων τὰ πολλὰ τῶν ζητημάτων παραιτεῖται. Φηcὶ δὲ «ἐλάχιcτον», ὅτι ἔcτι τι μέρος ἐπ' ἴcης μεριζόμενον. Καὶ λόγος μέν ἐcτιν ὁ διανοιῶν περιεκτικός, διάνοια δὲ λέξεων cύνθεcις ⟨νοῦν⟩ ἀπαρτίζουcα· ὡς διάνοιαν μέν φαμεν τὸ «ἥλιος ὑπὲρ γῆν», λόγον δέ, «εἰ ἥλιος ὑπὲρ γῆν, ἡμέρα ἐcτίν»· ὥcτε διαφέρει διάνοια λόγου, ὅτι ἡ μὲν διάνοια οὐκ ἀκόλουθόν τι [λόγον] ἔχει, ἀλλ' ἁπλοῦν ἀξίωμα ποιεῖ, ὡς τὸ «Cωκράτης πέμπει», ὁ λόγος δὲ πολλάκις καὶ τὰς αἰτίας τῶν πραγμάτων cυνεπειcάγεται πολλαῖς τε διανοίαις.

Διαφέρει δὲ ὁ κατὰ cύνθεcιν τοῦ κατὰ cύνταξιν λόγου· κατὰ cύνθεcιν γὰρ λέγω λόγον τὸν ἐν μέτροις κείμενον, κατὰ cύνταξιν δὲ τὸν καταλογάδην· νῦν δὲ ἡμῖν οὐ πρόκειται περὶ τοῦ κατὰ cύνθεcιν ⟨λόγου⟩ λέγειν, ἀλλὰ περὶ λέξεως τῆς ἐν cυντάξει λόγου πεζοῦ.

Τῆς πεζῆς, φηcί, λέξεως ἡ cύνθεcις λόγος ἐcτὶν ἡ διάνοιαν αὐτοτελῆ δηλοῦcα· «αὐτοτελῆ» δέ φηcιν, ὅτι ἔcτι τις διάνοια οὐκ αὐτοτελής, ὡς «ἥλιος ὑπὲρ γῆν»· τοῦτο γὰρ οὐκ ἔχει αὐτοτελῆ διάνοιαν· αὐτοτελῆ ⟨δὲ⟩ λέγω τὴν ἀφ' ἑαυτῆς ἔχουcαν τὸ τέλος, ὡς τὸ «εἰ ἥλιος ὑπὲρ γῆν, ἡμέρα ἐcτίν». Ἵνα δὲ μή τις ἐπιλάβηται αὐτοῦ, ὅτι μὴ προδιδάξας τί ἐcτι λόγος τὴν λέξιν μέρος τοῦ λόγου φηcίν, διὰ τοῦτο εὐθέως ἐπιφέρει τὸν ὅρον τοῦ λόγου· ὁρίζεται δὲ αὐτόν, ἵνα δηλώcῃ ποίου λόγου ἐcτὶ μέρος ἐλάχιcτον ἡ λέξις.

Λέξεις δὲ καλοῦνται καὶ αἱ cυλλαβαί· ἀλλὰ καθὸ αἱ λέξεις ἔχουcι λεκτὸν cημαῖνόν τι [λεκτόν], διαφέρουcιν.

1—3 *cfr* Σ^m *352, 37—39* ‖ 4—6 *cfr* Σ^v *212, 9—12;* Σ^m *353, 1—4* ‖ 31—34 *cfr* Σ^d *57, 1—5*

1 οὗτος E, οὕτως A ‖ 3 ἢ λεγ. — καταρ. (6) *om* E ‖ 4 ἐκλέγομαι] ἐπιλεγόμενον A ‖ 8 ἐπ' A, ἐξ E | ἀπόψιγμα AE; *item v. 10* ‖ 12 *post* νοήμ. *add* A: πρὸς ἀντιδιαcτολὴν τῶν ἄλλων ἀλόγων ‖ 13—514, 17 *om* E ‖ 14 γάρ] δέ A ‖ 18 λέξεως cύνθεcιν A | μὲν ἔφαμεν A ‖ 22 πολλαῖς τε] πολλάκις τὲ A ‖ 24 γὰρ] δὲ A ‖ 27 λόγος] λόγου A ‖ 30 γῆς A

Μεμπτέος δὲ ὁ τεχνικός *etc.* = Σ^m 355, 16—32.

Τίνος δὲ ἕνεκεν τὴν πεζὴν λέξιν μόνον ὠνόμασεν, ἥτις ἐστὶ τοῦ καταλογάδην λόγου; Ὅτι ὁ πεζὸς λόγος κατὰ φύσιν ἐστὶ γυμνὸς ἀπὸ πάσης ἐπιτηδεύσεως· οὐ γὰρ ὥσπερ ἐν τοῖς ποιητικοῖς τὰ μὲν ἀποκέκοπται, ὡς τὸ ⟨ex. gr. Ω 369⟩ ἄνδρ' ἀπαμύνεσθαι, τὰ δὲ περιπέφρασται, ὡς τὸ ⟨ex. gr. β 409⟩ ἱερὴ ἲς Τηλεμάχοιο, οὕτω καὶ ὁ πεζὸς κατὰ ἀποκοπὴν ἢ περίφρασιν σύγκειται, ἀλλ' ἔστιν ἐξ ⟨ἁπλῶν⟩ λέξεων, οὐδὲν ἔχων ἐπιτετηδευμένον· διὰ τοῦτο τὴν διαφορὰν εἰδὼς τὴν πεζὴν μόνον ὠνόμασε λέξιν, προκρίνας τὸ κατὰ φύσιν τοῦ παρὰ φύσιν. Ἡ δὲ ἔμμετρος σύνθεσις περίοδος καλεῖται.

Καλῶς δὲ πρόσκειται τὸ [μέρος] «ἐλάχιστον»· τὰ ⟨μὲν⟩ γὰρ ὑπερθετικὰ οὐκ ἐπιδέχεται τὸ ἧττον καὶ τὸ μᾶλλον, αἱ δὲ λέξεις ἐπιδέχονται τὸ ἧττον, διαιροῦνται γὰρ εἰς συλλαβάς· ἀλλ' ἔστιν εἰπεῖν, ὅτι πρὸς τὸ σημαινόμενον ἀποβλέπων εἶπε τὸ «ἐλάχιστον»· καὶ γὰρ αἱ λέξεις τῇ φωνῇ διαιροῦνται, οὐ κατὰ τὸ σημαινόμενον· ἐὰν γὰρ διαιρεθῶσιν, οὐδὲν σημαίνουσι· τὸ γὰρ Ὅμηρος εἰ διέλωμεν εἰς τὸ ὅ καὶ τὸ μηρος, ἀσήμαντον γίνεται.

⟨*Heliodori.*⟩ — Λόγος δὲ σημαίνει ια'· εἰσὶ δὲ ταῦτα· λόγος ὁ ἐξ ἀναλωμάτων *etc.* = *eadem fere quae* Σ^v 213, 7—214, 2. Ταῦτα λέγου- 328, 9c
σιν εἶναι τὰ ια' ⟨σημαινόμενα⟩ τοῦ λόγου· ἔστι δὲ καὶ ἕτερα ταῦτα. Ἔστι λόγος καὶ ὁ ὅρος, ὡς ὅταν εἴπωμεν «εἰπέ μοι τὸν λόγον τῆς φιλοσοφίας», ἤγουν τὸν ὅρον. Ἔστι λόγος καὶ ὁ κανών, ὡς ὅταν εἴπωμεν «εἰπέ μοι τὸν λόγον τοῦ Αἴας Αἴαντος», τουτέστι τὸν κανόνα Ἔστι λόγος καὶ ἡ ἀπολογία, ὡς ἐπὶ τοῦ ⟨ubi?⟩ σκῆψις εὑρεθήσεται λόγος τις. Ἔστι λόγος καὶ τὸ ἐπίγραμμα, οἷον ⟨Pind. Ol. 7, 158⟩· οὐχ ἕτερον λιθίνα ψᾶφος ἔχει λόγον, τουτέστι τὸ ἐπίγραμμα. Ἔστι λόγος καὶ τὸ ἀπόφθεγμα, οἷον ⟨Soph. Trach. 1⟩ λόγος μέν ἐστ' ἀρχαῖος ἀνθρώποις φανείς. Ἔστι λόγος καὶ ἡ φωνή, οἷον ⟨ubi?⟩ λόγος τις ἔπνευσεν ὡς τέθνηκα· οὐ γάρ ἐστι λόγος καὶ ἡ ἀντιλογία.

⟨*Heliodori.*⟩ — Τοῦ δὲ λόγου μέρη ἐστὶν ὀκτώ.] Ἐπειδήπερ ἔναγχος τοῦ λόγου ἐμνημόνευσεν, ἀγνοεῖ δὲ ὁ νέος πόσα ἐστὶ τοῦ λόγου τὰ μέρη καὶ ὅπως ἓν ἕκαστον αὐτῶν ὀνομάζεται, ἐπήγαγεν αὐτὸς εἰπών «τοῦ δὲ λόγου μέρη ἐστὶν ὀκτώ», προσπλέξας τῷ ἀριθμῷ καὶ τὰ ὀνόματα. Οὐκ ἀγνοεῖν δὲ χρή, ὅτι τὰ παρ' ἡμῖν μέρη ⟨τοῦ⟩ λόγου στοιχεῖα καλοῦσιν οἱ φιλόσοφοι· λέγουσι γὰρ ὅτι καθὼς τὰ στοιχεῖα φωνῇ ἄτομα καὶ ἀμέριστά ἐστιν, οὕτω καὶ ⟨ταῦτα⟩ τὰ στοιχεῖα ἄτομά ἐστι

18—30 *videntur esse* Σ^h || **31—521,37** *videntur esse* Σ^h || **35—515, 5** *cfr* Σ^m *356, 1—4*

5 ἐπαμύνεσθαι A || **6** ἶσον τηλ. A || **7** ἁπλῶν] *lac. 5 fere litter.* A || **8** ἔχον A || **9** τοῦ] τῶ A || **10** δὲ] γὰρ A || **18** ια' A, πολλὰ E || **21** τῆς — λόγον (**23**) *om* E || **27** μέν ἐστιν ἀρχ. AE || **28** ἀνθρώποις AE, ἀνθρώπων *edd. Soph.* || **36** γὰρ] δὲ AE || **37** ἄτομά ἐστι μέρη] ἀποτελοῦσι τὰς συλλαβὰς AE

μέρη τοῦ λόγου, ἐπεὶ μὴ πεφύκασιν εἰς νοητὰ τέμνεσθαι, ὡς οὐδ' ἐκεῖνα εἰς ἐγγραμμάτους φωνάς· πάλιν τέ φασιν, ὅτι ὥσπερ τὰ στοιχεῖα ἀποτελοῦσι τὰς συλλαβάς, οὕτω καὶ ταῦτα τὸν τέλειον λόγον· ἢ ὅτι ὥσπερ τὰ κοσμικὰ στοιχεῖα ἀποτελεῖ ⟨τὰ⟩ σώματα, οὕτω καὶ ταῦτα συνιόντα ἀπαρτίζει τοὺς λόγους. Μέμψαιτο δ' ἄν τις τῷ εἰρημένῳ· «εἰ γὰρ μέρος ἐστίν, ἔδει τὸ πᾶν παρεῖναι ἐν ἑκάστῳ λόγῳ, ἐπεὶ ⟨πάντα⟩ τὰ μέρη τοῦ ὅλου συμπληρωτικά· οὐκοῦν εἰ φαίνοιτό τις λόγος μὴ ἔχων τι τῶν ἑαυτοῦ, ἀτελὴς ἔσται». Πρὸς ὃ λεκτέον, ὅτι τοῦ λόγου ἔστιν εἴδη πολλά· ὁρῶμεν γὰρ ὅτι ἓν ἕκαστον τῶν ζῴων διαφέρει τοῖς μέρεσι πρὸς τὸ ἄλλο ζῷον· εἰ τοίνυν φαίνεται εἴδη διαφέροντα κατὰ τὴν τῶν μερῶν ἀναπλήρωσιν, δῆλον ὅτι οὐδὲν δεῖ θαυμάζειν, ὅτε λόγος τις μὴ ἐκ πάντων τῶν μερῶν ἑαυτοῦ γίνοιτο· διάφοροι γὰρ οἱ λόγοι κατὰ τὰ σχήματα. Ἔστι δὲ λόγος διὰ μιᾶς λέξεως *etc.* = Σ^{d} 57, 12—58, 19. Εἰ δὲ μονομερὴς γίνεται λόγος τέλειος διάνοιαν αὐτοτελῆ δηλῶν, ἀλλ' οὖν ἐξακούεται ἔξωθεν ἡ οὐσία ἡ ποιήσασα τὸ πρᾶγμα· τὸ μὲν γὰρ ὄνομα ὡς οὐσία ἐστί, τὸ δὲ ῥῆμα ⟨ὡς⟩ συμβεβηκὸς περὶ τὴν οὐσίαν γινόμενον· πάντως γὰρ ἡ οὐσία ἐστὶν ἡ ἐνεργοῦσά τι ἢ πάσχουσα, τὸ δὲ ῥῆμα σημαίνει τὴν πρᾶξιν καὶ τὸ πάθος.

Οἱ Περιπατητικοὶ δύο μέρη λόγου ἐδόξασαν εἶναι, ὄνομα καὶ ῥῆμα· τὰ δὲ ἄλλα οὐ λέγουσιν εἶναι μέρη λόγου, ἀλλ' ἕνεκεν συνδέσεως καὶ κόλλης παραλαμβάνεσθαι· ὥσπερ γὰρ ἐν τοῖς πλοίοις μέρη λέγομεν εἶναι τοὺς τοίχους καὶ τὰ πηδάλια καὶ τὸ ἄρμενον, τὴν δὲ πίσσαν, στυπεῖον, ἥλους οὐ λέγομεν εἶναι μέρη τοῦ πλοίου, ἀλλ' ἕνεκεν συνδέσεως καὶ κόλλης παραλαμβάνεται, οὕτω τὸ ὄνομα καὶ τὸ ῥῆμα μέρη ἐστὶ τοῦ λόγου, τὰ δ' ἄλλα οὔ. Εἶτα ἐπιφέρουσιν [λύσιν ἀντιθέσεως], ὅτι ὥσπερ εὑρίσκομέν τινα πλοῖα μονόξυλα μὴ δεόμενα συνδέσεως καὶ κόλλης, οὕτως εὑρίσκομεν λόγον ἐξ ὀνόματος καὶ ῥήματος συνιστάμενον μὴ δεόμενον συνδέσεως καὶ κόλλης, ὡς ἐπὶ τοῦ «Σωκράτης περιπατεῖ, Σωκράτης ὑγιαίνει».

Ἐπιφέρουσι δὲ καὶ δεύτερον κανόνα οἱ Ἀριστοτελικοὶ λέγοντες· τοσοῦτον τὰ δύο μόνα ἐστὶ μέρη, τὰ δ' ἄλλα οὔ, ὅτι χωρὶς τῶν ἄλλων δύναται συνίστασθαι λόγος, χωρὶς δὲ τοῦ ὀνόματος καὶ ῥήματος οὐκ ἔστι· κἂν γάρ τις εἴπῃ, ⟨ὅτι ἐξ ἀντωνυμίας καὶ ῥήματος δύναται συνίστασθαι λόγος, φαμὲν ὡς⟩ ἀντωνυμία ἀντὶ ὀνόματος παραλαμβάνεται. Ἐλέγχονται δὲ πολλαχῶς τοσοῦτον οὐχ ἕνεκεν συνδέσεως παραλαμβανόμενα, ὅτι τὸ ὄνομα καὶ ῥῆμα φυσικήν τινα ἁρμονίαν ἔχει μὴ δεομένην συνδέσεως, ὡς τὸ «Σωκράτης περιπατεῖ»· ὥσπερ γὰρ πρὸς ἄλληλά ἐστι συνημμένα τό τε εἶδος καὶ ἡ ὕλη χωρὶς συνδέσεως, οὕτω τὸ ὄνομα

19—521, 7 *cfr Prisc. I 54, 5—55, 3 (H)*

1 οὔτ' ἐκείνω AE ‖ **11** ὅτε] ὅταν AE ‖ **13** κατὰ] καὶ AE ‖ **19** ἐδόξασαν A, ἔδοξαν E ‖ **22** ἄρμενον AE | δὲ *om* A | πῆσσαν AE ‖ **25** λύσιν ἀντιθ. *del. Uhlig ut e marg.* (λύσις ἀντιθ.) *illatum* ‖ **34** ἀντὶ τοῦ ὀνόμ. A ‖ **35** παραλαμβάνονται AE ‖ **37** ὥσπερ] ταῦτα AE ‖ **38** καὶ τὴν ὕλην AE

μετὰ τοῦ ῥήματος φυσικήν τινα ἁρμονίαν ἔχει. Ἀμέλει καὶ τὰ ἄλλα μέρη τοῦ λόγου παραλαμβανόμενα καὶ ἰδίας ἔχουσι σημασίας, ἃς οὔτε τὸ ὄνομα ἔχει οὔτε τὸ ῥῆμα, καὶ οὐδέποτε συνδεσμοῦσιν ὀνόμασι ῥήματα· ὅταν ⟨γὰρ⟩ εἴπωμεν «ὁ ἄνθρωπος περιπατεῖ», τὸ ἄρθρον μόνῳ τῷ ὀνόματι προσῆλθεν, οὐκέτι δὲ [τῷ ὀνόματι] καὶ τῷ ῥήματι· ὁμοίως ⟨ἐν τῷ⟩ «ὁ ἄνθρωπος καλῶς περιπατεῖ» τὸ «καλῶς» πρὸς τὸ ῥῆμα μόνον συνῆλθεν, οὐκέτι δὲ καὶ πρὸς τὸ ὄνομα. Καὶ αὐτοὶ οἱ παρ' ἡμῖν καλούμενοι σύνδεσμοι οὐ συνδεσμοῦσιν ὄνομα καὶ ῥῆμα· οὐδεὶς γὰρ λέγει «Τρύφων καὶ ἀναγινώσκει»· ἀλλ' ἢ ὄνομα καὶ ὄνομα, ἢ ῥῆμα καὶ ῥῆμα, «Θέων καὶ Τρύφων, γράφω καὶ ἀναγινώσκω»· οἱ γὰρ σύνδεσμοι ὁμοιομερῶν εἰσι συνδετικοὶ ἢ ὡς ὁμοιομερῶν, «ἐγὼ καὶ σὺ καὶ Ἀπολλώνιος»· εἰ οὖν οὐδ' αὐτοὶ οἱ παρ' ἡμῖν καλούμενοι σύνδεσμοι συνδέουσιν ὄνομα καὶ ῥῆμα, δῆλον ὅτι οὐχ ἕνεκεν συνδέσεως παραλαμβάνονται. Καὶ [ὅτι] ἰδίαν ἔχουσι σημασίαν, ὅπερ οὐκ ἔστι συνδέσεως καὶ κόλλης· τὸ γὰρ ἄρθρον σημαίνει ἀναφοράν, ἣν οὔτε τὸ ὄνομα ἔχει οὔτε τὸ ῥῆμα· καὶ ἡ ἀντωνυμία ἢ δεῖξιν σημαίνει ἢ ἀναφοράν, οὐδὲν δὲ τούτων ἔχει οὔτε τὸ ὄνομα οὔτε τὸ ῥῆμα· ⟨καὶ⟩ ἄλλο ἐστὶ τὸ εἰπεῖν «βαίνω» καὶ ἄλλο τὸ «καταβαίνω» καὶ ἄλλο τὸ «ὑπερβαίνω», ἐναλλάσσει γὰρ ἡ πρόθεσις τὸ σημαινόμενον· καὶ τὸ ἐπίρρημα ὁμοίως· τῷ γὰρ εἰπεῖν «ἄνθρωπος περιπατεῖ» καὶ τῷ εἰπεῖν «ἄνθρωπος καλῶς περιπατεῖ» ἐνηλλάγη τὸ σημαινόμενον, ἔχει γὰρ καὶ ποιότητα σημαινομένην διὰ τοῦ ἐπιρρήματος. Καὶ αὐτοὶ δὲ οἱ σύνδεσμοι ἐναλλάσσουσι τὰ σημαινόμενα· τὸ γὰρ «γράφω» αὐτοτέλειαν ἔχει διὰ τῆς καταφάσεως, τὸ δὲ εἰπεῖν «καὶ γράφω» ἐπιβεβαίωσιν ἔχει, καὶ οὐκ ἐπιδέχεται τὴν αὐτοτέλειαν· καὶ ἐπὶ τοῦ «γράφω μέν», «γράφεις δέ» οὐκ ἔστιν αὐτοτέλεια. Ἀπεδείχθη οὖν, ὅτι οὐχ ἕνεκεν συνδέσεως παραλαμβάνονται, ἀλλ' ἕνεκεν σημασίας μὴ ἐγκειμένης ἐν τῷ ὀνόματι ἢ ἐν τῷ ῥήματι.

Πρὸς δὲ τὸν δεύτερον λόγον τὸν λέγοντα, ὅτι χωρὶς ὀνόματος καὶ χωρὶς ῥήματος οὐ γίνεται αὐτοτέλεια τοῦ λόγου, πολλάκις δὲ χωρὶς τῶν ἄλλων ἐνδέχεται, ἔστιν εἰπεῖν, ὅτι τῶν μερῶν τὰ μέν ἐστι τίμια, τὰ δὲ οὐ πάνυ τίμια, ὡς ἐν τῷ ἀνθρώπῳ· ἔχει γὰρ μέρη χεῖρας καὶ πόδας καὶ ἐγκέφαλον καὶ καρδία⟨ν⟩· καὶ ἐνδέχεται πολλάκις τὸν ἄνθρωπον εἶναι χωρὶς χειρὸς ἢ χωρὶς ποδός, χωρὶς δὲ ἐγκεφάλου ἢ καρδίας οὐ δυνατόν· καὶ ἀναλογεῖ τὸ ὄνομα καὶ τὸ ῥῆμα τῷ ἐγκεφάλῳ καὶ τῇ καρδίᾳ, καὶ διὰ τοῦτο χωρὶς ὀνόματος καὶ ῥήματος οὐδέποτε τέλειος λόγος γίνεται.

Ἔστι δὲ ἀπορία τοιαύτη· «τὰ ὁμολογούμενα εἶναί τινος μέρη ἐὰν ἀπολείπωσι, πάθη ποιοῦσιν, ὡς ἐπὶ τοῦ ἀνθρώπου, ὅτι ἐὰν ἀπολείπῃ ἢ ποδὶ ἢ χειρί, πέπονθεν [ἐὰν δὲ ἐπιλείπῃ ὑποδήματι ἢ ἱματίῳ, οὐ πέ-

3 ὀνόματα AE, *sed in* ὀνόμασι *corr.* E[1] ‖ 9 ἢ ῥῆμα] καὶ ῥῆμα AE ‖ 20 καὶ τῷ E, καὶ τὸ A ‖ 29 δὲ καὶ χωρὶς E ‖ 33 ἢ χωρὶς] καὶ χωρὶς AE ‖ 39 *ad* ὑποδήματι *in marg. add* ὄνυχες ἢ τρίχες A[2]

πονθεν, ἀλλὰ παρὰ cχῆμα ἐγένετο]· οὕτως οὖν εἰ ὁμολογούμενά εἰcιν ὀκτὼ μέρη τοῦ λόγου ἢ ἑπτὰ ἢ πέντε, πῶς γίνεται τέλειος λόγος [μὴ πεπονθὼς] ἐκ δύο μερῶν λόγου ἢ τριῶν ἢ καὶ τεccάρων; ὥcτε οὖν οὐκ εἰcὶν ἐκεῖνα μέρη λόγου». Πρὸς τοῦτο ἔcτιν εἰπεῖν, ὅτι ἔλλειψις διχῶς νοεῖται, ἢ κατὰ πάθος ἢ κατὰ αὔξηcιν· κατὰ πάθος, ὡς ἐὰν ἐλλείπῃ ὁ ἄνθρωπος ἢ χειρὶ ἢ ποδί, κατ' αὔξηcιν δέ, ὡς τὰ νεωcτὶ τικτόμενα παιδία ἐλλείπουcι τοῖς ὀδοῦcι, καὶ ἐπὶ τῶν ἀcταχύων, ὅτι ἐλλείπουcι τῷ κόκκῳ καὶ τῷ ἀθέρι. Καὶ ἐνταῦθα πάλιν ἐπὶ τοῦ «ὁ ἄνθρωπος καλῶς περιπατεῖ» οὔτε κατὰ πάθος ἐcτὶν ἡ ἔλλειψις οὔτε κατὰ αὔξηcιν· ἀλλὰ λέγουcιν, ὅ τι καὶ ὁ Πλάτων λέγει ⟨ubi?⟩, ἀναλογίαν εἶναι τοῦ λόγου πρὸς τὸ ζῷον· ὥcπερ γὰρ ἔχει τὸ ζῷον cῶμα καὶ ψυχήν, οὕτω καὶ ὁ λόγος ἔχει cῶμα καὶ ψυχήν, καὶ ἀναλογεῖ μὲν τῷ cώματι ἡ λέξις καὶ ἡ φράcις καὶ ἡ cύνταξις, τῇ δὲ ψυχῇ τὸ cημαινόμενον· καὶ ὥcπερ τῶν ἐμψύχων τὰ μέν ἐcτιν ἁπλᾶ, τὰ δὲ cύνθετα, τὰ δὲ περαιτέρω cύνθετα — ἁπλᾶ μέν, ⟨ὡς⟩ τὸ φυτόν, ἔχει γὰρ τὴν αὐξητικὴν δύναμιν καὶ τὴν θρεπτικήν, cύνθετα δέ, ὡς τὰ ζῳόφυτα, ὥcπερ cπόγγος καὶ μύκητες, ἔτι δὲ περαιτέρω cύνθετα, ὥcπερ τὰ αὐτοκίνητα — οὕτω τῶν λόγων οἱ μέν εἰcιν ἁπλοῖ, ὡς οἱ διμερεῖς, οἱ δὲ cύνθετοι, ὡς οἱ τριμερεῖς ⟨καὶ⟩ τετραμερεῖς, ἔτι δὲ περαιτέρω cύνθετοι οἱ ἄχρι τῶν ὀκτὼ μερῶν· ὅταν οὖν εὑρεθῇ λόγος διμερής, ἔχει τὴν ἰδίαν τελειότητα, καὶ οἱ cύνθετοι ὁμοίως καὶ οἱ ἔτι περαιτέρω cύνθετοι.

Ἀλλ' ἔcτι πρὸς τοῦτο εἰπεῖν· εἰ τῶν λόγων οἱ μέν εἰcιν ἁπλοῖ, τουτέcτι διμερεῖς, ⟨οἱ δὲ⟩ τριμερεῖς, οἱ δὲ ὀκταμερεῖς, ὥcπερ ἐὰν ἐρωτηθῶμεν ποcαγράμματός ἐcτιν ἡ cυλλαβή, οὐκ ἀποκρινόμεθα ὡς ἔτυχεν, ἀλλ' ἐξετάζομεν καὶ λέγομεν «ποία;» οὕτως ἐχρῆν ἡμᾶς, ἐρωτωμένους ποcαμερὴς ὁ λόγος, μὴ ὡς ἔτυχεν ἀποκρίναcθαι, ἀλλ' ἐξετάcαι ποῖον ⟨λέγεις⟩ λόγον, εἴτε ἁπλοῦν, εἴτε cύνθετον, εἴτε τὸν περαιτέρω cύνθετον. Ἀλλὰ πρὸς τοῦτο ἔcτιν εἰπεῖν, ὅτι τοῦ καθολικοῦ ⟨λόγου⟩ λέγομεν εἶναι ὀκτὼ μέρη, ὅcτις καὶ ἀπαθής ἐcτι· καὶ ὥcπερ ὁ καθόλου ἄνθρωπος ἔτι ἵcταται, κἂν ἀποθάνῃ Πλάτων ⟨ἢ⟩ Ἀλκιβιάδης, οὕτω κἂν ἐλλείπῃ λέξις ὀνόματι ἢ ῥήματι, ὁ λόγος αὐτὸς ὁ καθολικὸς ἀπαθής ἐcτι. — Καὶ ταῦτα πρὸς τοὺς Περιπατητικούς.

Οἱ δὲ Cτωϊκοὶ πέντε λέγουcιν, ὄνομα, προcηγορίαν, ἄρθρον, ῥῆμα, cύνδεcμον· ⟨καὶ⟩ τινὰ ⟨μὲν⟩ τῶν παρ' ἡμῖν cυνημμένων αὐτοὶ διαχωρίζουcι, τινὰ δὲ τῶν παρ' ἡμῖν διακεχωριcμένων αὐτοὶ cυνάπτουcι. Τὸ ὄνομα καὶ τὴν προcηγορίαν αὐτοὶ δύο μέρη ποιοῦcι. Καὶ ὀνόματα μὲν λέγουcι τὰ κύρια, προcηγορίαν δὲ τὰ μὴ ὄντα κύρια· διαχωρίζουcι δὲ ἀπὸ κλίcεως καὶ ἀπὸ παραγωγῆς, ⟨ἀπὸ κλίcεως μέν,⟩ λέγοντες Πάρις Πάριδος διὰ τοῦ δ⟨ος⟩, ὄφις δὲ ὄφεως διὰ τοῦ ως· ἀπὸ παραγωγῆς δέ, ὅτι

33—520, 22 *cfr Σ^m 356, 7—357, 26*

7 ὅτι ἐλλείπει AE ‖ **8** ἄθερι AE ‖ **16** μύκητες] μυῖες A, μύες E ‖ **17** ὥcπερ — cύνθετοι (**19**) *om* E ‖ **18** διαμερεῖς A ‖ **20** διαμερής A ‖ **23** ὀκτωμερεῖς AE ‖ **34** cύνδεcμον] cύνθετον AE | cυνηγμένων AE

λέγομεν Ὅμηρος Ὁμηρίδης, ἄνθρωπος δὲ ἀνθρωπίδης οὐ λέγομεν. Ἡμεῖς δὲ λέγομεν, ὅτι κατὰ τὸ εἶδος διαφέρει, οὐ κατὰ τὸ γένος· καὶ γὰρ τὸν αὐτὸν ὁρισμὸν δέχονται καὶ τὰ ὀνόματα καὶ αἱ προσηγορίαι, τῷ δὲ εἴδει διαφέρουσι, καθὸ τὸ μὲν κοινήν, τὸ δὲ ἰδίαν οὐσίαν ἀπονέμει· εἰ δ᾽ ἀπὸ τῆς κλίσεως διαχωρίζουσιν αὐτά, ἰδοὺ γὰρ ⟨Πάρις Πάρι⟩δος, ὄφις δὲ ὄφεως, καὶ τὰ προσηγορικὰ ἀπὸ τῶν προσηγορικῶν ὤφειλον διαχωρίζειν, καὶ τὰ προσηγορικὰ μετὰ τῶν κυρίων ὤφειλον συνάπτειν, καὶ τὰ κύρια ἀπὸ τῶν κυρίων ⟨δια⟩χωρίζειν ὡς μὴ ὁμοίως κλινόμενα, Μέμνων Μέμνονος, Πλάτων Πλάτωνος, Θέτις Θέτιδος, Σάρδις Σάρδεως, ἄνθρωπος ἀνθρώπου καὶ Ὅμηρος Ὁμήρου· ἰδοὺ καὶ ὁμοίως κλινόμενα καὶ ἀνομοίως,⟨ὥστε⟩ δείκνυται τὸ ἐπιχείρημα μὴ ὂν ὑγιές. Περὶ δὲ τῆς παραγωγῆς ἔστιν εἰπεῖν, ὅτι τὰ ποιοῦντα πατρωνυμικὰ ⟨μόνον κύριά εἰσι· τὰ γὰρ πατρωνυμικὰ⟩ ἀπὸ κυρίων παράγονται, τὸ γὰρ Ὁμηρίδης υἱὸν Ὁμήρου σημαίνει· ἀνθρωπίδης δὲ οὐ δυνάμεθα εἰπεῖν, εὑρίσκεται γὰρ σημαῖνον τὸν υἱὸν τῶν ἀνθρώπων, ὅπερ ἀδύνατον, τὸν ἕνα εἶναι υἱὸν πολλῶν. Ἐδείχθη ⟨οὖν⟩ ὅτι ἡ προσηγορία καὶ τὸ ὄνομα συνάπτονται.

Τῷ ῥήματι συνάπτουσι τὴν μετοχήν, ἔγκλισιν αὐτὴν ῥήματος καλοῦντες· ἄλλοι δὲ μετὰ τῶν ὀνομάτων συνάπτουσι τὴν μετοχήν· οὐκ ἀξιοῦσι δὲ ἰδίᾳ παραλαμβάνειν τὴν μετοχήν, λέγοντες ὅτι «πᾶν μέρος λόγου θέλει ἔχειν πάντως πρωτοτύπους φωνάς, ἡ δὲ μετοχὴ οὐδέποτε ἔχει πρωτότυπον φωνήν· ἀπὸ γὰρ ῥήματος παράγεται· οὐκοῦν οὐ δυνατὸν εἶναι ἰδίᾳ μέρος λόγου». Λέγομεν οὖν, ὅτι οὔτε μετὰ τῶν ὀνομάτων δύναται εἶναι, οὔτε μετὰ τῶν ῥημάτων· εἰσὶ γὰρ κανόνες ἰσοδυναμοῦντες ἀλλήλοις κατὰ τὴν ἐναντιότητα, ἐπειδὴ πᾶν ῥῆμα οὐ θέλει ἔχειν πτώσεις μετὰ τῶν συμπαρεπομένων ἀριθμῶν, οὔτε γένος· ἡ δὲ μετοχὴ ἔχει ταῦτα, καὶ τριγενής ἐστιν, εἰ μὴ ὑπὸ σημασίας κωλύοιτο· οὐκοῦν οὐκ ἔστι ῥῆμα· ἀλλ᾽ οὐδὲ ὄνομα, ἐπειδὴ ἔχει διαφόρους χρόνους ἐν ἰδίοις μετασχηματισμοῖς, καὶ ἐνέργειαν καὶ πάθος καὶ μεσότητα, ὅπερ ἀλλότριόν ἐστι τῶν ὀνομάτων. Ὑφ᾽ ἑκατέρου οὖν ἀνθελκόμενον οὐδετέρῳ προ⟨σ⟩χωρεῖ, ἀλλ᾽ ἔστιν ἕτερόν τι· ὥσπερ γὰρ ἀπὸ ἀνθρώπου γίνεται ἄνθρωπος, ἀπὸ δὲ λέοντος λέων, ἀπὸ δὲ ὄνου καὶ ἵππου ἡμίονος, οὕτως ἡ μετοχὴ ἀπὸ ὀνόματος καὶ ῥήματος ἕτερόν τι μέρος λόγου ἐγένετο.

Τὸ δὲ ἄρθρον καὶ τὴν ἀντωνυμίαν συνάπτουσι, τὴν ἀντωνυμίαν ὡρισμένον ἄρθρον καλοῦντες, τὸ δὲ ἄρθρον ἀόριστον. Συνάπτουσι δὲ αὐτὰ οὕτως, ἐπειδὴ τὰ ἄρθρα ἀντὶ ἀντωνυμιῶν παραλαμβάνονται, ⟨Α 12⟩ ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν, ἀντὶ τοῦ οὗτος· ἐπιφέρουσι δὲ λέγοντες, ὅτι τὸ ἀντί τινος παραλαμβανόμενον τὸ αὐτό ἐστιν ἐκείνῳ· παραλαμβάνονται δὲ ἀντὶ τῶν ἀντωνυμιῶν τὰ ἄρθρα, τὰ αὐτὰ ἄρα ἐστὶν ἐκείνοις. Εἶτα περὶ τῆς ὀνομασίας λέγουσιν, ὅτι πᾶσα ἀντωνυμία πάντως ὡρισμένη ἐστὶν ἢ διὰ δείξεως ἢ δι᾽ ἀναφορᾶς· ἢ γὰρ δεῖξιν ση-

5 Πάρις Πάρι] *vac. spat. 9 fere litter.* AE ‖ 9 Σάρδεος AE ‖ 11 ὥστε *add RSchneider* | Περὶ] ἀπὸ AE ‖ 34 τὰ δὲ ἄρθρα AE

μαίνει, ὡς ἐγώ cύ οὗτος, ἢ ἀναφοράν, ὡς ἐπὶ τοῦ αὐτός· πᾶcα δὲ δεῖξις πρώτη ἐcτὶ γνῶcις καὶ παρόντος προcώπου· διὰ τοῦτο τὰς ἀντωνυμίας ὡριcμένα ἄρθρα καλοῦcι. Τὰ δὲ ἄρθρα ἀόριcτα, ἐπειδὴ εὑρίcκουcι κατὰ cύνταξιν ἀόριcτον «ἤκουcά του λέγοντος μὴ δοκῶν κλύειν»· τὸ γὰρ «τοῦ» ἐνταῦθα ἀντὶ τοῦ «τινός».

Φαμὲν δὲ πρὸς αὐτούς, ὅτι οὐ πάντως τὰ ἀντί τινος παραλαμβανόμενα τὰ αὐτά ἐcτιν ἐκείνοις· ἰδοὺ γὰρ τὸ ⟨ex. gr. A 71⟩ Ἴλιον εἴcω ἀντὶ τοῦ «εἰς Ἴλιον», καὶ ἡ πρόθεcις καὶ τὸ ἐπίρρημα οὐκ ἔcτι ταὐτόν· «εἰ ἡμέρα ἐcτί, φῶς ἐcτιν», «ἀκολουθεῖ τῷ ἡμέρα ἐcτὶ τὸ φῶς εἶναι», καὶ οὐκ ἔcτι τὸ αὐτὸ μέρος τοῦ λόγου τὸ ἀκολουθεῖ ῥῆμα καὶ ὁ εἰ cύνδεcμος. Δεύτερον δέ, ὅτι οὐκ εἰcὶν ἄρθρα ἀντὶ ἀντωνυμιῶν παραλαμβανόμενα, ἀλλὰ ἀντωνυμίαι ὁμοφωνοῦcαι ἄρθροις, ὥcπερ εὑρίcκομεν τὰ ἐπίθετα τῶν ὀνομάτων μεταπίπτοντα εἰς cύνταξιν ἐπιρρηματικήν· ἔcτι γάρ τις τοιαύτη cύνταξις ⟨Ε 545⟩ ὅς τ᾽ εὐρὺ ῥέει Πυλίων διὰ γαίης, καὶ ἔcτιν ἐνταῦθα ἐπίθετον τὸ εὐρύ κατὰ τοῦ προcηγορικοῦ λαμβανόμενον τοῦ ὕδωρ· τὰ δὲ ἐπίθετα ἢ κυρίοις θέλει ἐπιτίθεcθαι ἢ προcηγορικοῖς· ἀπέcτη δὲ τὸ ὕδωρ, καὶ ἐγένετο ἡ cύνταξις «εὐρὺ ῥέει» καὶ ἐπειδὴ τὸ ἐπίθετον οὔτε ἐπάνω προcηγορικοῦ οὔτε ἐπάνω κυρίου ἐτέθη, ἀλλ᾽ ἐπάνω ῥήματος, ἐγένετο ἐπίθετον ῥήματος, ὅ ἐcτιν ἐπίρρημα. Τοῦτον τὸν τρόπον εὑρίcκομεν καὶ ἐπὶ τῶν ἀντωνυμιῶν· ⟨A 11 seq⟩ οὕνεκα τὸν Χρύcην ἠτίμης᾽ ἀρητῆρα Ἀτρείδης· ὁ Χρύcης γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν, καὶ ἐπειδὴ ἀπέcτη τὸ Χρύcης, ἐξ ἀνάγκης τὸ ἄρθρον μετέβη εἰς τὴν cύνταξιν τὴν ἀντὶ ὀνόματος, τουτέcτιν εἰς τὴν ἀντωνυμίαν. Τὸ δὲ «του» τὸ ἀόριcτον οὐκ ἔcτιν ἄρθρον, ἀλλ᾽ ὄνομα ἰcοδυναμοῦν τῷ «τινός».

Τὴν δὲ πρόθεcιν καὶ τὸν cύνδεcμον cυνάπτουcι, καλοῦντες τὰς προθέcεις προθετικοὺς cυνδέcμους, τοὺς δὲ cυνδέcμους ἁπλῶς cυνδέcμους· ἐπειδὴ γὰρ ἄκλιτοί εἰcιν αἱ προθέcεις καὶ οἱ cύνδεcμοι, διὰ τοῦτο cυνάπτουcιν εἰς ἕν, καὶ ὅτι πᾶcα λέξις ὑπὲρ μίαν cυλλαβὴν παρ᾽ ἡμῖν ὀξυνομένη παρ᾽ Αἰολεῦcι βαρύνεται, χωρὶς τῶν προθέcεων καὶ τῶν cυνδέcμων· καλοῦcι δὲ προθετικοὺς cυνδέcμους τὰς προθέcεις, ὅτι ἀεὶ προτίθενται, χωρὶς εἰ μὴ ἀναcτρέφοιντο.

Ἐλέγχονται δὲ οὕτως· ἀπὸ προθέcεων γίνονται παραγωγαί, ὑπέρ ὑπέρτερος, πρό πρότερος, ἀπὸ δὲ cυνδέcμων οὐχί· καὶ ὅτι αἱ προθέcεις μετὰ μιᾶς λέξεως παραλαμβάνονται καὶ ⟨ἐν⟩ παραθέcει καὶ ⟨ἐν⟩ cυνθέcει, πρὸς Ἀρίcταρχον, πρόcοδος, οἱ δὲ cύνδεcμοι οὐδέποτε μετὰ μιᾶς λέξεως παραλαμβάνονται οὔτε ἐν cυνθέcει οὔτε ἐν παραθέcει, ἀλλ᾽ ἢ μετὰ δύο ἢ μετὰ πλειόνων, «καὶ γράφω καὶ ἀναγινώcκω», πεντεκαίδεκα· καὶ ὅτι αἱ προθέcεις μετὰ τῶν ἀπτώτων καὶ τῶν εὐθειῶν ἐν cυνθέcει ⟨εἰcίν⟩, οἱ δὲ cύνδεcμοι ἐν παραθέcει. Εἰ δὲ λέγοιεν, ὅτι μονοcχημά-

16 τοῦ ὕδωρ] τὸ ὕδωρ AE ‖ 25 τινός] τίς AE ‖ 30 ὀξύνεται παρὰ δ᾽ Αἰολ. AE

τιστά ἐστι, φαμὲν ὅτι καὶ τὰ ἐπιρρήματα μονοσχημάτιστά ἐστι, καὶ ὤφειλε καὶ αὐτὰ συνάπτεσθαι μετὰ τούτων. Περὶ δὲ τοῦ φυλάττεσθαι τὴν ὀξεῖαν παρ' Αἰολεῦσί φαμεν, ὅτι ἰδίωμα διαλέκτου ἐστί, καὶ οὐκ ἔστιν ἱκανὸν ἢ ἓν μέρος λόγου ἢ δύο ποιῆσαι· ἄλλως τε ἐπειδὴ αἱ προθέσεις ἀναστρέφονται, ἐν δὲ τῷ ἀναστρέφεσθαι ἀναδέχονται τὴν βαρεῖαν ὡς παρὰ τόπον τεθειμέναι, εἰ συνέβη ἐν τῇ ὀρθῇ τάσει βαρύνεσθαι παρ' Αἰολεῦσιν, ἄδηλον ἐγίνετο πότε ὀρθοτονοῦνται καὶ πότε ἀναστρέφονται, ὡς ἐπὶ τοῦ ⟨ex. gr. B 659⟩ ποταμοῦ ἄπο Σελ⟨λ⟩ήεντος· ἐὰν γὰρ ὀρθοτονήσωμεν, «ἀπὸ Σελ⟨λ⟩ήεντος» νοεῖται, ἐὰν δὲ βαρύνωμεν, «ἀπὸ ποταμοῦ». Τοὺς δὲ συνδέσμους φυλάττουσιν ὀξυνομένους διὰ τὴν συνέμπτωσιν τῶν ἄλλων μερῶν· τὸν γὰρ ἀλλά εἰ ἐβάρυνον, συνέπιπτε τῷ ἄλλα ὀνόματι.

Πρὸς δὲ τὴν ὀνομασίαν, ὅτι καλοῦσι τὰς προθέσεις προθετικοὺς συνδέσμους, φαμέν, ὅτι ἐχρῆν καί τινας τῶν συνδέσμων οὕτω καλεῖν, τὸν καί, τὸν ἀλλά καί τινας ἑτέρους· ἀεὶ γὰρ οὗτοι προτίθενται.

Τὰ δὲ ἐπιρρήματα οὐκ ἠξίουν μέρος λόγου παραλαμβάνειν, ἀλλ' ἔλεγον αὐτὰ παραφύεσθαι ἢ τοῖς ὀνόμασιν ἢ τοῖς ῥήμασι, τὰ μὲν ἀπὸ ὀνομάτων τοῖς ὀνόμασι, τὰ δὲ ἀπὸ ῥημάτων τοῖς ῥήμασιν, οὐδὲ τοῦτο ἀκριβῶς ποιοῦντες· εὑρίσκομεν γὰρ πολλὰ ἐπιρρήματα, ἅ ἐστιν οὔτε ἐξ ὀνόματος οὔτε ἐκ ῥήματος, ὥσπερ τὰ σχετλιαστικὰ καὶ τὰ θαυμαστικὰ καὶ ἄλλα πολλά. Ἐκ ταύτης οὖν τῆς διαιρέσεως δείκνυται ἡ ποσότης τῶν μερῶν τοῦ λόγου.

Ἄλλοι δὲ ἐννέα λέγουσι, διαχωρίζοντες τὴν προσηγορίαν ἐκ τοῦ ὀνόματος· οἱ δὲ δέκα, διαχωρίζοντες τὴν προσηγορίαν ἐκ τοῦ ὀνόματος καὶ τὰ ἀπαρέμφατα ἐκ τῶν ῥημάτων· ἄλλοι δὲ ἕνδεκα, διαχωρίζοντες τὴν προσηγορίαν ἐκ τῶν ὀνομάτων καὶ τὰ ἀπαρέμφατα ἐκ τῶν ῥημάτων καὶ τὰ σχετλιαστικὰ ἐκ τῶν ἐπιρρημάτων· φασὶ γάρ, ὅτι τὰ ἐπιρρήματα ἢ ῥήμασι θέλει συντάττεσθαι ἢ σπανίως ὀνόμασιν, ὡς ἐπὶ τοῦ «μὰ τὴν ἀλήθειαν», «νὴ τὸν Δία», τὰ δὲ σχετλιαστικὰ οὔτε ῥήμασιν οὔτε ὀνόμασιν· οὐκοῦν οὐκ εἰσὶν ἐπιρρήματα. Φαμὲν οὖν ὅτι ἡ ἐνέργεια καὶ τὸ πάθος τῶν ῥημάτων εἰσὶν ἴδια· τὰ δὲ σχετλιαστικὰ ἐξ αὐτοπαθείας προέρχονται, δηλονότι τὸ ἴδιον τῶν ῥημάτων ἔχοντα· καὶ ἐπειδὴ ἔχουσι τὸ πάθος οἴκοθεν, οὐ χρῄζουσι τῆς συντάξεως τῶν ῥημάτων. ⟨Καὶ⟩ αἱ ἀντωνυμίαι οὐ δέχονται τὴν σύνταξιν τῶν ἄρθρων, ἐπειδὴ ἢ δεῖξιν σημαίνουσιν ἢ ἀναφοράν· καὶ ἡ δεῖξις ἐναντία ἐστὶ τῇ ἀναφορᾷ, καθὸ παρόντος προσώπου ἐστὶν ἡ δεῖξις, ἡ δὲ ἀναφορὰ ἀπόντος προσώπου ἀναπόλησις· διὰ τοῦτο αἱ δεικτικαὶ ἀντωνυμίαι οὐ δύνανται δέξασθαι σύνταξιν ἄρθρου, αἱ δὲ ἀναφορικαὶ οἴκοθεν ἔχουσι τὴν ἀναφοράν, καὶ περισσὴ γίνεται ἡ σύνταξις τῶν ἄρθρων. Μόνη δὲ ἡ αὐτός δέχεται τὸ ἄρθρον, ἐπειδὴ ἡ οὗτος καὶ ἐκεῖνος δεικτικαὶ οὖσαι ἐπεκτείνονται διὰ

4 δύο] ἓν AE ‖ 6 τεθειμένην AE ‖ 11 ἀλλά] ἄλλα A, ἄλα E | ἐβάρυνε AE ‖ 17 αὐτὰ *ante* μέρος (*v. 16*) *transp.* AE ‖ 27 γάρ] δὲ AE ‖ 32 ἔχοντα *Uhlig,* ἔχουσι AE

τοῦ ῑ, καὶ ἐπεκτείνουσι τὰ τῆς δείξεως καὶ γίνονται δὶς δεικτικαί· ἡ δὲ αὐτός μόνη ἀναφορικὴ οὖσα καὶ μὴ δυναμένη διὰ τοῦ ῑ ἐπεκτείνεσθαι, ἐξετάθη διὰ τοῦ ἄρθρου καὶ γίνεται δὶς ἀναφορική. Καὶ ἐπ' ὀνομάτων δὲ τὸ αὐτό· τὸ γὰρ δύο ἀριθμοῦ δηλωτικόν, προσλαμβάνον δὲ τὸ ἄρθρον προσλαμβάνει καὶ ἀναφοράν. Τούτῳ οὖν τῷ λόγῳ καὶ τὰ σχετλιαστικὰ τῶν ἐπιρρημάτων οἴκοθεν τὸ πάθος ⟨ἔχοντα⟩ οὐ χρῄζουσι τῆς ἐκ τῶν ῥημάτων παθητικῆς συντάξεως.

Διὰ τοῦτο τὸ ὄνομα καὶ τὸ ῥῆμα προτάττεται τῶν λοιπῶν μερῶν τοῦ λόγου, ἐπειδὴ δύναται μόνα ταῦτα τέλειον λόγον ἀποτελεῖν χωρὶς τῶν λοιπῶν, οἷον «Σωκράτης ἀναγινώσκει»· εἰκότως οὖν προτάττονται, εἴ γε καὶ ἐκινδύνευον μόνα εἶναι μέρη, καὶ ὅτι εἰς χρείαν αὐτῶν ἐπενοήθησαν τὰ ἄλλα· τὰ δὲ εἰς χρείαν τινὸς ἐπινοούμενα καὶ δεύτερά ἐστιν. Τὸ δὲ ὄνομα προτέτακται, ἐπειδὴ οὐσίας ἐστὶ σημαντικόν, τὸ δὲ ῥῆμα συμβεβηκότος, αἱ δὲ οὐσίαι προτερεύουσι τῶν συμβεβηκότων· ἢ ἐπειδὴ τὸ μὲν ὄνομα συναναιρεῖ, τὸ δὲ ῥῆμα συναναιρεῖται· ἐὰν γὰρ ἀναιρεθῇ ἡ οὐσία, συναναιρεῖται καὶ τὰ αὐτῇ συμβεβηκότα· καὶ ὅτι τὸ μὲν ὄνομα συνεισφέρεται, τὸ δὲ ῥῆμα συνεισφέρει, τὰ δὲ συνεισφερόμενα προτερεύουσι τῶν συνεισφερόντων· καὶ ὅτι τὸ μὲν ὄνομα ἀποτελεῖ, τὸ δὲ ῥῆμα ἀποτελεῖται, τὰ δὲ ἀποτελοῦντα προτερεύουσι τῶν ἀποτελουμένων.

Ἐπειδὴ δὲ ἡ μετοχὴ οὐδέν ἐστιν ἕτερον εἰ μὴ ὄνομα καὶ ῥῆμα, διὰ τοῦτο προτερεύει τῶν ἄλλων.

Τὸ δὲ ἄρθρον προτερεύει τῶν ἀντωνυμιῶν, ἐπειδὴ τὰ ἄρθρα μετὰ τῶν ὀνομάτων, ἡ δὲ ἀντωνυμία ἀντὶ τῶν ὀνομάτων, τὰ δὲ μετά τινος προτερεύει τῶν ἀντί τινος· καὶ ὅτι ἡ ἀντωνυμία οὐ μόνον ἀντὶ ὀνόματος παραλαμβάνεται, ἀλλὰ καὶ ἀντὶ ἄρθρου τοῦ μετὰ τῶν ὀνομάτων· ⟨ἐν⟩ τῷ γὰρ ⟨Ν 3⟩ αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ αὐτὸς ὁ Ζεύς.

Ἡ δὲ πρόθεσις προτερεύει τῶν ἐπιρρημάτων, ἐπειδὴ ἡ πρόθεσις μετὰ τῶν ὀνομάτων παραλαμβάνεται ἐν τῷ ἰδίῳ μερισμῷ, «ὑπὲρ Ἀριστάρχου, πρὸς Ἀρίσταρχον»· ἔμεινε γὰρ πρόθεσις· τὰ δὲ ἐπιρρήματα μετὰ τῶν ῥημάτων συντάσσονται ἐν τῇ ἰδίᾳ τάξει καὶ ἐν τῷ ἰδίῳ μερισμῷ, «καλῶς γράφω»· τὰ δὲ ὀνόματα προτερεύουσι τῶν ῥημάτων· εἰκότως ⟨οὖν⟩ καὶ ἡ πρόθεσις ἡ μετὰ τῶν ὀνομάτων προτέτακται τοῦ ἐπιρρήματος τοῦ μετὰ τῶν ῥημάτων.

Ὁ δὲ σύνδεσμος τελευταίαν ἐπέχει τάξιν, ἐπειδὴ πέφυκε συνδεῖν τὰ προϋποκείμενα μέρη τοῦ λόγου.

Ἡ γὰρ προσηγορία ὡς εἶδος τῷ ὀνόματι ⟨ὑποβέβληται⟩.] Τινὲς ἐχώριζον τὸ ὄνομα καὶ τὴν προσηγορίαν, λέγοντες ὅτι τὸ μὲν

38—522, 4 *cfr* Σ^{v} *214, 25—29*; Σ^{m} *357, 9—18*

3 ἐξετάσθη AE | ἀναφορά AE ‖ **23** προτερεύει] πρὸ AE; *item v. 29* ‖ **27** ἐν τῷ *Uhlig,* τὸ AE ‖ **38** τῶν ὀνομάτων AE

προσηγορικὸν ποιεῖ θηλυκόν, τὸ δὲ ὄνομα, τουτέστι τὸ κύριον, οὐ ποιεῖ. Ἀλλά φαμεν, ὅτι εἰ παρασχηματισμὸς χωρίζει τὰς λέξεις, χωριζέσθω ὁ ἄνθρωπος ἀπὸ τοῦ χρυσός καὶ ἄργυρος, ἐπειδὴ ὁ μὲν ἄνθρωπος παρασχηματίζει θηλυκόν, ὁ δὲ ⟨χρυσός καὶ ὁ⟩ ἄργυρος μονογενές ἐστιν. Λεκτέον οὖν *etc.* = Σ^v 214, 29—215, 3.

§ 12 (14b).

Περὶ ὀνόματος.

Ἀκριβεστάτην περὶ τῶν προκατειλεγμ. *etc.* = Σ^v 215, 21—216, 13.

⟨*Heliodori.*⟩ — Διὰ τί δὲ προτέτακται τὸ ὄνομα καὶ τὸ ῥῆμα; Ἐπειδὴ ταῦτα ὥσπερ ψυχὴ καὶ σῶμα ὄντα ποιεῖ τὰ ἄλλα ἐξ αὐτῶν προϊέναι τε καὶ φαίνεσθαι· καὶ ὥσπερ τοῦ ἡμετέρου σώματος καὶ ψυχῆς συνισταμένων τὰ ἄλλα ὅσα δυνάμεθα ποιεῖν ἐξ ἡμῶν προέρχεται, οὕτω τοῦ τε ὀνόματος καὶ ῥήματος ὑπαρχόντων τὰ ἄλλα ἐξ αὐτῶν γίνονται. Καὶ ὅτι τοῦτο ἀληθές, φαίνεται ἐντεῦθεν· ἐπιζητοῦμεν τί ἐστι μετοχή, καί φαμεν «λέξις μετέχουσα τῆς τῶν ὀνομάτων καὶ τῆς τῶν ῥημάτων ἰδιότητος»· ἀντωνυμία δὲ λέγεται ἀντὶ ὀνόματος παραλαμβανομένη· πρόθεσις δὲ λέγεται προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν.

Προτερεύει δὲ τὸ ὄνομα καὶ τὸ ῥῆμα κατὰ τοῦτο, ὅτι ἐάν τι τῶν ἄλλων ἀπολείψῃ, ὅμως τέλειος λόγος γίνεται, εἰ δέ τι τούτων, εὐθέως ἀσυστατήσει.

⟨*Heliodori.*⟩ — Φασὶ δὲ ὅτι προτέτακται τὸ ὄνομα, ἐπειδὴ καὶ πᾶσαι 328, 25c αἱ λέξεις ἐπικοίνως τῇ προσηγορίᾳ ὀνόματα καλοῦνται, καθὸ φαμεν καλοῖς ὀνόμασι χρῆσθαι Πλάτωνα· εἰ γὰρ ὄνομά ἐστι τὸ ὀνομαστικὸν καὶ σημαντικόν, ἕκαστον δὲ τῶν μερῶν τοῦ λόγου σημαντικόν ἐστιν ἢ συστατικόν, δῆλον ὅτι ἕκαστον ὄνομα ἂν κληθείη. Οὕτως οὖν καὶ Διόδωρος 30 ὁ ἐπικληθεὶς Κρόνος λέγεται τὸν οἰκέτην αὐτοῦ καλεῖν, τῷ Δέ συνδέσμῳ ἀντὶ ὀνόματος κεχρημένος· τὸ γὰρ ὄνομα τριβῇ καὶ συνηθείᾳ εἰώθει καλεῖν τοὺς καλουμένους.

Οἱ δὲ γραμματικοί, ἐπεὶ μὴ μόνον πρὸς τὰ σημαινόμενα ὁρῶσιν, ἀλλὰ καὶ τοὺς τύπους τῆς φωνῆς, ὁρῶντες διάφορον ὄντα τὸν τύπον τῶν ὀνομάτων πρὸς τὰ ἄλλα, καὶ τὰ μὲν ὀνόματα πτωτικά, τὰ δὲ ἄλλα οὐ πάντως, διὰ τοῦτο τὸ ὄνομα «πτωτικόν» ὠνόμασαν ἰδίως· ἴδιον γὰρ τοῦ ὀνόματος ἡ πτῶσις. Εἰ δέ ⟨τις⟩ λέγει, ὅτι τό τινος ἴδιον οὐκ ὀφείλει καὶ ἑτέρῳ κοινωνεῖν, φαίνεται δὲ ⟨ἡ πτῶσις καὶ⟩ ἐν ταῖς μετοχαῖς

9—17 *videntur esse* Σ^h; *cfr* Σ^h *71, 2—5* ‖ **21—524, 12** *videntur esse* Σ^h

15 *poster.* τῆς *om* A ‖ **21** προτέτακται E, προτάττεται A ‖ **22** ὀνόματα] ὀν^ο′ A, ὄνομα E ‖ **26** Δέ] *vide Stephanum in Arist. de interpr. 9, 23 (Comment. in Arist. XVIII 3).* ‖ **28** καλεῖν τοὺς καλεῖν τοὺς καλουμένους A, καλεῖν (*in marg.* τοὺς καλεῖν) οὐ τοὺς καλουμένους E ‖ **32** ὄνομα—ἰδίως] ὄνομα οὐκ ἰδίως ὠνόμασαν (ἐνόμασαν E) ἴδιον AE | γὰρ] δὲ AE

καὶ ἐν ταῖς ἀντωνυμίαις, λεκτέον· ἀλλὰ καὶ ἡ ἀντωνυμία ἀντὶ τοῦ ὀνόματος, καὶ ἡ μετοχὴ μετέχει τοῦ ὀνόματος, ἐπειδὴ μέρη εἰσίν, οὐκ εἴδη τοῦ λόγου· τινὰ δὲ ὁρῶμεν μέρη εἰδῶν ἑτέρων ἑτέροις εἴδεσι κοινωνοῦντα, ὡς ὁρῶμεν ἑκάστῳ τῶν ζῴων πόδας ὁμοίως. — Τὸ δὲ «πτωτικόν» τύπον ἔχει κτητικοῦ, καὶ σημαίνει τὸ ὑπὸ τὴν πτῶσιν ⟨πεπτωκός⟩, ὑπόκειται δὲ πτώσεσιν. Διαφέρει δὲ ⟨πτῶσις⟩ πτωτικοῦ, ὅτι μεταπλασμὸς ληκτικῆς ἐστιν ἡ πτῶσις, πτωτικὸν δὲ τὸ ὄνομα τὸ μεταπλασσόμενον.

Ζητητέον δέ, εἰ πτῶσίς ἐστιν ὁ τύπος καὶ ὁ μεταπλασμὸς κατὰ τὴν ληκτικὴν συλλαβήν, ἢ τὸ σημαινόμενον· εἰ μὲν γὰρ ὁ τύπος, ἄτοπον· ὁρῶμεν γὰρ ἑνὶ τύπῳ τὰς πέντε πτώσεις δηλουμένας. Ἀλλὰ φήσει τις, ὅτι ⟨ὁ⟩ τοῦ μεταπλασσομένου ἄρθρου μεταπλασμὸς ὁ προκείμενος ἐν τῷ ὁ καὶ τοῦ καὶ τῷ σημαίνει τὴν πτῶσιν· ἐὰν γὰρ εἴπω ἄλφα, ἄδηλον πότερον ὀρθὴν ἢ γενικὴν ἢ δοτικὴν εἶπον· οὐκοῦν ὁ τύπος ἐστὶ καὶ ὁ μεταπλασμὸς ἡ πτῶσις, καὶ οὐ τὸ σημαινόμενον. Εἰ δὲ τοῦτο, πάλιν συμβήσεται ἄτοπον· εἰ μὲν γὰρ ἓν πλάσμα ἦν τῆς γενικῆς καὶ εἷς τύπος κατὰ πάντων τῶν ὀνομάτων κείμενος, ὁ τύπος ἂν ἦν καὶ μόνος ἡ πτῶσις· εἰ δὲ διάφορον τὸ σχῆμα καὶ ἔξεστιν ἡμῖν ὡς βουλόμεθα σχηματίζειν, πολλαὶ αἱ πτώσεις ἔσονται καὶ οὐ πέντε, οἷον ὡς ἐν τῷ Ἀτρείδης· ὁρῶμεν γὰρ ⟨τούτου⟩ τοῦ ὀνόματος τὴν γενικὴν πολλοὺς τύπους ἐπιδεχομένην κατὰ τὴν ληκτικήν· καὶ γὰρ τοῦ Ἀτρείδου φαμὲν καὶ Ἀτρείδεω καὶ Ἀτρείδαο, καὶ γίνεται ἡ γενικὴ οὐκέτι μία πτῶσις, ἀλλὰ τρεῖς, εἴ γε πρὸς τὸν διάφορον τύπον τῆς ληκτικῆς πτῶσις δοκεῖ γίνεσθαι. Ἀπὸ τούτου τοίνυν δέδεικται, ⟨ὅτι⟩ μὴ μόνος ὁ τύπος ὁ τῆς ληκτικῆς ἐστι συλλαβῆς ἡ πτῶσις, ἀλλὰ χρήσει καὶ τοῦ σημαινομένου· καὶ γὰρ ἐπὶ τῆς γενικῆς ταύτης τύποι διάφοροι εὑρεθέντες τῆς ληκτικῆς, διὰ τὸ ἓν εἶναι τὸ σημαινόμενον τῶν τύπων τούτων, οὐ πολλὰς ποιοῦσιν, ἀλλὰ μίαν.

Ζητητέον δὲ ποῖον ὄνομα ὁρίζεται, πότερον τὸ γενικὸν ἢ τὸ ἰδικόν· γενικὸν μὲν γάρ ἐστιν ὄνομα ὡς τὸ ζῷον, ἰδικὸν δὲ ὡς τὸ τὶ ζῷον καὶ ὡς ὁ τὶς ἄνθρωπος· εἰ μὲν οὖν τὸ ἰδικὸν δεξαίμεθα, οὐκέτι πέντε πτώσεις ἔχει τὸ ὄνομα, ἀλλ' ἢ μονόπτωτον ἔσται ἢ δίπτωτον ἢ τρίπτωτον ἢ τετράπτωτον [ἢ πεντάπτωτον], ὡς τὸ Πλάτων, τούτου γὰρ ἡ ὀρθὴ καὶ ἡ κλητικὴ ὁμοῖαί εἰσιν· ἔστι δέ τινα ὀνόματα καὶ μονόπτωτα, ὡς τὰ στοιχεῖα καὶ οἱ Αἰγυπτίων μῆνες· οὐκοῦν ὀνόματος ἄρα μέμνηται τοῦ γενικοῦ· τούτου γὰρ αἱ πέντε πτώσεις, ὡς γὰρ καὶ πτώσεις λέγον-

1 ἀντωνυμίαις A, ἀνομίαις E | ἀντὶ] ἐκ AE ‖ 4 ὁμοίους AE ‖ 5 ἔχει A, ἔχειν E ‖ 7 ληκτικῆς] κτητικοῖς AE ‖ 11 δηλοῦντας AE | φήσει A, φύσει E ‖ 12 τοῦ *om* E | μεταπλασμοῦ ἀριθμοῦ μεταπλασμὸς ὁ προσκείμενος AE ‖ 13 καὶ τῶ ῡ καὶ τῶ ω̄ μεγάλω σημ. AE ‖ 14 τύπος A, τόπος E ‖ 17 καὶ μόνος] κείμενος AE ‖ 18 καὶ ἔξ.] ἔξεστι καὶ AE ‖ 21 λητικὴν A, κλητικὴν E ‖ 23 τὸν *om* E | πτώσεις AE ‖ 24 ληκτικῆς] κλητικῆς AE ‖ 25 τοῦ σημαινομένου AE ‖ 27 ποιοῦσιν A, ποιοῦμεν E ‖ 31 δίπτωτον A, δίπτυχον E ‖ 34 οὐκοῦν A, οὐ κοὴν E

ται πρὸς τοῦτο, ὅτι ἀπὸ τούτου πεπτώκασιν. Ἔχει δὲ τὸ ὄνομα πτώσεις χωρὶς χρόνων καὶ προσώπων· ταύτῃ οὖν διαφέρει τῶν ἄλλων.

Ἰστέον δὲ ὅτι ἀπὸ τοῦ νέμω γέγονε νόμα, τὸ νέμον καὶ χωρίζον ἑκάστῳ τὴν ἰδίαν προσηγορίαν, καὶ πλεονασμῷ τοῦ ō ὄνομα. Ἔστι δὲ τοῦτο μονῆρες· οὐδὲν γὰρ εἰς ᾱ λῆγον οὐδέτερον παραλήγει ἑνὶ ō καὶ προπαραληγόμενον ἑτέρῳ ō, εἰ μὴ μόνον τὸ ὄνομα· ὅθεν οἱ Αἰολεῖς ἀναλογώτεροί εἰσιν ὄνυμα λέγοντες, ὡς μήνυμα.

Ἰστέον δὲ ὅτι οἱ περὶ Ἀπολλώνιον καὶ Ἡρωδιανὸν οὕτως ὁρίζονται τὸ ὄνομα· «ὄνομά ἐστι μέρος λόγου πτωτικόν, ἑκάστῳ τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων κοινὴν ἢ ἰδίαν ποιότητα ἀπονέμον»· οἱ δὲ περὶ Ῥωμανὸν καὶ τὸν Φιλόπονον ἀντὶ τοῦ ποιότητα οὐσίαν προστιθέασιν.

Σῶμα μέν, οἷον λίθος.] Σῶμά ἐστι τὸ τριχῇ διαστατόν, μήκει πλάτει βάθει, ἁφῇ τε καὶ θέᾳ ὑποπῖπτον· πρᾶγμα, ᾧ μηδὲν τούτων ἕπεται, νῷ δὲ μόνῳ νοεῖται. — Ἀπαλλάττων δὲ ἡμᾶς φαύλης ἐννοίας, δι' ἧς νομίζομεν μόνην τὴν οὐσίαν τὴν ἡμετέραν σῶμα λέγεσθαι, δι' ἄλλου τὸ ὑπόδειγμα παρήγαγεν. — Διαφέρει δὲ τὸ σημαινόμενον τοῦ σημαίνοντος· σημαίνει μὲν γὰρ τὸ ὄνομα, σημαίνεται δὲ τὸ πρᾶγμα.

Κοινῶς τε καὶ ἰδίως λεγόμενον.] Τὰ ὀνόματα *etc.* = Σ^{v} 217, 11—218, 7.

⟨*Heliodori.*⟩ — Ἰστέον ὅτι ὁ μὲν Διονύσιος τὰ γένη προτάττει τῶν εἰδῶν, ἐπειδὴ πεφύκασι τὰ εἴδη ὑποτάσσεσθαι τοῖς γένεσιν· οἱ δὲ περὶ Ἡρωδιανὸν καὶ Ἀπολλώνιον τὰ εἴδη τῶν γενῶν προτάττουσιν, φημὶ δὴ τῶν γενῶν καὶ εἰδῶν ἐπὶ τούτου τοῦ σημαινομένου λαμβανομένων, ἐπὶ πρωτοτύπου καὶ παραγώγου, καὶ ἀρσενικοῦ καὶ θηλυκοῦ καὶ οὐδετέρου. Τοῦτο δὲ ποιοῦσιν, ἐπειδὴ ὅπου μὲν εἶδος, ἔστιν οὐ πάντως καὶ γένος· ἰδοὺ γὰρ τὰ ῥήματα καὶ τὰ ἐπιρρήματα εἴδη μὲν ἔχουσι, γένη δὲ οὔ· ὅπου δὲ γένος, ἐκεῖ πάντως καὶ εἶδος· ἰδοὺ γὰρ τὰ ὀνόματα ἔχοντα γένη ἔχουσι καὶ εἴδη.

Γένη μὲν οὖν εἰσι τρία.] Γένος ἐστὶ χαρακτὴρ λέξεων σημαίνων τὸ ἐν φωνῇ ἄρσεν ἢ θῆλυ ἢ οὐδέτερον. Καὶ ἀρσενικὸν μέν ἐστιν οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ὁ, θηλυκὸν δὲ οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ ἡ, οὐδέτερον δὲ οὗ προτάσσεται κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶσιν ἄρθρον τὸ τό. Ἔγκειται δὲ τῷ ὅρῳ τὸ «ἐν φωνῇ», ἐπεὶ οἱ φιλόσοφοι ἀπὸ τῆς σημασίας νοοῦσι τὰ γένη· ἄρρεν μὲν γὰρ καλοῦσι τὸ σπέρματος ἀποβλητικόν,

---

8—12 *cfr Choerob. in CGG IV 1 p. 105, 23—106, 7* || **21—525, 2** *videntur esse* Σ^{h} || **30—525, 2** *cfr* Σ^{m} *361, 35—362, 7*

5 παραλῆγον E || **8** δὲ *om* E || **9** πτωτικοῦ E || **11** τοῦ *om* E || **24** δὴ A, δὲ E || **30** σημαῖνον AE || **36** ἀποβλητικόν] ἀπόβλητον AE

θηλυκὸν δὲ τὸ cπέρματος δεκτικόν, οὐδέτερον δὲ τὸ μηδενὸς τούτων μετέχον· οἱ δὲ γραμματικοὶ ἀπὸ τῶν ἄρθρων.

Ἰcτέον δὲ ὅτι τὸ οὐδέτερον *etc.* = Σ^m 362, 8—24.

Τινὲς δὲ δύο μόνα γένη λέγουcι· τῶν γὰρ ὄντων τὰ μὲν ἄρρενά ἐcτι, τὰ δὲ θήλεα· τὸ δὲ ἐξ ἀναιρέcεως τῶν δύο οὐδέτερον.

Ζητητέον δέ, εἰ ἀπὸ τοῦ cημαινομένου δεῖ τῶν γενῶν cτοχάζεcθαι ἢ ἀπὸ τῶν τύπων ⟨ἢ ἀπὸ τῶν ἄρθρων⟩· εἰ μὲν γὰρ ἀπὸ τῶν cημαινομένων, πῶς τὸ ἡ πόλις θηλυκόν φαμεν; εἰ δὲ ἀπὸ τῶν ἄρθρων, παντὶ ὀνόματι ὃ βούλομαι ἄρθρον προcτιθεὶc ποιῶ οἷον βούλομαι γένος, ὡς λέγομεν ὁ ἔλαφος καὶ ἡ ἔλαφος. Φαμὲν ὅτι ποτὲ μὲν ἀπὸ τῶν cημαινομένων, ποτὲ δὲ ἀπὸ τῶν τύπων καὶ τῆς τῶν ἄρθρων εὐφωνίας· οὐ γὰρ ὃν τρόπον προcτεθὲν τὸ ὁ τῷ πόλις [ποιεῖ ὁ πόλις] ἀφωνίαν ἀπεργάζεται, τοῦτον τὸν τρόπον καὶ ἐν τῷ ὁ ἵππος καὶ ἡ ἵππος· διὰ τοῦτο γὰρ καὶ τὸ ἵππος νοοῦμεν ὡς ἀρcενικὸν ⟨καὶ ὡς θηλυκόν, καὶ οὐχὶ μόνως ἀρcενικὸν⟩ ἢ μόνως θηλυκὸν εἶναι ἔδοξε· τὸ μὲν γὰρ cημαινόμενον δίδωcι τὴν ἑκατέρου ἔννοιαν, δεῖ γὰρ εἶναι καὶ θήλειαν ἵππον καὶ ἄρρενα· τὸ δὲ ἄρθρον ἑκάτερον προcκείμενον εὔφωνον ἔχει τὸν τύπον.

Τινὲς δὲ προcτιθέαcι τούτοις ἄλλα δύο, κοινόν τε καὶ ἐπίκοινον.] Κοινόν ἐcτιν ὃ τὰς μὲν πτώcεις ἔχει τὰς αὐτάς, ὑποτάccεται δὲ ἰδίοις ἄρθροις, οἷον ὁ ἵππος καὶ ἡ ἵππος· καὶ ἐν πάcαις ταῖς πτώcεcιν ὁμοφωνοῦcιν ἐναλλαccομένων τῶν ἄρθρων, ὡς πατρῴαν οὐcίαν κοινὴν ἀδελφῶν φαμεν. Ἐπίκοινον δὲ ὃ διὰ μιᾶς λέξεως τό τε ἀρcενικὸν καὶ τὸ θηλυκὸν cημαίνει, τῷ ἑτέρῳ τῶν ἄρθρων προκατειλημμένον, ἤτοι ἀρcενικῷ ἢ θηλυκῷ, ὥcπερ ἐπίκοινον κτῆμά φαμεν τὸ μὴ ἐξ ἴcης μοίρας ἀλλ' ἐξ ἀνίcων μερῶν ἀπονέμον δεcπόταις τὴν χρῆcιν. Τότε δὲ τὸ ἐπίκοινον ἐν ἑνὶ ἄρθρῳ τὰ δύο ἔχει γένη, ὅταν ὁ χαρακτὴρ ἑνὸς γένους ᾖ ἐπιδεκτικός, οἷον ἡ περιcτερά, ὁ ἀετός. Διαφέρει δὲ τὸ κοινὸν *etc.* = Σ^v 21, 8—15. Ὁ τεχνικὸς δέ, ὅτε μὴ ἀρέcκηταί τινι ὑφ' ἑτέρων εἰρημένῳ, ἵνα μὴ δοκοίη κατ' ἄγνοιαν παραλιμπάνειν, παρεμφαίνει διά τινος λέξεως, ὅτι οὐκ ἀρέcκεται αὐτῷ.

⟨*Heliodori.*⟩ — Ὅτι δὲ οὐκ εἰcὶ ταῦτα γένη δῆλον· εἰ γὰρ ἑκάcτῳ γένει δέδοταί τις οἰκεῖος χαρακτήρ, ὥcπερ ὁ εἰς $\overline{ac}$ ἀρcενικῶν μόνων, καὶ ὁ εἰς $\overline{η}$ θηλυκῶν, καὶ ὁ εἰς $\overline{ov}$ οὐδετέρων, ⟨ταῦτα δὲ οὔτε χαρακτῆρα⟩ οὔτε [δὲ] cημαινόμενον οὔτε ἄρθρον ἔχουcιν ἴδιον — καὶ γὰρ ἡ φωνὴ αὐτῶν ἢ ἀρcενική ἐcτιν ἢ θηλυκή — χρὴ οὖν αὐτὰ ὄνομα κοινὸν

20—26 *cfr* Σ^v *218, 18—24* ‖ **26—28** *cfr* Σ^v *219, 5—7* ‖ **29—31** *cfr* Σ^v *218, 24—26* ‖ **32—526, 11** *videntur esse* Σ^h; *cfr* Σ^m *362, 29—363, 18*

9 ποιῶν E ‖ **21** *post* οἷον *add* ὀν° A, ὀνο̈ E | ἐν] ἀνὰ AE ‖ **23** ἀδελφὴν φαμὲν AE | τε *om* E ‖ **24** τὸ *om* A | προκατειλημμένων AE ‖ **25** ἢ] ἤτοι AE ‖ **28** ᾖ] ἐcτὶν AE | ἐπιδεκτικὸν E ‖ **30** εἰρημένων AE ‖ **32** ταῦτα] τῶ τὰ (*sic*) AE ‖ **35** cημαινόμενον] cημαῖνον AE

καλεῖν καὶ ὄνομα ἐπίκοινον, οὐ γένος. Κοινὰ δὲ ὅσα τῶν ζῴων ἐκ τῆς φύσεως γνωρίζουσιν ἡμῖν τὸ γένος, τουτέστιν ἐκ τῶν αἰδοίων, οἷον ὁ ἄνθρωπος ἀλλὰ καὶ ἡ ἄνθρωπος· δύο δ' ἐν τούτοις ἀπεσιωπήθησαν ἀρσενικὰ προσλαμβάνειν ἄρθρα, ἡ ἄρκτος καὶ ἡ κάμηλος, σπανίως τάχα δὲ ἅπαξ λεχθέντα ἀρσενικῶς. Ἐπίκοινα δὲ τὰ τοὐναντίον μὴ ἐκφαίνοντα τὸ γένος, ἀλλ' ἢ ἀρσενικῶς μόνως ἢ θηλυκῶς λεγόμενα, ὡς ἂν ἡ χρῆσις εὑρεθῇ ἔχουσα· ταῦτα δὲ διὰ τῆς φύσεως οὐ δηλοῖ τὸ γένος, οἷον ἀρσενικῶς εὕρηται ὁ ἀετός, ⟨καὶ⟩ οὕτω δεῖ μόνως λέγειν, ἡ χελιδών θηλυκῶς· πλὴν καὶ ἐν τούτοις εὑρέθησαν δύο ἀντιπάσχοντα· τὸ γὰρ χήν θηλυκῶς εὕρηται παρὰ τῷ ποιητῇ, ⟨ο 174⟩ ὡς ὅδε χῆν' ἥρπαξ' ἀτιταλλομένην· εὑρέθη δὲ καὶ ὁ περιστερός ἅπαξ.

Εἴδη δύο, πρωτότυπον καὶ παράγωγον.] Διὰ τί μὴ τὸ εἶδος τοῦ γένους προέταξεν, εἴ γε πᾶσα λέξις ὑπὸ τὸ εἶδος ἀνάγεται, οὐχ ὑπὸ τὸ γένος; Φαμὲν ὅτι τοῖς φιλοσόφοις ἐπηκολούθησεν· ἐκεῖνοι γὰρ προτάττουσι τοῦ εἴδους τὸ γένος, οἱ δὲ γραμματικοὶ τὸ εἶδος, ἐπειδὴ οὐ τοσοῦτον τῆς σημασίας ὅσον τῆς φωνῆς ἀντιποιοῦνται. Ἀλλ' ἴσως τις εἴποι· διὰ τί χαρακτῆρας ἡμῖν φωνῆς εἰσηγήσασθαι βουλόμενος οὐκ ἠκολούθησε τοῖς γραμματικοῖς; Φαμὲν ὡς ὁμωνυμίαν εὑρὼν ἐνταῦθα τοῖς φιλοσόφοις προσεχαρίσατο τὸ γένος προτάξας.

Εἶδος δέ ἐστι φωνῆς εἰκὼν δηλοῦσα τὴν ἐν αὐτῇ πρώτην ἢ δευτέραν θέσιν· ἢ εἶδός ἐστι τὸ περιέχον καὶ περικλεῖον τὰ κατὰ παραγωγὴν ὑπ' αὐτοῦ περιεχόμενα. Τὰ δὲ εἴδη διαιρεῖται μὲν ἐκ τῶν γενῶν, φέρει δὲ ἐν αὐτοῖς τὴν τῶν γενῶν φύσιν, ὡς ὁ ἄνθρωπος φέρει ἐν ἑαυτῷ τὸ ζῷον· καὶ ἡ μὲν ὁμοιότης τοῖς ζῴοις ἐκ τοῦ γένους, ἡ δὲ διαφορὰ κατὰ τὴν τῆς ἰδέας αἰτίαν· καὶ ὡς τὸ μὲν ἄλογον, τὸ δὲ λογικόν, οὕτω καὶ τῶν ὀνομάτων ἰδέαι δύο αἱ πρῶται, τό τε πρωτότυπον καὶ ⟨τὸ⟩ παράγωγον· τῶν γὰρ ὀνομάτων τὰ μὲν πρώτην ἔχει τὴν θέσιν, τὰ δὲ ἀπ' αὐτῆς παράγωγα, ὡς τὸ μὲν Ἕκτωρ πρωτότυπον, τὸ δὲ Ἑκτόρεος παράγωγον. Τὰ δὲ πρωτότυπα καὶ τοῖς σημαινομένοις καὶ τοῖς τύποις διαφέρει τῶν παραγώγων· οὐ γὰρ ταὐτὸν τῷ Ἕκτωρ τὸ Ἑκτόρεος.

⟨*Heliodori.*⟩ — Ζητητέον δὲ διὰ τί τὰ τοῦ πρωτοτύπου εἴδη παρεὶς περὶ τῶν εἰδῶν τοῦ παραγώγου διαλαμβάνει· εἰ γὰρ τὸ Ἕκτωρ πρωτότυπον εὑρέθη καὶ κύριον τῶν εἰδῶν τῶν ὑποβεβηκότων, δῆλον ὅτι καὶ πρωτότυπον ἔχοι ἂν εἴδη. Πρὸς ὃ λεκτέον, ὅτι τῶν εἰδῶν τὰ μέν ἐστι προσεχῆ, τὰ δὲ οὔ· ὡς προσεχές ἐστι τῶν παραγώγων εἶδος

12—19 *cfr* Σ^m *364, 5—23* ‖ **31—527, 20** *videntur esse* Σ^h

1 δὲ] γὰρ AE ‖ **2** ἡμῖν A, ἡμῶν E ‖ **4** κάμιλος E ‖ **5** λεχθὲν AE ‖ **10** ἥρπαξα τιτ. AE ‖ **14** τὸ (*ante* γ.) *om* A | ἐπηκολούθησαν E ‖ **19** προεχαρίσατο AE ‖ **20** φωνῆς A, φωνη (*sic*) E ‖ **23** αὐτοῖς AE ‖ **25** καὶ *ante* ὡς *om* E ‖ **28** ἑκτόρεος A, ἑκτόρειος E; *item v. 30* ‖ **30** τῷ] τῶ E, τὸ A ‖ **31** πρωτοτύπου] παραγώγου AE ‖ **32** παραγώγου] πρωτοτύπου AE | διαλαμβάνει E, διαλαβεῖν A ‖ **33** ὑποβεβληκότων E ‖ **34** ἔχοι A, ἔχει E

τὸ παρώνυμον καὶ τὰ ἄλλα· προσεχὲς δέ φημι τὸ ὥσπερ προσεχόμενον καὶ συνηνωμένον τῶν προϋποκειμένων. Ἐπεὶ τοίνυν τῶν παραγώγων εἴδη ἐστὶ ταῦτα, τὸ παρώνυμον καὶ τὰ ἄλλα, ὑφ᾽ ἃ ἔστι πολλάκις ἰδεῖν καὶ κύρια, ὡς τὸ Διομήδης, ἐπειδὴ ἀπὸ τοῦ Μῆδος παρῆκται, καὶ παρώνυμον καὶ μετὰ τοῦτο καὶ κύριον, εὑρέθη ἄρα καὶ κύριον ἀπό τε δύο, παραγώγου καὶ πρωτοτύπου, γενόμενον· καὶ οὐ μόνον ἀπὸ πρωτοτύπου κοινῶς ἔστι τινά, ἀλλὰ καὶ ἀπὸ τῶν παραγώγων καὶ ἀπὸ τῶν πρωτοτύπων, καὶ οὐ διώρισται, τίνα ἀπὸ πρωτοτύπων καὶ τίνα ἀπὸ παραγώγων· φαίνεται δὲ τὰ κύρια ἐπὰν ᾖ πρωτότυπα σπάνια ὄντα. Ἀλλὰ μὴν καὶ ἐπὶ τῶν προσηγορικῶν ταὐτὸν ἔστιν ἰδεῖν, καὶ τὸ ἑξῆς προσηγορικὸν ἀπὸ πρωτοτύπου εὐθέως γενόμενον, οὐκέτι δὲ ἀπὸ παραγώγου. Ἐπειδὴ τοίνυν, ὡς ἔφαμεν, κοινὴ τούτων ἡ φύσις, καὶ οὐ φαίνεται τὸ πρωτότυπον εἴδη τινὰ ἴδια ἔχον, ἀλλὰ κἂν ἔχῃ κοινὰ τῷ παραγώγῳ, διὰ τοῦτο παρῆκε τὸν περὶ τούτου λόγον ὡς μικτὸν ὄντα, καὶ περὶ τῶν εἰδῶν τοῦ παραγώγου διαλέγεται, ἵνα τὸ παράγωγον γένος ὑποστήσηται εἶδος ὀνόματος. Δυνατὸν γὰρ εἴδη εἰδῶν λέγεσθαι· ὡς γὰρ τοῦ ζῴου ὄντος ὑπὸ τὸ γένος τῆς οὐσίας, ἔχει καὶ αὐτὸ ἕτερα εἴδη, τοῦτον τὸν τρόπον καὶ τοῦ ὀνόματος, γένους ὄντος, εἶδος ὑποληφθὲν τὸ παράγωγον γένος γενήσεται τῶν ὑπ᾽ αὐτὸ εἰδῶν.

Ἀπεσιώπησε δὲ τῶν πρωτοτύπων τὰ εἴδη, ὅτι πολλὰ ἦν· τὰ γὰρ πρωτότυπα αὐτόθετά ἐστι ⟨καὶ ἄπειρα⟩, καὶ ἦν καθ᾽ ἑκάστην φωνὴν ἰδιάζων ὁ χαρακτήρ, τὰ δὲ ἄπειρα καὶ ἄτακτα, τὰ δὲ ἄτακτα καὶ ἀσαφῆ· εὐαρίθμητα δὲ τὰ παράγωγα καὶ εὐπερίληπτα εἰς διδασκαλίαν.

Τῶν δὲ ὀνομάτων τὰ μέν εἰσι κατὰ τὴν φωνὴν εἴδη, τὰ δὲ κατὰ σημασίαν· καὶ τὰ μὲν κατὰ τὴν φωνὴν πρωτότυπον καὶ παράγωγον, ὅπερ ὑποδιαιρεῖται εἰς πατρωνυμικὸν καὶ ἑξῆς, τὰ δὲ κατὰ σημασίαν κύριον, προσηγορικὸν καὶ ἑξῆς. — Ἰστέον δὲ ὅτι τὸ πρωτότυπον διχῶς νοεῖται, οὗ τῆς γενέσεως οὐδὲν κατῆρξεν, ὡς τὸ πᾶς, καὶ ὃ τὴν πρώτην θέσιν ἐπαγγέλλεται· τύπος γάρ ἐστιν ὁ χαρακτὴρ ἑκάστης φωνῆς· παράγωγον δὲ τὸ ἀπό τινος μὲν παραγόμενον καὶ ἑτέρῳ δὲ ἀρχὴ γινόμενον, ὡς τὸ Θησεύς· ἔστι γὰρ ἀπὸ τοῦ θήσω, ποιεῖ δὲ τὸ Θησείδης· ὥσπερ γὰρ παρὰ τοῖς φιλοσόφοις τὸ εἶδος εἰς γένος μεταπίπτει, οὕτως δύναται τὸ αὐτὸ καὶ πρωτότυπον εἶναι καὶ παράγωγον· ἔστι γὰρ γέα διὰ τοῦ ε̄ γραφόμενον, ὅθεν καὶ γεωμέτρης καὶ γεωργός· τοῦτο συναιρεῖται καὶ γίνεται γῆ, καὶ ἀπὸ τούτου γίνεται τὸ διὰ τῆς αι̅ διφθόγγου γαῖα.

Πατρωνυμικὸν μὲν οὖν ἐστι.] Προτάττει *etc.* = *eadem fere*

17—20 *cfr Σ*[v] *220, 5 seq* ‖ **21—24** *cfr Σ*[v] *220, 6—13* ‖ **25—36** *cfr Σ*[m] *364, 28—365, 7* ‖ **28—36** *cfr Σ*[v] *219, 19—21 et 24—30*

1 φημι] φησι AE ‖ **7** πρωτοτύπου] παρωνύμου AE ‖ **8** ἐστὶ τινὰ AE ‖ **10** πρωτότυπα] κύρια AE ‖ **14** κοινὴ τὸ παράγωγον AE ‖ **18** γένος] εἶδος AE ‖ **20** γένος] εἶδος AE ‖ **22** ἢν E, ἣν A ‖ **24** ἀπερίληπτα AE ‖ **25** εἰσι E, ἐστι A ‖ **26** *prius* καὶ *om* A | τὴν *om* A ‖ **29** οὗ — οὐδὲν] οὔ τε τῆς γεν. οὐδὲ AE ‖ **32** γὰρ A, δὲ E ‖ **36** καὶ (*ante* ἀπὸ) *om* A | τῆς] τοῦ AE

quae Σ^m 365, 23—366, 12. Καὶ οὕτως Ὅμηρος οὐκ ἐπίσταται ἐκ μητέρων ποιεῖν πατρωνυμικά, ὅτι γενεαλογῶν πολλάκις ἀεὶ τὸ πλεῖον τοῖς πατράσι παρέχει, ὡς τὸ ⟨Φ 109⟩ πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ, προκρίνων τὸν πατέρα τῆς θεοῦ· ὅθεν καὶ τὸ Μολίων οὐκ ἔστι πατρωνυμικόν, ἀλλὰ παρώνυμον ἀπὸ τοῦ μῶλος. — Τὸ δὲ πατέρες ὄνομα οὐ μόνον τοὺς φύσαντας σημαίνει καὶ τοὺς προγόνους, ἀλλὰ καὶ τοὺς πολιούχους καὶ ⟨τοὺς⟩ κτίστας τῶν πόλεων καὶ τοὺς νομοθέτας. — Ἁμαρτάνει δὲ ὁ Τρύφων τὸ Τελαμωνιάδης ἀπὸ τοῦ Τελαμώνιος λέγων· ἐπλάνησε δὲ αὐτὸν ἴσως τὸ Λαερτιάδης. — Χρειώδης δὲ τοῦ τύπου ἡ συντομία· ἀντὶ γὰρ τοῦ εἰπεῖν Πηλέως υἱός φαμεν Πηλείδης.

Ἐπειδὴ δὲ *etc.* = Σ^m 367, 6—368, 15 (*sed paulo breviora*).

Ὁ εἰς ας καὶ ὁ εἰς ις τύπος θηλυκὸς ἀπὸ τῶν εἰς δης γίνεται ἀρσενικῶν· τὰ γὰρ εἰς δης ἀποβάλλοντα *etc.* = Σ^v 222, 5—21. Ὁ δὲ εἰς νη τύπος ποτὲ μὲν τὸ ι θέλει ἔχειν, ἡνίκα τὸ πρωτότυπον αὐτοῦ μὴ ἔχει τὸ ι παραλῆγον, οἷον Εὔηνος Εὐηνίνη, Ἄδρηστος Ἀδρηστίνη, ποτὲ δὲ τὸ ω, ἡνίκα τὸ πρωτότυπον αὐτοῦ ἔχει παραλῆγον τὸ ι· καὶ φιλεῖ γίνεσθαι ἀπὸ τῆς εἰς ου ληγούσης τοῦ πρωτοτύπου γενικῆς· αὕτη γὰρ τὸ ου μόνον μεταβάλλει ἢ εἰς ινη ἢ εἰς ωνη, οἷον Ἀκρίσιος ⟨Ἀκρισίου⟩ Ἀκρισιώνη, ὅπως μὴ δύο ι ἀλλεπαλλήλως λεγόμενα κακοφωνίαν ἐμποιήσῃ. — Ἰστέον δὲ ὅτι ἀπὸ οὐδετέρων *etc.* = Σ^v 222, 22—223, 2.

Ἰστέον δὲ ὅτι τὰ πατρωνυμικὰ δυνάμει κύριά εἰσι, καὶ σύνταξιν ὁμοίαν τῇ τῶν κυρίων ἔχουσι τοῖς ἐπιθέτοις συντασσόμενα, οἷον ὁ γενναῖος Πηλείδης, τοῦ γενναίου Πηλείδου καὶ ἑξῆς. Ἐνδέχεται δὲ τοῖς πατρωνυμικοῖς συντάσσειν τὰ τῶν παίδων ὀνόματα καὶ μή· ἐὰν γὰρ ἀδελφῶν ὄντων τινὰ τούτων χωρὶς σημῆναι βουλώμεθα, τῷ πατρωνυμικῷ παρατίθεμεν τὸ τοῦ παιδὸς ⟨κύριον⟩ ὄνομα, οἷον (cfr δ 51) Ἀτρείδης Μενέλαος, εἰ δὲ μὴ ὦσιν ἀδελφοί, οὐ χρεία προσθήκης, οἷον «ὁ Πηλείδης ἐφόνευσεν Ἕκτορα». Τοῖς δὲ κτητικοῖς ἀνάγκη ⟨ἐπιφέρειν⟩ κύριον ἢ προσηγορικόν, οἷον Ὁμήρειος λόγος, Νηλήϊος ἵππος· εἰ γάρ τις φαίη Πλατωνικός μὴ προσκειμένου τοῦ νόμος ἢ χιτών, ἀτελές ἐστιν· ὁμοιοπτώτως δὲ καὶ ὁμοιογενῶς τοῖς κυρίοις καὶ τοῖς προσηγορικοῖς, ὥσπερ καὶ τὰ ἐπίθετα, συντάσσονται.

6—8 *cfr* Σ^v *220, 14—16*; Σ^m *366, 27—30* ‖ **8—11** *cfr* Σ^v *220, 24—29* ‖ **14—21** *cfr* Σ^m *369, 8—19* ‖ **23—34** *excerpta e Syncelli libro* περὶ συντ. *fol. 174* (*ed. Ald. 1525*)

3 δεῖ μἀγαθοῖο (-εῖο E) AE ‖ **5** μολίον AE | μῶλος] μόλος AE ‖ **6** πατέρες] τοῦ πατρὸς AE ‖ **9** λέγων *ante* ἀπὸ (*v. 8*) *transp.* A ‖ **10** υἱός] υἱὸν AE ‖ **19** ἢ εἰς ω ἢ εἰς η οἷον AE ‖ **24** ὁμοίαν τῇ *Sync.*, ὁμοίως τὴν AE ‖ **27** σημάναι AE ‖ **28** κύριον *add Sync.* ‖ **32** νόμος ἢ χιτών *Sync.*, ὀνόματος οὐχὶ τὸ AE

⟨*Heliodori.*⟩ — Κτητικὸν δέ ἐϲτι τὸ ὑπὸ τὴν κτῆϲιν πεπτωκόϲ.] Κινδυνεύει [πρὸ τῆϲ ἐξηγήϲεωϲ] ἐκπεϲεῖν τοῦ οἰκείου ὀνόματοϲ τὸ κτητικόν· φαϲὶ γάρ, ὥϲπερ παρὰ τὸ φύϲιϲ φυϲικόϲ, οὕτω καὶ παρὰ τὸ κτῆϲιϲ κτηϲικόν. Ἀλλά φαμεν, ὅτι οὐκ ἔϲτι παρώνυμον, ἀλλὰ ῥηματικόν· ὥϲπερ ⟨γὰρ⟩ παρὰ τὸ βέβλαπται βλαπτικόϲ, οὕτω κέκτηται κτητικόϲ καὶ κτητικόν. Τάϲϲεται δὲ μετὰ τὸ πατρωνυμικόν, ἐπειδὴ οὐ μόνον ἀπὸ κυρίων γίνεται, οἷον Ἀρίϲταρχοϲ Ἀριϲτάρχειοϲ, ἀλλὰ καὶ ἀπὸ προϲηγορικῶν, οἷον ἄνθρωποϲ ἀνθρώπειοϲ, τὰ δὲ πατρωνυμικὰ ἀπὸ μόνων κυρίων. — Ὁρίζεται δὲ αὐτὸ Ἡλίαϲ οὕτωϲ· κτητικόν ἐϲτιν ὃ ἐκ γενικῆϲ κυρίου ἢ προϲηγορικοῦ γενόμενον εἰϲ τὴν γενικὴν αὐτοῦ ἀναλύεται μετά τινοϲ τῶν ὑπὸ τὴν κτῆϲιν ἄγεϲθαι δυναμένων· ἀπὸ γὰρ τῆϲ Ἀριϲτάρχου γενικῆϲ τὸ Ἀριϲτάρχειοϲ ἀγρόϲ· καὶ εἰϲ αὐτὴν ἀναλύεται· Ἀριϲτάρχειοϲ γὰρ ἀγρὸϲ ὁ τοῦ Ἀριϲτάρχου. Ὁ δὲ Θεοδόϲιοϲ οὕτωϲ· κτητικόν ἐϲτιν ὃ παραγώγωϲ ϲχηματιζόμενον εἰϲ τὴν γενικὴν τοῦ πρωτοτύπου ἀναλύεται μετά τινοϲ τῶν ὑπὸ τὴν κτῆϲιν ἀγομένων· Νεϲτόρειοϲ γὰρ παῖϲ ὁ τοῦ Νέϲτοροϲ παῖϲ.

Ζητεῖται δέ, εἰ ἄρα τὰ πατρωνυμικὰ εἰϲ τὴν γενικὴν τοῦ πρωτοτύπου ἀναλύονται, ὁμοίωϲ ⟨δὲ⟩ καὶ τὰ κτητικά, τί διαφέρει ἀλλήλων; Φαμὲν οὖν ὅτι πρῶτον μὲν τὰ πατρωνυμικὰ ἀπὸ ⟨μόνων⟩ κυρίων παράγονται· τὸ δὲ Ἡρῴδηϲ ἀπὸ τοῦ ἥρωϲ προϲηγορικοῦ ὂν οὐκ ἀντίκειται ἡμῖν, οὐ γάρ ἐϲτι πατρωνυμικόν, ἀλλὰ τύπου πατρωνυμικοῦ· τὰ δὲ κτητικὰ ἀπὸ κυρίων γίνονται καὶ ἀπὸ προϲηγορικῶν· καὶ ὅτι τὰ πατρωνυμικὰ ἐν μιᾷ φωνῇ δηλοῦϲι τὸν πατέρα καὶ τὸν υἱόν, καὶ οὐκ ἔχουϲι τὸ υἱόϲ προϲκείμενον, τὰ δὲ κτητικὰ τὰϲ δύο φωνὰϲ ἀπαιτοῦϲιν. Διὰ τί δέ, ὥϲπερ τοῖϲ πατρωνυμικοῖϲ οὐκ ἐπιφέρεται τὸ υἱόϲ, οὐχὶ καὶ τοῖϲ κτητικοῖϲ; Ἀλλά φαμεν, ὅτι ⟨ἐπειδὴ⟩ τοῖϲ πατρωνυμικοῖϲ δύο μόνα ἐϲτὶ τὰ προϲυπακουόμενα, τὸ υἱόϲ καὶ ἔκγονοϲ, τούτου χάριν ὡϲ δυναμένων αὐτῶν δηλοῦϲθαι οὐ χρῄζομεν ἐπαγωγῆϲ· τὰ δὲ κτητικὰ πολλὰ ἔχουϲι, καὶ ἐπειδὴ διὰ τὸ πλῆθοϲ ἀόριϲτον γίνεται, ἐπιφέρομεν τὰ κτήματα.

Φαϲὶ δέ τινεϲ ὡϲ μάτην ἐπενοήθηϲαν τὰ κτητικά· οὐ γὰρ διαφέρει τῆϲ γενικῆϲ τοῦ πρωτοτύπου· ὥϲπερ γὰρ λέγομεν Νεϲτόρειοϲ οἶκοϲ, οὕτω καὶ Νέϲτοροϲ οἶκοϲ. Ἔϲτι ⟨δὲ⟩ εἰπεῖν, ὅτι κατὰ πολὺ διαφέρει, ὅτι ἡ τοῦ πρωτοτύπου γενικὴ οὐ μόνον πρὸϲ κτῆμα, ἀλλὰ καὶ πρὸϲ πρᾶγμα λαμβάνεται, οἷον Ἀριϲτάρχου δοῦλοϲ, Ἀριϲτάρχου ἀκούω, ἐπὶ δὲ τοῦ παραγώγου πάντωϲ τὸ κτῆμα δεῖ ἐπιφέρεϲθαι· ἄλλωϲ τε ἐν τῇ τοῦ πρωτοτύπου γενικῇ τὸ κτῆμα ἐπιφερόμενον αὐτοῦ μόνου τοῦ κτήϲαντόϲ ἐϲτιν, οἷον ἐὰν εἴπω Νέϲτοροϲ δοῦλοϲ, αὐτοῦ μόνου τοῦ Νέϲτο-

---

1—530, 32 *videntur esse Σ*[h] ‖ **1—24** *cfr Σ*[m] *369, 25—370, 3* ‖ **20—21** *cfr Σ*[v] *224, 15—17*

4 κτητικὸν AE ‖ **9** γενικῆϲ] γένουϲ AE ‖ **10** εἰϲ — ἀναλύεται A, εἰϲ γενικὴν αὐτὴν ἀπολύεται E ‖ **20** προϲηγορικὸν ὂν AE ‖ **29** γίνεται A, γένηται E ‖ **32** νεϲτόριοϲ οἶκοϲ AE ‖ **37** κτήϲαντοϲ ἐϲτὶν A, κτίϲαντοϲ ἐϲτὶν E

ρόϲ ἐϲτι δοῦλοϲ· ἐπὶ δὲ τοῦ παραγώγου οὐ μόνον τὸν δοῦλον τοῦ Νέϲτοροϲ δηλῶ, ἀλλὰ καὶ τὸν δοῦλον τὸν ἐπελθόντα ἀπὸ τοῦ Νέϲτοροϲ εἰϲ τοὺϲ υἱοὺϲ αὐτοῦ, καὶ Πυθαγόρου δόγματα τὰ αὐτοῦ μόνου, Πυθαγόρεια δὲ καὶ τὰ τῶν μαθητῶν αὐτοῦ· καὶ ἐπὶ μὲν τῆϲ πρωτοτύπου γενικῆϲ ἀμεταθέτωϲ ἔχει καὶ ἀνομοιοπτώτωϲ καὶ ἀνιϲαρίθμωϲ καὶ ἀνομοιογενῶϲ, ὡϲ Ἀριϲτάρχου ἀγρὸϲ καὶ Ἀριϲτάρχου ἀγροῦ ⟨καὶ⟩ Ἀριϲτάρχου ἀγρῷ, τὸ δὲ παράγωγον ὁμοιοπτώτωϲ καὶ ἰϲαρίθμωϲ καὶ ὁμοιογενῶϲ, ⟨ὡϲ⟩ Ἀριϲτάρχειοϲ ἀγρόϲ, Ἀριϲταρχείου ἀγροῦ.

Ἰϲτέον δὲ ὅτι ὥϲπερ εἰϲί τινα καὶ τύπῳ καὶ ϲημαϲίᾳ κτητικά, οὕτωϲ εἰϲί ⟨τινα⟩ τύπῳ μὲν κτητικά, ϲημαινομένῳ δὲ οὔ, ὡϲ ἐπὶ τοῦ ὀφθαλμικόϲ ἡπατικόϲ· τὸ μὲν γὰρ ϲημαίνει τὸν περιοδεύοντα ⟨τοὺϲ⟩ ὀφθαλμούϲ, τὸ δὲ τὸν πονοῦντα τὸ ἧπαρ.

Τύπουϲ δὲ ἔχει δύο τὰ κτητικά, εἰϲ ο̅ϲ̅ καθαρόν, οἷον Ἀριϲτάρχειοϲ [ἀγρόϲ], καὶ εἰϲ κ̅ο̅ϲ̅, οἷον Ἀριϲτοτελικόϲ· καὶ τούτων ὁ μὲν εἰϲ ο̅ϲ̅ ⟨καθαρὸν⟩ παραλήγει ἢ τῷ ι̅, ὡϲ τὸ Δήλιοϲ, ⟨ἢ τῷ ε̅, ὡϲ τὸ Ἑκτόρεοϲ,⟩ ἢ τῇ ε̅ι̅ διφθόγγῳ, ὡϲ τὸ Ὁμήρειοϲ, ἢ τῇ α̅ι̅, ὡϲ ⟨τὸ⟩ Κ⟨υ⟩ρηναῖοϲ, ἢ τῇ ο̅ι̅, ὡϲ τὸ ἀλλοῖοϲ, ἢ τῇ ῳ̅, ὡϲ τὸ πατρῷοϲ. Καὶ τῆϲ τοῦ πρωτοτύπου γενικῆϲ ἢ μιᾷ πλεονάζει ϲυλλαβῇ, ὡϲ τὸ Ἀριϲτάρχειοϲ, ἢ δύο, ὡϲ τὸ ταλαντιαῖοϲ, οὐδέποτε δὲ τριϲίν, εἰ μὴ ἐν τῷ μναϊαῖοϲ· οὐκ ἰϲοϲυλλαβεῖ δέ ποτε τῇ γενικῇ τοῦ πρωτοτύπου, εἰ μὴ πεπονθὸϲ εἴη, ὡϲ ἐν τῷ δῖοϲ καὶ Χῖοϲ καὶ θεῖοϲ καὶ Κεῖοϲ· δίϊοϲ γὰρ καὶ Χίϊοϲ καὶ Κέϊοϲ καὶ θέϊοϲ ἦν, καὶ μετὰ ϲυναιρέϲεωϲ γεγόναϲιν. Ὁ δὲ εἰϲ κ̅ο̅ϲ̅ τύποϲ τῷ ι̅ βραχεῖ παραλήγει, ὡϲ Αἰολικόϲ, ἢ τῷ ᾱ, ὡϲ Δηλιακόϲ, ἢ τῷ ῡ, ὡϲ Λιβυκόϲ.

Φαϲὶ δέ τινεϲ ὅτι ⟨ἐπὶ⟩ τεθνηκόϲι κτήτορϲι⟨ν οὐ⟩ λέγονται τὰ κτητικά, οὐκ ἀκούοντεϲ Ὁμήρου λέγοντοϲ ⟨ex. gr. Ν 76⟩ Τελαμώνιοϲ Αἴαϲ καὶ ⟨cfr Β 416⟩ Ἑκτόρεοϲ χιτών. Ἐχρήϲατο δὲ ὁ ποιητὴϲ κτητικῷ ἀντὶ πατρωνυμικοῦ, ἐπειδὴ ὡϲ ἀληθῶϲ κτῆμα τῷ πατρὶ ὁ παῖϲ.

Ἰϲτέον μέντοι ⟨ὅτι⟩ ὁ μὲν εἰϲ κ̅ο̅ϲ̅ τύποϲ ἀεὶ ὀξύνεται, ὁ δὲ εἰϲ ο̅ϲ̅ ⟨καθαρὸν⟩ βαρύνεται.

Εἴδη δὲ τοῦ κτητικοῦ ταῦτα· οἰκειωτικόν, οἷον Ὀλύμπιοϲ, μετουϲιαϲτικόν, οἷον ἀργύρεοϲ, ϲυνεκφαντικόν, οἷον γεωμετρικόϲ.

Ἰϲτέον δὲ ὅτι ἐν δύο μέρεϲι τοῦ λόγου θεωρεῖται τὰ κτητικά, ἔν τε ὀνόμαϲι καὶ ἀντωνυμίαιϲ, οἷον Ἀριϲτάρχου Ἀριϲτάρχειοϲ, ἐμοῦ ἐμόϲ. Διαφέρει δέ, ὅτι ἐπὶ μὲν τῶν ἀντωνυμιῶν δῆλόϲ ἐϲτιν ὁ ⟨τῶν κτητόρων⟩ ἀριθμόϲ· ἐὰν γὰρ εἴπω ἐμόϲ, ἕνα κτήτορα ἐδήλωϲα, ἐὰν δὲ νωΐτε-

---

13—24 *cfr Σ*ᵐ *370,21—371,4* ‖ **25—28** *cfr Σ*ᵛ *223,28—30 et Σ*ᵐ *370,14—17* ‖ **31—32** *cfr Σ*ᵛ *223,31—33*; *Σ*ᵐ *370,18—20* ‖ **33—531, 8** *cfr Σ*ᵛ *224,18—225,3*

3 πυθαγόρια AE ‖ **6** ὡϲ] καὶ AE ‖ **15** παραλήγεται E ‖ **17** τὸ *ante* ἀλλ. *om* A ‖ **21** ἐν τῷ A, τὸ E ‖ **27** ἐκτόρειοϲ E ‖ **28** ὡϲ ἀλ. *om* E ‖ **30** βαρύνεται] προπαροξύνεται AE

ρος, δύο, ⟨ἐὰν δὲ ἡμέτερος, πολλούς⟩· ἐπὶ δὲ τῶν ὀνομάτων οὐ πάντως· ἐὰν γὰρ εἴπω ἀνθρώπειος πούς, ἄδηλον εἴτε ὁ τοῦ ἀνθρώπου εἴτε ὁ τῶν ἀνθρώπων· καὶ ἐπὶ μὲν τῶν ἀντωνυμιῶν οὐ μόνον τὰ ὑπὸ τὴν κτῆσιν πεπτωκότα συντάσσομεν, οἷον ἐμὸς δοῦλος, ἀλλὰ καὶ τὰ μὴ οὕτως ἔχοντα, οἷον ἐμὸς πατήρ, τοῖς ⟨δὲ⟩ κτητικοῖς ὀνόμασι μόνα τὰ ὑπὸ τὴν κτῆσιν πεπτωκότα, οἷον Ἀριστάρχειος ἀγρός, οὐκέτι μέντοι ἐπὶ τῶν ἴσων ἢ τῶν ὑπερεχόντων· οὐ γάρ φαμεν Αἰάντειος ἐχθρὸς ἢ Ἀριστάρχειος ἀδελφὸς ἢ Νεστόρειος πατήρ, ἐπειδὴ ταῦτα οὐχ ὑποπεπτώκασιν.

Φασὶ δέ τινες, ὡς καὶ ἀπὸ ῥημάτων γίνεται κτητικά· ἰδοὺ γὰρ ἀπὸ τοῦ ἅζω (τὸ σέβομαι) γίνεται ἅγιος. Κακῶς δέ φασι· τὰ γὰρ κτητικὰ εἰς τὴν γενικὴν τοῦ πρωτοτύπου θέλουσιν ἀναλύεσθαι, τὰ δὲ ἀπὸ ῥημάτων καὶ ἐπιρρημάτων οὐκ ἔχουσι γενικὴν ⟨πρωτοτύπου⟩· ὥστε οὐκ εἰσὶ κτητικά.

Ἰστέον δὲ ὅτι οὐ δεῖ λέγειν ⟨Λ 597⟩ Νέστορα δ' ἐκ πολέμοιο φέρον Νηλήϊαι ἵπποι, ἀλλὰ Νέστορα δ' ἐκ πολέμοιο φέρον Νηλήϊον ἵπποι· καὶ γὰρ οὐκ ἠδύνα⟨ν⟩το τοῦ Νηλέως εἶναι, ἐπειδὴ περαιτέρω τῶν λ' ἐτῶν οὐ ζῇ ἵππος, ὁ δὲ Νέστωρ τῆς τρίτης γενεᾶς ἦν καὶ παρῆλθε καὶ τὸ ἑξηκοστὸν ἔτος. Φασὶ δὲ ⟨καὶ⟩ ὅτι οὐ Πλατωνικὸν βιβλίον δεῖ λέγειν, ἀλλὰ Πλατώνειον καὶ Ὁμήρειον· Πλατωνικὸν γὰρ λέγεται τὸ περιέχον περὶ Πλάτωνος, ὥσπερ Φιλιππικοὶ λόγοι οἱ περὶ Φιλίππου διαλαμβάνοντες.

⟨*Heliodori.*⟩ — Ἰστέον δὲ ὅτι, ὥσπερ ἐν τοῖς πατρωνυμικοῖς εὑρίσκομέν τινα τῇ μὲν σημασίᾳ πατρωνυμικά, τῇ δὲ φωνῇ μὴ ὄντα πατρωνυμικά, ὡς τὸ περιστεριδεύς καὶ ἀδελφιδοῦς — ταῦτα γὰρ καθὸ μὲν εἰς
328, 33 c τὸ υἱός ἀναλύεται πατρωνυμικοῦ εἴδους εἰσίν, περιστεριδεύς γὰρ ὁ υἱὸς τῆς περιστερᾶς καὶ ἀδελφιδοῦς ὁ υἱὸς ⟨τοῦ ἀδελφοῦ ἢ⟩ τῆς ἀδελφῆς, καθὸ δὲ τύπον οὐκ ἔχουσι πατρωνυμικοῦ, οὐ λέγεται πατρωνυμικὰ ἀλλὰ παρώνυμα —, τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς κτητικοῖς εὑρίσκομεν· καὶ γὰρ τὸ μὲν χρύσειος καὶ χάλκειος κτητικά φαμεν, τὸ δὲ χρυσοῦς καὶ χαλκοῦς οὐδαμῶς, ἐπειδὴ οὐκ ἔχουσι φωνὴν κτητικήν· οὔτε γὰρ εἰς οc καθαρὸν καταλήγουσιν οὔτε εἰς κοc.

Ἰστέον δὲ ὅτι ὡς πολλάκις σημαίνουσι χρόνον τὰ εἰς ικοc κτητικά, οἷον ὡς ὅταν φαμὲν τὰ Μηδικά· ταῦτα γὰρ σημαίνει καθ' ὃν χρόνον ἐπολέμουν οἱ Μῆδοι· δηλοῦσι δὲ καὶ τοὺς χαίροντάς τινι, οἷον πολεμικός ὁ χαίρων πολέμῳ, ἡδονικός ὁ χαίρων ἡδοναῖς.

329 c Ἰστέον μέντοι ὅτι τὸ κτητικὸν ἐπὶ τῶν σωματικῶν μερῶν λαμβανόμενον ⟨μόνον⟩ κατὰ τεθνηκότος θέλει λαμβάνεσθαι, οἷον βοεία κεφαλὴ

14—21 *cfr* Σ^v *224, 1—13* ‖ 22—533, 18 *videntur esse* Σ^h

1 πάντως A, πάντες E ‖ 6 μέντοι A, μὲν τὸ E ‖ 7 γὰρ ἔφαμεν AE ‖ 10 τὸ σεύομαι AE ‖ 15 Νηλήϊαι] λήϊαι AE | νηλήϊον ἵππον AE ‖ 27 δὲ A, καὶ E ‖ 32 ικοc] κοc AE ‖ 36 σωματικῶν A, σωμάτων E ‖ 37 μόνον *add OSchneider*

ἢ τοῦ τεθνηκότος βοός, οὐ γὰρ ἂν ἐπὶ ζῶντος εἴποι τις οὕτως· διὸ καὶ μέμφονται τὸν Ζηνόδοτον, ἐπειδὴ τὸ ⟨Γ 273⟩ ἀρνέων ἐκ κεφαλέων κτητικὸν ἔλεγε, καὶ τὸν Καλλίμαχον ⟨fr. 496 Sch.⟩ χεὶρ ἡ Πολυδευκείη καὶ σφυρὸν Ἰφίκλειον, ὅτι ἐπὶ ζώντων ἐχρήσατο κτητικοῖς ἐπὶ σωματικοῦ μέρους· περὶ οὗ φαμεν ὅτι περιφράσει ἐχρήσατο, ὥσπερ τὸ ⟨Λ 690⟩ βίη Ἡρακληείη.

Ἰστέον δὲ ὅτι τὰ εἰς κοc τῷ α παραλήγοντα οὐκ εἰσὶ κυρίως κτητικά· οὐ γὰρ κτῆσιν σημαίνει, ὡς ἔχει τὸ Ῥοδιακός· οὐ γὰρ σημαίνει τὸν ἐκ Ῥόδου, ἀλλὰ τὸν ἐοικότα Ῥοδίοις· οἷον ἐὰν εἴπω Ῥόδιον πλοῖον, φανερῶς τὸ ἐκ Ῥόδου σημαίνω, ἐπὰν δὲ εἴπω Ῥοδιακὸν πλοῖον, σημαίνω ὅτι ἔοικε τοῖς Ῥοδίοις.

Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν, ⟨ὅτι⟩ εἴ τι τῷ α παραλήγει, οὐκ ἔχει κτητικὴν σημασίαν, ἀλλὰ πάντως ἀπὸ ἑτέρου κτητικοῦ ἐγένετο· καὶ τὸ Δαρειακός ἀπὸ τοῦ Δαρεῖος γέγονεν ἔχοντος τύπον κτητικόν· ἀπὸ γὰρ τοῦ δῆρις τοῦ σημαίνοντος τὴν μάχην γέγονε δήρειος, οἱονεὶ ὁ τῆς μάχης ⟨ἐπιθυμῶν⟩ ἤγουν ὁ πολεμικός, ⟨καὶ⟩ κατὰ τροπὴν τοῦ η εἰς α μακρὸν ⟨Δαρεῖος⟩· ὥστε εἰ καὶ κτῆσιν σημαίνει τὸ Δαρειακός, ἀλλ' οὖν ἐπειδὴ ἀπὸ ὀνόματος γέγονε κτητικὸν ἔχοντος τύπον, ὅμοιόν ἐστι τῷ Ῥοδιακός. Οὐκέτι δὲ εἴ τι τῷ ι παραλήγει, πάντως καὶ κτητικὴν σημασίαν ἔχει, εἰ καὶ τὸν τύπον ὡς κτητικὸν ἔχει, ὥσπερ τὸ ἡπατικός σπληνικός· πολλάκις μέντοι τὰ εἰς ⟨ι⟩κοc σημαίνουσι κτῆσιν μετὰ ἕξεως μεμειωμένης, οἷον ὡς ὅταν εἴπω ῥητορικός· δηλῶ γὰρ τὸν μὴ τέλειον ῥήτορα, ἀλλὰ τὸν μετέχοντα ἐκ μέρους καὶ μὴ τελείαν ἕξιν καὶ εἴδησιν ἔχοντα· τὸ μὲν γὰρ ῥήτωρ τελείαν ἕξιν δηλοῖ, τὸ δὲ ῥητορικός οὐκέτι. Εἰσὶ δὲ ἕτερα εἰς ⟨ι⟩κοc τύπον ἔχοντα κτητικόν, σημασίαν δὲ οὐχί, ὡς τὸ συγκριτικός ὑπερθετικός συμπλεκτικός διαζευκτικός, ἅτινα γίνεται ἀπὸ τοῦ παθητικοῦ παρακειμένου, ὅθεν ἔχουσι καὶ τὸ σύμφωνον τοῦ παρακειμένου ἐν τῇ παραληγούσῃ.

Ἰστέον δὲ ὅτι ταῦτα ὀξύνεται· ὅθεν Αἰολεῖς θέλοντες βαρύνειν τὸ κ εἰς τὸ χ τρέπουσιν, οἷον πάτριχος· καὶ γὰρ τὰ εἰς χοc χαίρει τῇ βαρείᾳ τάσει, οἷον τεῖχος Ψαμμήτιχος. Ἄλλως τε πολλάκις τοῦ κ ἀφαιρουμένου δύο τάσεις ἀκολουθοῦσιν, οἷον Τρωϊκός Τρώϊος.

Λέγει δὲ ὁ Ἄβρων, ὡς τὰ κτητικὰ τριγενῆ εἰσιν, οἷον Ἀριστάρχειος Ἀρισταρχεία Ἀριστάρχειον, καὶ ὅτι τὰ κτητικὰ εἰς αἰτιατικὴν ἀναλύομεν κατά τινα περιποίησιν, οἷον Ὀλύμπιος ὁ τὸν Ὄλυμπον οἰκῶν καὶ πλούσιος ὁ πλοῦτον ἔχων. Οὐ μόνον δὲ ἐπὶ κτήματος παραλαμβάνεται, οἷον Ἀριστάρχειος ἀγρός, ἀλλὰ καὶ ἐπὶ ἐκγόνων, οἷον Ἡροδότειος ἔκγονος, καὶ ἐπὶ σωματικῶν μερῶν, οἷον ἀνθρώπειος πούς, καὶ

2 ἀρνῶν ἐκ κεφαλαίων AE ‖ 3 χείρη πολ. AE ‖ 4 κτητικὰ A, κτητικὸν E ‖ 7 δὲ *om* E ‖ 12 εἴ τι] εἴτε AE; *item v. 19* | παραλήγ A, παραλήγουσι E; *item v. 19* ‖ 16 ἤγουν A, ἢ E ‖ 19 κτητικὴν A, κτητικὰ E ‖ 22 ἕξεως μεμειωμένης *RSchneider*, λέξεως μεμειωμένην AE ‖ 30 τὰ] ὁ AE ‖ 31 ψαμμήτειχος AE ‖ 32 ἀκολουθ˜ A, ἀκολουθεῖ E ‖ 33 ἄβρων AE

ἐπὶ ἔργων, οἷον Πραξιτέλειον ἔργον, καὶ ἐπὶ κατορθωμάτων, οἷον Ἡράκλειοι ἆθλοι, καὶ ἐπὶ διαθέσεως ψυχῆς, οἷον Διομήδειος ἀνάγκη, καὶ ἐπὶ ἄλλων. Παράγονται δὲ ἀπὸ γενικῆς, οἷον Αἴαντος Αἰάντειος, καὶ ἀπὸ εὐθείας, οἷον θῆλυς θηλυκός· ὅτι γὰρ ἀπὸ εὐθείας ἐστὶ δῆλον, ὅτι ἔχει τὸ ῡ ἐν τῇ γενικῇ μὴ ἐνυπάρχον.

Ἰστέον δὲ ὅτι τὰ εἰς ο̅ς̅ ἐπίθετα τριγενῆ κτητικὰ εἰς ο̅ς̅ καθαρὸν οὐ ποιοῦσιν, οἷον σοφός οὐ γίνεται σόφιος, εἰς κ̅ο̅ς̅ δὲ πολλάκις, οἷον σοφικός. Τὰ δὲ εἰς κ̅ο̅ς̅ κατὰ μερῶν σωματικῶν οὐ τίθενται, οὐ γὰρ λέγομεν ἀνθρωπικὸς πούς, ἀλλ' ἀνθρώπειος· ὅθεν σεσημείωται παρ' Ἀξιονίκῳ ⟨fr. 9 K⟩ τὸ ὑεϊκὸν δέρμα, τὸ ὕειον.

Ταῦτα τὰ εἰς ο̅ς̅ καθαρὸν κτητικὰ τῷ ῑ θέλουσι παραλήγειν ἢ μόνῳ, οἷον Ῥόδιος Κύπριος, ἢ μετὰ τοῦ ε̅, οἷον Ἀριστάρχειος — τὸ γὰρ Ἑκτόρεος καὶ Νεστόρεος κατὰ ἀποβολὴν γέγονε τοῦ ῑ — ἢ μετὰ τοῦ ο̅, οἷον αἰδοῖος, ἢ μετὰ τοῦ ω̅, οἷον πατρῷος, ἢ μετὰ τοῦ ᾱ, οἷον ταλαντιαῖος μναϊαῖος; ὅπερ καὶ μόνον περιττεύει τρισὶ συλλαβαῖς τοῦ πρωτοτύπου τοῦ μνᾶ μνᾶς, καὶ τοῦτο εὐλόγως· εἰ γὰρ ἐγένετο μνιαῖος, ἔμελλεν ἡ πρωτότυπος λέξις ἐξαμαυροῦσθαι, ἅτε δὴ μονοσύλλαβος οὖσα, διὰ τὸ μὴ φυλάττεσθαι τὸ ᾱ.

⟨*Heliodori.*⟩ — Συγκριτικὸν δέ ἐστι τὸ τὴν σύγκρισιν ⟨ἔχον⟩.] Τρίτον τέτακται τὸ συγκριτικόν, ἐπεὶ οὔτε ἀπὸ κυρίων οὔτε ἀπὸ προσηγορικῶν γίνεται, ἀλλ' ἀπὸ μόνων ἐπιθέτων, καὶ τούτων οὐ πάντων, ἀλλὰ τῶν δυναμένων ἐπίτασιν ἐπιδέξασθαι, οἷον σοφώτερος ταχύτερος· ἡ γὰρ σύγκρισις πρωτοτύπων ἐστὶν ἐπαύξησις· ὅσα τοίνυν οὐ δύνανται ἐπαύξεσθαι, συγκριτικὸν οὐ ποιεῖ· οἷον ῥήτωρ, ἐπειδὴ τὸν τέλειον ῥήτορα δηλοῖ, οὐ δέχεται ἐπαύξησιν· ὅταν δὲ εἴπωμεν ῥητορικός, ὁ μετέχων ῥητορικῆς, ἐπεὶ ἐνδέχεται μικρὸν μετέχειν καὶ πολύ, λέγομεν ἐπὶ μὲν τοῦ μικρὸν μετέχοντος ῥητορικός, ἐπὶ δὲ τοῦ πολὺ ῥητορικώτερος. Τούτου χάριν τὸ ἀγαθός σύγκρισιν οὐκ ἐπιδέχεται, ἐγκειμένου τοῦ ἄγαν ἐπιτατικοῦ μορίου· ὃ γὰρ ἤμελλεν αὐτῷ παρέχειν ἡ σύγκρισις, τοῦτο ἔχει ἀφ' ἑαυτοῦ. Τὰ μέντοι τῆς ὕλης σημαντικὰ οὐκ ἀναμένει τὴν σύγκρισιν· οὐ λέγομεν γὰρ μᾶλλον χρυσός, ⟨διὰ τοῦτο οὐδὲ⟩ χρυσότερος, οὐ μᾶλλον ἄνθρωπος, διὰ τοῦτο οὐδ' ἀνθρωπότερος, λέγω δὲ μᾶλλον λευκός, διὰ τοῦτο λευκότερος· τοῦ ἀνθρωπότερος δὲ μὴ λεγομένου διὰ τὴν οὐσίαν, τὸ φιλάνθρωπος συγκρίνεται διὰ τὸ φιλεῖν τὸ συντεθὲν μετ' αὐτοῦ, ὅτι οὐκ ἔστιν ὕλης παραστατικόν.

20—36 *videntur esse* Σ^h ‖ **21—31** *cfr* Σ^m *371, 16—28*

1 κατορθωμάτων A, κατορθωμένων E ‖ **5** ῡ] κ̅ AE ‖ **7** *prius* οὐ *om* A ‖ **9** παρὰ ξιονίκωι A, παρὰ ξεονίκω E ‖ **10** ὑϊκὸν AE ‖ **11** εἰς κ̅ο̅ς̅ κτητικὰ καθαρῶ τῶ ῑ AE | παραλήγ A, παραλήγεσθαι E ‖ **14** πατρώιος AE ‖ **15** τρισὶ συλλαβαῖς] τρισύλλαβον AE ‖ **22** ἀλλὰ μόνον AE ‖ **26** ῥητορικός] ῥητορικὸν AE ‖ **28** τοῦ μικροῦ μ. AE ‖ **32** γὰρ τοῦ χρυσὸς χρυσότερος AE

Πᾶν δὲ cυγκριτικὸν πρὸc γενικὴν ποιεῖται τὴν cύνταξιν· τὸ δὲ μὴ ποιούμενον ἀντὶ τοῦ πρωτοτύπου ἐcτίν, ὡc τὸ ⟨cfr Δ 277⟩ μελάντερος· εἰ δέ ποτε εὕροιc ἐν ὀνόμαcι κυρίοιc ἢ ἐν ἀντωνυμίαιc cυγκριτικόν, παράγωγον νόμιζε τὸ τοιοῦτον, ὥcπερ ἐcτὶ τὸ ⟨Arist. Plut. 83⟩ αὐτότατος καὶ ⟨Men. fr. 986 K⟩ αὐταιτιώτατος. Ἴδιον δὲ τῶν cυγκριτικῶν τὸ ἀναλύεcθαι εἰc εὐθεῖαν καὶ τὸ μᾶλλον· τίc γὰρ ὀξύτεροc; ὁ μᾶλλον ὀξύc. — Οὐκ ἔcτι δὲ εἰκῇ ⟨πάντων⟩ ποιεῖcθαι τὴν cύγκριcιν· οὐδὲ ⟨γὰρ⟩ ζωγράφου καὶ τέκτονοc cύγκριcιc γίνεται, ἀλλὰ τῶν τοῦ αὐτοῦ ἐπιτηδεύματοc μετεχόντων.

Παράγονται δὲ τὰ cυγκριτικὰ ἀπὸ τῶν τριγενῶν ὀνομάτων, ἅπερ cημαίνει ποιότητα ἢ ποcότητα ἢ πηλικότητα, οἷον λευκόc λευκότεροc, ὀλίγοc ὀλιγώτεροc, παχύc παχύτεροc· τὰ δὲ τακτικὰ ἤγουν ἀριθμητικὰ οὐ ποιοῦcι cυγκριτικά, ἐπεὶ τὴν cημαcίαν ἀπόλ⟨λ⟩υcιν· εἰ γὰρ τὸ δευτέραν τάξιν ἔχον ἐπίταcιν δέξεται, οὐκέτι μένει δεύτερον.

Ἕτερα δέ ἐcτι τὰ cυγκριτικὰ καὶ ἕτερα τὰ τῆc cυγκρίcεωc ὀνόματα· τὸ γὰρ cυγκριτικὸν δείκνυcι τὴν τοῦ cυγκρινομένου ποιότητα, ὡc τὸ λευκότεροc, τὸ δὲ τῆc cυγκρίcεωc ⟨ὄνομα⟩ οὐχ οὕτωc, ἀλλ' ἄδηλον ἔχει τὴν cύγκριcιν· καλλίων γὰρ ὁ κάλλουc πλέον μετέχων ἢ δυνάμεωc ἢ τάχουc, ⟨καὶ⟩ κρείccων ὁ κατά τι προέχων, ὁμοίωc δὲ καὶ τὸ χείρων καὶ ἥccων· καὶ τὸ φέρτεροc καὶ βέλτεροc, εἰ καὶ κυρίωc μὲν ἐπὶ τοῦ μᾶλλον φέρειν καὶ μᾶλλον βάλλειν δυναμένου εἴρηται, ἀλλὰ καταχρηcτικῶc λέγεται κοινότερον ἐπὶ τοῦ ἡντιναοῦν ὑπεροχὴν πρόc τινα ἔχοντοc· τὸ δὲ νεώτεροc ⟨καὶ⟩ πρεcβύτεροc τύπῳ μὲν cυγκριτικὰ ὑπάρχει, cημαινομένῳ δὲ ἁπλᾶ ἐcτι, πρὸc γενικὴν δὲ cυνταccόμενα cυγκριτικά ἐcτιν, ὡc παρ' Ὁμήρῳ ⟨Α 259⟩ ἄμφω δὲ νεωτέρω ἐcτὸν ἐμεῖο. — Γίνεται δὲ ἡ cύγκριcιc προϋποκειμένου τοῦ ἐν cυγκρίcει πράγματοc λαμβανομένου, οἷον «ἀνδρειότεροc Ἀχιλλεὺc Αἴαντοc», καὶ γὰρ καὶ ἐν τῷ Ἀχιλλεῖ ἀνδρεία καὶ ἐν τῷ Αἴαντι· ὅθεν οὐ δυνάμεθα λέγειν «ἀνδρειότεροc Ἀχιλλεὺc Θερcίτου», ἐπειδὴ οὐκ ἔγκειται ἐν τῷ Θερcίτῃ ἀνδρεία. — Γίνεται δὲ ἡ cύγκριcιc ἢ ὁμοφυοῦc πρὸc ὁμοφυῆ, ἢ ὁμοτέχνου πρὸc ὁμότεχνον, ἢ ὁμοιογενοῦc πρὸc ὁμοιογενῆ, ἢ ⟨ἑτερογενοῦc⟩ πρὸc ἑτερογενῆ — γένοc δὲ λέγω τὸ ἀπὸ πατρὸc ἢ πατρίδοc —, οἷον «Μενέλαοc εὐφυέcτεροc Τηλεμάχου, Ὅμηροc cοφώτεροc Ὀρφέωc, Ἕκτωρ

1—9 *cfr* **Σ**[v] *225, 7—18*; **Σ**[m] *372, 12—32* ‖ **10—535, 2** *cfr Syncellus fol. 175* (*ed. Ald. 1525*) ‖ **26—30** *cfr* **Σ**[m] *371, 29—32*

3 εὕρηc AE ‖ **5** αὐταιτιώτατοc Kock, αἰτιώτατοc AE ‖ **11** cημαίνουcι E, cη A ‖ **12** τακτικὰ ἤγουν A, κτητικὰ ἢ E ‖ **13** γὰρ] οὖν AE ‖ **14** δέξεται *Sync.*, δέξηται A, δέχεται E ‖ **16** *poster.* τὸ *om* A ‖ **17** ἀλλὰ δῆλον ἔχει AE ‖ **19** *prius* καὶ *add. Sync.* | χεῖρον AE ‖ **20** βέλτεροc A, ἕτεροc E | ἐπὶ τοῦ *Sync.*, ἐπίτ A, ἐπίταcιν E ‖ **22** ἥντινα οὖν AE ‖ **23** cυγκριτικῶ AE ‖ **25** ἔcτων AE ‖ **30** ὁμοφυοῦc A, ὁμοφυουcῶν E ‖ **31** ὁμογενοῦc πρὸc ὁμογενῆ AE | ἑτερογενοῦc *add Sync.* ‖ **32** ἑτερογενῆ E, ἑτερογενεῖc A

κρείττων Cαρπηδόνος, Πάτροκλος ἥττων Ἀχιλλέως», πρὸς ἑτερογενεῖς δέ, ⟨οἷον⟩ «ἰσχυρότερος Ἀχιλλεὺς τῶν Τρώων».

⟨*Heliodori.*⟩ — Ἰστέον δὲ ὅτι ἐπὶ τῶν ἑτερογενῶν δύναται καὶ ἑνὸς πρὸς ἕνα εἶναι ἡ σύγκρισις καὶ ἑνὸς πρὸς πολλούς, οἷον «Ἀχιλλεὺς ἀνδρειότερος Ἕκτορος καὶ ἀνδρειότερος τῶν Τρώων», ἐπὶ δὲ τῶν ὁμοιογενῶν ἀεὶ ἑνὸς πρὸς ἕνα· ἕνα γὰρ τῶν ὁμοιογενῶν ἁπάντων προκρῖναι αἰσχρὸν ἡγοῦντο· εἰ γὰρ εἴπωμεν «Ἀχιλλεὺς ἀνδρειότερος τῶν Ἑλλήνων», εὑρεθήσεται καὶ αὑτοῦ ἀνδρειότερος, καὶ αὐτὸς γὰρ Ἕλλην, ὅπερ ἄτοπον· ὅταν δὲ εὕρωμεν σύγκρισιν ἑνὸς πρὸς πολλοὺς ὁμοιογενεῖς, ἐκεῖ πάντες εἰσὶ μιᾶς ἡλικίας ἢ ἑνὸς τόπου, ἵνα πάλιν ὑπολάβωμεν ἑνὸς πρὸς ἕνα [καὶ] τὴν σύγκρισιν γίνεσθαι, οἷον ⟨Ι 57⟩ ἐμὸς δέ κε ⟨καὶ⟩ πάϊς εἴης Ὁπλότερος γενεῆφι· μιᾶς γὰρ γενεᾶς ἦσαν οἱ παῖδες τοῦ Νέστορος καὶ ὁ Διομήδης· καὶ πάλιν ⟨Ε 898⟩ καί κεν ⟨δὴ⟩ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων· ἐν ἑνὶ γὰρ τόπῳ ἦσαν τῷ Ταρτάρῳ. — Παράγονται ἀπὸ ὀνομάτων, ὡς τὸ ὀξύς ὀξύτερος, καὶ ἀπὸ ῥημάτων, ὡς τὸ φέρω φέρτερος, καὶ ἀπὸ μετοχῶν, ὡς τὸ ἐρρωμένος ἐρρωμενέστερος, καὶ ἀπὸ προθέσεων, ὡς τὸ πρό πρότερος, καὶ ἀπὸ ἐπιρρημάτων, ὡς τὸ ἐγγύς ἐγγύτερος· ἀπὸ δὲ ἄρθρων ἢ ἀντωνυμιῶν ἢ συνδέσμων οὐ γίνεται· τὰ μὲν γὰρ ἄρθρα μόνον ἀναφορὰν δηλοῦσιν, αἱ δὲ ἀντωνυμίαι, ἅτε δὴ ἀντὶ κυρίων λαμβανόμεναι, οὐσίαν σημαίνουσιν, ἡ δὲ οὐσία τὸ μᾶλλον οὐκ ἐπιδέχεται, οἱ δὲ σύνδεσμοι συνδέουσι τὴν φράσιν.

⟨*Heliodori.*⟩ — Τύποι δὲ αὐτῶν τρεῖς· ὁ εἰς τερος.] Προτέτακται δὲ οὗτος, ὅτι τὴν τοῦ πρωτοτύπου σχεδὸν πᾶσαν φυλάττει φωνήν· γίνεται δὲ ἀπὸ τῶν πρωτοτύπων τῶν εἰς υς ληγόντων, ὡς ἀπὸ τοῦ ὀξύς ὀξύτερος· καὶ ⟨τὰ⟩ ὑπερθετικὰ ἀκολούθως ἔσται διὰ τοῦ τατος, ταχύτατος. — Ἰστέον δὲ ὅτι τὰ εἰς τερος συγκριτικά, εἰ μὲν ἀπὸ πρωτοτύπων εἴη μακροκαταλήκτων, τὸ ς ἔχει, οἷον εὐγενής εὐγενέστερος, σώφρων σωφρονέστερος, εἰ δὲ ἀπὸ βραχυκαταλήκτων, οὐ δέχεται, σοφός σοφώτερος, ταχύς ταχύτερος· καὶ πάλιν ἐὰν τὸ πρωτότυπον μακρᾷ παραλήγηται, διὰ τοῦ οτερος ποιεῖ τὸ συγκριτικόν, θεῖος θειότερος, ἐὰν δὲ βραχεῖ, διὰ τοῦ ωτερος, σοφός σοφώτερος, σεσημειωμένου τοῦ στενός στενότερος καὶ κενός κενότερος. — Δεύτερος τέτακται ὁ εἰς ων καθαρόν, ὅτι παρὰ δύο μόνα στοιχεῖα φυλάττει τοῦ πρωτοτύπου τὴν φωνήν, βραδύς βραδίων· οὗτος δὲ ὁ τύπος γίνεται [ποτὲ μὲν] ἀπὸ

3—21 *cfr* Σ[m] *371, 33—372, 6*; *videntur esse* Σ[h] ‖ 15—21 *cfr Syncellus fol. 175*[v] ‖ 22—536, 8 *cfr* Σ[m] *373, 12—20* ‖ 22—536, 22 *videntur esse* Σ[h]

1 κρείττων *Sync.*, κρειττότερος AE ‖ 2 οἷον *add Sync.* ‖ 5 ὁμογενῶν AE; *item v. 6* ‖ 7 εἴπομεν E ‖ 8 αὑτοῦ] ἀυτοῦ A, αὐτοῦ E ‖ 9 ὅταν A, ὅπερ E ‖ 12 Ὁπλότερος] ὁ πρότερος AE ‖ 14 ἐνέρτερος] νέστορος AE | Ταρτάρῳ] πατάρω AE ‖ 17 προθ' A, προθέσεως E ‖ 19 γίνονται E | μόνον τὴν ἀναφ. E ‖ 23 φυλάττει *om* E ‖ 24 *prius* τῶν *om* A ‖ 30 μακρᾶ E, μακρ' A | παραλήγεται AE ‖ 31 βραχὺ E, βραχ A

τῶν ⟨εἰϲ υϲ⟩ πρωτοτύπων, τὸ μέντοι καλλίων ἔχει πρωτότυπον τὸ κάλλοϲ· τούτου τοῦ τύπου ἐϲτὶν ὑπερθετικὸϲ ὁ εἰϲ ϲτοϲ, καλλίων κάλλιϲτοϲ. Οὐ χρὴ δὲ ἀγνοεῖν, ὅτι οὗτοϲ ὁ τύποϲ, εἰ μὲν εἴη τριϲύλλαβοϲ, τῷ ῑ μόνῳ παραλήγεται, ταχίων βραδίων, ϲεϲημειωμένου τοῦ ἀρείων χερείων, εἰ δὲ διϲύλλαβοϲ, τῇ ει διφθόγγῳ. — Τρίτοϲ ὁ εἰϲ ϲων, ὅτι πᾶϲαν τὴν λήγουϲαν ϲυλλαβὴν τοῦ πρωτοτύπου ἀποβάλλει, βραδύϲ βράϲϲων· τούτου τοῦ τύπου ⟨ἔϲθ᾽ ὅτε⟩ πρωτότυπον οὐ φαίνεται, οὐ γὰρ ἔχει τὸ θάϲϲων πρωτότυπον, οὐδὲ τὸ ἥϲϲων, ἀλλ᾽ οὐδὲ ὑπερθετικὸν ἀπὸ τούτου γίνεται. — Ἔϲτι δὲ καὶ ἕτεροϲ τύποϲ, ὁ κατ᾽ ἐπιπλοκὴν ἔχων τὸ ζ̄, ὡϲ τὸ μείζων καὶ τὸ ὀλίζων· καὶ ϲπάνιον, καὶ διὰ τοῦ⟨το⟩ καταλέγειν περὶ αὐτοῦ οὐκ εὐμαρέϲ· οἱ γὰρ κανόνεϲ παραθέϲει τῶν ὁμοίων γίνονται, εἰ δὲ τὸ ὅμοιον ἐν τούτῳ οὐ ϲῴζεται, ἄρα οὐδὲ κανόνεϲ. Ἐπειδὴ δὲ δεῖ καὶ τὸν τύπον παραμυθήϲαϲθαι, λεκτέον οὕτωϲ· τὸ ζ̄ ϲυνέϲτηκεν ἐκ τοῦ ϲ̄ καὶ δ̄, τύποϲ δὲ ἦν ὁ εἰϲ ϲων, ἐν ἐπιπλοκῇ τὸ ζ̄ ἔχων· οὐκοῦν τὸ ζων ἀντὶ τοῦ ϲων κείϲεται· ἢ ὅτι τὸ ζ̄ καὶ μετὰ τῶν δύο ϲϲ τὴν τετάρτην ποιεῖ ϲυζυγίαν. — Ταχύϲ πρωτότυπον, εἶτα ταχύτεροϲ ταχίων θάϲϲων· τὸ τ̄ εἰϲ τὸ ἀντιϲτοιχοῦν μεταβληθὲν θ̄, ἀντὶ ⟨γὰρ⟩ τοῦ τάϲϲων ἐγένετο· καὶ πάλιν βραδύϲ ⟨βραδύτεροϲ⟩ βραδίων βράϲϲων· τὸ δὲ ἀμείνων καὶ τὸ χείρων καὶ τὸ μείζων κατὰ πάθοϲ ἐγένετο· τὸ μὲν ἀμείνων τοῦ ν̄ δι᾽ εὐφωνίαν προϲτεθέντοϲ, ἀμείων γὰρ ἦν, ὁ μηδενὸϲ ἐλάττων· τὸ δὲ μείζων ἀπὸ τοῦ μέγαϲ μεγίων καὶ μείζων, τοῦ ζ̄ ἀντὶ τοῦ γ̄ δι᾽ εὐφωνίαν προϲτεθέντοϲ· τὸ δὲ χείρων ϲυναλοιφὴν ὑπέμεινεν ἀπὸ τοῦ χερείων.

⟨*Heliodori.*⟩ — Ὑπερθετικὸν δέ ἐϲτι τὸ κατ᾽ ἐπίταϲιν ἑνόϲ.] Ἡ ϲύγκριϲιϲ τῶν πρωτοτύπων ἐϲτὶν αὔξηϲιϲ, ἡ δὲ ὑπέρθεϲιϲ αὐτῶν τῶν ϲυγκριτικῶν ἐϲτιν ἐπίταϲιϲ ⟨τελεία⟩, οἷον ταχύϲ μέν ἐϲτι τὸ πρωτότυπον, ταχύτεροϲ ὁ τοῦ ταχέοϲ βελτίων ἐν τάχει, ταχύτατοϲ δὲ ὁ πάντωϲ τοῦ ταχυτέρου ἀμείνων ἐν τάχει· διὸ οὐδὲ ἐπίταϲιν ἐπιδέχεται τὸ ὑπερθετικόν· τὰ γὰρ τέλεια τῶν μεγεθῶν οὐκ ἐπεκτείνονται· καὶ γὰρ τὸ η̄ τέλειον μέγεθοϲ ἔχον οὐδέποτε δύναται πλέον ἐπεκταθῆναι. Ἐξ ὁμοίων δὲ εἰδῶν γίνονται αἱ ὑπερθέϲειϲ, οἷον «πάντεϲ ταχεῖϲ, οὗτοϲ δὲ ταχύτατοϲ»· ὅθεν καὶ τὸ ⟨Χ 15⟩ θεῶν ὀλοώτατε πάντων καὶ ⟨Λ 832⟩ δικαιότατοϲ Κενταύρων οὐ λέγομεν φύϲει καὶ κυρίωϲ εἶναι ὑπερθετικά· οὐκ ἔχομεν γὰρ δεῖξαι, ὅτι οἱ ἄλλοι θεοὶ ὀλοοὶ ἦϲαν, οὐδὲ οἱ ⟨ἄλλοι⟩ Κένταυροι δίκαιοι, ἀλλ᾽ ἀντὶ ἁπλῶν εἰϲιν, ὥϲπερ κάκιϲτοϲ φίλων οὐ πρὸϲ ϲύγκριϲιν τῶν ἄλλων φίλων, ἀλλ᾽ ἀντὶ τοῦ λίαν κακόϲ.

16—22 *cfr* Σ^m *372, 33—373, 7* ‖ **23—35** *cfr* Σ^m *373, 24—374, 7; videntur esse* Σ^h

1 τῶν *om* A ‖ **5** ὅτι τὴν (τὴν *om* E) παραλήγουϲαν ϲυλλ. AE ‖ **11** εὔμαρ. A, εὔμαρεϲ E ‖ **15** τετάρτην] Δην A, δευτέραν E ‖ **16** εἶτα *om* E ‖ **18** δὲ] γὰρ AE ‖ **21** τοῦ ζ̄ A, τὸ ζ̄ E ‖ **25** ἐπέκταϲιϲ AE ‖ **27** ἐπέκταϲιν AE ‖ **29** ἐπεκτανθῆναι AE

Ἑνὸς δὲ πρὸς πολλοὺς ποιεῖται τὴν σύγκρισιν τὸ ὑπερθετικόν, ἐπειδὴ ἐπιτεταμένην ἔχον τὴν σημασίαν καὶ μηδὲν ἐλλειπὲς ἔχον πάντων ὑπερέχειν ἐπαγγέλλεται, κἂν ἡμεῖς πλῆθος μὴ προσθῶμεν. Πρὸς γενικὴν δὲ ποιεῖται τὴν σύνταξιν, καὶ πρὸς πλείους τὴν σύγκρισιν ἔχει ὁμοφυεῖς τε καὶ ὁμοιογενεῖς ἢ ὁμοίους κατὰ βίον· εἰ δέ που εὑρεθείη «τῶν σοφῶν σοφώτατος», καταχρηστικῶς ἐλέχθη τοῦτο. Λαμβάνεται δὲ πολλάκις τὰ ὑπερθετικὰ ἀντὶ ἁπλῶν, ὡς τὸ πρώτιστος καὶ τρίτατος, ἀντὶ τοῦ πρῶτος καὶ τρίτος· ἡ γὰρ σημασία μόνη ποιεῖται τὰς διακρίσεις τῶν μερῶν τοῦ λόγου· ταῦτα οὖν τὰ τῇ μὲν φωνῇ δοκοῦντα εἶναι ⟨ὑπερθετικὰ⟩ ὑποπέσοιεν ἂν ὑπὸ ⟨τὰ⟩ τακτικὰ τῶν ὀνομάτων· χαρακτῆρι γάρ, οὐ μέντοι σημαινομένῳ ὑπερθετικὰ ὑπάρχουσιν. Τινὰ δὲ καὶ ἐν ἴσῳ λόγῳ παραλαμβάνεται· ⟨ἐν⟩ ἴσῳ δὲ λόγῳ φαμέν, ἐπὰν ἐν διαφόροις πράγμασιν ἡ αὐτὴ ὑπέρθεσις ᾖ πρὸς αὐτὰ τὰ ὑπερτιθέμενα, οἷον ἀρίστη ἡ γραμματική, ἀρίστη δὲ καὶ ἡ ῥητορική· ἡ γὰρ ὑπέρθεσις ἐνταῦθα οὐχ ὡς πρὸς σύγκρισιν ἑτέρου πράγματος νοεῖται, ἀλλὰ πρὸς αὐτὸ μόνον τὸ προκείμενον, ὥστε τὸ ἀρίστη ἀντὶ τοῦ καλή παραλαμβάνεσθαι. Ἔνια δὲ καὶ ἐπωνομαστικώτερον ἐπὶ κυρίων τίθεται, ὡς Φίλιστος καὶ Καλλίστη νῆσος· ταῦτα γὰρ ὑπερθετικὰ ὄντα εἰς κυρίων μετῆκται θέσιν. Ἔνια δὲ καὶ ἐμφερῆ ἐστι τοῖς ὑπερθετικοῖς, μὴ ὄντα φύσει ὑπερθετικά· τὸ γὰρ πλατάνιστος κατὰ τὴν φωνὴν ὅμοιόν ἐστι τῷ κάλλιστος, οὐ μέντοι πλέον τι σημαίνει τοῦ πλάτανος.

Εἰδέναι δὲ δεῖ, ὅτι τὰ συγκριτικὰ καὶ ὑπερθετικὰ πρὸς μὲν τὰ ὑποκείμενα κύριά τε καὶ προσηγορικά, καθ᾽ ὧν κατηγοροῦνται, συντάσσονται ὡς ἐπίθετα, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως αὐτοῖς συνεκφερόμενα· πρὸς ἐκεῖνα δέ, πρὸς ἃ τὴν σύγκρισιν ἔχει, γενικὴν ἀπαιτοῦσι πτῶσιν, οἷον ⟨ὁ⟩ ἰσχυρότερος Αἴαντος Ἀχιλλεύς, ⟨τοῦ ἰσχυροτέρου Αἴαντος Ἀχιλλέως, τῷ ἰσχυροτέρῳ Αἴαντος Ἀχιλλεῖ, τὸν ἰσχυρότερον Αἴαντος Ἀχιλλέα, ὦ ἰσχυρότερε Αἴαντος Ἀχιλλεῦ⟩· ὁ σοφώτατος τῶν Ἑλλήνων Ὅμηρος, τοῦ σοφωτάτου τῶν Ἑλλήνων Ὁμήρου, τῷ σοφωτάτῳ τῶν Ἑλλήνων Ὁμήρῳ, τὸν σοφώτατον τῶν Ἑλλήνων Ὅμηρον, ὦ σοφώτατε τῶν Ἑλλήνων Ὅμηρε· καὶ ἐπὶ δυϊκῶν τε καὶ πληθυντικῶν καὶ τῶν ἄλλων γενῶν ὁμοίως.

Ἰστέον δὲ ὅτι τὰ ὑπερθετικὰ τὴν ἀκροτάτην ἐπίτασιν ἔχοντα οὐ προσλαμβάνει ἐπιτατικὸν ἐπίρρημα, τὸ λίαν ἢ ἄγαν, οὐ γὰρ λέγομεν λίαν τιμιώτατος· τὰ μέντοι συγκριτικὰ ἐπιδέχεται, ὡς τὴν τελειοτάτην ἐπίτασιν οὐκ ἔχοντα, ὡς καὶ παρ᾽ Ὁμήρῳ ⟨ξ 17⟩ πολλὸν παυρότεροι· ἡ γὰρ σύγκρισις ἑνὸς πρὸς πλείονας γίνεται, οὐ μέντοι ⟨πρὸς⟩

3—37 *cfr Syncellus fol. 176* ‖ **11—16** *cfr* Σ^{m} *374, 8—12*

3 ἐπιτεταγμένην AE ‖ **5** ὁμογενεῖς AE ‖ **10** τὰ τακτικὰ] προσηγορικῶν AE ‖ **13** ᾖ] ἡ AE ‖ **14** οὐχ ὡς A, οὐ E *et Sync.* ‖ **20** πλέον *om* E ‖ **25** ὁ *et* **26** τοῦ — Ἀχιλλεῦ (**28**) *add cod. Burneianus 276 fol. 37r* ‖ **29** ὁμήρου A, ὁμοίως E ‖ **35** τελεωτάτην AE ‖ **37** πρὸς πάντας] πάντων AE

πάντας, τὸ δὲ ὑπερθετικὸν κατὰ πάντων· ἐντεῦθεν οὐδὲ τὰ ὀνόματα τὰ ἐπιδεχόμενα ἐπίταςιν εἰς ςύγκριςιν ἔρχεται, ὡς τὸ ἐρίτιμος περικλυτός ζάπλουτος ζάθεος.

Διαφέρει τὸ ὑπερθετικὸν τοῦ ςυγκριτικοῦ, ὅτι ἐκεῖνο μὲν ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, τοῦτο δὲ οὔ, καὶ ὅτι ἐκεῖνο τρεῖς ἔχει τύπους, τοῦτο ⟨δὲ⟩ δύο· προτερεύει δὲ ὁ εἰς ταtοc τύπος ὁμοίως τῷ εἰς τεροc, ἀφ' οὗ ἐγένετο.

Ὑποκοριστικόν. — Τὰ ὑποκοριστικὰ ἀπόλυτον ἔχει τὸ σημαινόμενον μείωσιν ἀσυγκρίτως δηλοῦντα τοῦ πρωτοτύπου, οὐ γὰρ πρός τι. Παράγονται καὶ ἀπὸ κυρίων καὶ ἀπὸ προσηγορικῶν· καὶ ἀπὸ μὲν κυρίων, ὡς ἀπὸ τοῦ Ζηνόδωρος Ζηνᾶς, ἀπὸ δὲ προσηγορικῶν, ὡς ἀπὸ τοῦ ἄνθρωπος ἀνθρωπίσκος. Σύνταξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις καὶ προσηγορικοῖς ἔχουσι πρὸς τὰ ἐπίθετα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συντασσόμενα.

⟨*Heliodori.*⟩ — Ὑποκοριστικὸν δέ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου.] Παρὰ τὸ κορίζω γέγονεν ἀπὸ τοῦ παθητικοῦ παρακειμένου· ἔστι δὲ ὄνομα μικρότητος ἐμφαντικόν· διὸ παρὰ τῷ ποιητῇ ἡρωϊκὰς διεξιόντι πράξεις σπανίως ἔστιν εὑρεῖν ὑποκοριστικόν· εἰ δέ που ἐμπέσοι, δι' ἐπιθέτου αὐτὸ ἀναιρεῖ, ὡς τὸ ⟨κ 171⟩ μάλα γὰρ μέγα θηρίον ἦεν· τὸ γὰρ θηρίον ὑποκοριστικὸν ὂν διὰ τοῦ μέγα ἐκπίπτει τῆς οἰκείας σημασίας. — Τὸ δὲ ⟨ἴχνιον, ὡς ἐν τῷ⟩ ⟨N 71⟩ ἴχνια ⟨γὰρ⟩ μετόπισθε ποδῶν ἠδὲ κνημάων, ῥηματικόν ἐστιν, οὐχ ὑποκοριστικόν· περὶ αὐτοῦ γάρ φησι ⟨N 20⟩ τρὶς μὲν ὀρέξατ' ἰών. Μάχεται καὶ ὁ τόνος· τὰ γὰρ διὰ τοῦ ιον ὑποκοριστικὰ τρισύλλαβα ἀρχόμενα ἀπὸ βραχείας προπαροξύνεται, ἀπὸ δὲ μακρᾶς παροξύνεται, οἷον χέριον σάκιον, ὅτε δι' ἑνὸς κ̄· ὅτε δὲ διὰ δύο, παροξύνεται, οἷον σακκίον· κορρίον διὰ δύο ρ⟨ρ⟩ παρὰ Ἀττικοῖς, δι' ἑνὸς κόριον παρὰ Θεοκρίτῳ ⟨11, 60⟩· ἐχρῆν ἄρα ἰχνίον· ἔστιν οὖν ῥηματικόν· ὥσπερ ⟨γὰρ⟩ τὸ δέμω δέμνιον καὶ ἀράσσω ἀράχνιον καὶ παίζω παίγνιον, οὕτως ἵκω ἴχνιον, ὑπερθέσει τοῦ πνεύματος. — Καὶ τὸ νήϊον πῶς ὑποκοριστικῶς ἐπὶ τῆς Ὀδυσσέως νεὼς ⟨cfr ι 498⟩, περὶ ἧς φησι ⟨Θ 222. Λ 5⟩ μεγακήτεϊ; Τὸ δὲ ἑρκίον καὶ τειχίον διαφέρει τῷ σημαινομένῳ· τεῖχος μὲν καὶ ἕρκος ἐπὶ πόλεων, τειχίον δὲ καὶ ἑρκίον ἐπὶ ἐπαύλεων· πῶς δὲ μείωσις, ὅπου τὸ μέγα;

1—3 *cfr* Σ^{v} *226, 2—4* ‖ **4—7** *cfr* Σ^{v} *226, 5—10*; Σ^{m} *374, 20—23* ‖ **8—14** *cfr Syncellus fol. 176*^{v} *et quae e cod. Bodl. 26 dedit Cramer AO IV 273, 1—16* ‖ **15—540, 2** *videntur esse* Σ^{h} ‖ **15—539, 3** *cfr* Σ^{v} *226, 19—227, 5*; Σ^{m} *375, 5—26*

8 ὑποκοριστικὸν *in marg.* A, περὶ ὑποκοριστικῶν E ‖ **10** ἀπὸ (*ante* πρ.) *om* A ‖ **12** Σύνταξιν *Sync.*, σύνθετα AE ‖ **20** ἐκπίπτει V, ἐμπίπτει E ‖ **22** κνημάτων E | ῥηματικόν] παρώνυμόν AE ‖ **23** ἰών] ἰων A, *parv. vac. spat.* E ‖ **27** διενὸς A, δεινὸς E ‖ **28** δέμω] δαίμων AE ‖ **30** νήϊον] ῥήϊον AE | νεώς] νηός AE ‖ **31** μέγα κήτεϊ AE

⟨π 165⟩ παρ' ἐκ μέγα τειχίον αὐλῆς. Καὶ τὸ μηρίον διάφορον· μηρία τὰ ἐναγιζόμενα τοῖς θεοῖς, μηροὶ δὲ τὰ μὴ οὕτως ἔχοντα· οὐδὲ τὸ ὀγκίον, οὐ γὰρ τοῦ ὄγκος μείωσις.

Τύποι δὲ τῶν ὑποκοριστικῶν ⟨ἀρσενικῶν⟩ μὲν ἕξ· ὁ μὲν πρῶτος εἰς ων δισύλλαβος, ὡς Βακχυλίδης Βάκχων· δεύτερος ὁ εἰς ων παραλήγων τῷ ι, ὡς μωρίων ὁ μωρός· τρίτος ὁ εἰς αξ, ὡς Ῥόδαξ ὁ Ῥόδιος· τέταρτος ὁ εἰς ας, ὡς Ζηνᾶς ὁ Ζηνόδωρος· πέμπτος ὁ εἰς ⟨σ⟩κος, ὡς γραμματίσκος ὁ γραμματικός· ἕκτος ὁ εἰς λος, οἷον ναυτίλος ὁ ναύτης. Θηλυκῶν δὲ τρεῖς· πρῶτος ὁ εἰς ω, ὡς Ὑψώ ἡ Ὑψιπύλη· δεύτερος ὁ εἰς ις, ὡς λυρίς ἡ λύρα· τρίτος ὁ εἰς ⟨σ⟩κη, ὡς λεκανίσκη ἡ λεκάνη. Τῶν δὲ οὐδετέρων μία μέν ἐστιν ⟨ἡ⟩ εἰς ον κατάληξις· ἔχει δὲ παραλήξεις ἕξ· ἢ γὰρ τὴν νι, ὡς κανόνιον, ἢ τὴν δι, ὡς Παλλάδιον, ἢ τὴν ρι, ὡς ξυλάριον, ἢ τὴν δρι, ὡς μελύδριον, ἢ τὴν λι, ὡς μειρακύλλιον, ἢ τὴν φι, ὡς ζωΰφιον.

Διαφέρει δὲ τὰ ὑποκοριστικὰ τῶν συγκριτικῶν· τὰ μὲν γὰρ συγκριτικὰ οὐ μείωσιν δηλοῖ μόνον, ἀλλὰ καὶ ἐπίτασιν, εἶτα καὶ πρὸς γενικὴν ποιεῖται τὰ συγκριτικὰ τὴν σύνταξιν· τὰ δὲ ὑποκοριστικὰ ἀπολελυμένα ἐστὶ καὶ ἀόριστα· ὅθεν ἀναγκαίως ὑπετάγη τῷ συγκριτικῷ, εἴ γε τὸ μὲν ὡρισμένην ἔχει τὴν σημασίαν, τὸ συγκριτικόν, καθὸ πρός τινα 329,30 ποιεῖται, τὸ δὲ ἀόριστόν ἐστι. Νενόηται δὲ ἢ διὰ παιδιάν, ἢ διὰ κολακείαν, ἢ διὰ τὸ πρέπον, ἢ δι' ἀνάγκην· διὰ παιδιὰν μέν, ὡς τὸ Πριαμύλλιον ὁ Πρίαμος· ...δι' ἀνάγκην δέ, ὡς τὸ «ἱππάριόν μοι χάρισαι»· μειῶ γὰρ τὸ ζητούμενον, ἵνα ἑτοιμότερον εἰς τὸ δοῦναι ποιήσω τὸν ἔχοντα· ἢ διὰ τὸ πρέπον, ὡς παρ' Ἀλκμᾶνι εὕρομεν τὰς παρθένους ὑποκοριστικοῖς χρωμένας· πρέπει γὰρ τοῦτο παρθένοις. Εἴρηται δὲ ὑποκοριστικὸν παρὰ τοὺς κόρους, ἤγουν τοὺς μικροὺς νέους, ἢ τὰς κόρας· τούτους γὰρ ⟨ἢ ταύτας⟩ πολλάκις ὑποθωπεύοντες τοιούτοις κεχρήμεθα ὀνόμασιν, ὡς παρὰ Μενάνδρῳ ⟨fr. 1041 K⟩ νηττάριον.

Γίνονται δὲ καὶ ἀπὸ ἀρσενικῶν ὑποκοριστικὰ εἰς ον, ὡς ἀπὸ τοῦ χρώς χρωτίδιον, καὶ ἀπὸ θηλυκῶν, ὡς ἀπὸ τοῦ ψυχή ψυχίδιον, ἐπειδὴ τὸ οὐδέτερον πολλάκις κατὰ ἀμφοτέρων γενῶν, ὡς τὸ παιδίον. Ἐλλείπει δὲ πολλάκις τοῦ πρωτοτύπου, ὡς τὸ Βακχυλίδης Βάκχων, ἢ πλεονάζει, ὡς τὸ Ἥφαιστος Ἡφαιστίων. Ἔχει δὲ καὶ ἑτέρους τύπους, τὸν εἰς υν, ⟨οἷον μόσυν⟩, τὸν εἰς υς, οἷον Καμμῦς Διονῦς, τὸν εἰς ις, οἷον κομβίς. — Πρό⟨σ⟩κειται δὲ ἐν τῷ ⟨ὅρῳ⟩ τὸ «ἀσυγκρίτως», ὅτι τὸ ὑπο-

---

4—14 *cfr Σ^v 227, 6—24*; *Σ^m 376, 6—24* ‖ **20—28** *cfr Σ^v 226, 16—19 et 227, 25—28*; *Σ^m 375, 1—5 et 30—33* ‖ **33—35** *cfr Σ^v 227, 13—15* ‖ **35—540, 2** *cfr Σ^v 227,25**; *Σ^m 375, 27—30*

1 παρὲκ A, παρεὶς E ‖ **3** ὀγκίον A, ὀγγίον E | οὐ γὰρ τοῦ] οὐδὲ τὸ AE ‖ **6** μορίων AE ‖ **13** μελίδριον AE | μυρακύλιον AE ‖ **20** παιδιάν] παιδείαν AE; *item v. 21* | πριαμίλιον AE ‖ **24** ὡς παραλκὰν εὗρ. AE ‖ **25** χρωμένας A, λεγομένας E ‖ **28** νιτάριον AE ‖ **30** χρωτίδιον *EtM 200, 41*, χρώτιον AE ‖ **34** υν] ιν AE ‖ **35** κομβὶς AE

κοριστικὸν οὐ δηλοῖ cύγκριcιν, ἀλλὰ μείωcιν· ἐὰν γὰρ εἴπω ἀνθρωπίcκοc, ἔcτιν ὁ μικρὸc ἄνθρωποc.

⟨*Heliodori.*⟩ — Παρώνυμον δέ ἐcτι τὸ παρ' ὄνομα ποιηθέν.] Διὰ τί ἰδίωc τοῦτο παρώνυμον κέκληκε, καίτοι καὶ ἄλλων ἀπὸ ὀνόματοc γενομένων, ὡc ἀπὸ τοῦ Ἀτρεύc Ἀτρείδηc καὶ ⟨ἀπὸ τοῦ⟩ Πλάτων Πλατωνικόc; Καί φαμεν ὅτι ἕκαcτον τῶν ἄλλων ἰδίαν τινὰ εἶχε cημαcίαν, ὡc τὸ πατρωνυμικὸν δηλοῖ τὸν πατέρα, καὶ τὸ cυγκριτικὸν cύγκριcιν, καὶ τὰ ἄλλα ὁμοίωc· τὸ μέντοι παρώνυμον, καθὸ ἐν πολλοῖc cημαινομένοιc ὁρᾶται — καὶ γὰρ καὶ ἐν κυρίοιc, ὡc ἀπὸ τοῦ θεόc Θέων, καὶ ἐν ἐθνικοῖc, ὡc ἀπὸ τοῦ Ἀκράγαc Ἀκραγαντῖνοc —, ἠπόρηcεν ἀπὸ τίνοc ὀφείλει ὀνομαcθῆναι· καὶ μὴ δυνηθὲν ἐκ τῆc cημαcίαc ὀνομαcθῆναι, ἐκ τῆc φωνῆc ὠνομάcθη, καὶ τὴν κοινὴν πάντων ὀνομαcίαν ἰδικὴν ἐποιήcατο· διὸ καὶ μετ' ἐκεῖνα ἐτάχθη, ὡc ⟨μὴ⟩ ἀπὸ τῆc cημαcίαc ὀνομαcθέν.

Cυντάccεται δὲ τὰ ἀπὸ τῆc ἰδίαc ὕληc κεκλημένα ὀνοματικὰ καὶ ῥηματικά, ὅcα μὲν κύρια ἢ προcηγορικά, ὁμοιογενῶc καὶ ὁμοιοπτώτωc τὰ ἐπίθετα ἐπιcπώμενα, ὅcα δὲ ἐπίθετα, ἐπιθετικὴν ἕξει τὴν cύνταξιν μετὰ τῶν κυρίων καὶ προcηγορικῶν.

⟨*Heliodori.*⟩ — Πόθεν δὲ δῆλον, ὅτι τὸ Θέων παρὰ τὸ θεόc ⟨ὄνομα⟩ καὶ οὐχὶ ἀπὸ τοῦ θέω ῥήματοc; Καί φαμεν ἀπὸ τῆc κλίcεωc· τῶν γὰρ εἰc ω̅ν̅ βαρυτόνων τὰ μὲν παρώνυμα διὰ τοῦ ω̅ κλίνεται, τὰ δὲ ῥηματικὰ διὰ τοῦ ο̅, οἷον Δίων Δίωνοc, Φιλήμων Φιλήμονοc· εἰ οὖν τὸ Θέων ⟨κλίνεται Θέωνοc⟩, οὐκ ἔcτι ῥηματικόν, ἀλλὰ παρώνυμον.

⟨*Heliodori.*⟩ — Οἱ τύποι τῶν παρωνύμων. — Τύπουc δὲ ἔχει τὰ παρώνυμα λδ'. α'. Ὁ εἰc α̅ν̅, ὀξύνεται καὶ φυλάττει τὸν χρόνον ἐν τοῖc πλαγίοιc, οἷον μέγιcτοc μεγιcτάν, νέοc νεάν, ἀφ' οὗ νεανίαc· τὸ καρβάν 229,16 c
παραcύνθετον, κάριβοc καριβόαν καὶ καρβάν· μόνον τὸ εὔαν θηλυκὸν παρὰ Πινδάρῳ· Ποcειδῶν Ποcείδαν· ἀποροῦcι περὶ τοῦ Ζηνόc, πῶc Δωριεῖc μὲν καὶ Αἰολεῖc οὐκ ἔτρεψαν τὸ η̅ εἰc α̅, Ἴωνεc δὲ μεταγενέcτεροι ὄντεc ἔτρεψαν· ὅτι τὸ Ζάν οὐκ ἦν τετραμμένον, ἀλλὰ παρηγμένον. — β'. Ὁ εἰc η̅ν̅, Ὀρφεύc Ὀρφήν. — γ'. Ὁ εἰc ι̅ν̅, ἕρμα ἑρμίν. — δ'. Ὁ εἰc υ̅ν̅, μόcων μόcυν. — ε'. Ὁ εἰc ω̅ν̅, βαρύνεται δὲ ἐπὶ κυρίων, ποταμόc Ποτάμων, καὶ ὅτε κατὰ τοῦ αὐτοῦ cημαινομένου τίθεται, ἄπειροc ἀπείρων· ὅτε δὲ περιεκτικὸν τόπον δηλοῖ καὶ ὅτε χρόνον,

---

4—14 *cfr* Σ^{v} *228, 5—13;* Σ^{m} *376, 26—377, 3; videntur esse* Σ^{h} ‖ **15—18** *cfr Syncellus fol. 177*^{v} ‖ **19—23** *cfr* Σ^{m} *377, 8—14; videntur esse* Σ^{h} ‖ **24—543, 2** *videntur esse* Σ^{h}

6 εἶχε A, ἔχει E ‖ **10** ἠπόρηcεν A, ἢ ἀπόρηcεν E ‖ **13** μετ' ἐκείνην AE | cημαcίαc] ὀνομαcίαc *et supra scr.* cημαcίαc A¹E¹ ‖ **16** ὁμοιογενῶc *Sync.*, ὁμοίωc AE ‖ **23** κλίνεται Θέωνοc] *vac. spat. 10 fere litt.* AE ‖ **28** Ποcείδαν] ποcειδῶν A, πόcειδον E ‖ **30** *ante* ὅτι *add* λύcιc AE ‖ **31** *ad* Ὀρφήν *cfr Prisc. I 276, 11 (H)* ‖ **32** δὲ A, καὶ E

⟨ὀξύνεται⟩, κοίτη κοιτών, πλεῖον πλειών, ⟨ἐλαφηβόλος⟩ Ἐλαφηβολιών· χείρων ὁ τῶν χειρῶν ἐργαστικός. — ϛ΄. Ὁ εἰς ιξ, κύκλος κύκλιξ καὶ κύλιξ ἐνδείᾳ τοῦ κ, λαός λάϊξ. — ζ΄. Ὁ εἰς αξ, λίθος λίθαξ, διπλοῦς δίπλαξ. — η΄. Ὁ εἰς ηρ, ὃν Ἀπολλώνιος ῥηματικόν, Ἡρωδιανὸς
329, 19 c παρώνυμόν φησι, ποτόν πέποται ποτήρ, βοτόν βέβοται βοτήρ· τὸ ἐτήρ παρὰ τὸ ἔτος· Σοφοκλῆς ⟨fr. 685 N^2⟩· ἐτῆρας ἀμνοὺς θεοῖς ἔρεξ' ἐπακτίοις· γράφεται δὲ καὶ εὔειρας. — θ΄. Ὁ διὰ τοῦ εας ἢ ιας, ὃς μακρὸν ἔχων τὸ α βαρύνεται καὶ μιᾷ πλεονάζει τῆς γενικῆς τοῦ πρωτοτύπου, συστέλλων δὲ αὐτὸ ὀξύνεται καὶ ἰσοσυλλαβεῖ τῷ πρωτοτύπῳ, δρακοντίας κοπ⟨π⟩ατίας, δῆμος Δημέας· τὸ ἀνδριάς ἡμάρτηται κατὰ τὸν τόνον· τὸ Ἀλεξιάς ἀντιμετάπτωσιν ἔσχε στοιχείων· τῶν δὲ ὀξυτόνων παραδείγματα δειρή δειράς, ἴονθος ἰονθάς· τῶν διὰ τοῦ εας τινὰ συναιρεῖται δωρικῶς, Ἑρμέας Ἑρμᾶς, Βορέας Βορᾶς, κοινῶς δὲ ⟨Ἀπελλέας⟩ Ἀπελλῆς· τὸ Θαλέας οὐ γίνεται Θαλᾶς, ὅτι Ἴων ὁ ἀνήρ· τινὰ δὲ πλεονάζει τὸ ι, Αἰνέας Αἰνείας. — ι΄. Ὁ εἰς λας· οὗτος οὐ συναιρεῖται οὐδὲ τρέπεται· τοῦ πρώτου τύπου παραδείγματα Κλεόλας Μενέλας, τοῦ δευτέρου Ἀργόλας Γενειόλας· παραγραπτέον δὲ τὸν τύπον τοῦτον τὸν εἰς λας, θετέον δὲ τὸν εἰς λης. — ια΄. Ὁ εἰς εις, ὃς πλεονάζει τῆς τοῦ πρωτοτύπου γενικῆς συλλαβῇ· βαρύνεται δὲ καὶ παραλήγεται ἢ τῷ η ἢ τῷ ο, οἷον φωνήεις αἱματόεις· τὸ χαρίεις συγκέκοπται· τῷ ω σπανίως, ἐν ἐκτάσει πηλώεις, εὐρώεις συγκοπῇ ἀπὸ τοῦ εὐρωτόεις· πιδηέσσης ⟨Λ 183⟩ ἀπὸ τοῦ πιδακοέσσης· ἠϊόεντι ⟨Ε 36⟩ ⟨ἀπὸ τοῦ⟩ ἠϊονόεντι, ἢ πλεονασμῷ τοῦ η· παρὰ τὸ καῖρος καιρόεις καιρόεσσα καιροεσσῶν ⟨καὶ⟩ καιροσέων ⟨η 107⟩ ὑπερθέσει καὶ ἐκβολῇ· τερμιόεις· θερμόεις ἢ ὁ θερμαίνων ἢ ὁ παρὰ τὰ θερμά· ἀμφιγυήεις τροπῇ τοῦ ο εἰς η, ὡς τὸ κοτήεις θυήεις παρὰ τὸ κότος καὶ τὸ θύον· καὶ πάντα δὲ ταῦτα μετουσιαστικά ἐστιν· τούτων ὅσα διὰ τοῦ ο παραλήγεται, συναλείφεται εἰς τὴν ου, Σιμόεις Σιμοῦς, ὅσα δὲ τῷ η, εἰς ης, τιμήεις τιμῆς. — ιβ΄. Ὁ εἰς ευς, πόλιος πολιεύς, Ἀλεξανδρεύς. — ιγ΄. Ὁ διὰ τοῦ ωδης, ὃς γίνεται τῆς γενικῆς τὸ τέλος ἀποβαλλούσης, ὄνος ὀνώδης· μόνον κύριον τὸ Λειώδης. — ιδ΄. ⟨Ὁ⟩ διὰ τοῦ ινης, Λεπτίνης, καὶ διὰ τοῦ ηνης σπανίως, σαφηνής [καὶ γαλήνης], ὃ καὶ ἔνδειαν ἔχει μιᾶς συλλαβῆς, γαλήνη γαλήνης καὶ γαληνής. — ιε΄. ⟨Ὁ⟩ διὰ τοῦ ηρης, ξιφήρης θυμήρης· θυμαρής δὲ καὶ φ⟨ρ⟩εναρής ὀξύνεται, ὅτι σύνθετά ⟨ἐστι⟩ παρὰ τὸ ἀρῶ. —

1 πλεῖον] πλείων AE | ἐλαμφηβολιῶν AE ‖ 4 Ἡρωδιανὸς A, ἡρώδοτος E ‖ 5 ποτόν] ποτὴρ AE ‖ 6 ἔρεξ' *L Dindorf*, ἐράξας (*sic*) AE ‖ 7 εὔειρας *L Dindorf*, εὐείρας AE ‖ 10 ἥμαρται AE ‖ 11 ὀξύ A, ὀξυνομένων E ‖ 12 δείρη AE ‖ 13 Ἑρμᾶς] ἑρμῆς AE ‖ 14 Ἀπελλῆς] ἀπελ A, ἀπε̈ *et 4 fere litt. spat.* E ‖ 16 τοῦ πρωτοτύπου παραδείγματος AE ‖ 18 λης A, ης E ‖ 22 πιδέσσεις ἀπὸ τοῦ πιδακοέσσεις AE ‖ 23 η] ει AE | καῖρος] αἴκαιρος AE | καιροεσσῶν καὶ καιροσέων] καιροεσσέων A, καιροέσσα καιροεσσέων E ‖ 24 θεμιώεις A, θεμιόεις E ‖ 25 ἀμφιγυήσεις AE ‖ 26 κοήεις AE | τὸν κότον AE ‖ 29 πόλιος] πολιὸς AE ‖ 30 τέλος] κ AE | *in marg. add:* οὐκ ὀρθῶς λέγεις A^1E^1 ‖ 32 σαφήνης AE | μίαν συλλαβὴν AE ‖ 33 γαληνής] γαλήνις AE

ιϛ΄. Ὁ διὰ τοῦ $\overline{\text{της}}$, ὃς ἔχει τὴν **παραλήγουσαν** διὰ τοῦ $\bar{\alpha}$, Ἀπολλωνιάτης, ἢ διὰ τοῦ $\bar{\epsilon}$, φυλή φυλέτης, ἢ διὰ τοῦ $\overline{\langle\epsilon\rangle\text{c}}$, Ὀρέστης· καὶ ὀξύνεται κηδεστής· οὕτως καὶ ἐπεστής παρὰ τὸ ἐπήτης, ὡς αἰχμαστής αἰχμητής, ἀκέσματα ἀκήματα, ἐδεστής ἐδητής ἀντὶ τῆς θϛ ἢ φύ (*sic*)· ἢ διὰ τοῦ $\bar{\eta}$, πεδήτης, ἢ διὰ τοῦ $\bar{\omega}$, ἰδιώτης, ἢ διὰ τοῦ $\bar{\iota}$, τοπίτης πολίτης, μυθιήτης πλεονασμῷ τοῦ $\bar{\eta}$. — ιζ΄. ⟨Ὁ διὰ τοῦ $\overline{\text{ηc}}$⟩ ἀπὸ γενικῆς ⟨ἢ⟩ εὐθείας, βαρύνεται καὶ ὀξύνεται, εὐπατρίδης Λαπίθης Ἄλτης γυμνής τρανής. — ιη΄. ⟨Ὁ⟩ εἰς $\overline{\text{ιc}}$, δάφνη Δάφνις, εὖνις λυκίς. — ιθ΄. Ὁ διὰ τοῦ $\overline{\text{αλεοc}}$, παροξύνεται καὶ δύο συλλαβαῖς τοῦ πρωτοτύπου πλεονάζει, ῥωμαλέος δειμαλέος· τὸ δαιδάλεος κονισάλεος αἰθάλεος ἔνδειαν ἔχει τοῦ $\bar{\iota}$ κτητικὰ ὄντα· τὸ νηφάλιος προτέλιος Αἰολικὴν ἔχει τὴν τροπὴν τοῦ $\bar{\epsilon}$ καὶ τόνου. — κ΄. Ὁ διὰ τοῦ $\overline{\text{διοc}}$, ἢ τῷ $\bar{\alpha}$ ἢ τῷ $\bar{\iota}$ παραλήγεται· ἀπὸ ὀξυτόνων διχῶς ἡ παραγωγή, λοιπός λοιπάδιος, μοιχός μοιχίδιος, ἀπὸ βαρυτόνων μόνως διὰ τοῦ $\overline{\text{ιδιοc}}$, ⟨παῦρος⟩ παυρίδιος. Πῶς οὖν παρὰ τῷ ποιητῇ ⟨cfr Ψ 431⟩ κατωμάδιος; Παρὰ τὸ ὦμος ὠμάδιος, ἢ ἀπὸ τοῦ κατωμαδόν, ὡς ἀμφαδόν ἀμφάδιος, ἐκταδόν ἐκτάδιος· ἐντεῦθεν καὶ τὸ κωμάδιος παρὰ τὸ κῶμος, μεσάδιος παρὰ τὸ μέσος, ἀλλὰ συνήθως Αἰολεῦσιν· οὗτοι γὰρ κἂν τοῖς πατρωνυμικοῖς τὸν τύπον ⟨τοῦτον⟩ διὰ τὴν βαρυτόνησιν ⟨οὐκ⟩ ἠρνήσαντο. — κα΄. Ὁ διὰ τοῦ $\overline{\text{ωcιοc}}$ ἢ $\overline{\text{ωνιοc}}$· ὁ μὲν διὰ τοῦ $\overline{\text{ωcιοc}}$ Ῥηγίνων ἐστίν, ἐπεὶ συνεχὴς παρ' αὐτοῖς ἀπὸ 339, 22
γενικῆς γίνεται, ἀνάκων ἀνακώσιος, χαρίτων χαριτώσιος. Ζητητέον δὲ τὸ παρ' Ὁμήρῳ ἐτώσιον· τινὲς οἴονται παρὰ τὸ ἐτῶν ἐτώσιος, ἀλλὰ μάχεται ὁ νοῦς· οἱ δὲ οὕτως, ἀητῶν ἀητώσιος, συστολῇ ἀετώσιος, τοῦτο ἀφαιρέσει ἐτώσιος· ἢ οὕτως, ἐτός ἄετος ἀέτων ἀετώσιος, ὁ μὴ ἀληθὴς ἀλλὰ μάταιος. Ὁ ⟨δὲ⟩ διὰ τοῦ $\overline{\text{ωνιοc}}$ Αἰολέων ἐστίν, πολὺς γάρ ἐστι 339, 25
παρ' αὐτοῖς, ἀλ⟨λ⟩ώνιος παντώνιος ἑτερώνιος· τοιοῦτον τὸ Ἑλικώνιον ἀμφὶ ἄνακτα παρ' Ὁμήρῳ ⟨Υ 404⟩· οὕτως καὶ ἀνέμων ἀνεμώνιος ⟨καὶ⟩ ἀνεμώλια, ἀλλαχοῦ μεταμώνια... τοῦτο συγκέκοπται, τὸ πρότερον τέτραπται· ἀπὸ βαρυτόνων ὀξύνεται, ἀμφότερον δεξάμενον, γονός ἐλεός γυρός σκαιός· τινὰ μένει διὰ τὸ εὔφωνον, Κλεῖτος ἀγανός, ἐθνικὰ Θεσσαλός Σικελός Φρύξ Ἴων Ἕλλην· σεσημείωται τὸ Τεῦκρος· οὕτως ὦχρος ἡ ὠχρίασις· εἶτα ὁμοίως γίνεται ἀπὸ γενικῆς εἰς εὐθεῖαν ἀποδραμών, ἀπὸ μὲν δισυλλάβων ὁμότονος, δμώς δμωός ὁ δμωός, πῦρ πυρός, γλαῦξ γλαυκός, μεταπεπλασμένος· ἀπὸ δὲ τρισυλλάβων προπαροξύνεται, ἀτμήν

---

4 ἀκήματα] ἀκήματος AE | *an* ἀντὶ τοῦ ἀδηφάγος? ‖ **5** πολίτης *et supra* ι *scr*. η AE ‖ **7** λαπήθης ἄλλης γύμνης τράνης AE ‖ **8** εὖνις] εὐῖς AE ‖ **10** δειγμαλέος. τὸ δὲ δαλέος κονισαλέος AE ‖ **11** ὄντα] ἔχοντα AE ‖ **13** μοιχάδιος AE ‖ **17** συνήθως A, συνήθης E ‖ **18** οὗτος AE ‖ **19** βαρυτόνησιν] βαρυ A, βαρύ E ‖ **23** ἄκτων ἀκτώσιος AE ‖ **24** ἐτώσιος] αἰτώσιος AE | ἀετὸς AE ‖ **27** οὕτως καὶ ἀνεμώλια. ἀνέμω ἀνεμώνιος. ἀλλαχοῦ μ. AE ‖ **28** *post* μεταμώνια *in archetypo codicum* A *et* E *folium videtur intercidisse* ‖ **30** ἀγανὴ ἐθνικὸν AE ‖ **33** ὁ δμῶος AE | γλαὺξ AE ‖ **34** μεταπεπλασμένος] μετὰ πλε AE | τρισυλλάβου E

329, 30 c ⟨ἀτμένος⟩ ἄτμενος· χαροπός Χάροπος· ἴκτινος, ὅς ἐτυμολογεῖται ἀπὸ τοῦ ἐκτείνειν πανταχοῦ.

Ῥηματικὸν δέ ἐστι τὸ ἀπὸ ῥήματος.] Ῥηματικόν ἐστιν ὄνομα ἐκ ῥήματος ⟨γεγονὸς⟩ ἐνέργειαν ἢ πάθος δηλοῦν, οἷον παρὰ τὸ πεποίηται γίνεται ποιητής ὄνομα ῥηματικὸν σημαῖνον ἐνέργειαν· τί γὰρ ποιητής; ὁ ποιῶν τι· παρὰ δὲ τὸ πεποίημαι ποίημα, ὃ πάθος πάλιν δηλοῖ, ποίημα γάρ ἐστι τὸ πεποιημένον. — Πᾶν δὲ ὄνομα ῥηματικὸν βούλεται τὰ τελευταῖα σύμφωνα τοῦ ῥήματος φυλάσσειν· καὶ διὰ τοῦτο λέγομεν, ὅτι τὸ ποίημα ⟨γέγονε⟩ παρὰ τὸ πεποίημαι, τὸ δὲ ποιητής παρὰ τὸ πεποίηται. — Δεῖ δὲ εἰδέναι, ὅτι θέλει τὸ ὄνομα μέρος τι φυλάσσειν τοῦ ῥήματος, ὥσπερ καὶ τὸ φερώνυμον Νοήμων, ἵνα τὴν παραλήγουσαν τοῦ μέλλοντος φυλάξῃ καὶ ἐν τῇ παραληγούσῃ τοῦ ὀνόματος, καὶ τὸ Φιλήμων ὁμοίως. — Τὰ παρὰ μετοχὴν ἢ ἀντωνυμίαν ἢ πρόθεσιν ἢ ἐπίρρημα [καὶ τὰ ὅμοια] παρηγμένα ἐστὶν ἄπειρα· ταῦτα δὲ ὁμοίως παραγώγοις ἐτάξαμεν. Μετὰ δὲ τὸ παρώνυμον τὸ ῥηματικόν, ἐπειδὴ ἀπὸ ῥήματος, ὅπερ ἐστὶ μετὰ τὸ ὄνομα.

⟨*Heliodori.*⟩ — Σχήματα τρία.] Μετὰ τὸν περὶ εἰδῶν λόγον ἀκολούθως διέξεισι περὶ σχημάτων, ἐπεὶ καὶ τρίτην τάξιν εἶχε τῶν παρεπομένων τοῖς ὀνόμασι τὰ σχήματα. Σχῆμα δέ ἐστι χαρακτὴρ λέξεως συντεταγμένης ἢ ἀσυντάκτου· ἢ λέξεων ποσότης ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα ἀδιαστάτως ἀγομένη ἐν ἁπλότητι ἢ συνθέσει. Καὶ ἁπλᾶ μέν ἐστιν *etc.* = Σ^m 378, 6—27. Καὶ τὸ ἐπιφερόμενον πάντως ἢ ὁμοιόπτωτον ἔχει, οἷον ⟨ex. gr. Α 122⟩ Ἀτρείδη κύδιστε· ἢ γενικὴ εὑρίσκεται τὸ ἐπιφερόμενον, γενικὴ δὲ ἢ κτητικὴ ἢ συγκριτική· καὶ κτητικὴ μέν, οἷον ⟨ex. gr. Β 434⟩ ἄναξ ἀνδρῶν, συγκριτικὴ δέ, οἷον ⟨ex. gr. Θ 31⟩ ὕπατε κρειόντων· ἡ δὲ εὐθεῖα οὔτε αὐτοτελής ἐστιν οὔτε πρός τινα, τρίτου γάρ ἐστι προσώπου, οὔτε δὲ τὸ ἐπιφερόμενον ἀπαιτεῖ ὁμοιόπτωτον, οἷον «Σωκράτης Πλάτωνα τύπτει, Πλάτων Δημοσθένει διαλέγεται»· εἰ συνετίθετο οὖν ἡ κλητική, ἠναγκάζετο ἀναδρομὴν ποιήσασθαι εἰς τὴν εὐθεῖαν· ⟨καὶ⟩ καθὸ αἱ συνθέσεις ἀναδρομὴν ποιοῦνται εἰς τὴν εὐθεῖαν, ἀναγκάζεται ἔχειν τὰ ἴδια τῆς εὐθείας, καθὸ δὲ ἀπὸ κλητικῆς συνετέθη, τὰ τῆς κλητικῆς· ἐπεὶ ⟨οὖν⟩ μὴ δύναται κατὰ ταὐτὸν ἔχειν τὰ δύο, τούτου χάριν οὐ συντίθεται. — Δεῖ δὲ γινώσκειν, ὅτι αἱ συντιθέμεναι πτώσεις ἢ κατὰ τὸ τέλος συντίθενται, οἷον Πλάτων φιλοπλάτων, ἢ κατὰ τὴν ἀρχήν. Καὶ κατὰ μὲν τὸ τέλος εὐθεῖα μόνη, οἷον Ἕλλην φιλέλλην, καὶ γενική· γενικὴ δὲ οὐ πᾶσα, ἀλλὰ μόνη ἡ εἰς $\overline{\alpha\varsigma}$ λήγουσα καὶ ἡ εἰς

3—16 *cfr* Σ^v *228, 25—229, 7;* Σ^m *377, 24—378, 2* ‖ **17—544, 27** *videntur esse* Σ^h

1 ἄτμενος A, ἄτμιος E ‖ **6** ὁ] ὅτι AE ‖ **14** παρημένα A | ἐστὶν ἄπειρα] ἐπάπειρα AE ‖ **16** τὸ ὄνομα] ὀνόματος AE ‖ **20** συντεταγμένη A | ἢ σύντακτος (*sic*) AE ‖ **23** ἢ] ἡ AE ‖ **29** ἀναγκάζετο A ‖ **31** ἀναγκάζονται E

ῆς καὶ ἡ εἰς ος, οἷον φαρέτρα φαρέτρας ὁ εὐφαρέτρας, τέχνη τέχνης ὁ κλυτοτέχνης, γράμμα γράμματος ὁ φιλογράμματος· καὶ τοῦτο εἰκότως, ἐπειδὴ αὗται αἱ γενικαὶ ἔχουσι καταλήγουσαν ἁρμόζουσαν εὐθείᾳ· ἡ δὲ εἰς τὴν ου δίφθογγον γενικὴ οὐ συντίθεται κατὰ τὸ τέλος, ἐπειδὴ οὐκ ἔχει καταλήγουσαν ἁρμόζουσαν εὐθείᾳ· ὁμοίως δὲ οὔτε αἰτιατικὴ οὔτε δοτική· τὸ γὰρ ἀλλήλοις ⟨καὶ⟩ ἀλλήλους καὶ ἐμαυτῷ καὶ ἐμαυτόν συντεθέντα ἀπὸ δοτικῆς ⟨καὶ⟩ αἰτιατικῆς οὐκ ἀντίκειται ἡμῖν, ἐπεὶ ⟨οὐκ⟩ ἔχοντα εὐθεῖαν οὐ ποιοῦνται ἀναδρομὴν εἰς τὴν εὐθεῖαν. Τὸ γυναιμανής μέντοι ἐκ τοῦ γυναικομανής συνεκόπη· τὸ βακχέβακχος τροπῇ γέγονε τοῦ ο εἰς ε. — Πᾶν δὲ μέρος λόγου συντίθεται, δίχα ἄρθρου καὶ ἀντωνυμίας καὶ συνδέσμου· μόνον ὅτι ⟨ἐν⟩ ἄρθρῳ ἕν γέ ἐστι τὸ συντιθέμενον ἐν τῷ λέγειν ταὐτότης, καὶ ἐν ἀντωνυμίαις ἐν τρίτῳ προσώπῳ τὸ αὐτοδιάλεκτος· συνδέσμου δὲ οὐδὲ μίαν εὑρίσκομεν σύνθεσιν. Ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων εἰδῶν ἦν τινα μὲν φωνῇ μόνῃ καὶ οὐ σημαινομένῳ, οὕτω καὶ ἐπὶ τῶν συνθέτων· τὸ μὲν γὰρ μισάνθρωπος κυρίως σύνθετον, τὸ δὲ Ἀγαμέμνων καὶ Φίλιππος καὶ ἁπλῶς ὅσα ἐστὶν ἐν κυρίοις σύνθετα, φωνῇ ⟨μόνῃ⟩ καὶ οὐ σημασίᾳ τὴν σύνθεσιν ἀνεδέξατο.

Παρασύνθετα δέ φαμεν τὰ ἀπὸ συνθέτων εἰς ἓν τῶν προειρημένων ἑπτὰ εἰδῶν μεταπίπτον⟨τα⟩· παρασύνθετα δὲ λέγομεν, ἐπειδὴ ἀπὸ συνθέτων παρήχθη. Καὶ ἔστι παρασύνθετον τὸ ἀπὸ συνθέτου γενόμενον, μὴ μέντοι προσλαβὸν ἑτέραν λέξιν, οἷον Ἀγαμέμνων Ἀγαμεμνονίδης· ἐὰν δὲ προσλάβωσι καὶ ἑτέραν λέξιν, οὐκ εἰσὶ παρασύνθετα, ἀλλὰ σύνθετα μένουσιν, οἷον συνήγορος εὐσυνήγορος, κένταυρος ἱπποκένταυρος· γίνεται δὲ ⟨τὸ κένταυρος⟩ παρὰ τὸ κεντεῖν τὴν αὔραν, ἤ⟨γουν⟩ τὴν πνοὴν καὶ τὴν νεφέλην· τῇ γὰρ Ἥρᾳ, καθά φασιν, ὁ Ἰξίων συνεκοιμήθη νεφέλῃ ὁμοιωθείσῃ· ἀφ' ὧν κένταυρος, ὡς ἀλόγοις συνευνασθείς, κενταύρους ἔτεκεν.

Σχῆμα δὲ εἴρηται *etc.* = **Σ**[v] 229, 9—12 (τύπον).

Διαφοραὶ δὲ τέσσαρές εἰσι τῶν συνθέτων· πᾶν γὰρ διφυὲς συμπλεκόμενον ἑτέρῳ διφυεῖ τέσσαρα σχήματα ἀποτελεῖ, ὥσπερ ἐπὶ τῆς χειρός· τὸ μὲν γὰρ αὐτῆς λευκόν, τὸ δὲ μέλαν· ἥτις συμπλεκομένη τῇ ἑτέρᾳ χειρὶ ποιεῖ τέσσαρα σχήματα, τὸ μὲν ἐκ δύο λευκῶν, τὸ δὲ ἐκ δύο μελάνων, καὶ τὸ μὲν ἐκ μέλανος καὶ λευκοῦ, τὸ δὲ ἐκ λευκοῦ καὶ μέλανος· ὥσπερ καὶ ἐν τοῖς ποσὶν ἔστιν εὑρεῖν· δισύλλαβοι ⟨γὰρ⟩ πόδες δύο, σπονδεῖος καὶ πυρρίχιος· ἀλλ' ἐπειδὰν συμπλακῶσιν ἀλλήλοις καὶ σύγκρισιν ποιήσωνται, τίκτουσιν ἡμῖν ἄλλους δύο, τόν τε τροχαῖον καὶ τὸν

10—17 *cfr* **Σ**[m] *378, 31—379, 13*

6 ἀλλήλων ἀλλήλους A, ἀλλήλων ἀλλήλοις E ‖ **7** καὶ (*ante* αἰτ.)] ***trium litt. lac.*** A, *om* E ‖ **13** δὲ] γὰρ AE ‖ **20** Καὶ A, ἢ E | γινόμενον A, γινομένων E ‖ **21** προσλαβὼν AE ‖ **25** καθὰ φησὶν AE ‖ **26** ἀλόγοις] ἵπποις (*sic*) AE ***vide EtM 503, 54*** ‖ **29** τέσσαρές εἰσι] τέσσαρεις AE ‖ **30** ἑτέρω A, ἑτέρων E ‖ **35** συμπλακῶσιν] ἐπιπλακῶσιν AE

ἴαμβον· οὕτω δὲ καὶ αἱ λέξεις τῶν ὀνομάτων διφυεῖς οὖσαι κατὰ σύνθεσιν — ἢ γὰρ ἀτελεῖς ἢ τέλειαί εἰσιν — ἀλλήλαις συμπλεκόμεναι τέσσαρα σχήματα ποιοῦσιν.

Ἰστέον δὲ ὅτι τὸ σχῆμα ἐν ποσῷ καταγίνεται ἤτοι καταλαμβάνεται· ὅταν γὰρ ζητῶ, ποίου σχήματος ἥδε ἡ λέξις, τὸ ποσὸν αὐτῆς, οὐ τὸ ποιὸν ζητῶ.

Ἀριθμοὶ τρεῖς.] Ἀριθμός ἐστι χαρακτὴρ λέξεως δυνάμενος διάκρισιν ποσοῦ ἀναδέξασθαι, ἢ χαρακτὴρ σημαίνων ⟨ποσότητα⟩ μετὰ ἀκολουθίας. Ἰστέον δὲ ὅτι ὁ ἑνικὸς καὶ ὁ δυϊκὸς ὡρισμένοι εἰσίν, ὁ δὲ πληθυντικὸς ἀόριστος· ἐὰν γὰρ εἴπω φίλος, ἕνα δηλῶ, ἐὰν δὲ φίλω, δύο, ἐὰν δὲ φίλοι, οὐ μόνον τρεῖς, ἀλλὰ καὶ πολλούς. Διὰ τί δὲ ὥσπερ ἀπὸ τοῦ εἷς ἑνός γίνεται ἑνικός τροπῇ τοῦ ος εἰς ι καὶ πλεονασμῷ τῆς κος, καὶ ἀπὸ τοῦ δύο δυϊκός, οὐχὶ καὶ ἀπὸ τοῦ τρεῖς γίνεται τρεϊκός; Ἐπειδὴ ὁ τρεῖς ἀρχὴ πλήθους ἐστίν, τὸ δὲ πλῆθος οὐ τρεῖς σημαίνει μόνον, ἀλλὰ καὶ δ′ καὶ ε′ καὶ ι′ καὶ ρ′, τούτου χάριν ἐκ τῆς σημασίας ἔλαβε τὴν ὀνομασίαν· εἰ γὰρ γέγονε παρὰ τὸ τρεῖς τρεϊκός, οὐκ ἤμελλεν ἁρμόζειν τοῖς τρισὶν ἢ τοῖς τέσσαρσιν, ἀλλὰ τοῖς τρισὶ μόνοις.

⟨*Heliodori.*⟩ — Εἰσὶ δέ τινες ἑνικοὶ χαρακτῆρες.] Ὥσπερ ἐπὶ τῶν ῥημάτων εἰσὶ φωναὶ τοῖς σημαινομένοις ἐναντίαι — τὸ γὰρ ὀρχοῦμαι φωνῇ μέν ἐστι παθητικόν, σημαινομένῳ δὲ ἐνεργητικόν —, οὕτω καὶ ἐπὶ τῶν ὀνομάτων εἰσὶ φωναὶ ἐναντίαι τοῖς σημαινομένοις· τοῦ γὰρ δῆμος ὁ μὲν τύπος ἑνικός, τὸ δὲ σημαινόμενον πληθυντικόν· πῶς γὰρ ἂν συσταίη δῆμος ἄνευ πολλῶν; ὅθεν ἐπὶ τῶν τοιούτων ἐξόν ἐστι καὶ πρὸς τὰς φωνὰς καὶ πρὸς τὰ σημαινόμενα ὑπαντᾶν, οἷον «ὁ δῆμος ἐπολέμησεν» καὶ «ὁ δῆμος ἐπολέμησαν». Ὅθεν δεῖ εἰδέναι, ὡς δυνατὸν μέν ἐστι τῷ πληθυντικῷ [καὶ δυϊκῷ] χρήσασθαι ἀντὶ ἑνικοῦ καὶ δυϊκοῦ, οὐκέτι δὲ τῷ ἑνικῷ ἀντὶ δυϊκοῦ ἢ πληθυντικοῦ, οὔτε δὲ τῷ δυϊκῷ ἀντὶ ⟨ἑνικοῦ ἢ⟩ πληθυντικοῦ· ὡρισμένην γὰρ δυάδα ἔχει τὸ δυϊκόν, καὶ ὡρισμένην μονάδα τὸ ἑνικόν.

Ζητητέον δέ, εἰ ταῦτα ἐν τῷ ἑνικῷ ἀριθμῷ πληθυντικὴν σημασίαν ἔχουσι, διὰ τί λέγονται πληθυντικῶς, οἷον δῆμοι. Φαμὲν οὖν ὅτι διὰ τοῦτο λέγονται πληθυντικῶς, ἵνα τὴν ποσότητα τῶν συστημάτων δηλώσωσιν· ἐὰν γὰρ εἴπω δῆμος, ἓν σύστημα δηλῶ πολλῶν ἀνδρῶν περιεκτικόν, ἐὰν δὲ εἴπω δῆμοι, πολλὰ συστήματα δηλῶ. Ὅμηρος μέντοι ἀκριβὴς ὢν τὰ μὲν ἑνικὰ ἑνικῶς προηνέγκατο, ὡς τὸ ⟨Α 366⟩ ᾠχόμεθ᾽ ἐς

7—17 *cfr* Σ^m *380, 34—38 et 381, 22—29* ‖ 11—17 *cfr quae e cod. Barocc. 194 fol. 124ʳ dedit Cramer AO IV 215, 14—26* ‖ 18—29 *cfr* Σ^m *381, 30—382, 10* ‖ 18—546, 4 *videntur esse* Σ^h ‖ 34—546, 4 *cfr* Σ^m *382, 17—35*

7 δυναμένης σύγκρισιν AE ‖ 11 δὲ (*ante* φίλοι)] γὰρ E, *om* A | πολλούς] ἄλλους AE ‖ 13 τρειϊκὸς E ‖ 16 γέγονε AE, ἐγεγόνει *mavult RSchneider* | τρεῖς] τρία AE ‖ 21 τοῦ] τὸ AE ‖ 31 πληθυντικὰ οἷον δῆμος AE ‖ 33 ἓν] ἑνὸς AE ‖ 35 προσηνέγγατο A, προσηνέγκατο E | ἐς θήνην AE

Θήβην, τὰ δὲ ⟨δυϊκὰ⟩ δυϊκῶϲ, ὡϲ τὸ ⟨ubi? cfr. Ν 302 seq⟩ ἀμφοτέρω δ' ἄρα τώ γε. Διὰ τί δὲ τὸ ἀμφότεροι χαρακτῆρα πληθυντικὸν ἔχει; Ὅτι ὁμοίωϲ κλίνεται τῷ πληθυντικῷ· οἱ ἀμφότεροι γὰρ τῶν ἀμφοτέρων, ὡϲ οἱ πολλοὶ τῶν πολλῶν.

⟨*Heliodori.*⟩ — Πτώϲειϲ εἰϲὶν ὀνομάτων πέντε.] Πτώϲειϲ εἰϲὶ πέντε οὐ κυρίωϲ, ἀλλὰ καταχρηϲτικῶϲ· ἡ γὰρ εὐθεῖα οὐκ ἔϲτι κυρίωϲ πτῶϲιϲ, ἀλλὰ καταχρηϲτικῶϲ. Ὁ μέντοι Ἡρωδιανὸϲ καὶ Ἀπολλώνιοϲ λέγουϲιν, αὐτὴν κυρίωϲ καλεῖϲθαι πτῶϲιν· ἔϲτι γὰρ γενικὸν ὄνομα τὸ περιέχον πᾶϲαν λέξιν ὀνόματοϲ, ὥϲπερ καὶ ὁ γενικὸϲ ἄνθρωποϲ, καὶ ἀπὸ τοῦ γενικοῦ ὀνόματοϲ ἔπεϲεν εἰϲ ἐμέ, εἰϲ ϲέ, εἰϲ ἕκαϲτον πρᾶγμα· καὶ καθὸ ἔπεϲεν ἀπὸ τοῦ γενικοῦ ὀνόματοϲ, κατὰ τοῦτο πτῶϲιϲ, καθὸ δὲ ὀρθῶϲ ἔπεϲεν, ὡϲ ἐπὶ τῶν κύβων ὀρθῶϲ πιπτόντων, κατὰ τοῦτο καλεῖται ⟨ὀρθὴ καὶ εὐθεῖα⟩· ὀρθῶϲ γὰρ ϲημαίνει τὴν οὐϲίαν τοῦ πράγματοϲ, καὶ ϲυντάττεται τοῖϲ ὀρθοῖϲ ῥήμαϲι, τουτέϲτι τοῖϲ ἐνεργητικοῖϲ.

Οὐ δοκεῖ δὲ τοῖϲ θέλουϲιν ἀκριβῶϲ ἐξετάϲαι τὸ τῶν πτώϲεων, ὅτι ἡ εὐθεῖα κυρίωϲ καλεῖται πτῶϲιϲ· ἐὰν γὰρ οὕτωϲ δῶμεν, ὅτι ἀπὸ τοῦ γενικοῦ ὀνόματοϲ ἔπεϲεν, εὑρεθήϲεται τὰ ὀνόματα προϋποκείμενα τῶν οὐϲιῶν, ὅ ἐϲτιν ἄτοπον· ⟨ἔϲτι γὰρ ἄτοπον⟩ λέγειν τὰ ϲυμβεβηκότα προϋποκεῖϲθαι τῶν οὐϲιῶν· πρὸ τοῦ γὰρ ἐμὲ εἶναι τὸ ἐμὸν ὄνομα προϋπῆρχεν ἐν τῷ γενικῷ ὀνόματι κατὰ ταύτην τὴν δόξαν, ὅπερ ἀδύνατον. Εἶτα δὲ ἀπορεῖ ὁ Ῥωμανὸϲ οὕτωϲ· ἐὰν εἴπω ὅτι ἔϲτι γενικὸν ὄνομα καὶ ἐξ αὐτοῦ πίπτει ἕκαϲτον ὄνομα, δῶμεν καὶ γενικὸν εἶναι ῥῆμα, καὶ ἐκ τοῦ γενικοῦ ῥήματοϲ ἔπεϲε τὸ τύπτω, τὸ γράφω, τὸ ἀναγινώϲκω· ὤφειλον οὖν ⟨καὶ⟩ ἐν τοῖϲ ῥήμαϲιν εἶναι πτώϲειϲ καὶ ἐν τοῖϲ ἄλλοιϲ μέρεϲιν. Ταῦτα ἀπορήϲαϲ ἐπιλύεται λέγων, ὅτι ἔϲτι γενικὸν ῥῆμα, καὶ ἀπὸ τοῦ γενικοῦ ῥήματοϲ ἔπεϲε τὸ περιπατῶ, τὸ γράφω καὶ τὰ ὅμοια· ἀλλ' ἐπειδὴ ἔπεϲεν εἰϲ δεύτερον καὶ τρίτον πρόϲωπον, καὶ οὐκ εἰϲ γενικήν, δοτικήν, αἰτιατικήν, αἱ δὲ πτώϲειϲ τῶν πρόϲ τι, τὰ δὲ πρόϲ τι ϲυνεκλείπουϲι καὶ ϲυνευρίϲκονται, διὰ τοῦτο ἐν τοῖϲ ῥήμαϲι πτώϲειϲ οὐκ εἰϲίν. Πρὸϲ τοῦτον οὖν ἔϲτιν εἰπεῖν, ὅτι πρῶτον μὲν οὐκ εἰϲὶν αἱ πτώϲειϲ τῶν πρόϲ τι· εἶπε γὰρ ὅτι τὰ πρόϲ τι ϲυνεκλείπουϲι καὶ ϲυνευρίϲκονται· καὶ τοῦτο ἀληθέϲ, πατρὸϲ γὰρ ὄντοϲ ἔϲτι καὶ υἱόϲ, ⟨καὶ⟩ υἱοῦ ὄντοϲ ἔϲτι καὶ πατήρ· οὕτω γὰρ ἔχει παρ' Ὁμήρῳ, ⟨Β 259 seq⟩ μηκέτ' ἔπειτ' Ὀδυϲ[ϲ]ῆϊ κάρη ὤμοιϲιν ἐπείη· πρῶτον ἑαυτῷ καταρᾶται· μηδ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένοϲ εἴην· καὶ εὑρίϲκεται καταρώμενοϲ τῷ υἱῷ, μὴ ὄντοϲ γὰρ τοῦ Τηλεμάχου οὐδὲ πατὴρ

5—550, 23 *videntur esse* Σ^h

1 ἀμφο(-φω-Α)τέρω διάρατῶ γε ΑΕ ‖ **7** καὶ Ἀπολλ.] *cfr tamen infra p. 548, 2 seq* ‖ **9** περιέχον] ἐπέχον ΑΕ | λέξιν ΑΕ, ἕξιν *RSchneider* | ὁ Ε, τὸ Α ‖ **12** δὲ] καὶ ΑΕ | κύβων] κυρίων ΑΕ ‖ **20** κατὰ] καὶ ΑΕ ‖ **24** ὤφελον ΑΕ ‖ **27** ἀλλ'] καὶ ΑΕ ‖ **30** τοῦτον Α, τοῦτο Ε ‖ **35** μηδ' ἔτι] μηκέτι ΑΕ

ἂν κληθείη. Εὑρίσκομεν οὖν γενικήν, δοτικήν, αἰτιατικὴν τῶν ἄλλων μὴ ὄντων· τὸ γὰρ ἀλλήλων ἀλλήλοις οὐκ ἔχουσιν εὐθεῖαν οὔτε κλητικήν, ⟨καὶ⟩ τὸ τίς ποῖος πόσος πηλίκος ἄλλος ἕτερος οὐκ ἔχουσι κλητικὴν τοῦ σημαινομένου κωλύοντος, κατὰ τύχην δὲ εὑρίσκονται ἄλλαι πτώσεις ἐπιλείπουσαι, τῶν ἄλλων πτώσεων εὑρισκομένων ἐν τῇ χρήσει [καὶ ἔστιν ὅτε κατὰ τύχην ὅτε κατὰ λόγον]· πῶς οὖν λέγονται εἶναι τῶν πρός τι αἱ πτώσεις κατὰ τὴν αὐτοῦ δόξαν, μὴ ἀεὶ συνεκλείπουσαι καὶ συνευρισκόμεναι; Ἄλλως τε δὲ ⟨ἐὰν⟩ δῶμεν, ὅτι τῶν πρός τι εἰσὶν ⟨αἱ⟩ πτώσεις, ἡ ὀρθή, γενική, δοτική, αἰτιατική, κλητική, καὶ ἀπὸ τοῦ γενικοῦ ῥήματος ἔπεσε τὸ τύπτω γράφω, διὰ τί μὴ καλοῦνται πτώσεις ῥημάτων ἢ πτώσεις προσώπων; ὥστε οὐκ ἔρρωται οὗτος ὁ λόγος. Εἶτα δὲ καὶ ἄλλαι ἀπορίαι λέγονται τοιαῦται· ἐὰν εἴπωμεν ὅτι ἀπὸ τοῦ γενικοῦ ὀνόματος ἔπεσε τὸ Σωκράτης Πλάτων Δίων λίθος, συνάγονται πλείονες αἱ πτώσεις, καὶ οὐ πέντε· ἔπεσε γὰρ πρῶτον εἰς τὸν ἡμέτερον νοῦν· ἡμεῖς γὰρ ἐπιτίθεμεν τὰς ὀνομασίας, ὡς ἐπὶ τοῦ ⟨τ 406 seq⟩ γαμβρὸς ἐμὸς θύγατέρ τε, τίθεσθ᾽ ὄνομ᾽ ὅττι κεν εἴπω· Πολλοῖσι⟨ν⟩ γὰρ ἔγωγε ὀδυσσάμενος τόδ᾽ ἱκάνω, ⟨τ 409⟩ τῷ δ᾽ Ὀδυσ[σ]εὺς ⟨ὄνομ᾽⟩ ἔστω ἐπώνυμον· ὡς εἴρηται οὖν, ἔπεσεν ἀπὸ τοῦ γενικοῦ ὀνόματος εἰς τὸν ἡμέτερον νοῦν, καὶ ἀπὸ τοῦ ἡμετέρου νοὸς εἰς τὸν ὀνομαζόμενον, τουτέστιν ἔχομεν τὴν εὐθεῖαν — ἰδοὺ β′ πτώσεις — καὶ ἀπὸ τῆς εὐθείας εἰς τὰς ἑξῆς, καὶ ἰδοὺ ἑξάπτωτα ὤφειλον εἶναι τὰ ὀνόματα. Τοῦτο δὲ τὸ ἐπιχείρημα τὸ ἀποδεικνύον, ὅτι ἓξ πτώσεις ὤφειλον εἶναι, τοῦ Ἀστυάγους ἐστίν.

Ὁ δὲ Φιλόπονος προστίθησι καὶ ἄλλας ἐπιχειρήσεις, ὅτι ἑπτὰ πτώσεις ὤφειλον εἶναι· ἐὰν γὰρ ὑποθώμεθα, ὅτι ἀπὸ τοῦ γενικοῦ ὀνόματος ἔπεσεν, ἔστιν ἕτερόν τι ὄνομα γενικώτατον τούτου τοῦ γενικοῦ, τὸ κατὰ πάντων τῶν μερῶν τοῦ λόγου θεωρούμενον· λέγονται γὰρ ὀνόματα πάντα τὰ μέρη τοῦ λόγου· ὥστε οὖν ἀπ᾽ ἐκείνου τοῦ ὀνόματος τοῦ γενικωτάτου συμβαίνει πεσεῖν πρῶτον εἰς τὸ γενικὸν ὄνομα τὸ δευτέραν ἔχον τάξιν, τὸ ἰδιάζον κατὰ πάντων τῶν ὀνομάτων, καὶ ἐξ ἐκείνου τοῦ ὀνόματος πίπτει εἰς τὸν ἡμέτερον νοῦν, καὶ ἀπὸ τοῦ ἡμετέρου νοῦ πίπτει εἰς τὴν εὐθεῖαν καὶ λοιπὸν εἰς γενικὴν καὶ ἑξῆς. Καὶ ἐὰν τοῦτο ὑποθώμεθα, οὐ μόνον εἰς τὸ ὄνομα τὸ ἰδιάζον ἀπὸ τοῦ γενικωτάτου ὀνόματος ὤφειλε πεσεῖν, ἀλλὰ καὶ εἰς τὰ ἄλλα μέρη τοῦ λόγου τὰ κοινῶς καλούμενα ὀνόματα, ⟨καὶ ἐν πᾶσι τοῖς μέρεσι τοῦ λόγου⟩ ὤφειλον εἶναι πτώσεις· καὶ τὸ κάτω καὶ ἄνω λεγόμενον ἄτοπόν τι συνέβαινε, τὸ λέγειν τὰ ὀνόματα, τουτέστι τὰ συμβεβηκότα, ὅτι προτερεύουσι τῶν οὐσιῶν. Εἶτα δὲ καὶ ἐκ τοῦ ἄλλου κανόνος, ὅτι αἱ προθέσεις μετὰ τῶν ἀπτώτων ἐν συνθέσει εἰσί, μετὰ δὲ τῶν πτώσεων ἐν

1 οὖν] ἂν AE ‖ 4 κατὰ] τὴν AE ‖ 10 ῥήματος] ὀνόματος AE ‖ 12 εἴπωμεν E, εἴποιμεν A ‖ 17 ἔγωγ᾽ ὀδυσσάμενος τὸ δι᾽ ἢ κ̄ AE ‖ 20 ἔχομεν] ἔχ A, ἐχ E (*sic*) ‖ 25 ὤφελον A ‖ 28 λόγου] γενικοῦ AE ‖ 30 ἔχον] ἔχειν A, ἔχει E ‖ 36 ὤφειλεν A, ὤφειλε E | ἄνω καὶ κάτω E

παραθέσει· μετὰ δὲ τῶν εὐθειῶν ἐν συνθέσει εἰσίν· δῆλον οὖν ὅτι ἡ εὐθεῖα οὐκ ἔστι πτῶσις ἐκ τοῦ ἔχειν τὰς προθέσεις ἐν συνθέσει. 329, 34 Ἀπολλώνιος δὲ ἐν τῷ περὶ πτώσεών φησιν, ὅτι οὐ κυρίως καλεῖται ἡ εὐθεῖα πτῶσις, ἀλλὰ καταχρηστικῶς· καὶ ταύτῃ ἀκολουθοῦσι καὶ οἱ ἀπὸ διαιρέσεως τοῦ Φιλοπόνου.

Λέγεται δὲ ἡ ὀρθὴ ὀνομαστικὴ καὶ εὐθεῖα, ἐπειδὴ δι' αὐτῆς ποιούμεθα τὰς ὀνομασίας, καὶ ὅτι ὀρθῶς σημαίνει τὴν οὐσίαν τοῦ πράγματος· ἡ δὲ γενικὴ κτητική τε καὶ πατρική, ἐπειδὴ δι' αὐτῆς ποιούμεθα τὰ γένη καὶ τὰ κτήματα καὶ τοὺς πατέρας· ἡ δὲ δοτικὴ ἐπισταλτική, ἐπειδὴ δι' αὐτῆς ποιούμεθα τὰς δόσεις καὶ τὰς ἐπιστάλσεις, «Ἀριστάρχῳ δίδωμι, Ἀριστάρχῳ ἐπιστέλλω»· ἡ δὲ αἰτιατικὴ αἰτίαν σημαίνει, «διὰ τὸν Ἀρίσταρχον ἐτιμήθην, διὰ τὸν Ἀρίσταρχον ὑβρίσθην»· ἡ δὲ κλητικὴ προσαγορευτικὴ παρὰ ⟨τὸ⟩ καλεῖν καὶ προσαγορεύειν.

Περὶ δὲ τῆς τάξεως ἔστι τοῦτο εἰπεῖν, ὅτι τινὲς ἐνόμισαν τὴν κλητικὴν πρώτην, ἐπεὶ δευτέρου ἐστὶ προσώπου, αἱ δὲ ἄλλαι τρίτου, τὰ δὲ δεύτερα προτερεύουσι τῶν τρίτων· οὐκοῦν προτερεύει ἡ κλητική. Ἀλλ' ἔστιν εἰπεῖν, ὅτι οὐκ ἦν δυνατὸν καλέσαι τὸν ἔτι ἀγνοούμενον· αἱ δὲ ὀνομασίαι διὰ τῆς εὐθείας γίνονται· πῶς οὖν δυνάμεθα καλέσαι τὸν μήπω ἡμῖν γνωσθέντα πῶς ὀνομάζεται; δικαίως οὖν ἡ εὐθεῖα πρώτη ἐστίν. Καὶ ἐπειδὴ τοῦ αὐτοῦ σχήματός εἰσιν αἱ λοιπαὶ πτώσεις τῷ τῆς εὐθείας, τουτέστι τρίτου προσώπου, διὰ τοῦτο σὺν τῇ εὐθείᾳ προτερεύουσι τῆς κλητικῆς. Εἶτα τοῦ πρώτου καὶ δευτέρου καὶ τρίτου ⟨προσώπου⟩ εἰσίν, ἐγὼ Ἀρίσταρχος, σὺ Ἀρίσταρχος, ⟨ἐκεῖνος Ἀρίσταρχος⟩, ἐμοῦ Ἀριστάρχου, σοῦ Ἀριστάρχου, ἐκείνου Ἀριστάρχου, ἐμοὶ Ἀριστάρχῳ, ⟨σοὶ Ἀριστάρχῳ⟩, ἐκείνῳ Ἀριστάρχῳ, ἐμὲ Ἀρίσταρχον, σὲ Ἀρίσταρχον, ἐκεῖνον Ἀρίσταρχον, ἡ δὲ κλητικὴ μόνου δευτέρου προσώπου ἐστίν, ⟨καὶ διὰ τοῦτο⟩ εἰκότως τελευταία τέτακται. Ἡ δὲ εὐθεῖα προτέτακται τῆς γενικῆς καὶ τῶν ἄλλων οὐ μόνον ὅτι δι' αὐτῆς ποιούμεθα τὰς ὀνομασίας, ἀλλ' ὅτι καὶ ὀρθῶς σημαίνει τὴν οὐσίαν τοῦ πράγματος, ἡ δὲ γενική, δοτική, αἰτιατικὴ οὐκ ὀρθῶς, ἀλλ' ἐκ πλαγίου· ἢ γὰρ ἕνεκεν κτήματος παραλαμβάνονται, ⟨ἀγρὸς τίνος; Ἀριστάρχου· ἢ ἕνεκεν πράγματος παραλαμβάνονται⟩, ἤκουσα τίνος; Ἀριστάρχου· ἠκροασάμην τίνος; Ἀριστάρχου· ἔδωκα τίνι; Ἀριστάρχῳ· ὕβρισα τίνα; Ἀρίσταρχον.

Ἡ δὲ γενικὴ προτάσσεται τῶν ἄλλων κατὰ ταύτας τὰς αἰτίας· τὰ ἐνεργητικὰ ῥήματα καλοῦνται δραστικά, καλοῦνται καὶ ὀρθά, προ[σ]ερχόμενα δὲ εἰς πάθη καλοῦνται καὶ παθητικὰ καὶ ὕπτια, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν ὀρθῶν ⟨ἢ⟩ ὑπτίων καλουμένων· τὰ δὲ εἰς παθητικὰ

---

5 διαιρέσεως AE, αἱρέσεως *RSchneider coll. AO II 286, 1 et ipsius Bodlei. p. 29* ‖ **8** κτητική τε *Choerob. in CGG IV 1, p. 111, 15,* κτητικὴ ἣ AE | ποιοῦμεν AE ‖ **15** δεύτερα] δευτέρου AE ‖ **16** προτερεύουσι *Choerob.*, πρὸ AE ‖ **17** ἔτι] ἤδη AE ‖ **20** τῷ] τοῦ AE ‖ **22** τὸ ᾱ καὶ β̄ καὶ γ̄ εἰσὶν AE ‖ **24** ἐμοῦ — ἐκ. Ἀριστάρχῳ (**25**)] ἐμοὶ ἀριστάρχω, σὺ ἀρίσταρχον (σοὶ ἀριστάρχω E), ἐκείνω ἀριστάρχω, ἐμὲ ἀρίσταρχον, ἐκείνω ἀριστάρχω (ἐκεῖνον ἀρίσταρχον A²E) AE

προερχόμενα ἐνεργητικὰ γενικῇ ςυντάςςονται μετὰ τῆς ὑπό προθέςεως, τύπτω, τύπτομαι ὑπὸ coῦ· εὐλόγως οὖν ἡ γενικὴ ⟨δευτέραν⟩ τῆς εὐθείας ἔχει τὴν τάξιν· καὶ ὅτι πολλάκις αἱ γενικαὶ μετάγονται εἰς εὐθείας, ὁ φύλαξ τοῦ φύλακος ὁ φύλακος· καὶ ὅτι πολλάκις ἡ εὐθεῖα ἀναλύεται εἰς γενικήν, ὡς ἐπὶ τῶν πατρωνυμικῶν· ἐὰν γὰρ εἴπω Πριαμίδης, δείκνυται ὁ υἱὸς τοῦ Πριάμου· καὶ ὅτι ἡ γενικὴ ⟨δύο ςυντάξεις⟩ δέχεται, πρὸς πρᾶγμα καὶ πρὸς κτῆμα, [δὲ] πρὸς πρᾶγμα ⟨μέν⟩, «Ἀριστάρχου ἤκουςα», πρὸς κτῆμα δέ, «Ἀριστάρχου ἀγρός»· λέγεται γὰρ καὶ κτητική· ἡ δὲ δοτικὴ ⟨καὶ⟩ αἰτιατικὴ τὴν μίαν ςύνταξιν ἐπιδέχονται τὴν πρὸς πρᾶγμα.

«Ἡ δὲ δοτικὴ μετὰ τὴν γενικήν, ἐπειδὴ καὶ αὐτὴ καταχρηςτικῶς ἀντὶ γενικῆς παραλαμβάνεται πρὸς κτῆμα, ⟨Ξ 459⟩ Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν, ἀντὶ τοῦ Αἴαντος θυμόν, ⟨Α 74⟩ Διὶ φίλε, ἀντὶ τοῦ φίλε τοῦ Διός· ἡ δὲ αἰτιατικὴ οὐ παραλαμβάνεται ἀντὶ γενικῆς πρὸς κτῆμα». Ἀλλ' ἔςτι πρὸς τοῦτο ἀντειπεῖν, ὅτι καὶ ἡ αἰτιατικὴ εὑρίςκεται ἀντὶ γενικῆς πρὸς κτῆμα, ⟨Ω 58⟩ Ἕκτωρ μὲν θνητός τε γυναῖκά τε θήςατο μαζόν, ἀντὶ ⟨τοῦ⟩ γυναικὸς μαζόν, ⟨Ε 461⟩ Τρῶας δὲ ςτίχας οὖλος Ἄρης, ἀντὶ τοῦ τὰς ςτίχας τῶν Τρώων· τινὲς μέντοι Τρῳὰς γράφουςιν ἀντὶ τοῦ Τρωϊκάς· εἰ οὖν εὑρίςκομεν καὶ τὴν αἰτιατικήν, εἰ καὶ μὴ κατὰ πλάτος, ὡς τὴν δοτικήν, ἀντὶ γενικῆς παραλαμβανομένην πρὸς κτῆμα, ςυνάγεται μὴ εἶναι ἀναγκαίαν τὴν αἰτίαν ταύτην. Ἔςτι δ' ἀκριβεςτέρα ἀπολογία αὕτη· αἱ ςχέςεις αἱ τοπικαὶ τρεῖς εἰςιν, ἡ ἐκ τόπου, ἡ ἐν τόπῳ, ἡ εἰς τόπον· καὶ ἡ μὲν ἐκ τόπου τῆς γενικῆς ἰδία, ἡ δ' ἐν τόπῳ τῆς δοτικῆς, ἡ δ' εἰς τόπον τῆς αἰτιατικῆς· ἔχομεν δὲ ὅτι πᾶν κινούμενον περί τι ἀκίνητον θέλει κινεῖςθαι, καὶ ὀρχηςτὴς εἰ μὴ πήξῃ τὸν πόδα [ἀντὶ] ἐπάνω τῆς γῆς ἀκινήτου οὔςης, οὐ δύναται ςτρέφεςθαι, καὶ ὁ κινούμενος ἀπὸ τόπου εἰς τόπον δῆλον ὅτι πρῶτον γίνεται ἐν αὐτῷ καὶ οὕτως ἔρχεται εἰς τόπον· καὶ ἔοικεν ἔχειν ὁμοιότητα ἡ γενικὴ καὶ δοτικὴ τῇ γῇ τῇ ἀκινήτῳ, καὶ ἡ ἐκ τόπου ςχέςις ἡ ἀπὸ γενικῆς εἰς τόπον γινομένη, τουτέςτιν εἰς αἰτιατικήν, διὰ μέςου χωρεῖν τῆς δοτικῆς τῆς δηλούςης τὴν ἐν τόπῳ· διὰ τοῦτο προτέτακται ἡ δοτικὴ τῆς αἰτιατικῆς.

Διὰ τί δὲ ἐν τοῖς ὀνόμαςι λέγομεν κλίςιν καὶ πτῶςιν, ἐν δὲ τοῖς ῥήμαςι κλίςιν μόνην; ...Ἐπειδὴ δὲ εἴπομεν ὅτι ἡ εὐθεῖα τρίτου προςώπου ἐςτί, ζητοῦμεν καὶ διὰ τί τρίτου προςώπου ἐςτίν. Καί φαμεν ὅτι τὰ νεωςτὶ τικτόμενα τῶν παιδίων οὐκ ἔςτιν ἱκανὰ ἐπιθεῖναι ἑαυτοῖς ὀνόματα, ὅπερ ἐςτὶν ἴδιον πρώτου προςώπου — πρῶτον γάρ ἐςτι πρόςωπον ἀφ' οὗ ὁ λόγος περὶ αὐτοῦ τοῦ προςφωνοῦντος —, ἀλλὰ περὶ

---

1 γενικῇ] γενικοὶ A, γενικοῖς E ‖ 3 τάξιν A, ςύνταξιν E ‖ 5 πατρωνυμικῶν] παραγώγων AE ‖ 6 ὅτι ἡ γενικὴ] ἀπεξεῖς (*ut videtur*) A, ἀ ... ξῆς E ‖ 8 καὶ κτητική] εἶναι κτητικὸν AE ‖ 13 ὤρινεν AE ‖ 18 οὖλος Ἄρης] οὐ λό ἄρτι (*sic*) AE ‖ 23 ἡ — ἡ — ἡ] ἢ — ἢ — ἢ AE ‖ 29 τῇ γῇ τῇ ἀκιν. *om* E ¦ ἡ (*ante* ἐκ) *om* A ‖ 34 *patet satis multa intercidisse* ‖ 38 τοῦ προςφωνουμένου AE

αὐτῶν ἀποφαινόμεθα μήτε προσφωνούντων μήτε προσφωνουμένων, ὅπερ ἐστὶν ἴδιον τρίτου προσώπου, καὶ διὰ τοῦτο λέγονται εἶναι τρίτου προσώπου τὰ ὀνόματα. Πολλάκις δὲ γίνεται καὶ πρώτου καὶ δευτέρου προσώπου, ὅταν συντάττωνται μετὰ τῶν ἀντωνυμιῶν ἢ μετὰ ὑπαρκτικοῦ ῥήματος, ἢ ὀνομαστικῆς ἢ κελευστικῆς. Διὰ ταύτην τὴν αἰτίαν καὶ ἐν ταῖς ἐπισταλτικαῖς συντάξεσιν οὐ δεῖ γράφειν «τῷ δεσπότῃ μου» ἢ «τῷ ἐμῷ δεσπότῃ»· καὶ καθόλου πρῶτον πρόσωπον ἢ δεύτερον οὐκ ἐπιδέχεται αὕτη ἡ σύνταξις ἡ ἐπισταλτική, ἐπειδὴ ⟨οὕτως⟩ εὑρίσκεται σολοικισμός· τὰ γὰρ ὀνόματα τρίτου προσώπου ὄντα εὑρίσκεται συνταττόμενα μετὰ πρώτου ἢ δευτέρου προσώπου, ὅπερ ἐστὶν ἀσύντακτον. Ἀλλ᾽ ἴσως τις λέγει, ὅτι κατὰ συνυπακοήν ἐστι τὸ ἐγώ καὶ τὸ σοί, οἷον «ἐγὼ Γεώργιος σοὶ τῷ Ἀριστάρχῳ, σοὶ τῷ γραμματικῷ», καὶ οὐ σολοικίζεται· ἔχομεν γὰρ ὅτι γίνεται τὰ ὀνόματα μετὰ τῶν ἀντωνυμιῶν καὶ πρώτου καὶ δευτέρου προσώπου ὁμοιοπτώτως συνταττόμενα. Ἔστι δὲ πρὸς τοῦτο εἰπεῖν, ὅτι οὐ δύναται συνυπακούεσθαι, ἀλλ᾽ οὐδὲ γράφεσθαι τὸ ἐγώ ἢ τὸ σοί, ἐπειδὴ αἱ ἀντωνυμίαι τοῦ πρώτου ⟨καὶ τοῦ δευτέρου⟩ προσώπου δεικτικαί εἰσιν, ἡ δὲ δεῖξις παρόντος ἐστὶ προσώπου δεῖξις, ὁ δὲ ἐπιστέλλων πρὸς τὸν δεχόμενον τὴν ἐπιστολὴν ἄπεστιν· πῶς οὖν δυνατὸν δεικτικὴν παραλαμβάνειν ἀντωνυμίαν ἀπόντα πρὸς ἀπόντα; Διὰ τοῦτο οὖν ἡ πρώτη γνῶσις τῆς ἐπισταλτικῆς συντάξεως οὐ δύναται διὰ τῶν ἀντωνυμιῶν γίνεσθαι ἢ πρώτου ἢ δευτέρου προσώπου, ἀλλὰ γινομένης τῆς γνώσεως διὰ τοῦ τρίτου προσώπου λοιπὸν ἀκολούθως γίνεται τὰ τῆς ἐπιστολῆς.

Πτῶσίς ἐστιν ὀνόματος ἢ ὀνοματικοῦ τινος κατὰ τὸ τέλος γινομένη κλίσις. Ἡ δὲ εὐθεῖα καλεῖται πτῶσις, καθὸ μεταπίπτει εἰς τὰς λοιπὰς πτώσεις, ἢ καθὸ ἀπὸ τοῦ γενικοῦ μεταπίπτει εἰς τὸ εἰδικόν, ἤγουν ὅτι ἐπιπίπτει τοῖς σώμασι· κατὰ τοῦτο δὲ ὀρθὴ ⟨καὶ⟩ εὐθεῖα, διότι ὀρθὸν καὶ εὐθύτατον τὸν λόγον ἀποτελεῖ· ἐὰν γὰρ εἴπω «Ἀρίσταρχος ἀνέγνω», ὑγιὴς ὁ λόγος, ἐὰν δὲ εἴπω «Ἀριστάρχου ἀναγινώσκοντος», ἀτελής· εἰ δὲ ἐπάξω τὸ «ἤκουσα», πάλιν τέλειος· εὐθεῖαν γὰρ ἐπήγαγον, πᾶν γὰρ ῥῆμα εὐθεῖαν ἐν ἑαυτῷ περιέχει. Καὶ ὥσπερ σύνδεσμος καλεῖται διαζευκτικός, καίτοι γε ἐναντίως ἔχων — ἐναντίον γὰρ τῷ διαζευγνύναι τὸ συνδεῖν —, ἀλλ᾽ ἐπειδὴ συνδεῖ μὲν τὸν λόγον, διαζευγνύει δὲ καὶ διΐστησι τὴν διάνοιαν, κατὰ τοῦτο σύνδεσμος διαζευκτικὸς λέγεται· ἰδοὺ γὰρ ἐὰν εἴπω ⟨ex. gr. β 132⟩ ζώει ὅ γ᾽ ἢ τέθνηκε, διαζευκτικὸν μὲν λέγω τὸ ἤ, καθὸ διέζευξα τὴν διάνοιαν καὶ πρὸς ἑαυτὴν ἐναντίαν κατέστησα,

24—551, 3 *cfr Σ*[m] *383, 9—22*

3 ***post*** δευτέρου ***add*** καὶ τρίτου A ‖ **5** ἐν ταῖς] αὐταῖς AE ‖ **7** πρώτου προσώπου ἢ δευτέρου AE ‖ **11** ἐστι] ἔστω AE | οἷον] οἷ AE ‖ **19** ἀπόντος πρὸς ἀπόντα AE ‖ **21** ἢ δευτ.] καὶ δευτ. AE ‖ **25** κλίσις γινομένη A ‖ **26** ἑνικοῦ μεταπ. εἰς τὸ δυϊκόν AE ‖ **32** ἔχον AE ‖ **35** ὅ γ᾽] ὃν *sive* ὅγ A, ὃν E

καὶ cύνδεcμον, καθὸ τὸν λόγον cυνέδηcα· οὐ γὰρ τὸ «ζώει ὅ γ' ἦ» τέλειον ἀπαρτίζει τὸ νόημα, ἀλλὰ δεῖται τῆc τοῦ «τέθνηκεν» ἐπαγωγῆc· οὕτω καὶ ταύτην ⟨πτῶcιν⟩ ὀρθήν φαμεν καὶ εὐθεῖαν.

Λέγεται δὲ ἡ γενικὴ κτητικὴ καὶ πατρική, ὅτι γένεcίc ἐcτι ταῖc ἄλλαιc πτώcεcι καὶ τῶν λοιπῶν πλαγίων μήτηρ.

Ἰcτέον δὲ ὅτι καὶ ἡ κλητικὴ λόγον cυνίcτηcιν, ὥcπερ ἡ εὐθεῖα, «ἀναγίνωcκε ἄνθρωπε»· δυνάμει οὖν καὶ αὕτη εὐθεῖα· ἀλλ' ὀνομαcτικῆc ⟨μὲν ἴδιον τὸ τρίτον πρόcωπον, ἡ δὲ κλητικὴ πρὸc δεύτερον· οὐκ ἄρα εὐθεῖα.

Πτῶcιc δέ ἐcτι πτωτικῆc⟩ λέξεωc μεταcχηματιcμὸc τῆc τελευταίαc cυλλαβῆc ἄλλοτε ἄλλωc τρεπομένηc. Ἰcτέον δὲ ὡc τῶν cημαινομένων, οὐ τῶν φωνῶν εἰcιν αἱ πέντε πτώcειc, ἐπεί τοι τοῦ Ἀτρείδηc πλείουc τῶν πέντε ἔcονται πτώcειc· Ἀτρείδου γὰρ ⟨ἡ γενικὴ⟩ καὶ Ἀτρείδεω καὶ Ἀτρείδαο καὶ Ἀτρείδα.

Τῶν δὲ ὀνομάτων τὰ μὲν μονόπτωτα, τὰ δὲ δίπτωτα, τὰ δὲ τρίπτωτα, τὰ δὲ τετράπτωτα, τὰ δὲ πεντάπτωτα.

Λέγεται ἡ αἰτιατικὴ κατ' αἰτίαν, ἐπεὶ αἰτούμενοί τι λαβεῖν ἢ αἰτιώμενοι ταύτην προφερόμεθα, ὡc ἂν εἴποιc «αἰτοῦμαί cε δοῦναί μοι βιβλίον»· τὸ γὰρ cέ καὶ τὸ βιβλίον αἰτιατική· καὶ πάλιν «αἰτιῶμαι Ἀρίcταρχον».

⟨*Heliodori.*⟩ — Ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα.] Ὥcπερ τῷ ζῴῳ τῷ γενικῷ ὑπόκειται εἴδη, οἷον ἄνθρωποc ἵπποc βοῦc, οὕτω καὶ τῷ ὀνόματι ὑπόκειται εἴδη, οὐ τῷ ἀρcενικῷ ἢ θηλυκῷ ἢ οὐδετέρῳ ἢ πρωτοτύπῳ ἢ παραγώγῳ ἢ τοῖc ἑξῆc, ἀλλὰ τῷ καθόλου καὶ γενικῷ· ἃ μὲν γὰρ ὑπετάττετο τοῖc παραγώγοιc, εἴρηται· τὰ δὲ νῦν οὔτε ἰδίωc τῷ πρωτοτύπῳ οὔτε τῷ παραγώγῳ ὑποβέβληται, ἀλλὰ κοινῶc τῷ ὀνόματι· ἔcτι γὰρ τὸ κύριον ἰδεῖν πολλάκιc ἐκ πρωτοτύπου ῥηθημένον, οἷον Ἕκτωρ, καὶ ἐκ παραγώγου, οἷον Ἀριcτείδηc. Διὰ τί δὲ εἶπεν «ἃ καὶ αὐτά»; ἐπειδὴ καὶ ἕτερα εἴδη τὰ τῶν παραγώγων προεξέθετο. Εἰcὶ δὲ εἴδη τμήcειc ὡc εἰπεῖν τοῦ ὀνόματοc· τὸ γὰρ ὄνομα γενικόν ἐcτι κατὰ τῶν εἰδῶν τούτων, ἐξ αὐτῶν cυνεcτὼc καὶ εἰc αὐτὰ διαιρούμενον· ὃν γὰρ λόγον ἔχει τὰ μέρη πρὸc τὸ ὅλον, τοῦτον καὶ τὰ εἴδη πρὸc τὸ γενικόν· οὔτε δὲ τὰ μέρη εἴδη ἄν τιc ὀρθῶc εἴποι, οὔτε τὰ εἴδη μέρη, ἀλλὰ μέροc μὲν ἐπὶ τοῦ ὅλου, εἶδοc δὲ ἐπὶ τοῦ γενικοῦ. Τὸ δὲ εἶδοc cημαίνει τρία· τὴν μορφήν, οἷον ⟨ex. gr. Ζ 152⟩ εἶδόc τε μέγεθόc

---

6—20 *cfr* Σ^v *230, 30—33; 22 seq; 230, 34—231, 1; 232, 3—7* ‖ **21—552, 6** *cfr* Σ^m *385, 1—22; videntur esse* Σ^h

1 cυνέδηcα] cυνέcτηcα AE | ὅγ' ἢ A, ὃν γ' ἢ E ‖ **13** Ἀτρείδου] ἀτρείδηc AE ‖ **16** πεντάπτωτα] ἑτερόπτωτα AE ‖ **17** κατ' αἰτίαν] κατὰ αἰτιατικὴν AE ‖ **18** μοι] με AE ‖ **19** αἰτιῶμαι] αἰτοῦμαι AE ‖ **24** τῷ κ. E, τὸ κ. A ‖ **27** ἰδεῖν A, ἴδιον E | ῥηθημένον] ἠνομένον A, ἡνώμενον E ‖ **32** πρὸc τὸν ὅλον AE

τε, σχῆμα, οἷον [τὸ πρόσωπον] ⟨Eurip. Aeol. fr. 15, 3 N²⟩ πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος, καὶ τὸ ὑπὸ τὸ γένος διαιρούμενον. Ὁρᾶται δὲ τὸ εἶδος περὶ φωνὴν καὶ περὶ σημασίαν· καὶ ὥσπερ τὸ περὶ φωνὴν εἶυος εἰς δύο διεῖλεν, εἰς πρωτότυπον καὶ παράγωγον, εἶτα ἐπιδιεῖλεν εἰς τὰ ἑπτὰ εἴδη, οὕτω καὶ τὸ περὶ σημασίαν ⟨εἶδος⟩ διαιρεῖ εἰς κύριον καὶ προσηγορικόν, εἶτα ἐπιδιαιρεῖ εἰς τὰ ἑξῆς εἴδη.

⟨*Heliodori.*⟩ — Κύριον μὲν οὖν ἐστι.] Ἔστι, φησίν, εἶδος κύριον ὀνομαζόμενον, ὅτι μιᾶς ὑπάρξεως καὶ οὐσίας κυριεύει καὶ αὐτὴν μόνην δηλοῖ, ἢ ὅτι κυρίως καὶ βεβαίως τὴν οὐσίαν καὶ τὴν ὕπαρξιν ἐκείνην ἰδίαν ἐποιήσατο, ἣν μόνην δηλοῖ, οἷον Ὅμηρος Σωκράτης. Διαφέρει δὲ κύριον τοῦ ἰδίου, ὅτι τὸ μὲν κύριον ὄνομά ἐστι καὶ ἴδιον, τὸ δὲ ἴδιον οὐ κύριον· καὶ τὸ μὲν κύριον ὄνομά ἐστι καὶ ἴδιον, ὡς τὸ Αἴας, τὸ δὲ ἴδιον, ὡς ⟨τὸ⟩ γελαστικὸν ἐν ἀνθρώπῳ, οὐ κύριον, ἀντιδιαστέλλεται δὲ τὸ γελαστικὸν τῷ κοινῷ· ἀντίκειται γὰρ τῷ ἰδίῳ τὸ κοινόν. Τὸ μὲν κύριον ἴδιον, τὸ δὲ προσηγορικὸν κοινόν· πᾶν δὲ ὄνομα ὑπὸ τὰ δύο εἴδη ἐστὶ τὰ πρῶτα, φημὶ κύριον καὶ προσηγορικόν, μετὰ δὲ τοῦ εἶναι κύριον ἢ προσηγορικὸν καὶ ἑτέρῳ συμβαίνει σημαινομένῳ κατέχεσθαι, οἷον ἐπιθέτῳ καὶ ἑξῆς.

Ἰστέον δὲ ὅτι τὰ κύρια μονογενῆ ἐστιν, ἢ ἀρσενικὰ μόνως ἢ θηλυκά· τῶν δὲ προσηγορικῶν ὅσα μέν ἐστι ζῴων σημαντικὰ ὡς ἐπὶ τὸ πλεῖστον κοινὰ τῷ γένει καθέστηκε, τινὰ δὲ ἐπίκοινα.

Ζητοῦσι δέ τινες, διὰ τί μὴ προέταξε *etc.* = Σ^{m} 386, 3—9.

Ζητοῦσι δὲ καὶ τίνι διαφέρει *etc.* = Σ^{v} 232, 30—233, 6.

⟨*Heliodori.*⟩ — Ἐπίθετόν ἐστι τὸ ἐπὶ κυρίων.] Ἐπίθετόν ἐστιν ὃ καθ᾿ αὑτὸ οὐ δύναται λεχθῆναι, εἰ μὴ ἐπιτεθῇ ἑτέρῳ ὀνόματι· ὥσπερ καὶ τὰ ἐπιρρήματα, ἐπεὶ καὶ αὐτὰ δίχα ῥημάτων οὐ συνίσταται· ἐὰν γὰρ εἴπω «καλῶς», οὐδὲν σημαίνει, εἰ μὴ ἐπαγάγω ῥῆμα τὸ «ἐποίησα»· ὁμοίως καὶ ἐπὶ ἐπιθέτων· ἐὰν γὰρ εἴπω «ταχύς», δεήσει με πάντως ἐπαγαγεῖν τὸ «ἄνθρωπος, ἵππος»· διὸ καὶ ἐπίθετον καλεῖται, ὅτι ἐπιτίθεται ἑτέρῳ ὀνόματι.

Καί φασί τινες ὅτι ὅσα μὲν αὐτῶν τὴν ἐξ ἡμῶν αἰτίαν ἔχει, ταῦτα πρὸς ἐπαίνου ἐστὶν ἢ ψόγου, οἷον σώφρων ἀκόλαστος· ὅσα δὲ μὴ οὕτως ἔχει, μέσα ἐστὶν οὔτε ἐπαίνου ἐχόμενα οὔτε ψόγου, οἷον πένης πλούσιος λελωβημένος· ταῦτα γὰρ ἐκτός ἐστι καὶ τῶν ἐκ τύχης συμβαινόντων· οὐδεὶς γὰρ τὸν πλούσιον ἐπαινεῖ, ἀλλὰ μακαρίζει τῆς εὐτυχίας, οὔτε τὸν πένητα ψέγει, ἀλλ᾿ οἰκτείρει τῆς δυστυχίας. ⟨Ἔστι⟩ δὲ ὅπερ ἔχονται καὶ ταῦτα ἐπαίνου καὶ ψόγου, καθὸ ὁ μὲν πλούσιος ἄξιος φαί-

---

7—21 *videntur esse* Σ^{h} ‖ **7—10** *cfr* Σ^{m} *385, 25—28* ‖ **15—18** *cfr* Σ^{v} *232, 20—24;* Σ^{m} *385, 1—6* ‖ **24—553, 2** *videntur esse* Σ^{h} ‖ **24—30** *cfr* Σ^{m} *386, 12—15* ‖ **31—36** *cfr* Σ^{v} *233, 29—33;* Σ^{m} *386, 30—37*

7 κύριον] κυρίως AE ‖ **14** κοινῷ *Uhlig,* κυρίῳ AE ‖ **28** γὰρ E, *om* A ‖ **36** Ἔστι δὲ ὅπερ] ὅπερ δὲ A, ὅπερ E

νεται τῆς τοῦ κρείττονος δωρεᾶς, ἅτε δὴ ἀγαθὸς ὤν, ὁ δὲ πένης ἀνάξιος καὶ πολλῶν τιμωριῶν ὑπεύθυνος.

Ἰστέον δὲ ὡς τὰ ἐπίθετα ἀεὶ τριγενῆ ἐστιν ὡς κατηγορικὰ τῶν κυρίων καὶ προσηγορικῶν. Εἰδέναι δὲ χρὴ ὡς οἱ παλαιοὶ ὀνοματοθέται τὰ γένη πρὸς τὸ σημαινόμενον ἐποιοῦντο· ὅτε γὰρ τὸ ὄνομα κυρίως ἄρσεν ἐδήλου, ἀρσενικὸν ἐποίουν, ὅτε δὲ θῆλυ, ὁμοίως ⟨θηλυκόν⟩· ἡνίκα δὲ μήτε ἄρσεν μήτε θῆλυ ἐδήλου, οὐδέτερον αὐτὸ ἐκάλουν· οἱ δὲ μεταγενέστεροι πρὸς τὴν φωνὴν ἐποιήσαντο τὰ γένη. Τοίνυν τὰ ἐπίθετα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσεται, οἷον ὁ σοφὸς Ὅμηρος, τοῦ σοφοῦ Ὁμήρου, ὁ καλὸς ἄνθρωπος, τοῦ καλοῦ ἀνθρώπου. Εἰσὶ δέ τινα διγενῆ, ἃ ποτὲ μὲν ὡς προσηγορικὰ λαμβάνεται, ποτὲ δὲ ὡς ἐπίθετα, οἷον ὁ φυγάς καὶ ἡ φυγάς, ὁ ἄναξ καὶ ἡ ἄνασσα. Ἔστι δὲ ὅτε τὰ ἐπίθετα τὰ αὐτὰ καὶ προσηγορικὰ καὶ ἐπίθετα γίνεται, πῇ μὲν προκείμενα, πῇ δὲ ὑποκείμενα, οἷον δίκαιος σοφός μέγας πρόμαχος· ταῦτα δὴ ἐπίθετα ὄντα πολλάκις προσηγορικὴν καὶ ἐπιθετικὴν σύνταξιν ἐπέχουσιν [ἐν] ἀλλήλοις ὑποκείμενά τε καὶ προτιθέμενα, οἷον ὁ δίκαιος σοφός, ὁ μέγας σοφός, ὁ σοφὸς δίκαιος.

Λαμβάνονται δὲ ἐπίθετα ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκτός.] Ἐκτὸς μὲν λέγεται πᾶν ὅπερ οἱ πολλοὶ οὐσίαν ὁρίζονται, χρυσόν, ἄργυρον καὶ ὅσα μετὰ θάνατον μὴ πάρεστι μήτε τῇ ψυχῇ μήτε τῷ σώματι.

Τὸ ἐπίθετον τρίτον τῇ τάξει τέτακται *etc.* = Σ^{v} 233, 10—23.

Τὰ ἐπίθετα κατηγορικὰ ὑπ' ἐνίων καλοῦνται *etc.* = Σ^{v} 233, 24—29.

Λαμβάνονται δὲ τὰ ἐπίθετα ἀπὸ τῶν *etc.* = Σ^{v} 233, 33—235, 8.

⟨*Heliodori.*⟩ — Πρός τι ἔχον.] Ἰστέον ὅτι ὁ μὲν τεχνικὸς τὰ πρός τι οὐχ ὁρίζεται, ἀλλὰ διὰ παραδειγμάτων σαφηνίζει· ὁριστέον δὲ οὕτως· «πρός τι ἔχον ἐστὶ τὸ πρὸς ἕτερον ἔχον τὴν σχέσιν», ἀντὶ τοῦ ὃ λεγόμενον δίδωσι νοεῖσθαι καὶ ἕτερον σύνεστί τε αὐτῷ καὶ συναπολήγει, ὡς ὅταν εἴπω «πατήρ», ἐνόησα καὶ τὸν υἱόν, οὐ γὰρ μὴ ὄντος υἱοῦ ἔσται τις πατήρ· ὅθεν Ὅμηρος εἰδὼς τοῦτό φησι ⟨Β 260⟩ μηδ' ἔτι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην. Σημειωτέον δὲ ὅτι τὰ πρός τι γενικῇ συντάσσεται, πατὴρ τούτου, φίλος τούτου, πολλάκις δὲ ἐκ περιουσίας καὶ δοτικῇ· τὸ μέντοι ἴσος ὅμοιος εἴκελος ἀτάλαντος μόνῃ δοτικῇ. — Τὰ δὲ πρός τι ἔχοντα ἢ ἀπὸ εὐθείας πρὸς γενικὴν τῶν πρὸς ἃ τὴν σχέσιν ἔχει ἀποδίδοται, ὡς «τὸ αἴτιον αἰτία τοῦ αἰτιατοῦ», ἢ ἀπὸ εὐθείας πρὸς δοτικήν, ὡς «φίλος φίλῳ φίλος», ἢ ⟨ἀπὸ εὐθείας⟩ πρὸς αἰτιατικήν, ὡς «ὁ τύπτων τυπτόμενον τύπτει»· τὰ δὲ ὡς πρός τι

3—17 *excerpta e Syncello fol. 173* ‖ **25—34** *cfr* Σ^{m} *387, 8—16; videntur esse* Σ^{h} ‖ **34—554, 4** = *Syncellus fol. 177v*

5 κυρίως A, κατὰ E ‖ **6** ἐδήλου *Sync.*, ἐποίει AE | ἀρσενικὸν *Sync.*, ἄρσεν AE | θῆλυ *Sync.*, θηλυκόν AE | θηλυκόν *add Sync.* ‖ **11** διγενῆ A, τριγενῆ E ‖ **16** ἐν *om Sync.* | προτιθέμενα] ἐπιτιθέμενά AE *Sync.* ‖ **33** ἴσος AE ‖ **35** τὸ αἴτιον αἴτια τοῦ αἴτιον (*sic*) AE ‖ **36** φίλῳ] φίλου AE

ἔχοντα, εἴτ' οὖν τὰ ἀλλήλοις ἐναντία, τὰς διεζευγμένας ποιοῦσι συντάξεις τοῖς διαζευκτικοῖς συμπαραλαμβανόμενα συνδέσμοις, οἷον «ἢ φῶς ἐστιν ἢ σκότος»· αἱ γὰρ διαζευκτικαὶ συντάξεις ἐπὶ μαχομένων καὶ ἀλλήλοις συνυφίστασθαι μὴ δυναμένων γίνονται.

Ὡς πρός τι ἔχον.] Ὡς πρός τί ἐστι τὸ κατά τι ὅμοιον τῷ πρός τι· ἔστι γὰρ ὅτε τὸ ὡς τὴν κατὰ μικρὸν ὁμοίωσιν σημαίνει. Καί φαμεν κατά τι ὅμοιον εἶναι τὸ ὡς πρός τι τῷ πρός τι, καθὸ καὶ αὐτὸ μὲν πρὸς ἕτερον ἔχει τὴν σχέσιν· διαφέρει δὲ καθὸ οὐ συνίσταται, εἰ μὴ ἕτερον ἀποστῇ, ἢ ὅτι τὸ μὲν πρός τι ἔχει προσυπακουόμενον τὸ τινός· ἐὰν γὰρ εἴπω «υἱός», λέξει τις πάντως «τίνος;» τὸ δὲ ὡς πρός τι οὐχί· οὐ γὰρ ἐὰν εἴπω «νύξ», λέξει τις τὸ «τίνος;» ἵνα ἐπαγάγω «τῆς ἡμέρας».

⟨*Heliodori.*⟩ — Ὁμώνυμον.] Τὸ ὄνομα ἐν τοῖς συνθέτοις τὸ μὲν πρῶτον ō εἰς ω̄ τρέπει, τὸ δὲ δεύτερον εἰς ῡ, οἷον ὁμώνυμον συνώνυμον. Ὥσπερ δὲ ὁμόδουλόν φαμεν δοῦλον τὸν ὅμοιον κατὰ τὴν αὐτὴν δουλείαν δούλοις διαφόροις δεσπόταις δουλεύουσιν, οὕτω καὶ ὁμώνυμον λέγομεν ὄνομα τὸ ὅμοιον κατὰ τὴν αὐτὴν ὀνομασίαν διαφόροις ἀνθρώποις ἢ σώμασιν ὑποπίπτουσιν· ἢ ὄνομα τὸ κατὰ πολλῶν ὁμοίως τῇ αὐτῇ ὀνομασίᾳ τιθέμενον· πρόσκειται δὲ τὸ «κατὰ πολλῶν» διὰ τὸ προσηγορικόν, ὅπερ οὐ κατὰ πολλῶν λέγεται, ἀλλὰ κατὰ παντὸς τοῦ εἴδους, ὥσπερ τὸ ἄνθρωπος κατὰ παντὸς ἀνθρώπου.

Συνώνυμον.] Ὥσπερ σύνδουλόν φαμεν δοῦλον τὸν σὺν πολλοῖς ἑνὶ δεσπότῃ δουλεύοντα, οὕτω καὶ συνώνυμον λέγομεν ὄνομα τὸ σὺν ἄλλοις ὀνόμασι μίαν οὐσίαν ἐμφαῖνον. Ἐναντίον δέ ἐστι τῷ ὁμωνύμῳ τὸ συνώνυμον· τὸ μὲν γὰρ ὁμώνυμον ὄνομα μὲν ἓν ἔχει, πρᾶγμα δὲ διάφορον, ἄλλος γὰρ ὁ θαλάσσιος μῦς καὶ ἄλλος ὁ γηγενής· τὸ δὲ συνώνυμον ἔμπαλιν πρᾶγμα μὲν ἓν ἔχει, διαφόροις δὲ ὀνόμασιν ὀνομάζει. Ἰστέον δὲ ὅτι ἐναντιοῦνται οἱ γραμματικοὶ καὶ οἱ διαλεκτικοί· οἱ μὲν ⟨γὰρ⟩ γραμματικοὶ ὁμώνυμά φασι τὰ τιθέμενα ὁμοίως διὰ τοῦ αὐτοῦ ὀνόματος ἐπὶ διαφόρων προσώπων, οἱ δὲ φιλόσοφοι ὁμώνυμά φασι τὰ τὸ αὐτὸ γένος ἔχοντα καὶ τὴν αὐτὴν οὐσίαν, ὡς ἔλαφοι καὶ ἄνθρωποι, ἄμφω γὰρ ζῷα· καὶ ὅτι ἡ αὐτὴ οὐσία ἀμφοτέρων, ἀπὸ τοῦ σημαινομένου συγκρίνοντες οἱ φιλόσοφοι ταῦτα ὁμώνυμά φασιν· ἀπὸ δὲ τῆς φωνῆς οἱ γραμματικοὶ τὰ διὰ μιᾶς φωνῆς ἐπὶ διαφόρων προσώπων λεγόμενα ὁμώνυμά φασι, καὶ τὸ μὲν ὄνομα θηλυκῶς ὁμωνυμία λέγεται, τὰ δὲ πράγματα ὁμώνυμα· τὰ δὲ συνώνυμα παρὰ τοῖς διαλεκτικοῖς καὶ πολυώνυμα λέγεται. Διαφέρει δὲ τὸ ὁμώνυμον τοῦ συνωνύμου, ᾗ διαφέρει μονὰς δυάδος· τὸ μὲν γὰρ ὁμώνυμον ὀνόματος μόνου κατηγορεῖται, τὸ δὲ συνώνυμον καὶ ὀνόματος καὶ πράγματος.

5—11 = Σ^m *387, 35 seq; 388, 12—14 et 22—25* ‖ **12—38** *videntur esse* Σ^h ‖ **23—26** *cfr* Σ^m *390, 8—12* ‖ **29—31** *cfr* Σ^v *236, 22—24* ‖ **35** *cfr* Σ^m *390, 14 seq*

1 διαζευγμένας AE ‖ **2** συμπαραλ. A, παραλ. E ‖ **3** ἐπὶ *Sync.*, ἀπὸ AE ‖ **22** ἑνὶ δεσπότῃ] ἕνα δεσπότην AE ‖ **26** ὀνομάζεται AE ‖ **32** καὶ ἀπὸ δὲ A

Φερώνυμον.] Φερώνυμα κυρίως λέγονται τὰ ἀπὸ cυμφορᾶc τινοc καὶ δυcτυχίαc ὀνομαcθέντα· ἐπεὶ γὰρ φορά ἐcτιν ἡ τύχη, φερώνυμον λέγεται τὸ ἀπὸ φορᾶc καὶ τύχηc ὠνομαcμένον, τὸ τὴν αἰτίαν τοῦ ὀνόματοc ἐν αὑτῷ φέρον καὶ δηλοῦν· Μεγαπένθηc γὰρ ἐκλήθη, ἐπειδὴ μέγα πένθοc κατεῖχε τὴν Ἑλλάδα, ἐπὶ γὰρ τῶν χρόνων τοῦ Ἰλιακοῦ πολέμου γεγέν⟨ν⟩ηται· καὶ Τιcαμενόc, ἐπεὶ τίcιν ἐποιήcατο ὁ πατὴρ αὐτοῦ Ὀρέcτηc τοῦ πατρικοῦ φόνου. Λέγεται δὲ φερώνυμα καὶ ὅcα ὡc ἔτυχε μὲν ὀνομάζονται, ὕcτερον δὲ ἁρμόδια εὑρίcκονται, ὡc Δημοcθένηc· τοῦτον γὰρ ὡc ἔτυχεν ὠνόμαcαν οἱ γονεῖc, ὕcτερον δὲ cθένοc εὑρέθη τοῦ δήμου· ὁμοίωc καὶ τὸ Θυέcτηc Πενθεύc. Ταῦτα δὲ ὁ ποιητὴc ἐπώνυμα καλεῖ, ⟨τ 409⟩ τῷ δ' Ὀδυc[c]εὺc ⟨ὄνομ'⟩ ἔcτω ἐπώνυμον, ἀντὶ ⟨τοῦ⟩ φερώνυμον.

Διώνυμον.] Διώνυμόν ἐcτι = Σ^{v} 237, 23—238, 6.

⟨*Heliodori.*⟩ — Διαφέρει δὲ τὸ κύριον τοῦ διωνύμου, καθὸ τὸ μὲν κύριον ἓν ὄνομα cημαίνει καὶ ἓν πρᾶγμα, τὸ δὲ διώνυμον ἓν μὲν ἔχει πρᾶγμα, κατὰ δὲ τοῦ ἑνὸc δύο εἰcὶν ὀνόματα. Ἴδιον δέ ἐcτι τοῦ διωνύμου [ἔcτι] καὶ τὸ ἐπὶ κυρίων μόνον λέγεcθαι, ὡc τὸ Ἀλέξανδροc ὁ καὶ Πάριc, ἀμφότερα γὰρ κύρια. Τὸ δὲ Πάριc ὄνομα ἐκ τῆc πήραc κέκληται· ὡc γὰρ ποιμὴν πήραν ἔφερεν. Ὅταν οὖν ᾖ τὰ δύο ὀνόματα κύρια καθ' ἑνὸc τεταγμένα, τότε μόνον διώνυμον καλεῖται, ὡc δηλονότι ἐπ' ἀνθρώπου μόνου καὶ θεοῦ θεωρεῖcθαι τὸ διώνυμον· ἐπὶ γὰρ ἀνθρώπου μόνου καὶ θεοῦ τὰ κύρια τάττονται. Εἰ δέ τιc λέγοι, ὅτι καὶ τὸ ἦτορ καὶ ψυχὴ δύο ὀνόματά εἰcι καθ' ἑνὸc cημαινομένου τεταγμένα, ἐροῦμεν, ὅτι οὐκ εἰcὶ κύρια, ἀλλὰ προcηγορικά, κοινὴν οὐcίαν cημαίνοντα, cυνώνυμα δέ, ὅτι ἐν διαφόροιc ὀνόμαcι τὸ αὐτὸ δηλοῦcιν· λέγεται γὰρ ἦτορ ψυχὴ θυμόc· εἰ δὲ Ἀλέξανδροc Πάριc, διάφορά εἰcιν ὀνόματα τὸν αὐτὸν δηλοῦντα, ἀλλὰ κύριά εἰcιν. Καὶ ἄλλο δὲ γνώριcμα τοῦ διωνύμου τὸ cυνεφέλκεcθαι τὸ ἕτερον, οἷον ἐν τῷ Πάριc εὐθέωc cυνυπακούεται τὸ Ἀλέξανδροc, κἂν μὴ ὀνομάζηται, οὐ μὴν ἐν τῷ Ἀλέξανδροc τὸ Πάριc, ὅτι πολλοὺc ἴcμεν Ἀλεξάνδρουc καλουμένουc, Πάριν δὲ ἕνα. Διὰ τοῦτο εἶπεν ὁ τεχνογράφοc «οὐκ ἀναcτρέφοντοc τοῦ λόγου», τουτέcτιν οὐκ ἀντιcτρέφοντοc τοῦ λόγου καθ' ἕτερον μέροc· τὸ δὲ «τίc» παρέλκει, θέλει γὰρ εἰπεῖν «οὐ γὰρ εἰ Ἀλέξανδροc καὶ Πάριc»· οὐκ ἐπήγαγε δὲ τὸ ἀντιcτρέφον, ὡc φανερὸν τὸ «ἀλλ' εἴ τιc Πάριc, οὗτοc καὶ Ἀλέξανδροc». — Πολλὰ δὲ τῶν ἀντιγράφων ἔcφαλται· ἡ γὰρ ὀρθότηc τοῦ ῥητοῦ οὕτωc· «διώνυμόν ἐcτιν ὀνόματα δύο κύρια καθ' ἑνὸc τεταγμένα».

1—12 *cfr* Σ^{v} *236, 26—237, 5;* Σ^{m} *390, 17—35* ‖ **14—556, 29** *videntur esse* Σ^{h} ‖ **16—37** *cfr* Σ^{m} *391, 6—26*

6 τιcάμενοc AE ‖ **22** μόνου *add* V | λέγοι V, λέγει AEN ‖ **23** cημαινομένου N, *om* AEV ‖ **27** Καὶ — τεταγμένα (**37**) *om* E ‖ **33** εἶ Ἀλ. A ‖ **36** κύρια V, κυρ *et siglum quod et* ια *et* ιωc *possumus interpretari* A ‖ **37** τεταγμένωc A

Ἐπώνυμον.] Ἐπώνυμόν ἐστι τὸ ὡς ἐπιθετικῶς λεγόμενον ὄνομα μετὰ κυρίου μόνου κατὰ μιᾶς οὐσίας τιθέμενον. ⟨Τοῦτο δὲ⟩ προσέθηκα διὰ τὸ ἐπίθετον· χρὴ γὰρ πανταχοῦ διαστέλλειν αὐτὸ ἐκ τοῦ ἐπιθέτου, ἐπειδή τινες ταὐτὸν ᾠήθησαν εἶναι τὸ ἐπώνυμον τῷ ἐπιθέτῳ *etc.* = Σ^{m} 392, 2—12. Ἀλλ' ἐρεῖ τις, «εἰ ⟨τὸ⟩ ἐν τῷ ἐπωνύμῳ ῥηθὲν ⟨ταὐτὸν⟩ σημαίνει ὅπερ καὶ τὸ κύριον, οὐκοῦν καὶ αὐτὸ κύριον ὂν καὶ μεθ' ἑτέρου κυρίου λεγόμενον ποιείτω τὴν τάξιν τοῦ διωνύμου». Ἀλλά φαμεν ὡς οὐ δύναται τοῦτο γενέσθαι· τὸ μὲν γὰρ διώνυμον ἴσον ἔχει τὸ ἕτερον ὄνομα κατὰ τὴν σημασίαν, καθὸ κύριον μετὰ κυρίου φαίνεται ἔχον, καὶ ὅτι δίχα τῆς κυριευούσης οὐσίας τῶν δύο ἓν ἕκαστον αὐτῶν χωρίσαι δύναται καὶ ἰδίαν οὐσίαν παρασκευάσαι, καὶ ὅτι οὐδέτερον τῶν ὀνομάτων ἔχει πρᾶξιν σημαῖνον· τὸ δὲ ἐπώνυμον οὔτε ἴσον ἔχει τὸ ἕτερον ὄνομα, τὸ μὲν γὰρ κύριον, τὸ δὲ ὡς ἐπιθετικόν, οὔτε δίχα τῆς κυριευούσης οὐσίας τῶν δύο ἓν ἕκαστον αὐτῶν χωρίσαι δύναται πρὸς τὸ ἰδίαν οὐσίαν σημαίνειν, ἥνπερ [οὐκ] ἐμφαίνει τὸ κύριον, καὶ κατὰ τοῦτο διαφέρει τοῦ κυρίου. Διαφερέτω οὖν κατ' αὐτὸ τοῦτο καὶ τοῦ διωνύμου, εἴ γε τὸ μὲν διώνυμον δύο κύρια ἔχει ὀνόματα, τὸ δὲ ἐπώνυμον ἓν κύριον καὶ ἓν ὡς ἐπίθετον, ὅπερ ἰδιάζον ἐπίθετον καλοῦσιν οἱ παλαιοὶ τεχνογράφοι, ἐπείπερ ἰδιαζόντως κατὰ ἑνὸς τίθεται, καὶ οὐχ, ὥσπερ τὸ ἐπίθετον, κατὰ πολλῶν.

Ἐθνικόν.] Ἐθνικόν ἐστι κυρίως τὸ ἔθνους ὁλοκλήρου δηλωτικόν, καταχρηστικῶς μέντοι καὶ τὸ ἀπὸ μιᾶς πόλεως. ⟨Γίνεται δὲ τετραχῶς,⟩ ἀπὸ γένους μέν, ὡς Ἕλλην βάρβαρος, ἀπὸ χώρας, ὡς Θεσσαλός, ἀπὸ πόλεως, ὡς Φθιώτης, ἀπὸ βασιλέως, ὡς Ἀχαιός. Τὸ μέντοι Φρύγιος οὐκ ἔστιν ἐθνικόν, εἴ γε τὸ μὲν Φρύξ πρωτότυπον, τὸ δὲ Φρύγιος παράγωγον· εἰ δὲ παράγωγον, καὶ εἴδους κτητικοῦ, ὡς ἀπὸ τοῦ τύπου φαίνεται, εἰς ιος γὰρ λήγει, ὡς τὸ Νεστόρειος· ὁμοίως ⟨δὲ⟩ δύναται καὶ αὐτὸ τῶν ὑποβεβ[λ]ηκότων εἶναι εἰδῶν, ἐθνικὸν καὶ αὐτὸ λεγόμενον, ὡς ἀπὸ τοῦ παραγώγου κτητικοῦ.

Ἐρωτηματικόν.] Ἰστέον ὅτι *etc.* = Σ^{v} 239, 5—9.

Ἐρωτῶμεν δὲ μαθεῖν ἐθέλοντες *etc.* = Σ^{v} 239, 18—240, 16.

Ἀόριστον.] Τὸ ἀόριστον ἐναντίως ἔχει τῷ ἐρωτηματικῷ, καθὸ *etc.* = Σ^{h} 68, 4—9.

Ἔχει δὲ τὴν γένεσιν *etc.* = Σ^{v} 240, 20—25.

Ἀναφορικόν.] Ἀναφορά ἐστιν *etc.* = Σ^{v} 240, 28—32.

Μιᾶς δὲ δυνάμεώς ἐστι τὰ τέσσαρα, ἕκαστον γὰρ αὐτῶν ὁμοίωσιν σημαίνει. Χρῶνται δὲ τῷ ὁμοιωματικῷ ἀντὶ θαυμαστικοῦ πολλάκις, ὡς 330, 10c

---

21—27 *cfr* Σ^{m} *393, 6—17*

3 *ante* χρὴ *add* ὡς αὐτ *cum siglo quod videtur significare* ὧν A ‖ **5** εἰ τὸ ἐν] εἰ A, ἐν E ‖ **6** μεθ' ἑτέρου] 'μέτέρου A, μετ' ἐκείνου E ‖ **8** ἴσον AE; *item v. 12* ‖ **9** κατὰ] καὶ AE ‖ **11** *post* παρασκευάσαι *add siglum quod videtur significare* σημαίνειν A, σημείωσαι E ‖ **24** ἀχαῖος AE ‖ **27** ιος] ος AE **37** ὁμοιωματικῷ] ὀνοτικῷ A, *vacuum spatium habet* E | ἀντὶ τοῦ θαυμ. E

Ἀριστοφάνης ⟨Nub. 819⟩ τὸν Δία νομίζειν ὄντα τηλικοῦτον, ἀντὶ τοῦ μέγαν, καὶ Ὅμηρος ⟨Α 516⟩ τόσον ἔγωγε μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι, ἀντὶ τοῦ πολύ.

Περιληπτικόν.] Περιληπτικὸν ὄνομα λέγεται, ὅταν ὁ μὲν χαρακτὴρ ἑνικὸς ᾖ, ἐμφαίνηται δὲ διὰ τοῦ σημαινομένου πολύ τι πλῆθος, οἷον στρατός χορός· εἴρηται δὲ περιληπτικὸν παρὰ τὸ περιέχειν τὰ ἐξ αὐτοῦ σημαινόμενα. Ἐντεῦθεν καὶ οἱ ποιηταὶ εἰδότες τὸ σημαινόμενον πολλάκις πρὸς αὐτὸ ὑπαντῶσι καὶ ῥήματα πληθυντικοῦ ἀριθμοῦ ἐπάγουσιν, οἷον ⟨Υ 166⟩ ἀγρόμενοι πᾶς δῆμος, καὶ ⟨Β 278⟩ ὣς φάσαν ἡ πληθύς. Καὶ ὥσπερ ἐπὶ τοῦ ⟨ἐπι⟩μεριζομένου ἐν τῷ ἕκαστος ἐκ τῆς καθ᾽ ἕνα τομῆς ἐπὶ πάντας γίνεται ἡ ἀναφορά, καὶ ἐν τῷ ἕκαστοι ἐκ τῆς κατὰ πολλοὺς τομῆς ἐπὶ πάντας γίνεται ἡ ἀναφορά, οὕτω καὶ ἐν τῷ δῆμος ἑνικῷ τύπῳ πλῆθος περιλαμβάνομεν, καὶ πάλιν ἐν τῷ δῆμοι πολλοὺς δήμους δηλοῦμεν συνηγμένους ἐκ διαιρέσεως ἑκάστης πλῆθος περικλειούσης.

Ἐπιμεριζόμενον.] Ἐπιμεριζόμενόν ἐστιν ὃ ποιεῖται ἀπὸ πλήθους προσώπων ἐξαναρίθμησιν· εἴρηται δὲ ἐπιμεριζόμενον, ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφοράν. Ἔδει εἰπεῖν ἕτερος καὶ ἄλλος, ταῦτα γὰρ ἐκ δύο καὶ πολλῶν ἕνα σημαίνει. Ἔστιν οὖν οὕτως ἄμεινον λέγειν, «ἐπιμεριζόμενόν ἐστιν ὃ δηλοῖ ἕνα ἐκ δύο, ἢ δύο καθ᾽ ἕνα, ἢ ἕνα ἐκ πολλῶν, ἢ πολλοὺς καθ᾽ ἕνα». Δοκεῖ δέ πως περιέχειν τὸ περιληπτικόν, εἴ γε ἑκάτερον αὐτῶν ἐπὶ τὸ πάντας δηλοῦν ἀναφέρεται· διαφέρει δέ, ὅτι τὸ μὲν ἐκ τοῦ καθ᾽ ἕκαστον ἐπιμερισμοῦ τὴν πρὸς πάντας ἔμφασιν ἔχει, τὸ δὲ οὐκ ἐξ ἐπιμερισμοῦ, ἀλλ᾽ αὐτὸ μόνον περίληψιν σημαίνει [τὸ περιληπτικόν].

Περιεκτικόν.] Τοῦ περιεκτικοῦ ἡ φωνή *etc.* = Σ^v 241, 29—242, 8.

Πεποιημένον.] Πεποιημένον ὄνομά ἐστιν, ὅταν κατὰ μίμησιν ἤχου τινὸς καὶ τῆς ποιότητος τοῦ ὑποκειμένου πράγματος προ[ς]ενεχθῇ· φλοῖσβος ἐπὶ θαλάσσης, ῥοῖζος ἐπὶ βέλους. Γίνεται *etc.* = Σ^v 242, 18—21.

Γενικόν.] Γενικόν ἐστιν ᾧ περιέχεται καὶ περιείληπται πολλὰ καὶ ἀνόμοια εἴδη· ἢ τὸ γένος ἐμφαῖνον διὰ τὸ ἀποτεκεῖν τινα ἴδιόν τι ἔχοντα. Ἔλαβε δὲ γενικώτατα γένη τὸ ζῷον καὶ τὸ φυτόν· ὑπόκειται γὰρ αὐτοῖς ἕτερα γένη.

Εἰδικόν.] Εἰδικόν ἐστιν ᾧ ⟨οὐ⟩ περιέχεται οὐδὲ περιείληπται πολλὰ

4—7 = *Σ^v 240, 34—241, 1; Σ^m 395, 28—31* ‖ **7—10** *cfr Σ^v 241, 4—8* ‖ **10—15** = *Σ^h 68, 25—30* ‖ **18—25** *cfr Σ^h 68, 34—69, 13* ‖ **21—25** *cfr Σ^v 241, 21—27* ‖ **28—30** *cfr Σ^v 242, 10—18* ‖ **35—558, 2** *cfr Σ^v 242, 28—30*

1 ὄντα A, οὕτω E | τηλικουτονί *Arist.* ‖ **2** ὅσσον ἐγὼ μ. *Hom.* | ἀτιμωτάτη AE ‖ **5** ἐμφ. δὲ *om* E ‖ **7** Ἐντεῦθεν — περικλειούσης (**15**) *om* E ‖ **13** παραλαμβάνομεν A ‖ **17** ἐπιμεριζόμενα AE ‖ **18** Ἔδει — περιληπτικόν (**25**) A, οἷον ἕτερος ἑκάτερος ἕκαστος ἄλλος E ‖ **24** περίληψιν] περιλίθην A ‖ **30** Γίνεται *etc.* *om* E ‖ **33** ὑπόκειται — γένη (**34**) *om* E ‖ **35** ἰδικόν (*bis*) AE

καὶ ἀνόμοια εἴδη, ἀλλ' ἕν τι δηλοῦται, οἷον ἵππος βοῦς· ἢ δ ἴδιόν τι ἐκ τοῦ γένους λαβὸν ἔχει. — Τὰ ἐκ τοῦ γένους διαιρεθέντα καλεῖται καὶ εἰδικὰ καὶ προσηγορικά, εἰδικὰ μέν, καθὸ διαιρεῖται, προσηγορικὰ δέ, καθὸ τὴν κοινὴν οὐσίαν σημαίνει· ὃ δὲ προσηγορικὸν μέν ἐστιν, οὐ μὴν καὶ εἰδικόν, οὐδὲ γὰρ ἔκ τινος διαιρεῖται τῶν γενῶν, ἐπεὶ οὔτε ζῷον οὔτε φυτόν.

Τακτικόν.] Τοῦτο σύγκρισιν οὐκ ἀναδ. *etc.* = Σ^v 242, 32—34.

Ἀριθμητικόν.] Διάκρισιν ποιεῖται *etc.* = Σ^v 243, 1—7.

Ἀπολελυμένον.] Ἀπολελυμένον ἐστὶν *etc.* = Σ^v 243, 14—17.

Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύο.] Ἰστέον ὅτι τὸ ὄνομα *etc.* = Σ^v 243, 20—27.

Εἰ ἄρα καὶ τὰ ὀνόματα *etc.* = Σ^v 243, 30—244, 3.

§ 13 (15b).

Περὶ ῥήματος.

Εἴρηται ῥῆμα παρὰ τὴν ῥύσιν *etc.* = Σ^v 244, 7—9.

Διὰ τί δὲ αὐτῷ παρέπεται εἴδη, καίτοι οὐδὲν διαφέρον τοῦ ἄρδω τὸ ἀρδεύω; Καί φαμεν, ὅτι εἰ καὶ μὴ σημασίᾳ διαφέρουσιν *etc.* = Σ^h 73, 19—25.

Μὴ ταραττέτω δέ σε τὸ διάφορον *etc.* = Σ^v 244, 11—23.

Διαθέσεις κατὰ τὴν ἀκρίβειαν *etc.* = Σ^v 246, 7—247, 13.

Βούλονται δέ τινες προτάττειν τὰ ἀπαρέμφατα, ἐπεί, φασιν, αὐτὸ ὄνομα τοῦ πράγματος ὑπάρχει, ἔστι δὲ πρῶτα φύσει τῶν προσώπων τὰ πράγματα. Οἷς οὐ χρὴ πείθεσθαι· εὐλόγως γὰρ προτάττεται ἡ ὁριστική, καθὸ πρᾶγμα διὰ προσώπου ὁρᾶται οὐδὲ γίνεται μὴ προϋποκειμένου προσώπου· ἐπεὶ τοίνυν τὸ πρᾶγμα διὰ προσώπου ὁρᾶται, ἄμεινον προτάττεσθαι τὸ πρόσωπον, δι' οὗ τὸ πρᾶγμα γνωρίζεται· δεύτερον δὴ τὸ πρᾶγμα, ἅτε δὴ σὺν προσώπῳ καὶ διὰ προσώπων φύσει νοούμενον, ἅμα καὶ φαινόμενον· μετὰ δὲ τὰ ἀπαρέμφατα ἡ προστακτικὴ πρὸ τῶν εὐκτικῶν, ὅτι ὀλίγη φωνῶν παραγωγὴ τῶν προστακτικῶν [καὶ δεῖ τὸ ἀσθενὲς εἶναι κατὰ τὸν ποιητὴν μέσον].

Σχήματα τρία.] Τὸ καταφρονῶ *etc.* = Σ^v 247, 19—26.

Χρὴ δὲ εἰδέναι, ὅτι ἡ ἐνεργ. διάθ. *etc.* = Σ^m 401, 4—28.

Χρὴ δὲ εἰδέναι, ὡς αἱ γενικώταται διαθέσεις τρεῖς εἰσιν, ⟨ἐνεργητική, παθητικὴ καὶ⟩ μέση. Μέση διάθεσίς ἐστιν ἡ ποτὲ μὲν ἐνέργειαν παριστῶσα ἐν φωνῇ παθητικῇ, ποτὲ δὲ πάθος ἐν φωνῇ ἐνεργητικῇ.

2—6 *cfr* Σ^m *397, 18—25* || **21—30** *cfr* Σ^m *400, 5—18* || **34—35** *cfr* Σ^m *401, 29—32*

2 Τὰ — **6** *om* E || **12** τέλος εἴληφεν A, τέλος εἴληφεν ἡ βύβλος. τέλος E || **13—565, 10** *om* E || **23** γὰρ] δὲ A || **27** διὰ] μετὰ A || **30** κατὰ τὸν ποι.] *vide* Δ 299

Πρόcωπα τρία.] Τὸ πρόcωπον ἴδιόν ἐcτι τῆc ἀντωνυμίαc· αὕτη γὰρ προcώπων *etc.* = Σ[v] 247, 32—248, 12.

Χρόνοι τρεῖc.] Ἀνάγκη ἐcτὶ *etc.* = Σ[v] 248, 13—249, 2.

Φαcὶ δὲ ὡc εἰc χρονικὰ διαcτήματα διεῖλε τοὺc χρόνουc ὁ Διονύcιοc, ὡc εἴ τιc εἰc ἐνιαυτὸν ⟨καὶ⟩ μῆνα καὶ ἡμέραν καὶ ὥραν τέμνει τοὺc χρόνουc· καὶ διὰ τοῦτο ἐνεcτῶτά φηcιν, ἤτοι ὡc πρὸc μῆκοc ἐνιαυτοῦ ἢ μηνὸc ἢ ἡμέραc ἢ ὥραc· καὶ γάρ φαμεν ἐνεcτῶτα ἐνιαυτὸν καὶ μῆνα καὶ ἡμέραν καὶ ὥραν. Χρόνοι τοίνυν φυcικώτατοι μὲν τρεῖc· εἶπον δὲ «φυcικώτατοι», ἐπειδὴ τούτων ἡ φύcιc καὶ πρὸ τῆc τέχνηc ἐτύγχανεν, ὅθεν καὶ γενικώτατοι προcαγορεύονται. — Διὰ τί δὲ οὐκ ἤρξατο ἀπὸ τοῦ παρῳχημένου, ὡc φύcει προτέρου ὄντοc τοῦ ἐνεcτῶτοc; Φαμὲν ὡc ὁ ἐνεcτὼc τὸ θέμα ἐcτὶ τοῦ ῥήματοc, ἀφ' οὗ πᾶcαι αἱ κινήcειc· διὸ προετάγη· ἄλλωc τε καὶ ὁ παρῳχημένοc ἦν ποτε ἐνεcτώc.

Ἰcτέον δὲ ὅτι αἱ ὀνομαcίαι τῶν χρόνων ἀπὸ τῆc cημαcίαc ἐγένοντο, τὴν ⟨δὲ⟩ cυγγένειαν τῶν χρόνων καταλαμβάνομεν κατὰ τὴν φωνὴν καὶ κατὰ τὸ cημαινόμενον *etc.* = Σ[v] 250, 5—251, 11 et 251, 21—25.

§ 14 (16. 17. 18b).

Περὶ cυζυγίαc.

Μηδεὶc ὑπολάβοι ἴδιον μέροc λόγου εἶναι τὴν cυζυγίαν· ἓν γάρ ἐcτι καὶ αὕτη τῶν παρεπομένων τῷ ῥήματι· ἰδίᾳ δὲ τέτακται ἅτε δὴ πολυcχιδὴc οὖcα καὶ πολλῆc τεχνολογίαc δεομένη. Εἰ γὰρ ἦν ἴδιον μέροc λόγου, ἀνῄρει τῆc μετοχῆc τὸ ὄνομα, διότι ἡ μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα λέξιc μετοχὴ λέγεται, ἐπειδὴ μετέχει τῶν δύο.

Εἴρηται δὲ cυζυγία ἀπὸ μεταφορᾶc *etc.* = Σ[m] 406, 5—16.

Τίνοc ἕνεκεν προτετίμηται τὰ βαρύτονα; Καί φαμεν ὅτι γνήcιά ἐcτιν· εἰ γάρ τιc ἀναλύcει τὰ περιcπώμενα καὶ ἀναπτύξει, εὑρήcει βαρύτονα· καὶ τὰ εἰc $\overline{\mu\iota}$ τὸν αὐτὸν τρόπον.

Χρὴ δὲ εἰδέναι ὅτι περιττεύει τὸ $\overline{\tau}$ *etc.* = Σ[m] 408, 25—31. — Καὶ εἴ τιc λέγει, διὰ τί μὴ τοῦ $\overline{\tau}$ ἐcτὶν ἡ cυζυγία, ἀλλὰ τοῦ $\overline{\pi}$, φαμὲν οὕτωc, ὅτι τὸ $\overline{\tau}$ ἀcθενέcτατον ὂν ἀπολεῖ τὴν cυζυγίαν· πρῶτον μὲν ⟨γὰρ⟩ οὐκ ἔcτι φωνῆεν, ἀλλὰ cύμφωνον· δεύτερον οὐκ ἔcτιν ἡμίφωνον, ἀλλ' ἄφωνον· πάλιν οὐδὲ δαcύ, ἀλλὰ ψιλόν, ἀλλὰ καὶ αὐτοῖc τοῖc ψιλοῖc ὑποταττόμενον.

Ὧν ἡ μὲν πρώτη ἐκφέρεται.] Καλῶc εἶπε τὸ «ἐκφέρεται»· τοῦτο γὰρ δηλοῖ, ὅτι ἀπὸ θέματοc καὶ οἱονεὶ ἀπὸ ἀφετηρίαc προέρχεται, ἐκ μεταφορᾶc τῶν ἀμιλλητηρίων ἵππων. Λίαν δὲ εὐτάκτωc ἡ πρώτη cυζυγία ἐκφέρεται διὰ τοῦ $\overline{\beta}$ ἢ $\overline{\pi}$ ἢ $\overline{\varphi}$, cυγγενῆ γάρ εἰcι. Καὶ δῆλον

10—13 *cfr Σ[v] 249, 9—12* ‖ **19—21** = *Σ[m] 407, 1—4* ‖ **25—27** = *Σ[v] 252, 16—18* ‖ **34—36** = *Σ[v] 252, 20—22*

21 πολυcχεδὴc A

τοῦτο, ὅτι ὅσα ῥήματα ἐν τῷ ἐνεστῶτι ἐκφέρεται δι' ἑνὸς τούτων τῶν συμφώνων, ἐκφέρει τὸν μέλλοντα διὰ τοῦ ψ̄, καὶ πάλιν ὅσα ὀνόματα λήγει εἰς σύμφωνον τὸ ψ̄, τὸ χαρακτηρίζον αὐτῶν τὸν μέλλοντα, δι' ἑνὸς τούτων κλίνεται· τὸ δὲ αὐτὸ εὕροι τις ἂν καὶ ἐπὶ τῶν ἄλλων συζυγιῶν.

Τινὲς δὲ ἑβδόμην συζυγίαν εἰσάγουσιν.] Εἰρήκαμεν *etc.* = Σ^v 253, 18—26.

Ζητοῦσί τινες, τίνος χάριν *etc.* = Σ^m 412, 1—13 *et* Σ^v 253, 36—254, 2.

§ 15 (19b).

Περὶ μετοχῆς.

Ἀναγκαίως δὴ μετὰ τὸ ὄν. *etc.* = Σ^m 416, 7—9 *et* 415, 27—416, 7.

⟨*Heliodori.*⟩ — Καὶ ὅτι μὲν ἀναγκαίως ἀντὶ ῥήματος ἡ μετοχὴ παραλαμβάνεται δῆλον. Διὰ τί δὲ καὶ εἰς πτώσεις μετάγεται φανερόν· τοῦ γὰρ ὀνόματος εἰς πτώσεις μετιόντος ἄλλως οὐ συνήρχετο, μὴ μετιοῦσα εἰς πτώσεις, οἷον «Ἀγαμέμνων νικήσας, Ἀγαμέμνονος νικήσαντος». Οὐ καθὼς δέ τινες οἴονται, ὧν εἷς ὁ Διονύσιος, ἄμοιρος ἐγκλίσεών ἐστιν ἡ μετοχή· διὰ γὰρ τῆς εἰς τὸ ῥῆμα συντάξεως δηλοῦται ἡ ἔγκλισις αὐτῶν· τὸ γὰρ «ἀναγινώσκων εὔχομαι» ὁριστικὴν ἔχει τὴν ἔγκλισιν, ἐπειδὴ καὶ τὸ ῥῆμα, καὶ τὸ «ἀναγινώσκων εὔχου» προστακτικήν. Εὑρήσομεν οὖν τὴν μετοχὴν ⟨ἐν⟩ μιᾷ φωνῇ τὰς ἐγκλίσεις ἔχουσαν καὶ τῇ ⟨συν⟩τάξει σαφηνιζομένην, ὡς καὶ τὰς πτώσεις τῶν οὐδετέρων. Ὁμοίως δὲ καὶ τὴν τῶν προσώπων ἔχει διάκρισιν.

Ἰστέον γε μὴν ὡς πᾶσα μετοχὴ τριγενής ἐστι, πλὴν ἐφ' ὧν ἡ φύσις οὐκ ἐᾷ· καὶ ὅτι πᾶσα μετοχὴ παράγωγός ἐστι, πλὴν τῆς ⟨ex. gr. ι 2⟩ Ἀλκίνοε κρεῖον· καὶ ὅτι πᾶσα μετοχὴ ἀρσενικὴ ἐνεργητικὴ εἰς ν̄ καταλήγει ἢ εἰς ς̄ μετὰ μακρᾶς καὶ διὰ τοῦ ντ̄ κλίνεται, πλὴν τῶν παρακειμένων καὶ ὑπερσυντελίκων· καὶ ὅτι πᾶσα μετοχὴ θηλυκὴ εἰς η̄ λήγει ἢ εἰς ᾱ.

Εὐλόγως δὲ ἡ μετοχὴ οὔτε πρόσωπα οὔτε ἐγκλίσεις ἔχει, ἐπεὶ καὶ ὀνόματος τάξιν ἐπέχει, τοῖς δὲ ὀνόμασιν οὔτε πρόσωπα οὔτε ἐγκλίσεις παρέπονται.

§ 16 (20b).

Περὶ ἄρθρου.

Εἴρηται ἄρθρον παρὰ τὸ ἀρθροῦν *etc.* = Σ^h 74, 3—12 *et* 74, 20—75, 29.

12—22 *videntur esse* Σ^h || **17—20** *cfr* Σ^m *415, 22—26* || **23—28** *cfr* Σ^m *416, 22—25* || **29—31** *cfr* Σ^m *415, 22 seq*

1 ἐν — συμφώνων (**2**)] διὰ τούτων ἐκφέρεται δι' ἑνὸς τοῦ αὐτοῦ συμφώνου A || **13** πτώσεις] λόγον A || **14** μετιοῦσα] μετιὼν A || **19** προστακτικόν A || **26** τῶν παρακ. καὶ ὑπερς. V, τοῦ ὑπερσυντελίκου A

⟨Οὐκ⟩ ἐπινενόηται δὲ τὸ ἄρθρον *etc.* = Σ^v 256, 15—257, 13 *et* 257, 27—258, 24.

§ 17 (21 et 22b).

⟨Περὶ ἀντωνυμίας.⟩

Εὐλόγως τέτακται μετὰ τὸ ἄρθρον *etc.* = Σ^h 76, 30—77, 16 *et* 77, 21—23.

Ζητοῦσι δέ *etc.* = Σ^v 258, 31—260, 11; 260, 21—24; 260, 17 seq; 260, 26—262, 11; 265, 26—266, 3.

Πρόσωπα πρωτοτύπων μὲν ἐγώ σύ ἵ. — Εἰς δύο διαιρουμένων *etc.* = Σ^h 78, 19—23; 79, 7—80, 1; 80, 25—87, 13.

Ἰστέον μέντοι, ὅτι τὸ ἵ, ὅπερ ἐστὶ τρίτον πρόσωπον, οὐχ εὕρηται ἐν χρήσει· ἔοικε δὲ ἀπὸ τῆς τῶν Ἀττικῶν χρήσεως εἰρῆσθαι· ἐκεινοσί γὰρ λέγουσι καὶ οὑτοσί ἐπὶ τῶν τριῶν ἀριθμῶν (*cfr* Σ^v 264, 12—15). Τὸ τρίτον πρόσωπόν ἐστι τὸ πολλαχῶς ἐξαλλασσόμενον καὶ τῶν πρωτοτύπων καὶ τῶν παραγώγων ἀντωνυμιῶν.

Πῶς ποτὲ μὲν πρωτότυπον *etc.* = Σ^m 425, 8—13.

Καὶ τὴν μὲν πρωτότυπον ἄλλως *etc.* = Σ^v 264, 21—31 *et* 265, 14—24.

Σχήματα. — Κατὰ τὸ ἀρχαῖον *etc.* = Σ^h 88, 21—89, 22.

Αἱ σύνθετοι κλητικὴν *etc.* = Σ^v 266, 14—22 *et* 267, 22—24.

§ 18 (23b).

Περὶ προθέσεως.

Καὶ ἐκ τῆς προθέσεως δείκνυται *etc.* = Σ^h 91, 13—93, 9.

Διὰ δὲ τὸ θέλειν τὸν πρῶτον *etc.* = Σ^v 269, 30—270, 10.

Πᾶσα δὲ πρόθεσις ὀξύνεται· ἔνθεν *etc.* = Σ^h 93, 30—94, 8.

Ἔστι δὲ τῆς προθέσεως τὸ μὲν ἐλάχιστον *etc.* = Σ^v 270, 18—27.

Πᾶσα δὲ πρόθεσις μεγεθυνομένη *etc.* = Σ^v 271, 6—10.

Σημειωτέον δὲ ὅτι μόνη ἡ σύν *etc.* = Σ^h 94, 16—20.

Ἰστέον δὲ ὅτι αἱ προθέσεις *etc.* = Σ^v 271, 11—22.

§ 19 (24b).

Περὶ ἐπιρρήματος.

Ἐπίρρημά ἐστι μέρος λόγου *etc.* = Σ^d 59, 2—8.

Ὁριστέον δὲ αὐτὸ οὕτως· λέξις *etc.* = Σ^h 95, 9—96, 4.

Οἱ δέ φασιν, ὡς ἡ ἐπί πρόθεσις *etc.* = Σ^v 271, 29—272, 5.

Οἱ δέ φασιν, ὅτι ἀπὸ μιᾶς συντάξεως τῆς κυριωτέρας ὠνομάσθη· εἰ *etc.* = Σ^v 273, 18—23.

Ποιεῖται δὲ τὸ ἐπίρρημα πρὸς τὸ ῥῆμα τὴν cύνταξιν ἢ καθόλου ἢ μερικῶς *etc.* = Σ^v 272, 16—31.

Τῶν δὲ ἐπιρρημάτων τὰ μέν ἐcτιν ἁπλᾶ. — Διὰ *etc.* = Σ^h 96, 17—25.

Τὰ δὲ χρόνου δηλωτικά, οἷον νῦν τότε αὖθιc. — Διὰ *etc.* = Σ^d 59, 18—20.

Προcτιθέναι δὲ δεῖ τὸ «γενικοῦ» *etc.* = Σ^h 96, 33—97, 30.

Ὥcπερ δὲ ὁ καιρὸc τοῦ χρόνου μερικ. *etc.* = Σ^d 59, 23—25.

Διαφέρει δὲ χρόνοc καιροῦ *etc.* = Σ^v 274, 4—9.

Καὶ τὰ μὲν χρονικὰ παράταcιν χρόνου *etc.* = Σ^v 274, 24—27.

Τὰ δὲ μεcότητοc, οἷον καλῶc cοφῶc. — Μεcότητοc *etc.* = Σ^v 275, 14—28.

Πάντα δὲ παράγωγα τὰ εἰc ω̅c̅, πλὴν τοῦ ἕωc τέωc, ⟨καὶ⟩ πάντα ἀπὸ γενικῶν, πλὴν τοῦ οὕτωc ὥc (= Σ^v 274, 31—33).

Καλεῖται δὲ μεcότητοc· μέcα γὰρ *etc.* = Σ^v 275, 6—8.

Καὶ ἀπὸ μὲν τῆc γενέcεωc μεcότητοc, ἀπὸ δὲ τῆc cημαcίαc ποιότητοc καλοῦνται· τὸ γὰρ καλῶc ἢ ψυχῆc ἢ cώματοc ἢ ἄλλου τινὸc ποιότητα δηλοῖ (*cfr* Σ^h 98, 1 seq *et* Σ^v 275, 3—5). Καὶ χρὴ γινώcκειν, ὡc τὸ τῆc μεcότητοc ἐπίρρημα πάντωc ἐcτὶ καὶ ποιότητοc, οὐ μὴν εἴ τι ποιότητοc, πάντωc καὶ μεcότητοc· οἷον ἐὰν εἴπω «καλῶc γράφω», τὴν ποιότητα τῆc καλῆc γραφῆc ἐδήλωcα (*cfr* Σ^h 98, 2—5). Διὰ τί δὲ παρὰ μόνηc τῆc γενικῆc τοῦ πληθυντικοῦ γίνεται; Ὅτι αὕτη μόνη ὁμοίωc ἐκφωνεῖται ἐπὶ τῶν τριῶν γενῶν.

Τὰ δὲ ποιότητοc. — Ποιότητοc ταῦτα λέγ. *etc.* = Σ^h 98, 6—10.

Ποιότητοc γάρ εἰcιν ἐπιρρήματα *etc.* = Σ^v 275, 30—276, 11.

Τὸ κλέβδην ἀπὸ τοῦ κλέπτω, ὥcπερ ἀπὸ τοῦ ὄπτω, τοῦ θεῶμαι, 330, 30c τὸ ἐπίρρημα ὄβδην· καὶ τὸ πύξ ἀπὸ τοῦ πτύccω, τὸ γὰρ πτύccειν καὶ ἀcφαλίζειν τοὺc δακτύλουc πλήττειν τε τούτοιc εἴρηται πύξ· cεcημείωται τὸ βύζην πρωτότυπον ὂν cημαῖνον τὸ ἀθρόωc (*cfr* Σ^v 276, 13—27).

Τὰ δὲ ἀριθμοῦ δηλωτικά. — Ψεύδεται ὁ τεχν. *etc.* = Σ^h 98, 13—17.

Τὰ δὲ τοπικά, οἷον ἄνω κάτω. — Τὰ τοπικὰ *etc.* = Σ^h 98, 18—100, 10.

Τὰ εἰc ω̅ δὲ λήγοντα παράγωγα *etc.* = Σ^v 277, 2—8.

Cχέcιc ἐcτὶν ἡ πρόc τινα οἰκείωcιc *etc.* = Σ^v 277, 11—17.

Τῶν εἰc ο̅ι̅ δὲ ἐπιρρημάτων τῶν ὑπὲρ *etc.* = Σ^v 278, 1—11.

Τὰ εἰc θ̅ε̅ν̅ τῷ ο̅ παραληγ. *etc.* = Σ^v 278, 25—32 *et* 279, 7 seq.

Τὰ εἰc θ̅ε̅ν̅ ἐπιρρήματα καὶ τῷ α̅ μακρῷ καὶ τῷ η̅ καὶ τῷ ω̅ καὶ διφθόγγῳ παραληγόμενα ἢ προπαροξύνεται ἢ προπεριcπᾶται πρὸc τὸν τόνον τοῦ πρωτοτύπου· τὰ δὲ τῷ ο̅ παραληγόμενα ἐὰν μὲν ἐπὶ ὡριcμέ-

---

27 πτύξ A; *item v. 28* ‖ 28 ἀcφαλίζειν] ἀκοντίζειν A; *vide p. 276, 20* | τούτουc A ‖ 37 α̅ — διφθ. (38)] ι̅ παραλήγεται καὶ τῷ ε̅ καὶ τῷ η̅. ἄλλω δὲ ἄλλω (*sic*) A; *cfr Herod. I 500, 13 seqq*

νου τόπου παραλαμβάνηται, παροξύνεται, Λεcβόθεν Ἀβυδόθεν, ἐὰν δὲ προπαροξύνηται, ἐπὶ ἀορίστου παραλαμβάνεται· οὔ φημι δέ, ὅτι τὰ ἐπὶ ἀορίστου τόπου προπαροξύνεται, ἰδοὺ γὰρ καὶ ἀγρόθεν ἢ δημόθεν· ἀλλ' εἴ τι εὕρηται προπαροξυνόμενον, τοῦτο ἀόριστον τόπον δηλοῖ.

Τὰ δὲ εὐχῆς σημαντικά, οἷον εἴθε. — Τὸ εἴθε *etc.* = Σ^{v} 279, 10—15 *et* 18—20.

Τὰ δὲ σχετλιαστικά. — Σχετλιαστικὰ λέγεται τὰ λυπηρά, σχέτλιος ⟨γὰρ⟩ ὁ ἄθλιος, καὶ ἐξ αὐτοπαθείας *etc.* = Σ^{h} 100, 11—15.

Ἐπάγεται δὲ τούτοις ῥήματα οὕτως· ⟨ubi?⟩ βαβαὶ ὧν πάσχομεν
330, 15 κακῶν, ⟨ubi?⟩ ἰοὺ ὧν πάσχομεν κακῶν· Ἀριστοφάνης ⟨Equ. 1⟩ ἰατταταιάξ τῶν κακῶν· λείπει «ὧν πάσχομεν»· ἔστιν οὖν Ἀττικὴ χρῆσις κατὰ ἔλλειψιν λεγομένη.

Τὰ δὲ ἀρνήσεως. — Ἰστέον ὅτι τὰ τῆς ἀρνήσεως καὶ ἀποφάσεως ἐπιρρήματα ὁριστικῇ συντάττεται, «οὐ γράψω, οὐδαμῶς ποιήσω»· τὸ οὐχί δὲ ⟨οὐκ⟩ ἀνάλογον κατὰ τὸν τόνον, ἔδει γὰρ βαρύνεσθαι, ὡς καὶ τὸ ναίχι· ἐπέκτασις μέντοι ἐστὶ τὸ οὐχί τοῦ οὔ, ὡς καὶ *etc.* = Σ^{d} 60 24—28· τὸ δὲ οὐδαμῶς οὕτως· οὐδαμός οὐδαμοῦ οὐδαμοί οὐδαμῶν οὐδαμῶς.

Τὰ δὲ συγκαταθέσεως. — Πάλιν *etc.* = Σ^{v} 279, 31—280, 15· τούτων δὲ τὰ μέν ἐστι ποιητικά, τὰ δὲ τῆς κοινῆς διαλέκτου. Ἦυτε· γίνεται ἀπὸ τοῦ ἤ ἦτε ἐπεκτάσει καὶ πλεονασμῷ ἤϋτε.

Τὰ δὲ εἰκασμοῦ. — Εἰκασμός ἐστιν *etc.* = Σ^{h} 101, 1—4.

Τὸ τάχα βαρύνεται, ὅτι τὰ εἰς χ̅α̅ δισύλλαβα βαρύνεται· καὶ τὰ εἰς δ̅η̅ν̅, πήδην ῥήδην· τὸ δὲ ἅμα βαρύνεται, ὅτι τὰ εἰς α̅ βραχυκατάληκτα βαρύνεται, εἰ μὴ ἔχοι τὸ θ̅, διὰ τὸ δηθά, ἢ τὸ δ̅, διὰ τὸ διασταδά· τὸ δὲ πυκνά ἀπὸ ὀνόματος· ῥέα ῥίμφα· τὸ δὲ θαμά ἀπὸ τοῦ θαμός [καὶ τὸ θαμή]· καὶ τὸ ἤλιθα δὲ βαρύνεται ὁμοίως τῷ μίνυνθα.

Τὰ δὲ τάξεως. — Ταῦτα τάξιν ἐπαγγ. *etc.* = Σ^{v} 280, 18—20.

Τὰ δὲ θαυμαστικά. — Ἡνίκα γὰρ θαυμάζ. *etc.* = Σ^{v} 280, 14 seq.

Τοῦ βαβαί οἱ ἰδιῶται τῆς β̅α̅ι̅ διφθόγγου *etc.* = Σ^{d} 60, 16—18.

Τὰ δὲ ἀθροίσεως. — Ἀθροίσεως τὰ συναγωγῆς ἐμφαντικά· τὸ ἤλιθα ἀπὸ τοῦ ἅλις ἄλιθα καὶ ἤλιθα.

Τὰ δὲ παρακελεύσεως. — Καὶ τὸ εἶεν *etc.* = Σ^{v} 281, 3—26.

Τὰ δὲ ἀπωμοτικά. — Τὰ κατωμοτικὰ ἀκολουθεῖ τῇ συγκαταθέσει· ὄμνυνται γὰρ οὕτως· «ναί, νὴ τοὺς θεούς». Ὅμηρος δὲ μόνος οὐ χρῆται τῷ νή κατωμοτικῷ, ἀλλὰ τῷ ἀπωμοτικῷ μόνῳ τῷ μά, ⟨A 234⟩ ναὶ μὰ τόδε σκῆπτρον, καὶ ⟨A 86⟩ οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον (*cfr* Σ^{m} 434, 9—14)· τῷ δὲ νή κατωμοτικῷ οὐδέποτε χρῆται ἢ ἐπὶ τῶν κατὰ στέρησιν μόνον, ὡς τὸ ⟨ex. gr. α 377⟩ νήποινον, ⟨δ 221⟩

---

12 ἔλλειψιν] λεῖψιν A ‖ **15** οὔχι A ‖ **16** τὸ αἴχι A | οὐχί] χ̅ι̅ A ‖ **17** οὐδαμός *etc.*] *cfr p. 432, 6* ‖ **21** ἤ] η̅ A | ἤϋτε *EM 439, 53 adn.* (*in f.*), ἤϋτε A ‖ **23** χ̅α̅] χ̅ A ‖ **24** α̅ βραχυκατ.] ω̅ λήγοντα βραχέα A ‖ **27** τῷ] τὸ A ‖ **36** τῷ νή] τὸ η̅ A

νηπενθές. Τὰ ἀπωμοτικὰ δὲ ἀκολουθεῖ τοῖς ἀπαγορευτικοῖς· ἔστι δὲ εὑρεῖν αὐτὰ καὶ ἐπὶ τῆς ἐναντίας σημασίας, ὥστε δεῖ ὀμοτικὰ μόνον αὐτὰ καλεῖν· ἐν μέντοι τῷ ⟨υ 339⟩ οὐ μὰ Ζῆν', Ἀγέλαε αἱ δύο ἀρνήσεις μίαν συγκατάθεσιν ποιοῦσιν, ἀντὶ τοῦ «νὴ τὸν Δία» (*cfr* Σ^v 282, 2 seq *et* Σ^h 101, 24 seq).

Τὰ δὲ βεβαιώσεως. — Βεβαιῶν *etc.* = Σ^v 282, 6—17 *et* 282, 22—283, 2.

§ 20 (25b).

Περὶ συνδέσμου.

Τεχνικῶς ὁ σύνδεσμος τελευταῖος *etc.* = Σ^h 102, 5—103, 13.

Δοκεῖ δὲ ὑπεναντίως *etc.* = Σ^m 436, 26—33.

Ἔστι δὲ ὁ σύνδεσμος *etc.* = Σ^v 284, 6—10.

Παρέπεται δὲ αὐτῷ σχῆμα *etc.* = Σ^v 283, 7—12.

Τρόποι δὲ τῶν συνδέσμων *etc.* = Σ^v 284, 14—286, 4.

Ὀρθῶς δέ τις σκοπῶν τὸ συμπλ. *etc.* = Σ^d 61, 20—62, 11.

Χρὴ δὲ εἰδέναι ὅτι πάντως *etc.* = Σ^h 104, 7—10.

Τέ. Οὗτος τίθεται μὲν ἐν *etc.* = Σ^d 62, 12—63, 16.

Εἰδέναι μέντοι χρή, ὅτι οὐ δεῖ *etc.* = Σ^h 103, 27—30.

Διαζευκτικοί. — Εἰ σύνδεσμοι, πῶς δ. *etc.* = Σ^d 63, 19—29.

Ζητεῖται δέ, εἰ σύνδεσμοι, πῶς δ. *etc.* = Σ^v 287, 6—23.

Σκόπει δὲ τὴν τάξιν *etc.* = Σ^v 287, 25—28.

Συναπτικοί. — Οὗτοι τὰ μὲν λεγόμενα *etc.* = Σ^d 63, 30—64, 9.

Οἱ συναπτικοὶ τάξιν σημαίνουσιν *etc.* = Σ^v 288, 5—16.

Διαφέρουσι δὲ οἱ συμπλ. τῶν συναπτ. ὅτι *etc.* = Σ^h 105, 10—16.

Παρασυναπτικοί. — Οὗτοι καὶ ὕπαρξιν *etc.* = Σ^v 289, 2—14.

Οἱ παρασυναπτικοὶ τὸ ἡγούμενον *etc.* = Σ^v 289, 15—25.

Αἰτιολογικοί. — Καλῶς οὗτοι ἐκλήθησαν τῆς αἰτίας λόγον παρέχοντες (*cfr* Σ^d 64, 20 seq)· εἴ που γάρ τις *etc.* = Σ^v 290, 1—9.

Πάντες δὲ ἐν τῷ προτέρῳ λ. *etc.* = Σ^d 64, 22—65, 12.

Καὶ τὸ ὄφρα δὲ ἐνίοτε σύνδεσμος αἰτιολογικός, οἷον ⟨Δ 300⟩ ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζῃ· ἔστι δὲ καὶ ἐπίρρημα καιροῦ παραστατικόν. Καὶ τὸ χάριν δὲ σύνδεσμός ἐστιν αἰτιολογικός, ἀλλ' ἐπειδὴ ὁμοφωνεῖ τῷ ὀνόματι, οὐ τέθεικεν αὐτό. Οὐδαμοῦ δὲ ποσότητα συνδέσμων τέθεικεν, ἐπεὶ οἱ τεχνογράφοι πάντες περὶ τῆς ποσότητος αὐτῶν διαφέρονται (*cfr* Σ^m 439, 29—32; 440, 11—16).

Ἀπορηματικοί. — Ἴδιον τῶν ἀπορηματικῶν συνδέσμων τὸ ἐκτείνεσθαι. Ὁ ἆρα *etc.* = Σ^v 290, 11—27.

Ἀπορηματικοὶ λέγονται, διότι *etc.* = Σ^d 65, 13—66, 16.

Παραπληρωματικοί. — Τούτων τινὲς *etc.* = Σ^v 290, 32—291, 13.

Οἱ πλείους δὲ αὐτῶν εἰς τὰ ἐγκλιτ. *etc.* = Σ^d 66, 28—67, 7.

Ἰστέον δὲ ὡς καὶ τὸ νύν παραπληρωματικός ἐστι σύνδεσμος καὶ

ϲυϲτέλλεται, ὡϲ τὸ ⟨Ψ 485⟩ δεῦρό νυν, ἢ τρίποδοϲ περιδώμεθον ἠὲ λέβητοϲ, ἀντὶ τοῦ «δεῦρο δή»· τὸ δὲ ἐπίρρημα ἐκτείνεται καὶ περιϲπᾶται (*cfr* Σ^m 441, 29—32).

Ἰϲτέον δὲ ὡϲ ὁ μὲν δή *etc.* = Σ^h 105, 34—106, 5.

Παραπληρωματικοὶ δέ εἰϲιν ὅϲοι *etc.* = Σ^v 291, 21—28.

Τινὲϲ δὲ προϲτιθέαϲι.] Ὡϲ μὴ ἀρεϲκόμενόϲ φηϲι τὸ «τινέϲ». Τίθενται δὲ οὗτοι ἐν τοῖϲ δευτέροιϲ λόγοιϲ, προτάϲϲονται δὲ τῆϲ πρώτηϲ λέξεωϲ τῶν δευτέρων λόγων (*cfr* Σ^d 67, 9—13).

Ἐναντιωματικοὶ δὲ λέγονται, ὅτι *etc.* = Σ^m 442, 14—18.

Παρέλειψε δὲ τοὺϲ διαϲαφητικούϲ *etc.* = Σ^v 291, 31—292, 8.

COMMENTARIOLVS BYZANTINVS.

Ἑρμηνεῖαι ϲὺν Θεῷ τῶν ὀκτὼ μερῶν τοῦ λόγου.
Περὶ προϲῳδιῶν.

Προϲῳδίαι εἰϲὶν δέκα· ὀξεῖα ´, βαρεῖα `, περιϲπωμένη ῀, μακρά ¯, βραχεῖα ˘, δαϲεῖα ʽ, ψιλή ʼ, ἀπόϲτροφοϲ ʼ, ὑφέν ‿, ὑποδιαϲτολή ,. — Ἡ ὀξεῖα δίδοται ἐπάνω τῶν βραχέων ε̆ καὶ ŏ, καὶ ἐπάνω τοῦ ᾱ ῑ ῡ, καὶ ἐπὶ ⟨τοῖϲ⟩ μακροῖϲ η̄ καὶ ω̄· οἷον ἐπὶ βραχέϲιν θέλω θεόϲ τάχοϲ ἄρχων ὅροϲ κόροϲ ἵπποϲ, καὶ ἐπὶ μακροῖϲ, οἷον κτήϲεωϲ γνώϲεωϲ. Ὀξύτονα λέγονται τὰ ἐπὶ τοῦ τέλουϲ ἔχοντα τὸν τόνον, οἷον θεόϲ ϲοφόϲ ὀξύϲ καλόϲ· παροξύτονα τὰ πρὸ μιᾶϲ ϲυλλαβῆϲ τοῦ τέλουϲ ἔχοντα τὸν τόνον, οἷον φίλοϲ νέοϲ λόγοϲ πρεϲβύτηϲ πολίτηϲ· προπαροξύτονα τὰ πρὸ δύο ϲυλλαβῶν τοῦ τέλουϲ ἔχοντα τὸν τόνον, οἷον Στέφανοϲ Θεόδωροϲ Φιλόθεοϲ Βαϲίλειοϲ. Ἡ δὲ βαρεῖα ἐπάνω τῶν ἄρθρων ἀρϲενικῶν, θηλυκῶν, οὐδετέρων πληθυντικῶν ⟨καὶ⟩ ἑνικῶν, οἷον πτώϲεωϲ αἰτιατικῆϲ τὸν τοὺϲ τὴν τὰϲ τὸ τά· δίδοται δὲ ἡ βαρεῖα καὶ ἐν τῇ ϲυνεπείᾳ τῶν λέξεων· καθ' ἑαυτὴν μένουϲα ἡ λέξιϲ ὀξύνεται, οἷον καλόϲ κακόϲ φυλή ϲτρατιά, ϲὺν ἑπομένῃ δὲ ἡ αὐτὴ λέξιϲ βαρύνεται, οἷον «καλὸϲ ἄνθρωποϲ, ἡ φυλὴ τῶν Σαρακηνῶν, ἡ ϲτρατιὰ τῶν Ῥωμαίων»· καὶ ἐπὶ μονοϲυλλάβοιϲ, οἷον μὲν γάρ. Ἡ περιϲπωμένη δὲ δίδοται ἐπάνω τῶν ἄρθρων ἀρϲενικῶν, θηλυκῶν, οὐδετέρων πληθυντικῶν καὶ ἑνικῶν πτώϲεωϲ γενικῆϲ καὶ δοτικῆϲ, τοῦ τῶν τῷ τοῖϲ τῆϲ τῶν τῇ ταῖϲ· καὶ ἐπὶ μακροῖϲ, ἦθοϲ ὦμοϲ χῶροϲ, καὶ ἐπὶ διφθόγγοιϲ, αἶνοϲ οἶνοϲ οὖϲ εὖροϲ· καὶ ἐπὶ τέλει τῶν ὀνομάτων, Ἀπελλῆϲ Μωϋϲῆϲ Κοϲμᾶϲ Λουκᾶϲ· καὶ ἐπὶ μετοχῶν, ὁ νοῶν ὁ βοῶν ὁ οἰκῶν· καὶ ἐπὶ ὁριϲτικῶν, νοῶ ποιῶ· καὶ ἐπὶ ἀπαρεμφάτων, ποιεῖν ἀθλεῖν φαγεῖν πιεῖν· καὶ πρὸ μιᾶϲ ϲυλλαβῆϲ ἐπὶ μακροῖϲ, κῆποϲ μῆλον. Πρὸ δύο δὲ ϲυλλαβῶν τοῦ τέλουϲ οὐ δίδοται περιϲπωμένη, οὐδ' ἐπὶ μακρᾷ πρὸ

DISCR. SCR. IN LH] **12** *de inscriptione commentarioli cfr praefat. cap. IX* || **22** πληθ. ἑνικ. L, ὀνομάτων ἐπὶ ἑνικῶν δυϊκῶν καὶ πληθυντικῶν H || **23** καὶ H, *om* L || **25** ϲὺν ἑπομένῃ] ϲυνεπομένη LH || **27** Ἡ *et* δὲ H, *om* L || **29** *ante* χῶροϲ *add* χώρα LH || **30** ὀνομάτων H, ῥημάτων L | Ἀπελλῆϲ] ἀπειλῆϲ L, *om* H | *post* Λουκᾶϲ *add* ἀνομιῶν L, *pro quo GSchoemann, Philol. Anz. 1881, 510 scribendum censet* καὶ ὁμοίων || **31** μετοχῶν H, μετοχικῶν L | ὁ *ante* οἰκ. *om* L || **32** φαγεῖν πιεῖν H, λεγεῖν L | *post* μῆλον *add* θώραξ κώπη L

μακρᾶc, ἀλλὰ μακρᾷ πρὸ βραχείαc, οἷον Παῦλοc Παῦλον Παύλου Παύλῳ. Τὰ δὲ βραχέα ε̄ καὶ ο̄ περιcπωμένην οὐ λαμβάνουcιν. Μονοcύλλαβα δὲ περιcπῶνται ταῦτα, νῦν πᾶν. — Μακρὰ ἐπὶ τῶν μακρῶν, οἷον Ἡρῴδης, Ἡρακλείδης· βραχεῖα ἐπὶ ⟨τῶν⟩ βραχέων ε̄ καὶ ο̄, λο̆γο̆c δο̆λῐο̆c φῐλο̆cο̆φο̆c. — Δαcεῖα ἐπάνω τῶν ἄρθρων, ὁ οἱ ἡ αἱ· καὶ ἐπὶ ὀνομάτων ἀπὸ φωνηέντων ἀρχομένων, οἷον ἵπποc ὑδρεία. Ψιλὴ ἄλλοc, ὄχθα, οὐκ εἶπον, οὐχ οὕτωc, οὐκ ἔcτιν, ἢ ἐναντίον ἢ καλόν· καὶ ἐπὶ προθέcεωc, οἷον ἓν ἓξ εἷc, ἐν πόλει, ἐξ ὁμολογίαc, εἰc οἶκον· [καὶ] δαcυνόμενα δὲ ἀριθμὸν ποιεῖ, ἓν ἓξ εἷc. — Ἡ ἀπόcτροφοc ἀντὶ τοῦ ᾱ ἢ ἀντὶ τοῦ ε̄ ἢ ἀντὶ τοῦ ῑ, οἷον ἄρ' οὕτωc, ἀλλ' ἐμόc, ἀλλ' ἴδον, ⟨hymn. in Merc. 263?⟩ οὔτ' ἴδον οὔτ' ἤκουcα. Ἡ ὑφὲν τίθεται, ὅτε δύο λέξειc εἰc μίαν cυνέρχονται, οἷον Θεόδοτοc ἀρχιποιμήν ἀρχιcτρατηγόc φίλαρχοc φιλάνθρωποc. Ἡ ὑποδιαcτολὴ τίθεται ἐναντία τῇ ὑφέν· τῆc γὰρ ὑφὲν cυναπτούcηc τὰ δοκοῦντα διαιρεῖcθαι, ἡ ὑποδιαcτολὴ τὰ δοκοῦντα ἡνῶcθαι διαιρεῖ, οἷον ЄCTI,NOYC ЄCTIN,OYC ΚΩNCTANTINOY,ΠOΛIC· τίθεται καὶ ἀντὶ ὑποcτιγμῆc ὑποκάτω τοῦ ἐcχάτου γράμματοc μήπω πεπληρωμένου τοῦ νοήματοc.

Cχόλια cὺν Θεῷ εἰc τὰ προλεγόμενα τῆc γραμματικῆc.

§ 1.

Περὶ γραμματικῆc.

«Γραμματική ἐcτιν ἐμπειρία τῶν παρὰ ποιηταῖc τε καὶ cυγγραφεῦcιν ὡc ἐπὶ τὸ πολὺ λεγομένων». — Παρὰ τί λέγεται γραμματική, καὶ τί ἐcτιν ἐμπειρία, καὶ τίνεc οἱ ποιηταί, καὶ τίνεc οἱ cυγγραφεῖc, καὶ τί τὰ ποιήματα, καὶ τί τὰ cυγγράμματα; Θεοῦ cυνεργοῦντοc ἀπολογούμεθα περὶ τούτων. Γραμματικὴ λέγεται διὰ τὸ τήκειν καὶ καθαίρειν τὰ γράμματα· ὥcπερ γὰρ ὁ χρυcὸc τηκόμενοc ὑπὸ τοῦ πυρόc, τουτέcτι χωνευόμενοc, καθαρώτεροc ἀναφαίνεται, οὕτω καὶ τὰ γράμματα τηκόμενα καὶ καθαιρόμενα καὶ λαμπρυνόμενα ὑπὸ τῆc γνώcεωc τῆc γραμματικῆc λαμπρότερα καὶ φαεινότερα ἀναφαίνονται. — Ἐμπειρία δὲ λέγεται ποτὲ μὲν ἡ ἄλογοc γνῶcιc, ποτὲ δὲ καὶ ἡ διὰ λόγου γνῶcιc. Ἡ μὲν ἄλογοc γνῶcιc γινώcκεται οὕτωc, ὡc ὅταν τιc ῥόδον θεαcάμενοc πέρυcι ἢ προπέρυcι ἢ καὶ πρὸ πολλῶν χρόνων, ἐκ μόνηc τῆc ὁράcεωc καὶ ὀcφρήcεωc ἄνευ λόγου διδαcκαλίαc γινώcκῃ τὴν εὐωδίαν καὶ ἐρυθραίνουcαν χροιὰν αὐτοῦ, καὶ ἐὰν ἐρωτηθῇ, πόθεν ἐν αὐτῷ ἡ τοιαύτη εὐωδία καὶ ἡ βαφὴ ὑπάρχει, οὐ δύναται διὰ λόγου διδαcκαλίαc ἀποκριθῆναι· οὐ γὰρ ἔγνωcε τὸ ῥόδον τοιοῦτον εἶναι ὑπὸ διδαcκαλίαc, ἀλλ' ἐκ μόνηc τῆc ὀcφρήcεωc καὶ τῆc ὁράcεωc. Αὕτη λέγεται ἄλογοc γνῶcιc. Λογικὴ δὲ γνῶcίc ἐcτιν, ἣν διὰ λόγου διδαcκόμεθα, οἷον γραμματικὴν μὲν καὶ τὰc παραπληcίουc τέχναc καὶ ἐπιcτήμαc διδαcκόμεθα· αὕτη δὲ λέγεται λογικὴ γνῶcιc, ἡ διὰ λόγου διδαcκαλία. Δύο τοίνυν γνώcεων λεχθειcῶν ἐπὶ τῆc ἐμπειρίαc, ἀλόγου καὶ λογικῆc, τὴν λογικὴν νόηcον λέγειν τὸν Διονύcιον ἐπὶ τῆc γραμματικῆc. — Ποιηταὶ δέ εἰcιν Ὅμηροc, Ἀριcτοφάνηc,

---

3 Μακρὰ — ἤκουcα (**9**) L, μακρὰ δὲ πρὸ μακρᾶc οὐ περιcπᾶται, οἷον Ἡρώδηc Ἡρακλείδηc. cημείωcαι δὲ ὅτι τὰ ἄρθρα τῶν ἀρcενικῶν τε καὶ θηλυκῶν ὀνομάτων δαcύνονται, οἷον ὁ ἡ οἱ αἱ H | βραχεῖα] βραχέα L ‖ **12** τὰ δοκ. ἡν. δι. οἷον H, χωρίζει L ‖ **13** ΚΩNCT. *om* H ‖ **14** μήπω H, μήπου L

DISCR. SCR. IN LHF] **16** Cχόλια — γραμμ. (**18**) L, ἑρμηνεία τῶν ὀκτὼ μερῶν τοῦ λόγου F, *om* H ‖ **19** Γραμμ. — λεγομ. (**20**) *om* F | ὡc — λεγομ. (**20**) *om* L ‖ **27** διὰ λόγου HF, ἀλόγου L ‖ **29** ὁράc. καὶ *om* F | ὁράcεωc H, ῥύcεωc L | γινώcκει LHF ‖ **30** ἡ *ante* τοι. *om* L ‖ **31** ἔγνωcεν L, ἔγνωcε F, ἔγνω H ‖ **32** ῥόδον HF, *om* L ‖ **36** λεχθειcῶν L, λεχθέντων HF

Θεόκριτος, Ἀλκαῖος, Πίνδαρος, Ἡσίοδος, Ἰσοκράτης, Εὐριπίδης, Θουκυδίδης, Φωκυλίδης καὶ οἱ λοιποὶ δὲ πάντες ποιηταί· συγγραφεῖς δὲ οἱ τὰ τούτων ποιήματα συγγραψάμενοι. Λέγομεν δὲ τρανοτέρως περὶ ποιητοῦ καὶ συγγραφέων, οἷον ποιητὴς μὲν ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστός, συγγραφεῖς δὲ Ματθαῖος, Μάρκος, Λουκᾶς, Ἰωάννης. — Ποιήματα δὲ τοῦ Ὁμήρου ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια· συγγράμματα δὲ τὰ αὐτὰ νοείσθω· ἐπὶ δὲ τοῦ κυρίου ἡμῶν ποιήματα μὲν τὰ ἀόρατα καὶ τὰ ὁρατὰ κτίσματα, καὶ ⟨συγγράμματα⟩ ἡ παλαιὰ καὶ νέα διαθήκη ἡ συγγραφεῖσα ὑπὸ Μωϋσέως καὶ τῶν λοιπῶν προφητῶν καὶ τῶν εὐαγγελιστῶν. — Τί δέ ἐστιν «ὡς ἐπὶ πολὺ λεγομένων»; Τουτέστιν ἐπὶ πολὺ μελετωμένων· τὸ γὰρ δι' ὀλίγου μελετώμενον δυσνόητόν ἐστιν ἢ παντελῶς ἀνόητον καὶ ἀκράτητον καὶ ἀμνημόνευτον· τὸ δὲ ἐπὶ πολὺ μελετώμενον ἐπὶ πολὺ διαμένει ἐν τῇ ἡμετέρᾳ μνήμῃ.

«Μέρη δὲ αὐτῆς ἐστιν ἕξ· πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν». Τί ἐστιν ἀνάγνωσις, καὶ τί ἐστιν ἐντριβής, καὶ τί ἐστι κατὰ προσῳδίαν; Ἀνάγνωσις μὲν ἐν προχείρῳ ἐστὶν ἀναγνωρισμός, οἷον ἐγνώρισά τινα καὶ λησμονήσας πάλιν ἀνεγνώρισα αὐτόν· ἀνάγνωσις δὲ κυρίως ἐστὶν ἡ τὰ ἄνω ἤγουν τὰ περὶ θεοῦ γινώσκουσα γνῶσις. Ἐντριβὴς δὲ λέγεται ἡ γνῶσις ἡ τὴν τρίβον τῆς σοφίας καλῶς ἐπισταμένη. Κατὰ προσῳδίαν δέ ἐστιν ἡ γνῶσις τῶν δέκα προσῳδιῶν. Διαιροῦνται δὲ αἱ προσῳδίαι εἰς τέσσαρα, εἰς τόνους ´ ` ˆ, εἰς χρόνους ¯ ˘, εἰς πνεύματα ̔ ̓, εἰς πάθη ' ‿ , · καὶ πρέπει δὴ τὸν ἀναγινώσκοντα κατὰ τόνους καὶ χρόνους καὶ πνεύματα καὶ πάθη ἀναγινώσκειν.

«Δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους». Χρὴ γινώσκειν τί ἐστιν ἐξήγησις, καὶ τί διήγημα, καὶ τί διήγησις, καὶ τί διαφέρει διήγημα διηγήσεως καὶ ἐξήγησις διηγήματος· καὶ τὸ μὲν διήγημα μερικῶς διηγεῖται, ἡ δὲ διήγησις καθόλου, ἡ δὲ ἐξήγησις ἀκριβεστέρα ἐστὶ τοῦ διηγήματος. Τί δέ ἐστι «κατὰ τοὺς ἐνυπάρχοντας τρόπους»; Τρόπος ἐστὶ παρατροπὴ ἀληθείας, ὡς ὅταν εἴπωμεν «φωνὴν ἔδωκαν αἱ νεφέλαι»· φωνὴ γὰρ ἀληθῶς ἡ ἐκ νοῦ προερχομένη λέγεται, ἐπεὶ καὶ φῶς νοῦ ἐτυμολογεῖται ἡ φωνή. Ποιητικοὶ δὲ τρόποι εἰσὶν κζ´· ζήτει αὐτοὺς ἐν τῷ περὶ τρόπων Γεωργίου τοῦ Χοιροβοσκοῦ. Δεῖ γὰρ τὸν γραμματικὸν καὶ κυριολογίας καὶ τροπολογίας γινώσκειν· κυριολογία δέ ἐστιν ἡ κυρίως τουτέστιν ἀληθινὰ λέγουσα, τροπολογία δέ ἐστι παρατροπὴ ἀληθείας.

«Τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις». Τί ἐστι γλῶσσα καὶ ἱστορία καὶ πρόχειρος ἀπόδοσις; Γλῶσσά ἐστιν ἰδίωμα διαλέκτου· διάλεκτοι δέ εἰσιν Ἑλληνικαὶ πέντε· Ἰάς, Ἀτθίς, Δωρίς, Αἰολίς, κοινή. Ἰὰς μὲν ἐκλήθη ἡ τῶν Ἰώνων, ἀπὸ Ἴωνος τοῦ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ἐρεχθέως θυγατρός, ἣν ἔγραψεν ὁ Ὅμηρος· Ἀτθὶς δὲ ἡ τῶν Ἀττικῶν, ἀπὸ Ἀτθίδος τῆς Κραναοῦ θυγατρός, ἣν ἔγραψεν Ἀριστοφάνης· Δωρὶς δὲ ἡ τῶν Δωριέων, ἀπὸ Δώρου τοῦ Ἕλληνος παιδός, ἣν ἔγραψεν Θεόκριτος· Αἰολὶς δὲ ⟨ἡ τῶν Αἰολέων⟩, ἀπὸ Αἰόλου τοῦ Ἕλληνος παιδός, ἣν ἔγραψεν Ἀλκαῖος· κοινὴ δὲ ᾗ πάντες χρώμεθα, ἣν ἔγραψεν Πίνδαρος. Καὶ δεῖ τὸν γραμματικὸν ἐπίστασθαι αὐτάς, ἵνα ὅταν ἀκούσῃ τὸ βλέπω ῥῆμα ἐν διαλέκτῳ ξένῃ λεγόμενον δέρκω καὶ ⟨ἀ⟩θρῶ καὶ ὄπτω καὶ λεύσσω, γινώσκῃ τὸ αὐτὸ εἶναι. Ἱστορία δέ ἐστιν ἡ παλαιῶν πραγμάτων ἔχουσα ἀφήγησιν· πρόχειρος δὲ ἀπόδοσίς ἐστιν ἕτοιμος ἀπόκρισις.

---

1 Ἀλκαῖος F, Ἀληκμαῖος L, Ἀλκμαῖος H ‖ 4 κύριος HF, Ἰησοῦς L ‖ 9 *ante prius* πολὺ *add* τὸ H ‖ 11 *ante prius* πολὺ *add* τὸ H ‖ 12 ἐστιν ἕξ] εἰσὶν ἕξ H ‖ 14 λισμονίσας L, ἐπιλαθόμενος H, *om* F ‖ 19 πρέπει δὴ L, δεῖ HF ‖ 23 καὶ ἐξήγημα διηγήσεως L, καὶ ἐξήγημα ἐξηγήσεως H, *om* F | καὶ τὸ H, ὅτι L, ὅτι τὸ F ‖ 27 ἡ *add* F | δὲ *add* F ‖ 28 τοῦ *add* F ‖ 33 Ἰάς — Πίνδαρος (38) *om* F ‖ 34 ἣν L, ᾗ H; *item v. 35. 36. 37* ‖ 35 Κρανέου LH ‖ 38 Ἀλκμεῦος L, Ἀλκμαίων H | ἣν L, ταύτῃ H ‖ 40 δέρκω HF, κέρδω L | ὄπτω LH, ὁρῶ F | καὶ λεύσσω F, καὶ λέπω L, *om* H

«Τέταρτον ἐτυμολογίας εὕρεσις». Ἐτυμολογία δέ ἐστιν ἕτοιμος ἑρμηνεία λέξεως, οἷον ὡς ὅταν ἐρωτηθῶμεν, τί ἑρμηνεύεται πατήρ, ἐπὶ μὲν τοῦ θεοῦ ἑτοίμως ἀποκριθῶμεν, «ὁ τὰ πάντα τηρῶν», ἐπὶ δὲ ἀνθρώπου «ὁ τοὺς ἰδίους παῖδας τηρῶν»· ὥστε δεῖ τὸν γραμματικὸν καὶ τὰς ἐτυμολογίας τῶν ὄντων γινώσκειν καὶ ἐρωτώμενον ἑτοίμως ἀποκρίνεσθαι.

«Πέμπτον ἀναλογίας ἐκλογισμός». Ἀναλογίας δὲ ἐκλογισμός ἐστιν ἀνάμνησις καὶ ἀπόδοσις κανόνος, οἷον ἐὰν ἐρωτηθῇς τοῦ φωτός ὀνόματος τὴν δοτικήν, ποῖον στοιχεῖον ἔχει ἐπὶ τέλους, εἰπὲ ὅτι ι̅· καὶ ἐὰν ἐρωτηθῇς τὴν αἰτίαν, διὰ τί ἔχει ἐπὶ τέλους τὸ ι̅, εἰπὲ ὅτι πᾶσα γενικὴ εἰς ο̅ς̅ λήγουσα τροπῇ τῆς ο̅ς̅ εἰς ι̅ τὴν δοτικὴν ποιεῖ ὁμότονον καὶ ὁμόχρονον· ὁμοίως καὶ τὸ ταχεῖα ἐὰν διὰ τῆς ε̅ι̅ διφθόγγου γράψῃς, ἐρωτώμενος, διὰ τί, ἀποκριθῇς, ὅτι τὰ ἀπὸ τῶν εἰς υ̅ς̅ ἀρσενικῶν θηλυκὰ παραγόμενα διὰ τῆς ε̅ι̅ διφθόγγου γράφεται· καὶ αὕτη ἡ ἀναλογία ἀνάμνησις καὶ ἀπόδοσίς ἐστι κανόνος. Δεῖ δὲ τὸν γραμματικὸν ταῦτα πάντα καλῶς ἐπίστασθαι.

«Ἕκτον κρίσις ποιημάτων, ὃ δὴ κάλλιστόν ἐστι πάντων τῶν ἐν τῇ τέχνῃ». Κρίσις ποιημάτων μὲν ἡ ἀκριβὴς γνῶσις τῶν ποιημάτων λέγεται· ταύτῃ τῇ ἠκριβωμένῃ γνώσει χρώμενος ὁ γραμματικὸς δεῖ γινώσκειν τὰ βιβλία τῆς ἐκκλησίας πάντα, τουτέστιν τὴν παλαιὰν καὶ καινὴν διαθήκην, ἵνα ὅταν ἀκούσῃ φωνὴν ξένην καὶ σύγγραμμα ἢ ποίημα ψευδές, μὴ δέξηται αὐτὸ ὡς ἀληθινόν, ἐπειδὴ ἔστιν εὐαγγέλιον κατὰ Θωμᾶν λεγόμενον. Δεῖ δὲ γινώσκειν τὸν γραμματικὸν τὰ ὀνόματα καὶ τὰς φωνὰς τῶν εὐαγγελιστῶν, ἵνα μὴ ἀλλότριον καὶ ψευδὲς εὐαγγέλιον δέξηται· ἀλλὰ καὶ ὁμώνυμα καὶ ψευδῆ συγγράμματα εἰσίν, οἷον ἡ λεγομένη Ἀποκάλυψις τοῦ ἁγίου Παύλου· οὐ γάρ ἐστιν τοῦ ἁγίου Παύλου, ἀλλ' ἑτέρου Παύλου αἱρετικοῦ τοῦ Σαμωσατέως, ὅθεν οἱ Παυλικιανοὶ κατάγονται· καὶ ἑτέρα Ἀποκάλυψις ἡ λεγομένη τοῦ Θεολόγου· οὐκ ἔστι δὲ τοῦ Θεολόγου· οὐ λέγομεν δὲ τὴν ἐν Πάτμῳ τῇ νήσῳ, μὴ γένοιτο· αὕτη γὰρ ἀληθεστάτη ἐστίν, ἀλλὰ τὴν ψευδώνυμον καὶ ἀλλοτρίαν. Δεῖ δὲ τὸν γραμματικὸν καὶ τὰ Ἑλληνικὰ βιβλία γινώσκειν· εἰσὶ γὰρ καὶ ἐν αὐτοῖς ὁμώνυμα βιβλία ψευδῆ, οἷον ἡ Ἀσπὶς Ἡσιόδου καὶ τὰ Θηριακὰ Νικάνδρου· οὐ γάρ ἐστιν ἡ Ἀσπὶς Ἡσιόδου οὐδὲ τὰ Θηριακὰ Νικάνδρου· ἑτέρων γὰρ εἰσιν ποιητῶν, ἐχρήσαντο δὲ οἱ συγγραφεῖς τῇ ὁμωνυμίᾳ Ἡσιόδου καὶ Νικάνδρου, ἵνα ἄξια κριθῶσιν ἀναγνώσεως. Δεῖ δὲ τὸν γραμματικὸν ταῦτα πάντα καλῶς ἐπίστασθαι, καὶ οὕτως λέγεσθαι καὶ εἶναι γραμματικόν.

§ 2.

Περὶ ἀναγνώσεως.

«Ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά». Προεδιδάξαμεν χάριτι Θεοῦ, τί ἐστιν ἀνάγνωσις, καὶ τί ποιητής, καὶ τί συγγραφεύς, καὶ τί ποίημα, καὶ τί σύγγραμμα· λειπόμεθα δὲ δεῖξαι ἐνταῦθα, τί ἐστιν ἀδιάπτωτος προφορά. Ἀδιάπτωτον μὲν οὖν νόησον τὸν ἀμετάπτωτον σκοπὸν τοῦ ἀναγινώσκοντος, τουτέστιν μὴ ἔξω τῆς προκειμένης ἀναγνώσεως μεταπίπτοντα· προφορὰν δὲ τὴν διὰ φωνῆς ἐκφορὰν τοῦ λόγου νόησον· ἔστι γὰρ λόγος προφορικὸς ὁ διὰ φωνῆς ἐκφερόμενος, καὶ ἔστιν λόγος ἐνδιάθετος ὁ ἐν τῇ καρδίᾳ μελετώμενος. Πρῶτος δέ ἐστιν ὁ ἐνδιάθετος τοῦ προφορικοῦ· πρῶτον γὰρ μελετῶμεν ὃ θέλομεν εἰπεῖν ἐν τῇ καρδίᾳ ἡμῶν ἐνδιαθέτως, καὶ οὕτως τότε προφορικῶς ἐκφέρομεν.

«Ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν». Ὑπόκρισίς ἐστι φωνῆς καὶ σχήματος πιθανὴ διάθεσις, πρέπουσα τῷ ὑποκειμένῳ προσώπῳ

4 ἐρωτώμενος HF, *om* L ‖ 8 αἰτίαν HF, αἰτιατικὴν L ‖ 11 *ante* ἐρωτώμ. *add* καὶ LH | διὰ τί H, ἑτοίμως F, *om* L | τὰ *om* L ‖ 17 τὴν *add* H | καινὴν L, νέαν HF ‖ 19 Δεῖ γιν. ὁ γραμματικὸς L ‖ 25 ἀλλότριον LH ‖ 35 καὶ ποι. καὶ συγγρ. L ‖ 36 σύγγραμμα] σύγκριμα L ‖ 38 μεταπίπτοντα F, μεταπίπτειν LH ‖ 39 ἔστι] ἐπὶ L ‖ 40 δέ] γάρ LHF ‖ 43 κατὰ διαστ. L, καὶ κατὰ δ. H, *om* F

καὶ πράγματι. «Κατὰ προσῳδίαν» δέ, ἵνα ἐν μὲν τοῖς τόνοις τείνωμεν τὴν φωνὴν ἐν αἷς κεῖνται συλλαβαῖς κατὰ τὴν ἑκάστου διαφοράν. Διαφέρουσι γὰρ ἀλλήλων οἱ τόνοι οὕτως· ἡ μὲν ὀξεῖα λεπτοτάτην ἔχουσα φωνὴν ἐπὶ τὰ ἄνω τείνει· ἡ δὲ βαρεῖα τραχυτάτην ἔχουσα φωνὴν ἐπὶ τὰ κάτω τείνει· ἡ δὲ περισπωμένη πλατεῖαν ἔχουσα φωνὴν περικεκλασμένως ἐκφωνεῖται, τουτέστιν ὧδε κἀκεῖσε περιτείνεται· διὰ τοῦτο καὶ περισπωμένη λέγεται διὰ τὸ περισπᾶσθαι, τουτέστιν περιτείνεσθαι ὧδε κἀκεῖσε. Εἴρηνται δὲ τόνοι ἐκ μεταφορᾶς τῶν ἐν τῇ κιθάρᾳ τεινομένων νευρῶν· οἱ γὰρ τόνοι ἀπηχήματα μουσικῆς εἰσιν. Ἐν δὲ τοῖς πνεύμασι πάλιν, ἵνα δασύνωμεν ἢ ψιλώσωμεν τὴν φωνήν· ἐν δὲ τοῖς πάθεσιν, εἰ μέν ἐστιν ἀπόστροφος, ἵνα κουφίσωμεν, τουτέστιν ὑπερβῶμεν, φωνῆεν· εἰ δέ ἐστιν ὑφέν, ἵνα συνάψωμεν λέξιν μετὰ λέξεως· εἰ δέ ἐστιν ὑποδιαστολή, ἵνα διαχωρίσωμεν λέξιν ἀπὸ λέξεως. Περὶ δὲ τῶν χρόνων, τουτέστιν τῆς μακρᾶς καὶ τῆς βραχείας, οὐκ ἔστιν νῦν πολλὴ χρεία. — «Ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετήν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην, ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν». Ἡ γὰρ ὑπόκρισις λεγομένη πάνυ ἀρέσκει τοῖς ἀκροαταῖς· ἀλλὰ καὶ ἡ προσῳδία ἐκφαίνει τὴν τέχνην καὶ τὸν ἀναγνώστην λαμπρύνει· καὶ ἡ διαστολὴ τὸν περιεχόμενον νοῦν κάλλιστα ἐκφαίνει.

«Ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν». Τραγῳδία μὲν οὖν κατὰ Ὅμηρον ἔπαρμά ἐστι φωνῆς· τὴν γὰρ τῆς Ἰλίου πόλεως ἅλωσιν καὶ συμφορὰν ἐν ὑψηλῇ φωνῇ ἐτραγῴδησεν τοιάδε λέγων ⟨I 593 seq⟩· ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, Τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας. Δεῖ δὲ ἡμᾶς ὅταν ἀναγινώσκωμεν τραγῳδικὰ διηγήματα ἐν ὑψηλῇ φωνῇ καθὼς οἱ ἥρωες ἀναγινώσκειν. Φασὶν μὲν τοὺς ἥρωας οἱ Ἕλληνες ἡμιθέους εἶναι· ἡμεῖς δὲ ἀνθρώπους μέν, δυνατοὺς δέ. — «Τὴν δὲ κωμῳδίαν βιωτικῶς». Κωμῳδίαν δὲ οἱ ἀρχαῖοι ψόγον καὶ περίσυρμα ἔλεγον εἶναι· ἐγὼ δὲ λέγω, ὅτι καὶ ἐπὶ ψόγου καὶ ἐπὶ ἐπαίνου λαμβάνεται. «Βιωτικῶς» γὰρ εἶπεν ὁ τεχνικός, τουτέστιν κατὰ τὸν ἑκάστου βίον· ἔστι γὰρ βίος δίκαιος καὶ βίος ἄδικος, οἷον ὁ βίος τοῦ ἁγίου Πέτρου καλός, ὁ δὲ τοῦ Ἰουλιανοῦ κακός. Ὅταν οὖν ἑκάστου μνημονεῦσαι θέλωμεν, ἐπὶ μὲν τοῦ ἀποστόλου πραεῖαν καὶ ἱλαρὰν φωνὴν ἀφίεμεν πρέπουσαν τῷ βίῳ αὐτοῦ, οἷον «ὁ μακαριώτατος ἀπόστολος τῶν προσκαίρων ἀγαθῶν καταφρονήσας ἠκολούθησε τῷ Χριστῷ»· ἐπὶ δὲ τοῦ Ἰουλιανοῦ τραχεῖαν καὶ κατάπικρον φωνὴν ἀφίεμεν πρέπουσαν τῷ βίῳ αὐτοῦ, οἷον «ὁ ἀθλιώτατος Ἰουλιανὸς διὰ πρόσκαιρον ἀπόλαυσιν ἀπέστη ἀπὸ τοῦ Χριστοῦ». — «Τὰ δὲ ἐλεγεῖα λιγυρῶς». Ἐλεγεῖον δέ ἐστι μέτρον διαφέρον τοῦ ἰαμβικοῦ μέτρου καὶ ἡρωϊκου, πέντε πόδας ἐπιδεχόμενον. Ἐχρῶντο δὲ οἱ ἀρχαῖοι τῷ μέτρῳ τούτῳ ἐν τοῖς τάφοις· ἐλεγεῖον δὲ ἐκλήθη διὰ τὸ καὶ τὰς γυναῖκας λιγυρᾷ τῇ φωνῇ κλαίειν ἐν τοῖς τάφοις καὶ λέγειν αἲ αἴ. — «Τὸ δὲ ἔπος εὐτόνως». Ἔπος δέ ἐστι καθ' ἕνα μὲν τρόπον λόγος, κατὰ δὲ δεύτερον λόγων ἀκολουθία· καὶ δεῖ τὸν ἀναγινώσκοντα εὐτόνως, τουτέστιν ἰσχυρῶς καὶ κραταιῶς, ἐπακολουθεῖν τῇ ἀναγνώσει, καὶ μὴ ποιεῖν ἐκκοπὰς καὶ χωρισμοὺς συλλαβῶν καὶ λέξεων ἐν αἷς οὐ πρέπει. — «Τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς». Λυρικὴ ποίησις οὖν ἐστιν ἡ τὰ ᾀσματικὰ ποιήματα περιέχουσα. Δεῖ δὲ τὸν ποιητὴν ἔμπειρον εἶναι τῆς μουσικῆς, ἵνα μελίζῃ καλῶς τὰ ποιήματα, οἷον ἐάν τις θέλῃ ποιῆσαι κανόνα, πρῶτον δεῖ μελίσαι τὸν εἱρμόν, εἶτα ἐπαγαγεῖν τὰ τροπάρια ἰσοσυλλαβοῦντα καὶ ὁμοτονοῦντα τῷ εἱρμῷ καὶ τὸν σκοπὸν ἀποσῴζοντα. — «Τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς». Οἶκτος δέ ἐστιν εὐσπλαγχνία, γόος δὲ θρῆνος. Καὶ δεῖ τὸν ἀναγινώ-

---

11 εἰ δέ ἐστιν ὑποδ. — λέξεως Paris. 2594, ὑποδ. δέ ἐστιν ἵνα χωρίσωμεν λ. ἀπὸ λ. F, *om* LH | δὲ τ. FH, δὲ γὰρ τ. L ‖ 13 ἐκ δὲ τῆς πρ. τὴν τέχνην *om* L | ἐκ δὲ τῆς δ. — ὁρῶμεν (14) *om* LF | ὑποδιαστολῆς H ‖ 20 ἀμαλθύνει LHF ‖ 23 κωμ. βιωτ. *om* L ‖ 25 τεχνικός] ποιητής LHF ‖ 32 τὸ δὲ ἐλεγεῖον δέ ἐστι L ‖ 35 λιγυρᾶς L ‖ 37 λόγων F, τρόπον L, *om* H ‖ 38 *ante* καὶ μὴ *add* ἣν L ‖ 40 *post* ᾀσματ. *add* τουτέστι τὰ ψαλτικὰ HF

σκοντα, ὅταν ἀναγινώσκῃ περί τινων ἐν ἀνάγκαις περιπεσόντων, σπλαγχνίζεσθαι καὶ γοερᾷ τῇ φωνῇ ἤγουν θρηνητικῇ ἀναγινώσκειν, μιμούμενον τὰς φωνὰς καὶ τὰ ἤθη τῶν ἐν ἀνάγκαις περιπεσόντων. — «Τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα ὧν εἴπαμεν παρατήρησιν καὶ τὰς τῶν ποιητῶν ἀρετὰς καταρρυπαίνει καὶ τὰς ἕξεις τῶν ἀναγινωσκόντων καταγελάστους παρίστησιν».

§ 7 (8b)

Περὶ συλλαβῆς.

«Συλλαβή ἐστι κυρίως σύλληψις συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων, οἷον κὰρ βοῦς». Κυρίως σύλληψιν ἐνταῦθα τὴν ἀληθινὴν περικράτησιν νόησον· περικρατοῦνται γὰρ ἐν ἀλλήλοις τὰ στοιχεῖα καὶ οὕτως ἀποτελοῦσιν συλλαβήν, οἷον ἡ κὰρ συλλαβὴ περικρατεῖ τρία στοιχεῖα· ἔχει γὰρ ἐν ἀρχῇ τὸ κ, ἐπὶ τέλους δὲ τὸ ρ, καὶ μέσον τὸ α· καὶ ἡ βοῦς ἔχει ἐν ἀρχῇ τὸ β, ἐπὶ τέλους δὲ τὸ ς, καὶ μέσον τὸ ου δίφθογγον, περικρατοῦσα τέσσαρα στοιχεῖα. Εὑρίσκεται δὲ καὶ συλλαβὴ ἐξ ἑνὸς φωνήεντος καὶ ἐξ ἑνὸς συμφώνου, οἷον ἄρ· ἔχει γὰρ ἐν ἀρχῇ τὸ α, ἐπὶ τέλους δὲ τὸ ρ· καὶ ἀνάπαλιν ἐξ ἑνὸς συμφώνου καὶ ἐξ ἑνὸς φωνήεντος, οἷον ῥα· ἔχει μὲν γὰρ ἐν ἀρχῇ τὸ ρ, ἐπὶ τέλους δὲ τὸ α. Εὑρίσκεται δὲ καὶ σύμφωνον περικρατούμενον μετὰ δύο φωνηέντων ἐν διφθόγγῳ, οἷον πευ· ἀλλὰ καὶ καθ' ἑαυτὰ δύο φωνήεντα περικρατοῦνται, οἷον ευ. Ἀνέρχεται δὲ ἡ μεγίστη συλλαβὴ ἕως ἓξ στοιχείων περικρατουμένη, οἷον στράγξ· ἔχει γὰρ τὸ ς καὶ τὸ τ καὶ τὸ ρ καὶ τὸ α καὶ τὸ γ καὶ τὸ ξ. Καταχρηστικῶς δὲ εἶπεν ὁ τεχνικὸς καὶ τὴν ἐξ ἑνὸς φωνήεντος συλλαβήν· κατάχρησις δέ ἐστι τρόπος· τρόπος δέ ἐστι παρατροπὴ ἀληθείας, ὥστε οὐκ ἔστι συλλαβή. Ὅμως οὖν ἕκαστον φωνῆεν καθ' ἑαυτὸ συλλαβὴ λέγεται διὰ τὸ εἰς τόπον συλλαβῆς καταλογισθῆναι, οἷον α ε η ι ο υ ω.

§ 8 (9b).

Περὶ μακρᾶς συλλαβῆς.

«Μακρὰ συλλαβὴ γίνεται κατὰ τρόπους ὀκτώ, φύσει μὲν τρεῖς, θέσει δὲ πέντε· καὶ φύσει μὲν ἤτοι ὅταν διὰ τῶν μακρῶν στοιχείων ἐκφέρηται, οἷον ἥρως». Προέμαθες ὅτι μακρὰ στοιχεῖα δύο εἰσίν, η καὶ ω. Φύσει μακρὰ λέγονται, ὅτι φυσικῶς ἐν αὐτοῖς τὸ μέγεθος ἔχουσιν καὶ οὐκ ἔξωθεν ἐπείσακτον· τὰ δὲ βραχέα καὶ τὰ δίχρονα ἐπείσακτον τὸ μέγεθος ἔχουσιν, ὡς λέξων ἔρχομαι. — «Ἢ ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατ' ἔκτασιν παραλαμβανόμενον, οἷον Ἄρης». Ἰδοὺ ἐνταῦθα τὸ α ἐκτείνεται ποιητικῇ μὲν ἐξουσίᾳ, εὐλόγως δέ· οἱ γὰρ ποιηταὶ τὰ δίχρονα ἢ διὰ μέτρον ἢ δι' ἄλλην τινὰ αἰτίαν εὔλογον πῇ μὲν ἐκτείνουσι πῇ δὲ συστέλλουσιν. Ἡ δὲ ρης συλλαβὴ χωρὶς πάσης ἀντιλογίας μακρά ἐστιν, ἐπειδὴ τὸ η ἔχει· τὸ γὰρ η καὶ τὸ ω καὶ μόνα καὶ μετ' ἄλλων φύσει μακρά εἰσιν. — «Ἢ ὅταν ἔχῃ μίαν τῶν διφθόγγων, οἷον Αἴας». Ἰδοὺ ἐνταῦθα τὸ α μὴ δυνάμενον εἶναι μόνον μακρὸν προσέλαβεν τὸ ι, καὶ οὕτως ἐμεγεθύνθη· ἡ δὲ ας συλλαβὴ καθαρὰ οὖσα μακρά ἐστιν· καθαρὰν δὲ λέγομεν πᾶσαν συλλαβὴν τὴν πρὸ ἑαυτῆς φωνῆεν ἔχουσαν. Γίνωσκε δὲ ὅτι ὁ τεχνικὸς τὴν προηγουμένην συλλαβὴν διδάσκει ἐνταῦθα, οὐχὶ δὲ τὴν ἐπὶ τέλους. — «Θέσει δὲ ἤτοι ὅταν εἰς δύο σύμφωνα λήγῃ, οἷον ἄλς». Ἰδοὺ καὶ ἐνταῦθα τὸ α προσέλαβεν τὰ δύο σύμφωνα, λέγω δὴ τὸ λ καὶ τὸ ς, καὶ οὕτως ἐμεγεθύνθη. — «Ἢ ὅταν βραχεῖ ἢ

---

2 μιμούμενος LHF ‖ **3** ὧν εἴπαμεν L, ὡς εἴπομεν H, *om* F ‖ **4** καταρυπαίνει LH, καταριπτεῖ F ‖ **10** περικρατοῦνται F, περικρατοῦντα L, περικρατοῦσι H ‖ **13** τὸ (*ante* ου) F, τοῦ L, τὴν H | *ante* τέσσ. *add* δὲ L | καὶ *ante* συλλ. *add* H ‖ **16** δὲ *post* τέλους *om* L | καὶ *add* H ‖ **18** δὲ *add* F ‖ **19** καὶ ἔχει γὰρ L ‖ **32** εὐλόγως] ἀλόγως LHF ‖ **35** μετὰ τῶν ἄλλων L

βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο cύμφωνα, οἷον ἀγρόc». Ἰδοὺ καὶ ἐνταῦθα τὸ α̅ διὰ τὴν ἐπιφορὰν τῶν δύο cυμφώνων, λέγω δὴ τοῦ γ̅ καὶ τοῦ ρ̅, ἐμεγεθύνθη, τουτέcτι μακρὸν ἐγένετο. — «Ἢ ὅταν εἰc ἁπλοῦν cύμφωνον λήγῃ καὶ τὴν ἑξῆc ἔχῃ ἀπὸ cυμφώνου ἀρχομένην, οἷον ἔργον». Ἰδοὺ καὶ ἐνταῦθα ἡ ε̅ρ̅ cυλλαβή, διότι λήγει εἰc ἁπλοῦν cύμφωνον τὸ ρ̅ καὶ ἔχει τὴν γ̅ο̅ν̅ cυλλαβὴν ἀπὸ cυμφώνου ἀρχομένην τοῦ γ̅, μακρά ἐcτιν, ἡ δὲ γ̅ο̅ν̅ βραχεῖα, ὅτι οὐκ ἔχει ἄλλην cυλλαβὴν ἀπὸ cυμφώνου ἀρχομένην· εἰ γὰρ εἶχεν, ἐμεγεθύνετο ἂν καὶ αὐτή. Οὕτωc γὰρ ἐκτείνονται τὰ δίχρονα καὶ τὰ βραχέα φωνήεντα, καὶ οὐχ ὡc ἔτυχεν, ἀλλ' ὡc ὁ προκείμενοc cκοπὸc διδάcκει. — «Ἢ ὅταν διπλοῦν cύμφωνον ἐπιφέρηται, οἷον ἔξω». Ἰδοὺ πάλιν ἐνταῦθα τὸ ε̅ διὰ τὴν ἐπιφορὰν τοῦ ξ̅ ἐμεγεθύνθη· οὕτω γὰρ πάντα τὰ βραχέα καὶ τὰ δίχρονα τῇ ἐπιφορᾷ τῶν διπλῶν cυμφώνων ἐκτείνονται. — «Ἢ ὅταν εἰc διπλοῦν cύμφωνον λήγῃ, οἷον Ἄραψ». Ἰδοὺ καὶ ἐνταῦθα τὸ α̅, ἤγουν ἡ πρώτη cυλλαβή, μακρά ἐcτιν, διότι λήγει ἡ δευτέρα cυλλαβὴ εἰc διπλοῦν cύμφωνον τὸ ψ̅, βραχεῖα δέ ἐcτιν ἡ δευτέρα cυλλαβὴ ἡ ρ̅α̅ψ̅ (*sic*).

§ 9 (10b).

Περὶ βραχείαc cυλλαβῆc.

«Βραχεῖα cυλλαβὴ γίνεται κατὰ τρόπουc δύο, ἤτοι ὅταν ἔχῃ ἕν τι τῶν διχρόνων κατὰ cυcτολὴν παραλαμβανόμενον, οἷον Ἄρηc». Προείπομεν ὅτι οἱ ποιηταὶ ποιητικῇ ἐξουcίᾳ τὰ δίχρονα πῇ μὲν ἐκτείνουcιν πῇ δὲ cυcτέλλουcιν. — «Ἢ ὅταν ἔχῃ ἕν τι τῶν φύcει βραχέων, οἷον βρέφοc». Ἰδοὺ ἡ β̅ρ̅ε̅ καὶ ἡ φ̅ο̅c̅ cυλλαβὴ βραχεῖαί εἰcιν, ὅτι βραχέα φωνήεντα ἔχουcιν· εἰ γὰρ καὶ ἄρχεται ἡ φ̅ο̅c̅ cυλλαβὴ ἀπὸ cυμφώνου τοῦ φ̅, ἀλλ' ἡ β̅ρ̅ε̅ οὐ λήγει εἰc cύμφωνον, ἀλλ' εἰc φωνῆεν.

§ 10 (11b).

Περὶ κοινῆc cυλλαβῆc.

«Κοινὴ cυλλαβὴ γίνεται κατὰ τρόπουc τρεῖc, ἤτοι ὅταν εἰc μακρὸν φωνῆεν λήγῃ καὶ τὴν ἑξῆc ἔχῃ ἀπὸ φωνήεντοc ἀρχομένην, οἷον ⟨Γ 164⟩ οὔ τί μοι αἰτίη ἐccί, θεοί νύ μοι αἴτιοί εἰcιν». Ἰδοὺ ἐνταῦθα ἡ ο̅ι̅ δίφθογγοc εἰc μακρὸν φωνῆεν λήγει τὸ ι̅, καὶ ἡ ἑξῆc ἄρχεται ἀπὸ τῆc α̅ι̅ διφθόγγου, καὶ διὰ τοῦτο λέγεται κοινή. Ἡ δὲ κοινὴ cυλλαβὴ παρὰ τοῖc μετρικοῖc πῇ μὲν ἀντὶ μακρᾶc πῇ δὲ ἀντὶ βραχείαc παραλαμβάνεται, καὶ διὰ τοῦτο λέγεται κοινὴ cυλλαβή. Εἰ δὲ θέλειc τὴν αἰτίαν τοῦ Ὁμηρικοῦ cτίχου μαθεῖν, ἔcτιν οὕτωc· ἡ Ἑλένη ὀνειδιζομένη ὑπὸ Πριάμου καὶ τῶν λοιπῶν ἀρχόντων, ὅτι διὰ cὲ πολλὰ κακὰ ἔγνωμεν, καὶ cυγκαταθεμένηc αὐτῆc καὶ ἑαυτὴν κατακρινούcηc, ἐλεήcαc αὐτὴν ὁ Πρίαμοc ἀπεκρίθη τὸν cτίχον τοῦτον λέγων· οὔ τί μοι αἰτίη ἐccί, θεοί νύ μοι αἴτιοί εἰcιν, τουτέcτιν οὐδαμῶc μοι γέγοναc cὺ αἴτιοc κακῶν, ἀλλ' οἱ θεοί. — «Ἢ ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται δύο cύμφωνα, ὧν τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον καθ' ἓν ἄφωνόν ἐcτιν, οἷον ⟨Τ 287⟩ Πάτροκλέ μοι δειλῇ πλεῖcτον κεχαριcμένε θυμῷ». Ἰδοὺ καὶ ἐνταῦθα ἡ π̅α̅ cυλλαβὴ κοινή ἐcτιν διὰ τὴν ἐπιφορὰν τῶν δύο cυμφώνων, ὧν τὸ μὲν δεύτερόν ἐcτιν ἀμετάβολον, τὸ ρ̅, τὸ δὲ

---

5 τὴν γ̅ο̅ν̅ cυλλ. *om* F | cυλλαβὴν *om* L ‖ **6** τοῦ γ̅ — ἀρχομένην (7) *om* L ‖ **7** γὰρ καὶ ἐκτείν. L ‖ **8** τὰ *ante* βρ. *add* F ‖ **9** ἐπιφ. διπλ. cυμφ. LH ‖ **11** τὰ *bis add* F | διπλῶν] πλοῦν L | cυμφώνων H, cτοιχείων LF | Ἢ — λήγῃ (12) *om* H ‖ **12** εἰc *om* F ‖ **25** τρεῖc τρόπουc H | φωνῆεν μακρὸν H, μακρὰ φωνήεντα F ‖ **26** ἔχει LH ‖ **30** θέλῃc L ‖ **35** ὅταν ἔχῃ βραχεῖ L ‖ **37** δειλῇ HF, δήλοι L ‖ **38** κεχαρ.] καὶ χαριcμένω L

προηγούμενον, τὸ τ̄, ἓν τῶν ἐννέα ἀφώνων ἐστίν. Ἐὰν δὲ θέλῃς καὶ τούτου τοῦ cτίχου τὴν ἐπίλυcιν γνῶναι, ἔcτιν οὕτωc· τελευτήcαντοc τοῦ Πατρόκλου ὀδυρόμενοc αὐτὸν ὁ Ἀχιλλεὺc (*sic*) cὺν τοῖc ἰδίοιc ἔλεγεν· Πάτροκλέ μοι δειλῇ πλεῖcτον κεχαριcμένε θυμῷ, τουτέcτι Πάτροκλέ μοι πολὺ ἠγαπημένε κατὰ ψυχήν, δήλωcόν μοι cεαυτὸν κἂν κατ' ὄναρ. — «Ἢ ὅταν βραχεῖα οὖcα καταπεραιοῖ εἰc μέροc λόγου καὶ τὴν ἑξῆc ἔχῃ ἀπὸ φωνήεντοc ἀρχομένην, οἷον ⟨Ξ 1⟩ Νέcτορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπηc». Ἰδοὺ καὶ ἐνταῦθα ἡ θεν cυλλαβὴ βραχεῖα οὖcα καταπεραιοῖ εἰc μέροc λόγου καὶ τὴν ἑξῆc ἔχει ἀπὸ τοῦ η̄ φωνήεντοc ἀρχομένην. Ἡ δὲ ἐπίλυcιc τοῦ cτίχου ἐcτὶν οὕτωc· καίπερ πίνοντα τὸν Νέcτορα ὁ ἦχοc οὐ διέλαθεν.

Cὺν Θεῷ ἑρμηνεία τῶν ὀκτὼ μερῶν τοῦ λόγου.

§ 12 (14b).

Περὶ ὀνόματοc.

«Ὄνομά ἐcτι μέροc λόγου πτωτικόν». Μέροc λόγου λέγεται, ὅτι ἓν τῶν ὀκτὼ μερῶν τοῦ λόγου ἐcτίν· πτωτικὸν δὲ λέγεται, ὅτι πτώcειc ἐπιδέχεται. — «Cῶμα ἢ πρᾶγμα cημαῖνον, cῶμα μέν, οἷον λίθοc, πρᾶγμα δέ, οἷον παιδεία». Γίνωcκε δὲ ὅτι κατὰ γραμματικοὺc cῶμά ἐcτι πᾶν τὸ ἀφῇ κρατούμενον, πρᾶγμα δὲ τὸ μὴ τῇ ἀφῇ κρατούμενον, ἀλλὰ τῷ νῷ. — «Κοινῶc τε καὶ ἰδίωc λεγόμενον, κοινῶc μέν, οἷον ἄνθρωποc ἵπποc»· τὸ γὰρ ἄνθρωποc ὄνομα κοινόν ἐcτι πάντων τῶν ἀνθρώπων· ὁμοίωc καὶ τὸ ἵπποc κοινὸν ὄνομά ἐcτι πάντων τῶν ἵππων. — «Ἰδίωc δέ, οἷον Cωκράτηc»· εἷc γὰρ τῶν ἀνθρώπων ἐcτὶν ὁ Cωκράτηc, καὶ Λευκὸc ἵπποc εἷc πάντων τῶν ἵππων ἐcτίν. — «Παρέπεται δὲ τῷ ὀνόματι πέντε». Ποῖα ταῦτα; «Γένη, εἴδη, cχήματα, ἀριθμοί, πτώcειc»· παρεπόμενα δὲ λέγονται διὰ τὸ πληcίον αὐτὰ ἕπεcθαι τοῦ ὀνόματοc· ἡ γὰρ παρὰ πρόθεcιc παρὰ τοῖc γραμματικοῖc πληcιαcμὸν cημαίνει.

«Γένη μὲν οὖν εἰcι τρία, ἀρcενικόν, θηλυκόν, οὐδέτερον· ἔνιοι δὲ προcτιθέαcι τούτοιc ἄλλα δύο, κοινόν τε καὶ ἐπίκοινον, κοινὸν μέν, οἷον ἄνθρωποc ἵπποc, ἐπίκοινον δέ, οἷον χελιδών ἀετόc». Ἀρcενικοῦ γένουc ἐcτὶν ὄνομα, οὗ κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶcιν προηγεῖται ἄρθρον τὸ ὁ, οἷον ὁ θεόc, ὁ ἄγγελοc, ὁ ἄνθρωποc καὶ τὰ τοιαῦτα· θηλυκοῦ δὲ γένουc ἐcτὶν ὄνομα, οὗ κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶcιν προηγεῖται ἄρθρον τὸ ἡ, οἷον ἡ γυνή, ἡ cοφία, ἡ πόλιc καὶ τὰ τοιαῦτα· οὐδετέρου δὲ γένουc ἐcτὶν ὄνομα, οὗ κατ' εὐθεῖαν καὶ ἑνικὴν πτῶcιν προηγεῖται ἄρθρον τὸ τό, οἷον τὸ φῶc, τὸ ὕδωρ, τὸ μέλι καὶ τὰ τοιαῦτα. Γίνωcκε δὲ ὅτι κοινὸν ὄνομά ἐcτι τὸ διὰ δύο ἄρθρων cημαῖνον τό τε ἄρρεν καὶ τὸ θῆλυ, οἷον ὁ ἄνθρωποc καὶ ἡ ἄνθρωποc, ὁ ἵπποc καὶ ἡ ἵπποc· ὁμοίωc δὲ καὶ ὁ κύων καὶ ἡ κύων. Ἐπίκοινον ⟨δὲ⟩ ὄνομά ἐcτι τὸ δι' ἑνὸc ἄρθρου cημαῖνον τό τε ἄρcεν καὶ τὸ θῆλυ, οἷον ὁ ἀετόc λέγοντεc οὐ λέγομεν καὶ ἡ ἀετόc, ἀλλὰ μόνον ὁ ἀετόc διὰ τοῦ ἑνὸc ἄρθρου· οὕτωc καὶ ὁ κόραξ καὶ ὁ πέρδιξ καὶ τὰ ὅμοια· καὶ ἡ χελιδὼν λέγοντεc οὐ λέγομεν καὶ ὁ χελιδών, ἀλλὰ μόνον ἡ χελιδὼν διὰ τοῦ ἑνὸc ἄρθρου· οὕτωc καὶ ἡ περιcτερά καὶ ἡ τρυγὼν καὶ τὰ τοιαῦτα.

---

1 ἓν F, *om* LH ‖ **3** cὺν F, ἐν LH | δήλοι πλίcτον καὶ χαριcμένε L ‖ **4** μοι (*ante* π.) *add* H ‖ **6** ἔχει LHF ‖ **7** ἰαχὴ] ἡ ἀχὴ L

DISCR. SCR. IN LHKR] **16** cῶμα μέν — παιδεία *add* R ‖ **18** *post* νῷ *add*: οἷον θεὸc ἄνεμοc παιδεία ἐπιcτήμη καὶ τὰ ὅμοια R ‖ **20** κοινὸν ὄνομά ἐcτι *add* R ‖ **24** ἕπεcθαι KR, ἔcεcθαι L, εἶναι H ‖ **26** καὶ οὐδέτ. HR ‖ **27** τούτοιc] καὶ R ‖ **28** ἀετὸc χελιδών R ‖ **30** ἑνικὴν] γενικὴν L; *item v. 32* ‖ **32** δὲ *et* ὄνομα *add* R ‖ **34** cημαῖνον *om* L | ὁ ἄνθρ. καὶ ἡ ἄνθρ. *add* KR ‖ **37** διὰ — ἄρθρου *add* KR

«Εἴδη δύο, πρωτότυπον καὶ παράγωγον»· πρωτότυπον μέν, οἷον οὐρανός, παράγωγον δέ, οἷον οὐράνιος· ὁμοίως καὶ ἡ γῆ πρωτότυπος λέγεται, παράγωγον δέ, οἷον γήϊνος. Λέγομεν δὲ καὶ ἐπὶ χωρῶν καὶ πόλεων, χωρῶν μὲν πρωτότυπον Ἀσία, παράγωγον δὲ Ἀσιανός· ὁμοίως καὶ Ἀφρικὴ πρωτότυπον ὄνομα χώρας, παράγωγον δὲ Ἀφρικανός· ἐπὶ πόλεων δὲ πρωτότυπον ὄνομα, οἷον Ῥώμη, παράγωγον δέ, οἷον Ῥωμαῖος, Ἀθῆναι καὶ Ἀθηναῖος, Ἀλεξάνδρεια καὶ Ἀλεξανδρεύς, Σαμάρεια καὶ Σαμαρείτης, Πάνορμος καὶ Πανορμίτης.

«Εἴδη δὲ παραγώγων ἐστὶν ἑπτά, πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑπερθετικόν, ὑποκοριστικόν, παρώνυμον, ῥηματικόν. Πατρωνυμικὸν μὲν οὖν ἐστι τὸ κυρίως ἀπὸ πατρὸς ἐσχηματισμένον, καταχρηστικῶς δὲ καὶ τὸ ἀπὸ προγόνων, οἷον Πηλείδης Αἰακίδης ὁ Ἀχιλλεύς». Γίνωσκε δὲ ὅτι ὁ Ἀχιλλεὺς λέγεται καὶ Πηλείδης καὶ Αἰακίδης πατρωνυμικῶς· ἐκ μὲν τοῦ Πηλέως τοῦ ἰδίου πατρὸς λέγεται Πηλείδης, ἐκ δὲ τοῦ Αἰακοῦ τοῦ ἰδίου πάππου λέγεται Αἰακίδης. — «Τύποι δὲ τῶν πατρωνυμικῶν ἀρσενικῶν μὲν τρεῖς, ὁ εἰς δης, ὁ εἰς ων, ὁ εἰς αδιος, οἷον Ἀτρείδης Ἀτρείων, καὶ ὁ τῶν Αἰολέων ἴδιος τύπος Ὑρράδιος· Ὕρρα γὰρ παῖς Πιττακός». Πρῶτος τύπος ὁ εἰς δης, οἷον Πηλείδης· δεύτερος τύπος ὁ εἰς ων, οἷον Πηλείων· τρίτος τύπος ὁ εἰς αδιος, οἷον Πηλειάδιος. Θηλυκῶν δὲ ὁμοίως τύποι εἰσὶ τρεῖς, ὁ εἰς ις, ὁ εἰς ας, ὁ εἰς νη, οἷον ἀπὸ Πριάμου τοῦ ἰδίου πατρὸς ἡ θυγάτηρ αὐτοῦ λέγεται Πριαμίς καὶ Πριαμιάς καὶ Πριαμίνη· ἰδοὺ οἱ τρεῖς τύποι. — «Κτητικὸν δέ ἐστι τὸ ὑπὸ τὴν κτῆσιν πεπτωκός, ἐμπεριειλημμένου τοῦ κτήτορος, οἷον Νηλήϊοι ἵπποι, Ἑκτόριος χιτών, Πλατωνικὸν βιβλίον»· ἀπὸ μὲν Νηλέως τοῦ κτήτορος λέγεται Νηλήϊοι ἵπποι, ἀπὸ δὲ Ἕκτορος τοῦ κτήτορος λέγεται Ἑκτόριος χιτὼν καὶ Ἑκτόριος οἶκος, Πλατωνικὸς ἐλαιὼν καὶ τὰ ὅμοια. — «Συγκριτικὸν δέ ἐστι τὸ τὴν σύγκρισιν ἔχον ἑνὸς πρὸς ἕνα ὁμοιογενῆ, ὡς Ἀχιλλεὺς ἀνδρειότερος Αἴαντος, ἢ ἑνὸς πρὸς πολλοὺς ἑτερογενεῖς, ὡς Ἀχιλλεὺς ἀνδρειότερος τῶν Τρώων». Σύγκρισις δέ ἐστι λόγος ἀντεξεταστικὸς ἐκ παραθέσεως ἑτέρου προσώπου, συνάγων τῷ παραλαμβανομένῳ τὸ μεῖζον· συγκρίνοντες γὰρ μεταξὺ τοῦ Αἴαντος καὶ τοῦ Ἀχιλλέως τὴν ἀνδρείαν ἑκάστου, λέγομεν ἀνδρειότερον τὸν Ἀχιλλέα ὡς ὑπερβάλλοντα τῇ ἀνδρείᾳ· λέγεται ὁ μὲν Αἴας ἀνδρεῖος, ὁ δὲ Ἀχιλλεὺς ἀνδρειότερος κατὰ σύγκρισιν· ὁμοίως καὶ οἱ Τρῶες ἀνδρεῖοι λέγονται, ἀνδρειότερος δὲ τῶν Τρώων ὁ Ἀχιλλεὺς κατὰ σύγκρισιν. — «Τῶν δὲ συγκριτικῶν τύποι εἰσὶ τρεῖς, ὁ εἰς τερος, οἷον δεύτερος βραδύτερος, καὶ ὁ εἰς ων καθαρόν, οἷον βελτίων, καὶ ὁ εἰς σων, οἷον κρείσσων ἥσσων». Παράδειγμα δὲ τούτων, οἷόν ἐστι ταχύς πρωτότυπον λεγόμενον ὄνομα· παράγωγον δὲ αὐτοῦ πρῶτος τύπος τῶν συγκριτικῶν γενόμενος ταχύτερος, δεύτερος τύπος τῶν συγκριτικῶν ταχίων, τρίτος τύπος τῶν συγκριτικῶν τάσσων, καὶ τροπῇ τοῦ τ εἰς θ θάσσων. — «Ὑπερθετικὸν δέ ἐστι τὸ

---

1 Εἴδη δὲ δύο R | πρωτότ. μέν ἐστιν τὸ κατὰ τὴν πρώτην θέσιν λεχθέν, οἷον γῆ, παράγωγον δέ, οἷον γαίηος. πρωτότυπον τοίνυν λέγεται οὐρανός, παρ. R || **3** γήιος K || **8** ἐστὶν LR, *om* HK || **9** καὶ ῥηματ. H | οὖν *om* R | κυρίως *om* R, *in marg. add* H[1] || **13** Τύποι δὲ] τύποι μὲν H | μὲν LK, ὀνομάτων R, *om* H || **14** ὁ εἰς ων — δης (**15**) *om* LH | καὶ ὁ εἰς ων καὶ ὁ R | οἷον — Πιττακός (**15**) *om* K || **16** οἷον *ante* Πηλείων *om* L || **17** *ante* Θηλυκῶν *add:* «Θηλυκῶν δέ εἰσι τρεῖς, ὁ εἰς ις — νεώτεροι» R || **19** δέ] μέν R | ὑπὸ] περὶ H | ἐμπεπτωκός R || **20** Νηλ.] νήλιοι L, νηλίοι K, νήλειος H, εἴλιοι R | ἵππος H | ἐκτόρεος K; *item bis v. 22* | χιτῶν αἶ οἶκος καὶ Πλ. β. R || **21** βιβλίον καὶ Ἑκτόρειος ἵππος H || **22** καὶ Ἑκτόριος οἶκος *om* HR | Πλατ. ἐλ.] Πλατωνικὸν βιβλίον R || **23** δέ] μέν R | τὴν *om* H | ἑνὸς *om* H | ὁμοιογενήν L, ὁμογενῆ R || **24** ἀνδρειότατος L | ὡς ὁ Ἀχιλ. HR || **25** ἀνδρ.] ἰσχυρότερος H || **31** βραδύτερος *om* R | ὁ *bis om* H | βελτίον καλλίον R || **32** σων K, σσων H, ων L, ον R || **33** γενόμενος — δεύτ. τ. τ. συγκριτικῶν (**34**) *om* LH

κατ' ἐπίτασιν ἑνὸς πρὸς πολλοὺς παραλαμβανόμενον ἐν συγκρίσει». Ἐπίτασίς ἐστιν οἱονεὶ ἐπέκτασις ἤτοι μεγαλειότης ἑνός τινος ὑπερέχοντος πολλοὺς ἐν μεγαλοσύνῃ, καὶ λέγεται ὑπερθετικῶς μεγαλώτατος καὶ μέγιστος. — «Ὑποκοριστικὸν δέ ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν». Παράδειγμα δὲ αὐτοῦ ἐστιν ἄνθρωπος λεγόμενος τέλειος, παράγωγον δὲ αὐτοῦ τὸ καὶ ὑποκοριστικὸν ἀνθρωπάριον· οὕτως καὶ τὰ ὅμοια. — «Παρώνυμον δέ ἐστι τὸ παρ' ὄνομα ποιηθέν, οἷον Θέων Τρύφων»· ἀπὸ γὰρ τοῦ θεοῦ παράγεται Θέων, καὶ ἀπὸ τῆς τρυφῆς Τρύφων· οὕτως καὶ τὰ ὅμοια. — «Ῥηματικὸν δέ ἐστι τὸ ἀπὸ ῥήματος παρηγμένον, οἷον Φιλήμων Νοήμων»· ἀπὸ μὲν τοῦ φιλῶ ῥήματος παράγεται Φιλήμων, καὶ ἀπὸ τοῦ νοῶ Νοήμων.

«Σχήματα τρία, ἁπλοῦν σύνθετον παρασύνθετον». Ἁπλοῦν μὲν οὖν ἐστι τὸ καθ' ἑαυτὸ ἁπλῶς λεγόμενον, οἷον χρυσός· σύνθετον δὲ τὸ ἐκ δύο ὀνομάτων συντιθέμενον, οἷον Χρύσανθος· τὸ γὰρ χρυσός ὄνομα καθ' ἑαυτὸ ἁπλοῦν ἐστι· συντεθέντα δὲ ἀμφότερα τό τε χρυσός καὶ τὸ ἄνθος ἐγένοντο ἓν ὄνομα σύνθετον· ὁμοίως καὶ τὸ φίλος καὶ ἵππος ὀνόματα συντεθέντα ἀποτελοῦσιν ἓν ὄνομα σύνθετον, οἷον Φίλιππος. Τινὲς δὲ τὸ Φίλιππος ἀπὸ ῥήματος συντιθέασιν, ἀπὸ τοῦ φιλῶ καὶ ἵππος λέγουσι Φίλιππος. Ὁμοίως καὶ ἡ ἀνά πρόθεσις καὶ τὸ στάσις συντεθέντα ὄνομα σύνθετον ἀποτελοῦσιν, οἷον Ἀναστάσιος· οὕτως καὶ τὰ ὅμοια. Παρασύνθετον δέ ἐστι τὸ παρὰ συνθέτου ὀνόματος γενόμενον, ὡς ἀπὸ τοῦ Φιλίππου συνθέτου ὀνόματος παράγεται Φιλιππίδης. — «Τῶν δὲ συνθέτων διαφοραί εἰσι τέσσαρες· ἃ μὲν γὰρ αὐτῶν εἰσιν ἐκ δύο τελείων, ὡς Χειρίσοφος»· τὸ γὰρ χειρί τέλειον ὄνομά ἐστιν, ὁμοίως καὶ τὸ σοφός, ἅτινα συντεθέντα ἀπετέλεσαν τὸ Χειρίσοφος σύνθετον ὄνομα. «Ἃ δὲ ἐκ δύο ἀπολειπόντων, ὡς Σοφοκλῆς»· τὸ γὰρ σοφός ὄνομα ἀπολείπει τὸ ς, τὸ δὲ κλῆσις ἀπολείπει τὴν ις συλλαβήν, ἅτινα συντεθέντα ἀποτελοῦσι τὸ Σοφοκλῆς σύνθετον ὄνομα. «Ἃ δὲ ἐξ ἀπολείποντος καὶ τελείου, ὡς Φιλόδημος»· τὸ μὲν γὰρ φίλος ὄνομα ἀπολείπει τὸ ς, τὸ δὲ δῆμος τέλειον ὄνομά ἐστιν, ἅτινα συντεθέντα ἀπετέλεσαν τὸ Φιλόδημος. «Ἃ δὲ ἐκ τελείου καὶ ἀπολείποντος, ὡς Περικλῆς»· ἡ γὰρ περί πρόθεσις τέλειον ὄνομά ἐστιν, τὸ δὲ κλῆσις ἀπολείπει τὴν ις συλλαβήν, ἅτινα συντεθέντα ἀπετέλεσαν τὸ Περικλῆς σύνθετον ὄνομα· οὕτως καὶ τὰ ὅμοια.

«Ἀριθμοὶ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός»· ἑνικὸς μέν, οἷον ὁ ἄνθρωπος, δυϊκὸς δὲ τὼ ἀνθρώπω, χωρὶς τοῦ ι γραφομένου τοῦ ω· συγγραφόμενον δὲ μετὰ τοῦ ι τὸ ω γίνωσκε ὅτι δοτικὴν πτῶσιν σημαίνει ἑνικοῦ ἀριθμοῦ· πληθυντικὸς δὲ οἱ ἄνθρωποι. — «Εἰσὶ δέ τινες ἑνικοὶ χαρακτῆρες καὶ κατὰ πολλῶν λεγόμενοι, οἷον δῆμος χορός ὄχλος»· ταῦτα γὰρ εἰ καὶ πλῆθος σημαίνουσιν, ἀλλ' ὅμως ἑνικοῦ χαρακτῆρός εἰσιν. — «Καὶ πληθυντικοὶ κατὰ ἑνικῶν τε καὶ δυϊκῶν, ἑνικῶν μέν, ὡς Ἀθῆναι Θῆβαι»· καὶ ταῦτα γὰρ εἰ καὶ πληθυντικῶς λέγονται Ἀθῆναι καὶ Θῆβαι, ἀλλ' ὅμως τῇ διανοίᾳ ἑνικὰ νοοῦνται· αἱ γὰρ Ἀθῆναι πληθυντικῶς λεγόμεναι μίαν

---

1 *post* συγκρίσει *add* «τύποι δὲ αὐτοῦ εἰσι δύο, ὁ εἰς τατος, οἷον ὀξύτατος βραδύτατος, καὶ ὁ εἰς τος, οἷον ἄριστος μέγιστος». Ὑπερθετικῶς R ‖ **4** *post* δηλοῦν *add* οἷον ἀνθρωπίσκος, λίθαξ, μυρακίλλιον R ‖ **6** Παρών. — ὅμοια (**8**) *om* H ‖ **8** Φιλήμων Νοήμων HKR, *om* L ‖ **9** ἀπὸ μὲν — Νοήμων *om* H ‖ **10** *post* Σχήμ. *add* δὲ H, ὀνομάτων εἰσὶ R | *post* παρασύνθ. *add* «ἁπλοῦν μὲν οἷον Μέμνων — Φιλιππίδης» R ‖ **13** ἀμφότ. — χρυσός] τὸ χρυσὸς ὄνομα R | τό τε] ὅ τε LHK ‖ **16** καὶ τὸ στ. *om* R | τὸ στ.] ἡ στ. LHK ‖ **17** ἀναστάσιος L, ἀνάστασις HKR ‖ **19** *post* συνθέτων *add* ὀνομάτων HKR | τέσσαρες] δύο K ‖ **20** ἐκ *om* R | δύο] δευτέρου H ‖ **21** ὁμοίως — σοφός H, καὶ τὸ σοφὸς τέλειον ὄνομά ἐστιν R, *om* LK ‖ **22** τὸ ς, τὸ δὲ κλῆσις ἀπολ. *om* L ‖ **27** τὸ δὲ] ἡ δὲ LHKR | κλῆσις KR, κλῆς L, κλήσης H | ις KR, ης LH ‖ **29** Ἀ. δέ εἰσι τρ. H | καὶ πληθ. HK ‖ **30** γραφομένου LK, γραφόμενον R, ὑπογραφομένου H | τοῦ ω K, τὸ ω LHR ‖ **32** τινες καὶ ἑν. χαρ. κατὰ π. λ. δῆμος H ‖ **34** πληθυντικὰ H | κατὰ] καὶ τὰ H ‖ **35** *ante prius* Θῆβαι *add* καὶ H

πόλιν ϲημαίνουϲι καὶ οὐ πολλάϲ· ὁμοίωϲ καὶ Θῆβαι τὸ αὐτὸ ϲημαίνουϲιν. — «Δυϊκῶν δέ, ὡϲ ἀμφότεροι»· οἱ γὰρ ἀμφότεροι δύο ὄντεϲ πληθυντικῶϲ λέγονται.

«Πτώϲειϲ ὀνομάτων εἰϲὶ πέντε, ὀρθή, γενική, δοτική, αἰτιατική, κλητική· καὶ ἡ μὲν ὀρθὴ λέγεται ὀνομαϲτικὴ καὶ εὐθεῖα», οἷον ὁ Πέτροϲ· «ἡ δὲ γενικὴ κτητικὴ τε καὶ πατρική», οἷον τοῦ Πέτρου ὁ πατὴρ ἢ ὁ υἱὸϲ ἢ ἡ γυνὴ ἢ ἡ ἀδελφή. Ταῦτα καὶ τὰ ὅμοια κατὰ πατρικὴν ϲημαϲίαν ἤτοι γενεαλογίαν λέγονται· παρὰ τοῦτο γὰρ καὶ γενικὴ καλεῖται. Κτήματα πάλιν τοῦ αὐτοῦ Πέτρου ϲημαίνοντεϲ λέγομεν τοῦ Πέτρου ὁ ἀμπελὼν ἢ ὁ ἐλαιὼν ἢ ὁ φοινικὼν ἢ ὁ οἶκοϲ ἢ ὁ ἵπποϲ καὶ τὰ τοιαῦτα. — «Ἡ δὲ δοτικὴ ἐπιϲταλτική», οἷον τῷ Πέτρῳ ἐπιϲτέλλω ἢ δίδωμι ἢ διαλέγομαι καὶ τὰ ὅμοια. — «Ἡ δὲ αἰτιατικὴ κατὰ αἰτιατικὴν ϲημαϲίαν λέγεται», οἷον τὸν Πέτρον αἰτῶ ἢ ζητῶ, ἵνα αὐτὸν τιμήϲω ἢ ἀτιμάϲω, ἢ καὶ ἐν ὁδῷ ἀποϲτείλω ἢ εἰϲ μεγάλην ἀξίαν ἀναβιβάϲω. — «Ἡ δὲ κλητικὴ προϲαγορευτική», καθὼϲ εἰώθαμεν ἀλλήλουϲ καλεῖν ὦ Πέτρε.

«Ὑποπέπτωκε δὲ τῷ ὀνόματι ταῦτα, ἃ καὶ αὐτὰ εἴδη προϲαγορεύονται· κύριον, προϲηγορικόν, ἐπίθετον, πρόϲ τι ἔχον, ὡϲ πρόϲ τι ἔχον, ὁμώνυμον, ϲυνώνυμον, φερώνυμον, διώνυμον, ἐπώνυμον, ἐθνικόν, ἐρωτηματικόν, ἀόριϲτον, ἀναφορικόν, ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται, περιληπτικόν, ἐπιμεριζόμενον, περιεκτικόν, πεποιημένον, γενικόν, εἰδικόν, τακτικόν, ἀριθμητικόν, ἀπολελυμένον, μετουϲιαϲτικόν». — «Κύριον μὲν οὖν ἐϲτι τὸ τὴν ἰδίαν οὐϲίαν ἤτοι ὑπόϲταϲιν ϲημαῖνον· προϲηγορικὸν δέ ἐϲτι τὸ τὴν κοινὴν καὶ καθ᾽ ὅλου οὐϲίαν τοῦ εἴδουϲ ϲημαῖνον· ἐπίθετον δέ ἐϲτι τὸ ἐπὶ κυρίων ἢ προϲηγορικῶν ὁμωνύμωϲ τιθέμενον καὶ δηλοῦν ἔπαινον ἢ ψόγον. Λαμβάνεται δὲ τριχῶϲ», ἤγουν τριϲϲῶϲ, «ἀπὸ ψυχῆϲ, ἀπὸ ϲώματοϲ, ἀπὸ τῶν ἐκτόϲ· ἀπὸ μὲν ψυχῆϲ, ὡϲ ϲώφρων ἀκόλαϲτοϲ»· ἐνταῦθα τὸ μὲν ϲώφρων ἔπαινον ϲημαίνει, τὸ δὲ ἀκόλαϲτοϲ ψόγον. «Ἀπὸ δὲ ϲώματοϲ, ὡϲ ταχύϲ καὶ βραδύϲ»· καὶ ἐνταῦθα τὸ μὲν ταχύϲ ἔπαινον ϲημαίνει, τὸ δὲ βραδύϲ ψόγον· οὕτωϲ καὶ τὰ ὅμοια. «Ἀπὸ δὲ τῶν ἐκτόϲ, ὡϲ πλούϲιοϲ πένηϲ»· πλοῦτοϲ γὰρ καὶ πενία οὐκ ἐν τῷ ϲώματι, ἀλλ᾽ ἐκτὸϲ τοῦ ϲώματόϲ εἰϲιν· γύμνωϲον γὰρ ἄρχοντα καὶ πένητα, καὶ οὐδὲν ἄλλοϲ τοῦ ἄλλου ϲωματικῶϲ ὑπερέχει. — «Πρόϲ τι ἔχον δέ ἐϲτιν ὡϲ πατὴρ υἱόϲ φίλοϲ δεξιόϲ»· ὁ γὰρ πατὴρ ἔχει πρὸϲ τὸν υἱὸν ὑϊκὴν ϲχέϲιν, καὶ ὁ υἱὸϲ πρὸϲ τὸν πατέρα πατρικὴν ϲχέϲιν· ὁμοίωϲ καὶ φίλοϲ [δεξιὸϲ] πρὸϲ τὸν ἑαυτοῦ φίλον ἀγαπητικὴν ϲχέϲιν ἔχει. — «Ὡϲ πρόϲ τι ἔχον δέ ἐϲτιν ὡϲ νύξ ἡμέρα»· τὸ γὰρ ὡϲ ἐπίρρημα ὁμοιωματικόν ἐϲτιν. «Ὁμώνυμον δέ ἐϲτιν ὄνομα τὸ κατὰ πολλῶν ὁμωνύμωϲ τιθέμενον, οἷον ἐπὶ μὲν κυρίων, ὡϲ Αἴαϲ

---

3 *post* Πτώϲειϲ *add* δὲ K | καὶ αἰτιατ. H | καὶ κλητικὴ HR ‖ 4 λέγεται δὲ ἡ μὲν ὀρθὴ K | οἷον *om* L | οἷον ὁ Π. *om* KR; R *autem post* εὐθεῖα *add* διατί λέγεται ἡ ὀρθὴ ὀνομαϲτικὴ καὶ εὐθεῖα; διότι ἐξ αὐτῆϲ ποιοῦμεν τὰϲ ὀνομαϲίαϲ, καὶ ὅτι ϲημαίνει τὴν οὐϲίαν τῶν πραγμάτων ‖ 9 ἐπιϲταλτικὴ KR, ἀποϲταλτικὴ LH | ἐπιϲτέλλω KR, ἀποϲτέλλω LH ‖ 10 κατὰ — λέγ.] κατὰ αἰτίαν τινὰ ἀγαθὴν ἢ κακὴν R ‖ 16 φερών. ϲυνών. *transp.* H | ἐπών. *om* R ‖ 17 περιμεριζόμενον L ‖ 18 περιεκτητικόν H | εἰδικὸν KR, ἰδικὸν LH ‖ 19 καὶ μετουϲ. H | τὴν *om* L | ἤτοι] ἢ K ‖ 20 ϲημαῖνον, οἷον ὅμηροϲ, ϲωκράτηϲ P ‖ 21 *post* ϲημαῖνον *add* οἷον ἄνθρωποϲ ἵπποϲ HR | δέ] μὲν R | ἢ] καὶ H ‖ 23 καὶ ἀπὸ τῶν H | ἐκτόϲ. καὶ ἀπὸ R ‖ 24 Ἀπὸ δὲ ϲώματοϲ *om* H ‖ 25 καὶ *ante* βρ. *om* KR ‖ 26 πένηϲ] καὶ εἰκότωϲ K ‖ 28 ἄλλοϲ τοῦ ἄλλου HK, ἄλλοϲ τὸν ἄλλον L, ἄλλον R | πρὸϲ δὲ ἔχον ἐϲτὶν H ‖ 30 καὶ ὁ υἱὸϲ — ϲχέϲιν *om* LH | δεξιὸϲ LHKR ‖ 31 ἔχον *om* H ‖ 32 *post* ἡμέρα *add* θάνατοϲ ζωή KR | ὁμοι. ἐϲτιν. ἡ γὰρ νὺξ πρόϲεϲτι τῆϲ ἡμέραϲ, ἀλλ᾽ οὐ ϲυμπαροῦϲιν ἐπὶ τὸ αὐτό, οἷα καὶ ἐπὶ τοῦ πατρὸϲ καὶ υἱοῦ· παρούϲηϲ γὰρ τῆϲ ἡμέραϲ ἡ νὺξ οὐχ ἵϲταται· ἔτι καὶ ὁ θάνατοϲ παρὼν ζωὴ οὐ ϲώζεται K ‖ 33 ἐϲτιν *om* R | οἷον — κυρίων *om* R

ὁ Τελαμώνιος καὶ Αἴας ὁ Ἰλέως»· ταῦτα γὰρ τῇ ὁμωνυμίᾳ κοινωνοῦςι, τῇ δὲ τοπικῇ cημαcίᾳ διαφέρουcιν. «Ἐπὶ δὲ προcηγορικῶν, ὡc μῦc θαλάττιοc καὶ μῦc γηγενήc»· ὁμοίωc καὶ ταῦτα τῇ ὁμωνυμίᾳ κοινωνοῦcι, τῇ δὲ διαφορᾷ τῆc γῆc καὶ τῆc θαλάccηc διαφέρουcιν. — «Cυνώνυμον δέ ἐcτι τὸ ἐν διαφόροιc ὀνόμαcι τὸ αὐτὸ δηλοῦν, οἷον ἄορ ξίφοc μάχαιρα cπάθη φάcγανον»· ταῦτα γὰρ πάντα ἓν εἶδοc cημαίνουcι, cίδηρον ἀμφήκη, τουτέcτιν ἀμφοτέρωθεν ἠκονημένον· ταῦτα καὶ τὰ ὅμοια τούτοιc παρὰ τοῖc φιλοcόφοιc πολυώνυμα λέγονται. — «Φερώνυμον δέ ἐcτι τὸ ἀπό τινοc cυμβεβηκότοc τεθέν, ὡc Τιcαμενὸc καὶ Μεγαπένθηc». Καὶ περὶ μὲν τοῦ Μεγαπένθουc ἡ αἰτία ἐcτὶν αὕτη· ὅταν ἡρπάγη ὑπὸ τοῦ Μενέλεω ἡ Ἑλένη, πενθοῦντοc αὐτὴν παντὸc τοῦ οἴκου, ἐτέχθη παῖc τῷ Μενέλεῳ, καὶ ἐκλήθη Μεγαπένθηc παρὰ τὸ μέγα πένθοc τοῦ οἴκου. Περὶ δὲ τοῦ Τιcαμενοῦ, ὅταν ἐτιμωρήcατο τὴν Κλυταιμνήcτραν ὁ Ὀρέcτηc, ἐτέχθη αὐτῷ παῖc καὶ ἐκλήθη Τιcαμενὸc παρὰ τὸ τίcαcθαι αὐτήν, τουτέcτιν ἀνταποδοῦναι. — «Διώνυμον δέ ἐcτιν ὀνόματα δύο καθ' ἑνὸc κυρίου τεταγμένα, οἷον Ἀλέξανδροc ὁ καὶ Πάριc, οὐκ ἀναcτρέφοντοc τοῦ λόγου· οὐ γὰρ εἴ τιc Ἀλέξανδροc, οὗτοc καὶ Πάριc». Ἀναcτροφὴ δέ ἐcτιν ὑγεία ὅρου· ὅροc δέ ἐcτιν ὁ τὸ ὄν τί ἐcτι cημαίνων· ὑγιαίνει δὲ ὁ ὅροc ἐν τῇ ἀναcτροφῇ οὕτωc, οἷον «πᾶc ἄνθρωποc γελαcτικόc» καὶ «πᾶc γελαcτικὸc ἄνθρωποc»· νοcεῖ δὲ ὁ ὅροc οὕτωc, οἷον «πᾶc ἄνθρωποc δίπουc»· ἐὰν ἀναcτρέψαc εἴπηc «πᾶc δίπουc ἄνθρωποc», οὐκ ἀληθεύει ὁ ὅροc· οὐ γὰρ ἄνθρωποc μόνοc δίπουc, ἀλλὰ καὶ ἀετὸc καὶ τὰ τοιαῦτα. Ἡ δὲ αἰτία τοῦ καλεῖcθαι αὐτὸν Πάριν, ὡc ἐν τοῖc μυθικοῖc γέγραπται τῶν Ἑλλήνων, ἐcτὶν αὕτη· μαχεcαμένων τῶν τριῶν θεῶν Ἀθηνᾶc, Ἥραc καὶ Ἀφροδίτηc περὶ τοῦ χρυcοῦ μήλου καὶ δικαcτῶν ἐλθόντων ἐπὶ τῇ μάχῃ αὐτῶν ἦλθεν πρὸ πάντων ὁ Ἀλέξανδροc, καὶ διὰ τοῦτο κέκληται Πάριc παρὰ τὸ πρὸ πάντων παρεῖναι. — «Ἐπώνυμον δέ ἐcτιν, ὃ καὶ διώνυμον καλεῖται, τὸ μεθ' ἑτέρου κυρίου καθ' ἑνὸc λεγόμενον, ὡc ἐνοcίχθων ὁ Ποcειδῶν καὶ φοῖβοc ὁ Ἀπόλλων». Τὸ μὲν Ποcειδῶν ἐcτι κύριον ὄνομα, τὸ δὲ ἐνοcίχθων ἐπώνυμον τοῦ Ποcειδῶνοc κατ' ἐνέργειαν λεγόμενον· ὡc οἱ Ἕλληνεc μυθολογοῦcι, παρὰ τὸ τὴν γῆν cείειν λέγεται ἐνοcίχθων. Ὁμοίωc καὶ Ἀπόλλων κύριον ὄνομά ἐcτι, τὸ δὲ φοῖβοc ἐπώνυμον τοῦ Ἀπόλλωνοc διὰ τὸ μάντιν εἶναι τὸν Ἀπόλλωνα· φοῖβοc γὰρ ὁ μάντιc λέγεται. Ὁμοίωc καὶ ὁ ἅγιοc Γρηγόριοc ἐπώνυμον ἔχει τὸ θεολόγοc ἐκ τῆc θεολογίαc. — «Ἐθνικὸν δέ ἐcτι τὸ ἔθνουc δηλωτικόν, ὡc Φρὺξ Γαλάτηc»· ταῦτα καὶ παράγωγα λέγονται, ὁ μὲν Φρὺξ ἀπὸ Φρυγίαc τῆc χώραc, ὁ δὲ Γαλάτηc ἀπὸ Γαλατίαc. — «Ἐρωτηματικὸν δέ ἐcτιν, ὃ καὶ πευcτικὸν καλεῖται, τὸ κατ' ἐρώτηcιν λεγόμενον, οἷον τίc ποῖοc πόcοc πηλίκοc»· ταῦτα γὰρ κατ' ἐπερώτηcιν λέγονται. — «Ἀόριcτον δέ ἐcτι τὸ τῷ ἐρωτηματικῷ ἐναντίωc λεγόμενον, οἷον ὅcτιc ὁποῖοc ὁπόcοc ὁπηλίκοc»· ταῦτα γὰρ

---

1 ὁ ἰλέωc L, ὀϊλέωc K, ὁ ἰλεῶc R, ὁ τοῦ ὀϊλέωc H | ἰλεῶc. ἐπὶ τῶν κυρίων. ταῦτα R ‖ 3 τῆc δὲ διαφορᾶc LH ‖ 4 ὀνόμαcι *om* LH ‖ 5 cπάθη μάχ. H | φάcγ. cπάθη K ‖ 7 -φοῖc πολυώνυμα] *hic incipit* M *fol. 52r*

DISCR. SCR. IN MHKR] 8 ὡc τιcαμενόc R, ὡ cτηcάμενοc M, ὡc cτιcαμενόc K, ὡc τιcαμένηc H ‖ 9 ὑπὸ] ἀπὸ MHKR | μενελέου M, μενελάου HKR ‖ 10 μενέλεῳ M, μενελάῳ HKR ‖ 11 Τιcαμενοῦ R, cτηcαμ//// M (cτηcαμένου L), cτιcαμένου K, τιcαμένουc H | κλυγενέcτραν M ‖ 12 τιcαμενὸc R, cτηcαμενοc M, cτιcαμενὸc K, τιcαμένηc H | τὸ τίcαcθαι — ἀνταποδοῦναι (13) H, τὰ cτήγματα MR, τὰ cτίγματα K ‖ 14 ἀναcτρ.] ἀναcτρέφοc δὲ M, ἀναcτρόφωc δὲ H | εἴ τιc HK, ////τιc M (ἥτιc L), οὗτοc R ‖ 16 ὁ *ante* ὅροc *add* K ‖ 23 παρεῖναι KR, *vocab. erasum* M (παρῆναι L), παριέναι H ‖ 24 κυρίου *om* H ‖ 27 τὸ *om* M | cείειν HK, cίειν M, cείεcθαι R ‖ 33 ἐρώτηcιν] ἐπερώτηcιν MR ‖ 34 Ἀόριcτον — λέγονται (577,1) *om* MK | τὸ *om* H ‖ 35 ὁπόcοc *om* R | ταῦτα — δεικνύειν (577,1)] Τὸ ἀόριcτον ἐναντίωc ἔχει τῷ ἐρωτηματικῷ, καθὸ ὁ μὲν ἐρωτῶν ζητεῖ αὐτῷ ὁριcθῆναί τι· τὸ δὲ ἀόριcτον ἀναιρεῖ τὸν θέλοντά τι αὐτῷ ὁριcθῆναι, κατερώτηcιν

ἀόριστα λέγονται παρὰ τὸ μὴ ὁρίζειν πρόσωπον ἤγουν δεικνύειν. — «Ἀναφορικὸν δέ ἐστιν, ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται, τὸ ὁμοίωσιν σημαῖνον, οἷον τοιοῦτος τοσοῦτος τηλικοῦτος»· ἀναφορικὸν δὲ λέγεται παρὰ τὸ ἀναφέρειν ἡμῖν γνῶσιν τοῦ ζητουμένου, οἷον ἔστω ζητούμενον, τίς ὁ ἅγιος Πέτρος, μανθάνομεν ὅτι ὁ ἀπόστολος· ἐρωτῶντες δὲ ποταπὸς ἦν, μανθάνομεν παρὰ τοῦ ἐρωτωμένου ὅτι θασύθριξ, δεικνύντος αὐτοῦ ἡμῖν καὶ ὅμοιον δασύτριχα. — «Περιληπτικὸν δέ ἐστι τὸ τῷ ἑνικῷ ἀριθμῷ πλῆθος σημαῖνον, οἷον δῆμος χορὸς ὄχλος»· ταῦτα γὰρ πλῆθος περιλαμβάνουσι· διὰ τοῦτο περιληπτικὰ λέγονται. — «Ἐπιμεριζόμενον δέ ἐστι τὸ ἐκ δύο ἢ καὶ πλειόνων ἐπὶ ἓν ἔχον τὴν ἀναφοράν, οἷον ἑκάτερος ἕκαστος»· ἐκ μὲν δύο, «ἑκάτερος ἡμῶν ἐν ἑνὶ τόπῳ στήτω», ἢ «ἑκάτερος ἡμῶν ψαλλέτω ἢ ἀναγινωσκέτω»· οὕτως καὶ ἐπὶ πληθυντικῶν τὸ ἕκαστος νόει. — «Περιεκτικὸν δέ ἐστι τὸ ἐμφαῖνον ἐν ἑαυτῷ τι περιεχόμενον, οἷον δαφνών παρθενών ἀμπελών ἐλαιών φοινικών»· ὁ γὰρ δαφνὼν περιέχει δάφνας, καὶ ὁ παρθενὼν παρθένους, καὶ ὁ ἀμπελὼν ἀμπέλους, καὶ ὁ ἐλαιὼν ἐλαίας, καὶ ὁ φοινικὼν φοίνικας. — «Πεποιημένον δέ ἐστι τὸ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς εἰρημένον, οἷον φλοῖσβος ῥοῖζος ὀρυγμαδός»· φλοῖσβός ἐστιν ὁ τοῦ βηλοῦ τῆς νεὼς ὑπὸ ἀνέμου γινόμενος ἦχος· ῥοῖζος δὲ ὕδατος κτύπος ὑπὸ νεὼς τεμνομένου, ἀλλὰ καὶ παντὸς ὕδατος ἐπὶ τὸ πρανὲς φερομένου καὶ κτυποῦντος ῥοῖζος λέγεται· ὀρυγμαδὸς δέ ἐστι βοὴ ὄχλου πολλοῦ. — «Γενικὸν δέ ἐστι τὸ δυνάμενον εἰς πολλὰ εἴδη διαιρεθῆναι, οἷον ζῷον φυτόν»· τὸ γὰρ ζῷον κοινὸν ὄνομά ἐστι πάντων τῶν ζωῆς μετεχόντων· διαιρεῖται δὲ εἰς ἄνθρωπον, βοῦν, κύνα, ἵππον, κώνωπα καὶ τὰ τοιαῦτα· ὁμοίως καὶ τὸ φυτόν κοινὸν ὄνομά ἐστι πάντων τῶν φυτῶν· διαιρεῖται δὲ εἰς ἄμπελον, ἐλαίαν, κυπάρισσον καὶ τὰ ὅμοια. — «Εἰδικὸν δέ ἐστι τὸ ἐκ τοῦ γένους διαιρεθέν, οἷον βοῦς ἵππος ἄμπελος ἐλαία»· τὸ μὲν βοῦς καὶ ἵππος ἐκ τοῦ ζῴου τοῦ κοινοῦ ὀνόματος καθ' ἑαυτὰ διαιροῦνται· ὁμοίως καὶ τὸ ἄμπελος ἐλαία ἐκ τοῦ φυτοῦ τοῦ κοινοῦ ὀνόματος. — «Τακτικὸν δέ ἐστι τὸ τάξιν δηλοῦν, οἷον πρῶτος δεύτερος τρίτος»· οἷον πρῶτος ὁ ἀρχεπίσκοπος, εἶτα ἐπίσκοπος, πρεσβύτερος καὶ τὰ ὅμοια. — «Ἀριθμητικὸν δέ ἐστι τὸ ἀριθμὸν σημαῖνον, οἷον εἷς δύο τρεῖς». — «Μετουσιαστικὸν δέ ἐστι τὸ μετέχον οὐσίας τινός, οἷον πύρινος δρύϊνος ἐλάφινος»· πύρινος μὲν οὖν ὁ μετέχων πυρός, δρύϊνος ὁ μετέχων δρυός, καὶ ἐλάφινος ὁ μετέ-

---

δὲ (καθὸ ἐρωτῶν γινώσκει *add* K)· καὶ γὰρ ἄγνωστον τὸ ἀόριστον· καὶ τὸ μὲν ὅστις δύο μέρη λόγου εἰσὶν ἀόριστα, τὸ ὅς καὶ τὸ τίς, τὸ δὲ ὁποῖος καὶ ὁπόσος καὶ ὁπηλίκος (κυρίως εἰσὶν ἀναφορικά *add* K), ἔσθ' ὅτε δὲ καὶ ἀντὶ ἀορίστου παραλαμβάνεται R; ***eadem in inferiore marg. ab altera manu exarata habet*** K, ***qui in ipso contextu post*** δεικνύειν ***add***: καὶ τὸ μὲν τίς οὐσίαν ἐπιζητεῖ, οἷον Πέτρος· τὸ δὲ ποῖος συμβεβηκός, οἷον ὁ μακρός· τὸ δὲ πόσος ἐπὶ ἀριθμοῦ, πηλίκος δὲ ἐπὶ μεγέθους.

2 καλεῖται *post* ὁμοιωματικὸν *transp.* R | καλεῖται. καὶ ὁμοιωματικὸν μέν ἐστι τὸ ὁμοίωσιν H ‖ **3** τοιοῦτος *om* H | τος. τοιοῦτος τηλικ. *transp.* MR ‖ **7** δέ] μέν R | οἷον *om* H ‖ **10** ἕκαστος] ἔκδοτος R ‖ **11** τὸ ἕκαστος *add* K ‖ **12** τι] τὸ H ‖ **13** ἀμπελών *om* H | ἀμπ. ἐλ. φοιν. *om* K ‖ **15** παρὰ *om* H ‖ **16** *post* ῥοῖζος *add* βρόμος H | νεὼς] νηὸς MHKR; *item v. 17* ‖ **18** λέγεται] καλεῖται· βρόμος δὲ ὁ τοῦ πυρὸς ἦχος H, λέγεται· τροπικῶς καὶ ὁ καχλασμὸς τῆς φλογός R ‖ **19** δέ] μέν R ‖ **23** εἰδικὸν KR, ἰδικὸν MH | τὸ — διαιρεθέν (**24**)] τὸ δυνάμενον ἐκ τοῦ αὐτοῦ γένους διαιρεθῆναι H ‖ **26** κοινοῦ] περιεκτικοῦ MHKR ‖ **28** σημαῖνον] δηλοῦν R | *post* τρεῖς *add*: τί διαφέρει τὸ ἀριθμητικὸν τοῦ τακτικοῦ; ὅτι τὸ μὲν τάξιν μόνον ἐπαγγέλλεται, περὶ ἀριθμοῦ δὲ οὐδένα λόγον ποιεῖται, τὸ δὲ ἀριθμητικὸν τὸ ἐναντίον ποιεῖ· ἐξαρίθμησιν γὰρ ποιεῖται μόνον, τάξεως λόγον μὴ ποιούμενον R, *eademque post* ἀναγωγή (*cfr adnot. ad 578, 5*) K ‖ **29** δέ] μέν R | *post* ἐλάφινος *add* ἀμμώδης K ‖ **30** πύρινος μὲν — ἐλάφου (**578,1**) *om* MH

χων ἐλάφου. — «Ἀπολελυμένον δέ ἐστιν ὃ καθ' ἑαυτὸ νοεῖται, οἷον θεός λόγος»· ὁ γὰρ θεὸς αὐτὸς ἑαυτὸν ἐπίσταται, ὡς δὴ καὶ ὁ λόγος αὐτοῦ ὁμοίως. Ἰδοὺ καὶ παρὰ τοῖς Ἕλλησι θεολογία.

«Τοῦ δὲ ὀνόματος διαθέσεις εἰσὶ δύο, ἐνέργεια καὶ πάθος· ἐνέργεια μέν, ὡς κριτής ὁ κρίνων, πάθος δέ, ὡς κριτός ὁ κρινόμενος».

§ 13 (15b).

Περὶ ῥήματος.

«Ῥῆμά ἐστι λέξις ἄπτωτος, ἐπιδεκτικὴ χρόνων τε καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριστῶσα». Τὸ ῥῆμα τοίνυν ἓν ἐκ τῶν ὀκτὼ μερῶν τοῦ λόγου ἐστίν· «ἄπτωτον» δὲ πρὸς ἀντιδιαστολὴν τῶν μετοχῶν καὶ τῶν ὀνομάτων· οὐ γὰρ ἐπιδέχεται πτώσεις τὸ ῥῆμα, ἀλλὰ κλίσεις τρεῖς, οἷον λέγω λέγεις λέγει· ἐπιδέχεται δὲ καὶ χρόνους καὶ πρόσωπα καὶ ἀριθμούς. Ἐνέργειαν ἢ πάθος παρίστησιν, ἐνέργειαν μέν, οἷον τύπτω, πάθος δέ, οἷον τύπτομαι. — «Παρέπεται δὲ τῷ ῥήματι ὀκτώ, ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοί, πρόσωπα, χρόνοι, συζυγίαι· ἐγκλίσεις μὲν οὖν εἰσι πέντε, ὁριστική, προστακτική, εὐκτική, ὑποτακτική, ἀπαρέμφατος». Ἔγκλισις δέ ἐστι ψυχικὴ προαίρεσις, καθ' ἣν ἐγκλίνεται ἡ ψυχή, ἤγουν εἰς ὃ ῥέπει· ἐγκλίνει γὰρ εἰς τὸ ὁρίσαι, εἰς τὸ προστάξαι, εἰς τὸ εὔχεσθαι καὶ εἰς τὰ ὅμοια. Ἰστέον δὲ ὅτι τὰς ἐγκλίσεις καὶ τὰς διαθέσεις οἱ παλαιοὶ κοινῶς διαθέσεις ἐκάλουν· καὶ λοιπὸν ὕστερον διεμέρισαν αὐτάς, καὶ τὰς μὲν ψυχικὰς καλοῦσιν ἐγκλίσεις, τὰς δὲ σωματικὰς διαθέσεις, οἷον τὸ ἐνθυμηθῆναι τύψαι ἔγκλισιν καλοῦσιν, εἰς ὃ ἐνέκλινεν ἡ ψυχή· τὸ δὲ ἐνεργῆσαι καὶ τύψαι διάθεσιν. — «Διαθέσεις δέ εἰσι τρεῖς, ἐνέργεια, πάθος, μεσότης· ἐνέργεια μέν, οἷον λέγω, πάθος δέ, οἷον λέγομαι, μεσότης δὲ ἡ ποτὲ μὲν ἐνέργειαν ποτὲ δὲ πάθος παριστῶσα»· ἐνέργειαν μέν, οἷον γράφομαί σε, πάθος δέ, οἷον γράφομαι ὑπὸ σοῦ. Ἄλλως τε καί τινα ῥήματά εἰσι μήτε ἐνέργειαν μήτε πάθος παριστῶντα, οἷον ζῶ θάλλω πλουτῶ. — «Εἴδη δὲ δύο, πρωτότυπον καὶ παράγωγον· πρωτότυπον μέν, οἷον ἄρδω, παράγωγον δέ, οἷον ἀρδεύω», ἄρχω ἀρχεύω, τιθῶ τίθημι, ἱστῶ ἵστημι, διδῶ δίδωμι. Καὶ γὰρ ἀπὸ ὀνομάτων γίνονται παράγωγα ῥήματα, οἷον πόλεμος

---

1 *post* ἐλάφου *add* ἀμμώδης ὁ μετέχων ἄμμου K | *post* λόγος *add* ἄγγελος KR ‖ 2 δὴ H, δεῖ MKR | ὁμοίως] νοεῖται H ‖ 5 πάθος δέ, ὡς κριτός] κριτὸς δὲ H | *post* κρινόμενος *add* ἐκ τοῦ πάθους ἡ ἀναγωγή K ‖ 6 *Haec add* M: Ἐρώτημα σύντομον τοῦ ὀνόματος καὶ ἀπόκρισις ἐρωτῶντος καὶ ἐρωτωμένου. Οἷον ἄνθρωπος ποῖον μέρος λόγου ἐστίν; ὄνομα. Ποίας σημασίας; σώματος. Ποίου γένους; ἀρσενικοῦ. Ποίου εἴδους; πρωτοτύπου. Ποίου σχήματος; ἁπλοῦ. Ποίου ἀριθμοῦ; ἑνικοῦ. Ποίας πτώσεως; ὀρθῆς. Ποίας διαθέσεως; ἐνεργητικῆς. Κατ' ἐνέργειαν δὲ λέγεται ἄνθρωπος διὰ τὸ ἄνω θρεῖν τὴν ὦπα, τουτέστιν ἄνω ὁρᾶν τοῖς ὀφθαλμοῖς· ὦπες γὰρ οἱ ὀφθαλμοί ‖ 8 χρόνων τε καὶ *om* R ‖ 9 παριστῶσα H, παραστῶσαν M, περιστᾶσα K, παριστάσα R ‖ 12 δὲ καὶ χρόνους *om* R | καὶ χρ. καὶ *om* H ‖ 13 Παρέπ. — ἀπαρ. (15)] «παρέπεται — συζυγίαι». καὶ εἰκότως κατὰ τῶν ὀκτὼ μερῶν τοῦ λόγου, ἔτι καὶ τῶν τεσσάρων μερῶν τῆς γραμματικῆς, ἅτινά εἰσι διορθωτικόν, ἀναγνωστικόν, ἐξηγητικὸν καὶ κριτικόν, καὶ τῶν τεσσάρων τῆς φωνῆς ὀργάνων· καὶ αὐτά εἰσι ταῦτα· γλωσσηματικόν, ἱστορικόν, μετρικὸν καὶ τεχνικόν. «Ἐγκλίσεις — ἀπαρέμφατος» K ‖ 14 χρόνοι καὶ συζ. HKR ‖ 15 οὖν *om* R | εὐκτική *om* R | ὑποτ. καὶ ἀπαρ. H ‖ 21 δὲ MHK, μὲν R ‖ 22 *post* λέγομαι *add* ἢ τιμῶμαι ἢ στεφανοῦμαι MH ‖ 23 περιστᾶσα K | *post* παριστῶσα *add* οἷον πέπηγα διέφθορα ἐποιησάμην ἐγραψάμην R ‖ 25 *post* ζῶ *add* ὑγιαίνω K | *post* πλουτῶ *add* ὑπάρχω, ἅτινα καὶ οὐδέτερα καλοῦνται K | δὲ *om* MR 26 μὲν οὖν οἷον K | ἀρδεύομαι R | ἄρχω] καὶ ἔτι ἄρχω K

πολεμίζω, Ἀντίγονος ἀντιγονίζω, Φίλιππος φιλιππίζω, Χριστός χριστιανίζω, τουτέστιν τὰ τοῦ Χριστοῦ φρονῶ. — «Σχήματα δὲ τρία, ἁπλοῦν, σύνθετον, παρασύνθετον· ἁπλοῦν μέν, οἷον φρονῶ, σύνθετον δέ, οἷον καταφρονῶ»· τὸ γὰρ φρονῶ ῥῆμα καὶ ἡ κατά πρόθεσις ἑνωθέντα ἐποίησαν ῥῆμα σύνθετον· «παρασύνθετον δέ, οἷον φιλιππίζω»· τὰ γὰρ παρασύνθετα ἀπὸ τῶν συνθέτων παράγονται· τὸ γὰρ φιλῶ ῥῆμα καὶ τὸ ἵππος ὄνομα ἑνωθέντα ἐποίησαν σύνθετον ὄνομα, ἐξ οὗ παράγεται τὸ φιλιππίζω ῥῆμα· οὕτως καὶ τὰ ὅμοια. — «Ἀριθμοὶ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός· ἑνικὸς μέν, οἷον γράφω, δυϊκὸς δέ, οἷον γράφετον, πληθυντικὸς δέ, οἷον γράφομεν». — «Πρόσωπα τρία, πρῶτον, δεύτερον, τρίτον· πρῶτον μὲν ἀφ' οὗ ὁ λόγος», οἷον ἀπ' ἐμοῦ ὁ λόγος, γράφω· «δεύτερον δὲ πρὸς ὃν ὁ λόγος», οἷον πρὸς σὲ ὁ λόγος, γράφεις· «τρίτον δὲ περὶ οὗ ὁ λόγος», οἷον περί τινος ἄλλου ὁ λόγος, γράφει. — «Χρόνοι τρεῖς, ἐνεστώς, παρεληλυθώς, μέλλων»· ἐνεστώς, οἷον λέγω, παρεληλυθώς, οἷον ἔλεγον, μέλλων, οἷον λέξω. — «Τούτων ὁ παρεληλυθὼς ἔχει διαφορὰς τέσσαρας, παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον καὶ ἀόριστον»· παρατατικός, οἷον ἔλεγον, παρακείμενος, οἷον λέλεχα, ὑπερσυντέλικος, οἷον ἐλελέχειν, ἀόριστος, οἷον ἔλεξα. — Καὶ ταῦτα μὲν ἐν συντόμῳ διεξίεμεν (*sic*)· καθόλου δὲ ἐν τῷ Ῥηματικῷ Γεωργίου καὶ Ἀπολλωνίου, εἰ θεῷ φίλον, εἰσόμεθα.

§ 14 (16—18b).

Περὶ συζυγίας.

Commentariolus ad § 14 ea tantum exhibet, quae in ipsius artis contextu leguntur; in fine autem paragraphi haec verba adiecta sunt: Ἀκολουθεῖ δὲ ἐν ταῖς κλίσεσι τῶν ῥημάτων οὕτως, οἷον παράδειγμα πρώτης συζυγίας λείβω· ἰδοὺ διὰ τοῦ β̄ ἐκφέρεται ἐν τῷ πρώτῳ προσώπῳ, καὶ τὸ αὐτὸ β̄ ἀκολουθεῖ ἐν ταῖς κλίσεσι τοῦ δευτέρου καὶ τρίτου προσώπου, καὶ οὐ μεταβάλλεται, οἷον λείβω λείβεις λείβει· ὁμοίως καὶ τὸ π̄ καὶ φ̄ καὶ π̄τ̄ ἐν ταῖς κλίσεσι τῶν ῥημάτων ἀκολουθοῦσιν ἀδιαλλάκτως· ὁμοίως καὶ πᾶσαι αἱ συζυγίαι οὕτως ἐπακολουθοῦσιν ἐν ταῖς κλίσεσι τῶν ῥημάτων.

§ 15 (19b).

Περὶ μετοχῆς.

«Μετοχή ἐστι λέξις μετέχουσα τῆς τῶν ῥημάτων καὶ τῆς τῶν ὀνομάτων ἰδιότητος. Παρέπεται δὲ αὐτῇ ταῦτα ἃ καὶ τῷ ὀνόματι καὶ τῷ ῥήματι, δίχα προσώπων τε καὶ ἐγκλίσεων». «Μετέχει οὖν ὀνομάτων καὶ ῥημάτων, τῶν μὲν ὀνομάτων

---

1 Ἀντίγ. ἀντιγ. *om* K | ἀνταγονίζω M, ἀνταγωνίζω HR ‖ 2 δὲ *om* KR ‖ 3 φρονῶ HK, φιλῶ MR (*bis*) | καταφρονῶ HK, καταφιλῶ MR ‖ 4 οἷον ἀνταγωνίζω φιλ. R ‖ 7 Ἀρ. δέ εἰσι τρ. H | δυ. καὶ πληθ. H ‖ 8 γράφω τύπτω R | *alterum et tertium* οἷον *add* K | γράφετον τύπτετον R | γράφωμεν τύπτωμεν R | Πρ. δέ εἰσι τρία H ‖ 9 δεύτ. καὶ τρίτ. H ‖ 11 περί τινος ἄλλου] πρὸς σὲ M | Χρ. δέ εἰσι τρεῖς H ‖ 12 ἐνεστ. οἷον] καὶ ἐνεστὼς μέν ἐστιν H ‖ 14 καὶ *om* KR | *post* ἀόριστον *add* ὧν συγγένειαί εἰσιν γ', ἐνεστῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερσυντέλικον, ἀορίστου πρὸς μέλλοντα R ‖ 16 Γεωργ. κ. Ἀπ. *om* R ‖ 17 ἰσώμεθα MR ‖ 19 συζυγιῶν H ‖ 20 *In § 14 in* K *nihil exstat nisi:* συζυγία ἐστὶν ἀκόλουθος ῥημάτων κλίσις. Ἀκολουθεῖ κτέ. ‖ 25 ἀδιαλλακτός M, ἀδιαλλάκτως KR, ἀπαραλλάκτως H ‖ 29 Μετ. δέ ἐστι H | ῥημάτων] ὀνομάτων H ‖ τῆς *post* καὶ *om* H | ὀνομάτων] ῥημάτων H ‖ 30 ταῦτα MHKR ‖ 31 *ante* Μετέχει *add*: πόθεν μετοχή; ἀπὸ τοῦ μετέχειν ὀνόματος καὶ ῥήματος. ποῦ δὲ μετέχει τούτων; λαμβάνει ἀπὸ τοῦ ὀνόματος τὸ ἄρθρον τὸ ὁ καὶ ἀπὸ τοῦ ῥήματος τὸ τύπτω, καὶ λέγεται ὁ τύπτων. οὕτω καὶ τὰ ὅμοια R

τὰ παρεπόμενα πάντα, καὶ τῶν ῥημάτων τὰ παρεπόμενα πάντα ἄνευ προςώπων καὶ ἐγκλίςεων.

§ 16 (20b).

Περὶ ἄρθρου.

«Ἄρθρον ἐςτὶ μέρος λόγου πτωτικόν, προταςςόμενον καὶ ὑποταςςόμενον τῆς κλίςεως τῶν ὀνομάτων· προτακτικὸν μὲν ὁ, ὑποτακτικὸν δὲ ὅς»· καὶ προτακτικὸν μέν, οἷον ⟨Ps. 1, 1⟩ μακάριος ὁ ἀνὴρ ἐκεῖνος, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀςεβῶν· ἰδοὺ ἐνταῦθα ἐν μὲν τῇ πρώτῃ λέξει προτάςςεται τὸ ἄρθρον, ἐν δὲ τῇ δευτέρᾳ ὑποτάςςεται. — «Παρέπεται δὲ αὐτῷ τρία, γένη, ἀριθμοί, πτώςεις· γένη μὲν οὖν εἰςι τρία, ὁ ποιητής, ἡ ποίηςις, τὸ ποίημα». Ἰδοὺ ἐνταῦθα ὁ ποιητὴς ἀρςενικοῦ γένους ἐςτίν, ἡ δὲ ποίηςις θηλυκοῦ, τὸ δὲ ποίημα οὐδετέρου. — «Ἀριθμοὶ τρεῖς, ἑνικός, δυϊκός, πληθυντικός· ἑνικὸς μὲν ὁ ἡ τό». Ἰδοὺ τῶν τριῶν γενῶν τὰ ἄρθρα· τὸ μὲν ὁ ἀρςενικοῦ, τὸ δὲ ἡ θηλυκοῦ, τὸ δὲ τό οὐδετέρου. — Πτώςεις δὲ ὁ τοῦ τῷ τόν ὦ, οἷον ὁ ἄνθρωπος, τοῦ ἀνθρώπου, τῷ ἀνθρώπῳ, τὸν ἄνθρωπον, ὦ ἄνθρωπε· θηλυκὰ ἡ τῆς τῇ τήν ὦ, οἷον ἡ γυνή, τῆς γυναικός, τῇ γυναικί, τὴν γυναῖκα, ὦ γύναι· οὐδέτερα τό τοῦ τῷ τό ὦ, οἷον τὸ μέλι, τοῦ μέλιτος, τῷ μέλιτι, τὸ μέλι, ὦ μέλι. Δυϊκὰ ἀρςενικῶν τώ τοῖν ὦ, οἷον τὼ ἀνθρώπω, τοῖν ἀνθρώποιν, ὦ ἀνθρώπω· δυϊκὰ θηλυκὰ τά ταῖν ὦ, οἷον τὰ Ἑλένα, ταῖν Ἑλέναιν, ὦ Ἑλένα. Πληθυντικὰ ἀρςενικῶν οἱ τῶν τοῖς τούς ὦ, οἷον οἱ ἄνθρωποι, τῶν ἀνθρώπων, τοῖς ἀνθρώποις, τοὺς ἀνθρώπους, ὦ ἄνθρωποι· πληθυντικὰ θηλυκὰ αἱ τῶν ταῖς τάς ὦ, οἷον αἱ γυναῖκες, τῶν γυναικῶν, ταῖς γυναιξί, τὰς γυναῖκας, ὦ γυναῖκες.

§ 17 (21 et 22b).

Περὶ ἀντωνυμίας.

«Ἀντωνυμία ἐςτὶ λέξις ἀντὶ ὀνόματος παραλαμβανομένη, προςώπων ὡριςμένων δηλωτική». Ἀντωνυμία καλεῖται, ὅτι ἀντὶ ὀνόματος παραλαμβάνεται, ὡς ὅταν

---

1 τῶν ῥημάτων *om* M ‖ **2** *post* ἐγκλ. *add Barocc. 115:* ὡς εἴπομεν. διὰ τί αἱ μετοχαὶ οὐκ ἔχουςιν οὔτε πρόςωπον οὔτε ἐγκλίςεις; ἐπειδὴ οὖν ἐκπεςοῦςαι ἐκ τῶν ῥημάτων ἐξέπεςον καὶ ἐκ τῶν προςώπων· προςώπων δὲ μὴ ὄντων οὐδὲ ἐγκλίςεις δύνανται εἶναι ‖ **5** καὶ ὑποταςς. *transp. post* ὀνομάτων HK ‖ **11** Ἀριθ. — οὐδετέρου (**13**) *om* K | Ἀρ. δὲ εἰςι τρ. H ‖ **12** δυ. καὶ πληθ. H | καὶ ἑν. μὲν H | Ἰδοὺ — οὐδετέρου (**13**)] δυϊκὸς δὲ τώ τά, πληθυντικὸς δὲ οἱ αἱ τά R | τὰ *om* M ‖ **18** ὦ ἄνθρωπε M | ὦ ἑλέναιν M | *post* ὦ ἑλ. *add:* δυϊκὰ τῶν οὐδετέρων τρία, τώ τοῖν ὦ, τὼ βήματε, τοῖν βημάτοιν, ὦ βήματε H ‖ **21** *post* ὦ γυναῖκες *add:* πληθυντικὰ τῶν οὐδετέρων πέντε, τά τῶν τοῖς τά ὦ, τὰ βήματα, τῶν βημάτων, τοῖς βήμαςι, τὰ βήματα, ὦ βήματα H, οὐδετέρων δὲ τά τῶν τοῖς τά ὦ, τὰ τείχη, τῶν τειχῶν, τοῖς τείχεςι, τὰ τείχη, ὦ τείχη K, πληθυντικὰ οὐδετέρων τά τῶν τοῖς τά ὦ. τῶν οὐδετέρων ἡ αὐτή ἐςτιν ὀρθὴ καὶ αἰτιατικὴ καὶ κλητικὴ R; *Barocc. 115 eadem addit quae* H; *tum pergit:* τὸ δὲ ὦ τῆς κλητικῆς οὐκ ἔςτιν ἄρθρον, ἀλλὰ κλητικὸν ἐπίρρημα, διότι οὐδὲν ἔχει ἰδίωμα ἄρθρου· ἐπειδὴ ψιλοῦται, καὶ τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ἄρθρα δαςύνεται. καὶ ἔχουςιν οὖν καὶ ὑποτακτικά, ἀλλὰ τὸ τῆς κλητικῆς ὦ οὐκ ἔχει. καὶ τὰ ἄρθρα δηλοῦςι μὲν καὶ ἀριθμόν, δηλοῦςι καὶ γένος προδήλως· ἀλλὰ τοῦτο ἐπὶ πάντων τῶν γενῶν καὶ ἐπὶ πάντων τῶν ἀριθμῶν τὸ αὐτὸ λέγεται. καὶ τὰ ἄρθρα εἰςὶ τρίτου προςώπου, τοῦτο δὲ δευτέρου. καὶ ἔτι μὲν ἐπὶ τῶν πτωτικῶν θέλει ἔχειν ἡ κλητικὴ τὸν ἴςον χρόνον τῆς ἰδίας εὐθείας ἢ ἐλάττονα, οὐδέποτε δὲ μείζονα· τὸ δὲ ὦ τῆς κλητικῆς ἔχει μείζονα χρόνον τοῦ ἐπὶ τῆς εὐθείας ‖ **23** Περὶ ἀντ. *om* R | ἀντωνυμιῶν H

εἴπωμεν ⟨Ev. Matth. 3, 11⟩ ὁ ὀπίcω μου ἐρχόμενος ἰςχυρότερός μού ἐςτιν, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦcαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίςει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· ἰδοὺ ἐνταῦθα ἡ οὗ ἀντωνυμία ἐςτὶν ἀντὶ τοῦ Χριςτοῦ, καὶ αὐτὸς ὑμᾶς ἀντωνυμίαι εἰςὶν ἀντὶ τοῦ ὁ Χριςτὸς ὑμᾶς τοὺς ἀνθρώπους βαπτίςει. — «Προςώπων» δὲ «ὡριςμένων δηλωτική», τουτέςτι προςώπων φαινομένων δεικτική. — «Παρέπεται δὲ αὐτῇ ἕξ, πρόςωπα, γένη, ἀριθμοί, πτώςεις, ςχήματα, εἴδη. Πρόςωπα πρωτοτύπων μὲν ἐγώ cύ ἵ», ἀντὶ τοῦ ἐγὼ Πέτρος, cὺ Παῦλος, ἐκεῖνος Ἰωάννης· «παραγώγων δὲ ἐμός cός ὅς». — «Γένη τῶν μὲν πρωτοτύπων προςώπων διὰ μὲν τῆς φωνῆς οὐ διακρίνονται, φανεροῦνται δὲ διὰ τῆς ὑπ' αὐτῶν δείξεως, οἷον ἐγώ cύ ἵ». Ἀντωνυμίαι πρωτότυποι φωνητικῶς μὲν οὐ ςημαίνουςι γένος, οὔτε ἄρςεν οὔτε θῆλυ· δεικτικῶς δὲ ςημαίνουςι καὶ ἄρςεν καὶ θῆλυ καὶ οὐδέτερον· αἱ δὲ παράγωγοι ἀντωνυμίαι διὰ τῶν ἄρθρων ςημαίνουςι τὰ γένη, οἷον ὁ ἐμός ἡ ἐμή τὸ ἐμόν. — Ἀριθμοὶ πρωτοτύπων, οἷον ἐγώ cύ ἐκεῖνος λέγοντες ἑνικῶς λέγομεν· δυϊκῶς δὲ νῶϊ cφῶϊ, ἀντὶ τοῦ ἡμεῖς οἱ δύο καὶ ὑμεῖς οἱ δύο· πληθυντικῶς δὲ οἷον ἡμεῖς ὑμεῖς ἐκεῖνοι. — «Παραγώγων δὲ ἀριθμὸς ἑνικός, οἷον ἐμός cός ὅς, δυϊκὸς δὲ ἐμώ cώ ὥ»· ἐμώ μὲν ἀντὶ τῶν δύο υἱῶν μου, cώ δὲ ἀντὶ τῶν δύο υἱῶν cου, ὥ λέγων ἀντὶ τῶν δύο υἱῶν αὐτοῦ λέγω. «Πληθυντικὸς ἐμοί cοί οἵ». Πτώςεις δὲ πρωτοτύπων μὲν ὀρθῆς οἷον ἐγὼ Πλάτων, γενικῆς ἐμοῦ Πλάτωνος, δοτικῆς ἐμοὶ Πλάτωνι, αἰτιατικῆς ἐμὲ Πλάτωνα· κλητικὴν δὲ οὐκ ἔχει τὸ πρῶτον πρόςωπον, οὐδεὶς γὰρ ἑαυτόν που καλεῖ. Δευτέρου προςώπου cὺ Πλάτων ἀντὶ τοῦ ὦ Πλάτων· τρίτου προςώπου ἐκεῖνος ὁ Πλάτων, ἐκείνου τοῦ Πλάτωνος, ἐκείνῳ τῷ Πλάτωνι, ἐκεῖνον τὸν Πλάτωνα. Εἰςὶ δὲ καὶ μονοπρόςωποι ἀντωνυμίαι, οἷον οὗτος τούτου τούτῳ τοῦτον· πληθυντικὸς οὗτοι τούτων τούτοις τούτους ὦ οὗτοι· ἑνικὸς αὐτός αὐτοῦ αὐτῷ αὐτόν· δυϊκὸς αὐτώ αὐτοῖν αὐτώ· πληθυντικὸς αὐτοί αὐτῶν αὐτοῖς αὐτούς. — Καὶ ταῦτα μὲν πρὸς εἰςαγομένους μερικῶς ἐν cπουδῇ διήλθομεν· ἐπὶ τέλους δὲ τοῦ κειμένου τρανῶς καὶ ὡς δεῖ λέλεκται περὶ ἀντωνυμίας.

Accuratior illa de pronominibus expositio, ad quam ultimis huius paragraphi verbis delegamur**, in cod.* H *legitur p. 272—278, in* K *p. 565—573;* ***in L ***autem,*** *in quo pauca tantum eius fragmenta eaque ordine perverso servata sunt, **hae reli-***

---

